Et adeo, inquit, vera spes est Evangelii quod etiam propter ipsam pati eligo et patiens gaudeo. Patior autem non pro meipso, sed propter vos, ut vos juvare possim. « Et vicissim compleo quæ desunt. » Papæ! quidnam est quod ait? Si Christus homo factus, illusus, et alapis cæsus, crucifixus ac mortuus, quidpiam debens et obligatus vobis discessit, cum majora pati debuisset, hæc ego vicissim compleo. Si quid defuit quod ille pateretur, ego, inquit, patior.— Christus enim alapis cæsus ac illusus, flagellatus et crucifixus pro nobis, non simplici modo omnia complevit, sed supra mentem quoque, et sermone non investigabili explevit. Omnes itaque debitores constituti sumus ob innumeras illas et mundum salvantes afflictiones, ut ipsi etiam toleremus, vicissimque sustineamus afflictiones ac calamitates pro Christo et corpore ipsius, ut vicissim compleamus quæ passus est Christus pro nobis. Atqui vicissim ipsa complere, id est, æque ac simili modo pati ita, ut nihil prætermittatur, omnino impossibile est: nam quæcunque passi fuerimus, deerit adhuc aliquid ad Christi afflictiones. Quo igitur modo vicissim compleri poterit quod Dominus pro servo passus est, per hoc quod servus patiatur pro Domino? neque enim hoc æquale erit aut simile, quin potius longo adhuc aberit intervallo. **126** Utrum enim per hoc quod ii qui peccatis sunt obnoxii aliquid tolerant pro eo qui de ipsis bene meritus est nec peccare potest, æquale ei redditur, quod est impeccabilem tanta sustinuisse pro peccatoribus et iis qui ipsum offenderant? aliaque sunt innumera quæ differentiam ostendant. Idcirco quæcunque passus fuerit quispiam vicissim complere volens, defectum ab afflictionibus Christi vicissim complet. Quapropter beatus quoque Paulus, qui pro Christo plusquam cæteri omnes cucurrerat, qui in dies pericula sustinebat innumera: hoc sciens ac docens, dicebat: « Pro corpore ipsius. » Cum superius dixerit: Pro vobis patior: nunc idem firmius ac credibilius dicit. Siquidem vos, inquit, increduli maneatis, si ego pro vobis pati sustineo: nam pro vobis patiens, pro corpore Dei mei patior. Corpus enim ipsius Ecclesia est, cujus dignatus est esse caput, vos autem pars estis universalis Ecclesiæ. « Cujus Ecclesiæ factus sum ego minister. » Debetis itaque ei parere qui a Deo minister effectus est. « Juxta dispensationem Dei. » Aut hoc ait: Ipse assumptus permisit ut prædicaremus, ne vos derelictos existimaretis. Aut me plus cæteris omnibus affligi permisit, ut magis idoneus essem prædicator. Aut, quod gentes nequaquam sermonem suscepissent absque Dei dispensatione. « In vos. » Hoc est, in gentes. « Complendi sermonem Dei. » Ostendit quod illi complete adhuc non habebant.

Τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ, οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι τί τὸ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου

1, 26-29. *Mysterium quod reconditum fuit a sæculis et a generationibus, nunc autem patefactum est sanctis illius: quibus voluit Deus notum facere quæ sit opulentia gloriæ mysterii hujus inter gentes quæ*

in vobis est Christus spes gloriæ: quem nos annuntiamus, admonentes omnem hominem, et docentes omnem hominem in omni sapientia, ut exhibeamus omnem hominem perfectum in Christo Jesu: ad quod etiam laboro, decertans secundum efficaciam ejus agentem in me per virtutem.

A *ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης, ὃν ἡμεῖς καταγγέλλομεν. Νουθετοῦντες πάντα ἄνθρωπον καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ. Ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ, εἰς ὃ καὶ κοπιῶ ἀγωνιζόμενος, κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει.*

« Mysterium quod reconditum fuit. » Hoc inter Dei beneficia est, quod id quod omnibus ignotum erat, et soli Deo cognitum: quod a sæculis quidem decretum erat, sed reconditum, hominibus patefecerit: non omnibus, sed iis quos voluit: voluit autem **127** ut qui digni sunt cognoscerent. « Quæ sit opulentia gloriæ. » Dispensatio, inquit, Dei facta est, ut per me notum fieret gentibus quæ sit B opulentia gloriæ annuntiati ministerii. Dicit autem de incarnatione, præterea et de vocatione gentium. « Inter gentes. » Quod inter gentes, inquit, factum est: non quod inter solas gentes factum sit, sed quod hoc magis admirandum fuerit, ut quæ tantum aberant a Deo, advocarentur. « Quæ in vobis est Christus. » Quæ opulentia mysterii, inquit, est Christus. Per ipsum igitur etiam credite vos adduci, ut qui in vobis est per fidem, per quem, ait, æternam vitam consequi speramus. « Admonentes omnem hominem. » Non necessario, inquit, cogentes, sed veluti patres adhortantes. Nam et hoc Dei mysterium est, ut iis qui in terra sunt persuadeantur, trahantur et non cogantur. « In omni C sapientia. » An enim sapientiæ non est ferinis persuadere gentibus? « Ut exhibeamus omnem hominem. » Neque enim sancta ipsius anima explebatur et omnem hominem Christo volebat offerre, atque ad hoc laborabat ac decertabat. Nam ita se habebat etiam erga hostes intellectuales ac sensibiles. « Secundum efficaciam ejus. » Deinde quoniam dixerat: Laboro, et decertans, suum laborem ac certamen ad Christum refert, ac si diceret: Non meum hoc opus est: qui enim me fortem facit, et ut sufficiens sim ad resistendum adversariis, Christus est qui operatur in me ut possim. Per hoc autem exhortatur ipsis ut sibi pareant: quasi Deus ad prædicationem sibi sit auxilio.

« Τὸ μυστήριον τὸ ἀποκεκρυμμένον. » Τοῦτο τῶν τοῦ Θεοῦ εὐεργεσιῶν, ὅτι τὸ πᾶσιν ἄγνωστον καὶ Θεῷ μόνῳ ἐγνωσμένον, καὶ βεβουλευμένον μὲν ἀπὸ τῶν αἰώνων, ἀποκεκρυμμένον δὲ, ἐφανέρωσε τοῖς ἀνθρώποις, οὐ πᾶσιν, ἀλλ' οἷς ἠθέλησεν· ἠθέλησε δὲ τοῖς ἀξίοις τοῦ γνῶναι. « Τί τὸ πλοῦτος τῆς δόξης. » Οἰκονομία γέγονε, φησὶ, Θεοῦ, δι' ἐμοῦ γνωρισθῆναι τοῖς ἔθνεσι, τίς ἐστιν ὁ πλοῦτος τῆς δόξης τοῦ καταγγελλομένου μυστηρίου. Λέγει δὲ περὶ τῆς ἐνανθρωπήσεως, ἔτι δὲ καὶ περὶ τῆς τῶν ἐθνῶν κλήσεως. « Ἐν τοῖς ἔθνεσιν. » Τοῦ ἐν τοῖς ἔθνεσι, φησὶ, γενομένου. Οὐχ ὅτι ἐν τοῖς ἔθνεσι μόνοις γέγονεν, ἀλλ' ὅτι τοῦτο παραδοξότερον ἦν, τὸ προσκληθῆναι τοὺς τοσοῦτον ἀπέχοντας Θεοῦ. « Ὅς ἐστι Χριστὸς ἐν ὑμῖν. » Ὅς πλοῦτος μυστηρίου, φησὶν, ἐστὶν ὁ Χριστός. Δι' αὐτοῦ τοιγαροῦν καὶ πιστεύετε προστάγεσθαι, ὡς ἐν ὑμῖν ὄντος διὰ τῆς πίστεως, δι' οὗ, φησὶν, ἐλπίζομεν τῆς αἰωνίου δόξης τυχεῖν. « Νουθετοῦντες πάντα ἄνθρωπον. » Οὐκ ἐξ ἀνάγκης, φησὶν, ἀλλ' ὡς πατέρες νουθετοῦντες. Καὶ γὰρ καὶ τοῦτο Θεοῦ μυστήριον, τὸ, πεισθῆναι καὶ μὴ βιασθῆναι τοὺς ἐπὶ γῆς. « Ἐν πάσῃ σοφίᾳ. » Πῶς γὰρ οὐ σοφίας τὸ πείθειν τὰ θηριώδη ἔθνη; « Ἵνα παραστήσωμεν πάντα ἄνθρωπον. » Ἀπλήστως γὰρ εἶχεν ἡ ἁγία αὐτοῦ ψυχὴ, καὶ πάντα ἄνθρωπον ἠβούλετο Χριστῷ προσενέγκαι, καὶ εἰς τοῦτο ἐκοπία καὶ ἠγωνίζετο. Εἶχε γὰρ καὶ πρὸς ἀντιπάλους νοητοὺς καὶ αἰσθητούς. « Κατὰ τὴν ἐνέργειαν αὐτοῦ. » Εἶτα ἐπειδὴ, Κοπιῶ, εἶπε, καὶ ἀγωνιζόμενος, τὸν αὐτοῦ κόπον καὶ ἀγῶνα τῷ Χριστῷ ἀνατιθεὶς, ὡσεὶ εἶπεν· Οὐκ ἐμὸν τοῦτο ἔργον. Ὁ γὰρ ἰσχυρόν με ποιῶν καὶ ἀρκοῦντα πρὸς τοὺς ἐναντίους, ὁ Χριστός ἐστιν, ἐνεργῶν ἐν ἐμοὶ τὸ δύνασθαι. Ταύτῃ δὲ προτρέπεται αὐτοὺς πείθεσθαι αὐτῷ, ὡς Θεοῦ συνεργοῦντος αὐτῷ περὶ τὸ κήρυγμα.

CAPUT VI.

Quod non oporteat eos qui sapientiam habent in Christo, humana incedere fallaci sapientia.

II, 1-5. *Nam volo vos scire quantam sollicitudinem habeam de vobis et his qui sunt Laodiceæ, et quotquot non viderunt faciem meam in carne,* **128** *ut consolationem accipiant corda illorum, cum cohæserint in charitate, et in omnem opulentiam certæ persuasionis intelligentiæ, in cognitionem mysterii Dei et Patris et Christi, in quo sunt omnes thesauri sapientiæ ac scientiæ reconditi. Hoc autem dico, ne quis vobis imponat probabilitate sermonis. Quanquam enim carne absens sim, spiritu tamen vobiscum sum, gaudens ac videns vestrum ordinem et soliditatem vestræ in Christum fidei.*

D

ΚΕΦΑΛ. Ϛ'.

Περὶ τοῦ μὴ ὑπάγεσθαι ἀνθρωπίνῃ σοφίᾳ ἀπατηλῇ τοὺς ἐν Χριστῷ τὴν σοφίαν ἔχοντας.

Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκὶ, ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων ἐν ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τοῦ Χριστοῦ ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι. Τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ. Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι, χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν, καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν.

Ἵνα μή τις αὐτῶν ῥᾳθυμίας καὶ ἀσθενείας ἕνεκεν δόξῃ λέγεσθαι τὸ λεγόμενον, καὶ τοὺς Λαοδικείας προσέθηκε. Καὶ ἵνα μὴ δοκῇ κατεγνωκέναι αὐτῶν, καὶ τὴν αἰτίαν τέθεικε τοῦ ὑπὲρ αὐτῶν ἀγῶνος καὶ φόβου, ὅτι, φησίν, οὔπω με ἐν σαρκὶ ἑωράκατε. « Ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν. » Λοιπὸν ἐμβάλλει εἰς τὸ δόγμα. Ἀγῶνα ἔχω, φησίν, ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, ἑνωθέντων καὶ στάντων ἐν ἀγάπῃ. Ἕνι γὰρ καὶ ἄλλως δοκεῖν ἑστάναι, ἀλλ' ἐν ἀγάπῃ, φησί. Τοῦτο γὰρ τὸ ὄντως ἑστάναι. « Συμβιβασθέντων. » Οἷον ἑνωθέντων. « Καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως. » Ἵνα πλουσίως, φησίν, ἡ πληροφορία ὑμῶν γένηται διὰ τῆς συνέσεως, ἧς χωρὶς οὐκ ἂν ἄλλως τις πληροφορηθείη πλουσίως ἐν τῇ πίστει καὶ τῇ ἐπιγνώσει τοῦ μυστηρίου. « Τοῦ Θεοῦ καὶ Πατρός. » Τί δὲ Πατρὸς καὶ Υἱοῦ μυστήριον; Τὸ τὴν προσαγωγὴν τὴν πρὸς τὸν Πατέρα διὰ τοῦ Υἱοῦ γίνεσθαι, καὶ οὐ διὰ τῶν ἁγίων ἀγγέλων. « Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροί. » Εἰ οὖν εἰσιν ἐν αὐτῷ πάντες οἱ θησαυροὶ τῆς σοφίας, καλῶς καὶ νῦν ἦλθε, καὶ πάλιν οὐκ ἦλθεν. Ἐγκαλοῦσι γάρ τινες τῶν ἀσεβῶν. « Τῆς σοφίας καὶ τῆς γνώσεως. » Ἐν ᾧ Χριστῷ, πάντες εἰσὶν οἱ θησαυροί. Οὐδὲν, φησίν, ὧν οἶδεν ὁ Πατὴρ, αὐτὸς ἀγνοεῖ. « Ἀπόκρυφοι. » Αὐτὸς, φησίν, οἶδε μόνος. Αὕτη δὲ ἡ διαστολὴ πρὸς τὴν κτίσιν ὁρᾷ, οὐ πρὸς τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα. « Τοῦτο δὲ λέγω. » Τοῦτο δὲ εἶπον, φησίν, ἵνα μή τις ὑμᾶς ἀπατᾷ ἐν πιθανολογίᾳ, ὡς εἰδώς τι. Οὐδεὶς ἀνθρώπων οἶδεν, φησί, τί· Θεοῦ γάρ ἐστι τὸ πάντα εἰδέναι. « Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι. » Ἀκόλουθον ἦν εἰπεῖν· Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, πλὴν διὰ τοῦ πνεύματος οἶδα τοὺς ἀπατῶντας ὑμᾶς. Ἀλλὰ τοῦτο μὲν, πρὸς τὸ μὴ σφόδρα πλῆξαι, ἐσιώπησεν. Εἰς ἀγάπης δὲ δεικτικὸν ῥῆμα, καὶ εἰς ἐγκώμιον αὐτῶν κατέληξεν. « Ὑμῶν τὴν τάξιν. » Οἷον τὴν εὐταξίαν. « Καὶ τὸ στερέωμα. » Οὐκ εἶπε πίστιν, ἀλλὰ στερέωμα πίστεως, τὸ βέβαιον καὶ σταθηρὸν δηλῶν. — [OIKOYMENIOY.] Τοῦτο δέ φησιν, ἅμα μὲν ἐγκωμιάζων, ἅμα δὲ αἰνιττόμενος ἐκείνην εἶναι κυρίως πίστιν, τὴν τὸ βέβαιον καὶ τὸ σταθηρὸν ἔχουσαν.

Ὡς οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν τὸν Κύριον, ἐν αὐτῷ περιπατεῖτε, ἐῤῥιζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ, καὶ βεβαιούμενοι ἐν τῇ πίστει, καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ. Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν, διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν, ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. Καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας.

Μηδὲν, φησίν, ἐπείσακτον ἀκούετε, ἀλλ' ὃ παρελάβετε κρατεῖτε. « Ἐν αὐτῷ περιπατεῖτε. » Καλῶς τὸ, Περιπατεῖτε, δηλονότι, Αὐτός ἐστιν ἡ ὁδὸς ἡ πρὸς τὸν Πατέρα ἄγουσα, καὶ οὐχ οἱ ἄγγελοι. « Ἐῤῥιζωμένοι. » Μὴ ποτὲ μὲν ἐν Χριστῷ, ποτὲ δὲ ἐν ἄλλῳ περιπατεῖτε. « Καὶ ἐποικοδομούμενοι,

Ne quis id quod dicitur existimet propter illorum dici segnitiem ac imbecillitatem, etiam Laodicenses addidit : et ne ipsos condemnasse videatur, causam quoque addidit certaminis ac timoris pro eis suscepti : quia nondum, ait, me vidistis. « Ut consolationem accipiant corda illorum. » Consequenter hoc ad dogma refert. Decerto, inquit, ut consolationem accipiant corda illorum qui uniti sunt ac persistunt in charitate. Contingit enim et alio modo videri stare : sed ait, in charitate : nam hoc est vere stare. « Cum cohæserint. » Hoc est, uniti fuerint. « Et in omnem opulentiam certe persuasionis intelligentiæ. » Ut abunde, inquit, certa fiat vestra persuasio per intelligentiam : sine qua nemo abunde certior fieri poterit in fide et cognitione mysterii. « Mysterii Dei et Patris. » Quod est autem mysterium Patris et Filii? Quod per Filium adducantur ad Patrem, et non per sanctos angelos. « In quo sunt omnes thesauri. » Si ergo sunt in ipso omnes thesauri sapientiæ, recte et nunc venit et olim non venit : nam id impii quidam criminantur. « Sapientiæ ac scientiæ. » In quo Christo sunt omnes thesauri : nihil ignorat ipse eorum quæ novit Pater. « Reconditi. » Ipse solus novit. Adverte quod hæc differentia sit in ordine ad creaturam, non ad sanctam ac beatam Trinitatem. « Hoc autem dico. » Hoc, inquit, dixi, ne quis vos decipiat per sermonis probabilitatem, tanquam aliquid sciret : Nullus, inquit, hominum quidquam novit, solius enim Dei est omnia scire. « Quanquam enim carne absens sim. » Consequens erat ut diceret : Quanquam enim carne absens sim, spiritu tamen novi eos qui vobis imponunt. **129** Verum hoc quidem, ne vehementius perstringeret, conticuit : sed in verbum terminavit dilectionis ostensivum et in laudem ipsorum. « Vestrum ordinem. » Bonum nempe ordinem. « Et soliditatem. » Non dixit Fidem, sed fidei soliditatem, significans firmitatem ac stabilitatem. — Hoc autem, ait, simul quidem collaudans, simul etiam innuens illam proprie esse fidem quæ stabilis est ac firmiter inhæret.

II, 6-10. *Quemadmodum igitur accepistis Christum Jesum Dominum, ita in eo ambulate, ut radices habeatis in illo fixas, et in eo superstruamini ac confirmemini per fidem, sicut edocti estis, exuberantes in ea cum gratiarum actione. Videte ne quis vos deprædetur per philosophiam et inanem deceptionem, juxta constitutionem hominum, juxta elementa mundi et non juxta Christum. Quoniam in illo inhabitat omnis plenitudo divinitatis corporaliter : et estis in illo completi qui est caput omnis principatus ac potestatis.*

Nihil, inquit, noviter introductum audiatis, sed quod accepistis servate. « In eo ambulate. » Recte ait, Ambulate : ac si diceret : Ipse est via quæ ducit ad Patrem et non angeli. « Ut radices habeatis in illo fixas. » Non nunc quidem in ipso, nunc vero in alio ambuletis. « Et in eo superstruamini. » Hoc

est, crescite super fundamentum Christi. « Ac confirmemini. » Nihil ambiguum sit neque vacillans. « Sicut edocti estis. » In fide quidem edocti estis : attamen oportet in dies in ipsa exuberare, ignitam accipiendo fidem. « Cum gratiarum actione. » Quod adeo longe distantes prope fecerit Deus. « Videte ne quis vos deprædetur. » Doctrina interdictum habet auditores exterrens. Deprædetur autem a fide occultis ac latentibus insidiis. « Per philosophiam et inanem deceptionem. » Quoniam philosophiæ nomen grave ac venerandum esse videtur, deceptionem adjunxit : inanem vero, ait, vanam aut quæ recentiora quædam ac dissona doceat. « Juxta elementa mundi. » Si figuram universi mundi in medium adducit, multo magis elementorum quæ in ipso sunt. « Et non juxta Christum. » Jam deinceps increpationem exorditur de dierum observatione. **130** Elementa autem mundi dicit solem et lunam, per quæ apud insipientes sunt dierum observationes, in aspectibus luce carentibus et in eclipsibus. Etiam si ex dimidia tantum parte, inquit, contingeret vos Christo ac elementis adhærere, ne ita quidem ferendum esset ; nunc vero omnino vos a Christo adducunt. « Quoniam in illo inhabitat. » Quomodo autem contingit et in carne substantialiter inhabitare Deum Verbum, et secundum personam ipsi uniti, ac ubique esse non in ipsa conclusum ? Tale quid factum esse intelligamus, quod etiam in luce accedit : omnis tamen imago omneque exemplum longe abest ab ipsa veritate. Quomodo enim fieri potest, ut sensibilia repræsentent divina ? Dicendum tamen est. Quemadmodum lux in initio ante cætera producta, cum corporea et immaterialis esset, in corpore tamen solari continebatur : attamen etiam cum in ipso est non prohibetur neque impeditur quin omnia illuminet. Ita et Deus Verbum, qui in principio carnem non habebat, incarnatus non prohibetur etiam carni uniri secundum personam, sicut in ipsa non concludatur, sed omnia impleat. Et ob id, ut opinor, ipse Dominus seipsum lucem appellat[7] : et Malachias Solem justitiæ ipsum appellavit[8]. Præterea et Psalmographus, qui ait : Cecidit ignis super eos et non viderunt solem[9]. — « Omnis plenitudo divinitatis. » Quidquid est, inquit, Deus Verbum, in ipso inhabitat. Ne tamen ipsum ex hoc esse conclusum intelligas : siquidem totus incarnatus est, et totus est cum Patre : cumque corpore circumscriptus sit, tamen divinitate manet incircumscriptus. « Corporaliter. » Hoc est, secundum substantiam et non solo habitu aut figura. Et eo modo, inquit, quo habitat anima in corpore, ita hæc habitavit in assumpto homine. Quomodo autem habitat anima in corpore ? Sane inconfuse, indivise. Quoniam enim dixerat : Inhabitat : ne existimes quod in eo sit operata, sicut et de prophetis dicitur (Inhabitat enim in ipsis Deus juxta

A τουτέστιν, αὔξοντες ἐν τῷ θεμελίῳ τοῦ Χριστοῦ. « Καὶ βεβαιούμενοι. » Μηδὲν, φησὶν, ἀμφίβολον, μηδὲ ἐν δισταγμῷ. « Καθὼς ἐδιδάχθητε. » Ἐδιδάχθητε μὲν τὴν πίστιν, δεῖ μέντοι καὶ περισσεύειν ἐν αὐτῇ ὁσημέραι, διάπυρον τὴν πίστιν κτωμένους. « Σὺν εὐχαριστίᾳ. » Ὅτι τοὺς οὕτω μακρὰν, ἐγγὺς πεποίηκεν ὁ Θεός. « Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν. » Διδασκαλία μετὰ παραγγελίας, ἐκφοβοῦσα τοὺς ἀκροατάς. Συλαγωγῶν δὲ, ἀπὸ τῆς πίστεως, φησὶν, ἀφανέσι καὶ λαθραίαις ἐπιβουλαῖς. « Διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης. » Ἐπειδὴ τὸ τῆς φιλοσοφίας ὄνομα σεμνὸν εἶναι δοκεῖ, τὴν ἀπάτην προσέζευξε. Κενὴν δέ φησι, τὴν ματαίαν, ἢ τὴν νεώτερά τινα καὶ ἀπάδοντα διδάσκουσαν. « Κατὰ τὰ στοιχεῖα τοῦ κόσμου. » Εἰ τὸ σχῆμα παντὸς τοῦ B κόσμου παράγει, πολλῷ μᾶλλον τῶν ἐν αὐτῷ στοιχείων. « Καὶ οὐ κατὰ Χριστόν. » Ἤδη λοιπὸν τοῦ ἐλέγχου ἄρχεται, τῆς τῶν ἡμερῶν παρατηρήσεως. Στοιχεῖα δέ φησι κόσμου, ἥλιον καὶ σελήνην, δι' ὧν τοῖς ἄφροσιν, αἱ τῶν ἡμερῶν παρατηρήσεις ἐν ταῖς ἀφωτίστοις φαύσεσι καὶ ἐκλείψεσιν. Εἰ καὶ ἐξ ἡμισείας, φησὶν, ἐνῆν καὶ τῷ Χριστῷ καὶ τοῖς στοιχείοις προσέχειν, καὶ οὕτως ἀφόρητον· νῦν δὲ, φησὶ, παντελῶς ὑμᾶς ἀπάγουσι τοῦ Χριστοῦ. « Ὅτι ἐν αὐτῷ κατοικεῖ. » Καὶ πῶς ἔνεστι καὶ ἐν τῇ σαρκὶ οὐσιωδῶς κατοικεῖν τὸν Θεὸν Λόγον καὶ καθ' ὑπόστασιν αὐτῇ ἡνῶσθαι, καὶ πανταχοῦ εἶναι μὴ περικλειόμενον ἐν αὐτῇ ; Τοιοῦτόν τι γεγενῆσθαι νοήσωμεν, ὅπερ καὶ ἐπὶ τοῦ φωτός. Ἐλαττοῦται δὲ πᾶσα C εἰκὼν καὶ ἅπαν παράδειγμα τῆς ἀληθείας. Πῶς γὰρ ἂν τὰ αἰσθητὰ, διασημανεῖ τὰ θεῖα; Πλὴν λεκτέον. Ὥσπερ τὸ πρωτόγονον φῶς ἐν ἀρχῇ, ἀσώματον καὶ ἄϋλον ὑπάρχον, ἐνεκρόθη τῷ ἡλιακῷ σώματι, καὶ γέγονε τρόπον τινὰ ἐνσώματον, πλὴν καὶ ἐν αὐτῷ ὑπάρχον, οὐ περιείργεται οὔτε κωλύεται καταφωτίζειν τὰ πάντα· οὕτως ὁ ἐν ἀρχῇ ἄσαρκος Θεὸς Λόγος, σαρκωθεὶς, οὐ κωλύεται καὶ σαρκὶ ἡνῶσθαι καθ' ὑπόστασιν, καὶ μὴ συγκεκλεῖσθαι ἐν αὐτῇ, ἀλλὰ τὰ πάντα πληροῖ. Καὶ διὰ τοῦτο, οἶμαι, αὐτός τε ἑαυτὸν ὁ Κύριος φῶς ὀνομάζει, καὶ ὁ Μαλαχίας αὐτὸν Ἥλιον κέκληκε δικαιοσύνης. Ἔτι δὲ καὶ ὁ Ψαλμῳδὸς, λέγων· « Ἔπεσε πῦρ ἐπ' αὐτοὺς, καὶ οὐκ εἶδον τὸν ἥλιον. » — « Πᾶν τὸ πλήρωμα τῆς θεότητος. » Εἴ τι ἐστὶ, φησὶν, ὁ Θεὸς D Λόγος, ἐν αὐτῷ κατοικεῖ. Ἀλλὰ μὴ νομίσῃς αὐτὸν ἐκ τούτου συγκεκλεῖσθαι· καὶ γὰρ ἐσαρκώθη ἅπας, καὶ μετὰ τοῦ Πατρός ἐστιν ἅπας, σώματι περίγραπτος ὤν, θεότητι δὲ ἀπερίγραπτος. « Σωματικῶς. » Τουτέστιν, οὐσιωδῶς, οὐ σχετικῶς. Καὶ ὡς ἂν οἰκήσῃ, φησὶν, ἐν σώματι ψυχὴ, οὕτως ἐνῴκησε τῷ προσληφθέντι ἀνθρώπῳ. Πῶς δὲ ἐνοικεῖ ψυχὴ σώματι ; Δηλονότι, ἀσυγχύτως, ἀδιαιρέτως. Ἐπειδὴ γὰρ εἶπε, Κατοικεῖ, ἵνα μὴ νομίσῃς ὅτι ἐνηργήθη ὡς καὶ οἱ προφῆται (ἐνῴκει γὰρ αὐτοῖς ὁ Θεὸς κατὰ τὸ, « Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω· ») προστίθησι τὸ, Σωματικῶς, τουτέστιν, οὐσιωδῶς, οὐ σχετικῶς, ὡς ἐν σώματι ψυχή. Οὕτως καὶ ὁ Κύριλ-

[7] Joan. VIII, 12. [8] Malach. IV, 2. [9] Psal LVII, 9.

λος. Ἀλλ' ἡ μὲν ψυχὴ καὶ χωρίζεται τοῦ σώματος ἐν τῷ θανάτῳ, ὁ δὲ Θεὸς Λόγος οὐκ ἔτι ἐκ τῆς ἀναληφθείσης καὶ οἰκείας αὐτοῦ καὶ ἰδίας γενομένης σαρκὸς, ἐμψυχωμένης δηλονότι ψυχῇ νοερᾷ. Ἢ σωματικῶς νόει, οἷον σεσαρκωμένως. Οὐ γὰρ οἰκήσας, φησὶ, πάλιν μετοικεῖ, ἀλλ' ἐσαρκώθη, μίαν λοιπὸν μετὰ τῆς ἰδίας σαρκὸς ὑπόστασιν ἔχων, κἂν ἐκ δύο συνέστη τῶν ἐναντίων. « Καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι. » Ἐπεὶ οὖν πλήρης, φησὶ, καὶ ἀπαράλειπτος ἡ ἐνανθρώπησις, προσήκει καὶ ὑμᾶς πλήρεις εἶναι ἐν αὐτῷ, καὶ μὴ ἐπιμερίζεσθαι πρὸς τὰ στοιχεῖα τοῦ κόσμου. « Ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας. » Κεφαλὴν ἐνταῦθα τὴν αἰτίαν λέγει. Πάσῃ γὰρ γενητῇ φύσει ἐπουρανίῳ καὶ ἐπιγείῳ, αἴτιος ὁ Χριστὸς ὡς Δημιουργὸς καὶ Ποιητὴς αὐτῶν. Χωρὶς γὰρ αὐτοῦ, φησὶν, ἐγένετο οὐδὲ ἓν ὃ γέγονε. Γεγόνασι δὲ αἱ οὐράνιαι δυνάμεις. « Ὁ ποιῶν γὰρ, φησὶ, τοὺς ἀγγέλους αὐτοῦ πνεύματα. » Ἆρα διὰ Χριστοῦ καὶ παρὰ Χριστοῦ γεγένηνται εὐδοκίᾳ Πατρὸς, καὶ συνεργίᾳ τοῦ παρακλήτου Πνεύματος.

A illud, « Inhabitabo *in* eis et inambulabo [10] » addit, Corporaliter, id est, substantialiter; non solo habitu aut figura, sicut anima in corpore. Ita habet et Cyrillus. Verum anima etiam a corpore separatur in morte, non autem posthac Deus verbum ab assumpta et familiari ac propria sibi effecta carne animata videlicet per animam rationalem. **131** Aut corporaliter, intellige incarnationis modo. Neque enim qui inhabitavit, inquit, rursum migrat, sed incarnatus est, unam deinceps cum sua carne habens hypostasim, quanquam ex duobus contrariis consistat. « Et estis in illo completi. » Quoniam igitur plena humanitatis assumptio facta est, et quæ jam dissolvi non possit : convenit ut et vos pleni sitis in ipso et non separemini ad elementa B mundi. « Qui est caput omnis principatus ac potestatis. » Caput hoc loco, dicit causam ac principium. Cuivis enim conditæ naturæ cœlesti ac terrenæ Christus causa est tanquam Creator ac Effector earum. Nam sine eo, inquit, factum est nihil quod factum est [11], Conditæ sunt autem cœlestes virtutes, ait enim. « Qui facit angelos suos spiritus [12]. » Itaque per Christum et a Christo factæ sunt beneplacito Patris et cooperatione paracleti Spiritus.

ΚΕΦΑΛ. Ζ'.

Ὅτι ἡ πρὸς Θεὸν συνάφεια καὶ τὰ τοῦ νόμου περιέχει πνευματικῶς, εἰς τὸ συζῆν Χριστῷ.

Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι. Ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ, τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν. Καὶ ὑμᾶς νεκροὺς ὄντας τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν, συνεζωοποίησεν ὑμᾶς σὺν αὐτῷ, χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα, ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν. Καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ. Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παῤῥησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ.

C

CAPUT VII.

Quod conjunctio ad Deum spiritualiter queque ea quæ legis sunt continet ad convivendum Christo.

II, 11-15. *Per quem et circumcisi estis circumcisione non manufacta, dum exuistis corpus peccatorum carnis, per circumcisionem Christi, consepulti simul cum illo per baptismum : in quo simul etiam cum illo resurrexistis per fidem operationis Dei, qui excitavit illum ex mortuis. Et vos, cum essetis mortui per delicta et per præputium carnis vestræ, simul cum illo vivificavit, condonans nobis omnia delicta, deleto quod adversus nos erat chirographo dogmatis, quod erat contrarium nobis, et illud sustulit e medio affixum cruci, exutisque principatibus ac potestatibus traduxit palam triumphans de illis per ipsam.*

« Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ. » Οὐ γὰρ χεὶρ ἀνθρώπου, ἀλλὰ Πνεῦμα ἅγιον ὑμᾶς περιέτεμε, φησὶν, ἐκ τῶν ἁμαρτιῶν ὑμῶν. « Ἐν τῇ ἀπεκδύσει. » Ποῦ δὲ ἐξεδύσασθε; Ἐν τῷ βαπτίσματι δηλονότι. « Τοῦ σώματος τῶν ἁμαρτιῶν. » Ἀλλαχοῦ φησι, Τοῦ παλαιοῦ ἀνθρώπου, τουτέστι, τοῦ ἐν ἁμαρτίαις βίου. « Ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ. » Χριστῷ γὰρ πιστεύσαντες, τὴν ἀχειροποίητον περιετμήθητε περιτομήν. Ὅρα δὲ, ποτὲ Πνεύματος, ποτὲ δὲ Χριστοῦ τὴν περιτομὴν λέγει. Ἓν γὰρ ἔργον καὶ μίαν ἐνέργειαν τῆς ἁγίας οἶδε Τριάδος. « Συνταφέντες αὐτῷ. » Τῆς γὰρ τοῦ Κυρίου ταφῆς τὴν εἰκόνα ἀναπληροῦμεν ἐν τῷ βαπτίσματι. Συνταφέντες οὖν, καὶ συνηγέρθητε, φησίν. « Ἐν ᾧ. » Δι' οὗ, φησὶ, καὶ ἀνηγέρθητε, καὶ συνηγέρθητε. Πιστεύσαντες γὰρ ὅτι ἐνεργεῖ καὶ ἰσχύει ὁ Θεὸς ἐγείρειν ἐκ νεκρῶν, ἐγέρθητε, φησὶ, καὶ ὑμεῖς. Καὶ

132 « Circumcisione non manufacta. » Non enim humana manus, inquit, sed Spiritus sanctus vos circumcidit a peccatis vestris. « Dum exuistis. » Ubi autem exuistis? In baptismate videlicet. « Corpus peccatorum. » Alibi ait, Veterem hominem, hoc est, vitam quæ est in peccatis. « In circumcisione Christi. » Cum enim Christo credidistis, circumcisi estis circumcisione non manufacta. Animadverte autem quod nunc quidem Spiritus, nunc vero Christi dicit circumcisionem. Scit enim unum esse opus et unam efficaciam sanctæ Trinitatis. « Consepulti simul cum illo. » Simulitudinem enim Dominici sepulchri explemus per baptismum Una igitur sepulti, simul etiam surrexistis, inquit. « In quo. » Per quem, ait, etiam resurrexistis et simul excitati estis. Credendo enim quod operetur et possit Deus excitare ex

D

[10] Levit. xxvi, 12. [11] Joan. i, 3. [12] Psal. ciii, 4.

mortuis, excitati, inquit, estis et vos. Potentia namque excitati sumus, quanquam nondum effectu et operatione. Jam autem rationes quæ de resurrectione erant dissolvit. « Et vos cum essetis, etc. » Circumcisio quod superfluum est tollit, tanquam præputium superfluum fuerit. Eratis igitur et vos, inquit, superflui, cum ea faceretis quæ non decerent. Quidquid est ergo præter decens, superfluum est. Cum itaque mortui essetis propter inefficaciam ab bonum, et propter præputia, circumcisi estis spiritualiter, et vivificavit vos. « Simul cum illo vivificavit. » Christum quidem ex sensibili morte, vos autem ex sensibili simul et ex intelligibili morte peccatorum. Ne vero admireris si Patrem dicit vivificasse Christum. Etenim alibi quoque dictum est quod seipsum susciterit [13]. Siquidem communia sunt Patris et Filii ac Spiritus opera. « Condonans nobis omnia delicta. » Quæ intellectualem faciebant mortificationem. « Delcto quod adversus nos erat chirographo. » Delevit quidem, hoc est, penitus e medio tulit. Chirographum vero dicit aut illam veluti propria manu et propria voce factam confessionem qua dixerunt ad Mosen : « Omnia quæcunque dixit Deus faciemus, et obedientes erimus [14]; » aut eam quæ Deo debetur obedientiam : aut præceptum illud præcepit Deus ipsi Adam : « Quacumque die comederis de ligno, morieris [15]. »

A γὰρ ἐγηγέρμεθα τῇ δυνάμει, εἰ καὶ μὴ τῇ ἐνεργείᾳ. Ἤδη δὲ τοὺς περὶ ἀναστάσεως κατεβάλλει λόγους. « Καὶ ὑμᾶς νεκροὺς ὄντας, » καὶ τὰ ἑξῆς. Ἡ περιτομὴ τὸ περιττὸν περιαιρεῖ, ὡς τῆς ἀκροβυστίας τὸ περιττὸν ἐχούσης. Περιττοὶ οὖν, φησὶν, ἦτε καὶ ὑμεῖς, τὰ μὴ καθήκοντα ποιοῦντες. Πᾶν γὰρ τὸ ἔξω τοῦ πρέποντος, περιττόν ἐστιν. Ὄντας οὖν νεκροὺς ταῖς ἁμαρτίαις διὰ τὴν πρὸς τὸ καλὸν ἀνενεργησίαν καὶ ἀκροβύστους, περιέτεμέ τε νοητῶς, καὶ ἐζωοποίησεν. « Συνεζωοποίησεν ὑμᾶς σὺν αὐτῷ. » Τὸν μὲν Χριστὸν, ἐκ τοῦ αἰσθητοῦ θανάτου, ὑμᾶς δὲ ἐκ τοῦ αἰσθητοῦ καὶ τοῦ νοητοῦ τοῦ τῶν ἁμαρτιῶν. Μὴ θαύμαζε δὲ, εἰ τὸν Πατέρα λέγει ἐζωοποιηκέναι τὸν Χριστόν. Καὶ γὰρ καὶ ἀλλαχοῦ B εἴρηται, ὅτι ἑαυτὸν ἤγειρε. Κοινὰ γὰρ Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος τὰ γινόμενα. « Χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα. » Τὰ τὴν νοητὴν ποιοῦντα νεκρότητα. « Ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον. » Ἐξαλείψας μὲν οἱονεὶ τελείως ἀφανίσας. Χειρόγραφον δὲ λέγει, ἢ ἐκείνην λέγει τὴν οἷον ἰδιόχειρον ἢ ἰδιόφωνον ὁμολογίαν, ἣν ἔλεγον πρὸς Μωϋσῆν, ὅτι « Πάντα ὅσα εἶπεν ὁ Θεὸς, ποιήσομεν καὶ ἀκουσόμεθα, » ἢ τὴν ὀφειλομένην τῷ Θεῷ ὑπακοὴν, ἢ ἐκείνην τὴν ἐντολὴν, ἣν ἐνετείλατο ὁ Θεὸς τῷ Ἀδὰμ, « Ἧ δ' ἂν ἡμέρᾳ φάγῃς ἀπὸ τοῦ ξύλου, ἀποθάνῃς. »

133 Ex incarnatione igitur solutum hoc chirographum. Dominus enim susceptis nostris delictis et tanquam propriis sibi factis, pœnas quoque pro eis dedit quæ nobis debebantur, relictis nobis liberis, cum hostile nobis esset et adversum nos debiti chirographum. Etenim cum transgressi fuissemus quod confessi eramus, obnoxii eramus chirographo. « Dogmatis. » Hoc est, fide in ipsum. Satis enim est, inquit, solum credere. Et baptismate deletur chirographum. « Dogmatis. » Id est, per dogmata pietatis. « Quod erat contrarium nobis. » Sermo hic intensionem ac confirmationem veniæ continet. Condonavit, inquit, at metus est ne pœnitudine ductus repetat : sed etiam delevit. Atqui hoc ipsum, inquit, quod omnino alibi situm sit, quanquam deletum, timorem nobis incutit. Verum illud etiam sustulit e medio, non sinens in ulla esse regione, atque discidit. Nam hoc significat quod sequitur, Affigere ipsum cruci. « Exutis principiis. » Multas adversus nos ansas malignus ille habebat, quibus imperium in nos habere quidem cœperat a transgressione Adam, a nobis autem augmentatum erat. Has exuit Unigenitus factus homo, et liberavit nos hujusmodi vinculis. Constricti enim catenis peccatorum nostrorum serviebamus illi. Itaque remissis etiam nobis peccatis, vincula quoque remisit, et illius solvit tyrannidem. « Traduxit palam. » Siquidem diabolus nunquam ita pudefactus ac victus fuit. Etenim cum

Ἐκ τῆς ἐνανθρωπήσεως οὖν λέλυται τοῦτο τὸ χειρόγραφον. Τὰς γὰρ ἁμαρτίας ἡμῶν ἀναλαβὼν ὁ C Κύριος καὶ οἰκειοποιησάμενος, τὴν ἡμῖν ὀφειλομένην δίκην αὐτὸς ἔδωκεν ὑπὲρ αὐτῶν, ἡμᾶς ἐλευθέρους ἀφεὶς, τοῦ ὑπεναντίου ἡμῖν καὶ καθ' ἡμῶν ὄντος τῆς ὀφειλῆς χειρογράφου. Καὶ γὰρ παραβάντες τὰ προσομολογηθέντα, ἔνοχοι ἦμεν τῷ χειρογράφῳ. « Τοῖς δόγμασιν. » Οἷον, τῇ εἰς αὐτὸν πίστει. Ἀρκεῖ γὰρ, φησὶ, πιστεῦσαι μόνον. Καὶ τῷ βαπτίσματι ἐξαλείφεται τὸ χειρόγραφον. « Τοῖς δόγμασιν, » οἷον διὰ τῶν τῆς εὐσεβείας δογμάτων. « Ὃ ἦν ὑπεναντίον ἡμῖν. » Ἐπίτασιν καὶ βεβαίωσιν συγχωρήσεως ὁ λόγος ἔχει. Ἐχαρίσατο, φησὶν, ἀλλὰ δέος μὴ ἐκ μεταμελείας ἀπαιτήσῃ, ἀλλὰ καὶ ἐξήλειψεν. Ἀλλ' αὐτὸ τοῦτο, φησὶ, τὸ ὅλως κεῖσθαι εἰ καὶ ἐξαλειφθὲν, φόβον ἡμῖν ἐμποιεῖ. Ἀλλὰ καὶ ἦρκεν D αὐτὸ ἐκ τοῦ μέσου, μὴ ἀφεὶς ἐπὶ χώρας, καὶ ἔσχισεν αὐτό. Τοῦτο γὰρ δηλοῖ τὸ, Προσηλῶσαι αὐτὸ τῷ σταυρῷ. « Ἀπεκδυσάμενος τὰς ἀρχάς. » Πολλὰς εἶχε καθ' ἡμῶν λαβὰς ὁ πονηρὸς, δι' ὧν ἡμῶν ἐβασίλευεν ἀρξάμενος μὲν ἀπὸ τῆς παραβάσεως Ἀδὰμ, παρ' ἡμῶν δὲ ἐπαυξηθείσης. Ταύτας ἐξεδύσατο ὁ Μονογενὴς γενόμενος ἄνθρωπος, καὶ ἠλευθέρωσεν ἡμᾶς τῶν τοιούτων δεσμῶν. Ἐσφιγμένοι γὰρ ταῖς σειραῖς τῶν ἡμετέρων ἁμαρτιῶν ἐδουλεύομεν ἐκείνῳ. Ἀφεὶς μὲν γὰρ καὶ ἡμῖν ταύτας, καὶ τῶν δεσμῶν ἀφῆκε, καὶ τῆς ἐκείνου τυραννίδος. « Ἐδειγμάτισεν ἐν παῤῥησίᾳ. » Οὐδέποτε γὰρ οὕτως κατῃσχύνθη καὶ ἡττήθη ὁ διάβολος. Καὶ γὰρ ἔχειν αὐτὸν

[13] Joan. II, 19. [14] Exod. XXIV, 3. [15] Gen. II, 17.

ὑπονοήσας, καὶ οὓς εἶχεν ἀπώλεσε. Θριαμβεύσας A ipsum quoque se habiturum sperarit, eos etiam
αὐτοὺς ἐν αὐτῷ. *Θρίαμβος* λέγεται, ἡ κατὰ τῶν perdidit quos habebat. Triumphans de illis per
ἡττωμένων πομπὴ καὶ πανήγυρις. Ἐθριάμβευσεν ipsam. Τρίαμβος (quod nos triumphum vertimus)
οὖν αὐτὸν διὰ τοῦ σταυροῦ, τουτέστιν, ἐνίκησε καὶ dicitur pompa ac conventus publicus adversus de-
κατ' αὐτοῦ θρίαμβον νοητὸν ἐπετέλεσεν. Οὐδὲν γὰρ victos. Triumphavit igitur de illo per crucem, hoc
οὕτως ἐνίκησε τὸν διάβολον, ὡς τὸ καὶ σταυρωθῆναι est, devicit et spiritualem triumphum adversus
τὸν Κύριον, καὶ παῤῥησίᾳ τοῦτο παθεῖν καὶ φανε- eum celebravit. Nihil enim adeo devicit ac pudefe-
ρῶς. Πάντα γὰρ ἂν ἐποίησεν ὁ διάβολος, πεῖσαι cit diabolum, sicut crucifixum esse Dominum, et
θέλων ὅτι οὐκ ἀπέθανεν, εἰ μὴ τὸ σαφὲς αὐτῷ palam ac manifeste hoc passum fuisse. Omnia
ἐναντιοῦτο. Εἰ γὰρ μὴ ἀπέθανεν, οὐκ ἂν ἀνέστη. namque fecisset diabolus persuadere volens ne oc-
Εἰ μὴ ἀνέστη, οὐκ ἂν ἀνελήφθη. Εἰ μὴ ταῦτα, cideretur nisi manifeste ei repugnatum fuisset.
οὐκοῦν οὐ Θεός. Ὁρᾷς ὅτι τοῦ θανάτου πάντα ἤρ- Nisi enim mortuus fuisset, non resurrexisset:
τηται; quod si non resurrexisset, nequaquam assumptus
fuisset. Si hæc acta non fuissent, utique Deus non fuisset habitus. Vides quod a morte omnia depen-
debant.

ΚΕΦΑΛ. Η'. B CAPUT VIII.

Ὅτι οἱ τοῦ σαρκικοῦ νόμου τύποι, σαρκικοῖς χρήσιμοι, οὐ πνευματικοῖς τοῖς ἐν δυνάμει Χριστοῦ ζῶσιν.

Quod legis carnalis typi carnalibus in pretio habentur, non spiritualibus qui per virtutem Christi vivunt.

134 *Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς, ἢ νουμηνίας, ἢ Σαββάτων, ἃ ἐστι σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα τοῦ Χριστοῦ. Μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ, καὶ οὐ κρατῶν τὴν κεφαλήν, ἐξ οὗ πᾶν τὸ σῶμα, διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ.*

134 II, 16-19. *Ne quis igitur vos judicet in cibo aut potu, aut in parte diei festi, aut novi lunii, aut Sabbatorum, quæ sunt umbra futurorum, corpus autem Christi. Ne quis vobis palmam intervertat data opera per animi humilitatem et superstitionem angelorum, in iis quæ non vidit fastuosus incedens, frustra inflatus a mente carnis suæ, nec obtinens caput, ex quo totum corpus per commissuras et compagines subministratum et compactum augescit augmento Dei.*

« Μὴ οὖν τις ὑμᾶς κρινέτω. » Οἷον, κατακρινέτω C « Ne quis igitur vos judicet. » Hoc est, con-
ὡς κακῶς ποιοῦντας, ἐν τῷ μὴ φυλάττειν μέρη demmet tanquam malefacientes ex eo quod non
ἑορτῶν, ἢ νουμηνιῶν, ἢ βρῶμα ἢ πόμα. Καὶ γὰρ observetis partes festorum aut noviluniorum, aut
τὰ μὲν ἐφύλαττον ὡς Ἰουδαΐζοντες, τὰ δὲ οὐκ cibum aut potum. Etenim partim quidem observa-
ἐφύλαττον ὡς Χριστιανίζοντες. Διὰ τοῦτο, φησὶν, bant tanquam Judaizantes : partim vero non ob-
« Ἐν μέρει ἑορτῆς τῆσδε, » ἢ ἐν μέρει τῶνδε. « Ἃ servabant tanquam Christianorum more viventes;
ἐστι σκιὰ τῶν μελλόντων. » Μέλλουσάν φησιν τὴν propterea ait : « In parte diei festi : » unus vi-
καινὴν διαθήκην, οὐκ ἐπειδὴ οὔπω ἦν πολιτευομένη, delicet, aut in parte horum omnium. « Quæ sunt
(ἦν γὰρ,) ἀλλ' ὡς πρὸς τοὺς τύπους τούτους καὶ umbra futurorum. » Futurum dicit novum
τὰς σκιάς, μέλλουσα ἦν. « Τὸ δὲ σῶμα τοῦ Χριστοῦ. » testamentum, non quod nondum sub eo de-
Οἱ μὲν οὕτως στίζουσι· Τὸ δὲ σῶμα τοῦ Χριστοῦ, gerent, jam enim sub eo degebant : sed quod
τουτέστιν, ἡ ἀλήθεια ἐπὶ Χριστοῦ γέγονεν. Οἱ δὲ « in ordine ad has figuras et umbras futu-
τὸ, Σῶμα τοῦ Χριστοῦ, *Μηδεὶς ὑμᾶς καταβραβευέτω. Καταβραβευθῆναι* δέ ἐστιν, ὅταν παρ' rum erat. « Corpus autem Christi. » Alii qui-
ἑτέρῳ μὲν ἡ νίκη, παρ' ἑτέρῳ δὲ τὸ βραβεῖον. — dem ita distinguunt : Corpus vero Christi, id est,
[ΦΩΤ.] Διττῶς ἐγχωρεῖ στίζεσθαι, καὶ ἐν τῷ, σῶμα, veritas in Christo facta est. Alii vero, Corpus
ὑποστίζοντας, καὶ ἐν τῷ, Χριστοῦ. « Μηδεὶς ὑμᾶς D Christi jungunt sequentibus, nempe μηδεὶς ὑμᾶς
καταβραβευέτω. » Μηδεὶς ὑμᾶς καταχρινέτω, τὸ καταβραβευέτω. Est autem καταβραβευθῆναι
σῶμα Χριστοῦ δεχομένους. Τοῦτο γὰρ ὑπακουστέον. (quod palmam intervertere diximus) quando
Θέλων τοῦτο ποιεῖν, φησὶν, ἐν ταπεινοφροσύνῃ, apud alterum quidem est victoria, apud alterum
μᾶλλον δὲ ἐν θρησκείᾳ τῶν ἀγγέλων. vero bravium. Dupliciter poni potest distinctio :
aut post *Corpus*, aut post *Christi*. « Ne quis vobis
palmam intervertat. « Nemo vos condemnet qui Christi corpus suscipitis : hoc enim subaudiendum est.
Volens, inquit, hoc facere per animi humilitatem, **135** magis autem per superstitionem angelorum.
« Ἃ μὴ ἑώρακεν ἐμβατεύων. » Τί ἐστι τοῦτο; « In iis quæ non vidit fastuosus incedens. »
Ἦσάν τινες παρ' αὐτοῖς, οἵτινες ἐν ὑποκρίσει ταπει- Quidnam est hoc? Erant nonnulli apud ipsos qui
νοφροσύνης ἐκώλυον αὐτοὺς τῇ ὥρᾳ προσιέναι in simulatione modesti animi prohibebant ipsos
τοῦ Χριστοῦ, ὡς οὐκ ἀξίους τῶν τηλικούτων, καὶ per Christum accedere, quasi tantis digni non es-
ὅτι ἀγγέλους παρακλητέον προσάγειν ἡμᾶς τῷ Θεῷ, sent : et quod angeli obsecrandi essent ut nos ad
ὡς καὶ αὐτῶν πρότερον τὴν κοινὴν προσαγωγὴν Deum adducerent, veluti qui etiam primi commu-
ποιησαμένων, μεῖζον ἢ καθ' ἡμᾶς λέγοντες τὸ διὰ ni accessu sive adductione facti sint : majus esse

dicentes quam quod ad nos pertineat per Christum adduci : ex hoc inducentes superstitiosum angelorum cultum : quos nunquam, inquit, viderunt. — « Palmam intervertat. » Καταβραβεύετω. Βραβευτάς vocant judices eorum, qui gymnicis in ludis decertant : nam hi vincentibus victoriæ suffragium præbent. Καταβραβεύειν vero est injuste præmium designare. Quoniam ergo et hi qui legales observationes Evangelio permiscebant a melioribus ad deteriora ipsos transferebant, merito ait : Ne quis vobis palmam intervertat. « Frustra inflatus. » Qui enim superbit quasi magni aliquid concipiens superstitiosum angelorum cultum, frustra inflatur a carnali cogitatione, invisibilibus sese ingerens. « Nec obtinens caput. » Caput enim et hominum et angelorum Christus est, tanquam Factor et Creator. « Ex quo. » Christo totum Ecclesiæ corpus. Deinde consequenter ubi corpus dixit, quæ propria sunt corporis dicit. Totum igitur Ecclesiæ corpus per commissuras et conglutinationes sive conjunctiones : nam id est quod vocat compagines, subministratum a Christo, per omnem ipsius gratiam : et compactum, id est moderatum, et in pace constitutum ad sese et ad Christum: augescit augmentum secundum Deum. Quod est autem augmentum secundum Deum? non corporaliter crescere, sed bona moderatione ac vitæ regimine.

A Χριστοῦ προσάγεσθαι, ἐκ τούτου εἰσάγοντες τὴν τῶν ἀγγέλων θρησκείαν, οὓς, φησὶν, οὐδὲ ἑωράκασι πώποτε. — [ΘΕΟΔΩΡ.] « Καταβραβευέτω. » *Βραβευτὰς* καλοῦσι τοὺς τῶν ἀγωνιζομένων κριτάς. Οὗτοι γὰρ τοῖς νικῶσι τῆς νίκης τὴν ψῆφον ὀρέγουσι. *Καταβραβεύειν* δέ ἐστι τὸ ἀδίκως βραβεύειν. Ἐπειδὴ τοίνυν καὶ οἱ τὰς νομικὰς παρατηρήσεις τῷ Εὐαγγελίῳ παραμιγνύντες, ἀπὸ τῶν κρειττόνων αὐτοὺς ἐπὶ τὰ ἐλάττω μετέφερον, εἰκότως ἔφη. Μηδεὶς ὑμᾶς καταβραβευέτω. « Εἰκῇ φυσιούμενος. » Ὁ γὰρ μέγα φρονῶν ὡς τις ἐπινοήσας μέγα τὴν τῶν ἀγγέλων θρησκείαν, εἰκῇ φυσιοῦται ὑπὸ σαρκικοῦ λογισμοῦ, τοῖς ἀοράτοις ἐπιχειρῶν. « Καὶ οὐ κρατῶν τὴν κεφαλήν. » Κεφαλὴ γὰρ καὶ ἀγγέλων καὶ ἀνθρώπων ὁ Χριστὸς, ὡς Ποιητὴς καὶ Δημιουργός. « Ἐξ οὗ, » φησὶ, Χριστοῦ, πᾶν τὸ τῆς Ἐκκλησίας σῶμα. Εἶτα λοιπὸν σῶμα εἰπὼν, τὰ οἰκεῖα σώματος λέγει. Πᾶν οὖν, φησὶ, τὸ σῶμα τῆς Ἐκκλησίας διὰ τῶν ἁπαφῶν καὶ προσεγγίσεων, ἤγουν συζεύξεων, (τοῦτο γὰρ τὸ, συνδέσμων,) τοῦ Χριστοῦ ἐπιχορηγούμενον, διὰ πάσης αὐτοῦ χάριτος, καὶ συμβιβαζόμενον, οἷον καταπραϋνόμενον καὶ εἰρηνευόμενον, πρός τε ἑαυτὸ καὶ πρὸς τὸν Χριστὸν, αὔξει τὴν κατὰ Θεὸν αὔξησιν. Ποία δὲ ἡ κατὰ Θεὸν αὔξησις; Οὐ σωματικῶς αὔξειν, ἀλλὰ τῇ πολιτείᾳ.

B

II, 20-23. *Itaque si mortui estis cum Christo ab elementis mundi, quid quasi viventes in mundo decretis tenemini? Ne tetigeris, ne gustaveris, neque contrectaris, quæ omnia ipso corrumpuntur ab usu iuxta præcepta et doctrinas hominum : quæ verbo tenus quidam speciem habent sapientiæ per superstitionem et animi humilitatem ac læsionem corporis, non in honore aliquo ad expletionem carnis :* III, 1-4. **136** *Si igitur resurrexistis una cum Christo, superna quærite, ubi Christus est ad dexteram Dei sedens. Superna curate, non terrestria : siquidem emortui estis, et vita vestra abscondita est cum Christo in Deo.*

Εἰ οὖν ἀπεθάνετε σὺν Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε; Μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς ἃ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων, ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας, ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός. Εἰ οὖν συνηγέρθητε Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. Τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς. Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ.

C

« Itaque si mortui estis. » Siquidem per baptisma mortui estis cum Christo, ut fiat amputatio et quasi divisio prioris vitæ quæ in errore erat, et novam vitam incipiatis quæ in virtute est. Nam quod reliquum est, inquit, mortui estis a peccaminosis actionibus et ab his utilitas nullaque horum observantia. « Quid quasi viventes in mundo? » Quare veluti rursum in ipsis viventes decretis tenemini? Ilic, aiunt, aptus dies est, et aliquid efficiet, iste vero ineptus. Tacite vero etiam innuit quod ab aliis illuderentur. Neque enim, ait, Dogmata sive decreta traditis, sed, Illa traduntur vobis et eis astringimini, tanquam discipulorum ordine constituti, et quibus lex præscribitur quid facere oporteat. « Ne tetigeris, ne gustaris. » Aliam quoque dicit ipsorum observationem quæ circa cibos erat, Judaica magis : sicut dierum observatio Græcorum erat. « Quæ omnia corrumpuntur. »

« Εἰ οὖν ἀπεθάνετε. » Σὺν Χριστῷ γὰρ διὰ τοῦ βαπτίσματος ἀπεθάνετε, ἵνα διακοπὴ καὶ οἷον στάσις τῆς προτέρας ζωῆς τῆς ἐν πλάνῃ γένηται, καὶ καινῆς ἄρξησθε ζωῆς, τῆς ἐν ἀρετῇ. Μετὰ γὰρ, φησὶν, τῶν λοιπῶν ἁμαρτωλῶν πράξεων, καὶ ἀπὸ τῶν στοιχείων ἀπεθάνετε, ὡς λοιπὸν ἀνενεργήτως ἔχειν πρὸς αὐτὰ καὶ ἀπαραφυλάκτως. « Τί ὡς ζῶντες ἐν κόσμῳ; » Διατί, φησὶν, ὡς πάλιν ζῶντες ἐν αὐτοῖς δογματίζεσθε; Ἥδε, φησὶν, ἐπιτήδειος ἡ ἡμέρα καὶ ἐργάσῃ τι, καὶ ἥδε ἀνεπιτήδειος. Ἡρέμα δὲ καὶ αἰνίττεται ὅτι χλευάζονται παρ' ἑτέρων. Οὐ γὰρ εἶπε, Δογματίζετε, ἀλλὰ, Δογματίζεσθε, ὡς ἐν τάξει μαθητῶν καθημένων, καὶ τί δέοι ποιεῖν νομοθετουμένων. « Μὴ ἅψῃ μηδὲ γεύσῃ. » Λέγει αὐτῶν καὶ ἄλλην παρατήρησιν, τὴν τῶν βρωμάτων, Ἰουδαϊκὴν μᾶλλον, ὥσπερ ἐστὶν ἡ τῶν ἡμερῶν Ἑλληνική. « Ἃ ἐστι πάντα εἰς φθοράν. » Φθορᾷ γὰρ, φησὶν, ὑπόκειται ἐν τῷ ἀφεδρῶνι.

D

« Κατὰ τὰ ἐντάλματα. » Οὐκ ἔστι, φησὶ, θεῖος ὁ περὶ τούτων νόμος. Διδασκαλίαι εἰσὶν ἀνθρώπων καὶ ἐντολαί. Λέγει δὲ ἢ περὶ ὧν οἱ παρὰ Ἰουδαίοις πρεσβύτεροι ἐνετέλλοντο ἔξωθεν ὄντων τοῦ νόμου, ἢ παραγγελίας ἑλληνικάς. « Λόγον μὲν ἔχοντα. » Λόγον ἔχει σοφίας, οὐ πράγματα, μᾶλλον δὲ πιθανολογίας λόγον ψιλόν. « Ἐν ἐθελοθρησκείᾳ. » Ὑποκρινομένων, φησὶν, εὐλάβειαν ἐν τῇ θρησκείᾳ καὶ ταπεινοφροσύνην τινὰ, καὶ σώματος καταφρόνησιν. « Οὐκ ἐν τιμῇ τινι. » Ὁ γὰρ Θεὸς τιμήσας τὸν ἄνθρωπον, καὶ χερσὶ διέπλασε, καὶ τὰς τροφὰς ἐχαρίσατο. Οὗτοι δὲ οὐ κέχρηνται ὡς τιμῇ, δοθεῖσι τοῖς βρώμασι πρὸς τροφὴν τῆς σαρκὸς, ἀλλ' ὡς φευκτοῖς καὶ βλαβεροῖς. « Εἰ οὖν συνηγέρθητε. » Τὸ γὰρ βάπτισμα, καὶ θανάτου καὶ ἐγέρσεως τύπον ἔχει, ὡσεὶ εἶπεν· Εἰ ἐπιστεύσατε Χριστῷ, καὶ πιστεύσαντες ἐβαπτίσθητε, τὰ ἄνω ζητεῖτε, τὰ ἐν οὐρανοῖς. Ταῦτα γὰρ γήϊνά ἐστι τὰ δόγματα καὶ πτωχά. « Οὗ ὁ Χριστός ἐστι. » Πλέον ἡμῶν ἀνήγαγε τὸν νοῦν. Μὴ μόνον ἀρκεσθεὶς τῷ εἰπεῖν, Τὰ ἄνω, ἀλλὰ καὶ, Οὗ ὁ Χριστὸς ἐν δεξιᾷ τοῦ Πατρὸς καθήμενος. « Μὴ τὰ ἐπὶ τῆς γῆς. » Εἴρηται γὰρ ὅτι τὰ τοιουτότροπα δόγματα, ἀνθρώπων εἰσὶν ἐπίνοιαι καὶ ἐντολαί. Τὰ δὲ τοιαῦτα, γήϊνα ὁμολογουμένως ἐστὶν, ἐπεὶ καὶ γήϊνοι οἱ εὑρόντες ἄνθρωποι ταῦτα. « Καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται. » Τῶν γὰρ ἀληθῶς Χριστιανῶν ζωὴ ἐστὶν ἡ μέλλουσα. Ἡ μέντοι παροῦσα, εἰκόνα μᾶλλον θανάτου ἢ ζωῆς ἔχει, ὅταν τέως μελέτην θανάτου ποιῆται τὴν ζωήν. Τοῦτο γὰρ φιλοσοφίας ὅρος.

A Nam corruptioni, inquit, sunt obnoxia in stomacho et secessu. « Juxta præcepta. » Non est, ait, de his divina lex. Doctrinæ ac præceptiones sunt hominum. Loquitur autem vel de his quæ seniores apud Judæos extra legem præcipiebant : aut de Græcorum præceptionibus. « Quæ verbo tenus quidem speciem habent. » Speciem habent sapientiæ, non rem, magis autem tenuem persuasionis rationem. « Per superstitionem. » Pietatem, inquit, et quamdam animi humilitatem, corporisque contemptum per superstitiosum cultum simulant. « Non in honore aliquo. » Deus enim honorando hominem, suis formavit manibus, et cibos largitus est : hi vero non utuntur tanquam munere cibis datis ad alimentum carnis, sed tanquam fugiendis ac B nocivis. « Si igitur resurrexistis. » Baptisma enim et mortis et resurrectionis typum habet : ac si diceret : Si credidistis Christo, et credentes baptizati estis, superna quærite, id est, quæ in cœlis sunt. Hæc enim terrena ac egena sunt dogmata. « Ubi Christus est. » Magis nostram extulit mentem, non contentus dixisse : Superna ; **137** sed etiam, Ubi Christus est ad dexteram Patris sedens. « Non terrena. » Dictum est enim quod hujusmodi dogmata, hominum inventa sint ac præceptiones. Talia vero esse terrena in confesso est : quoniam et terreni sunt homines qui hæc invenerunt. « Et vita vestra abscondita est. » Eorum namque qui vere Christiani sunt, est futura vita ; præsens namque potius mortis habet imaginem quam vitæ, quando interim C mortis meditatio facit vitam. Nam id philosophiæ finis ac terminus est.

ΚΕΦΑΛ. Θ'.

Παραίνεσις καθάρσεως, ἁγιασμοῦ, φιλανθρωπίας, φιλοθεότητος, φιλομαθείας, ψαλμῳδίας, εὐχρήμου εἰς Θεὸν διαγωγῆς, εὐχαριστίας.

Ὅταν ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν ἥτις ἐστὶν εἰδωλολατρεία δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς.

« Ὅταν ὁ Χριστὸς φανερωθῇ. » Φανεροῦται δὲ πᾶσιν ἐν τῇ δευτέρᾳ παρουσίᾳ, ὅταν ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τοῖς μὲν, ζωὴν, τοῖς δὲ θάνατον νοητόν. « Σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. » Νῦν γὰρ τὰ ἑκάστου κέκρυπται ἔργα. Τότε δὲ φανεροῦται, τῶν μὲν ἐν δόξῃ, τῶν δὲ ἐν αἰσχύνῃ. « Νεκρώσατε οὖν. » Πῶς οὖν ἄνω εἶπας, νεκροὺς ὄντας ἐζωοποίησε καὶ συνεζωοποίησε τῷ Χριστῷ, εἰ πάλιν νεκρῶσαι χρεία; Καί φαμεν, ὅτι τὴν μὲν πρώτην νέκρωσιν ἐζωοποίησεν ἀφεὶς ἐν τῷ βαπτίσματι τὰς ἁμαρτίας ἡμῖν, ἀλλὰ δεῖ ἡμῖν ἑτέρας νεκρώσεως, οὐχ ἵνα ἑαυτοὺς ταῖς ἁμαρτίαις νεκρώσωμεν, ἀλλ' ἵνα τὰ πάθη πρὸς τὸ μὴ ἐνεργεῖν εἰς ἡμᾶς. « Τὰ μέλη ὑμῶν. » Τουτέστι, τα γήϊνα τοῦ σώματος καὶ τῶν

CAPUT IX.

Exhortatio ad purgationem, sanctificationem, benignitatem, pietatem, discendi amorem, cantum psalmorum, laudabilem secundum Deum conversationem, et gratiarum actionem.

III, 4-7. *Cumque manifestatus fuerit Christus vita nostra, tunc et vos cum ipso manifestabimini in gloria. Mortificate igitur membra vestra terrestria : stuprum, immunditiam, morbum, concupiscentiam malam, et avaritiam quæ est idololatria : ob quæ venire solet ira Dei in filios contumaces, inter quos ambulabatis quondam, cum viveretis in illis.*

D

«Cumque manifestatus fuerit Christus. » Manifestabitur omnibus secundo suo adventu, cum reddiderit unicuique juxta opera sua, his quidem vitam, illis autem mortem spiritualem. « Cum ipso manifestabimini in gloria. » Nunc cujusque, Occulta sunt opera, tunc autem manifestabuntur : horum quidem in gloria, illorum vero in ignominia. « Mortificate igitur. » Quomodo ergo superius dixisti : Cum mortui essetis, vivificavit vos, et una cum Christo vitæ restituit, si rursum necesse est mortificare ? Et dicimus, quod a prima quidem mortificatione vivificavit remissis in baptismate peccatis nostris : **138** sed opus est nobis alia mortificatione, non ut nos ipsos per peccata morti-

ficemus, sed affectus, ne vim exerant adversus nos. A : Membra vestra. » Hoc est, terrenos corporis ac membrorum sensus et fastus. « Stuprum. » Quod naturaliter, et quasi ex ipso corpore maxime molestum est, præposuit. Deinde pudore repressus, ne singulas impietates nominatim retexeret, ait : Immunditiam. « In filios contumaces. » Nam υἱοὺς ἀπειθείας filios incredulitatis vel inobedientiæ dixit periphrastice, pro eo quod est filios impersuasibiles vel non obtemperantes Dei legibus. — « Ambulabatis quondam. » Cum laude est hic sermo quasi nunc non vivant in illis : et adeo propter solum commendationem « t encomium hoc dixit, quoniam in progressu jubet ipsa deponi, nullus autem deponit quod non habet.

μελῶν φρονήματα. « Πορνείαν. » Τὸ μάλιστα παρενοχλοῦν φυσικῶς, ὥσπερ τῷ σώματι προτέθεικεν. Εἶτα ἐπεξελθεῖν ταῖς ἀσεβείαις ὀνομαστὶ ἐρυθριάσας, φησὶν, ἀκαθαρσίαν. « Ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. » Υἱοὺς ἀπειθείας, περιφραστικῶς τοὺς ἀπειθοῦντας τοῖς τοῦ Θεοῦ νόμοις λέγει. — « Περιεπατήσατέ ποτε. » [ΒΑΣΙΛ.] Μετ' ἐγκωμίου ὁ λόγος, ὡς νῦν οὐ ζώντων ἐν αὐτοῖς. Καὶ οὕτως διὰ μόνον ἐγκώμιον εἶπεν, ἐπειδὴ παρακατιὼν ἀποθέσθαι αὐτὰ ἐπιτάσσει. Οὐδεὶς δὲ, ὃ οὐκ ἔχει ἀποτίθεται.

III, 8-11. *Nunc autem deponite et vos omnia : iram, indignationem, malitiam, maledicentiam, turpiloquentiam ab ore vestro. Ne mentiamini alius adversus alium : qui exuistis veterem hominem cum factis suis, et induistis novum qui renovatur ad agnitionem juxta imaginem ejus qui condidit illum : ubi non est Græcus et Judæus, circumcisio et præputium, Barbarus, Scytha, servus, liber : sed omnia et in omnibus Christus.*

Nunc δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργὴν, θυμὸν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ B *τοῦ στόματος ὑμῶν. Μὴ ψεύδεσθε εἰς ἀλλήλους. Ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὸν, ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ πάντα καὶ ἐν πᾶσι Χριστός.*

Quemadmodum varia sunt nomina iræ et indignationis, ita quæ sub ipsis significantur plurimum inter se differunt. Est autem θυμός (quod indignationem vertimus, veluti accensio quædam et evaporatio acuta affectionis : ὀργὴ vero (quam iram diximus) immanens dolor ac durans impetus ad repensionem his faciendam qui intulerunt injuriam, veluti animæ appetentis vindictam. Scire igitur oportet quod circa utrumque horum affectuum delinquunt homines : aut insane ac temere commoti adversus eos qui irritarunt, aut dolose ac insidiose appetentes eos qui contristarunt : quæ ambo nobis observanda et cavenda sunt, si prius animi modestiam edocti simus. « Turpiloquentiam. » Contaminat enim os quod ad Deum laudandum factum est. « Qui exuistis veterem hominem. » **139** Veterem hominem moris est in Scripturis appellare inveteratum et jam marcidum ac languentem per vitam, quæ in peccatis degitur, et qui nondum per fidem in Christum baptismate regeneratus est ac renovatus : novum vero qui renovatus est. Vita enim, quæ in virtute agitur, semper innovat : et si videatur senescere corporaliter, virescit tamen ac floret spiritualiter. « Juxta imaginem ejus, qui condidit illum. » Qui enim talis est, Dei puram servat imaginem qui ipsum condidit, inferioribus characteribus ac erroribus non permistam. « Ubi non est. » Hoc est, apud Christum, apud fidem. « Omnia et in omnibus Christus. » Siquidem quia omnes unum corpus facti sumus, Christum habentes caput, merito omnia nobis est Christus, et Salvator, et Dominus, et Deus, et caput, et pontifex, et victima. Est in omnibus, inquit, puta rebus, aut actibus vitæ nostræ : aut in omnibus nobis. Non est enim, inquit, personæ respectus apud Deum.

Ὥσπερ τὰ ὀνόματα διάφορα, θυμοῦ καὶ ὀργῆς, οὕτως καὶ τὰ ὑπ' αὐτῶν σημαινόμενα πλεῖστον ἀλλήλων διαφέρει. Ἔστι γὰρ θυμὸς μὲν, οἷον ἔξαψίς τις καὶ ἀναθυμίασις ὀξεῖα τοῦ πάθους, ὀργὴ δὲ, ἔμμονος λύπη, καὶ ὁρμὴ διαρκὴς, πρὸς τὴν τῶν ἠδικηκότων ἀντίδοσιν, ὥσπερ ὀργώσης τῆς ψυχῆς πρὸς C τὴν ἄμυναν. Εἰδέναι οὖν χρὴ, ὅτι κατ' ἀμφοτέρας τὰς διαθέσεις πλημμελοῦσιν οἱ ἄνθρωποι, ἢ μανικῶς καὶ ἐμπλήκτως κατὰ τῶν παροξυνάντων κινούμενοι, ἢ δολερῶς καὶ ἐπιβούλως τοὺς λυπήσαντας ἐνεδρεύοντες, ἅπερ ἀμφότερα φυλακτέον ἡμῖν, τὴν ταπεινοφροσύνην προπαιδευθέντας. « Αἰσχρολογίαν. » Ῥυπαὶ γὰρ τὸ εἰς δοξολογίαν Θεοῦ πεποιημένον στόμα. « Ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον. » Παλαιὸν ἄνθρωπον ἔθος καλεῖν τῇ Γραφῇ, τὸν πεπαλαιωμένον καὶ κατασεσηπότα καὶ ἐνησθενηκότα ταῖς ἁμαρτίαις βίον, τὸν μήπω διὰ τῆς εἰς Χριστὸν πίστεως τῷ βαπτίσματι ἀναγεννηθέντα καὶ καινοποιηθέντα. Τὸν νέον, τὸν ἀνακαινούμενον. Ὁ γὰρ ἐν ἀρετῇ βίος, ἀεὶ νεάζει, κἂν δόξῃ γηρᾷν σωματικῶς, ἀλλὰ θάλλει πνευματικῶς. « Κατ' εἰκόνα τοῦ κτίσαν- D τος αὐτόν. » Ὁ γὰρ τοιοῦτος, τὴν εἰκόνα τοῦ κτίσαντος αὐτὸν Θεοῦ κεκαθαρμένην φυλάττει, ἀμιγῆ τῶν κάτω χαρακτήρων καὶ πλανωμένων. « Ὅπου οὐκ ἔνι. » Τουτέστι, παρὰ Χριστῷ, παρὰ τῇ πίστει. « Τὰ πάντα καὶ ἐν πᾶσι Χριστός. » Ἐπειδὴ γὰρ οἱ πάντες ἓν σῶμα γινόμεθα Χριστὸν ἔχοντες κεφαλὴν, εἰκότως πάντα ἡμῖν ὁ Χριστὸς, καὶ Σωτὴρ, καὶ Κύριος, καὶ Θεὸς, καὶ κεφαλὴ, καὶ ἀρχιερεὺς, καὶ θῦμα. Ἐν πᾶσιν ὢν, φησὶν, ἢ πράγμασιν, ἢ τοῖς τῆς ζωῆς ἡμῶν συνεκτικοῖς, ἢ ἐν πᾶσιν ἡμῖν. Οὐκ ἔστι γὰρ, φησὶ, προσωποληψία παρὰ τῷ Θεῷ.

III, 12-15. *Sitis igitur induti tanquam electi Dei sancti ac dilecti viscera miserationum, comitatem, modestiam, mansuetudinem, lenitatem, sufferentes*

Ἐνδύσασθε οὖν ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν,

ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν. Καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτως καὶ ὑμεῖς. Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος, καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι καὶ εὐχάριστοι γίνεσθε.

Ὥσπερ γὰρ ὁ γυμνὸς ἐσθῆτος ἀσχημονεῖ, οὕτως καὶ ὁ τῶν ἀρετῶν γυμνός. Ἢ ἐπειδὴ ἀεὶ ἀχώριστον ἡμῶν εἶναι δεῖ τὴν ἀρετὴν, ὥσπερ τὸ ἱμάτιον. « Σπλάγχνα οἰκτιρμῶν. » Οὐχ ἁπλῶς ἀγάπην, ἀλλὰ τὴν κατὰ φύσιν τοῖς γονεῦσι πρὸς τὰ τέκνα ἐνυπάρχουσαν. « Μομφήν. » Ἤγουν μέμψιν. « Καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν. » Τὸ παράδειγμα τοῦ Χριστοῦ ἐλθὼν ἐν μέσῳ, οὐ μόνον, τὸ συγχωρεῖν συμβουλεύει, ἀλλὰ καὶ τὸ ἀγαπᾷν καὶ εὐεργετεῖν τοὺς προσκεκρουκότας ἡμῖν, καὶ αὐτὴν τὴν ψυχὴν ὑπὲρ τῶν ἐχθρῶν καὶ προσκεκρουκότων τιθέναι. Οὕτω γὰρ καὶ ὁ Χριστὸς πεποίηκεν. « Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην. » Ἐπειδὴ ἔνι καὶ χαριζόμενον μὴ ἀγαπᾷν καὶ τὸ ἀγαπᾷν παραινεῖ. Σύνδεσμον δὲ τὴν ἀγάπην καλεῖ, δηλῶν εὐθὺς διαλύεσθαι τὰ εἰρημένα ἄνω, χωρὶς ἀγάπης ὄντα. « Καὶ ἡ εἰρήνη. » Καί τοι εἰπὼν ἀγάπην, οὐκ ἔτι ὤφειλεν εἰρήνην συμβουλεύειν. Ἀλλ' ἐπειδὴ ἔνι ἐκ πολλῆς ἀγάπης ἐγκαλεῖν ἀεί, καὶ ἐκ τούτου διαλύειν τὴν ἀγάπην, καὶ τὸ εἰρήνην ἔχειν παραινεῖ. « Τοῦ Θεοῦ. » Ἔνι γὰρ καὶ κακῶς εἰρηνεύειν, ὥσπερ καὶ καλῶς μάχεσθαι. Ἀλλὰ τὴν κατὰ Θεὸν εἰρήνην λέγω, φησίν. « Βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν. » Ἐπειδὴ οἱ λογισμοὶ πολεμοῦσι πολλάκις, μεσιτεύειν ἐν ταῖς καρδίαις τὴν εἰρήνην βούλεται, καὶ ἐξορίζειν τοὺς ἐναντίους λογισμούς. « Ἐν ἑνὶ σώματι. » Διὰ γὰρ τὸ εἰρήνην ἔχειν, ᾠκονόμησεν ὁ Χριστὸς τοὺς πάντας ἓν σῶμα ποιῆσαι, καὶ αὐτὸς εἶναι ἡμῶν κεφαλὴ, ἵνα τούτῳ τῷ τρόπῳ τῆς πρὸς ἀλλήλους ἀποσχώμεθα μάχης, καὶ εὐχαριστῶμεν τῷ ταύτην ἡμῖν τὴν συνάφειαν χαρισαμένῳ.

vos invicem, et condonantes vobis mutuo si quis adversus aliquem habuerit querelam, quemadmodum Christus condonavit vobis, ita et vos. Super omnia autem hæc charitatem, quæ est vinculum perfectionis, et pax Dei moderetur in cordibus vestris, in quam et vocati estis in uno corpore: et grati sitis.

Quemadmodum enim veste nudus indecore se gerit, ita et qui nudus est virtutibus. Aut quia nunquam a nobis separari debet virtus tanquam vestis. « Viscera misericordiæ. » Non qualemcunque amorem, sed eum qui natura parentibus inest erga filios. « Querelam : » sive accusationem et questus. « Quemadmodum Christus condonavit vobis. » Adducto in medium Christi exemplo non tantum suadet ignoscere, verum etiam diligere ac benefacere his qui nos offenderunt, ipsamque animam pro his, qui offenderunt inimicis ponere: nam ita et Christus fecit. « Super omnia autem hæc charitatem. » **140** Quoniam contingit etiam eum qui condonat non diligere, exhortatur quoque ad charitatem. Vinculum autem dicit charitatem : significans ea quæ dicta sunt statim dissolvi, si sine charitate sint. « Et pax. » Atqui cum charitatem dixisset, jam non fuit opus pacem consulere. Sed quoniam contingit ex multa charitate semper redarguere atque hinc dissolvere charitatem, etiam pacem habere admonet. « Dei. » Contingit enim male pacem habere, quemadmodum et male pugnare seu dissidere : sed pacem, inquit, quæ secundum Deum est, dico. « Moderetur in cordibus vestris. » Quoniam pugnant frequenter cogitationes, arbitram vult esse pacem in cordibus, ac relegare contrarias cogitationes. « In uno corpore. » Ordinavit namque Christus ut pacem habendo omnes unum corpus efficiant, et ipse sit nostrum caput: ut hoc modo mutuum inter nos dissidium fugiamus, et gratias ei agamus, qui hanc largitus est conjunctionem.

ΚΕΦΑΛ. Ι'.

Τὰ πρὸς τοὺς οἰκείους ὁμοιοηθικῶς.

Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ, διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ἐν χάριτι, ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ, καὶ πᾶν ὅτι ἂν ποιῆτε ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ Πατρὶ δι' αὐτοῦ. Αἱ γυναῖκες ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ. Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα. Τοῦτο γάρ ἐστιν εὐάρεστον τῷ Κυρίῳ. Οἱ πατέρες μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν.

Ἔσται δὲ, τὸ τὰς διδασκαλίας καὶ τὰ δόγματα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνοικεῖν ἐν ἡμῖν ἐν πολλῇ δαψιλείᾳ διὰ τῆς τῶν Γραφῶν ἐρεύνης. « Ψαλμοῖς καὶ ὕμνοις. » Πρῶτον τὸ ἄπονον εἶπεν, ὅτι διὰ τερπνότητα ὑποκλέπτει τὸν κόπον. Ὁ δὲ

CAPUT X.

Quæ ad concordiam erga familiares spectant.

III, 16-21. *Sermo Christi habitet in vobis opulente, cum omni sapientia, doceteque ac commonete vos invicem cantibus et laudibus ac cantilenis spiritualibus in gratia, canentes in corde vestro Domino. Et quidquid egeritis sermone aut facto, omnia in nomine Domini Jesu facite, gratias agentes Deo et Patri per illum. Uxores, subditæ estote propriis viris, sicuti convenit in Domino. Viri, diligite uxores, et ne sitis amarulenti adversus illas. Filii, obedite parentibus in omnibus : hoc enim beneplacet Domino. Patres, ne provocetis liberos vestros, ne despondeant animum.*

141 Continget autem doctrinas ac dogmata Salvatoris nostri Jesu Christi in magna opulentia habitare in nobis per Scripturarum scrutinium. « Cantibus et laudibus. » Primum dixit quod labore caret, quia jocunditate tollit molestiam, laus vero sive

hymnus cantu sanctior est : supernæ namque virtutes Deum laudant, non canunt. « In gratia. » Per gratiam a Spiritu sancto datam hæc facere admonet, ostendens non posse sine gratia implere talia. « In corde vestro. » Non simpliciter solo ore : nam hoc non est Deo canere, sed in aera loqui : neque ad ostentationem sed occulta operatione. « Omnia in nomine Domini. » Ipsum Salvatorem et auxiliatorem in omni opere ac sermone invocantes. « Per illum. » Recte dicitur : Per ipsum et cum ipso, hoc quidem propter æqualitatem et consubstantialitatem ad Patrem : illud vero quia mediator noster et pontifex fieri dignatus est, quando Verbum caro factum est, juxta Scripturam. « Uxores, subditæ estote. » Cum enim ego tibi, tuque mihi vicissim subjicimur, quomodo potest quidpiam contra voluntatem contingere? Subjectionem autem esse vult, non ex simulatione aut ad placendum hominibus, sed in timore Christi. « Sicut convenit in Domino. » Hoc est, veluti decens est in Domino. Decet autem in Domino, ut uxor quidem subdita sit, vir autem ipsam diligat. « Viri, diligite uxores. » Eos namque qui obedientiam fovere debent, præcipit ut diligant uxores, liberos, servos : quemque ponens juxta obedientiæ propositionem. « Et ne sitis amarulenti adversus illas. » Scit ex multo quoque amores pugnas oriri : idcirco cum dilectionem proposuisset, subjunxit : Et ne sitis amarulenti. « Parentibus in omnibus : » exceptis his quæ ad impietatem ferunt. « Hoc enim beneplacet Domino. » Legem etiam ponit, quæ obedientiam statuat, filios magis exhortans. « Ne despondeant animum. » Est ubi etiam connivere debetis, inquit, ne perpetuo tristes, reddantur contentiosiores.

III, 22-25. *Servi, obedite per omnia dominis secundum carnem, non obsequiis ad oculum exhibitis, tanquam hominibus placere studentes, sed cum simplicitate cordis timentes Deum.* **142** *Et quidquid feceritis, ex animo operemini, tanquam Domino et non hominibus, scientes quod a Domino recipietis mercedem hæreditatis. Nam Domino Christo servitis. Cæterum qui iniqne agit referet peccatum suum, et non est personarum respectus.*

Servos consolatur, dicens propemodum : Carnis his Domini sunt. Quod in vobis melius est, nempe anima, non subjicitur humano servitutis jugo. « Non obsequiis ad oculum exhibitis. » Non solum, inquit, intuente Domino facite quæ dicent, verum etiam non vidente. — « Tanquam hominibus placere studentes. » Facere enim quæ decent, dominis tanquam spectantibus, studii est placendi hominibus, et non timoris Dei. Siquidem is qui Deum veretur omnia cum simplicitate facit. « Ex animo operemini. » Non tantum simulatione ac studio placendi hominibus vult eos esse liberos, verum etiam otio ac segnitie. Quod autem ait : Ex animo, hoc est, ex benevolentia, et omni quæ in vobis fuerit potestate. « Tanquam Domino. » A communi sensu supplendum est : Operemini, per

A ὕμνος τοῦ ψαλμοῦ ἁγιώτερος. Αἱ γὰρ ἄνω δυνάμεις, ὑμνοῦσι τὸν Θεὸν, οὐ ψάλλουσι. « Ἐν χάριτι. » Διὰ τῆς παρὰ τοῦ ἁγίου Πνεύματος δοθείσης χάριτος ταῦτα ποιεῖν παραινεῖ, δεικνὺς δίχα χάριτος μὴ δύνασθαι πληροῦν τὰ τοιαῦτα. « Ἐν τῇ καρδίᾳ ὑμῶν. » Μὴ ἁπλῶς μόνῳ στόματι. Τοῦτο γὰρ οὐκ ἔστιν ᾄδειν Θεῷ, ἀλλ' εἰς ἀέρα λαλεῖν. Καὶ μὴ πρὸς ἐπίδειξιν, ἀλλὰ διὰ κρυπτῆς ἐργασίας. « Πάντα ἐν ὀνόματι Κυρίου. » Αὐτὸν παντὸς ἔργου καὶ λόγου Σωτῆρα καὶ βοηθὸν ἐπικαλούμενοι. « Δι' αὐτοῦ. » Τὸ δι' αὐτοῦ καὶ σὺν αὐτῷ καλῶς λέγεται, τὸ μὲν διὰ τὸ ἴσον καὶ ὁμοούσιον τῷ Πατρὶ, τὸ δὲ, ἐπειδὴ μεσίτης ἡμῶν καὶ ἀρχιερεὺς ἠξίωσε γενέσθαι, ὅτε ὁ Λόγος σὰρξ ἐγένετο κατὰ τὴν Γραφήν. « Αἱ γυναῖκες, ὑποτάσσεσθε. » Ὅταν γὰρ σὺ μὲν ἐμοὶ, ἐγὼ B δὲ σοὶ ὑποτέταγμαι, πῶς ἔνι τι τῶν ἀβουλήτων συμβῆναι; Τὴν δὲ ὑποταγὴν, οὐ καθ' ὑπόκρισιν ἢ ἀνθρωπαρέσκειαν βούλεται εἶναι, ἀλλ' ἐν φόβῳ Χριστοῦ. « Ὡς ἀνῆκεν ἐν Κυρίῳ. » Τουτέστιν, ὡς πρέπει ἐν Κυρίῳ. Ἐν δὲ Κυρίῳ πρέπει, τὴν μὲν γυναῖκα ὑποτάσσεσθαι, τὸν δὲ ἄνδρα ἀγαπᾷν αὐτήν. « Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας. » Ὅτι τοὺς τὴν ὑπακοὴν ὀφείλοντας ὑπέχειν, ἀγαπᾷν προστάσσει, τὰς γυναῖκας, τὰ τέκνα, τοὺς δούλους, ἕκαστον τιθεὶς κατὰ τὴν ἀναλογίαν τῆς ὑπακοῆς. « Καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. » Οἶδε καὶ ἀπὸ πολλῆς ἀγάπης, μάχας τικτομένας, διὸ τὴν ἀγάπην προθεὶς, τὸ μὴ πικραίνεσθε ἐπήγαγεν. « Τοῖς γονεῦσι κατὰ πάντα, » δίχα τῶν εἰς ἀσέβειαν φερόντων. « Τοῦτο C γάρ ἐστιν εὐάρεστον τῷ Κυρίῳ. » Καὶ νόμον τίθησι τὸν τὴν ὑπακοὴν νομοθετοῦντα, πλέον ἐντρέπων τὰ τέκνα. « Ἵνα μὴ ἀθυμῶσιν. » Ἔστιν ὅτε καὶ παροᾷν ὀφείλετε, φησὶν, ἵνα μὴ ἀθυμοῦντες ἀεὶ φιλονεικότεροι γένωνται.

Οἱ δοῦλοι ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλείαις ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν. Καὶ πᾶν ὅ τι ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις, εἰδότες ὅτι ἀπὸ Κυρίου ἀπολήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας. Τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε. Ὁ δὲ ἀδικῶν, κομιεῖται ὃ ἠδίκησεν, καὶ οὐκ ἔστι προσωπολημψία.

Παραμυθεῖται τοὺς δούλους, μονονουχὶ λέγων, D Σαρκός εἰσιν οὗτοι κύριοι. Τὸ κρεῖττον ἐν σοὶ, ἡ ψυχὴ, οὐχ ὑπόκειται ἀνθρωπίνῳ δουλείας ζυγῷ. « Μὴ ἐν ὀφθαλμοδουλείαις. » Μὴ μόνον, φησὶν, ὁρῶντος τοῦ Δεσπότου πράττετε τὰ δέοντα, ἀλλὰ καὶ μὴ ὁρῶντος. — « Ὡς ἀνθρωπάρεσκοι. » [ΦΩΤ.] Τὸ γὰρ ὁρώντων μόνον τῶν δεσποτῶν πράττειν τὰ δέοντα, ἀνθρωπαρεσκείας ἐστὶ καὶ οὐ φόβου Θεοῦ. Ὁ γὰρ τὸν Θεὸν φοβούμενος, μετὰ ἁπλότητος πάντα πράττει. « Ἐκ ψυχῆς ἐργάζεσθε. » Οὐ μόνον ὑποκρίσεως καὶ ἀνθρωπαρεσκείας βούλεται αὐτοὺς ἐλευθέρους εἶναι, ἀλλὰ καὶ ἀργίας καὶ νωθείας. Τὸ δὲ, Ἐκ ψυχῆς, τουτέστιν, ἐξ εὐνοίας καὶ ὅση δύναμις, φησίν. « Ὡς τῷ Κυρίῳ. » Ἀπὸ κοινοῦ τὸ, Ἐργάζεσθαι, κατὰ μετάπτωσιν, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις ἐργαζόμενοι. « Εἰδότες ὅτι ἀπὸ Κυρίου. »

Καὶ τίς ἡ ἀνταπόδοσις τῷ δούλῳ, ἐκ ψυχῆς ἐργαζομένῳ; Πρῶτον μὲν, ὁ ἀπὸ Θεοῦ μισθός. Ἔστι δὲ ὅτε καὶ ἀπὸ τοῦ Δεσπότου. « Τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε. » Ὅτι δὲ τῷ Κυρίῳ Χριστῷ ἐργάζεσθε, δῆλον ἔκ τε τοῦ τὸν εὐνοοῦντα παρ' αὐτοῦ τὴν ἀνταπόδοσιν λαμβάνειν, καὶ τὸν ἄδικον τὴν πρέπουσαν ἀντέκτισιν. « Καὶ οὐκ ἔστι προσωποληψία. » Ἐπὶ τῶν δεσποτῶν ἁρμόδιον ἦν εἰπεῖν τὸ τῆς προσωποληψίας. Τί οὖν αὐτὸ ἐπὶ τῶν δούλων τέθεικεν; ἢ ὅτι οὐκ ἐλεήσει πτωχὸν ἐν κρίσει ὁ Θεὸς, ἢ πρὸς Χριστιανοὺς δούλους λέγει, οἷς εἰσι δεσπόται Ἕλληνες. A metaptosim sive transmutationem. Tanquam Domino et non hominibus operantes. « Scientes quod a Domino. » Et quæ erit retributio servo ex animo operanti? Primum quidem merces erit a Deo : accidit autem quandoque ut etiam a suo Domino. « Nam Domino Christo servitis. » Quod Domino Christo operemini, etiam ei manifestum est qui consideraverit se ab eo retributionem accepturum, et eum qui injuste operatur, meritam repensionem. « Et non est personarum respectus. » De dominis magis aptum erat ut diceret de respectu personarum : quare ergo hoc de servis posuit? Aut quia non miserebitur pauperis in judicio Deus : aut loquitur Christianis servis, quibus domini erant Græci.

Οἱ κύριοι τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχετε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς. Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ, προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, δι' ὃ καὶ δέδεμαι, ἵνα φανερώσω αὐτὸ, ὡς δεῖ με λαλῆσαι. Ἐν σοφίᾳ περιπατεῖτε, πρὸς τοὺς ἔξω τὸν καιρὸν ἐξαγοραζόμενοι. Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

IV, 1-6. *Vos domini, æquitatem et æquabilitatem* B *servis exhibete : scientes quod et vos habeatis Dominum in cœlis. Obsecrationi instate vigilantes in ea cum gratiarum actione : orantes simul et pro nobis, ut Deus aperiat nobis ostium sermonis ad loquendum mysterium Christi, propter quod et vinctus sum, ut manifestem illud sicut oportet me loqui. Sapienter ambulate apud extraneos, temporis opportunitatem redimentes.* **143** *Sermo vester semper cum gratia sit sale conditus, ut sciatis quomodo vos oporteat unicuique respondere.*

Τὸ δίκαιον καὶ ἡ ἰσότης ἐστὶ τὸ ἀμείβεσθαι τῶν πόνων τοὺς δούλους, καὶ ἐν ἀφθονίᾳ πάντων τῶν πρὸς χρείαν καθιστᾷν. Μὴ γὰρ, φησὶν, ἐπειδὴ ἤκουσας ὅτι παρὰ Κυρίου λήψῃ τὸν μισθὸν, ἤδη σὺ ἀποστέρει τὸ ὀφειλόμενον. « Τῇ προσευχῇ προσκαρτερεῖτε. » Οἶδεν ὅτι τὸν προσκαρτερεῖν τῇ εὐχῇ σπουδάζοντα, εἰς ἀκηδίαν ἐμβάλλουσιν οἱ δαίμονες. Διὸ ἐπάγει, « Γρηγοροῦντες ἐν αὐτῇ, » τουτέστι, μὴ ῥεμβόμενοι, μήτε νωχελευόμενοι. Ἀλλ' ἐπειδὴ ἔνι καὶ εὐχὴ ἀλόγων αἰτήσεων, καὶ τὸ, τί δεῖ εὔχεσθαι διδάσκει. Ἐν εὐχαριστίᾳ, φησὶν, ἡ εὐχὴ προβαινέτω πρὸς τὸν Θεόν. « Προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν. » Ὦ ταπεινοφροσύνης! εἰ Παῦλος τῆς τούτων ἐχρῄζεν εὐχῆς. « Θύραν τοῦ λόγου. » Μεταφορικῶς εἶπε θύραν, οἷον εἴσοδον καὶ παῤῥησίαν. Ὅρα δὲ τὸν Παύλου ζῆλον, ἐν τοσούτοις ὑπάρχων πειρασμοῖς, οὐκ αἰτεῖ λύσιν, ἀλλὰ πάλιν κηρύττει, καὶ πάλιν πειρασμοὺς ἔχει. — [ΦΩΤ.] Τὸ κοινὸν τῆς συντάξεως, ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, ὡς δεῖ με λαλῆσαι, δι' ὃ καὶ δέδεμαι, ἵνα φανερώσω αὐτό. Ὁ δὲ θεῖος Παῦλος, καθ' ὑπερβατὸν τὸν λόγον προήνεγκεν. « Δι' ὃ καὶ δέδεμαι. » Ἐπειδὴ, φησὶν, ἐφανέρωσα αὐτὸ, ὡς ἔδει με λαλῆσαι. Πῶς δὲ αὐτὸν ἔδει λαλῆσαι, Ἐν παῤῥησίᾳ, φησὶ, καὶ φανερῶς, μηδὲν ὑποστειλάμενον, μήτε τὰ δεσμὰ πτοηθέντα. « Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω. » Φυλακτικοὶ, φησὶ, γίνεσθε, μηδεμίαν παρέχοντες καθ' ἑαυτῶν λαβήν. Τοὺς ἔξω δὲ, τοὺς Ἕλληνας λέγει, καλῶς δὲ πρὸς ἐκείνους εἶναι φυλακτικοὺς παραινεῖ. Οἱ γὰρ ἀδελφοὶ, οὐχ οὕτως πάντα ἡμῶν καὶ τὰ βραχύτατα περισκοποῦσι, προφάσεις διαβολῶν ἐπιζητοῦντες, « Τὸν καιρὸν ἐξαγοραζόμενοι. » Βραχὺς, φησὶν, Æquitas et æquabilitas est ut servis rependatur merces laborum, et abunde constituantur eis omnia quæ necessaria sunt. Neque enim eo quod audieris accepturum a Domino mercedem, jam eum debito privare debes. « Obsecrationi instate. » Novit quod precationi instare conantem dæmones, in socordiam ac tædium conjiciunt, ideo subjungit : « Vigilantes in ea : » id est, non vacillantes neque languidiores effecti. Sed quia contingit eam fieri precationem irrationalium petitionum, docet etiam quid precari oporteat. Cum gratiarum actione, inquit, precatio procedat ad Deum. « Orantes simul et pro nobis. » O magnam animi modestiam! ut Paulus horum postulet orationem. « Ostium sermonis. » Metaphorice dixit. Ostium, id est, ingressum et dicendi libertatem. Animadverte autem Pauli zelum. Cum in tantis esset afflictionibus, non petit absolvi, sed rursum prædicare, rursumque afflictiones habere. — Communis litteræ ordinatio. Ut Deus aperiat nobis ostium sermonis ad loquendum mysterium Christi, sicut oportet me loqui, propter quod et vinctus sum, ut manifestem illud. Divus autem Paulus per hyperbaton sermonem protulit. « Propter quod et vinctus sum. » Quia, inquit, manifestavi illud ut oportebat me loqui. Quomodo autem ipsum loqui oportebat? In libertate, ait, et manifeste, nihil veritus, neque vincla timentem. « Sapienter ambulate erga extraneos. » Observate, ait, ne quam præbeatis adversum vos ipsos occasionem. Extraneos autem dicit Græcos. Et recte nos erga illos observantes esse admonet. Siquidem, fratres, non ita nostra omnia etiam minutissima circumspiciunt, calumniarum occasiones inquiren-

tes. « Temporis opportunitatem redimentes. » Brevis est, inquit, præsens opportunitas, lucrificamus ipsam. Quomodo autem contingit præsentem lucrificare opportunitatem? Ambulando videlicet in sapientia et observatione, Ac si diceret : Non est nostra temporis opportunitas, neque nostrum est tempus ipsum (Siquidem vita nostra abscondita est cum Christo in Deo) sed illorum est : emamus igitur ipsum et veluti lucrifaciamus, per rectam hanc vitam hæreditario jure assequentes, quæ futura sunt. « Sermo vester semper cum gratia. » Inepta, inquit, loquacitas, **144** aut intempestivus sermo non egrediatur ex ore vestro, sed sicut cuique expedit loquimini : sive objurgare oporteat, sive curare, sive refocillare : cum gratia, ait, spirituali, cum gratia, quæ non emanat in vitæ indifferentiam aut in urbanitatem. « Sermo vester semper cum gratia veluti sale conditus sit. » Quemadmodum enim nihil ferme eorum quæ corpus alunt absque sale redditur opiparum, et ad alimentum convenienti condimento debite in partes distrahitur : ita et doctrinæ sermo qui animam nutrit, nisi fuerit gratia conditus, neque nutriet, neque debito modo in partes dividetur. « Ut sciatis quomodo vos oporteat. » Ad sciendum, inquit, quomodo oporteat unicuique respondere. Alio enim modo fratribus, et alio modo Græcis loquendum est.

ὁ παρὼν καιρὸς, κερδάνωμεν αὐτόν. Πῶς δὲ ἐνι τὸν παρόντα κερδᾶναι καιρόν ;.Δηλονότι διὰ τοῦ ἐν σοφίᾳ καὶ ἐπιτηρήσει περιπατεῖν, ὡσεὶ ἔλεγεν· Οὐκ ἔστιν ἡμῶν ὁ καιρὸς (ἡ γὰρ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ), ἀλλ' ἐκείνων ἐστί. Κτησώμεθα οὖν αὐτὸν καὶ οἷον κερδάνωμεν, διὰ τοῦ ἐνταῦθα καλῶς βιοῦν τὰ μέλλοντα κληρονομοῦντες. « Ὁ λόγος ὑμῶν, πάντοτε ἐν χάριτι. » Μὴ μωρολογία, φησὶν, ἡ ἀκαιρία ἐξέλθοι τοῦ στόματος ὑμῶν, ἀλλὰ προσηκόντως ἑκάστῳ λαλεῖτε, κἂν ἐπιπλῆξαι δέοι, κἂν θεραπεῦσαι καὶ ἀνακτήσασθαι, μετὰ χάριτος, φησὶ, πνευματικῆς, μὴ τῆς χάριτος εἰς ἀδιαφορίαν ἢ εὐτραπελείαν ἐκπιπτούσης. « Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ὥσπερ ἅλατι ἔστω ἠρτυμένος. » [ΦΩΤ.] Ὥσπερ γὰρ οὐδὲν τῶν σῶμα τρεφόντων σχεδὸν χωρὶς ἅλατος ἡδύνει, καὶ εἰς τροφὴν εὔχυμον ἀναδίδοται, οὕτω καὶ ὁ διδασκαλικὸς λόγος ὁ τὴν ψυχὴν τρέφων, ἂν μὴ ᾖ τῇ χάριτι ἠρτυμένος, οὔτε θρέψει, οὔτε ἀναδοθήσεται. « Εἰδέναι ὑμᾶς πῶς δεῖ. » Εἰς τὸ εἰδέναι, φησὶ, πῶς δεῖ ἑκάστῳ ἀποκρίνεσθαι. Ἄλλως γὰρ τοῖς ἀδελφοῖς, καὶ ἄλλως τοῖς Ἕλλησι λαλητέον.

IV, 7-13. *De omnibus rebus meis certiores vos faciet Tychicus dilectus frater et fidus minister ac conservus in Domino : quem misi ad vos in hoc ipsum, ut cognoscat quid agatis et consoletur corda vestra, una cum Onesimo fido et dilecto fratre, qui est ex vobis. Omnia vobis nota facient quæ hic aguntur. Salutat vos Aristarchus, concaptivus meus et Marcus consobrinus Barnabæ, de quo accepistis mandata. Si venerit ad vos, excipite eum : et Jesus qui vocatur Justus, qui sunt ex circumcisione. Hi soli cooperarii sunt ad regnum Dei, qui fuere mihi solatio. Salutat vos Epaphras, qui ex vobis est servus Christi, semper anxie laborans pro vobis in precationibus ut stetis perfecti et completi in omni voluntate Dei. Testimonium enim illi fero quod multum habeat studium pro vobis, et his qui sunt Laodiceæ, et his qui Hierapoli.*

Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν Κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῷ τὰ περὶ ὑμῶν καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν, σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν. Πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε. Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου, καὶ Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς δέξασθε αὐτόν· καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, οἱ ὄντες ἐκ περιτομῆς. Οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία. Ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς ὁ ἐξ ὑμῶν δοῦλος Χριστοῦ πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι τοῦ Θεοῦ. Μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ τῶν ἐν Ἱεραπόλει.

« De omnibus rebus meis. » Erant quæ multitudinis gratia scribere non expediebat. Præterea oportebat etiam Tychicum habere quæ ore referret, quod et in vinculis et in afflictionibus fuerit præceptor. « Dilectus frater. » Si dilectus, omnia novit : nihil enim ipsi occultavi, ait. Si fidus, omnia vera loquetur ; si conservus, particeps nobiscum fuit et in afflictionibus. Quidquid Tychicum fide dignum reddebat undique conjunxit. « Quem misi. » Exemplum est maximæ dilectionis ob id solum **145** missum fuisse Tychicum, ut renuntiaret quæ circa Paulum agebantur, rursumque Paulo, ubi didicisset quid ipsi agerent. « Et ut consoletur vos. » Id autem ostendit quod in afflictionibus essent. « Cum Onesimo. » Considera quod servum appellet fratrem. Accedit autem, Ex vobis, ut non solum ei

« Τὰ κατ' ἐμὲ πάντα. » Ἦν ἅτινα ἔδει μὴ γράφειν διὰ τὸ πλῆθος. Ἄλλως τε ἔδει καὶ τὸν Τυχικὸν ἔχειν ἃ καὶ ἀπὸ στόματος λαλήσει, ὅτι καὶ ἐν δεσμοῖς καὶ θλίψεσιν ὁ διδάσκαλος. « Ὁ ἀγαπητὸς ἀδελφός. » Εἰ ἀγαπητὸς, πάντα οἶδεν. Οὐδὲν γὰρ αὐτὸν ἀπέκρυψα, φησίν. Εἰ πιστὸς, ἀληθεύσει πάντως. Εἰ σύνδουλος, κεκοινώνηκεν ἡμῖν καὶ τῶν πειρασμῶν. Τὸ ἀξιόπιστον δὲ τοῦ Τυχικοῦ, πάντοθεν συνήγαγεν. « Ὃν ἔπεμψα. » Δεῖγμα μεγίστης ἀγάπης τὸ διὰ τοῦτο μόνον ἀπεστάλθαι τὸν Τυχικὸν, ἵνα τε ἀπαγγείλῃ τὰ κατὰ τὸν Παῦλον, καὶ τῷ Παύλῳ πάλιν, μαθὼν τὰ κατ' αὐτούς. « Καὶ ἵνα, φησὶ, παρακαλέσῃ ὑμᾶς. » Δείκνυσι δὲ τοῦτο, ἐν πειρασμοῖς αὐτοὺς ὄντας. « Σὺν Ὀνησίμῳ. » Θέα, τὸν δοῦλον ἀδελφὸν ὀνομάζει. Τὸ δὲ, Ἐξ ὑμῶν, προσέθηκεν, ἵνα μὴ μόνον μὴ ἀπιστήσωσιν αὐτῷ, ἀλλὰ

καὶ ἐγκαλωπισθῶσιν ἐν αὐτῷ. « Ὁ συναιχμάλωτός μου. » Καθάπερ γὰρ αἰχμάλωτοι, οὕτως ἀπήγοντο καὶ ἤγοντο, καὶ πᾶσιν εἰς τὸ κακῶς ποιεῖν προέκειντο. « Ὁ ἀνεψιὸς Βαρνάβα. » Τοῦτον ἀπὸ τῆς συγγενείας τοῦ Βαρνάβα ἐγκωμιάζει. Μέγιστος γὰρ ἦν ὁ Βαρνάβας. « Περὶ οὗ ἐλάβετε ἐντολάς. » Ἀγράφως αὐτοῖς πολλάκις διά τινων ἐντέταλτο. Μετὰ σπουδῆς, φησὶ, καὶ ἐπιμελείας. « Οἱ ὄντες ἐκ περιτομῆς. » Ὄνειδος Ἰουδαίων, τὸ οὕτως ὀλίγους ἐξ Ἰουδαίων εἶναι τοῦ Παύλου συνεργοὺς, τοὺς δὲ ἄλλους ἐθνικούς. « Συνεργοί. » Σὺν ἐμοὶ ἐργάζονται, φησὶ, τὰ εἰς τὴν βασιλείαν ἀνήκοντα πράγματα. Εἰ δέ εἰσι συναιχμάλωτοι καὶ τῶν πειρασμῶν κοινωνοὶ, κοινωνήσουσι καὶ τῶν στεφάνων. « Ἐγενήθησάν μοι παρηγορία. » Μέγα ἐγκώμιον τὸ εἶναι Παύλου παραμυθίαν. Δηλοῖ δὲ ἐκ τούτου, τὴν τῶν πειρασμῶν σφοδρότητα. « Ἐπαφρᾶς ὁ ἐξ ὑμῶν. » Καὶ ἐν ἀρχῇ τῆς Ἐπιστολῆς, καὶ νῦν αὐτὸν συνίστησι. « Πάντοτε ἀγωνιζόμενος. » Οὐχ ἁπλῶς εὐχόμενος, ἀλλὰ κατὰ ἀγῶνος καὶ πόνου. « Ἵνα στῆτε τέλειοι. » Δηλοῖ αὐτοὺς ἀτελεῖς ὄντας καὶ ἀπληρώτους. Ἐπεὶ οὖν ἑνὶ ἐστάναι ἀτελῶς, φησὶν, ἵνα στῆτε τέλειοι. « Ἐν παντὶ θελήματι τοῦ Θεοῦ. » Πάλιν αἰνίττεται τὸ δεῖν διὰ Χριστοῦ προσάγεσθαι, καὶ οὐ δι' ἀγγέλων. Τοῦτο γάρ φησι θέλημα τοῦ Πατρός.

Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς καὶ Δημᾶς. Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς, καὶ Νυμφᾶν, καὶ τὴν κατ' οἶκον αὐτοῦ ἐκκλησίαν. Καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ Ἐπιστολὴ, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων Ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας, ἵνα καὶ ὑμεῖς ἀναγνῶτε. Καὶ εἴπατε Ἀρχίππῳ. Βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Μνημονεύετέ μου τῶν δεσμῶν. Ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν.

« Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ. » Συνάπτει αὐτοὺς διά τε τῶν ἀσπασμῶν, καὶ τοῦ κοινωνήσασθαι τὴν παροῦσαν ἐπιτάσσειν Ἐπιστολήν, ὅπερ κἀτω φησί. « Καὶ Νυμφᾶν. » Μέγας ὁ ἀνήρ. Τὴν γὰρ οἰκίαν αὐτοῦ, ἐκκλησίαν πεποίηκεν. « Καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν. » Ἐμοὶ δοκεῖ εἶναί τινα τῶν γραφέντων ἐκεῖ, ἃ καὶ τούτους ἐχρῆν ἀκοῦσαι, καὶ τούτοις μείζων ἦν ἡ ὠφέλεια, ὅταν ἑτέρων ἐγκαλουμένων, τὰ οἰκεῖα ἁμαρτήματα ἐπιγινώσκωσιν. « Ἵνα καὶ ἐν τῇ Λαοδικέων. » — [ΦΩΤ.] Ἦν τι πάντως τῶν γραφέντων, καὶ πρὸς τὴν διόρθωσιν τῶν Λαοδικέων συντεῖνον. Ἢ ὅτι πλέον ἔμελλον προσέχειν ἑαυτοῖς, ὁρῶντες τὰ ἑτέρων ἐλεγχόμενα πλημμελήματα. « Καὶ τὴν ἐκ Λαοδικείας. » Τινὲς λέγουσιν ὅτι οὐχὶ τὴν Παύλου πρὸς αὐτοὺς ἀπεσταλμένην, ἀλλὰ τὴν παρ' αὐτῶν Παύλῳ. — [ΦΩΤ.] Οὐ γὰρ εἶπε τὴν πρὸς Λαοδικεῖς, ἀλλὰ τὴν ἐκ Λαοδικείας γραφεῖσαν. Οὐ τὴν ἀπὸ Παύλου πρὸς Λαοδικέας, (ἦ γὰρ ἂν εἶπε, καὶ τὴν ἐν Λαοδικείᾳ,) ἀλλὰ τὴν ἀπὸ Λαοδικέων πρὸς Παῦλον. Ἦν γάρ τι πάντως ἐν αὐτῇ ὠφελοῦν τοὺς Κολοσσαεῖς. « Καὶ εἴπατε Ἀρχίππῳ. » Τίνος ἕνεκεν οὐ γράφει πρὸς αὐ-

A credant, sed etiam de ipso glorientur. « Concaptivus meus. » Siquidem tanquam captivi ita reducebantur, ac ducebantur et omnibus ad malorum perpessionem subjecti erant. « Consobrinus Barnabæ. » Hunc a Barnabæ cognatione commendat : erat enim summo in pretio Barnabas. « De quo accepistis mandata. » Absque Scriptura frequenter per aliquos data erant præcepta : cum studio, inquit, et diligentia. « Qui sunt ex circumcisione. » Probrum erat Judæorum quod adeo pauci e Judæis essent Paulo cooperarii, alii vere essent ex gentibus. « Cooperarii. » Mecum, ait, operantur in rebus quæ ad regnum cœleste spectant. Si autem concaptivi et participes afflictionum, participes quoque erunt et præmiorum. « Fuere mihi solatio. » Magna laus esse
B Paulo est solatium. Ex hoc autem significat afflictionum vehementiam. « Epaphras qui ex vobis est. » Et in principio Epistolæ et nunc ipsum commendat. « Semper anxie laborans. » Non vulgari modo deprecans, sed anxie et cum labore. « Ut stetis perfecti. » Significat ipsos imperfectos esse, nec bonis adhuc expletos. Quoniam igitur contingit stare in imperfectione, ait : Ut stetis perfecti. « In omni voluntate Dei. » Rursum insinuat quod per Christum oporteat adduci et non per angelos : nam hoc dicit voluntatem Patris.

IV, 14-18. *Salutat vos Lucas medicus dilectus, et Demas. Salutate fratres qui sunt Laodiceæ, et Nympham et quæ in domo illius est Ecclesiam. Et*
C *cum lecta fuerit a vobis Epistola, facite ut etiam in Laodicensium Ecclesia legatur, et eam quæ ex Laodicea est, ut vos quoque legatis. Et dicite Archippo : Vide ministerium quod accepisti per Dominum, ut illud impleas. Salutatio mea manu Pauli. Memores sitis vinculorum meorum. Gratia vobiscum. Amen.*

146 « Salutate fratres qui sunt Laodiceæ. » Conjungit eos et in salutationibus et jubendo, ut præsentis participes sint Epistolæ, quod inferius dicit. « Et Nympham. » Magni nominis hic vir erat, nam domum suam fecerat ecclesiam. « Et cum lecta fuerit a vobis. » Meo judicio quædam ibi scripta erant quæ hos quoque audire oporteret, et his
D major inde sequebatur utilitas, cum aliis objurgatis ipsi propria agnoscerent delicta. — « Ut etiam in Laodicensium. » Erat omnino quidpiam inter ea quæ scripta erant, quod etiam ad Laodicensium correctionem dirigeretur. Aut quod futurum erat, ut sibiipsis magis caverent, cum viderent aliorum argui delicta. « Et eam quæ ex Laodicea est. » Quidam aiunt non fuisse Pauli ad eos missam, sed quæ ab ipsis scripta fuerit Paulo. — Non enim dixit : Quæ ad Laodicenses est, sed quæ ex Laodicea est scripta. Non quæ fuerit Pauli ad Laodicenses : alioqui enim dixisset : Et quæ Laodiceæ est, sed a Laodicensibus scripta erat ad Paulum. Siquidem aliquid omnino in ea erat quod Colossensibus profuturum esset. « Et dicite Archippo. » Quam ob causam

non scribit ad ipsum ? Fortassis non opus erat, nisi solam nudam fieri mentionem, quo studiosius cutaretur, ut hi maxime ei subjicerentur. Neque enim fieri poterat, ut eum increpantem ipsos in aliquo accusarent, cum Epistolam ac mandatum omne ipsi accepissent, ratio namque non exigebat, ut discipuli de magistro dicerent sed eos illis obtutans hæc scribit. — *Aliud.* De præceptore scribit, ut increpanti et admonenti obtemperarent, scientes quæ illi significata essent ab Apostolo.— Fortassis autem episcopus ipsorum erat, aut aliud sortitus erat ministerium animarum. Ideo ait : Ministerium per Dominum, non enim erat ab homine. « Vide ministerium. » Verbum hoc terrentis ubique est, veluti cum dixit : « Videte canes [16]. » Videte ne quis vos depredetur; « videte, ne quomodo potestas hæc vestra offendiculo fiat his qui infirmi sunt [17]. » — « Quod accepisti per Dominum. » Capitur enim ἐν Κυρίῳ in Domino, pro διὰ Κυρίου per Dominum. Ut eodem studio et diligentia continue utaris. « Salutatio. » Hoc germanitatis et amicitiæ signum est, et litteras intueri et ad eas quodammodo affici. « Mea manu Pauli. » Ipsam salutationis dictionem potius mann propria scripsit, **147** ut magis quodammodo afficerentur intuentes Pauli manum. « Memores sitis vinculorum meorum. » Papæ, quanta exhortatio : nam hoc sufficienter erat, ut ipsos ad omnia exhortaretur et robustiores ad certamina redderet. Itaque et familiores eos effecit et timorem solvit. Siquidem præceptor in vinculis erat, sed gratia ipsum solvit. Nam et hoc gratiæ fuit, ut ligari permitteretur. — *Alio modo.* Maxima adhortatio erat, ut afflictiones ferrent viriliter, scire ac semper memores esse, quod hic esset in vinculis. « Gratia vobiscum. Amen. » Qua videlicet omnia quæ jussa sunt adimpleant. Nam charitate opus habent, ut salvi fiant : quid enim facere potest homo absque gratia ? — Cum ab exemplari non integre invenissem beati Joannis scholia in Epistolam ad Colossenses, conscripsi illa ut potui. Si quid igitur in ipsis leve aut dignum reprehensione inventum fuerit, noverit is qui legit meum esse hujusmodi lapsum.

Finis, divino favente auxilio, Epistolæ ad Colossenses.

Scripta est ab urbe Roma per Tychicum et Onesimum.

[16] Philipp. III, 2. [17] I Cor. VIII, 9.

A τόν; Ἴσως οὐκ ἐδεῖτο, ἀλλὰ ψιλῆς μόνης ὑπομνήσεως, ὥστε σπουδαιότερον εἶναι, μάλιστα αὐτοὺς αὐτῷ ὑποτάσσειν. Οὐκ ἔτι γὰρ ἂν ἔχοιεν ἐγκαλεῖν ἐκείνῳ ἐπιτιμῶντι αὐτοῖς, ὅταν αὐτοὶ ὦσιν ἀναδεδεγμένοι τὸ πᾶν. Ἐπεὶ οὐκ ἔχει λόγον, τοῖς μαθηταῖς περὶ τοῦ διδασκάλου λέγειν. Ἀλλ' ἐπιστομίζων αὐτοὺς ταῦτα γράφει. — Ἄλλως [ΦΩΤ.] Περὶ τοῦ διδασκάλου γράφει, ἵνα ἐπιτιμῶντι καὶ παραινοῦντι πείθωνται, εἰδότες τὰ δηλωθέντα αὐτῷ παρὰ τοῦ Ἀποστόλου. Ἴσως δὲ ἐπίσκοπος ἦν αὐτῶν, ἢ ἄλλην ἐγκεχείριστο ψυχῶν διακονίαν. Διό φησιν, Ἐν Κυρίῳ διακονίαν, καὶ οὐ κατ' ἄνθρωπον οὖσαν. « Βλέπε τὴν διακονίαν. » Φοβοῦντός ἐστι τὸ ῥῆμα τοῦτο πανταχοῦ, ὡς ὅταν λέγῃ· « Βλέπετε τοὺς κύνας. » Βλέπετε μήτις ὑμᾶς ἔσται ὁ συλαγωγῶν. « Βλέπετε μὴ ποτε ἡ ἐξουσία ὑμῶν αὕτη, πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν. » B — « Ἣν παρέλαβες ἐν Κυρίῳ. » Πάλιν τὸ, *Ἐν Κυρίῳ διὰ Κυρίου* ἐστὶ, διηνεκῶς κεχρημένος τῇ αὐτῇ σπουδῇ. « Ὁ ἀσπασμός. » Τοῦτο γνησιότητος καὶ φιλίας τεκμήριον, τὸ καὶ τὰ γράμματα ὁρᾷν, καὶ πάσχειν τι πρὸς ταῦτα. « Τῇ ἐμῇ χειρὶ Παύλου. » Μᾶλλον αὐτὴν τοῦ ἀσπασμοῦ τὴν λέξιν ἰδίᾳ χειρὶ ἔγραψεν, ἵνα πάσχωσί τι πλέον τὴν χεῖρα ὁρῶντες τοῦ Παύλου. « Μνημονεύετέ μου τῶν δεσμῶν. » Βαβαὶ, πόση παράκλησις. Τοῦτο γὰρ ἱκανὸν εἰς πάντα αὐτοὺς προτρέψασθαι, καὶ γενναιοτέρους ποιῆσαι πρὸς τοὺς ἀγῶνας. Ἆρα καὶ οἰκειοτέρους αὐτοὺς ἐποίησε, καὶ τὸν φόβον ἔλυσεν. Εἰ γὰρ ὁ διδάσκαλος ἐν δεσμοῖς, ἀλλ' ἡ χάρις αὐτὸν λύει. Καὶ τοῦτο γὰρ τῆς χάριτος, τὸ συγχωρεῖν δεθῆναι. Ἄλλως C [ΦΩΤ.] Μεγίστη προτροπὴ πρὸς τὸ φέρειν γενναίως τοὺς πειρασμούς, τὸ εἰδέναι καὶ διὰ παντὸς μνημονεύειν, εἶναι τοῦτον ἐν δεσμοῖς. « Ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν. » Δηλονότι μεθ' ἧς πάντα τὰ ἐπιταγέντα πληρώσουσι, χάριτος εἰς τὸ σωθῆναι δέονται. Τί γὰρ ἂν ποιήσοι ἄνθρωπος ἄνευ χάριτος; — [ΟΙΚΟΥΜΕΝΙΟΥ.] Ἐκ τοῦ ἀντιγράφου μὴ εὑρὼν καλῶς τὰς παραγραφὰς τοῦ μακαρίου Ἰωάννου τῆς πρὸς Κολοσσαεῖς Ἐπιστολῆς, συνέγραψα αὐτὰς ὅπως ἠδυνάμην. Εἰ οὖν εὑρεθῇ τι ἐν αὐταῖς, ἢ κοῦφον, ἢ ἐπιλήψιμον, ἴστω ὁ ἀναγινώσκων, ἐμὸν εἶναι τὸ τοιοῦτον πταῖσμα.

Τέλος, σὺν Θεῷ, τῆς πρὸς Κολοσσαεῖς Ἐπιστολῆς.

Ἐγράφη ἀπὸ Ῥώμης διὰ Τυχικοῦ καὶ Ὀνησίμου.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

ARGUMENTUM

PRIORIS EPISTOLÆ AD THESSALONICENSES.

Ταύτην ἐπιστέλλει ἀπὸ Ἀθηνῶν, ὡρακὼς πρότερον αὐτούς, καὶ διατρίψας παρ' αὐτοῖς. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Ὁ Ἀπόστολος πολλὰς θλίψεις παθὼν ἐν Βεροίᾳ καὶ ἐν Φιλίπποις τῆς Μακεδονίας καὶ ἐν Κορίνθῳ, γινώσκων τε ὅσα πέπονθε καὶ ἐν Θεσσαλονίκῃ, φοβούμενος μὴ ἀκούσαντες Θεσσαλονικεῖς ἃ πέπονθεν ἐν ταῖς προειρημέναις πόλεσι, πειρασθῶσιν ὑπὸ τοῦ πειράζοντος καὶ σκανδαλισθῶσι· μαθὼν δὲ ὅτι καὶ ἐπὶ τοῖς ἀποθνήσκουσι κατώδυνοι ἐγίνοντο, ἀποστέλλει Τιμόθεον πρὸς αὐτοὺς μετὰ τῆς Ἐπιστολῆς ταύτης. Καὶ πρῶτον μὲν ἐπιστηρίζει αὐτοὺς ἐν τῇ πίστει, ὥστε μὴ σαλεύεσθαι διὰ τὰς θλίψεις, καὶ μηδὲν ξένον αὐτοὺς πεπονθέναι ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων. Χριστιανῶν γὰρ ἴδιον τὸ θλίβεσθαι ἐν τῷ βίῳ τούτῳ ἔλεγε. Πολλὰ δὲ παραινέσας αὐτοῖς, οὕτως ὡς παρέλαβον ἀπ' αὐτοῦ ἀναστρέφεσθαι, γράφει περὶ τῶν τελευτώντων, παραμυθούμενος αὐτοὺς καὶ διδάσκων μὴ βαρέως φέρειν. Οὐ γὰρ εἶναι τὸν θάνατον ἀπώλειαν, ἀλλ' ὁδὸν ἀναστάσεως. Ἔπειτα καὶ περὶ τῶν χρόνων αὐτοὺς διδάσκει, ἵνα ἄδηλον τὴν ἡμέραν γινώσκοντες, ἀεὶ ἕτοιμοι γίνωνται, καὶ μηδενὶ προσέχωσιν ἐπαγγελλομένῳ περὶ αὐτῆς. Ἔσεσθαι γάρ, φησὶ τὴν παρουσίαν οὕτως, ὥστε τοὺς περιλειπομένους καὶ εὑρισκομένους ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μὴ φθάνειν τοὺς ἐκ νεκρῶν ἐγειρομένους. Ἅμα γὰρ γίνεσθαι τὴν πάντων ἀλλαγήν. Διδάσκει πρὸς τούτοις, προτρέπων αὐτοὺς βελτιοῦσθαι ἐν τοῖς ἤθεσι, καὶ χαίρειν τῇ ἐλπίδι, καὶ προσεύχεσθαι καὶ εὐχαριστεῖν αὐτοὺς ἀεὶ τῷ Κυρίῳ, ἐνορκίζων αὐτοὺς ἀναγνῶναι τὴν Ἐπιστολὴν ταύτην πᾶσι τοῖς ἀδελφοῖς, καὶ οὕτως τελειοῖ τὴν Ἐπιστολήν.

A **148** Hanc ab Athenis scribit, cum jam eos vidisset prius, et apud ipsos versatus fuisset. Epistolæ vero occasio hæc fuit, Apostolus multas passus afflictiones Beroææ et Philippis civitate Macedoniæ ac Corinthi : simul et sciens quanta passus esset in Thessalonica, timens ne audientes Thessalonicenses quæ passus esset in prædictis civitatibus, tentarentur ab eo qui tentat et offendiculum susciperent : audiens præterea quod etiam vehementer super mortuis lugerent, mittit ad ipsos Timotheum cum hac Epistola. Et primum quidem eos in fide confirmat, ne ob afflictiones fluctuent, asserens nihil esse novum quod a Judæis passi sunt, qui Dominum quoque occiderunt. Ait enim Christianis proprium esse, ut in hac vita affligantur. Multis autem ipsos adhortatus ut quemadmodum ab ipso acceperant conversentur, scribit de his qui vita defunguntur, docetque ne graviter ferant, cum mors ipsa non sit perditio, sed via ad resurrectionem. Deinde **149** etiam de temporibus ipsos instruit, ut diem incertum esse scientes, semper parati sint : nec cuiquam de eo referenti animum advertant. Ita enim, ait, fore Domini adventum, ut qui relinquuntur et die illo inveniendi sunt, nequaquam eos præveniant qui ex mortuis excitandi sunt. Simul enim futuram esse, ait, omnium immutationem. Ad hæc docet exhortans ut meliores reddantur in moribus, et gaudeant in spe ac orent, semperque in Domino gratias agant, adjurans ipsos ut legatur hæc Epistola omnibus fratribus, et ita concludit Epistolam.

B

C

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

α'. *Ἔπαινος Θεσσαλονικέων ἐπὶ τοῖς ἀξίοις τῶν ἀποστόλων ἀγῶσιν.*

β'. *Πόθος αὐτῶν καὶ χαρὰ ἐν αὐτοῖς καὶ μέριμνα, ὅπως τελειωθῶσιν.*

γ'. *Εὐχὴ πρὸς Θεὸν περὶ ἀφίξεως τῆς αὐτοῦ, καὶ τῆς αὐξήσεως καὶ βεβαιώσεως Θεσσαλονικέων, ἕως τῆς παρουσίας Χριστοῦ.*

δ'. *Παραίνεσις σωφροσύνης, δικαιοσύνης, ὡς ἐπὶ*

150 *PRIORIS AD THESSALONICENSES EPISTOLÆ CAPITA.*

1. *Laus Thessalonicensium in certaminibus, quæ apostolis digna sunt.*

2. *Quod ipsos desideraret, et in eis gauderet ac sollicitus esset, ut perficerentur.*

3. *Precatio ad Deum de adventu suo et cremento ac confirmatione Thessalonicensium usque ad adventum Christi.*

4. *Exhortatio ad temperantiam, justitiam, frater-*

num judicio amorem et laborem in proprio opere.

κρίσει φιλαδελφίας, ἐργασίας ἰδιοπράγμονος.

5. *Doctrina de mortis resolutione ac manifestatione Christi circa mortuos ac viventes.*

ε'. *Διδασκαλία περὶ τῆς τοῦ θανάτου καταλύσεως ἐπὶ ζώντων καὶ νεκρῶν ἐπιφάνεια Χριστοῦ.*

6. *Quod repente venturus sit Christus : oportet itaque studiose paratum esse fide, spe, charitate, honore, pace, longanimitate, discendi amore.*

ς'. *Περὶ τοῦ αἰφνιδίως ἥξειν τὸν Χριστὸν, ὥστε δεῖν σύντρεπίζεσθαι σπουδῇ, πίστει, ἐλπίδι, ἀγάπῃ, τιμῇ, εἰρήνῃ, μακροθυμίᾳ, φιλομαθείᾳ.*

7. *Precatio de sanctificatione spiritus et animæ et corporis.*

ζ'. *Εὐχὴ περὶ ἁγιασμοῦ πνεύματος, καὶ ψυχῆς, καὶ σώματος.*

ΠΑΥΛΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΠΡΩΤΗ ΕΠΙΣΤΟΛΗ.

PAULI APOSTOLI

AD THESSALONICENSES PRIOR EPISTOLA.

CAPUT I.

ΚΕΦΑΛ. Α'.

151 *Laus Thessalonicensium in certaminibus, quæ Apostolis digna erant.*

Ἔπαινος Θεσσαλονικέων ἐπὶ τοῖς ἀξίοις τῶν Ἀποστόλων ἀγῶσιν.

I, 1-3. *Paulus et Silvanus et Timotheus, Ecclesiæ Thessalonicensium in Deo Patre et Domino Jesu Christo : gratia vobis et pax a Deo Patre nostro et Domino Jesu Christo. Gratias agimus Deo semper de omnibus vobis mentionem vestri facientes in precibus nostris, indesinenter memores vestri, propter opus fidei ac laborem charitatis et tolerantiam spei Domini nostri Jesu Christi coram Deo et Patre nostro.*

Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος, τῇ Ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ Πατρὶ, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν, ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, Ἰησοῦ Χριστοῦ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πα-

Quare neque Apostolum neque Christi servum juxta suam consuetudinem seipsum hic nominat? Quia hi recenter instructi erant, et apud eos non oportebat dignitatis facere mentionem. Verisimile enim est quod etiam ex hoc passi fuissent offendiculum. « Et Silvanus et Timotheus. » Quamobrem Timotheo, qui adeo probatus erat Silvanum præposuit? **152** Fortassis Timotheus ex animi modestia id petivit, in hoc etiam præceptorem Paulum imitatus, qui suis discipulis seipsum connumerat. Quam ob causam autem Timothei hic meminit, et non in Epistola ad Ephesios? Quia ibi confestim ad eos profecturus erat, hic vero nuper ab ipsis venerat ad Paulum « Ecclesiæ Thessalonicensium. » Cum pauci essent, honorifice nomine vocat ipsos Ecclesiam, quæ dictio multitudinis significativa est. « In Deo et Domino Jesu Christo. » Quia ei Græcorum congregationes erant et Judæorum hanc ab illis disterminans ait : Quæ est in Deo Patre et

Διατί οὔτε Ἀπόστολον, οὔτε δοῦλον Χριστοῦ ἑαυτὸν κατὰ τὸ εἰωθὸς αὐτῷ ἐνταῦθα καλεῖ; Ὅτι νεοκατήχητοι ἦσαν οὗτοι, καὶ οὐκ ἔδει πρὸς αὐτοὺς ἀξιώματος μνησθῆναι. Εἰκὸς γὰρ ἦν αὐτοὺς καὶ σκανδαλισθῆναι. « Καὶ Σιλουανὸς καὶ Τιμόθεος. » Τί δήποτε προέταξε τοῦ Τιμοθέου οὕτως ὄντος ἐναρέτου τὸν Σιλουανόν; Ἴσως διὰ ταπεινοφροσύνην ὁ Τιμόθεος τοῦτο ᾔτησε, καὶ ἐν τούτῳ μιμούμενος τὸν ἑαυτοῦ διδάσκαλον Παῦλον, ὃς τοῖς μαθηταῖς αὐτοῦ ἑαυτὸν συναριθμεῖ. Διατί δὲ ἐνταῦθα τοῦ Τιμοθέου μέμνηται, ἐν τῇ πρὸς Ἐφεσίους οὐκ ἔτι; Ὅτι ἐκεῖ ἔμελλεν εὐθὺς πρὸς αὐτοὺς ἀπιέναι, ἐνταῦθα δὲ νεωστὶ ἦν ἀπ' αὐτῶν πρὸς Παῦλον ἐλθών. « Τῇ Ἐκκλησίᾳ Θεσσαλονικέων. » Ὀλίγους ὄντας, εὐφήμῳ ὀνόματι Ἐκκλησίαν αὐτοὺς καλεῖ, ἥτις ἐστὶ πλήθους σημαντική. « Ἐν Θεῷ καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ. » Ἐπειδὴ ἦσαν καὶ Ἑλληνικαὶ καὶ Ἰουδαϊκαὶ ἐκκλησίαι, αὐτὸς ἐκείνων διαιρῶν αὐτὴν, φησὶ, τῇ ἐν Θεῷ Πατρὶ καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ.

Σημείωσαι τὸ ἐν, ἐπὶ Πατρὸς κείμενον. « Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε. » Εὐθέως ἐξ ἐγκωμίου τὸ προοίμιον. Τὸ γὰρ ὑπὲρ αὐτῶν εὐχαριστεῖν Θεῷ, δείκνυσιν ἐκείνους κατορθωκότας. Εἶτα καὶ ταπεινοφροσύνην διδάσκει, ὡς τοῦ Θεοῦ παραιτίου τοῦ κατορθοῦν αὐτούς. « Ἀδιαλείπτως μνημονεύοντες ὑμῶν. » Ὦ τῆς Παύλου ἀγάπης! Τοῖς γὰρ πλείοσι καὶ πᾶσι σχεδὸν τοῦτο γράφει, ὅτι ἀδιαλείπτως αὐτῶν μέμνηται. « Τοῦ ἔργου τῆς πίστεως. » Ὅτι οὐδὲν ὑμᾶς, φησὶ, παρέκλινεν ἀπὸ τῆς πίστεως· τοῦτο γὰρ ἔργον πίστεως. Ἢ ἔργον πίστεώς φησι, τὸ μὴ μόνον λόγοις, ἀλλὰ καὶ ἔργοις δεικνύειν αὐτὴν, ὅτι ὑπὲρ τῆς τοῦ Θεοῦ ἀγάπης ἢ τῆς ἐμῆς, φησὶ, κόπους καὶ κινδύνους ὑπεμείνατε. Τοῦτο γὰρ τὸ ὄντως ἀγαπᾷν, τὸ πάντα ὑπὲρ τοῦ ἀγαπωμένου πάσχειν ἀνέχεσθαι. « Καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος. » Οὐ γὰρ εἷς ἦν ὁ πειρασμὸς, οὔτε οἱ ὄντες μικροὶ ἦσαν, ἀλλὰ καὶ πολλοὶ καὶ μεγάλοι. Διό φησι, τῆς ὑπομονῆς, τῆς ἐλπίδος, τουτέστι, τῆς γινομένης διὰ τὴν ἐλπίδα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὡσεὶ ἔλεγεν· Οὐχ ἁπλῶς, οὐδὲ ἀνόνητα κάμνετε, ἀλλ' ἔστιν ἐλπὶς ἀντιδόσεως, « ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν. » Ἢ μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν, ἢ τοῦ ἔργου τῆς πίστεως, τοῦ ὄντος ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν, ὡσεὶ ἔλεγε· Πάντα ὁρᾷ, καὶ οὐ λέληθεν αὐτὸν τὰ παρ' ὑμῶν γινόμενα.

Εἰδότες ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Θεοῦ τὴν ἐκλογὴν ὑμῶν ὅτι τὸ Εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ ἐν Πνεύματι ἁγίῳ, καὶ ἐν πληροφορίᾳ πολλῇ καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς. Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε, καὶ τοῦ Κυρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ χαρᾶς Πνεύματος ἁγίου, ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ.

« Εἰδότες ἀδελφοί. » Τί εἰδότες; Οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς, καὶ ὅτι τὸ Εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη πρὸς ὑμᾶς ἐν λόγῳ μόνον, καὶ τὴν ἐκλογὴν ὑμῶν. Πρὸς πολλὰ γὰρ τὸ, εἰδότες, ὁρᾶται. « Ὑπὸ Θεοῦ τὴν ἐκλογὴν ὑμῶν. » Ἐπειδή φησιν, ἴσμεν ὅτι παρὰ Θεοῦ ἐξελέχθητε καὶ ἠγαπήθητε, μετὰ πολλῆς προθυμίας τὸ Εὐαγγέλιον ὑμῖν ἐκηρύξαμεν. Τίς γὰρ οὐκ ἂν σπουδάσειε περὶ τοὺς ὑπὸ Θεοῦ πεφιλημένους; « Ὅτι τὸ Εὐαγγέλιον ἡμῶν. » Μνημονεύομεν, φησὶν, ὑμῶν ἀδιαλείπτως, εἰδότες ὅτι τὸ Εὐαγγέλιον ἡμῶν, οὐκ ἐγενήθη πρὸς ὑμᾶς ἐν λόγῳ μόνον. Οὐ γὰρ μόνον, φησὶν, ἐκηρύξαμεν, ἀλλὰ καὶ σημεῖα καὶ δυνάμεις πολλὰς ἐπετελέσαμεν εἰς ὑμᾶς, πρὸς τὴν ὑμῶν πληροφορίαν. Ἔδει οὖν εἰ καὶ μὴ δι' ἄλλο τι, διὰ γοῦν τὸν ἐπιδειχθέντα εἰς ὑμᾶς κόπον τοῦ τε κηρύγματος καὶ τῶν σημείων μεμνῆσθαι ἀδιαλείπτως ὑμῶν. « Καὶ ἐν Πνεύματι ἁγίῳ » Ἢ ὅτι ἐν Πνεύματι ἁγίῳ ἐκηρύξαμεν, φησὶν, ἢ ὅτι Πνεῦμα ἅγιον ἐλάβετε, φησὶ, διὰ τοῦ κηρύγματος. « Καὶ πληροφορίᾳ πολλῇ. » Τὰ γὰρ σημεῖα, διὰ τὴν αὐτῶν ἐποίει πληροφορίαν. « Καθὼς οἴδατε. » Καὶ τί, φησὶ, μακρηγορῶ; Αὐτοὶ ὑμεῖς μάρτυρές ἐστε, οἷοι ἐγε-

Domino Jesu Christo. Animadverte ἐν, id est, in, de Patre positum. « Gratias agimus Deo semper. » Protinus exorditur præmium ab encomio. Nam pro ipsis Deo gratias agere, ostendit illos egregia exercuisse opera. Deinde animi modestiam docet, nempe cum Deus ipsis auctor fuerit, quod recte sint operati. « Indesinenter memores vestri. » O Pauli charitatem! Pluribus enim ac propemodum omnibus hoc scribit quod indesinenter eorum memor sit. « Propter opus fidei. » Quod nihil, inquit, vos a fide semoverit, hoc enim est opus fidei? Aut fidei opus dicit non sermonibus solum, sed et operibus ipsam ostendere : quod pro Dei charitate aut pro mei, inquit, amore labores et pericula sus i-nueritis. Nam id vere amare est, omnia pro dilecto parti sustinere. « Et tolerantiam spei. » Neque enim una erat tentatio, neque hæ quæ erant, parvæ erant, sed et multæ et magnæ : ideo tolerantiam, ait, spei, id est, quæ facta est propter spem Domini nostri Jesu Christi ; ac si diceret : Non inutiliter laboratis, sed spes est retributionis. « Coram Deo et Patre nostro. » Aut memores vestri operis fidei coram Deo et Patre nostro. Aut operis fidei quod est coram Deo et Patre nostro ; tanquam diceret : Omnia videt, nec eum capit oblivio eorum quæ a vobis fiunt.

I, 4-7. *Scientes fratres dilecti a Deo electionem vestram quod Evangelium nostrum non fuerit erga vos per sermonem tantum, sed etiam per virtutem et per Spiritum* **153** *sanctum, ac per certitudinem multam : quemadmodum nostis quales fuerimus inter vos vestri causa. Et vos imitatores nostri facti fuistis, et Domini, qui excepistis sermonem in afflictione multa cum gaudio Spiritus sancti : adeo ut fueritis exemplo omnibus credentibus in Macedonia et Achaia.*

« Scientes fratres. » Quid scientes? Quales fuerimus inter vos vestri causa, et quod Evangelium nostrum non fuerit erga vos per sermonem tantum, et electionem vestram. Ad multa enim respicit dictio, Scientes. « A Deo electionem vestram. » Quoniam novimus quod a Deo electi sitis ac delecti, cum animi promptitudine vobis Evangelium prædicavimus. Quis enim promptus non esset erga eos qui a Deo diligerentur? « Quod Evangelium nostrum. » Memores, ait, vestri indesinenter sumus, scientes quod Evangelium nostrum non fuerit erga vos per sermonem tantum : non enim solum prædicavimus, verumetiam signa ac virtutes multas operati sumus in medio vestri, ad magnam vestram certitudinem. Oportuit igitur etsi non ob aliud quidpiam, at vel propter eum qui exhibitus est apud vos labor et prædicationis et signorum, indesinenter vestri meminisse. « Et per Spiritum sanctum. » Aut per Spiritum sanctum prædicavimus, aut Spiritum sanctum accepistis, inquit, per prædicationem. « Ac per certitudinem multam. » Signa enim propter certitudinem ipsorum faciebat. « Quemad-

modum nostis. » Et quid multa loquor, ait? Ipsi vos testes estis fuerimus erga vos. « Vestri causa. » Propter vos, inquit, quoniam vos electi eratis a Deo, ac si diceret : Vestri a Deo electio fuit occasio mei erga vos studii. « Et vos imitatores nostri. » Præceptoris erat, recreare ipsos a laboribus quos pertulerant. Ait ergo : Non vos segnes fuistis, cum nos hujusmodi studium inter vos suscepissemus. Sed quid? Etiam vos imitatores nostri facti fuistis et Domini. Quomodo? Qui sermonem excepistis in afflictione multa cum gaudio spiritus. Papæ, quidnam est quod dicit? Simul ut sermonem susceperunt, universa supergressi sunt, et imitatores Christi facti sunt. « Nostri facti estis. » Quomodo? Quia ipsi propter Dominum flagellati gaudebant quod digni essent ut pro nomine **154** ejus contumelia afficerentur. « Et Domini. » Quomodo? Quia et ipse alapis cæsus et patiens gaudebat. Voluntarie enim passus est, et sciens talia salvos facere salute cœlesti. Unde etiam dicebat : « Pater, glorifica Filium tuum [1], » loquens de cruce. « Cum gaudio Spiritus sancti. » Cum enim in carnalibus doleretis, in spiritualibus gaudebatis. « Adeo ut fueritis exemplo. » Et quomodo hi facti sunt illis exemplo, cum illi primum credidissent? Qui adeo clari fuistis, inquit, statim ab exordio, ut etiam his qui jam crediderant exemplo fueritis, ostendentes qualia sustinere oporteat propter fidem. « Et Achaia. » Id est, Græcia.

A νήθημεν πρὸς ὑμᾶς. « Δι' ὑμᾶς, φησὶν, » ἐπειδὴ ὑμεῖς ἦτε ἐκλεκτοὶ Θεῷ, ὡσεὶ ἔλεγε · Τῆς ἐμῆς σπουδῆς τῆς εἰς ὑμᾶς ἡ ὑμῶν παρὰ Θεοῦ ἐκλογὴ πρόφασις γέγονεν. « Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν. » Διδασκάλου ἦν τὸ ἀναῤῥῶσαι αὐτοὺς ἐξ ὧν ἐκεῖνοι ὑπέμειναν, καί φησιν · Οὐχ ἡμεῖς μὲν τοιαύτην εἰς ὑμᾶς σπουδὴν ἐπεδειξάμεθα, ὑμεῖς δὲ ῥᾳθυμοι ἦτε. Ἀλλὰ τί; Καὶ ὑμεῖς, φησὶ, μιμηταὶ ἡμῶν ἐγένεσθε καὶ τοῦ Κυρίου. Πῶς; Δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς πνευματικῆς. Βκβαὶ, οἷον λέγει. Ἅμα ἐδέξαντο τὸν λόγον ὑπερέπτυσαν ἅπαντα, καὶ μιμηταὶ Χριστοῦ γεγένηνται. « Ἡμῶν ἐγενήθητε. » Πῶς; Ὅτι αὐτοὶ μαστιζόμενοι ὑπὲρ τοῦ Κυρίου ἔχαιρον, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. « Καὶ τοῦ Κυρίου. » Πῶς; Ὅτι καὶ αὐτὸς B ῥαπιζόμενος καὶ πάσχων ἔχαιρεν. Ἑκὼν γὰρ ἔπασχε, καὶ εἰδὼς τὰ τοιαῦτα σώσαντα τὴν ὑπ' οὐρανόν. Ὅθεν καὶ ἔλεγε, « Πάτερ, δόξασόν σου τὸν Υἱὸν, » περὶ τοῦ σταυροῦ λέγων. « Μετὰ χαρᾶς Πνεύματος ἁγίου. » Ἐν γὰρ τοῖς σαρκικοῖς λυπούμενοι, ἐν τοῖς πνευματικοῖς ἐχαίρετε. « Ὥστε γενέσθαι ὑμᾶς τύπους. » Καὶ πῶς οὗτοι τύποι γεγόνασιν ἐκείνοις, ἐκείνων πρώτων πιστευσάντων; Ὅτι οὕτως, φησὶν, εὐδοκιμήσατε ἐκ προοιμίων, ὅτι καὶ τοῖς ἤδη πεπιστευκόσι τύπος ἐγένεσθε, οἷα δεῖ φέρειν διὰ τὴν πίστιν. « Καὶ Ἀχαΐᾳ. » Ἐν τῇ Ἑλλάδι.

I. 8-10. *A vobis enim pertonuit sermo Domini non solum in Macedonia et Achaia, verum etiam in omni loco fides vestra, quæ est in Deum, dimanavit, ut non sit nobis necesse quidquam loqui. Siquidem ipsi de vobis annuntiant qualem ingressum habuerimus ad vos, et quomodo conversi fueritis ad Deum a simulacris, ut servieretis Deo vivenli ac veraci : et exspectaretis Filium ejus de cœlis, quem excitavit a mortuis Jesum, qui liberat nos ab ira ventura.*

Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Κυρίου, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν. Ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι. Αὐτοὶ γὰρ περὶ ὑμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔχομεν πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ ἀναμένειν τὸν Υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ νεκρῶν Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.

« Et vobis enim pertonuit sermo. » Aut quod de vobis, fidei causa, fama ubique percurrit : aut quod ingressum et transitum dedistis verbo Dei per ea quæ tolerastis. Aut quod ubique audita est prædicatio propter vestram probitatem. « Verum etiam in omni loco. » Siquidem fidei, inquit, sermone vicinos replestis : nam æmulantes vos accurrerunt ad fidem. Admiratione vero, ex eo quod adeo brevi tempore tantam fidem ac certamen præbueretis, ut universum mundum repleveritis. « Ut non sit nobis necesse quidquam loqui. » Nam quæ nos de vobis loqui oportuit, ut et cæteras ad æqualem adduceremus zelum, hæc illi prævenientes dicunt. « Siquidem ipsi de vobis annuntiant qualem ingressum. » Puta quod cum tentationibus et periculis, quæ resistendo pertulimus, ad vos ingressi simus : vos autem neque propter hæc offendiculum passi estis, aut minus creduli estis. Etenim digres-

« Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος. » Ἢ ὅτι ἡ περὶ ὑμῶν τῆς πίστεως ἕνεκεν φήμη, πανταχοῦ διέδραμεν. Ἢ ὅτι πάρδον δεδώκατε τῷ λόγῳ τοῦ Θεοῦ, ἐξ ὧν ἠθλήσατε. Ἢ ὅτι πανταχοῦ ἤκουσται τὸ κήρυγμα, ἐκ τῆς ὑμῶν εὐδοκιμήσεως. « Ἀλλὰ καὶ ἐν παντὶ τόπῳ. » Τοῦ μὲν οὖν λόγου, φησὶ, τοῦ Θεοῦ, τοὺς γείτονας ἐνεπλήσατε. Ζηλώσαντες γὰρ ὑμᾶς, τῇ πίστει προσέδραμον. Τοῦ δὲ θαύματος ἐν οὕτω βραχεῖ χρόνῳ τοσαύτην πίστιν ἐπεδείξασθε καὶ ἆθλησιν, ὡς ἅπαντα τὸν κόσμον γέμειν. « Ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι. » Ἃ γὰρ ὑμᾶς, φησὶν, ἐχρῆν περὶ ὑμῶν λαλεῖν, ἵνα καὶ τοὺς λοιποὺς εἰς τὸν ἴσον ἐναγάγωμεν ζῆλον, ἐκεῖνοι προφθάνοντες λέγουσιν. « Αὐτοὶ γὰρ περὶ ὑμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον. » Ὅτι, φησὶ, μετὰ πειρασμῶν καὶ κινδύνων ὧν οἱ ἀνθιστάμενοι ἐπέφερον, εἰσήλθομεν πρὸς ὑμᾶς, ὑμεῖς δὲ οὐδὲ διὰ ταῦτα ἐσκανδαλίσθητε ἢ ἧττον ἐπιστεύσατε. Καὶ γὰρ ἀπελθὼν ἐν Βεροίᾳ

[1] Joan. XVII, 1.

ὡς αἱ Πράξεις λέγουσιν, ἐδιώχθη. Καὶ μετὰ τὸ διωχθῆναι, πάλιν, φησὶ, πρὸς ὑμᾶς ἐλθὼν, ἐδέχθην ὡς εὐδοκιμηκώς. « Πῶς ἐπεστρέψατε. » Πῶς; Εἰλικρινῶς. Πῶς; Μετὰ σφοδρᾶς καὶ διακαοῦς πίστεως. « Καὶ ἀναμένειν τὸν Υἱὸν αὐτοῦ. » Ἐνταῦθα διὰ τῆς διηγήσεως καὶ τοῦ ἐπαίνου, διδάσκει λεληθότως καὶ ἀναμένειν τὸν Υἱὸν αὐτοῦ. « Ἐκ τῶν οὐρανῶν. » Εἶτα ὡς ἐν ἀντιθέσει. Καὶ πῶς, φησὶ, τὸν ἀποθανόντα ἔχομεν περιμένειν ἐκ τῶν οὐρανῶν; Ὃν ἤγειρε, φησὶν, ἐκ τῶν νεκρῶν. Ὅρα πῶς εἰσῆλθεν εἰς τὴν ἀνάστασιν. Εἰ γὰρ μὴ τοῦτον ἀνεμένετε, οὐκ ἂν τοσαῦτα ὑπεμένετε. Ὁ δὲ τὸν Χριστὸν ἀναμένων, ἀπέχεται δηλονότι παντὸς πονηροῦ πράγματος. « Τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς. » Εἶπε τὴν ἀνάστασιν, λέγει καὶ τὴν ἀνταπόδοσιν, ἣν ἡμέραν ὀργῆς καλεῖ. Αὐτὸς γὰρ ἐῤῥύσατο ἡμᾶς ἐξ αὐτῆς, τὰς ἁμαρτίας ἡμῶν ἀφείς.

Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοὶ, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονεν, ἀλλὰ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε ἐν Φιλίπποις, ἐπαῤῥησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ Εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι. Ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν δόλῳ. Ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ Εὐαγγέλιον, οὕτως λαλοῦμεν, οὐχὼς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ Θεῷ, τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν.

Ὑμεῖς μὲν, φησὶ, τοιοῦτοι, ἀλλ' οὐδὲ ἡμεῖς ἀνθρώπινόν τι ἐκηρύξαμεν εἰς ὑμᾶς, ἀλλὰ Θεοῦ λόγους. « Ὅτι οὐ κενὴ γέγονε. » Τουτέστιν, οὐ ματαία. Οὐ μῦθοι γὰρ ψευδεῖς καὶ λῆροι τὰ ἡμέτερα κηρύγματα. « Ἀλλὰ προπαθόντες. » Πόθεν τοῦτο, φησὶν, ὅτι οὐ κενὴ γέγονεν; Ὅτι, φησὶν, ἀπὸ κινδύνων ἐκφυγόντες τῶν ἐν Φιλίπποις, πάλιν εἰς ἑτέρους κινδύνους ἐμβαλεῖν ἐθαῤῥήσαμεν, ὅπερ οὐκ ἂν ἐθαῤῥήσαμεν, εἰ μὴ βέλτιον ᾔδειμεν τὸ κήρυγμα. « Ἐπαῤῥησιασάμεθα. » Οὐχ ὑπεστάλημεν διὰ τοὺς καὶ παρ' ὑμῖν ἐκ τῶν ἐναντίων κινδύνους, ἀλλ' ἐπαῤῥησιασάμεθα. Ὁρᾷς πῶς ἐθάῤῥουν τῷ κηρυσσομένῳ; « Ἐν τῷ Θεῷ ἡμῶν, » φησί. Τὸ πᾶν τῷ Θεῷ ἀνατίθησι, τουτέστι, διὰ τὸν ἐνδυναμοῦντα Θεὸν, τοῦτο ποιῆσαι τεθαῤῥήκαμεν. Ἐν τῷ Θεῷ ἡμῶν θαῤῥήσαντες. — « Ἐν πολλῷ ἀγῶνι. » [OIKOYM.] Ὁρᾷς ὅτι καὶ παρὰ Θεσσαλονικεῦσι κίνδυνος ἦν οὐ μικρός; « Οὐκ ἐκ πλάνης οὐδὲ ἐξ ἀκαθαρσίας. » Τίνος δὲ χάριν φησὶν, ἀπὸ κινδύνων εἰς κινδύνους ἐμβαλεῖν ἐθαῤῥήσαμεν; Ὅτι ἡ παράκλησις ἡμῶν, τουτέστιν, ἡ διδαχὴ, οὐ πεπλανημένον τι ἢ δεδολωμένον ἢ ἀκάθαρτον, τουτέστι, μυσαρὸν, ἢ γοητικὸν ἔχει, ἀλλὰ θεία ἐστὶ, φησὶ, διδαχή. Καὶ τούτου δεῖγμα αὐτὸ τὸ καταθαῤῥεῖν τῶν κινδύνων. « Ἀλλὰ καθὼς δεδοκιμάσμεθα. » Ἀλλ' οὕτως ἐλαλήσαμεν ὑμῖν, φησὶν, ὡς ἐδοκιμάσθημεν παρὰ Θεοῦ ἄξιοι γενέσθαι, τοῦ πιστευθῆναι τὸ Εὐαγγέλιον, ὡσεὶ ἔλεγεν· Ὁ Θεὸς

A sus Berœæ persecutionem passus est, sicut Acta narrant[a]. Et postquam passus essem persecutionem, inquit, rursum ad vos veniens benigne exceptus admodum sum. « Quomodo conversi fueritis. » Quomodo? **155** Sincere. Quomodo? Cum vehementi ac ferventi fide. « Et exspectaretis Filium ejus. » Hoc loco per narrationem ac laudem, latenter quoque, docet exspectare Filium illius. « De cœlis. » Deinde tanquam per objectionem. Et quomodo, ait, eum qui mortuus est exspectare possumus de cœlis? Quem excitavit, inquit, a mortuis. Vide quomodo aditum ad resurrectionem invenerit. Nisi enim hunc exspectaretis, nequaquam tanta sustinuissetis. Qui vero Christum exspectat, ab omni sane pravo opere discedit. « Qui liberat nos B ab ira ventura. » Dixit resurrectionem, dicit et retributionem ac ultionem, quam vocat diem iræ. Ipse enim nos ab illa liberavit, remittendo nobis peccata.

II, 1-4. *Nam ipsi nostis, fratres, introitum nostrum ad vos, quod non fuerit inanis, sed quod ante malis afflicti et contumeliis affecti, quemadmodum scitis Philippis, audacter egerimus in Deo nostro ad loquendum apud vos Evangelium Dei in multo certamine. Siquidem exhortatio nostra non fuit ex impostura, neque ex impuritate, neque cum dolo, sed quemadmodum probati fueramus a Deo, ut nobis committeretur Evangelium, ita loquimur non ut hominibus placentes, sed Deo, qui probat corda* C *nostra.*

Vos sane tales eratis, ait, sed neque nos humanum aliquid apud vos prædicavimus, sed Dei sermones. « Quod non fuerit inanis. » Hoc est, non vana. Non fabulæ, non mendacia, non nugæ fuerunt nostræ prædicationes. « Sed quod ante malis affecti. » Unde hoc patet quod inanis non fuerit! Quia pericula evadentes quæ fuerant Philippis, rursum in alia pericula nos conjicere ausi fuerimus: quod nequaquam ausi fuissemus, nisi novissemus divinam esse prædicationem. « Audacter egerimus. » Non formidavimus propter pericula quæ ab adversariis apud vos imminebant, sed audacter et libere egimus. Vides quantam de prædicatione sumebant audaciam? « In Deo nostro. » Id, ait, rem in Deum referens: hoc est, propter D Deum, qui nos confirmat, hæc facere ausi sumus. Aut, in Deo nostro confidentes. — « In multo certamine. » Vides quod apud Thessalonicenses quoque non exiguum fuerit periculum. « Non fuit ex impostura. » **156** Quamobrem, inquit, nos a periculis in pericula conjicere ausi sumus? Quia exhortatio nostra, id est, doctrina, nihil seductorium aut dolosum aut impurum, hoc est, abominandum aut magicum habet, sed divina est doctrina. Et hujus indicium est quod ausi fuerimus adversum pericula. « Sed quemadmodum probati fueramus. » Sed ita, inquit, vobis locuti sumus, veluti a Deo probati fueramus esse idonei, ut committeretur

[a] Act. xvii, 10 seqq.

nobis Evangelium. Tanquam diceret : Deus proba- A ἐδοκίμασεν ἡμᾶς, μηδὲν πρὸς δόξαν λαλεῖν ἀνθρώπων μέλλοντας. Διὸ καὶ ἐπίστευσεν ἡμῖν τὸ Εὐαγγέλιον. Οὕτως οὖν ἐλαλήσαμεν ὑμῖν, ὡς ἐδοκίμασε καὶ ἔγνω ἡμᾶς ὁ Θεὸς, τουτέστιν ἄνευ κενοδοξίας, ἄνευ τοῦ θέλειν ὑμῖν ἀρέσκειν, ἄνευ δόλου καὶ ἀκαθαρσίας. « Οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες. » Ἡρμήνευσεν ἑαυτόν. Οἱ γὰρ δόλια καὶ ψευδῆ διδάσκοντες, διὰ τὸ ἀρέσαι ἀνθρώποις διδάσκουσιν. Ἡμεῖς δὲ, φησὶν, οὐχ οὕτως. Οὐ γὰρ ψεῦδος ἐδιδάσκομεν. Ἐπειδὴ γὰρ ἐπῄνεσεν αὐτοὺς, ἵνα μὴ κολακεύειν ὑποπτευθῇ, εἰς τοῦτον ἦλθε τὸν λόγον. « Τῷ δοκιμάζοντι τὰς καρδίας. » Τὸ δὲ τὰς καρδίας δοκιμάζοντι, οὐκ ἔνι τὸν δόλους λαλοῦντα καὶ πρὸς ἀνθρωπαρέσκειαν λαλοῦντα, ἀρέσαι.

B

II, 5-8. *Neque enim unquam per sermonem adulationis versati sumus, quemadmodum nostis, nec per occasionem avaritiæ : Deus est testis : neque quærentes ex hominibus gloriam : nec a vobis, nec ab aliis : cum possemus in auctoritate esse quemadmodum Christi apostoli : sed fuimus parvuli in medio vestri, perinde ac si nutrix foveat suos filios, sic affectu propensi in vos, ut cupiamus impertiri vobis non solum Evangelium Dei, verum etiam nostras ipsorum animas, propterea quod chari nobis facti sitis.*

Οὔτε γὰρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας. Θεὸς μάρτυς. Οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι. Ἀλλ' ἐγενήθημεν νήπιοι ἐν μέσῳ ὑμῶν ὡς ἂν τροφὸς θάλπει τὰ ἑαυτῆς τέκνα, οὕτως ἱμειρόμενοι ὑμῶν εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν. Οὐ μόνον τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς, διότι ἀγαπητοὶ ἡμῖν γεγένησθε.

« Neque enim unquam per sermonem adulationis. » Quod impostorum proprium est. « Quemadmodum nostis. » Ipsos quidem testes citat, quod non venerit per sermonem adulationis, et merito. C Siquidem ipsi melius noverant quam alii quæ circa se acta erant. Quod autem neque per occasionem aut intentionem accipiendi, Deum invocat testem : **157** incerta sunt enim hominibus, quæ in mente cujusque sunt studia. Accipere namque vel non accipere, notum fit hominibus, et de hoc ferunt testimonium. Quod autem nunquam vel accipiendi propositum habuerit, soli Deo cognitum est, tempore autem etiam hominibus manifestatur. Qui enim hoc habet propositum, omnino nisi mentem immutet, aliquando tandem accipiet. Paulo vero ne in mentem quidem unquam venerat, ut lucri occasione prædicaret. Idcirco eorum quæ in mente erant merito Deum testem vocat. Ipse, inquit, testis est quod neque gloriam ab hominibus quæ- D rentes prædicemus. Recte autem dicit ab hominibus ; nam illam quæ est a Deo et quærebant et accipiebant. Et prudenter admodum ait : Quærentes. Quanquam enim glorificabantur ab hominibus, non tamen quærebant aut operam dabant, ut glorificarentur. Ideo hujus quoque Deus testis est. Nam a communi sensu illud accipiendum est. « Neque quærentes ex hominibus. » Neque ut a vobis, inquit, aut ab aliis gloriam acciperemus, mendacia aliqua vobis locuti sumus. Non enim quærimus eam quæ est ab hominibus gloriam. Idque cum potuissemus, inquit, gloriosi esse, nihil ex hoc delinquentes : sumus namque Christi apostoli. Cum igitur debitam nobis gloriam renuerimus,

« Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας. » [ΦΩΤ.] Ὅπερ τῶν ἀπατώντων ἴδιόν ἐστιν. « Καθὼς οἴδατε. » Τοῦ μὲν μὴ ἐν λόγῳ κολακείας ἐλθεῖν, αὐτοὺς καλεῖ μάρτυρας, καὶ εἰκότως. (Αὐτοὶ γὰρ τῶν ἄλλων μᾶλλον τὰ περὶ αὐτοὺς ᾔδεισαν.) Ὅτι δὲ οὐδὲ ἐν προφάσει καὶ σκοπῷ τοῦ λαβεῖν, τὸν Θεὸν καλεῖ μάρτυρα. Ἄδηλα γὰρ ἀνθρώποις τὰ ἐν διανοίᾳ ἑκάστου μελετώμενα. Τὸ μὲν γὰρ λαβεῖν, ἢ μὴ λαβεῖν, γνωστὸν ἀνθρώποις γίνεται καὶ μαρτυρεῖται. Τὸ δὲ μηδὲ σκοπόν ποτε κτήσασθαι τοῦ λαβεῖν, Θεῷ γινώσκεται μόνῳ, χρόνῳ δὲ καὶ ἀνθρώποις ἀποκαλύπτεται. Ὁ γὰρ ἔχων τοῦτον σκοπὸν, πάντως εἰ μὴ μεταβάλλει τὸν σκοπὸν, ὀψέ ποτε λήψεται. Παῦλῳ δὲ, οὐδὲ ἐπὶ νοῦν ἦλθε τὸ ἐπὶ προφάσει κέρδους κηρῦξαι. Διὸ εἰκότως τῶν ἐν διανοίᾳ τὸν Κύριον μάρτυρα καλεῖ. Ὁ αὐτὸς δὲ μάρτυς, φησὶν, ὅτι οὐδὲ δόξαν ἐξ ἀνθρώπων ζητοῦντες κηρύττομεν. Καλῶς δὲ ἐξ ἀνθρώπων. Τὴν γὰρ ἐκ Θεοῦ, καὶ ἐζήτουν, καὶ ἐλάμβανον. Σοφῶς δὲ λίαν, καὶ τὸ, Ζητοῦντες. Εἰ γὰρ καὶ ἐδοξάζοντο ὑπ' ἀνθρώπων, ἀλλ' οὐ ζητοῦντες, οὐδὲ ἐπιτηδεύοντες τὸ δοξασθῆναι. Διὸ καὶ τούτου μάρτυς ὁ Θεός. Ἀπὸ κοινοῦ γὰρ ληπτέον αὐτό. « Οὔτε ζητοῦντες, ἐξ ἀνθρώπων. » Οὐδ' ἵνα, φησὶ, λάβωμεν παρ' ὑμῶν, ἢ ἀπ' ἄλλων δόξαν, ἐλαλήσαμεν ὑμῖν ψεύδη τινά. Οὐ γὰρ ζητοῦμεν τὴν παρὰ ἀνθρώπων δόξαν. Καὶ ταῦτα, φησὶ, δυνάμενοι εἶναι ἔνδοξοι, καὶ μὴ ἐκ τούτου ἁμαρτάνοντες. Ἐσμὲν γὰρ Χριστοῦ ἀπόστολοι. Οἱ οὖν καὶ τὴν ὀφειλομένην ἡμῖν δόξαν ἀρνησάμενοι, φησὶ, πῶς διὰ δόξαν ἁρπεπῆ, ἐμέλλομέν τι δεδολωμένον κηρύσσειν ; « Δυνάμενοι ἐν βάρει εἶναι. » Ἢ ἐν τιμῇ καὶ δόξῃ, ἢ, *ἐν βάρει*, τουτέστι, λαμβάνειν καὶ τρέφεσθαι. « Ὡς Χριστοῦ ἀπόστολοι. » Εἰ γὰρ

οἱ παρὰ βασιλέως ἀποστελλόμενοι ἐν τιμῇ εἰσι, πόσῳ μᾶλλον οἱ ἀπὸ Χριστοῦ; « Ἀλλ' ἐγενήθημεν νήπιοι. » Οὐδὲν βαρὺ, οὐδὲν φορτικὸν, οὐδένα κόμπον ἔχοντες, ἐν μέσῳ ὑμῶν, φησί. Τουτέστιν, οὐ τὴν ἀνωτέρω λαβόντες τάξιν, ἀλλ' ὡς εἷς ἐξ ὑμῶν ἐγενήθημεν. « Οὕτως ἱμειρόμενον ὑμῶν. » Οὕτως ὑμᾶς ἀγαπῶντες καὶ ἀντεχόμενοι ὑμῶν, καὶ θάλποντες τῷ πνεύματι, ὡς τροφὸς τὰ ἑαυτῆς τρόφιμα παιδία. « Εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν. » Ποθοῦντες ὑμᾶς καὶ ἱμειρόμενοι ὑμῶν εὐδοκοῦμεν, τουτέστι, σπουδάζομεν. Ἢ βουλόμεθα, μετὰ τοῦ κηρύγματος, καὶ τὰς ἑαυτῶν ψυχὰς, εἰ οἷόν τε, δοῦναι ὑμῖν, καὶ ὑπὲρ ὑμῶν. Ὁ δὲ τοῦτο βουλόμενος, πῶς βιωτικοῦ τινος ἕνεκεν ἐκήρυξε; Πῶς δὲ σαρκικῆς ὅλως μετεῖχε διανοίας; « Διότι ἀγαπητοὶ ἡμῶν. » Καὶ τίς ἡ τούτων αἰτία; εἶποι τις αὐτῶν. Ἡ ἀγάπη, φησίν.

A quomodo propter indecentem gloriam dolosum aliquid prædicaturi eramus? « Cum possemus in auctoritate esse. » Aut in honore et gloria. Aut ἐν βάρει in onere, id est, accipere et ali. « Tanquam Christi apostoli. » Si enim legati qui a rege mittuntur in honore sunt, quanto magis ii qui a Christo? « Sed fuimus parvuli. » Nihil grave, inquit, nihil onerosum, nullum fastum habentes, inter vos, hoc est, non superiori sumpto ordine, sed sicut unus vestrum fuimus. « Sic affectu propensi in vos. » Adeo vos diligentes et amplectentes, spiritusque foventes, quamadmodum nutrix suos quos aluit puerulos. « Ut animo cupiamus impertiri vobis. » Desideramus vos, et affectu in vos propensi cupimus ex animo sive volumus et conamur cum prædicatione nostras quoque ipsorum animas, si fieri

B posset, dare vobis aut pro vobis. Qui autem id cupit, quomodo temporalis alicujus rei causa prædicasset? Quomodo carnalis omnino mentis particeps fuisset? **158** « Propterea quod chari nobis. » Et quænam horum causa est? diceret quispiam Charitas, inquit, et amor vestri.

Μνημονεύετε γάρ, ἀδελφοί, τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον. Νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ Εὐαγγέλιον τοῦ Θεοῦ. Ὑμεῖς μάρτυρες καὶ ὁ Θεὸς, ὡς ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν, καθάπερ οἴδατε, ὡς ἕνα ἕκαστον ὑμῶν, ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι. Καὶ μαρτυρούμενοι εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν.

II, 9 12 *Meministis enim, fratres, laboris nostri ac sudoris. Siquidem nocte ac die opus facientes, ob id ne cui vestrum essemus oneri, prædicavimus apud vos Evangelium Dei. Vos autem testes estis et Deus quam sancte et juste ac inculpate vobiscum. Qui credebatis, versati fuerimus, quemadmodum nostis, ut erga unumquemque vestrum, tanquam pater erga filios suos fuerimus effecti, obsecrantes vos, et consolantes; ac obtestantes, ut ambularetis digne Deo, qui vocasset vos in suum regnum ac gloriam.*

« Τὸν κόπον ἡμῶν. » Οὐκ εἶπε, Τὰς εὐεργεσίας, ἃς εὐηργετήσαμεν ὑμᾶς, ἀλλ' ὃ μᾶλλον ἦν ἐντρεπτικώτερον, τὸν κόπον ἡμῶν, φησὶ, καὶ τὸν μόχθον. « Πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν. » Καίτοι ἔχοντες ἐξουσίαν ὡς Χριστοῦ ἀπόστολοι, καθὼς ἀνωτέρω εἶπεν. « Ὑμεῖς μάρτυρες καὶ ὁ Θεός. » Ἀξιόπιστος μὲν ὁ Θεὸς μάρτυς. Πῶς γὰρ οὔ; Ἐπεὶ δὲ ἄδηλον τοῖς ἀνθρώποις εἰ ὁ Θεὸς εἰς τοῦτο μαρτυρεῖ, καὶ αὐτοὺς τοὺς πρὸς οὓς ὁ λόγος καλεῖ μάρτυρας. — [ΦΩΤ.] Μάρτυρες ὑμεῖς, ὧν ἐθεάσασθε. Ὧν δὲ ὑμεῖς οὐκ ἐθεάσασθε, ὁ Θεὸς ὁ πάντα εἰδώς. Οὕτως οὐδὲ ὑπονοίας αὐτοῖς λαβὴν ἐβούλετο καταλιπεῖν. « Ὡς ὁσίως. » Ὅτι ἀδόλως, ὅτι οὐχ ὑπούλως· ὅτι οὐ κατὰ ἀνθρωπαρέσκειαν, ὅτι ἄνευ προθέσεως τοῦ λαβεῖν τι. « Ὑμῖν τοῖς πιστεύουσι. » Τοῖς γὰρ ἀπίστοις οὐκ ἄμεμπτος. Πολλὰ γὰρ αὐτοῦ κατεμέμφοντο, καὶ πρῶτον ὅτι ἐκήρυσσεν ἀπὸ τῶν εἰδώλων ἀφίστασθαι. « Καθάπερ οἴδατε. » Πάλιν αὐτοὺς καλεῖ μάρτυρας, ὅτι, φησὶ, καὶ πλούσιον καὶ πένητα, καὶ ταπεινὸν καὶ δυνάστην, καὶ δυσανασχετοῦντα. Βαβαὶ, οἷον ἦν, τὸ μηδένα παραλιπεῖν ἐν τοσούτῳ πλήθει. « Ὡς πατὴρ τέκνα. » Ἄνω ὡς τροφὸς εἶπών. Νῦν ὡς πατὴρ, φησὶν, ὃ καὶ ἀγάπην καὶ προστασίαν δηλοῖ, καὶ ὅτι ἀτύφως πάντα ἐποίει. Τίς γὰρ ἂν πρὸς τέκνα ἐπαρθείη; « Καὶ παραμυθούμενοι. » Εἰς τὸ φέρειν γενναίως τοὺς ἐπανισταμένους ὑμῖν πειρασμούς. « Καὶ μαρτυρόμενοι, » φησίν. Ὁ οὖν μαρτυρόμενος, δηλονότι πολὺ τοῦ κολακεύειν καὶ ἀνθρωπαρεσκεῖν ἀφέστηκεν. « Εἰς τὸ περιπατῆσαι ὑμᾶς. »

C « Laboris nostri. » Non dixit : Beneficiorum, quibus vos affecimus, sed quod longe majoris erat sollicitudinis, laboris nostri ac sudoris. « Ob id ne cui vestrum essemus oneri. » Cum tamen potestatem haberemus tanquam Christi apostoli sicut superius dixit : « Vos testes estis et Deus. » Deus testis fide dignus est, quomodo enim mentiri posset? Verum quoniam hominibus incertum est, num Deus in hoc attestetur eos etiam vocat in testes ad quos sermo factus est. — Vos testes estis eorum quæ conspexistis, eorum autem quæ non conspexistis Deus testis est, qui omnia novit. Ita neque suspicionis ansam eis relinqui voluit. « Quam sancte. » Quod sine dolo, quod non ficte, quod non ad placendum hominibus, quod sine

D proposito quidquam accipiendi. « Vobiscum, qui credebatis. » Nam inter incredulos non habebatur inculpatus : multa enim in eo reprehendebant, et præsertim quod exhortaretur ab idolis separari. « Quemadmodum nostis ut erga unumquemque. » Rursum ipsos testes vocat. Quod et divitem et pauperem, et abjectum ac potentem et moleste ferentem. Papæ, quidnam hoc erat ut neminem in tanta multitudine prætermitteret? « Tanquam pater erga filios. » Cum superius dixisset, Perinde ac nutrix, nunc, « Tanquam pater, » ait : quod et dilectionem significat et præsidentiam, quodque omnia sine fastu faceret : quis enim adversus filios extolleretur? « Et consolantes. » Ut viriliter ferretis insurgentes adversum vos afflictiones. « Ac

obtestantes. » **159** Qui igitur obtestatur, manifestum est quod multum dissideat ab assentando, et studio placendi hominibus. « Ut ambularetis. » Obsecrabamus, inquit, non ut aliquid nobis conferretis, sed ut vos juvaremini, et opulentum vobis ipsis regnum cœlorum pararetis, digne ad ipsum gradientes. Animadverte autem ipsum, quod etiam in hoc deceat. Nam si Dei regnum est præmium, oportet omnia prompto ferre animo.

A Παρακαλοῦμεν δὲ, φησὶν, οὐχ ἵνα τι ἡμῖν χαρίσησθε, ἀλλ' ἵνα ὑμεῖς ὠφεληθῆτε, καὶ βατὴν ὑμῖν αὐτοῖς τὴν βασιλείαν τῶν οὐρανῶν κατασκευάσητε, ἀξίως αὐτῆς περιπατοῦντες. Ὅρα δὲ αὐτὸν, ἐν ταὐτῷ καὶ διδάσκοντα. Εἰ γὰρ Θεοῦ βασιλεία τὸ ἔπαθλον, δεῖ πάντα φέρειν προθύμως.

II, 13. *Quapropter et nos gratias agimus Deo indesinenter, quod cum acciperetis a nobis sermonem auditus Dei : accepistis, non sermonem hominum, sed sicut est vere, sermonem Dei : qui etiam agit in vobis credentibus.*

Διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως, ὅτι παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν τοῦ Θεοῦ, ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλλὰ καθώς ἐστιν ἀληθῶς λόγος Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν.

Deinde illos etiam commendat. Non enim ita est, inquit, ut nos quidem sine dolo, et sicut dictum est, erga vos conversati fuerimus, vos autem aliquid fide indignum feceritis : sed accepistis a nobis sermonem auditus, hoc est, sermonem qui auditus est inter vos, prædicationis videlicet. Aut sermonem auditus dicit, eo quod per auditum suscipitur. Sermonem fidei, ait, accepistis. Quomodo autem excepistis? An vilipendo? Non, inquit, sed ita excepistis, non ut qui hominis sermonem susciperetis, hoc est meum, sed ut sermonem Dei : Deus enim per me locutus est, inquit. Aut sermonem auditum, aut sermonem per auditum accipientes. « Sermonem auditus. » Recte profecto. Neque enim omnes spectatores esse ipsi poterant ejus quod prædicabatur. Dicebat autem et Dominus : « Beati qui non viderunt et crediderunt [a], » per auditum videlicet etiam sermonis pietatem accipientes. « A nobis Dei. » A nobis quidem accepistis, non autem qui noster esset sermo, sed Dei. « Non sermonem hominum. » Non tanquam hominum, inquit, sermonem, sed sicut est vere sermo Dei. Aut accepistis non tanquam sermonem hominum, sed tanquam sermonem Dei, sicut etiam est sermo Dei, inquit. Aut accepistis sicut est et decet accipere sermonem Dei, hoc est, cum timore, cum attentione. — « Qui etiam agit in vobis. » Aut agit in vobis, hoc est, suam ostendit potentiam, fortassis per signa quædam. Aut agit, id est crescit per vitam vestram.

Εἶτα καὶ ἐγκωμιάζει αὐτούς. Οὐ γὰρ ἡμεῖς μὲν B ἀδόλως, φησὶ, καὶ, ὡς εἴρηται, ἀνεστράφημεν εἰς ὑμᾶς, ὑμεῖς δὲ ἀνάξιόν τι τῆς πίστεως πεποιήκατε, ἀλλὰ παρελάβετε λόγον ἀκοῆς παρ' ἡμῶν, τουτέστι, λόγον ἀκουσθέντα εἰς ὑμᾶς, τὸν τοῦ κηρύγματος δηλονότι. Ἢ λόγον ἀκοῆς φησι, τὸν διὰ τῆς ἀκοῆς παραληφθέντα. Λόγον τῆς πίστεως ἐδέξασθε, φησίν. Ἐδέξασθε δὲ πῶς ; Ἆρα κατατεθρονημένως ; Οὔ, φησίν. Ἀλλ' οὕτως ἐδέξασθε, οὐχ ὡς λόγον ἀνθρώπου δεχόμενοι, τουτέστιν ἐμοῦ, ἀλλ' ὡς λόγον Θεοῦ. Δι' ἐμοῦ γὰρ, φησὶν, ὁ Θεὸς ἐφθέγξατο. Ἢ λόγον ἀκουσθέντα, ἢ λόγον διὰ τῆς ἀκοῆς παραλαβόντες. « Λόγον ἀκοῆς. »— [ΦΩΤ.] Καλῶς. Οὐ γὰρ αὐτόπται πάντες ἠδύναντο γίνεσθαι τοῦ κηρυττομένου. Ἔλεγε δὲ καὶ ὁ Κύριος. « Μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες, » δι' ἀκοῆς δηλονότι καὶ λόγου παραδεξάμενοι C τὴν εὐσέβειαν. « Παρ' ἡμῶν τοῦ Θεοῦ. » Παρ' ἡμῶν μὲν παρελάβετε, οὐχ ἡμέτερον δὲ ὄντα, ἀλλὰ τοῦ Θεοῦ τὸν λόγον. « Οὐ λόγον ἀνθρώπων. » Οὐχ ὡς λόγον, φησὶν, ἀνθρώπων, ἀλλὰ καθώς ἐστιν ἀληθῶς λόγος Θεοῦ. Ἢ ἐδέξασθε, οὐχ ὡς λόγον ἀνθρώπων, ἀλλ' ὡς λόγον Θεοῦ. Καθὼς, φησὶ, καὶ ἔστι λόγος Θεοῦ. Ἢ ἐδέξασθε καθὼς ἐστι καὶ πρέπει δέξασθαι λόγον Θεοῦ, τουτέστι, μετὰ φόβου, μετὰ προσοχῆς. « Ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν. » [ΟΙΚΟΥΜΕΝΙΟΥ.] Ἢ ἐνεργεῖ ἐν ὑμῖν, τουτέστι, τὴν οἰκείαν δύναμιν ἐπιδείκνυσιν, ἴσως διὰ σημείων τινῶν, ἢ ἐνεργεῖται, τουτέστιν, αὔξει διὰ τοῦ ὑμετέρου βίου.

160 II, 14, 20. *Vos enim imitatores facti estis, fratres, Ecclesiarum Dei quæ sunt in Judæa in Christo Jesu : quod eadem passi sitis et vos a propriis contribulibus, quemadmodum et ipsi a Judæis, qui et Dominum Jesum occiderunt et proprios prophetas, et nos persecuti sunt, et Deo non placent, et omnibus hominibus adversantur : qui obsistunt nobis, ne loquamur gentibus quo salvi fiant, ut expleant peccata sua semper : pervenit autem in illos ira in finem.*

D *Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοὶ, τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων, κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε. Ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.*

Et quod tanquam Dei sermonem, inquit, acceperitis, inde manifestum est, quod pro ipso tanta pati sustinueritis. Quemadmodum enim ex his quæ ipse

Καὶ ὅτι, φησὶν, ὡς λόγον Θεοῦ ἐδέξασθε, ἔνθεν δῆλον, ἐξ ὧν ὑπὲρ αὐτοῦ τοσαῦτα παθεῖν ἠνέσχεσθε. Ὥσπερ γὰρ ἐξ ὧν αὐτὸς ἔπασχεν, ἐπιστοῦτο τὸ θεῖα

[a] Joan. xx, 29.

τινα κηρύσσειν, οὕτως; καὶ ἐξ ὧν οὗτοι ἔπαθον, πιστοῦνται, ὅτι ὡς Θεοῦ λόγον ἐδέξαντο τὸ κήρυγμα. « Τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ἐν Χριστῷ. » Εὐφυῶς διεῖλεν. Ἐπειδὴ γὰρ καὶ αἱ Συναγωγαὶ τῶν Ἰουδαίων ἐν Θεῷ εἶναι δοκοῦσι, τὰς τῶν πιστῶν Ἐκκλησίας, καὶ ἐν τῷ Θεῷ καὶ ἐν τῷ Υἱῷ αὐτοῦ λέγει εἶναι. Τῶν Ἐκκλησιῶν γὰρ, φησὶ, τοῦ Θεοῦ, τῶν οὐσῶν ἐν Χριστῷ Ἰησοῦ. Ὁ δὲ ἀρνούμενος τὸν Υἱὸν, καὶ τὸν Πατέρα ἥρνηται. « Ὅτι τὰ αὐτὰ ἐπάθετε. » Καὶ οὗτοι πολλοὺς ὑπέμειναν ὑπὸ τῶν ἰδίων συμφυλετῶν πειρασμοὺς, ὥσπερ οἱ ἐκ περιτομῆς πιστοὶ, ὑπὸ τῶν τῷ Ἰουδαϊσμῷ ἐναπομεινάντων. « Τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων. » Καὶ τί θαυμαστὸν, φησὶν, εἰ τοὺς ἰδίους συμφυλέτας ἐκάκωσαν οἱ Ἰουδαῖοι, ὅπου γε καὶ τὸν Κύριον ἐσταύρωσαν; Μεγάλη γὰρ πρὸς πειρασμοὺς παραμυθία τὰ τοῦ Χριστοῦ παθήματα. Διὸ καὶ ἀεὶ αὐτῶν μέμνηται. « Καὶ τοὺς ἰδίους προφήτας. » Ἴσως, φησὶν, ἐρεῖ τις, ὅτι τὸν Κύριον ἀγνοήσαντες ἀνεῖλον. Ἀλλὰ καὶ αὐτοὺς τοὺς προφήτας, ὧν τὰς βίβλους μετεχειρίζοντο, ἠγνόουν; Ἀλλ' ὅμως καὶ αὐτοὺς ἀνεῖλον. « Καὶ ἡμᾶς ἐκδιωξάντων. » Καὶ ἡμῖν δὲ, φησὶν, ἀπεφύσησαν. Δεῖ οὖν ὑμᾶς γενναίως φέρειν τοὺς πειρασμοὺς, ἀφορῶντας πρὸς τοὺς πεπονθότας. « Καὶ Θεῷ μὴ ἀρεσκόντων. » Πῶς γὰρ τῷ παρ' αὐτῶν σταυρωθέντι ἀρέσαιεν; « Καὶ πᾶσιν ἀνθρώποις, φησὶν, ἐναντίων. » Εἰ γὰρ τῇ οἰκουμένῃ τὸ κήρυγμα λαληθῆναι Θεοῦ ἐστιν ἵνα σωθῇ, αὐτοὶ δὲ κωλύουσι λαλῆσαι, καὶ πάντων τὴν σωτηρίαν ἐμποδίζουσιν, ἆρα κοινοὶ τῆς οἰκουμένης εἰσὶν ἐχθροὶ, πρὸς τὴν πάντων σωτηρίαν ἐναντίως ἔχοντες. — « Εἰς τὸ ἀναπληρῶσαι. » [ΦΩΤ.] Ταῦτα δὲ καὶ πάλαι ἐπὶ τῶν προφητῶν, καὶ νῦν ἐπὶ τοῦ Χριστοῦ καὶ ἐφ' ἡμῶν ἔπραξαν, ἵνα πάντοτε ἀναπληρωθῶσιν αἱ ἁμαρτίαι αὐτῶν. Ἐπειδὴ γὰρ πάντοτε ταῦτα ἔπραττον, πάντοτε ἀνεπλήρουν τὰς ἁμαρτίας αὐτῶν. — « Αὐτῶν τὰς ἁμαρτίας. » [ΟΙΚΟΥΜΕΝΙΟΥ.] Ὅρα ἐπιτεταμένην τὴν Ἰουδαίων κατηγορίαν, καὶ ἀξίαν τῆς αὐτῶν μιαιφονίας. Φησὶ γὰρ ὅτι πάντα ἃ ἐποίησαν οἱ Ἰουδαῖοι, σκοπῷ τοῦ ἁμαρτάνειν ἐποίουν, τουτέστιν, ᾔδεισαν ὅτι ἁμαρτάνουσι καὶ ἡμάρτανον. Εἰς τὸ ἀναπληρῶσαι γὰρ, φησὶν, αὐτῶν τὰς ἁμαρτίας, οἷον ὅτι, ὥσπερ χρεωστοῦντες ἁμαρτάνειν, οὕτως ἡμάρτανον. Ἔστω γὰρ τὸν Κύριον ἀγνοοῦντες ἀνεῖλον, τοὺς προφήτας διὰ τί, ἐφ' οἷς σεμνύνονται; Ἡμᾶς διὰ τί διώκουσιν; Ὑμᾶς διὰ τί κακοῦσι; Τὰ ἔθνη διὰ τί κωλύουσι σωθῆναι; Εἰ ἀγαθόν ἐστι τὸ προστεθεῖν τῇ πίστει Χριστοῦ τὰ ἔθνη, τί μὴ προστρέχουσι καὶ αὐτοὶ, ἀλλὰ καὶ τοὺς προστρέχοντας ἐπιχειροῦσι κωλύειν; Εἰ δὲ οὐκ ἀγαθὸν ἡγοῦνται, τί διαφθονοῦντες τοῖς προσιοῦσι; Τί δὲ αὐτοῖς καὶ τῶν ἐθνῶν μέλει; Ὁρᾷς πῶς ἑκουσίως ἁμαρτάνουσι, καὶ πάντα ποιοῦσιν εἰς τὸ πάντοτε ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας, τουτέστιν, ἕνεκα τοῦ μηδέ ποτε ἀποστῆναι αὐτοὺς τοῦ ἁμαρτάνειν; Διὰ τοῦτό φησι, « Καὶ ἔφθασεν ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. » Ἀεὶ μὲν γὰρ ἁμαρτανόντων, εἵπετο ἡ ὀργή. Ἀνεβάλλετο δὲ, τῇ μετανοίᾳ χώραν διδοῦσα, νῦν δὲ κατέλαβεν αὐτούς. « Ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργή. » Οἶδεν ὅτι οὐ τὸ

A patiebatur, confirmabat quod divina quædam prædicaret : ita quoque ex his quæ ipsi passi erant, confirmabant quod tanquam Dei sermonem, susciperent prædicationem. « Ecclesiarum Dei quæ sunt in Judæa in Christo. » Apte distinxit. Quandoquidem enim Judæorum quoque synagogæ in Deo esse videntur, fidelium Ecclesias et in Deo et in Filio ejus dicit esse. Ecclesiarum enim, inquit, Dei, quæ sunt in Christo Jesu. Qui autem Filium negat, etiam et Patrem negat. « Quod « eadem passi sitis. » Etiam hi multa sustinuerant a propriis contribulibus adversa : quemadmodum credentes ex circumcisione ab his qui in Judaismo remanserant. « Qui et Dominum occiderunt. » Et quid, inquit, admirandum, si proprios B contribules Judæi affligant, quando ipsum quoque Dominum crucifixerunt? Siquidem magnum adversus afflictiones solatium sunt ea quæ passus est Christus : ideo quoque semper meminit ipsorum. « Et prophetas. » Fortassis, inquit, dicet aliquis quod Dominum ignorantes occiderunt : sed num ipsos prophetas in quorum libris versabantur ignorabant? attamen ipsos quoque occiderunt. « Et nos persecuti sunt. » Et nos, inquit, expulerunt. Oportet igitur nos adversitates ferre viriliter intuentes ad eos qui passi sunt. « Et Deo non placent. » Quomodo enim illi placerent qui ab ipsis occisus est? « Et omnibus hominibus adversantur. » Nam si orbi manifestari prædicationem Dei, est ut salvus fiat, ipsi vero prohibent loqui, **161** et omnium salutem C impediunt, sane communes sunt orbis inimici, hostili more se habentes ad omnium salutem. « Ut expleant. » Hæc autem et olim in prophetis et nunc in Christo et in nobis fecerunt, ut semper explerentur peccata ipsorum. Nam quia semper hæc faciebant, semper explebant peccata sua.—« Peccata sua. » Vide exaggeratam Judæorum accusationem, et dignum illis homicidium. Ait enim quod omnia quæ Judæi faciebant, proposito peccandi faciebant, id est, sciebant se peccare et peccabant. Nam ut explerent, inquit, peccata sua, hoc est, tanquam debitores essent ad peccandum, ita peccabant. Esto enim quod Dominum ignorantes occiderint, at prophetas quam ob causam, de quibus sese jactant? D Nos quamobrem persequuntur? Quare et vos affligunt? Cur gentes impediunt, ne salvæ fiant? Si bonum est gentes ad Christi fidem accedere, quare non accurrunt et ipsi? quinetiam accurrentes prohibere conantur? Quod si non esse bonum judicant, cur invident accedentibus? Quare etiam gentes ipsis curæ sunt? Vides quomodo voluntarie peccent, et omnia faciant, ut continue expleant peccata sua, hoc est, nunquam desistant a peccando? Propterea quoque ait : « Pervenit in illos « ira in finem. » Semper enim cum peccarent, sequebatur eos ira : verum cunctabatur dans locum pœnitentiæ, nunc autem comprehendit ipsos. « Pervenit autem in illos ira. » Novit quod multos habere adversitatum socios non tantum adfert so-

latii, quantum ultionem sumi de inimicis. 'Η ὀργή, A ipsa, inquit, ira. Articuli additio ostendit ipsam iram, quæ jam olim ipsis debebatur. « In finem. » Non amplius ita ut quandoque **162** sit servitus et rursum libertas, captivitas et rursum regressio, et ira Dei ac iterum liberatio : sed in finem, inquit, dural it ira Dei super ipsos, hoc est, usque ad finem, ut jam non sit solutio malorum.

CAPUT II.

Quod ipsos desideraret, et in eis gauderet ac sollicitus esset ut perficerentur.

Cæterum nos, fratres, orbati vobis ad tempus horæ, aspectu, non corde, vehementius studuimus videre faciem vestram cum multo desiderio. Quapropter voluimus venire od vos, ego quidem Paulus et semel B *et iterum, et obstitit nobis Satanas. Nam quæ est nostra spes aut gaudium aut corona gloriationis ? an non et vos in conspectu Domini Jesu Christi in ejus adventu ? Vos enim estis gloriatio nostra et gaudium. Proinde cum non amplius ferremus, visum est nobis ut Athenis resideremus soli.*

Superius dixit, quod tanquam pater cum filiis conversatus sit, nunc tanquam filius patres quærebat. Nam hoc est quod dicit, Orbati, hoc est, orphani relicti a vobis. Vides quantus mœror solitudinis? Id autem propter vehementem erat dilectionem. « Ad tempus horæ. » Non potest, inquit, dici quod diuturnitas separationis tristitiam intenderit, sed dilectio : nam ad tempus horæ, hoc est, C ad breve spatium temporis, separati fuimus. « Aspectu, non corde. » Et neque corde separati fuimus, sed solo aspectu : et tamen adeo contristati fuimus. Vides quanta dilectio? Angebatur quod vel ad horam aspectu separaretur. In corde nostro, inquit, habemus vos. « Vehementius studuimus. » Quam verisimile sit eos qui ad horam derelicti sunt. Intuere sane amorem. Propter nihil aliud, ait, accedere volo quam ut videam vos. « Quapropter voluimus venire. » Aspice ipsum de amore propemodum gloriantem. Omnes, inquit, qui mecum erant venire festinabant, ego vero semel atque iterum tentavi. « Et obstitit nobis Satanas. » Promptum, inquit, animum cohibebunt supervenientes afflictiones : **163** has autem communis hostis movere solet, ut prohiberet profectionem ad ipsos. Quid ais? Obstitit Satanas? Profecto, inquit : neque enim Deus opus erat, ut in tentationes et afflictiones inciderem, quo etiam prohiberer ad vos proficisci ; nam hoc dicit Satanæ obstaculum. Ad Romanos quidem dicit : « Deus me prohibuit [a]. » Ad Corinthios vero : « Spiritus operatio fuit ne venirem [b] : » hic autem quoniam in afflictiones incidens præpeditus est, Satanæ dicit illud esse opus divina factum promissione. « Nam quæ est nostra spes? » Quanti amoris sunt

πολλοὺς ἔχειν τῶν πειρασμῶν κοινωνοὺς τοσοῦτον παραμυθεῖται, ὡς τὸ ἐκδικεῖσθαι ἀπὸ τῶν ἐχθρῶν. Ἡ ὀργὴ, φησί. Τοῦ ἄρθρου ἡ προσθήκη δείκνυσιν ὀφειλομένην αὐτοῖς πάλαι τὴν ὀργήν. « Εἰς τέλος. » Οὐκ ἔτι, φησὶν, ὡς πάλαι δουλεία καὶ πάλιν ἐλευθερία, αἰχμαλωσία καὶ πάλιν ἐπάνοδος, καὶ ὀργὴ Θεοῦ καὶ πάλιν καταλλαγὴ, ἀλλ' εἰς τέλος, φησὶν, ἡ ὀργὴ τοῦ Θεοῦ ἐπ' αὐτοὺς, τουτέστιν, ἄχρι τέλους· οὐκ ἔτι λύσις τῶν κακῶν.

ΚΕΦΑΛ. Β'.

Πόθος αὐτῶν καὶ χαρὰ ἐν αὐτοῖς καὶ μέριμνα, ὅπως τελειωθῶσιν.

Ἡμεῖς δὲ, ἀδελφοὶ, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ. Διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς B *ὑμᾶς. Ἐγὼ μὲν Παῦλος καὶ ἅπαξ καὶ δὶς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς. Τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ, ἢ στέφανος καυχήσεως; Ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ ἐν τῇ αὐτοῦ παρουσίᾳ; Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά. Διὸ μηκέτι στέγοντες, εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι.*

Ἄνω εἶπεν, ὅτι ὡς πατὴρ τέκνοις συνεγενόμην, νῦν ὡς τέκνον πατέρας ἐζήτει. Τοῦτο γὰρ τὸ, Ἀπορφανισθέντες, ἀντὶ τοῦ, ὀρφανοὶ καταλειφθέντες ἀφ' ὑμῶν. Ὁρᾷς ὅση τοῦ χωρισμοῦ ἡ λύπη; Τοῦτο δὲ διὰ τὴν πολλὴν ἀγάπην. « Πρὸς καιρὸν ὥρας. » Οὐκ ἔνι εἰπεῖν, φησὶν, ὅτι ὁ χρόνος τοῦ χωρισμοῦ τὴν ἀθυμίαν ἐπέτεινεν, ἀλλ' ἡ ἀγάπη. Πρὸς ὥρας γὰρ C καιρὸν ἐχωρίσθημεν. « Προσώπῳ, οὐ καρδίᾳ. » Καὶ οὐδὲ καρδίᾳ ἐχωρίσθημεν, φησὶν, ἀλλὰ προσώπῳ μόνῳ, καὶ ὅμως οὕτως ἠθυμήσαμεν. Ὁρᾷς ὅση ἡ ἀγάπη; Ἠνιᾶτο καὶ πρὸς ὥραν καὶ προσώπῳ χωρισθείς. Ἐν γὰρ καρδίᾳ ἡμῶν ὑμᾶς ἔχομεν, φησίν. « Περισσοτέρως ἐσπουδάσαμεν. » Ἤ, ὡς εἰκὸς ἦν, τοὺς πρὸς ὥραν ἀπολειφθέντας. Ὅρα δὴ ἀγάπην, ὅτι δι' οὐδὲν ἕτερον παραγενέσθαι θέλω, φησὶν, ἀλλ' ἵνα τὸ πρόσωπον ὑμῶν ἴδω. « Διὸ ἠθελήσαμεν ἐλθεῖν. » Ὅρα αὐτὸν, μικροῦ καὶ ἐγκαλλωπιζόμενον τῇ ἀγάπῃ. Πάντες μὲν, φησὶν, οἱ μετ' ἐμοῦ, ἐσπούδαζον ἐλθεῖν, ἐγὼ δὲ ἅπαξ καὶ δὶς ἐπεχείρησα. « Καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς. » Ἐπέσχον τὴν προθυμίαν, φησὶν, οἱ ἐπάλληλοι πειρασμοί. Τούτους δὲ ὁ κοινὸς κινεῖν πολέμιος εἴωθεν, οὗ δὴ χάριν κεκωλῦσθαι τὴν πρὸς αὐτοὺς ἐκδημίαν. Τί φῄς; Ἐνέκοψέ σε D ὁ Σατανᾶς; Ναὶ, φησίν. Οὐ γὰρ Θεοῦ τοῦτο ἔργον ἦν, τὸ εἰς πειρασμούς με καὶ θλίψεις ἐμπεσεῖν, ὡς καὶ κωλυθῆναί μου τὴν πρὸς ὑμᾶς ὁδόν· τοῦτο γὰρ ἐγκοπὴν τοῦ Σατανᾶ λέγει. Ἐπὶ μὲν Ῥωμαίων λέγει, « Ὁ Θεὸς ἐκώλυσέ με. » Ἐπὶ δὲ Κορινθίων, « Τοῦ Πνεύματος ἔργον ἐγένετο τὸ μὴ ἐλθεῖν με. » Ὅδε δὲ ἐπειδὴ ἐν πειρασμοῖς ἐμπεσὼν ἐνεποδίσθη, τοῦ Σατανᾶ λέγει αὐτὸ ἔργον, κατὰ συγχώρησιν τοῦ Θεοῦ γεγονός. « Τίς γὰρ ἡμῶν ἐλπίς; » Ὦ πόσης ἀγάπης ταῦτα τὰ ῥήματα! Αἱ μητέρες ἀεὶ πρὸς τὰ παιδία ταῦτα λαλοῦσιν. « Ἡ στέφανος καυχήσεως. »

[a] Rom. I, 13. [b] II Cor. I, 15.

Ἦρκει καὶ ὁ στέφανος δεῖξαι ἣν ἔχει δι' αὐτοὺς λαμπρότητα καὶ καύχημα, ἀλλὰ διὰ πολλὴν ἐνδειξιν, καὶ καυχήσεως προσέθηκεν, ὡσεὶ εἶπεν· Ἐφ' ὑμῖν μᾶλλον, ἢ ἐπὶ στεφάνῳ ἀγάλλομαι. « Ἢ οὐχὶ καὶ ὑμεῖς ; » Τί οὖν ; Θεσσαλονικεῖς εἰσιν ἡ ἐλπίς σου, ὦ μακαρία ψυχή ; Οὐχ οὗτοι μόνοι, φησί. Διὸ ἐπάγει τὸ, καὶ, δεικνὺς καὶ ἄλλους ὄντας. « Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν. » Πῶς γὰρ αὐτὸν οἴει διατίθεσθαι, τοσαύτην Ἐκκλησίαν πιστῶν ὑπ' αὐτοῦ φυτευθεῖσαν προσάγοντα τῷ Χριστῷ ; « Εὐδοκήσαμεν καταλειφθῆναι. » Ἐλόμεθα, φησὶ, καὶ ἠνεσχόμεθα. A hæc verba. Matres continuo hæc erga sua pignora loquuntur. « Corona gloriationis. » Satis erat dicere corona, ut ostenderet vehementiam ac gloriationem, quam erga eos gerebat : at ob majorem demonstrationem addidit gloriationis, tanquam diceret : In vobis magis quam in corona glorior. « An non et vos? » Quid ergo ? Num Thessalonicenses sunt tua spes, o beata anima? Non hi soli, inquit. Ideo etiam adjunxit, Et ostendens quod alii quoque sint. » « Vos enim estis gloria nostra. » Quomodo namque putas ipsum affectum fuisse, qui tantam fidelium Ecclesiam a se plantatam adduceret ad Christum ? « Visum est nobis. » Elegimus, inquit, ac sustinuimus.

Καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ Θεοῦ καὶ συνεργὸν ἡμῶν ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑμᾶς περὶ τῆς πίστεως ὑμῶν, τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. Αὐτοὶ γὰρ οἴδατε, ὅτι εἰς τοῦτο κείμεθα. Καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο, καὶ οἴδατε. Διὰ τοῦτο κἀγὼ μηκέτι στέγων, ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν. B III, -2 5. *Ac misimus Timotheum fratrem nostrum et ministrum ac adjutorem operis nostri in Evangelio Christi, ut confirmaret vos et consolaretur vos de fide vestra : ne quisquam demulceretur ac turbaretur in afflictionibus his. Nam ipsi nostis nos in hunc usum positos esse. Etenim cum apud vos essemus, prædicebamus vobis fore, ut afflictionem pateremur, quemadmodum etiam evenit, et nostis. Quapropter et ego non amplius ferens, misi ad hoc, ut cognoscerem de fide vestra : ne quo pacto tentasset vos ille qui tentat, et inanis factus esset labor noster.*

Τοιαύτη τοῦ ἁγίου τούτου ἡ μέθοδος. Ὅταν διὰ πειρασμοὺς καὶ τὴν ἐντεῦθεν βίαν, μὴ δύνηται πρός τινας τῶν μαθητῶν ἀπελθεῖν, ἑτέρους πέμπει, καὶ διὰ μέσων αὐτῶν σύνεστι καὶ συνδιατρίβει αὐτοῖς. Τοῦτο πρὸς Φιλιππησίους, τοῦτο πρὸς Κορινθίους ποιεῖ, τὸν αὐτὸν Τιμόθεον πέμψας, καὶ διὰ μέσου C αὐτῶν ὁμιλῶν αὐτοῖς. « Τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ Θεοῦ. » Τοῦτό φησιν, οὐ τοσοῦτον τὸν Τιμόθεον ἐπαίρων, ὅσον τὴν πρὸς τούτους δεικνὺς σπουδήν. Οἷον, φησὶν, ὑμῖν ἔπεμψα. « Καὶ συνεργὸν ἡμῶν, » ὡσεὶ εἶπε, Τοιούτου ἔργου αὐτὸν ἀπεσπάσαμεν διὰ τὴν πρὸς ὑμᾶς ἀγάπην. « Εἰς τὸ στηρίξαι ὑμᾶς. » Ὡς σαλευομένους, ἐφ' οἷς ἦν ὁ διδάσκαλος ἐν πειρασμοῖς. Μέγας γὰρ ὄντως θόρυβος τοῖς μαθηταῖς, τὸ εἶναι τὸν διδάσκαλον ἐν πειρασμοῖς. « Καὶ παρακαλέσαι ὑμᾶς. » Ἡ γὰρ παράκλησις, ὑπὲρ τοῦ μὴ σαλευθῆναι εἰς τὴν πίστιν ἐγίνετο. « Τὸ μηδένα σαίνεσθαι. » Οἷον θορυβεῖσθαι, ταράσσεσθαι, ἀπὸ μεταφορᾶς τῶν τὰς οὐρὰς ταρασσόντων κυνῶν, μὴ κινεῖσθαι, μηδὲ τῆς προτέρας ἐξίστασθαι γνώμης. « Ἐν ταῖς θλίψεσι ταύταις. » D Πολλὰ γὰρ ἦν τότε θλιπτεῖς, ὡς καὶ αὐτὸς ἔφη, Ὅτι ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς. « Οὐ δεῖ δὲ ὑμᾶς θορυβηθῆναι, φησὶν, ἢ σκανδαλισθῆναι, ἐφ' οἷς ἐγὼ θλίβομαι. Διὰ τί ; Καὶ ὑμεῖς γὰρ αὐτοὶ οἴδατε, φησὶν, ὅτι εἰς τὸ θλίβεσθαι κείμεθα, τουτέστιν, εἰς τοῦτο κεκληρώμεθα, εἰς τοῦτο ἀπογεγράμμεθα. Καὶ ἀλλαχοῦ φησι· « Διὸ εὐδοκῶ ἐν ἀνάγκαις, ἐν θλίψεσι. » Καὶ πάλιν ἐπιθανατίους τοὺς ἀποστόλους καλεῖ. « Ὅτι εἰς τοῦτο κείμεθα. » Καὶ ὑπὲρ τῶν μελλουσῶν θλίψεων αὐτοὺς παραμυθεῖται. Αὐτοὺς γὰρ εἰς τοῦτο κεῖσθαι ἀνάγκη, τὸ ἀεὶ θλίβεσθαι. « Προελέγομεν ὑμῖν. » Πολλὴ παρα-

Hujusmodi esse istius sancti ratio docendi, ut cum per afflictiones ac vim **164** quæ sequitur, non possit ad aliquos discipulorum proficisci, alios mittit, et per ipsos medius convenit et cum eis conversatur. Hoc ad Philippenses facit, hoc ad Corinthios, misso eodem Timotheo, et per ipsum medium cum eis conversatur eosque alloquitur. « Fratrem nostrum ac ministrum Dei. » Hoc ait, non tantum extollens Timotheum, quantum ostendens studium erga ipsos. Talem, inquit, vobis misi. « Ac adjutorem operis nostri, » tanquam diceret: A tali opere ipsum abstraximus ob dilectionem erga vos. « Ut confirmaret vos. » Tanquam fluctuantes, eo quod præceptor in afflictionibus esset. Vere enim magna sequitur discipulos turbatio, si præceptor adversitates patiatur. « Et consolaretur vos. » Nam facta est consolatio, ne in fide concuterentur. « Ne quisquam demulceretur ac turbaretur. » Hoc est, terreretur. Sumpta est metaphora in verbo σαίνεσθαι, a canibus caudam motantibus. Id est, ne moveretur, aut a prima voluntate ac proposito resiliret. « In afflictionibus his. » Frequentes siquidem erant tunc afflictiones, sicut ipse etiam dicebat : « Et obstitit nobis Satanas. » Non oportet autem vos turbari, ait, aut offendi ob ea quæ ego patior. Quare ? Nam et vos ipsi, inquit, nostis quod positi sumus ut affligeremur : hoc est, ad hoc electi sumus, ad hoc conscripti. Alibi quoque ait ; « Quapropter placeo mihi in necessitatibus, in afflictionibus [a]. » Rursumque apostolos dicit morti destinatos [b]. « Nos in hunc usum positos esse. » Etiam de futuris afflictionibus ipsos consolatur :

[a] II Cor. XII, 9. [b] I Cor. IV, 9.

necesse enim erat ut in hunc usum positi essent quo semper affligerentur. « Prædicebamus vobis fore. » Magna discipulis est consolatio quod prædixerit futurum ut affligerentur : postmodum enim non turbabantur tanquam ad rem improvisam. Propterea quoque dicebat Christus apostolis : « Et nunc dixi vobis priusquam fiat, ut cum factum fuerit, credatis [8].—« Quemadmodum etiam evenit, et nostis. » Testes estis, ait, et vos. Non latuit vos ventura afflictio. « Quapropter et ego non amplius ferens. Nonne prædixisti eis quod affligendus esses, et quod non oporteret eos ex afflictione turbari ? Quid rursum mittis ? Ex multa, inquit, dilectione. Qui enim amant, etiam de his quæ secura sunt suspicantur. Et quia tantæ erant adversitates, ut et Paulus timeret. **165** Animadverte autem quod non dixerit, Dubitans de vobis, sed quod magni amoris indicium est, Non amplius ferens, ait : « Misi ad hoc ut cognoscerem. » Hoc loco quæruntnonnulli quam ob causam is qui ad tertium usque cœlum ascenderat, et arcana audierat verba [9], dixerit : Ad hoc ut cognoscerem de fide vestra. Quid enim ? An ignorabat quo pacto affecti erant, is qui Christum habebat in seipso loquentem ? Et dicimus quod non omnia noverant apostoli, sed quædam etiam ignorabant. Hanc autem ignorantiam in veteris quoque Testamenti prophetis poterit quis invenire. Nam et Elissæus ignorans mortem filii Saraphthiæ dicebat ad Giezi : « Et Dominus abscondit a me [10]. » Ignorabant vero ob tres potissimum causas. Primum ut fastum ipsorum prohiberet. « Datus est mihi, ait, angelus Satan [11]. » Secundum, ne homines majores ipsos existimarent quam juxta humanam naturam. Tertium, ut sciremus omnes quod cum similiter ut nos, homines essent tacti affectibus, suis laboribus ac virtute peregerunt quæ operati sunt, nec semper divina fruebantur inspiratione, ne putarent eos gratia et non virtute tales esse quales erant. « Ne quo pacto tentasset vos ille qui tentat. » Non enim suspicati sumus, ait, vos concussos, sed tentatos solum esse. Certe in adversitatibus turbari, a diabolo procedit, eo quod alii affligantur. « Et inanis factus esset labor noster. » Quamobrem ? Licet enim aversi essent, num id tua causa factum esset ? Non, inquit. Sed tamen hoc etiam modo timui propter vim amoris.

A μυθία τοῖς μαθηταῖς, ὅτι προεῖπε μέλλειν θλίβεσθαι. Λοιπὸν γὰρ οὐχὶ ὡς ἐπὶ ἀπροσδοκήτου ἐθορυβοῦντο. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε τοῖς ἀποστόλοις· « Ἄρτι εἶπον ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα ὅταν γένηται, πιστεύσητε. » — « Καθὼς καὶ ἐγένετο καὶ οἴδατε. » Μαρτυρεῖτε, φησὶ, καὶ ὑμεῖς· οὐ λέληθεν ὑμᾶς ἡ μέλλουσα θλῖψις. « Διὰ τοῦτο κἀγὼ μηκέτι στέγων. » Εἰ προεῖπας αὐτοῖς ὅτι θλιβήσῃ, καὶ ὅτι οὐ χρὴ αὐτοὺς ἐπὶ τῇ θλίψει θορυβεῖσθαι ; Τί πάλιν πέμπεις ; Ἀπὸ πολλῆς ἀγάπης, φησίν. Οἱ γὰρ ἀγαπῶντες, καὶ τὰ ἀσφαλῆ ὑποπτεύουσι. Καὶ ὅτι τοσοῦτοι ἦσαν οἱ πειρασμοὶ, ὡς καὶ ἔτι φοβῆσαι τὸν Παῦλον. Ὅρα δέ. Οὐκ εἶπεν, ἀμφιβάλλων περὶ ὑμῶν, ἀλλ' ὁ πολλῆς ἀγάπης δεικτικὸν, Μηκέτι στέγων, φησίν. — « Ἔπεμψα εἰς τὸ γνῶναι. » [ΙΩΑΝ.] Ἐνταῦθά τινες ζητοῦσι, τί δή ποτε ὁ ἕως τρίτου οὐρανοῦ ἀναβὰς, καὶ ἄῤῥητα ἀκούσας ῥήματα, εἶπεν· Εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν. Τί γάρ ; Ἠγνόει πῶς διέκειντο, ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα ; Καί φαμεν, ὅτι οὐ πάντα ᾔδεσαν οἱ ἀπόστολοι, ἀλλὰ καὶ ἠγνόουν τινά. Ταύτην δὲ τὴν ἄγνοιαν καὶ ἐπὶ τῶν παλαιῶν εὕροι τις. Καὶ γὰρ Ἐλισσαῖος ἀγνοῶν τὸν θάνατον τοῦ παιδὸς τῆς Σαραφθίας, ἔλεγε πρὸς Γιεζὶ, « Καὶ Κύριος ἀπέκρυψεν ἀπ' ἐμοῦ. » Ἠγνόουν δὲ διὰ τρεῖς μάλιστα αἰτίας. Πρῶτον, ἵνα καταστέλληται αὐτῶν τὸ φρόνημα. « Ἐδόθη γάρ μοι, φησὶν, ἄγγελος Σατᾶν. » Δεύτερον, ἵνα μὴ λογίσωνται αὐτοὺς οἱ ἄνθρωποι μείζους ἢ κατὰ ἀνθρωπίνην φύσιν. Τρίτον, ἵνα γνῶμεν πάντες ὅτι ὁμοιοπαθεῖς ; ἡμῖν ὄντες ἄνθρωποι, οἰκείοις πόνοις καὶ ἀρετῇ κατώρθουν ἃ κατώρθουν, καὶ οὐκ ἀεὶ θείας ἀπήλαυον ἐπιπνοίας, ἵνα μὴ δόξωσι χάριτι καὶ οὐκ ἀρετῇ εἶναι οἷοι ἦσαν. « Μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων. » Οὐ γὰρ ὑπωπτεύσαμεν ὑμᾶς σεσαλεῦσθαι, φησὶν, ἀλλὰ μόνον πεπειράσθαι. Ἆρα τὸ ἐν πειρασμοῖς θορυβεῖσθαι, διαβολικόν ἐστι, καὶ μάλιστα ἐξ ὧν ἄλλοι θλίβονται τὸ, ἄλλους σκανδαλίζεσθαι. « Καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν. » Διὰ τί ; Εἰ γὰρ καὶ παρετράπησαν, μὴ παρὰ τὴν σὴν αἰτίαν τοῦτο γέγονεν ; Οὐχὶ, φησίν. Ἀλλ' ὅμως καὶ οὕτως δέδοικα διὰ τὴν ἀγάπην.

III, 6-10. *Nuper autem cum ad nos venisset Timotheus a vobis et læte annuntiasset nobis fidem ac dilectionem vestras, quodque habeatis memoriam nostri bonam semper, desiderantes vos videre, quemadmodum nos quoque vos. Idcirco consolationem accepimus, fratres, per vos, super omni afflictione et necessitate nostra, per vestram fidem. Quoniam nunc vivimus si vos statis in Domino. Quam enim gratiarum actionem possumus Deo rependere de vobis super omni gaudio gaudemus propter vos in conspectu Dei nostri, nocte* **166** *ac die supra modum orantes, ut videamus faciem vestram et suppleamus ea quæ desunt fidei vestræ.*

D Ἄρτι δὲ ἐλθόντος Τιμοθέου πρὸς ἡμᾶς ἀφ' ὑμῶν, καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν. Καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθὴν, πάντοτε ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν καθάπερ καὶ ἡμεῖς ὑμᾶς. Διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοὶ, ἐφ' ὑμῖν, ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν, διὰ τῆς ὑμῶν πίστεως, ὅτι νῦν ζῶμεν ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ. Τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ Θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ ᾗ χαίρομεν δι' ὑμᾶς ἔμπροσθεν τοῦ Θεοῦ ἡμῶν, νυκτὸς καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν.

[8] Joan. XIV, 29. [9] II Cor. XII, 4. [10] IV Reg. IV, 27. [11] II Cor. XII, 7.

Ὁρᾷς τὴν περιχάρειαν αὐτοῦ; Οὐ γὰρ εἶπεν *ἀπαγγείλαντος*, ἀλλὰ *εὐαγγελισαμένου*. « Καὶ ὅτι ἔχετε μνείαν ἡμῶν. » Τῆς γὰρ πίστεως; βεβαίας οὔσης, ἀνάγκη καὶ τὴν πρὸς ἡμᾶς μνήμην εἶναι βεβαίαν. « Καθάπερ καὶ ἡμεῖς ὑμᾶς. » Μετὰ ἐγκωμίου. Ὅτι οὕτως, φησὶν, ἀγαπᾶτε, ὡς καὶ ἀγαπᾶσθε. « Διὰ τοῦτο παρεκλήθημεν. » Ἀλλὰ μὲν, φησὶν, ἠλπίσαμεν, μή πως ἐπειράσθητε, καὶ ἠλγοῦμεν· ἐπεὶ δὲ Τιμόθεος ἀπήγγειλεν ἃ ἀπήγγειλεν, οὐ μόνον τοῦ ἀλγεῖν ἐπαυσάμεθα, ἀλλὰ καὶ χαρᾶς ἐπλήσθημεν. « Ἐπὶ πάσῃ τῇ θλίψει. » (Ὦ ψυχὴ ἁγία καὶ θεοφιλής!) « ἐπὶ πάσῃ, φησὶ, τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν, » ἐφ' ὑμῖν καὶ ἐπὶ τῇ ὑμετέρᾳ πίστει παρεκλήθημεν καὶ παρεμυθήθημεν, ὡσεὶ εἶπεν· Οὐδὲ αἴσθησις ἡμῖν τῆς λύπης γεγένηται διὰ τὴν ἐφ' ὑμῖν χαράν. « Διὰ τῆς ὑμῶν πίστεως. » Αὕτη γὰρ ἀσάλευτος μείνασα, τὴν παράκλησιν ἡμῖν εἰργάσατο. « Ὅτι νῦν ζῶμεν. » Οὐκ εἶπε, Παρεμυθήθημεν ἢ ἀνεπνεύσαμεν ἐκ τῶν κακῶν, ἀλλ' ὃ μεῖζον ἦν, Νῦν ζῶμεν, φησὶ, ζωὴν ἡγούμενος τὴν ἐκείνων τῆς πίστεως βεβαίωσιν, καὶ θάνατον τὸ αὐτῆς παρασαλευθῆναι. « Ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ. » Ἐν Κυρίῳ δὲ ἵστανται, οἱ τὴν πίστιν αὐτοῦ ἀκλινῆ φυλάττοντες καὶ τὸν βίον ἴσον τῆς πίστεως παρέχοντες. « Τίνα γὰρ εὐχαριστίαν. » Καὶ τοσαύτη, φησὶν, ἡ δι' ὑμᾶς χαρὰ, ὅτι οὐδὲ εὐχαριστεῖν κατ' ἀξίαν εὑρίσκομεν. « Ἔμπροσθεν τοῦ Θεοῦ ἡμῶν. » Εἰκότως ἔμπροσθεν τοῦ Θεοῦ χαίρομεν· αὐτὸς γὰρ ταύτης ἡμῖν τῆς χαρᾶς αἴτιος, καὶ αὐτοῦ τὸ δῶρον. « Ὑπερεκπερισσοῦ δεόμενοι. » Ἐκκεχυμένοι, φησὶ, πρὸς τὴν τοιαύτην δέησιν, καὶ πλέον δεόμενοι ἢπερ εἰκὸς δέεσθαι τὸν ἰδεῖν μαθητὰς βουλόμενον. « Καὶ καταρτίσαι. » Ἐπὶ τῶν σαλευομένων τῇ πίστει, Στηρίξαι λέγει· ἐπὶ δὲ τῶν τῇ πίστει μὲν ἐστηριγμένων, μικρὸν δὲ πρὸς διδαχὴν ἐλλειπόντων, Καταρτίσαι λέγει, οἷον ἀναπληρῶσαι. « Τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν. » Καίτοι ἄνω, τὸ ἑστάναι αὐτοῖς ἐμαρτύρησε. Τοῦτο γὰρ καὶ Τιμόθεος, ὥς φησιν, ἐμαρτύρησε. Πῶς οὖν λέγει, Τὰ ὑστερήματα τῆς πίστεως αὐτῶν; Καί φαμεν, ὅτι ἐξέλιπεν αὐτοῖς εἰς διδασκαλίαν ἴσως τὰ περὶ ἀναστάσεως ἢ τι τοιοῦτον. Ἐν μὲν οὖν τῇ εἰς Χριστὸν πίστει βέβαιοι ἦσαν, μὴ παρατραπέντες τοῖς πειρασμοῖς καὶ ταῖς θλίψεσιν. Ἔδει δὲ αὐτοὺς καὶ τὰ λοιπὰ τοῦ καθ' ἡμᾶς δόγματος μαθεῖν.

A Vides immodicam ipsius lætitiam. Neque enim simpliciter dixit ἀπαγγείλαντος, id est, qui annuntiasset : sed εὐαγγελισαμένου, hoc est, qui fausta et prospera annuntiasset. « Quodque habeatis memoriam nostri. » Nam cum firma sit fides, necesse est et memoriam erga nos esse firmam. Quemadmodum nos quoque vos. » Cum encomio hæc dicuntur. Ita, inquit, amatis quemadmodum etiam amamini. « Idcirco consolationem accepimus. » Itaque, inquit, timebamus, ne tentationem passi essetis, et dolebamus : postquam autem renuntiavit Timotheus quæ renuntiavit, non solum a dolore quievimus, verumetiam gaudio impleti sumus. « Super omni afflictione. » (O sancta Deoque dilecta anima!) in omni, inquit, afflictione et necessitate nostra; de vobis, vestraque fide consolationem B ac solatium accepimus : ac si diceret : Nullus nobis doloris sensus fuit reliquus propter gaudium quod de vobis accepimus. « Per vestram fidem. » Hæc enim cum inconcussa permanserit, consolationem in nobis operata est. « Quoniam nunc vivimus. » Non dixit, Animum recepimus, aut Respiravimus a malis, sed quod majus erat, Nunc vivimus, ait, vitam ducens firmitatem fidei illorum ; et mortem, dimoveri ab ipsa. « Si vos statis in Domino. » In Domino autem stant, qui fidem ipsius immobilem custodiunt ac vitam fidei æqualem præstant. « Quam enim gratiarum actionem. » Et tantum est, inquit, acceptum propter vos gaudium, quod ne inveniamus quidem quomodo digne gratias agamus. « In C conspectu Dei nostri. » Merito in conspectu Dei gaudemus ; ipse enim nobis gaudii hujus causa est, et ipsius donum est. « Supra modum orantes. » Inhiantes, inquit, ad hujusmodi orationem, et vehementius orantes quam verisimile sit eum orare qui discipulos videre cupit. « Et suppleamus. » De his qui in fide vacillabant dicit, Confirmare : de illis vero qui in fide confirmati erant, verum nonnihil ad doctrinam eis deerat, ait, Supplere, hoc est, explere. « Ea quæ desunt fidei vestræ. » Atqui superius testatus est de eis quod starent ; nam hoc etiam Timotheus, ut dixit testatus fuerat. **167** Quomodo ergo, ait ? Ea quæ desunt fidei vestræ ? Et dicimus quod deerant eis ad doctrinam ea fortassis quæ de resurrectione erant, aut aliquid hujusmodi. In fide itaque erga Christum firmi erant, non aversi per tentationes et afflictiones. Oportebat autem eos et reliqua discere de dogmate quod apud nos est.

ΚΕΦΑΛ. Γ'.

Εὐχὴ πρὸς Θεὸν περὶ ἐφόδου τῆς αὐτοῦ, καὶ τῆς αὐξήσεως καὶ βεβαιώσεως Θεσσαλονικέων, ἕως τῆς παρουσίας Χριστοῦ.

Αὐτὸς δὲ ὁ Θεὸς καὶ Πατὴρ ἡμῶν, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς. Ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς, εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας, ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.

CAPUT III.

Precatio ad Deum de adventu suo, et cremento ac confirmatione Thessalonicensium usque ad adventum Christi.

III, 11-13. *Ipse vero Deus et Pater noster et Dominus noster Jesus Christus dirigat viam nostram ad vos. Vos autem Dominus abundantes exuberantes faciat mutua inter vos charitate in omnes, quemadmodum et nos in vos, confirmet corda vestra, irreprehensibiles in sanctimonia coram Deo et Patre nostro in adventu Domini Jesu Christi cum omnibus sanctis ejus.*

Hoc loco per precationem suas quoque partes tuetur. Non fuit, inquit, mea negligentia quod non venerim : nam ipse precor, ut veniam ; tanquam diceret : Deus obsistat Satanæ, qui ubique nobis impedimento est per suas tentationes : quo recto ad vos itinere veniamus. « Abundantes faciat. » Vide quantam vult esse charitatem, quod etiam precatur, ut abundent et exuberent in charitate. « Mutua inter vos et in omnes. » Hoc enim Christianorum est, ut non tantum fratres diligant, verumetiam omnes homines, et credentes et incredulos. « Quemadmodum et nos in vos. » Nostra enim dilectio jam adest, vestram vero fieri optamus. « Ut confirmet. » **168** Ut charitas, inquit, confirmet corda vestra. Nam si ipsa exuberet, confirmatio efficitur eorum qui ipsam nacti sunt. Corda vestra, ait. Hæc enim nata est, ut interiorem quoque hominem confirmet. Siquidem prohibet, ne pravæ cogitationes ex ipsa egrediantur. Beatus Basilius libro ad Amphilochium, ubi de divino disserit spiritu, ait Paulum nunc precari Spiritum sanctum. Quis enim est, inquit, qui corda ipsorum in charitate confirmare posset coram Deo in præsentia filii ? Sane spiritus. Quis autem alium precatur quam Deum ? « Vota mea, inquit, sive preces meas Domino reddam [18]. » Ibi animadverte. « Irreprehensibiles in sanctimonia. » Sufficiebat quidem dicere Irreprehensibiles ; nunc autem addidit etiam In sanctimonia, hoc est, in puritate. Non dicit autem de sola pudicitia, sed et de omni virtute : nam id vere sanctimonia est, ab omni sorde purum esse. « Coram Deo. » Aut hoc ait : In sanctimonia coram Patre. Hæc enim vere sanctimonia est, habere ipsam oculis Dei comprobatam. Aut judicante Christo, quod indicium fit coram Patre. Ubi namque posset abesse qui omnia replet Pater?

Ἐνταῦθα διὰ τῆς εὐχῆς ἅμα καὶ ἀπολογεῖται, ὅτι οὐ παρ' ἐμὴν, φησὶν, ἀμέλειαν οὐκ ἦλθον· καὶ γὰρ καὶ εὐχή μοι, φησὶ, τὸ ἐλθεῖν, ὡσεὶ ἔλεγεν·. Ὁ Θεὸς ἐκκόψαι τὸν Σατανᾶν τὸν πανταχοῦ ἡμῖν διὰ τῶν πειρασμῶν ἐμποδίζοντα, ἵνα ὀρθὴν ὁδὸν πρὸς ὑμᾶς ποιησώμεθα. « Πλεονάσαι. » Ὅρα πόσην ἀγάπην εἶναι βούλεται, ὅτι καὶ πλεονάσαι καὶ περισσεῦσαι αὐτοὺς ἐν τῇ ἀγάπῃ εὔχεται. « Εἰς ἀλλήλους καὶ εἰς πάντας. » Τοῦτο γὰρ Χριστιανῶν, τὸ μὴ μόνον τοὺς ἀδελφοὺς ἀγαπᾷν, ἀλλὰ καὶ πάντας ἀνθρώπους, καὶ πιστοὺς, καὶ ἀπίστους. « Καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς. » Τὸ μὲν ἡμῶν πάρεστι, φησὶ, τὸ δὲ ὑμῶν γενέσθαι εὐχόμεθα. « Εἰς τὸ στηρίξαι. » Εἰς τὸ τὴν ἀγάπην, φησὶ, στηρίξαι ὑμῶν τὰς καρδίας. Ἂν γὰρ αὐτὴ περισσεύῃ, στηριγμός ἐστι τῶν κεκτημένων αὐτήν. (Τὰς καρδίας φησίν.) Αὕτη γὰρ καὶ τὸν ἔσω ἄνθρωπον στηρίζειν πέφυκε. Κωλύει γὰρ ἐκβαίνειν ἐξ αὐτῆς διαλογισμοὺς πονηρούς. Ὁ μακάριος Βασίλειος ἐν τῷ πρὸς Ἀμφιλόχιον ἔνθα θεολογεῖ τὸ πνεῦμα, φησὶ τὸν Παῦλον, αὐτὸ τὸ ἅγιον εὔχεσθαι Πνεῦμα νῦν. Τίς γὰρ ὁ στηρίξαι, φησὶν, ἐν ἀγάπῃ τὰς καρδίας αὐτῶν ἔχων ἔμπροσθεν τοῦ Πατρὸς ἐν τῇ παρουσίᾳ τοῦ Υἱοῦ ; δηλονότι τὸ πνεῦμα. Τίς δὲ εὔχεται ἑτέρῳ, πλὴν Θεῷ ; « Τὰς εὐχάς μου γάρ, φησὶ, τῷ Κυρίῳ ἀποδώσω. » Ἐκεῖ πρόσχες. « Ἀμέμπτους ἐν ἁγιωσύνῃ. » Ἥρκει μὲν τὸ ἀμέμπτους, νῦν δὲ καὶ τὸ, Ἐν ἁγιωσύνῃ, προστέθεικεν, οἷον, Ἐν καθαρότητι. Οὐ λέγει δὲ περὶ σωφροσύνης μόνης, ἀλλὰ καὶ περὶ πάσης ἀρετῆς. Τοῦτο γὰρ ἀληθῶς ἁγιασμὸς, τὸ παντὸς ῥύπου καθαρὸν εἶναι. « Ἔμπροσθεν τοῦ Θεοῦ. » Ἢ τοῦτό φησιν, Ἐν ἁγιωσύνῃ τῇ ἔμπροσθεν τοῦ Πατρός. Αὕτη γὰρ ἡ ὄντως ἁγιωσύνη, τὸ ἔχειν αὐτὴν τοῖς ὀφθαλμοῖς τοῦ Θεοῦ μαρτυρουμένην. Ἢ ὅτι κρίνοντος τοῦ Χριστοῦ, ἥτις κρίσις ἔμπροσθεν τοῦ Πατρὸς γίνεται. Ποῦ γὰρ καὶ ἀπεῖναι εἶχεν ὁ πάντα πληρῶν Πατήρ ;

CAPUT IV.

ΚΕΦΑΛ. Δ'.

Exhortatio ad temperantiam, justitiam, fraternum in judicio amorem et laborem in proprio opere.

Παραίνεσις σωφροσύνης, δικαιοσύνης, ὡς ἐπὶ κρίσει φιλαδελφίας, ἐργασίας ἰδιοπράγμονος.

IV, 1-8. *Quod superest igitur, fratres, rogamus vos et adhortamur per Dominum Jesum, quemadmodum accepistis a nobis quomodo oporteat nos versari et placere Deo, ut abundetis magis. Nostis enim quæ præcepta dederimus vobis per Dominum Jesum. Hæc enim est voluntas Dei sanctificatio vestra,* **169** *ut abstineatis a scortatione, et sciat unusquisque vestrum vas suum possidere cum sanctificatione et honore, non cum affectu concupiscentiæ, sicut et gentes quæ non noverunt Deum : ne quis transgrediatur ac fraudet in opere fratrem suum, propterea quod ultor sit Dominus de omnibus his, quemadmodum etiam ante diximus vobis et testati sumus. Non enim vocavit nos Deus immunditiæ causa, sed ad sanctificationem, Proinde qui rejicit, non hominem rejicit,*

Τὸ λοιπὸν οὖν, ἀδελφοὶ, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ, καθὼς παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον. Οἴδατε γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου Ἰησοῦ. Τοῦτο γάρ ἐστι θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας, εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεὸν, τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ, διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων, καθὼς καὶ προείπαμεν ὑμῖν καὶ διεμαρτυράμεθα. Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν

[18] Psal. cxv, 14.

ἁγιασμῷ. Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν τὸν καὶ δόντα τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ὑμᾶς.

« Τὸ λοιπὸν οὖν, ἀδελφοί. » Τοῦτο γὰρ λεῖπον, τὸ εἰς παραίνεσιν ἐλθεῖν. Ἢ τὸ λοιπὸν ἀντὶ τοῦ ἀποχρώντως ἐστίν. « Ἐρωτῶμεν ὑμᾶς. » Τὸ *Ἐρωτῶμεν* καὶ *παρακαλοῦμεν*, ταὐτόν ἐστι καὶ ἰσοδυναμεῖ. « Ἐν Κυρίῳ Ἰησοῦ. » Ὅρα ταπεινοφροσύνην. Οὐδὲ πρὸς παράκλησιν ἑαυτὸν ἀξιόπιστον εἶναι νομίζει, ἀλλὰ τὸν Χριστὸν παραλαμβάνει. Διὰ τοῦ Χριστοῦ γὰρ, φησὶν, ὑμᾶς παρακαλῶ. « Καθὼς παρελάβετε. » Τὸ παρελάβετε, οὐ ῥημάτων μόνον ἐστὶν, ἀλλὰ καὶ πραγμάτων. Ἐξ ὧν γὰρ αὐτὸς ἐβίου, τύπος τοῖς μαθηταῖς ἐγίνετο. « Ἵνα περισσεύητε. » Καὶ πλέον τι, φησὶν, ὧν ἠκούσατε ποιεῖτε. Ὡς νηπίοις γὰρ οὐ τὰ τέλεια ἐπέταξα, φησί. Προβαίνοντες δὲ τῇ πίστει, προβαίνετε καὶ τῇ πολιτείᾳ. « Οἴδατε γὰρ τίνας παραγγελίας. » Τῇ ἐκείνων μνήμῃ ἐγγεγραμμένας αὐτὰς καταλιμπάνει. « Ὁ ἁγιασμὸς ὑμῶν. » Θέλημα γὰρ Θεοῦ, φησὶν, ἡ σωφροσύνη ὑμῶν. Ἐν ἑκάστῃ δὲ Ἐπιστολῇ, τῆς σωφροσύνης μάλιστα πολὺν ποιεῖται λόγον. Οἶδε γὰρ τοῦ πάθους τὸ τυραννικὸν καὶ δυσκατόρθωτον. « Ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας. » Τίς δὲ ὁ ἁγιασμός; Ἀπέχεσθαι ὑμᾶς, φησὶν, ἀπὸ πάσης πορνείας· πολλὰ γὰρ ἀκολασίας εἴδη. « Εἰδέναι ἕκαστον ὑμῶν. » Ἄρα ἀσκήσεως καὶ μαθήσεώς ἐστι τὸ σωφρονεῖν. « Τὸ ἑαυτοῦ σκεῦος. » Σκεῦος, τὸ σῶμά φησιν. Ἐὰν οὖν αὐτὸ ἐν ἁγιασμῷ ἔχωμεν, ἡμεῖς αὐτὸ κεκτήμεθα· ἐὰν δὲ ἐν πορνείᾳ, ἡ ἁμαρτία αὐτὸ κέκτηται. Τινὲς, Τὸ ἑαυτοῦ σκεῦος, τὴν ὁμόζυγον ἡρμήνευσαν. Ἐγὼ δὲ νομίζω, τὸ ἑκάστου σῶμα οὕτως αὐτὸν κεκλῆκέναι· οὐ γὰρ τοῖς γεγαμηκόσι μόνοις, ἀλλὰ καὶ τοῖς ἀγάμοις, καὶ ταῖς χήραις τὴν νομοθεσίαν προσφέρει. « Μὴ ἐν πάθει ἐπιθυμίας. » Ποῖα δὲ τὰ πάθη τῆς ἐπιθυμίας; Τὰ ὑπεκκαύματα ταύτης, οἷον, τρυφὴ, πλοῦτος, ῥᾳθυμία, ἀργία. Ταῦτα γὰρ πάθη ἐπιθυμίας ἐστὶν, ὡσεὶ εἶπε, Δύναμις καὶ ἰσχὺς αὐτῆς. « Τὰ ἔθνη τὰ μὴ εἰδότα Θεόν. » Τὰ γὰρ ἔθνη τὸν Θεὸν ἀγνοοῦντα, οὔτε ἐλπίδα ἀντιδόσεως ἔχει· τοιγαροῦν πάντα πρὸς ἡδονὴν πράττει. « Τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν. » Ἑκάστῳ ὁ Θεὸς, φησὶν, ἀπένειμε γυναῖκα, καὶ ὅρους τέθεικε, τὴν πρὸς τὴν μίαν μίξιν. Ὥστε ἡ πρὸς ἑτέραν μίξις, παράβασίς τις καὶ πλεονεξία ἐστίν. « Ἐν τῷ πράγματι. » Τουτέστιν, ἐν τῇ μίξει· ἐνταῦθα γὰρ περὶ μοιχείας λέγει, ἄνω δὲ περὶ πάσης πορνείας. « Διότι ἔκδικος. » Παρεκάλεσε πρῶτον, εἶτα ἐνέτρεψεν, εἰπὼν, Καθάπερ καὶ τὰ ἔθνη. Εἶτα ἀπὸ λογισμῶν ἔπεισε, πλεονέκτην καλέσας· λοιπὸν φοβεῖ. Οὐ γὰρ ἀτιμωρητὶ, φησὶ, ταῦτα πράττετε· ἔκδικος γὰρ ὁ Θεὸς τῷ τε πλεονεκτουμένῳ, καὶ ἑαυτῷ. Ἑαυτὸν γὰρ ἐκδικεῖ παρακουόμενος. « Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεός. » Καὶ ἑαυτὸν δὲ ὁ Θεὸς ἐκδικεῖ, ἀμυνόμενος τὸν ἐν τούτῳ πλεονέκτην. Κατὰ τοῦτο ἐκλήθημεν ἐπὶ καθαρότητι παρ' αὐτοῦ· τοιγαροῦν ὁ παρὰ τὴν κλῆσιν πράττων, (οὗτος γὰρ ὁ ἀθετῶν,) τὸν καλέσαντα ὕβρισε μᾶλλον, ἢ τὸν πλεονεκτηθέντα. Τοῦτο δὲ εἶπε δεικνὺς ὡς οὐ μόνον ἔνθα ὁ ἀδελφὸς ὁ ἀδικούμενος ἦ, δεῖ φεύγειν τὴν μοιχείαν, ἀλλὰ κἂν ἄπιστος ἦ. Ὁ γὰρ Θεὸς

A *sed Deum, qui dedit spiritum suum sanctum in vos.*

« Quod superest igitur, fratres. » Quod superest, puta ut ad exhortationem accedat. Aut, quod superest, id est, sufficienter est. « Rogamus vos. » Nam ἐρωτῶμεν et παρακαλοῦμεν idem sunt, ejusdemque potestatis. « Per Dominum Jesum. » Vide animi modestiam. Neque ad obsecrationem seipsum fide dignum aut idoneum esse existimabat, sed Christum assumit. Per Christum, ait, vos obsecro. « Quemadmodum accepistis. » Accepistis, non de verbis tantum est, verum etiam de rebus. Nam ex vitæ suæ operibus, discipulis exemplar erat. « Ut abundetis. » Et amplius, inquit, aliquid facite quam acceperitis. Siquidem tanquam parvulis, inquit, non præcepi quæ perfecta erant. Promoventes autem in fide, promovete etiam in conversatione. « Nostis enim quæ præcepta. » Ipsa illorum memoriæ inscripta relinquit. « Sanctificatio vestra. » Voluntas enim Dei, inquit, est, pudicitia vestra. In unaquaque autem Epistola pudicitiæ potissimum magnam habet rationem. Novit enim tyrannidem affectus ac operis difficultatem. « Ut abstineatis a scortatione. » Quæ est autem sanctificatio? Ut vos, inquit, abstineatis ab omni scortatione. Multa sunt enim impudicitiæ genera. « Ut sciat unusquisque vestrum. » Itaque exercitii ac disciplinæ est, castum esse. « Suum vas. » Vas dicit corpus. Si ergo ipsum in sanctificatione habuerimus, nos ipsum possidebimus; si vero in scortatione, jam peccatum possidebit ipsum. Quidam Suum vas, de uxore interpretati sunt: ego vero arbitror cujusque corpus ipsum eo vocabulo appellasse. **170** Neque enim legem solis illis posuit qui uxores duxerant, verumetiam innuptis ac viduis. « Non cum affectu concupiscentiæ. » Quisnam autem est affectus concupiscentiæ? Fomites ipsius, quales sunt deliciæ, divitiæ, segnities, otium. Nam hæc sunt affectus concupiscentiæ: ac si diceret, Potestas ac robur ipsius. « Gentes quæ ignorant Deum. » Siquidem gentes quæ Deum ignorant, ne spem quidem habent retributionis: itaque omnia ad voluntatem faciunt. « Ne quis transgrediatur ac fraudet. » Deus, ait, unicuique distribuit uxorem, ac terminum posuit, commistionem puta ad eam unicam. Mistio igitur ad aliam transgressio quædam est ac fraudulentia. « In opere: » hoc est, in commistione. Hoc enim loco de adulterio loquitur, superius autem de omni scortatione. « Propterea quod ultor sit. » Primum obsecravit, deinde pudefecit, dicens: Sicut et gentes: postmodum a cogitationibus suasit, vocans fraudulentum: deinceps exterret. Non enim sine ultione, inquit, hæc facitis. Ulciscitur enim Deus et eum qui fraudatus est et seipsum. Nam seipsum ulciscitur is cui non paretur. « Non enim vocavit nos Deus. » Seipsum quoque ulciscitur Deus sumptis pœnis de eo qui in hoc fraudulentus fuit. Juxta hoc vocati sumus ab ipso pu-

B

C

D

ritatis causa. Qui igitur præter vocationem agit, A cum hic aspernetur, magis afficit injuria eum qui vocavit, quam eum qui fraudatus est. Hoc autem dixit, ostendens quod non solum ubi frater injuria affectus fuerit, fugere oporteat adulterium, verum etiam si infidelis sit : Deus enim injuria afficitur. qui te purum esse vult, et non auditur. Siquidem teipsum inquinas etiam si non cum fratris, sed cum increduli uxore adulterium perpetres, aut cum ancilla aut aliqua earum quæ publice prostitutæ sunt. « Qui dedit Spiritum. » Ipse, inquit, Spiritum sanctum dedit nobis, et nos illum persequimur impuritate nostra. An non ergo et dantem et eum qui datus est injuria afficimus?

ὑβρίζεται, ὁ καθαρόν σε βουλόμενος εἶναι καὶ παρακουόμενος. Μολύνεις γὰρ σαυτὸν, κἂν μὴ ἀδελφοῦ, ἀλλὰ τοῦ τυχόντος ἀπίστου γυναῖκα μοιχεύτης, ἢ δούλην, ἤ τινα τῶν προεστωσῶν. « Τὸν καὶ δόντα τὸ Πνεῦμα. » Αὐτὸς, φησὶ, τὸ ἅγιον ἔδωκε Πνεῦμα ἡμῖν, καὶ ἡμεῖς διώκομεν αὐτὸ διὰ τῆς ἀκαθαρσίας ἡμῶν. Καὶ πῶς οὐχὶ καὶ τὸ δοθὲν καὶ τὸν δόντα ὑβρίζομεν;

IV, 9-11. *Cæterum de fraterno amore non necesse habetis ut scribam vobis. Ipsi namque divinitus docti estis ut diligatis vos invicem. Nam et facitis* B *hoc erga cunctos fratres qui sunt in tota Macedonia. Obsecramus autem vos,* **171** *fratres, ut abundetis et in hoc incumbatis ut quieti sitis, et agatis res proprias, ac operemini propriis manibus vestris, sicuti vobis præcepimus, ut vos honeste geratis erga extraneos, et nulla re vobis sit opus.*

Περὶ δὲ τῆς φιλαδελφίας, οὐ χρείαν ἔχετε γράφειν ὑμῖν. Αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾷν ἀλλήλους. Καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς, τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ. Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, περισσεύειν μᾶλλον καὶ φιλοτιμεῖσθαι, ἡσυχάζειν καὶ πράσσειν τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν ὑμῶν, καθὼς ὑμῖν παρηγγείλαμεν, ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω, καὶ μηδενὸς χρείαν ἔχητε.

Non loquitur nunc de dilectione erga quemvis, sed de ea quæ est erga fratres. Ex eo autem quod prætermittat, duo efficit. Ita, inquit, necessarium ac utile est vos mutuo diligere, ut nihil necesse sit me hoc scribere, cum vos hoc sciatis. In his enim quæ admodum manifesta sunt, ne suadere quidem necesse est. Et quia existimat ac persuasus est ipsos id effleere, eosque qui non perstant C magis ad hoc inducit, veritus ne quo modo talis sparsa de ipsis fama ac gloria a vero aberraret. « Divinitus edocti estis. » O ingens præconium! Deum fecit illis præceptorem. Hoc et propheta dixit : «Erunt, inquit, omnes edocti a Deo. »—« Nam et facitis hoc. » Propterea enim non necesse est nobis scribere, quia non opus est ut de hoc admoneamini, sed facitis illud. « In tota Macedonia. » Siquidem Thessalonica civitas metropolis est Macedoniæ. « Ut abundetis magis. » Facite quidem, sed tamen inter faciendum abundate et munifici sitis. Obsecramus (pauperes autem erant, ereptis ipsorum facultatibus, quemadmodum superius dixit) ut operemini et tribuatis. « Quieti sitis. » In D hoc incumbatis. Ad quid? Ut quieti sitis, et agatis res proprias; quemadmodum si dicas : Ne pudeat vos quod pauperes propter Deum facti sitis, sed gloriæ loco hoc ducatis quod quieti sitis, et res proprias agatis, etc. Aut φιλοτιμεῖσθαι dici fratribus beneficia præstare et humane suscipere. Deinde si dicant, At pauperes sumus : verum per hoc quod quieti sitis ac proprias res agatis, facultas vobis erit ac potestas, ut illis quoque largiter impertiri ac beneficia præstare possitis. « Et agatis res proprias. » Quomodo autem continget vobis qui pauperes estis, ut munifici sitis? Ex eo, ait, si quieti sitis et proprias res agatis. Deinde interpretans, ait : « Operemini propriis manibus,

Οὐ λέγει τέως περὶ τῆς εἰς πάντα ἀγάπης, ἀλλὰ περὶ τῆς εἰς τοὺς ἀδελφούς. Ἐκ δὲ τοῦ παραλιπεῖν, δύο κατασκευάζει, ὅτι, φησὶν, οὕτως ἀναγκαῖον καὶ ὠφέλιμόν ἐστι τὸ ἀγαπᾷν ἀλλήλους, ὡς μηδὲ χρείαν εἶναι τοῦ ἐμὲ τοῦτο γράφειν, ἀλλ' ὑμᾶς αὐτὸ εἰδέναι. Ἐπὶ γὰρ τῶν πάνυ δήλων, οὐδὲ συμβουλεύειν χρή. Καὶ ὅτι ὁ νομίζων αὐτοὺς κατωρθωκέναι καὶ πεπεισμένος, καὶ μὴ κατωρθωκότας αὐτοὺς, μᾶλλον ἐνάγει πρὸς τοῦτο, φοβούμενος μήπως ἡ τοιαύτη περὶ αὐτῶν φήμη καὶ δόξα ἀστοχήσῃ. « Θεοδίδακτοί ἐστε. » Ὦ ἐγκώμιον! Τὸν Θεὸν διδάσκαλον αὐτοῖς ἐποίησε. Τοῦτο καὶ ὁ προφήτης ἔλεγεν. « Ἔσονται, φησὶ, πάντες διδακτοὶ Θεοῦ. »—« Καὶ γὰρ ποιεῖτε αὐτό. » Διὰ τοῦτο γὰρ οὐ χρείαν ἔχομεν γράφειν, ὅτι οὐ δεῖσθε τῆς περὶ τούτου ὑπομνήσεως, ἀλλὰ ποιεῖτε αὐτό. « Ἐν ὅλῃ τῇ Μακεδονίᾳ. » Μακεδονίας γὰρ μητρόπολις, ἡ Θεσσαλονίκη. « Περισσεύειν μᾶλλον. » Ποιεῖτε μὲν, ἀλλ' ὅπως ἐν τῷ ποιεῖν περισσεύητε, καὶ φιλοτιμότερον μεταδοίητε. Παρακαλοῦμεν, (πένητες δὲ ἦσαν, τῶν ὑπαρχόντων αὐτῶν ἁρπαγέντων, ὡς ἄνω φησὶν,) ἐργάζεσθαι καὶ μεταδιδόναι. « Ἡσυχάζειν. » Φιλοτιμεῖσθαι. Εἰς τί; Εἰς τὸ ἡσυχάζειν καὶ πράττειν τὰ ἴδια, ὡς ἂν εἴποις· Μὴ αἰσχύνεσθε ὅτι πένητες διὰ τὸν Χριστὸν γεγόνατε, ἀλλὰ καὶ φιλοτιμίαν τοῦτο ἡγεῖσθε, τὸ ἡσυχάζειν καὶ πράττειν τὰ ἴδια, καὶ ἐξῆς. Ἢ φιλοτιμεῖσθαι, τὸ εὐεργετεῖν τοὺς ἀδελφοὺς καὶ φιλοφρονεῖσθαί φησιν. Εἶτα, Ἀλλὰ πένητές ἐσμεν. Ἀλλ' ἐν τῷ ἡσυχάζειν καὶ πράσσειν, φησὶ, τὰ ἴδια, ἔσται ὑμῖν πόρος καὶ δύναμις, δι' οὗ κἀκείνους ἕξετε φιλοτιμεῖσθαι καὶ εὐεργετεῖν. « Καὶ πράσσειν τὰ ἴδια. » Πῶς δὲ ἔσται ὑμῖν πένησιν οὖσι, τὸ φιλοτιμεῖσθαι; Διὰ τοῦ ἡσυχάζειν, φησὶ, καὶ πράττειν τὰ ἴδια. Εἶτα ἐφερμηνεύων, φησὶν· « Ἐργάζεσθε ταῖς ἰδίαις χερσὶν, ἵνα περιπατῆτε εὐσχημόνως. » Ἵνα, φησὶ, μὴ ἀσχημονῆτε ἐπαιτοῦντες. Τοῦτο γὰρ λέγει, εἰ καὶ εὐφημο-

[11] Joan. VI, 45.

τίρως αὐτὸ εἶπεν. Εἰ γὰρ πιστοὶ ὁρῶντες ὑγιαίνοντας ἐπαιτοῦντας σκανδαλιζόμεθα, ὅτι ἐργάζεσθαι δυνάμενοι ἀργοὶ περιἐασι, πόσῳ μᾶλλον οἱ ἄπιστοι; οὓς καλεῖ τοὺς ἔξω, οἷον τῆς πίστεως.

A ut vos honeste geratis. » Ne præter decorum agatis, inquit, mendicando. Hoc namque indicat, quanquam honestioribus verbis id expresserit. Nam si nos fideles videntes eos qui sani sunt mendicantes, offendimus, **172** quod cum operari possunt, otiosi circumeant, quando magis increduli? quos vocat extraneos, puta a fide.

ΚΕΦΑΛ. Ε'.

CAPUT V.

Διδασκαλία περὶ τῆς τοῦ θανάτου καταλύσεως ἐπὶ ζώντων καὶ νεκρῶν ἐπιφανείᾳ Χριστοῦ.

Doctrina de mortis resolutione ac manifestatione Christi circa mortuos ac viventes.

Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ.

IV, 12-13. *Cæterum nolo vos ignorare, fratres, de his qui obdormierunt, ne mœreatis sicut et cæteri qui spem non habent. Si enim credimus quod Jesus mortuus est et resurrexit : ita et Deus eos qui obdormierunt per Jesum adducet cum illo.*

Ἔστι γάρ τινα, ἅτινα ἐξ ἀγνοίας λύπην ἐμποιεῖ, γνωσθέντα δὲ παύει τὴν λύπην. « Περὶ τῶν κεκοιμημένων. » Ὅρα, οὐκ εἶπεν, Ἀποθανόντων, ἀλλὰ Κεκοιμημένων, δεικνὺς εἶναι καὶ ἔγερσιν. « Οἱ μὴ ἔχοντες ἐλπίδα. » Ἐλπίδα, τουτέστιν, ἀναστάσεως. Τῶν γὰρ τοιούτων ἴδιόν, τὸ ἐπὶ τοῖς τελευτῶσι λυπεῖσθαι. « Εἰ γὰρ πιστεύομεν. » Εἰ γάρ, ἐπειδὴ γάρ. Ἢ οὕτως· Εἰ γὰρ ὅλως, φησὶ, πιστεύομεν, καὶ μὴ μεμώρανται ἡμῶν αἱ ψυχαί. « Οὕτως, φησὶ, καὶ ὁ Θεὸς, » τουτέστι, καθάπερ τὸν Κύριον, ἐκ θανάτου ἐγερεῖ. Ὅρα δὲ ἀσφάλειαν λόγου. Ἐπὶ μὲν τοῦ Κυρίου διὰ τὸ καὶ τὴν ἀνάστασιν ἤδη γεγονέναι, θαῤῥούντως λέγει τὸ, Ἀπέθανεν. Ἐπὶ δὲ ἡμῶν, διὰ τὸ μέλλειν ἔτι τὴν ἀνάστασιν, Τοὺς κοιμηθέντας, φησὶ, δεικνὺς οὖσαν καὶ ἔγερσιν. « Μὴ ὁ κοιμώμενος γὰρ, φησὶν, οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; » « Τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ. » Ἢ διὰ τοῦ Ἰησοῦ ἄξει, ὅτι ὁ Υἱὸς αἴτιος τῆς ἀναστάσεως, καὶ τοῦ ὀφθῆναι ἡμᾶς τῷ προσώπῳ τοῦ Πατρός. Ἢ, τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, τουτέστι, τοὺς ἐν πίστει τοῦ Ἰησοῦ κοιμηθέντας ἄξει, φησὶ, τουτέστιν, ἢ εἰς πρόσωπον ἴδιον, ἢ εἰς τὸ ἀναστῆναι. Τί οὖν, εἴποι τις, ὡς πρὸς τὴν δευτέραν ἐξήγησιν, μερικὴ ἔσται ἡ ἀνάστασις, ὡς τῶν ἀπίστων μὴ ἀνισταμένων; Οὐ τοῦτο, ἀλλ' ὅτι πάντες μὲν ἀναστήσονται, οὐ πάντες δὲ ἀχθήσονται. Τὸ γὰρ ἀχθῆναι, τὴν μετὰ τιμῆς πανταχόθεν ἐν νεφέλαις ἁρπαγὴν καὶ ἀγωγὴν τὴν πρὸς τὸν κριτὴν δηλοῖ. Οἱ μὲν γὰρ πιστοὶ καὶ οὐκ ἐπίπλαστον ἔχοντες τοῦτο τὸ ὄνομα, ἐν νεφέλαις ἁρπαγήσονται εἰς ἀπάντησιν τοῦ Χριστοῦ. Οἱ δὲ ἄπιστοι, κάτω περιμενοῦσιν αὐτὸν ἐρχόμενον, μὴ ἀξιούμενοι ὑπαντῆσαι. Ἵνα τί γὰρ μὴ εἶπεν, Ἵνα τιμωρηθῆτε ὡς μὴ ὁμολογοῦντες ἀνάστασιν; Ἢ ὡς ὡμολογημένον τοῦτο παρεἰασε, καὶ φησιν, Ἵνα μὴ μετὰ τῆς τιμωρίας τῆς ἐκεῖ, καὶ τὰ ἐνταῦθα λυπῆσθε. Ἢ ὅτι τῇ μὲν ἀναστάσει οὐκ ἠπίστουν, (καὶ δηλοῖ τὸ περὶ τῶν χρόνων αὐτοὺς ἀμφιδάλλειν ὅπερ κάτω φησὶν,) ἀλλὰ μόνον ἠδημόνουν ἐπὶ τοῖς τελευτῶσιν.

B Sunt enim quædam quæ ob ignorantiam mœrorem efficiunt, cognita vero sedant dolorem. « De his qui obdormierunt. » Animadverte quod non dixerit Morientibus, sed His qui obdormierunt, ostendens etiam esse resurrectionem. « Qui spem non habent. » Spem, nempe resurrectionis. Talium namque proprium est dolere ob eos qui moriuntur. « Si enim credimus. » Si enim, quandoquidem enim. Aut hoc modo : Si enim omnino, ait, credimus et non sunt infatuatæ animæ nostræ. « Ita et Deus, » puta sicut Dominum, ex morte excitabit. Considera vero sermonis certitudinem. Siquidem de Domino eo quod jam facta sit ejus resurrectio, confidenter dicit : Mortuus est. De nobis vere cum adhuc futura sit resurrectio, ait : Eos C qui obdormierunt, ostendens etiam quod sit resurrectio. « Num qui obdormit, inquit, non addet ut resurgat? « Eos qui obdormierunt per Jesum adducet cum illo. » Aut per Jesum adducet, quod Filius causa sit resurrectionis, et ut videamus faciem Patris. Aut qui obdormierunt per Jesum, hoc est, eos qui in fide Jesu obdormierunt adducet, ait, puta ante faciem suam, aut ad hoc ut resurgant. Quid igitur, dicat aliquis, tanquam ad secundam hanc enarrationem, an partialis erit resurrectio, utpote incredulis non resurgentibus? Non hoc erit, sed omnes quidem resurgent, verum non omnes adducentur. **173** Nam adduci significat raptum et inductionem undique in nubibus cum honore ad judicem. Etenim credentes et qui hoc nomen in nullo fucatum habent, in nubibus obviam Christo rapientur : increduli vero deorsum exspectabunt ipsum venientem, indigni qui occurrant. Quare enim non dixit, Ut pœnas detis tanquam qui non confitemini resurrectionem? Aut tanquam id quod in confesso erat hoc prætermisit, et ait : Ut non cum futuro supplicio etiam de præsentibus lugeatis. Aut quod de resurrectione quidem non diffidebant (et hoc indicat quod ipsi de temporibus ambigebant, quod inferius ait), sed solum graviter angebantur ob eos qui morerentur.

Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσε-

IV, 14-17. *Hoc enim vobis dicimus in verbo Domini, quod nos qui vivimus qui relinquimur in adventum Domini, nequaquam præveniemus eos qui obdormierunt. Quoniam ipse Dominus in jussu et in voce archangeli ac in tuba Dei descendet de cœlo,*

et mortui in Christo resurgent primum : deinde nos qui vivimus qui relinquimur, simul cum illis rapiemur in nubibus in occursum Domini in aera : et sic semper cum Domino erimus. Proinde consolemini vos mutuo in verbis his.

Magnum dicturus erat mysterium, et propterea ut fides adhiberetur observavit. Non noster, inquit, sermo est, sed Domini. « In verbo Domini. » Fortassis etiam hoc unum erat arcanorum : non autem omnia eloqui licitum erat, sed bene istud. « Quod nos. » Non de seipso hoc dicit, neque enim usque ad id tempus corporaliter victurus erat, sed suam personam verbi causa profert. « Qui vivimus, » Vivere dicit animas, dormire vero corpora. Nequaquam igitur antevertent animæ, sed primum excitabuntur corpora, ut animæ illa resumant : quas etiam relinqui dicit propter immortalitatem. Nisi enim de animabus locutus esset, nequaquam dixisset : Nos qui vivimus qui relinquimur, cum etiam moriturus esset. Ait ergo : Nos animæ viventes nequaquam corpora antevertemus in resurrectione, sed una cum ipsis resurrectione fruemur. Ita habet divus Methodius libro *De resurrectione*. **174** « Qui delinquimur. » Siquidem qui tunc vivi reperientur, in puncto temporis, in momento oculi immutabuntur, quemadmodum in priore ad Corinthios Epistola dicit [12]. « Nequaquam præveniemus. » Nam φθάσωμεν sumitur loco compositi προφθάσωμεν, id est, antevertemus. Quoniam enim promptius videbatur, ut ii qui ad tempus vitam produxissent, in momento oculi immutati raperentur, quam hi qui jam in cineres essent redacti, dicit quod viventes nequaquam prævenient eos mortuos, tanta erit potentia resuscitantis. « Quoniam ipse Dominus. » Causam dicit cur non sint præventuri eos qui prius mortui erant. — « In jussu. » Simul ut ipse jusserit, et archangelus vocem emiserit, ac tubæ sonuerint, descendet. Jubet quidem Dominus, et voce edit archangelus jussum Dominicum : sonumque emittunt cæteri ordines cœlestes, quos figurative tubas appellat, quemadmodum etiam sonum edere dicit : sed Dominus quidem, veluti diximus, jubet, archangelus vero Dominicum jussum nuntiat sibi subditis : porro hi administrant ipsum, et usque ad mundi terminos intonant. Et mortui quotquot sunt ex universo orbe, resurgunt ac congregantur. Animadverte autem quam scite ac subtiliter describat mortuorum resurrectionem, quo auditorum mentibus magis imprimatur. « In voce Archangeli. » Vocem dicit archangeli qua ad congregandum subjectis præcipiat angelis, ut omnes paratos reddant tanquam adveniente judice. Siquidem ut, quos accepit, terra reddat in immortalitatem commutatos, id Christi præceptum efficit : ut autem qui ad postrema usque mundi loca di-

[12] I Cor xv, 52.

A *ται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον· ἔπειτα οἱ ζῶντες ἡμεῖς οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. Ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις.*

Μέγα ἔμελλε λέγειν μυστήριον, καὶ διὰ τοῦτο τὸ ἀξιόπιστον ἐφύλαξεν. Οὐχ ἡμέτερος, φησὶν, ὁ λόγος, ἀλλὰ τοῦ Κυρίου. « Ἐν λόγῳ Κυρίου. » Ἴσως καὶ τοῦτο ἓν ἦν τῶν ἀῤῥήτων. Πάντα δὲ οὐκ ἐξῆν· τοῦτο δὲ ἐξῆν λαλῆσαι. « Ὅτι ἡμεῖς. » Οὐ περὶ ἑαυτοῦ τοῦτό φησιν. Οὐ γὰρ ἔμελλε ζῆν σωματικῶς ἕως τότε, ἀλλὰ λόγου χάριν τὸ ἑαυτοῦ λέγει πρόσωπον. « Οἱ ζῶντες. » Ζῶντας τὰς ψυχὰς, κοιμηθέντα δὲ τὰ σώματα λέγει. Οὐκοῦν οὖν προλάβωσιν αἱ ψυχαί· B πρῶτον γὰρ ἐγείρεται τὰ σώματα, ἵνα αὐτὰ ἀπολάβωσιν αἱ ψυχαὶ, ἃς καὶ περιλιμπάνεσθαι, φησὶ, διὰ τὸ ἀθάνατον. Οὐ γὰρ ἂν εἰ μὴ περὶ ψυχῶν ἔλεγεν εἶπε τὸ, Ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, τελευτήσειν μέλλων. Λέγει οὖν, Ὅτι οἱ ζῶντες αἱ ψυχαὶ, οὐκ ἂν τὰ σώματα προφθάσωμεν ἐν τῇ ἀναστάσει, ἀλλὰ μετ' αὐτῶν τῆς ἀναστάσεως τευξώμεθα. Οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος, ἐν τῷ *Περὶ ἀναστάσεως* λόγῳ. « Οἱ περιλειπόμενοι. » Τότε γὰρ οἱ εὑρισκόμενοι ζῶντες, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ ἀλλαγήσονται, ὡς ἐν τῇ πρὸς Κορινθίους πρώτῃ φησίν. « *Οὐ μὴ φθάσωμεν*, τουτέστι, *προφθάσωμεν*, » προλάβωμεν. Ἐπειδὴ γὰρ εὐχερὲς ἐδόκει, τοὺς τότε φθασθέντας ἐν ζωῇ, ἀλλαγέντας ἐν ῥιπῇ ὀφθαλμοῦ ἁρπασθῆναι ἢπερ τοὺς κόνιν γεγονότας, φησὶν, ὅτι οἱ ζῶντες οὐ C μὴ προφθάσωσι τοὺς τελευτήσαντας, τοσαύτη τοῦ ἀνιστῶντος ἡ δύναμις. « Ὅτι αὐτὸς ὁ Κύριος. » Καὶ τὴν αἰτίαν λέγει τοῦ μὴ προληφθῆναι τοὺς προαποθανόντας. — « Ἐν κελεύσματι. » [ΦΩΤ.] Ἐν τῷ αὐτὸν κελεῦσαι, καὶ ἐν τῷ τὸν ἀρχάγγελον φωνεῖν, καὶ ἐν τῷ τὰς σάλπιγγας ἠχεῖν, καταβήσεται. Κελεύει μὲν ὁ Κύριος, καὶ φωνεῖ ὁ ἀρχάγγελος τὸ Δεσποτικὸν κέλευσμα, καὶ ἠχοῦσιν αἱ ἄλλαι τάξεις αἱ οὐράνιαι, ἃς τροπικῶς σάλπιγγας καλεῖ, ὥσπερ καὶ τὸ ἠχοῦσιν, ἀλλ' ὁ μὲν Κύριος, ὅπερ ἔφημεν, κελεύει. Ὁ δὲ ἀρχάγγελος τὸ Δεσποτικὸν κέλευσμα μηνύει τοῖς ὑπ' αὐτὸν, οἱ δὲ διακονοῦσιν αὐτὸ, καὶ διηχοῦσιν εἰς τὰ τοῦ κόσμου πέρατα. Καὶ οἱ νεκροὶ οἱ ἐκ πάσης τῆς οἰκουμένης ἀνίστανται καὶ συν- D άγονται. Ὅρα δὲ πῶς εὐφυῶς καὶ λεπτομερῶς ὑπογράφει τὴν τῶν νεκρῶν ἀνάστασιν, ἵνα μᾶλλον ταῖς τῶν ἀκροατῶν εἴη ἐντετυπωμένη διανοίαις. « Ἐν φωνῇ ἀρχαγγέλου. » Φωνὴν ἀρχαγγέλου φησὶ, τὴν ἐπὶ τὸ συνάγειν τεταγμένοις ἀγγέλοις ἐγκελευομένην, πάντας ἑτοίμους ποιεῖν, ὡς τοῦ κριτοῦ φθάσαντος. Τὸ μὲν γὰρ ἀναδοῦναι τὴν γῆν οὓς ἐδέξατο ἐν ἀφθαρσίᾳ μεταβληθέντας, τὸ κέλευσμα ποιεῖ τοῦ Χριστοῦ. Τὸ δὲ τοὺς εἰς τὰς ἐσχατιὰς τοῦ κόσμου διεσπαρμένους, εἰς ἓν συναχθῆναι, ἄγγελοι παρασκευάζουσιν, ἀρχαγγέλου τοῦτο ἐγκελευομένου. « Καὶ ἐν σάλπιγγι Θεοῦ. » Τούτων ἄρα τῶν σαλπίγγων τύπος ἦσαν αἱ ἐν τῷ ὄρει Σινᾶ. Ἅτε γὰρ βασιλέως ἐφισταμένου, εἰκότως σάλ-

πτγες ἠχήσουσι. Σάλπιγγας δὲ καλεῖ τὰς ἀγγελικὰς δυνάμεις, ὅτε ὥσπερ ἡ σάλπιγξ οὐδὲν ἴδιον ἠχεῖ, ἀλλ' ὅπερ ἂν ὁ τεχνίτης ἐμπνεύσῃ, οὕτως καὶ αἱ τοῦ θεοῦ σάλπιγγες οὐδὲν ἴδιον τολμῶσιν ἠχῆσαι, ἀλλ' ὅπερ ἂν κοινὸς Δεσπότης καὶ Δημιουργὸς διὰ τοῦ ἀρχαγγέλου αὐτοῖς ἐγκελεύσῃ. « Καὶ οἱ νεκροὶ ἐν Χριστῷ. » Οἱ ἐν Χριστῷ, τουτέστιν, οἱ πιστοί, πρῶτον ἀναστήσονται, οἱ δὲ λοιποὶ ἔσχατοι, ὡς μὴ ἁρπάζεσθαι, μήτε ἀπαντᾷν μέλλοντες.

A spersi sunt, in unum congregentur, angeli perficiunt jubente hoc Archangelo. « Ac in tuba Dei. » Harum sane tubarum typus erant quæ fuerunt in monte Sina. Etenim tanquam appropinquante rege merito tubæ resonant. Tubas autem vocat angelicas potestates, quod quemadmodum tuba nihil quod suum est intonat, sed quodcunque artifex insufflaverit : ita et Dei tubæ nihil proprium sonare præsumunt, sed quidquid communis Dominus ac Conditor per archangelum eis præceperit. « Et mortui in Christo. » Qui in Christo sunt, » id est, fideles primo resurgent, cæteri vero postremi tanquam non rapiendi neque obviam venturi.

« Ἔπειτα ἡμεῖς οἱ ζῶντες. » Μετὰ τοῦτο, φησὶ, καὶ τῶν ζώντων καὶ περιλιμπανομένων ὅσοι ἄξιοι, ἅμα τοῖς προτετελευτηκόσιν ἁρπαγησόμεθα, φησί. Μὴ οὖν νομίσητε τοὺς νεκροὺς δυσχερεστέρως ἐγείρεσθαι. Ἡ γὰρ ἁρπαγὴ ἅμα ἔσται. « Ἐν νεφέλαις. » Ἐν τῷ τοῦ Θεοῦ ὀχήματι. Καὶ γὰρ καὶ τὸν Χριστὸν νεφέλη ὑπέλαβεν. Εἰ ἔρχεσθαι δὲ μέλλει, τί δή ποτε ἁρπάζονται οἱ πιστοί; ἵνα ὑπαντήσωσι· τιμῆς δὲ τοῦτο. Ὥσπερ γὰρ βασιλέως εἰς πόλιν εἰσερχομένου, οἱ μὲν ἔντιμοι ὑπαντῶσιν, οἱ δὲ κατάδικοι ἔσω μένουσι τὸν κριτὴν, οὕτω καὶ τότε οἱ μὲν δίκαιοι ἁρπάζονται, οἱ δὲ ἁμαρτωλοί, κἂν πιστοὶ ὦσι, μένουσιν. « Εἰς ἀέρα. » Διὰ γὰρ νεφελῶν εἰς ἀέρα ἀπελεύσονται, τουτέστι, μετέωροι. « Πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. » Εἶτα λέγει καὶ τὴν κορωνίδα τῆς μακαριότητος, τὸ εἶναι σὺν Χριστῷ πάντοτε. — [ΦΩΤ.] Ἐπιστήσεις δὲ ὅτι τὴν ἀνάστασιν διαγράφων, οὐκ ἐμνήσθη ῥητῶς τῶν ἐπὶ τιμωρίαν καὶ κόλασιν ἀνισταμένων. Τοῦτο δὲ διὰ τρεῖς αἰτίας, οἶμαι, ποιεῖ. Πρῶτον μὲν ὅτι παραμυθούμενος τοὺς Θεσσαλονικεῖς, τῆς ἀναστάσεως μνημονεύει. Οὐ θέλω γὰρ ὑμᾶς, φησὶ, περὶ τῶν κεκοιμημένων ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε. Οὐκ ἔδει οὖν παραμυθεῖσθαι μέλλοντα, καταμιγνύειν τὰ σκυθρωπά. Ποταπὴ γὰρ παράκλησις, τιμωρία καὶ κόλασις διηνεκὴς, καὶ σκότος, καὶ σκώληξ, καὶ πῦρ; Μᾶλλον μὲν οὖν εἰ καὶ οὕτως ἔγραψεν, ἐπέτεινεν ἂν τὴν λύπην, ἀλλ' οὐ παρεκάλεσέ ποθεν τὰς ψυχὰς αὐτῶν. Δεύτερον δὲ, ὅτι πιστοῖς διηγεῖτο τὴν ἀνάστασιν. Εἰκότως οὖν οὐ μνημονεύει τῶν εἰς τιμωρίαν ἀπαχθησομένων. Οἱ γὰρ πιστοὶ κατὰ τὰς δεσποτικὰς ἐντολὰς πολιτευόμενοι, οὐδεμιᾶς τιμωρίας λαμβάνουσι πεῖραν, ἀλλ' ἐν ἀΐδίῳ χαρᾷ καὶ εὐφροσύνῃ διατελοῦσιν. Οὐκ ἦν οὖν χρεία ἀλλοτρίων παθῶν μνήμην καὶ κάκωσιν ἐν τῇ τοῖς πιστοῖς ἑτοιμαζομένῃ δόξῃ καὶ τρυφῇ καὶ μακαριότητι, καὶ τότε πιστοῖς γράφοντι, ποιεῖσθαι. Τρίτον δὲ, ὅτι αὐτὸ τὸ πρᾶγμα τὴν ἀνάστασιν, καὶ δι' ὃ γέγονε, καθ' αὐτὸ νῦν ἐξηγεῖται. Καὶ γὰρ τὴν ἀνάστασιν ὁ Θεὸς ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων πάντων, καὶ ἀφθαρσίᾳ καὶ ἀφράστῳ δόξῃ καὶ χαρᾷ, καὶ ἀπολαύσει τῶν αἰωνίων ἀγαθῶν ἐποίησε. Τὴν γὰρ κόλασιν, τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ὡς καὶ ἐν τῷ Εὐαγγελίῳ φησίν, ἀλλ' οὐ τοῖς ἀνθρώποις ἡτοίμασεν. Εἰ δέ τινες οἰκείαις μοχθηρίαις, ἀντὶ τῶν ἑτοιμασθέντων αὐτοῖς ἀγαθῶν, τὰ τῷ διαβόλῳ ἑτοιμασθέντα ἐκλέγονται, οὐ παρὰ τὴν Δεσποτικὴν φιλανθρωπίαν καὶ πρόνοιαν τοῦτο

175 « Deinde nos qui vivimus. » Postmodum, inquit, quotquot inter viventes digni fuerimus simul cum his qui antea mortui fuerant, rapiemur. Neque igitur existimetis mortuos difficilius resurrecturos ; simul enim erit omnium raptus. « In nubibus. » In Dei vehiculo. Siquidem Christum quoque nubes assumpsit[14]. Verum si venturus est, in quem finem rapiuntur fideles? Ut occurrant ; est autem hoc honoris. Quemadmodum enim dum rex civitatem aliquam ingreditur, alii quidem parati occurrunt, alii vero damnati judicem intus exspectant : ita et tunc justi rapientur : peccatores vero, quanquam fideles fuerint, exspectabunt. « In aera. » Per nubes namque in aerem pervenient, hoc est, sublimes. « Semper cum Domino erimus. » Deinde addit et felicitatis coronidem, nempe semper esse cum Christo. — Animadvertes autem quod resurrectionem describens nullam fecit aperte mentionem eorum qui ad supplicium et ultionem resurgunt. Id autem ob tres, ut opinor, causas facit. Primum quidem quod ut Thessalonicenses consoletur, resurrectionis meminit : Nolo enim vos ignorare, ait, de his qui obdormierunt, ne mœreatis. Non ergo eum qui consolationem erat allaturus, tristia permiscere oportuit. Qualis enim fuisset consolatio supplicium et ultio perpetua, tenebræ, vermes et ignis? Itaque si ita scripsisset, mœrorem potius intendisset, et nulla ex parte animabus eorum consolationem attulisset. Secundo autem quia fidelibus resurrectionem exponebat. Merito ergo eorum non meminit qui sunt in supplicium abducendi. Fideles namque qui juxta Dominica conversantur præcepta, nullius pœnæ capiunt experientiam, sed in perpetuo gaudio ac lætitia degent. Nulla itaque necessitas erat alienorum malorum facere mentionem, et inducere afflictionem in parata credentibus gloria et deliciis ac beatitudine, et potissimum, qui tunc fidelibus scriberet. Tertio vero quia ipsum resurrectionis mysterium, et propter quid facta sit, pariter nunc exponit. Etenim resurrectionem fecit Deus ad salutem omnium hominum et immortalitatem ac inenarrabilem gloriam et gaudium, æternorumque fruitionem bonorum. Siquidem supplicium diabolo et angelis ejus, quemadmodum dicit etiam in Evangelio, non autem hominibus, præparavit. **176** Quod si quidam suis nequitiis pro præparatis

[14] Psal. xcvi, 2; Act. i, 9.

sibi bonis ea quæ diabolo sunt præparata, eliguut, id non fit juxta Dominicam benignitatem ac providentiam. Idcirco divus Paulus ipsam resurrectionis naturam referens, et propter quid ipsam Deus producat, merito eorum non meminit qui in supplicium abducuntur: (neque enim fit propter supplicium, sed propter mercedis retributionem. « Proinde consolemini vos mutuo. » Ne mœreatis sicut et cæteri qui spem non habent.

A γίνεται. Διὸ καὶ ὁ θεῖος Παῦλος αὐτὴν τὴν φύσιν τῆς ἀναστάσεως, καὶ ἐφ' ᾧ ταύτην ὁ Δημιουργὸς ὑφίστησι λέγων, τῶν εἰς τιμωρίαν ἀχθησομένων, (οὐ γὰρ ἐπὶ τιμωρίᾳ, ἀλλ' ἐπὶ μισθαποδοσίᾳ γίνεται,) εἰκότως οὐ μνημονεύει. « Ὥστε παρακαλεῖτε ἀλλήλους, » εἰς τὸ μὴ λυπεῖσθαι ὡς οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα.

CAPUT VI.

Quod repente venturus sit Christus . oportet itaque studiose paratum esse fide, spe, charitate, honore, pace, longanimitate, discendi amore.

V, 1-3. *Porro de temporibus et articulis temporum, fratres, non est opus ut vobis scribam. Ipsi enim plane scitis, quod dies ille Domini, ut fur in* B *nocte, ita venturus sit. Cum enim dixerint : Pax et tuta omnia, tunc repentinus eis imminet interitus, sicuti dolor partus mulieri prægnanti, nec effugient.*

« Non est vobis opus. » Tanquam nullam adferret utilitatem. Fortasse autem id noverat Paulus, inter arcana id etiam cognitum habens. « Quod dies ille Domini. » Hoc et de communi consummatione dictum est et de propria cujusque. « Ut fur. » Quare ut fur? Quia per hoc designat quod occultus sit ac repentinus. Et dicimus quod hoc multis modis utile sit. Primum quidem. Nam si quis postremum sciret diem, nulla illi virtutis cura esset, sed innumera perpetrando mala extremo spiritu ad baptismum C accederet. Secundo, quia multa peccata metu mortis amputantur : quod si manifestum esset alicui se ad certum tempus non moriturum, omnia intrepide committeret. **177** Tertio quia si sciret quisquam quod omnino tali tempore moriturus esset, in continua viveret animi tristitia : nunc autem ob incertitudinem, continue in bona spe nutrimur. Quarto, quia neque ob id sancti præmium haberent, quod semetipsos in incerta præcipitent pericula. Si enim manifestum esset quod post tres annos consummatio ventura esset, nec alio modo posset, omnes sane pericula despicerent, scientes quod ab illis nihil nocumenti essent accepturi : id autem quæ virtus esset? Et hæc dicta sint, eo quod uniuscujusque etiam finis clam venturus sit.

D

Dictum est enim quod sententia illa : Dies ille Domini, ut fur in nocte ita venturus est, et communi consummationi aptatur et propriæ cujusque. Cum enim dixerint, « Pax et tuta omnia. » Hoc etiam ad ipsorum dixit consummationem. Neque enim ob id, inquit, quod in prosperitate degant qui vobis molesti sunt, existiment non venturum esse finem : omnino enim veniet. « Tunc repentinus eis. » Ne consolatione omnino careat supplicium nocentium et fraudulentorum : et præterea ne cognito fine plane crudeliter et inhumane imbecillioribus insultando qui potentiores sunt, ad blasphemiam ac desperationem compellant. Et quomodo ait repentinum imminere interitum, cum Elias antea

ΚΕΦΑΛ. Ϛ'.

Περὶ τοῦ αἰφνιδίως ἥξειν τὸν Χριστὸν, ὥστε δεῖν εὐτρεπίζεσθαι σπουδῇ, πίστει, ἐλπίδι, ἀγάπῃ, τιμῇ, εἰρήνῃ, μακροθυμίᾳ, φιλομαθείᾳ.

Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοὶ, οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι. Αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε, ὅτι ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν B *νυκτὶ, οὕτως ἔρχεται. Ὅταν γὰρ λέγωσιν εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν.*

« Οὐ χρείαν ἔχετε. » Ὡς ἀσύμφορον. Ὁ δέ γε Παῦλος ἴσως ᾔδει αὐτὸ, ἐκ τῶν ἀῤῥήτων καὶ τοῦτο μαθών. « Ὅτι ἡ ἡμέρα Κυρίου. » Τοῦτο καὶ περὶ τῆς κοινῆς συντελείας εἴρηται, καὶ περὶ τῆς ἰδίας ἑκάστου. « Ὡς κλέπτης. » Διά τί ὡς κλέπτης; Διὰ τούτων γὰρ, τὸ λαθραῖον καὶ αἰφνίδιον δηλοῖ. Καί φαμεν ὅτι τοῦτο κατὰ πολλοὺς τρόπους ὠφέλιμόν ἐστι. Πρῶτον μὲν ὅτι, Εἰ ᾔδει τις τὴν ἐσχάτην ἡμέραν, οὐκ ἔμελλεν ἀρετῆς ἐπιμελεῖσθαι, ἀλλὰ μυρία ποιῶν κακὰ, τῷ βαπτίσματι πρὸς ἐσχάτας ἀναπνοὰς C προσῄει. Δεύτερον, ὅτι πολλαὶ ἁμαρτίαι δέει τοῦ θανάτου ἀνακόπτονται. Ὡς εἴ γε δῆλον ἦν ὅτι τέως νῦν οὐ τεθνήξεταί τις, πάντα ἀδεῶς ἔπραττε. Τρίτον, ὅτι εἰ ᾔδει τις ὅτι πάντως ἐν τῷδε τῷ χρόνῳ τεθνήξεται, ἐν ἀθυμίᾳ διάγων διετέλει. Νῦν δὲ τῇ ἀδηλίᾳ ἀεὶ ἐν χρηστοῖς ἐλπίσι τρεφόμεθα. Τέταρτον, ὅτι οὐδὲ ὑπὲρ ὧν εἰς κινδύνους ἀδήλους ἑαυτοὺς ῥίπτουσιν οἱ ἅγιοι, μισθὸν ἔμελλον ἔχειν. Εἰ γὰρ ἦν δῆλον ὡς μετὰ τρία ἔτη τυχὸν τελευτήσει, καὶ ἄλλως οὐκ ἔνι, ἅπαντες ἂν τῶν κινδύνων κατεφρονήσαμεν, εἰδότες μηδὲν ἐκ τούτων βλάπτεσθαι· ὅπερ ποία ἀρετή; Ταῦτα δὲ εἴρηται, ὡς καὶ τῆς ἑκάστου ἰδίας τελευτῆς λαθραίως ἐρχομένης.

D

Εἴρηται γὰρ ὅτι, Ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται, ἁρμόζει δὲ καὶ ἐπὶ τῆς κοινῆς συντελείας, καὶ ἐπὶ τῆς ἰδίας ἑκάστου. Ὅταν γὰρ λέγωσιν, « Εἰρήνη καὶ ἀσφάλεια, » Τοῦτο καὶ πρὸς παραμυθίαν αὐτῶν εἶπε. Μὴ γὰρ ἐπειδὴ, φησὶν, ἐν εὐημερίᾳ διάγουσιν οἱ ἐπηρεάζοντες ὑμᾶς, προσδοκήσωσι μήτε ἥξειν τὸ τέλος· ἥξει γὰρ πάντως. « Τότε καὶ αἰφνίδιος αὐτοῖς. » Ἵνα μὴ ἀπαραμύθητος παντελῶς γένοιτο ἡ τιμωρία τῶν ἀδικουμένων καὶ πλεονεκτουμένων, καὶ ἔτι ἵνα μὴ προειδότες τὴν τελευτὴν, ἀνηλεῶς ὅλως καὶ ἀφιλανθρώπως τοῖς ἀσθενεστέροις οἱ δυνατώτεροι ἐπεμβαίνοντες, εἰς βλασφημίαν καὶ ἀμηχανίαν συνελάσωσι. Καὶ πῶς αἰφνίδιον λέγει ἔρχεσθαι τὸν ὄλεθρον, τοῦ Ἠλίου προερχομένου καὶ τοῦ Ἀντιχρίστου; Φαμὲν

ὅτι, τοῦ μὲν τέλους σημεῖα ταῦτα, τῆς δὲ παρουσίας τοῦ Χριστοῦ οὐκ ἔτι. Αἰφνίδιος γὰρ ἔσται. « Αὐτὸς δὲ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. » Καλῶς δὲ δὲ τὸ ὑπόδειγμα τέθεικε τῆς ἐν γαστρὶ ἐχούσης. Καὶ γὰρ καὶ αὕτη σημεῖα μὲν ἔχει τοῦ τόκου πολλά, αὐτῆς δὲ τῆς ὥρας ἢ τῆς ἡμέρας οὐκ ἔτι. Ἄλλως δὲ, καὶ διὰ τὸ τῆς ὀδύνης δριμὺ, εἰς μέσον ταύτην ἦξε. Ὁ δὲ Χριστὸς καὶ Θεός μου, περὶ τῆς συντελείας μνημονεύων, τῷ τοῦ Λὼτ καὶ τοῦ Νῶε παραδείγματι ἐχρήσατο. Ταῦτα περὶ τῆς κοινῆς συντελείας. Ἡ γὰρ ἰδία ἑκάστου, οὐδὲ ἀμφίβολόν ἐστιν ὅτι οὕτως ἔσται. « Καὶ οὐ μὴ ἐκφύγωσι. » Τὸν τε πόνον καὶ ὄλεθρον, οἱ τὴν εἰρήνην καὶ τὴν ἀσφάλειαν λέγοντες. Περὶ ἁμαρτωλῶν δὲ λέγει.

venturus sit et Antichristus? Dicimus quod hæc signa quidem finis erunt, adventus autem Christi non ita, nam hic repentinus erit. « Ipse enim reddet unicuique juxta opera sua [15]. » Et recte exemplum posuit mulieris prægnantis. Etenim hæc quoque signa quidem partus habet multa, ipsius autem horæ aut diei non ita. Allo vero modo etiam doloris terrorem hanc in medium adduxit. Christus autem et Deus meus de consummatione faciens mentionem, exemplo Lot et Noe usus est [16]. Hæc de communi consummatione : nam de propria cujusque, nemini dubium quin hoc modo futura sit. « Nec effugient. » Laborem ac interitum, qui pacem ac tuta omnia esse dicebant. Loquitur autem de peccatoribus.

Ὑμεῖς δὲ, ἀδελφοί, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ. Πάντες ὑμεῖς υἱοὶ φωτός ἐστε, καὶ υἱοὶ ἡμέρας. Οὐκ ἐσμεν νυκτὸς οὐδὲ σκότους. Ἄρα οὖν μὴ καθεύδωμεν ὡς καὶ οἱ λοιποὶ, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν. Οἱ γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσιν, καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσιν. Ἡμεῖς δὲ ἡμέρας ὄντες, νήφωμεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης, καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας.

V, 4-8. *At vos, fratres, non estis in tenebris, ut vos dies ille tanquam fur opprimat. Omnes vos filii lucis estis ac filii diei. Non sumus noctis neque tenebrarum.* **178** *Proinde ne dormiamus sicut et cæteri, sed vigilantes et attenti simus. Nam qui dormiunt, nocte dormiunt : et qui inebriantur, nocte ebrii sunt : at nos qui sumus diei, vigilantes et attenti simus, induti thoracem fidei et charitatis, et galeam spem salutis.*

« Οὐκ ἐστὲ ἐν σκότει. » Ἐν βίῳ ὑπὸ ἁμαρτιῶν σκοτιζομένῳ, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ. Τί οὖν ; Καὶ αὐτοῖς οὐκ ἀδήλως ἐφίσταται; Ναί. Οὐδὲ γὰρ πρὸς τὸ, μὴ ἀδήλως μέλλειν ἐφίστασθαι, εἴρηται τὸ, Ὡς κλέπτης, ἀλλ' ὅτι οὐκ ἐπίβουλος ἥξει ἡ ἡμέρα ἡμῖν, οὐδὲ ἐπὶ κακῷ καὶ ζημίᾳ, ὥσπερ ὁ κλέπτης. Οὗτος γὰρ ἐπὶ κακῷ ἄπεισι πρὸς οὓς; ἄπεισι. « Υἱοὶ φωτός ἐστε. » Ὥσπερ γὰρ υἱοὶ γεέννης λέγονται, οἱ τὰ γεέννης ἄξια πράττοντες, καὶ υἱοὶ ἀπειθείας οἱ ἀπειθεῖς· οὕτως υἱοὶ φωτὸς καὶ ἡμέρας, οἱ τὰ δίκαια καὶ πεφωτισμένα πράττοντες. Οὐκ ἐσμεν νυκτὸς, τουτέστιν, ἁμαρτίας υἱοί. « Μὴ καθεύδωμεν. » Οἷον ἀπὸ τῶν καλῶν ἔργων μὴ ῥᾳθυμῶμεν. « Καὶ νήφωμεν. » Ἐπίστασις ἐγρηγόρσεως, τὸ νήφειν. Ἔνι γὰρ καὶ ἐγρηγορέναι, καὶ μηδὲν διαφέρειν καθεύδοντος, ὡσεὶ ἔλεγε· Νηφόντως τὰ ἀγαθὰ πράττωμεν, καὶ τὸν οἰκεῖον βίον οἰκονομῶμεν. « Οἱ γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσι. » Καθεύδειν φησὶ τοὺς ἀνενεργήτως ἔχοντας πρὸς τὴν τῶν καλῶν ἐργασίαν, τουτέστι, τοὺς ἁμαρτάνοντας. Ἐπεὶ οὖν κατὰ τὸ ἀκόλουθον οἱ καθεύδοντες, νυκτὸς καθεύδουσιν, ὑμᾶς οὐ δεῖ καθεύδειν, ἡμέρας καὶ οὐ νυκτὸς ὄντας υἱοὺς, ὡσεὶ εἶπεν· Οἱ ἁμαρτάνοντες ἐν τῷ ζόφῳ τῆς ἁμαρτίας διάγουσι. Τοὺς δὲ τὰ δίκαια πράττειν προαιρουμένους, οὐ δεῖ καθεύδειν, οἷον ἀπρακτεῖν ἀρετῆς. Ἐπεὶ μήτε διαφέρουσι τῇ νυκτὶ τῆς ἁμαρτίας, ἀλλὰ τῷ φωτὶ τῆς ἀρετῆς καὶ δικαιοπραγίας. « Καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσι. » Μέθην ἐνταῦθα, οὐ τὴν ἐξ οἴνου μόνον λέγει, ἀλλὰ τὴν ἐξ ἁμαρτημάτων ἀχλὺν καὶ σκότωσιν. « Ἡμεῖς δὲ ἡμέρας ὄντες. » Οἷον υἱοί. « Ἐνδυσάμενοι θώρακα. » Ἄνω εἶπε, δεῖν ἐγρηγορέναι καὶ νήφειν, νῦν προστίθησιν,

« Non estis in tenebris. » In vita peccatis obtenebrata, ut nos dies ille tanquam fur opprimat. Quid ergo? annon ipsis quoque incertus imminet? Utique. Verum non est dictum : Tanquam fur, propter hoc quod incertus immineat, sed quod non per insidias dies ille nobis venturus sit, neque ad malum ac damnum, quemadmodum fur : nam hic ob malum accidit ad quos accedit. « Filii lucis estis. » Quemadmodum enim filii gehennæ dicuntur qui opera digna gehenna faciunt, et filii inobedientiæ, non obtemperantes : ita quoque filii lucis ac diei, qui justa ac illuminata faciunt opera. Non sumus noctis, hoc est, peccati filii. « Ne dormiamus. » Hoc est, ne in bonis operibus segnes efficiamur. « Et attenti simus. » Intensio vigilantiæ est attentum esse. Contingit enim vigilare et nihil a dormiente differre. Est ergo ac si diceret : Attente bona operemur, et propriam vitam dispensemus. « Nam qui dormiunt, nocte dormiunt. » — Dormire dicit eos qui non laborant ad bonorum operationem, id est, peccatores. Quia igitur consequens est, ut qui dormiunt, nocte dormiant, vos dormire non oportet qui diei filii estis et non noctis : ac si diceret : Peccatores in caligine peccati degunt; qui vero justa opera agere elegerunt, non oportet dormire sive ab opere virtutis cessare : quandoquidem non per noctem peccati sunt cæteris præstantiores, sed per lucem virtutis ac justæ actionis. « Et qui inebriantur, nocte ebrii sunt. » Ebrietatem hic dicit non eam solum quæ ex vino oritur, sed ex peccatis productam caligine ac obtenebrationem. « At nos qui sumus diei. » Puta

[15] Rom. II, 6. [16] Matth. XXIV, 37; Luc. XVII, 26.

filii. « Induti thoracem. » Superius dixit opus esse vigilare et attentos esse, nunc addit quod præter hæc etiam armatos esse oporteat, quandoquidem si diabolos exarmatos invenerit, impetet ac offendet, etiam si maxime vigilemus et attenti simus. **179** Thoracem vero dicit fidei ac charitatis propter soliditatem ac indivisibilitatem ipsorum : talem enim oportet esse fidem ac charitatem. Ad eum autem qui has habet, accessum habere nequeunt diabolica tela. « Spem salutis. » Etenim spes salutis, loco galeæ maxime necessariæ inter ea quæ in nobis sunt, non sinit mentem ad malum impelli. Siquidem galea tutissime servat caput. Alibi quoque fidem, spem et charitatem cæteris præponit virtutibus, et nunc has habere jubet.

V, 9-13. *Quoniam non constituit nos Deus ad iram, sed ad consecutionem salutis per Dominum nostrum Jesum Christum, qui mortuus est pro nobis, ut sive vigilemus sive dormiamus, semper cum illo vivamus. Quapropter adhortemini vos mutuo, et ædificetis singuli singulos sicut et facitis. Rogamus autem vos, fratres, ut agnoscatis eos qui laborant inter vos et qui præsunt vobis in Domino, ac admonent vos, et existimate illos vehementer supra modum esse in charitate, propter opus illorum. Pacem habete in vobisipsis.*

Hæc, inquit, habenda sunt nobis arma. Quandoquidem neque Deus constituit neque designavit, neque propterea fecit nos, ut iram suam exciperemus, sed ut salvos faceret nos. Quoniam igitur Dei voluntas est ut nos salvi simus, Ipse etiam adjuvat nos ad horum armorum acquisitionem. « Sed ad consecutionem salutis. » Sed sibiipsi acquisivit nos, et veluti ad possidendum nactus est dato pro nobis pretio, nempe inter ea quæ habebat, pretiosissima : sanguinem enim Unigeniti dedit. Cum igitur habeamus, inquit, argumentum dilectionis Dei, fidem habeamus quæ ad ipsum est : dilectionem quæ et ad ipsum est et ad proximum : spem etiam bonam quod salvos faciet quos ad possidendum acquisivit. « Ut sive vigilemus. » In hunc autem finem pro nobis mortuus est Christus, inquit, ut sive vigilemus, id est, vivamus, sive dormiamus, id est, moriamur (nam alio modo accipit hic dormire quam in superioribus) semper cum illo vivamus. Qui enim dicta arma possident, simul cum Christo vivent ac regnabunt. **180** « Quapropter adhortemini vos mutuo. » Siquidem qui non possunt præceptores singulos admonere, committit ipsis, ut se mutuo exhortentur et doceant. « Rogamus autem vos, » sive exhortamur. « Ut agnoscatis eos qui laborant. » Deinde ne existiment quod præceptores ipsorum removerit ex eo quod ipsis commiserit mutuam gubernationem et adhortationem, protinus mentionem fecit præceptorum ipsorum. « Et qui præsunt vobis. » Nam si illos qui apud homines potentes præsunt, omni dignamur honore, multo magis oportet sacerdotes in honore habere qui apud Deum præsunt.

A ὅτι πρὸς τούτοις, καὶ καθωπλισμένους εἶναι χρή. Ἐπεὶ ἀόπλους εὑρὼν ὁ διάβολος, ἐπηρεάζει, κἂν μάλιστα γρηγορῶμεν καὶ νήφωμεν. Θώρακα δέ φησι πίστεως καὶ ἀγάπης, διὰ τὸ στερρὸν αὐτῶν καὶ ἄτμητον. Τοιαύτην γὰρ εἶναι δεῖ τὴν πίστιν καὶ ἀγάπην. Ἀπρόσιτα δὲ τῷ ταύτας ἔχοντι τοῦ διαβόλου τὰ βέλη. « Ἐλπίδα σωτηρίας. » Ἡ γὰρ ἐλπὶς τῆς σωτηρίας τάξει περικεφαλαίας τὸ ἀναγκαῖον τῶν ἐν ἡμῖν, τὸν νοῦν οὐκ ἐᾷ περιτραπῆναι. Καὶ γὰρ ἡ περικεφαλαία, τὸ καιριώτατον σώζει τὴν κεφαλήν. Καὶ ἀλλαχοῦ δὲ τὴν πίστιν καὶ τὴν ἐλπίδα καὶ τὴν ἀγάπην προτίθησι τῶν λοιπῶν ἀρετῶν, καὶ νῦν ταύτας κτᾶσθαι κελεύει.

B *Ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργὴν, ἀλλ' εἰς περιποίησιν σωτηρίας, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν, ἵνα εἴτε γρηγορῶμεν, εἴτε καθεύδωμεν, ἅμα σὺν αὐτῷ ζήσωμεν. Διὸ παρακαλεῖτε ἀλλήλους, καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα καθὼς καὶ ποιεῖτε. Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοὶ, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν, καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς, καὶ ἡγεῖσθαι αὐτοὺς ὑπερεκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν. Εἰρηνεύετε ἐν ἑαυτοῖς.*

Ταῦτα δὲ ἡμῖν, φησὶ, κτητέον τὰ ὅπλα. Ἐπειδὴ καὶ ὁ Θεὸς οὐκ ἔθετο, οὐδὲ ἀφώρισεν, οὐδὲ ἐπὶ τούτῳ ἐποίησεν, ἵνα τῆς ὀργῆς αὐτοῦ γενώμεθα δεκτικοὶ, ἀλλ' ἵνα σώσῃ ἡμᾶς. Ἐπεὶ οὖν θέλημα Θεοῦ τὸ C σώζεσθαι ἡμᾶς, αὐτὸς καὶ συνεργήσει πρὸς τὴν τῶν ὅπλων τούτων κτῆσιν. « Ἀλλ' εἰς περιποίησιν σωτηρίας. » Ἀλλ' ἑαυτῷ, φησὶ, περιεποιήσατο ἡμᾶς, καὶ οἷον ἐκτήσατο ἡμᾶς, δοὺς ὑπὲρ ἡμῶν τιμὴν, ὧν εἶχε τὸ τιμιώτατον· τὸ γὰρ αἷμα τοῦ Μονογενοῦς δέδωκεν. Ἔχοντες οὖν, φησὶ, τῆς ἀγάπης τοῦ Θεοῦ τὸν ἔλεγχον, πίστιν ἔχωμεν τὴν εἰς αὐτὸν ἀγάπην, τήν τε εἰς αὐτὸν καὶ τὸν πλησίον, ἐλπίδα χρηστὴν ὅτι σώσει οὓς ἐκτήσατο. « Ἵνα εἴτε γρηγορῶμεν. » Διὰ τοῦτο δὲ, φησὶν, ὑπὲρ ἡμῶν ἀπέθανεν ὁ Χριστὸς, ἵνα γρηγορῶμεν, τουτέστι, ζῶμεν, εἴτε καθεύδωμεν, τουτέστι, εἴτε ἀποθάνωμεν, (ἄλλως γὰρ ὧδε τὸ καθεύδειν καὶ οὐχ ὡς ἄνω ἐξέλαβεν,) ἅμα σὺν αὐτῷ ζήσωμεν. Οἱ γὰρ τὰ εἰρημένα ὅπλα κτησάμενοι, συζήσουσι καὶ συμβασιλεύσουσι τῷ Χριστῷ. D « Διὸ παρακαλεῖτε ἀλλήλους. » Ἐπειδὴ γὰρ οὐκ ἰσχύουσιν οἱ διδάσκαλοι πρὸς τὴν τῶν ἁπάντων νουθεσίαν, καὶ ἑαυτοῖς τὸ παραινεῖν καὶ διδάσκειν αὐτοὺς ἐπιτρέπει. « Ἐρωτῶμεν δὲ ὑμᾶς, » οἷον παρακαλοῦμεν. « Εἰδέναι τοὺς κοπιῶντας. » Εἶτα ἵνα μὴ νομίσωσιν ἀποκεκινηκέναι αὐτῶν τοὺς διδασκάλους διὰ τοῦ ἐπιτρέψαι αὐτοῖς τὴν ἀλλήλων οἰκοδομὴν καὶ παράκλησιν, εὐθέως τῶν διδασκάλων αὐτῶν μνήμην ἐποιήσατο. « Καὶ προϊσταμένους ὑμῶν. » Εἰ γὰρ τοὺς ἐπὶ ἀνθρώπων δυνατῶν προϊσταμένους πάσης ἀξιοῦμεν τιμῆς, πολλῷ μᾶλλον δεῖ τοὺς ἱερέας, οἳ πρὸς τὸν Θεὸν προΐστανται. Ὅθεν φησίν· « Ἐν Κυρίῳ, » τουτέστι, κατὰ Κύριον προϊσταμένους, ἤγουν ἐπὶ τοῦ Κυρίου προϊσταμένους. « Καὶ

ἡγεῖσθαι αὐτούς. » Καὶ ἡγεῖσθαι αὐτοὺς ἐν ἀγάπῃ τῇ ὑμῶν ὀφείλειν εἶναι, τουτέστιν, ἡγεῖσθαι αὐτοὺς ἀξίους τοῦ ἀγαπᾶσθαι, καὶ οὐ μικρῶς, ἀλλ' ὑπερεκπερισσοῦ. Πολλὴ δὲ ἡ ἐπίτασις, τοῦ ὑπέρ, καὶ τοῦ ἐκ. « Διὰ τὸ ἔργον αὐτῶν, » φησίν, ὃ ἐπιτελοῦσιν εἰς ὑμᾶς. Βαπτίσματος γὰρ καὶ διδαχῆς καὶ γνώσεως καὶ μυστηρίων μετοχῆς οὗτοι ὑμῖν εἰσι πρόξενοι. « Εἰρηνεύετε ἐν ἑαυτοῖς. » Ὁρᾷς ὅπως οἶδεν ἔχθρας πρὸς τοὺς διδασκάλους τικτομένας; Ἐξ ὧν γὰρ τὰ φαῦλα ἐλέγχουσι, καὶ τῶν κακῶν ἀπείργουσι, μισοῦνται, καίτοι ἀγαπᾶσθαι ὀφείλοντες.

A Unde ait : « Qui in Domino, » hoc est, secundum Dominum, sive sub Domino præsunt. « Et existimate illos. » Et ducatis illos in charitate vestra debere esse : hoc est, ducite ipsos dignos esse qui diligantur : neque id exiguo modo, sed vehementer supra modum. Magna est autem intensio in dictione ὑπερεκπερισσοῦ propter geminam compositionem, nempe propositionum ὑπέρ et ἐκ. « Propter opus illorum, » quod præstant erga vos. Siquidem hi vobis conferunt baptismum et doctrinam, scientiamque ac mysteriorum participationem. « Pacem habete in vobisipsis. » Vides quod noverit inimicitias oriri erga præceptores ? Etenim quoniam ea quæ prava sunt arguunt, malosque coercent, odio habentur cum amari deberent.

Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας, ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι B *ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε, καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας.*

V, 14-15. *Obsecro autem vos, fratres, monete inordinatos, consolemini pusillanimes, opitulemini infirmis, patientes estote erga omnes. Videte ne quis malum pro malo cuipiam reddat, sed semper quod bonum est sectemini, tum erga vos invicem, tum erga omnes.*

Ἐνταῦθα πρὸς τοὺς διδασκάλους ἀποτείνεται. Νουθετεῖτε φησί. Μὴ ἀπὸ αὐθαδείας ἐπιπλήττετε, ἀλλὰ μετὰ πραότητος νουθετεῖτε. Ἐπειδὴ γὰρ οὗτοι διεστραμμένοι εἰσὶ, πλεῖον αὐτοὺς ἡ ἐπίπληξις ἀγριοῖ. Ἀτάκτους δέ φησι τοὺς παρὰ τὴν τάξιν τὴν ὑπὸ θεοῦ ὁρισθεῖσαν πράττοντας. « Παραμυθεῖτε τοὺς ὀλιγοψύχους. » Ὀλιγόψυχός ἐστιν ὁ ῥᾴθυμος καὶ ἀναπεπτωκώς, καὶ μὴ φέρων ὕβριν ἢ θλῖψιν ἢ πειρασμὸν ὑπὲρ Χριστοῦ. Τοὺς οὖν τοιούτους, ὡς ἐκλελυμένους παραμυθεῖσθε. « Ἀντέχεσθε τῶν ἀσθενούντων. » Ἀντιποιεῖσθε, ὑποστηρίζετε. Ἀσθενεῖς δέ φησι τοὺς περὶ τὴν πίστιν τοιούτους. Οὔτε γὰρ τούτων καταφρονεῖν χρὴ, ὡς καὶ ἀλλαχοῦ φησι· C « Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει, προσλαμβάνεσθε. » — « Μακροθυμεῖτε πρὸς πάντας. » Τοῦτο γὰρ μάλιστα ἁρμόδιον διδασκάλῳ, τὸ μακροθυμεῖν. Τοῦτο καὶ τοὺς ἀκαμπεῖς κάμπτειν πέφυκε. « Μή τις κακὸν ἀντὶ κακοῦ. » *Εἰ* δὲ κακὸν ἀντὶ κακοῦ οὐκ ἀποδοτέον, τί πάθωμεν οἱ κακὰ ἀντὶ ἀγαθῶν ἀποδιδόντες; « Ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε. » Οὔτε γὰρ ἀρκεῖ, φησὶ, τὸ μὴ ἀποδοῦναι κακὸν τῷ κακῷ, ἀλλὰ χρὴ καὶ ἀγαθῶν αὐτὸν ἀμείβεσθαι. Τοῦτο γὰρ τὸ διώκειν τὸ ἀγαθόν. Τὸ δὲ διώκειν, πολλῆς σπουδῆς εἰς τὸ τὰ ἀγαθὰ πράττειν, ἔμφασιν ἔχει. « Καὶ εἰς ἀλλήλους. » Ἀλλήλους μὲν, τοὺς ἀδελφοὺς λέγει. Ἵῳ δὲ πάντας εἰπεῖν, καὶ τοὺς ἀπίστους συμπεριέλαβε.

Hic ad præceptores sermonem dirigit. Monete, inquit. Ne pervicaciter objurgetis, sed cum mansuetudine admonete. Nam quoniam hi perversi sunt, objurgatio ferociores ipsos redderet. Inordinatos autem dicit eos qui faciunt præter ordinem a Deo definitum. « Consolemini pusillanimes. » Pusillanimis est segnis et languidus, non ferens injuriam aut afflictionem seu persecutionem pro Christo. Tales itaque tanquam dissolutos consolemini. « Opitulemini infirmos. » Affecti sitis, confirmate. Infirmos autem sive imbecilles dicit eos qui hujusmodi sunt circa fidem. **181** Neque enim hos despicere oportet : quemadmodum etiam alibi ait : « Eum qui fide infirmus est assumite [17]. » — « Patientes estote erga omnes. » Nam hoc præceptori maxime quadrat ut longanimis sit. Hoc etiam inflexibiles natum est flectere. « Ne quis malum pro malo. » Quod si malum pro malo non est rependendum, quidnam patiemur qui etiam pro bonis mala reddimus ? « Sed semper quod bonum est sectemini. » Neque enim satis est, inquit, non reddere malum pro malo, sed oportet bona quoque rependere. Nam hoc est sectari quod bonum est. Quod autem dicit, διώκειν id est, sectari sive persequi, magni conatus ad bona peragenda emphasim habet. « Tum erga vos invicem. » Fratres per hoc designat. Dicendo vero omnes, etiam infideles complexus est.

Πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε, D *ἐν παντὶ εὐχαριστεῖτε. Τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς. Τὸ Πνεῦμα μὴ σβέννυτε, προφητείας μὴ ἐξουθενεῖτε, πάντα δοκιμάζετε, καὶ τὸ καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.*

V, 16-22. *Semper gaudete, indesinenter orate, in omnibus agite. Hoc enim est voluntas Dei per Christum Jesum erga vos. Spiritum ne exstinguatis, prophetias ne aspernemini. Omnia probate, quod bonum est tenete. Ab omni specie mali abstinete.*

Πάντοτε χαίρετε, κἂν εἰς πειρασμοὺς, φησὶ, κἂν εἰς λύπας ἐμπέσητε. Τῷ γὰρ νοῦν ἔχοντι, πάντα ταῦτα χαρᾶς καὶ στεφάνων γίνεται πρόξενα. Τὸ δὲ χαίρειν, φησὶν, ἐπὶ πᾶσιν, ἀπὸ τοῦ ἀεὶ εὔχεσθαι κατορθωθείη. « Ἐν παντὶ εὐχαριστεῖτε. » Ἐν παντὶ, τουτέστι, καὶ ἐπὶ τοῖς δοκοῦσιν ἐναντίοις καὶ παρὰ

Semper, inquit, gaudete, sive in tentationes sive in mœrores incideritis. Siquidem cordato hæc omnia gaudium seu palmam conciliant. Gaudendum autem dicit in omnibus optando semper aliquid egregium præstare. « In omnibus gratias agite. » Hoc est, in his quoque rebus quæ contrariæ vi-

[17] Rom. XIV, 1.

dentur et præter scopum. Omnia enim ad id quod utile est facit Deus, quanquam nos dispensationem ejus ignoremus. « Hæc enim est voluntas Dei, » ut grati sitis erga eum qui semper beneficia præstat. « Per Christum Jesum. » Nam ἐν, id est, in, capitur pro διά, id est, per. Ipse namque hanc dedit sapientiam. « Spiritum ne exstinguatis. » Quoniam enim præsens vita in tenebris peragitur, dedit nobis Deus lucernam sancti Spiritus, quæ mentem nostram illuminet. Hanc igitur Spiritus gratiam ne exstinguatis, ait, quemadmodum fecerunt quinque virgines.[18] Exstinguit autem illam redditque inefficacem impura vita et expers benignitatis.— *Aut hoc modo.* Erant apud ipsos prophetæ ac pseudoprophetæ, sed quisnam verus esset, ante rei eventum incertum erat. Quoniam ergo non noverant falsos, **182** omnes deinceps mixtim conversabantur. Ait ergo : Spiritum ne exstinguatis : hoc est, donum ne exprimatis et prohibeatis, avertendo et non sinendo loqui. « Prophetias ne aspernemini. » Dictum est enim quod occasione pseudoprophetarum, etiam veros contemnebant. « Omnia probate. » Quid igitur faciemus propter pseudoprophetas ? Quid ? omnia probate, et quod bonum est, hoc est, veros prophetas tenete, et in pretio habetote. « Ab omni specie mali abstinete. » Potest quidem juxta consequentiam ad pseudoprophetas etiam hoc aptari, potest autem et ad peccata.

A σκοπὸν πράγμασι. Πάντα γὰρ πρὸς τὸ συμφέρον ποιεῖ ὁ Θεὸς, κἂν ἡμεῖς ἀγνοῶμεν αὐτοῦ τὰς οἰκονομίας. « Τοῦτο γάρ, φησὶ, θέλημα Θεοῦ, » τὸ εὐχαρίστους εἶναι πρὸς τὸν ἀεὶ εὐεργετοῦντα. « Ἐν Χριστῷ Ἰησοῦ. » Οἷον διὰ Χριστοῦ Ἰησοῦ. Αὐτὸς γὰρ ταύτην ἐδίδαξε τὴν φιλοσοφίαν. « Τὸ Πνεῦμα μὴ σβέννυτε. » Ἐπειδὴ γὰρ ὁ παρὼν βίος ἐν σκότει διαπορεύεται, ἔδωκεν ἡμῖν ὁ Θεὸς τὴν λαμπάδα τοῦ ἁγίου Πνεύματος φωτίζουσαν ἡμῶν τὸ ἡγεμονικόν. Ταύτην οὖν, φησὶ, τὴν χάριν τοῦ Πνεύματος μὴ σβέννυτε ὡς αἱ πέντε παρθένοι. Σβέννυσι δὲ αὐτὴν καὶ ἀνενέργητον ποιεῖ ἀκάθαρτος βίος καὶ ἀνελεημοσύνη. Ἢ οὕτως. Ἦσαν παρ' αὐτοῖς προφῆται καὶ ψευδοπροφῆται, ἀλλὰ τίς ὁ ἀληθὴς πρὸ ἐκβάσεως ἄδηλος ἦν. Ἐπεὶ οὖν οὐκ ἤδεισαν τοὺς ψευδεῖς, πάντες λοιπὸν μίγδην ἀνεστρέφοντο. Φησὶν οὖν, Τὸ Πνεῦμα μὴ σβέννυτε, τουτέστι, τὸ χάρισμα μὴ ἐκφράσσετε καὶ κωλύετε τῷ ἀποστρέφεσθαι καὶ μὴ ἐᾷν λαλεῖν. « Προφητείας μὴ ἐξουθενεῖτε. » Εἴρηται γὰρ ὅτι προφάσει τῶν ψευδοπροφητῶν, καὶ τοὺς ἀληθεῖς διέπτυον. « Πάντα δοκιμάζετε. » Τί οὖν ποιήσομεν, φησὶ, διὰ τοὺς ψευδοπροφήτας ; Τί ; Πάντα δοκιμάζετε, καὶ τὸ καλὸν, τουτέστι, τοὺς ἀληθεῖς προφήτας κατέχετε, καὶ περὶ πολλοῦ ποιεῖσθε. « Ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. » Δύναται μὲν κατὰ τὸ ἀκόλουθον, καὶ εἰς τοὺς ψευδοπροφήτας τοῦτο νοηθῆναι, δύναται δὲ καὶ εἰς ἁμαρτήματα.

B

CAPUT VII.

C

ΚΕΦΑΛ. Ζ'.

Precatio de sanctificatione spiritus et animæ et corporis.

Εὐχὴ περὶ ἁγιασμοῦ πνεύματος καὶ ψυχῆς καὶ σώματος.

V, 23-28. *Ipse autem Deus pacis sanctificet vos totos : et integer vester spiritus et anima et corpus, modo irreprehensibili, in adventu Domini nostri Jesu Christi servetur. Fidelis est qui vocavit vos qui idem efficiet. Fratres, orate pro nobis. Salutate fratres omnes cum osculo sancto. Adjuro vos per Dominum, ut legatur hæc Epistola omnibus sanctis fratribus. Gratia Domini nostri Jesu Christi sit vobiscum. Amen.*

Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης, ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ὑμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη. Πιστὸς ὁ καλῶν ὑμᾶς ὃς καὶ ποιήσει. Ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν. Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι ἁγίῳ. Ὁρκίζω δὲ ὑμᾶς διὰ τὸν Κύριον, ἀναγνωσθῆναι τὴν Ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις ἀδελφοῖς. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἀμήν.

Post admonitionem precatur, ut ex omni parte securitatem habeant. « Totos. » Hoc est, integros et per omnia. « Spiritus et anima. » Spiritum dicit ipsum Spiritum sanctum sive gratiam quæ ab eo est, quem ipsis servari precatur. Nam si splendeat in nobis et permaneat apud nos, salvi erimus : nisi enim illum pravis actionibus exstinxerimus, juxta priorem suprapositam enarrationem, quam prius scripsimus, servatur nobis et custoditur, lucidas accendens nostras lampades. Quod autem ait : Modo irreprehensibili, potest quidem et ad spiritum aptari, ut illum inculpatum et immaculatum servemus. Potest autem maxime ad animam et corpus referri : **183** si enim Spiritus a nobis servetur, hæc erunt irreprehensibilia. « Fidelis est

Μετὰ τὴν συμβουλὴν ἐπεύχεται αὐτοῖς, ἵνα ἐξ ἑκατέρου τὸ ἀσφαλὲς ἔχωσιν. « Ὁλοτελεῖς. » Τουτέστιν, ὅλους, δι' ὅλων. « Τὸ πνεῦμα καὶ ἡ ψυχή. » Τὸ πνεῦμά φησι αὐτὸ τὸ ἅγιον Πνεῦμα, ἧγουν τὴν ἀπ' αὐτοῦ χάριν, ὅπερ αὐτοῖς τηρηθῆναι ἐπεύχεται. Ἐὰν γὰρ λάμπῃ ἐν ἡμῖν καὶ ἐπιμένῃ ἡμῖν, σωθησόμεθα. Εἰ γὰρ μὴ σβέσωμεν αὐτὸ πονηραῖς πράξεσι, κατὰ τὴν ἄνω πρώτην ἐξήγησιν, ἣν προεγράψαμεν, τηρεῖται ἡμῖν καὶ φυλάττεται, φαιδρὰς ἀνάπτων τὰς ἡμετέρας λαμπάδας. Τὸ δὲ, Ἀμέμπτως, δύναται μὴν καὶ ἐπὶ τοῦ πνεύματος ἁρμοσθῆναι, ἵνα ἄμεμπτον καὶ ἀκηλίδωτον αὐτὸ φυλάξωμεν· δύναται δὲ μάλιστα ἐπὶ ψυχῆς καὶ σώματος. Τοῦ γὰρ Πνεύματος παρ' ἡμῖν σωζομένου, ταῦτα ἔσται ἄμεμπτα. « Πιστὸς, ὁ καλῶν ὑμᾶς. » Ὅρα ταπεινοφροσύνην.

D

[18] Matt. xxv, 1 seqq.

Ἐπειδὴ ἐπηύξατο αὐτοῖς, φησί· Μὴ νομίσητε ὅτι ἐκ τῶν ἐμῶν εὐχῶν σωθήσεσθε, ἀλλὰ ἐκ τῆς τοῦ καλέσαντος ἀγαθωσύνης Θεοῦ. Εἰ γὰρ εἰς σωτηρίαν ἐκάλεσε, πιστὸς δέ ἐστι, τουτέστιν, ἀληθής, πάντως ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ καὶ σώσει. « Ὃς καὶ ποιήσει. » Ἐφ' ᾧ ἐκάλεσε, φησὶν, ἐπὶ σωτηρίᾳ δὲ ἐκάλεσεν. « Ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν. » Ὅρα ταπεινότητα, εἰ Παῦλος ἐδεῖτο τῆς τούτων εὐχῆς. « Ἀσπάσασθε τοὺς ἀδελφούς. » Ἐπειδὴ γὰρ αὐτὸς ἀπὼν οὐκ ἠδύνατο διὰ στόματος καὶ τοῦ ἔνθεν ἀσπάσασθαι φιλήματος, δι' ἑτέρων αὐτοὺς ἀσπάσασθαι βούλεται. « Ἐν φιλήματι ἁγίῳ, » φησὶν· ἦν γὰρ καὶ δόλερὸν, ὡς τὸ τοῦ Ἰούδα. « Ὁρκίζω ὑμᾶς. » Διὰ τοῦτο ὁρκίζει, ἵνα κἂν αὐτοῦ καταφρονήσωσι, διὰ γοῦν τὸν ὅρκον, πράξωσι τὸ ῥηθέν. « Ἀναγνωσθῆναι τὴν Ἐπιστολήν. » Τοῦτο πόθου μᾶλλον, ἢ διδασκαλίας χάριν, ἵνα κἀκείνοις ὧν προσδιαλεγόμενος, φησίν. « Ἡ χάρις τοῦ Κυρίου ἡμῶν. » Ὅπου δὲ χάρις Χριστοῦ, πάντα τὰ ἀγαθὰ παρομαρτεῖ.

A qui vocavit vos. » Vide animi modestiam. Quoniam pro eis oraverat, ait: Ne existimetis quod meis precibus salvemini, sed ex ejus bonitate qui vocavit vos. Nam si ad salutem vocavit, et fidelis est, id est, verax, omnino faciet juxta voluntatem suam et salvabit. « Qui idem efficiet: » Ad quod videlicet vocavit, ad salutem autem vocavit. « Fratres, orate pro nobis. » Vide animi humilitatem, si Paulus horum egebat oratione. « Salutate fratres » Nam quoniam ipse cum absens esset non poterat ore præsenti salutare osculo, per alios vult ipsos salutare. « Cum sancto osculo. » Contingit enim et dolosum esse osculum, quale fuit ipsius Judæ. « Adjuro vos. » Propterea adjurat, ut si etiam ipsum despiciant, saltem propter juramentum faB ciant quod dictum est. « Ut legatur hæc Epistola » Hoc amoris magis est quam doctrinæ gratia: ut cum illis etiam possim ita miscere sermones. « Gratia Domini nostri Jesu Christi. » Ubi autem Christi gratia est, bona omnia comitantur.

Τέλος, σὺν Θεῷ, τῆς πρὸς Θεσσαλονικεῖς πρώτης Ἐπιστολῆς.

Ἐγράφη ἀπὸ Ἀθηνῶν.

Finis, divino favente auxilio, priceris ad Thessalonicenses Epistolæ.

Scripta est ab Athenis.

ΥΠΟΘΕΣΙΣ

ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

ARGUMENTUM

POSTERIORIS EPISTOLÆ AD THESSALONICENSES.

Ταύτην ἐπιστέλλει ἀπὸ Ῥώμης. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Τινὲς ἀπὸ Θεσσαλονίκης ἀργοὶ καὶ ἄτακτοι περιερχόμενοι, τοὺς ἀδελφοὺς ὑφήρπαζον, ὡς ἤδη τῆς παρουσίας τοῦ Κυρίου ἐνεστάσης. Ἠπάτων δὲ τοὺς ἀκούοντας ὡς τοῦ Ἀποστόλου τοῦτο δηλοῦντος, καὶ ὑπὸ πνεύματος ἀκούσαντες. Ταῦτα τοίνυν μαθὼν ὁ Ἀπόστολος, γράφει τὴν Ἐπιστολήν. Καὶ πρῶτον μὲν ἀποδέχεται τὴν πίστιν αὐτῶν αὐξάνουσαν. Καὶ ὅτι ἐν αὐτοῖς ἐκαυχᾶτο, τὰς θλίψεις γενναίως ὑποφέρουσι διὰ τὸν Χριστόν. Καὶ παραμυθεῖται δὲ αὐτοὺς ὡς ἐσομένης ἐκδικίας παρὰ τοῦ Θεοῦ, κατὰ τῶν αὐτοὺς ἀδικούντων. Ἔπειτα περὶ τῆς παρουσίας τοῦ Σωτῆρος διδάσκει μηδενὶ αὐτοὺς πείθεσθαι, μήτε θροεῖσθαι αὐτοὺς, μήτε διὰ πνεύματος, μήτε ὡς αὐτοῦ γράψαντος, μηδ' ὅλως νομίζειν ἤδη παρεῖναι αὐτήν. Μὴ γὰρ πρότερον ἔσεσθαι αὐτὴν, ἐὰν μὴ ἡ ἀποστασία πρῶτον ἔλθῃ, καὶ μετὰ ταύτην ὁ Ἀντίχριστος, ὁ Υἱὸς τῆς ἀπωλείας, οὗ τὴν παρουσίαν ἐν σημείοις

C

184 Hanc ab urbe Roma scribit. Est autem hoc Epistolæ argumentum: Quidam e Thessalonica otiosi ac inordinati circumeundo subvertebant fratres, quasi jam imminente Domini adventu. Seducebant autem fratres, tanquam hoc Apostolus significasset et a spiritu audissent. His igitur auditis Apostolus scribit Epistolam. Et primum quidem fidem eorum veluti augmentatam commendat, et quod in ipsis gloriaretur, eo quod afflictiones propter Christum viriliter ferrent: eosque consolatur, ostendens futuram a Deo ultionem adversus illos qui ipsos injuria afficiebant. Deinde eos de Salvatoris adventu docens, hortatur ne cuiquam credant, neque turbentur, ne propter spiritum quidem, neque si quis dicat ipsum scripsisse: ne omnino existiment illum jam adfore. Non enim prius aderit, inquit, nisi defectio primum venerit, et post ipsam Antichristus filius perditionis, cujus adventum cum signis et prodigiis mendacibus

D

futurum secundum operationem Satanæ significat. **185** Deinde adhortans ipsos, ut stent viriliter ac teneant traditiones quas ab ipso edocti erant, præcipit ut nullam habeant communicationem cum inordinatis, quin potius illos ejiciant : indicat enim curiose degere eos qui ejusmodi sunt. Et universaliter præcipit, ut qui ipsius sermonibus non obtemperaverit, extra congregationem abjiciatur. Demumque pacem illis precatus concludit Epistolam salutatione propria manu scripta, quod signum esse singularum Epistolarum significavit.

καὶ τέρασι ψεύδους κατ' ἐνέργειαν τοῦ Σατανᾶ, ἔσεσθαι σημαίνει. Εἶτα παραινέσας αὐτοῖς στήκειν γενναίως καὶ κρατεῖν τὰς παραδόσεις ἃς ἐδιδάχθησαν παρ' αὐτοῦ, παραγγέλλει μηδεμίαν κοινωνίαν ἔχειν μετὰ τῶν ἀτάκτων, ἀλλὰ καὶ ἀποβάλλειν αὐτούς. Εἶναι γὰρ καὶ περιέργους καὶ πλάνους ἐδήλωσε τοὺς τοιούτους. Καὶ καθόλου παρήγγειλε, τὸν μὴ ὑπακούοντα τοῖς λόγοις αὐτοῦ, τοῦτον ἀποσυνάγωγον γίνεσθαι. Καὶ λοιπὸν ἐπευξάμενος αὐτοῖς εἰρήνην, τελειοῖ τὴν Ἐπιστολήν, τὸν ἀσπασμὸν τῇ ἰδίᾳ χειρὶ γράψας, ὅπερ σημεῖον εἶναι πάσης Ἐπιστολῆς δεδήλωκεν.

THEODORETI.

Quoniam in priore Epistola scripsit tanquam ad ipsos omnino profecturus esset, et quæ eis deessent impleturus, ac multa quædam dilectionis signa, nec tamen profectus est : ideo hanc addit Epistolam loco sui adventus. Quod autem ad ipsos non sit profectus, hinc conjici potest. Cum in priore Epistola de temporibus adventus Domini scribere distulisset, tanquam de re quæ nihil ipsis afferret utilitatis, nunc de hoc scribit : non id facturus si ipse profectus fuisset ad eos. Ob hanc autem causam scribit de temporibus. Seductores quidam dicebant jam adesse adventum Domini : quod si id verum esset, Christus mendax inveniretur. Nam ipse in Evangeliis signa sui dedit adventus quæ nondum contigerant. Cogitur itaque et ipse disserere de signis quæ ante adventum contingent, et de Antichristi adventu, per omnia declarans vera esse Domini vaticinia.

ΘΕΟΔΩΡΗΤΟΥ.

Ἐπειδὴ ἐν τῇ πρώτῃ ἐπιστολῇ ἔγραψεν ὡς πάντως ἀπιὼν πρὸς αὐτούς, καὶ ἀναπληροῦν μέλλων τὰ ὑστερήματα αὐτῶν, καὶ πολλά τινα ἀγάπης σημαντικὰ, οὐκ ἀπῆλθε δὲ, ταύτην προστίθησι τὴν Ἐπιστολὴν ἀντὶ τῆς παρουσίας αὐτοῦ. Ὅτι δὲ μὴ ἀπῆλθε πρὸς αὐτοὺς, ἔνθεν στοχαστέον. Ἐν τῇ πρώτῃ περὶ τῶν χρόνων τῆς τοῦ Κυρίου παρουσίας ὑπερθέμενος γράψαι ὡς οὐ χρειῶδες αὐτοῖς, νῦν γράφει, οὐ ποιῶν τοῦτο, εἴγε αὐτὸς ἀπελήλυθει. Γράφει δὲ περὶ τῶν χρόνων διὰ ταύτην τὴν αἰτίαν. Λυμεῶνές τινες ἔλεγον παρεῖναι λοιπὸν τὴν παρουσίαν τοῦ Κυρίου. Εἰ δὲ τοῦτο ἦν ἀληθὲς, ὁ Χριστὸς ψευστὴς εὑρίσκετο. Αὐτὸς γὰρ ἐν τοῖς Εὐαγγελίοις σημεῖον τῆς παρουσίας αὐτοῦ δέδωκεν, ἅτινα οὐκ ἦν ἐκβάντα. Ἀναγκάζεται οὖν καὶ αὐτὸς διαλαβεῖν περὶ τῶν πρὸ τῆς παρουσίας σημείων, καὶ τῆς τοῦ Ἀντιχρίστου ἐλεύσεως, διὰ πάντων ἀληθεῖς τὰς τοῦ Κυρίου προρρήσεις ποιῶν.

POSTERIORIS AD THESSALONICENSES EPISTOLÆ CAPITA.

1. **186** *Gratiarum actio de fide Thessalonicensium et charitate ac patientia ad illorum honorem et affligentium ultionem: et precatio pro ipsorum perfectione gloriosa ad Christi gloriam,*
2. *De fine qui erit post Antichristum mittendum ad Judæorum redargutionem qui Christo non crediderunt.*
3. *Gratiarum actio de vocatione.*
4. *Ut pro ipso precentur et pro opere Evangelii.*
5. *Exhortatio ad laborem et devitationem otiosorum ac curiose degentium.*
6. *Precatio pro pace, quæ est a Deo.*

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

α'. Εὐχαριστία ὑπὲρ τῆς τῶν Θεσσαλονικέων πίστεως καὶ ἀγάπης καὶ ὑπομονῆς ἐπὶ τιμῇ αὐτῶν, καὶ κολάσει τῶν θλιβόντων· καὶ εὐχὴ ὑπὲρ τελειώσεως αὐτῶν ἐνδόξου ἐπὶ δόξῃ Χριστοῦ.

β'. Περὶ τέλους, ὅτι μετὰ Ἀντίχριστον τὸν πεμπόμενον ἐπὶ ἐλέγχῳ Ἰουδαίων ἀπιστησάντων Χριστῷ.

γ'. Εὐχαριστία περὶ τῆς κλήσεως.

δ'. Παράκλησις εὐχῆς ὑπὲρ αὐτοῦ καὶ τοῦ ἔργου.

ε'. Προτροπὴ ἐργασίας καὶ παραιτήσεως τῶν ἀργῶν καὶ περιέργων.

ς'. Εὐχὴ περὶ εἰρήνης τῆς παρὰ Θεοῦ.

ΠΑΥΛΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΔΕΥΤΕΡΑ ΕΠΙΣΤΟΛΗ.

—

PAULI APOSTOLI

AD THESSALONICENSES POSTERIOR EPISTOLA.

—

ΠΡΟΟΙΜΙΟΝ.

Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ Ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ Πατρὶ ἡμῶν καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Οὕτως καὶ ἐν τῇ πρώτῃ ἤρξατο ἐπιστολῇ, καὶ πρόσχες τὰς ἐκεῖ παραγραφάς. « Ἐν Θεῷ Πατρὶ ἡμῶν. » Ἕνι γὰρ ἐκκλησία, μὴ ἐν Πατρὶ καὶ Υἱῷ, ὡς αἱ τῶν Ἑλλήνων, καὶ πολλῶν ἄλλων αἱρετικῶν. « Χάρις ὑμῖν καὶ εἰρήνη. » Οἶδα γὰρ ὅπως μέγα ἡ χάρις καὶ ἡ εἰρήνη τοῦ Θεοῦ, καὶ ὅτι πρὸς πειρασμοὺς κουφισμὸν ἀπεργάζεται. Διὸ συνεχῶς αὐτὰς ἐπεύχεται.

ΚΕΦΑΛ. Α'.

Εὐχαριστία ὑπὲρ τῆς τῶν Θεσσαλονικέων πίστεως καὶ ἀγάπης καὶ ὑπομονῆς ἐπὶ τιμῇ αὐτῶν, καὶ κολάσει τῶν θλιβόντων, καὶ εὐχὴ ὑπὲρ τελειώσεως αὐτῶν ἐνδόξου ἐπὶ δόξῃ Χριστοῦ.

Εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν, καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ἡμῶν εἰς ἀλλήλους. Ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ, ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε, ἔνδειγμα τῆς δικαιοκρισίας τοῦ Θεοῦ εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ Θεοῦ ὑπὲρ ἧς καὶ πάσχετε.

Δύο διδάσκει αὐτούς, ὅτι καὶ οἱ συμβαίνοντες αὐτοῖς πειρασμοί, οὐ θρήνων, ἀλλ' εὐχαριστιῶν εἰσιν ἄξιοι, καὶ ὅτι ὑπὲρ ὧν πάσχουσιν, ὑπέρ τε ὧν ὑπομένουσιν, τῷ Θεῷ χάριν ἰστέον. — [ΦΩΤ.] Εἰ εὐχαριστεῖν δεῖ περὶ τῶν ἑτέροις κατωρθωμάτων, τί πάθωσιν οἱ βασκαίνοντες τοῖς κατορθοῦσι ; « Καθὼς ἄξιόν ἐστιν. » Ἤ, Ὅτι, φησὶ, δίκαιον ἐστι, νοήσεις· ἢ τὸ, Μεγάλως, ἐξακουστέον, ἵνα ᾖ, Μεγάλως, καθὼς ἄξιον τῷ μεγάλα παρέχοντι. « Ὅτι ὑπεραυξάνει. » Ὑπερβολῆς τὸ ὑπέρ, σημαντικόν ἐστι. Πῶς δὲ ἐνι πίστιν αὐξηθῆναι ; ὅταν πειρασμῶν καὶ θλίψεων ἐπελθουσῶν, μὴ σαλευθῇ τις. « Καὶ πλεονάζει ἡ ἀγάπη. » Ἆρα καὶ πρὸς τὸ φέρειν πειρασμοὺς, τὸ ἀγαπᾷν καὶ ἀλλήλων ἔχεσθαι, πολλὰ συμβάλλεται. Ἐδήλωσε γὰρ ἐκ τούτων, ὅτι πάντων ἡ πρὸς ἀλλήλους ἀγάπη ἴση ἦν, καὶ

187 PROŒMIUM.

1, 1, 2. Paulus et Silvanus ac Timotheus Ecclesiæ Thessalonicensium in Deo Patre nostro et Domino Jesu Christo : gratia vobis et pax a Deo Patre nostro et Domino Jesu Christo.

Itaque in priore Epistola sumpsit exordium, et animadverte quæ ibi annotata sunt. « In Deo Patre nostro. » Contingit enim esse Ecclesiam non in Patre et Filio, veluti sunt Græcorum Ecclesiæ ac aliorum multorum hæreticorum. « Gratia vobis et pax. » Scit enim quod magna sit gratia et pax Dei, et quod alleviationem in afflictionibus operetur, ideo has continue exoptat.

188 CAPUT I.

Gratiarum actio de fide Thessalonicensium et charitate ac patientia ad illorum honorem et affligentium ultionem : et precatio pro ipsorum perfectione gloriosa ad Christi gloriam.

1, 3-5. Gratias agere debemus Deo semper de vobis, fratres, ut par est, quod vehementer augescat fides vestra et exuberet mutua omnium charitas cujusque in alterum : adeo ut nosipsi de vobis gloriemur in Ecclesiis Dei de tolerantia vestra et fide, super omnibus persecutionibus et afflictionibus quas sustinetis, documentum justi judicii Dei, in hoc ut digni habeamini regno Dei pro quo etiam patimini.

Duo ipsos docet : eo quod afflictiones quæ in ipsos inciderunt non luctum, sed gratiarum actionem mereantur, et quod pro his quæ ipsi patiuntur ac sustinent, Deo sint referendæ gratiæ. — Si Deo sint agendæ gratiæ pro bonis operibus ab aliis peractis, quidnam illos pati oportet qui erga bene operantes invidia tanguntur? « Ut par est. » Aut intelliges quod dicat id justum esse. Aut subaudiendum est Magnifice, ut sit sensus: Magnifice ut par est ei gratias agere debemus qui magna contulit. « Quod vehementer augescat. » Nam in verbo ὑπεραυξάνει præpositio ὑπὲρ excellentiæ ac vehementiæ significativa est. Quomodo autem contingit fidem augeri? Quando tentationibus et afflictionibus quispiam motus non fuerit. « Et exu-

beret charitas. » Itaque ad ferendas quoque afflictiones primum conducit mutuo diligere ac conjunctos esse. Nam per hæc significavit quod omnium mutua charitas æqualis esset, nec ullus in ea plus aut minus haberet. « De vobis gloriemur in Ecclesiis Dei. » In priore Epistola dixit : Non necesse est ut Ecclesiæ a nobis discant quæ apud vos fiunt, **189** nam sciunt ea : quomodo ergo nunc ait : Gloriamur de vobis? Non dixit, Docemus, sed Gloriamur. Contingit autem gloriari etiam apud illos qui sciunt. Si ergo egregia facta vestra nobis etiam gloriandi materiam tribuunt, quare vos ob afflictiones quæ egregia præstant opera, movemini ac lugetis? « De tolerantia vestra. » Ostendit quod etiam longo tempore afflictiones sustinuerint. Nam hoc significat dictio ὑπομονή, id est, tolerantia. « Super omnibus persecutionibus vestris. » Tolerantia namque etiam est sustinere dilationem præmiorum, sed major et admirabilior est in ferendis afflictionibus. « Documentum justi judicii. » Documentum dicit exhibitionem et argumentum : hæc enim sustinetis ad demonstrandum justum Dei judicium, et ut digni habeamini regno cœlorum : ac si diceret : Propterea permittit vos Deus esse in afflictionibus, ut cum retribuerit vobis regnum cœlorum, ostendat, et velut argumentum et demonstrationem ac experimentum exhibeat sui justi judicii. Animadverte autem quod pro Christo pati, ex justo judicio tribuat regnum cœlorum et non ex gratia. Plurimum suasitque ut afflictiones contemnerent. « Pro quo

A οὐδεὶς τὸ πλέον καὶ ἔλαττον εἶχεν ἐν αὐτῇ. « Ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ. » Ἐν τῇ πρώτῃ εἶπεν, ὅτι αἱ Ἐκκλησίαι οὐ χρῄζουσι παρ' ἡμῶν μανθάνειν τὰ περὶ ὑμῶν· ἴσασι γάρ. Πῶς οὖν ὧδε λέγει ὅτι Καυχώμεθα ἐφ' ὑμῖν; Οὐκ εἶπε, Διδάσκομεν, ἀλλὰ Καυχώμεθα. Ἔνι δὲ καὶ παρὰ τοῖς εἰδόσι καυχᾶσθαι. Εἰ οὖν, φησὶ, τὰ παρ' ὑμῶν κατορθούμενα καὶ ἡμῖν παρέχει καυχήσεως ἀφορμάς, διὰ τί ὑμεῖς ἐπὶ τοῖς προξενητικοῖς τῶν κατορθωμάτων πειρασμοῖς ἀλύετε καὶ ἀδημονεῖτε; « Ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν. » Δείκνυσιν ὅτι καὶ πολὺν εἶχον ἐν τοῖς πειρασμοῖς χρόνον. Τοῦτο γὰρ ἡ *ὑπομονὴ* δηλοῖ. « Ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν. » Ὑπομονὴ μὲν οὖν, καὶ τὸ ἀνέχεσθαι τῆς ὑπερθέσεως τῶν ἀντιδόσεων, μείζων δὲ καὶ θαυμασιωτέρα ἡ
B ἐν πειρασμοῖς καὶ θλίψεσιν. « Ἔνδειγμα τῆς δικαιοκρισίας τοῦ Θεοῦ. » Ἔνδειγμά φησι, τὴν ἀπόδειξιν καὶ τὸν ἔλεγχον. Ταῦτα γὰρ ὑπομένετε πρὸς τὸ ἀποδειχθῆναι τὴν δικαιοκρισίαν τοῦ Θεοῦ, καὶ πρὸς τὸ καταξιωθῆναι τῆς βασιλείας τῶν οὐρανῶν, ὡστε ἔλεγε. Διὰ τοῦτο συγχωρεῖ ἐν ταῖς θλίψεσιν ὑμᾶς εἶναι ὁ Θεὸς, ἵνα ὅταν ἀποδίδωσιν ὑμῖν τὴν βασιλείαν τῶν οὐρανῶν, ἐνδείξηται, καὶ οἷον ἀπόπειραν καὶ ἀπόδειξιν καὶ ἔλεγχον δῷ τῆς οἰκείας δικαιοκρισίας. Ὅρα δὲ ὅτι τὸ ὑπὲρ Χριστοῦ πάσχειν, κατὰ δικαιοκρισίαν παρέχει τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ οὐ κατὰ χάριν. Πολὺ δὲ αὐτῶν ἐκ τούτου εἰς ὕψος
C ἐπῆρε τὰ φρονήματα, καὶ ἔπεισε καταφρονεῖν τῶν θλίψεων. « Ὑπὲρ ἧς καὶ πάσχετε. » Ἧς ἕνεκεν, φησίν. autem ex hoc eorum mentes in sublime evexit· patimini. » Cujus, inquit, justi judicii gratia.

1, 6-10. *Siquidem justum est apud Deum reddere his qui vos affligunt afflictionem, et vobis qui affligimini relaxationem nobiscum, cum revelabitur Dominus Jesus de cœlo cum angelis potentiæ suæ, per ignem flammæ qui infligit ultionem iis qui non noverunt Deum, et qui non obediunt Evangelio Domini nostri Jesu Christi : qui pœnam luent, interitum æternum a facie Domini et a gloria fortitudinis illius, cum venerit ut glorificetur in sanctis suis, et admirandus fiat in omnibus credentibus.*

Εἴπερ δίκαιοι παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ, μετ' ἀγγέλων δυνάμεως αὐτοῦ, ἐν πυρὶ φλογὸς διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι Θεὸν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ Εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ. Οἵτινες δίκην τίσουσιν, ὄλεθρον αἰώνιον ἀπὸ προσώπου τοῦ Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύσασιν.

Siquidem justum est. Nam εἴπερ intelligendum est pro ἐπείπερ vel ἐπειδήπερ, id est, quandoquidem aut quoniam, per affirmationem aut confirmationem. Aut juxta quamdam interrogationem, D tanquam dixisset : Si certe justum ducit Deus, quod videlicet omnino justum ducat. **190** Id enim dicere solemus : Si odit Deus peccatores, quasi manifestum sit quod oderit. « Relaxationem nobiscum. » Quoniam dixit : Relaxationem : ne dicant : Quid ergo, donec malorum solutionem inveniamus, permanebunt quæ nos circumstant mala, retributio autem nequaquam ? adjungit : Nobiscum, ut socios sumat ipsos et certaminis et coronarum apostolicarum. « Cum revelabitur Dominus. » Revelationem dicit adventum. Per hoc autem quod

Εἴπερ δίκαιοι παρὰ τῷ Θεῷ. Τὸ, *Ἐπείπερ, ἐπειδήπερ* νόει κατὰ ἀπόφανσιν καὶ βεβαίωσιν εἰρημένον ἢ κατά τινα ἐρώτησιν, ὡσεὶ εἶπεν· Εἰ ἄρα τοῦτο δικαιοῖ ὁ Θεὸς, ὡς πάντως δικαιοῦντος. Τοῦτο γὰρ λέγειν εἰώθαμεν· Εἰ μισεῖ ὁ Θεὸς τοὺς πονηροὺς, ὡς δήλου ὄντος ὅτι μισεῖ. « Ἄνεσιν μεθ' ἡμῶν. » Ἐπειδὴ εἶπεν· Ἄνεσιν, ἵνα μὴ λέγωσι, Τί οὖν ἄχρι τοῦ λύσιν εὑρεῖν τῶν κακῶν, σταίη τὰ καθ' ἡμᾶς, ἀντίδοσις δὲ οὐδαμοῦ; ἐπάγει τὸ μεθ' ἡμῶν, ἵνα κοινωνοὺς αὐτοὺς λάβῃ καὶ τῶν ἀγώνων καὶ στεφάνων τῶν ἀποστολικῶν. « Ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου. » Ἀποκάλυψιν, τὴν παρουσίαν φησί. Διὰ δὲ τοῦ ὑπογράφειν τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν, δίδωσιν αὐτοῖς μέγιστα προσδοκᾷν, καὶ ἥδεσθαι ἐξ αὐτῆς τῆς παρουσίας καὶ πρὸ τῶν ἀμοι-

θῶν. « Μετ' ἀγγέλων δυνάμεως αὐτοῦ. » Ὡσεὶ εἶπε, Μετὰ τῶν ἀγγέλων τῶν διαφερόντων τῇ δυνάμει αὐτοῦ, ἢ ὡς τῶν ἀγγέλων δυνατῶν ὄντων, τουτέστι, μετὰ τῶν δυνατῶν αὐτοῦ ἀγγέλων. « Ἐν πυρὶ φλογός. » Ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ, τῇ ἐν φλογὶ πυρὸς γενησομένῃ. Περὶ ταύτης γὰρ καὶ ὁ Δαυὶδ φησι· « Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. » —[ΦΩΤ.] Ἢ ἐν πυρὶ φλογός φησι, τὸ εἶδος τῆς τιμωρίας αἰνιττόμενος, ἣν τίσουσιν οἱ μὴ εἰδότες Θεὸν, μηδὲ ὑπακούσαντες τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ. Ἢ ἐν φρογὶ πυρὸς, αὐτὴν τὴν Δεσποτικὴν παρουσίαν, ὅτι μετὰ πυρὸς φλέγοντος γενήσεται, δηλῶν. Οὕτως γὰρ καὶ οἱ πρὸ ἡμῶν ἐξειλήφασιν. « Τοῖς μὴ εἰδόσι Θεόν. » Ἐνταῦθα καὶ ἕτερόν τι λέγει κατασκευαστικὸν, ὅτι πάντως δώσουσι δίκην οἱ θλίβοντες αὐτούς. Ἐπειδὴ γὰρ ἄνω φησὶ, τοῖς θλίβουσιν ὑμᾶς, ἵνα μὴ ἀπιστήσωσιν εἰ ἄρα δι' αὐτοὺς μέλλει κολάζειν ὁ Θεὸς τοὺς διώκοντας αὐτοὺς, φησὶν, ὅτι εἰ καὶ μὴ δι' ὑμᾶς, δι' ἑαυτὸν κολάσει αὐτούς. Καὶ γὰρ ἀποδίδωσι δίκην τοῖς μὴ εἰδόσι Θεὸν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ Εὐαγγελίῳ αὐτοῦ. Εἰ δὲ τούτοις ἀποδίδωσι, πολλῷ μᾶλλον τοῖς κωλύουσι καὶ ἄλλους ὑπακοῦσαι, οἷοί εἰσιν οἱ νῦν ὑμᾶς θλίβοντες, φησίν. « Ὄλεθρον αἰώνιον. » Ποῦ εἰσιν οὖν οἱ λέγοντες, μὴ διαιωνίζειν τὰς ἐκεῖ τιμωρίας ; ἀπὸ προσώπου τοῦ Κυρίου. Οὐ γὰρ χρεία, φησὶ, πρὸς τοῦτο ἐργωδίας τινός. Ἀπὸ γὰρ μόνου τοῦ προσώπου τοῦ Χριστοῦ, τουτέστι, τῆς ἐπιφανείας αὐτοῦ, οἱ μὲν ἐν κολάσει, οἱ δὲ ἐν τιμῇ ἔσονται. Ἥτις ἔσται, φησὶ, μετὰ δόξης τῆς ἰσχύος αὐτοῦ, ὡσεὶ εἶπεν. Ἅμα ἐπιφανῇ αὐτοῦ τὸ πρόσωπον, καὶ ἅμα ἡ δόξα τῆς ἰσχύος αὐτοῦ, εὐθὺς ἐν κολάσει ἀνάρπαστοι οἱ ἁμαρτωλοί. « Ὅταν ἔλθῃ ἐνδοξασθῆναι. » Τὸ, Ἐνδοξασθῆναι, κατὰ δύο νοεῖται, ὅτι τε δόξα αὐτῷ ἐστι τὸ πολλοὺς εἶναι τοὺς ἁγίους, οἷς μέλει μεταδιδόναι τῶν ἀγαθῶν αὐτοῦ, (ὥσπερ γὰρ πλοῦτος αὐτοῦ ἡ ἡμετέρα σωτηρία, οὕτως καὶ δόξα αὐτοῦ τὸ πολλοὺς ἐν δόξῃ εὑρεθῆναι.) Καὶ ὅτι δοξασθήσεται ὑπὸ τῶν ἁγίων ὁρώντων αὐτὸν ἐν τῇ πατρῴᾳ δόξῃ Θεὸν πάντων καὶ πρώτην προκαθεζόμενον. Ἔστι καὶ τρισσῶς νοῆσαι, ὅτι δοξασθῆναι αὐτὸν ὑπὸ τῶν ἀσωμάτων δυνάμεων, οἳ ἅγιοι παρασκευάσουσι, θεωρουσῶν, ὅσον αὐτοὺς ἀξιώσει ἀμοιβῶν. « Ἐν πᾶσι τοῖς πιστεύσασιν. » Ἐν πᾶσι, διὰ πάντων. Ὥσπερ γὰρ πρόφασιν δώσουσιν οἱ ἅγιοι δοξασθῆναι αὐτὸν, οὕτως καὶ θαυμασθῆναι, πῶς τοὺς οὕτω δόξαντας ἐν τῷ παρόντι βίῳ εὐτελεῖς καὶ ἀπερίμμενους, ὡς καὶ παρὰ πάντων διώκεσθαι καὶ φονεύεσθαι, τοσούτων καὶ τοιούτων ἠξίωσεν ἀγαθῶν.

A Secundum Christi describit adventum, plurimum facit, ut exspectent et gaudeant de ipso adventu etiam ante præmia. « Cum angelis potentiæ suæ. » Tanquam dixisset : Cum angelis præstantibus potentia ipsius vel angelis qui potentes sunt, hoc est, Cum potentibus angelis ejus. « Per ignem flammæ. » Cum revelabitur Dominus Jesus, quod fiet per ignem flammæ. Nam de hoc ait etiam David[1] : « Ignis coram ipso præcedet et inflammabit per circuitum omnes inimicos ejus. » — Aut per ignem flammæ dicit supplicii genus, designans quas pœnas dabunt qui Deum non noverunt neque obedierunt Evangelio Christi. Aut per flammam ignis designans ipsum Dominicum adventum, quod videlicet erit cum igne inflammante : ita enim ante nos quoque interpretati sunt. « His qui non noverunt Deum. » Hic quoque aliud dicit quo probat daturos omnino pœnas eos qui ipsos affligunt. Quoniam enim superius dicit, iis qui vos affligunt, ne animum despondeant si certe propter ipsos puniturus est Deus persecutores ipsorum, ait quod licet non propter vos, propter seipsum puniet eos : infligit enim supplicium his qui cum non noverunt, et his qui non obedierunt Evangelio ipsius. Quod si his infligit, multo magis his qui alios etiam prohibent obedire, quales sunt ii qui nunc vos affligunt, inquit. « Interitum æternum. » Ubi ergo sunt qui aiunt non duratura in æternum supplicia ? « A facie Domini. » Non enim ad hoc, inquit, opus est magno quodam labore. Siquidem ex sola Christi persona, id est, manifestatione ipsius, hi quidem in supplicio, illi vero in honore erunt : qui erit cum gloria fortitudinis illius, tanquam diceret : Simul ut manifesta fuerit ipsius facies, simulque gloria fortitudinis illius, continuo in supplicium abrepti erunt peccatores. **191** « Cum venerit, ut glorificetur. » Quod ait : Ut glorificetur, duobus modis intelligitur : et quod ipsi gloria sit multos esse sanctos quibus traditurus sit bona sua. Quemadmodum enim ipsius divitiæ sunt nostra salus, ita et gloria ipsius est ut multi in gloria inveniantur ; et quod a sanctis glorificabitur, qui ipsum intuebuntur sedentem in paterna gloria Deum ac judicem universorum. Potest et tertio modo intelligi quod sancti efficient, ut glorificetur ab incorporeis virtutibus intuentibus quanto præmio illos dignabitur. « In omnibus credentibus. » In omnibus, id est, per omnes. Quemadmodum enim sancti ansam dabunt ut glorificetur, ita quoque ut admirandus fiat, quod eos qui in præsenti vita adeo viles et abjecti videbantur, ut ab omnibus persecutionem paterentur et occiderentur, tantis ac talibus dignetur bonis.

B

C

D

Ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ' ὑμᾶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ Θεὸς ἡμῶν, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης καὶ ἔργον πίστεως ἐν δυνάμει, ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ ἐν

1, 10. *Quod fides habita sit testimonio nostro erga vos in die illo : ad quod etiam oramus semper pro vobis, ut vos dignos habeat ista vocatione Deus noster, et compleat omne bonum propositum bonitatis et opus fidei per potentiam, ut glorificetur nomen Domini nostri Jesu Christi per vos, et vos per*

[1] Psal. xcvi, 3.

illum, juxta gratiam Dei nostri et Domini Jesu Christi.

Admirandus habebitur Deus quod fides habita sit nostro erga vos testimonio ac prædicationi. Et quomodo ex eo quod ipsi crediderint prædicationi eorum, admirandus habebitur Deus? Quia nisi nos, inquit, audissetis, nequaquam tanta bona accepissetis: porro non accipientes ea bona nequaquam ansam dedissetis, ut glorificaretur et admirationi haberetur Christus ob ea quibus vos glorificasset. « In die illo. » In eo qui tunc erit die, manifestum fiet quod crediderit: nunc enim multi quoque fidem simulant, « ad quod etiam oramus. » In hoc ipsum, inquit, precamur, ut etiam in vobis glorificetur et admirationi habeatur Deus. « Ut vos dignos habeat ista vocatione. » Quid enim? an non erant jam vocati? utique: omnes namque vocati sumus, sed non omnes ingredimur idque manifestant quinque virgines[1], et is qui sordida habuit vestimenta[2]. **192** Vocationem itaque dicit eam quæ etiam ingressum haberet adjunctum Precamur autem, ait, ut compleat Deus omne bonum erga vos consilium. Consilium vero ac propositum Dei est, ut omnes homines salvi fiant et æterna assequantur bona. Complebit autem et opus fidei in vobis per propriam potentiam. Nam ex hoc illud quoque subsequitur. Si enim compleat opus fidei vos perficiens, omnino suum etiam propositum complebit. Animadverte autem quod non dixerit fidem, sed opus fidei. « Ut glorificetur nomen Domini. » Si enim hæc fiant, inquit, sicut in sanctis suis glorificabitur Deus, quemadmodum superius dixit, ita et in vobis: glorificatur enim, veluti quoque superius diximus, cum talia bona impartit servis suis. Ipsius vero etiam gloria erit hujusmodi bonis donari. Aut hoc modo intellige: Si impleverit opus fidei vestræ per potentiam, hoc est, per tolerantiam afflictionum, glorificabitur in vobis quod potentes ad hoc fecerit, et nervos ad hoc tribuerit: et vos in Deo, quod vosipsos dignos exhibueritis divino amore et auxilio. « Juxta gratiam Dei nostri. » Hæc enim omnia Christi gratia est. Siquidem non sumus, ait, idonei sive digni, sed gratia ejus per nos omnia efficit.

CAPUT II.

De fine qui erit post Antichristum mittendum ac Judæorum redargutionem, qui Christo non crediderunt.

II, 1, 2 *Rogamus autem vos, fratres, per adventum Domini nostri Jesu Christi, et nostri congregationem in ipsum, ne cito dimoveamini a mente, ne turbemini, neque per spiritum, neque per sermonem, neque per epistolam tanquam nobis auctoribus, quasi instet dies Christi.*

193 O laus eximia sanctorum! Ostendit enim quod et ipsi cum Christo congregabuntur ut etiam ipsi simul cum eo appareant, et una cum eo conveniant. « Ne cito. » Quid autem rogamus vos et exhortamur? Ne cito, inquit, terreamini ac time-

[1] Matth. xxv, 1 seqq. [2] Matth. xxii, 12

ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ κατὰ τὴν χάριν τοῦ Θεοῦ ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Θαυμασθήσεται δὲ ὁ Θεὸς, ἐπειδὴ ἐπιστεύθη ἐφ' ὑμᾶς ἡ διαμαρτυρία ἡμῶν καὶ τὸ κήρυγμα. Καὶ πῶς ἐκ τοῦ πιστεῦσαι αὐτοὺς τῷ κηρύγματι αὐτῶν μέλλει ὁ Θεὸς θαυμάζεσθαι; Ὅτι εἰ μὴ ἠκούσατε ἡμῶν, φησὶν, οὐκ ἐμέλλετε τοσούτων ἀγαθῶν ἀξιοῦσθαι. Μὴ ἀξιούμενοι δὲ, οὐκ ἂν πρόφασιν δοξολογίας καὶ θαύματος τῷ Χριστῷ παρέσχετε ἐφ' οἷς ὑμᾶς ἐδόξασεν. « Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. » Ἐν γὰρ τῇ τότε ἡμέρᾳ γενήσεται φανερὸν ὅτι ἐπιστεύσατε. Νῦν γὰρ πολλοὶ καὶ ὑποκρίνονται τὴν πίστιν. « Εἰς ὃ καὶ προσευχόμεθα. » Εἰς τοῦτο αὐτὸ, φησὶ, προσευχόμεθα, ἵνα καὶ ἐν ὑμῖν δοξασθῇ καὶ θαυμασθῇ ὁ Θεός. « Ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως. » Τί γάρ; οὐκ ἦσαν κεκλημένοι; ναί. Καὶ γὰρ πάντες κεκλήμεθα, ἀλλ' οὐ πάντες εἰσερχόμεθα. Καὶ τοῦτο δηλοῦσιν αἱ πέντε παρθένοι, καὶ ὁ τὰ ῥυπαρὰ ἱμάτια ἔχων. Κλῆσιν οὖν φησι, τὴν καὶ τὸ εἰσελθεῖν ἔχουσαν. Εὐχόμεθα δέ φησιν, ἵνα πληρώσῃ πᾶσαν αὐτοῦ τὴν ἀγαθὴν βουλὴν εἰς ὑμᾶς ὁ Θεός. Βουλὴ δὲ καὶ εὐδοκία Θεοῦ, τὸ πάντας ἀνθρώπους σωθῆναι καὶ τῶν αἰωνίων τυχεῖν ἀγαθῶν. Πληρώσει δὲ καὶ ἔργον πίστεως ἐν ὑμῖν, ἐν τῇ οἰκείᾳ δυνάμει. Τοῦτο γὰρ ἐκείνου γεννητικόν ἐστιν. Ἐὰν γὰρ πληρώσῃ τὸ ἔργον πίστεως ὑμᾶς ἐπιτελέσαι, πάντως αὐτοῦ καὶ τὴν εὐδοκίαν πληρώσει. Ὅρα δὲ, οὐκ εἶπε πίστιν, ἀλλ' ἔργον πίστεως. « Ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου. » Εἰ γὰρ ταῦτα γένηται, φησὶν, ὥσπερ ἐν τοῖς ἁγίοις αὐτοῦ ἐνδοξασθήσεται ὁ Θεὸς, καθὼς ἄνω εἶπεν, οὕτως καὶ ἐν ὑμῖν. Δοξάζεται γὰρ, καθὼς καὶ ἄνω εἴπομεν, τοιούτων ἀξιῶν τοὺς δούλους αὐτοῦ. Καὶ αὐτοῖς δὲ δόξα ἔσται, τὸ τοιούτων ἠξιῶσθαι. Ἢ οὕτως νόησον· Εἰ πληρώσει τὸ ἔργον τῆς πίστεως ὑμῶν ἐν δυνάμει, τουτέστιν, ἐν ὑπομονῇ πειρασμῶν, δοξασθήσεται ὁ Θεὸς ἐν ὑμῖν, ὅτι δυνατοὺς κατέστησε πρὸς τοῦτο καὶ ἐνεύρωσε, καὶ ὑμεῖς ἐν τῷ Θεῷ, ὅτι ἀξίους ἐδείξατε ἑαυτοὺς τῆς θείας ἀγάπης καὶ ἐπικουρίας. « Κατὰ τὴν χάριν τοῦ Θεοῦ ἡμῶν. » Χάρις γὰρ ταῦτα πάντα Χριστοῦ. Οὐ γὰρ ἡμεῖς, φησὶ, πρὸς ταῦτά ἐσμεν ἱκανοὶ ἢ ἄξιοι, ἀλλ' ἡ χάρις αὐτοῦ δι' ἡμῶν πάντα κατορθοῖ.

ΚΕΦΑΛ. Β.

Περὶ τέλους, ὅτι μετὰ Ἀντίχριστον τὸν πεμπόμενον ἐπὶ ἐλέγχῳ Ἰουδαίων, ἀπιστησάντων Χριστῷ.

Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοὶ, ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτὸν, εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς, μήτε θροεῖσθαι διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Χριστοῦ.

Ὦ ἐγκώμιον τῶν ἁγίων! ἔδειξε γὰρ ὅτι καὶ αὐτοὶ ἐπισυναχθήσονται τῷ Χριστῷ, ὡς καὶ αὐτοὺς μετ' αὐτοῦ φαίνεσθαι, καὶ ἅμα αὐτῷ συνῆχθαι. Εἰς τὸ, « Μὴ ταχέως. » Τί δὲ ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν; Εἰς τὸ μὴ ταχέως, φησὶ, σαλευθῆναι ἀπὸ

τοῦ νοὸς, τουτέστι, ταραχθῆναι καὶ φοβηθῆναι ἐκ τῆς ἀ A atis ex ignorantia et timore mentis. Sciendum enim quod corruptores quidam apparuerunt apud ipsos qui dicerent instare diem secundi adventus Christi, et turbabant ac terrebant eos. At Paulus sane non dicit interim quando erit, sed non nunc saltem instare significat, signa dicens adventus. « Neque per Spiritum. » Pseudoprophetæ enim hæc dicebant. Spiritum vero ait, hoc est, charisma et donum : ut enim pseudoprophetas una comprehenderet, universaliter dixit, quod licet quispiam donum habens prophetiæ hoc dixerit, ne credatis. Aut spiritum dicit impurum. Nam per spiritum impurum loquebantur pseudoprophetæ. Huic secundæ interpretationi assensit divus Joannes. « Neque per sermonem. » Quodam enim persuasibili sermone suadebant instare diem Domini. « Neque per epistolam. » Nam et epistolas tanquam ex Pauli nomine fingebant, et hoc sane manifestat.

II, 3, 4. *Ne quis vos decipiat ullo modo, quoniam nisi venerit primum defectio, et revelatus fuerit homo ille peccati, filius perditionis, qui est adversarius, et effertur adversus omnem qui dicitur Deus aut numen, adeo ut in templo Dei tanquam Deus sedeat, ostentans seipsum esse Deum.*

Quoniam dixit non instare, ipsius deinceps appropinquationis signa dicit, et magnum revelat mysterium. « Ullo modo » Neque per spiritum, inquit, neque per sermonem, neque per epistolam. « Nisi venerit defectio. » Defectionem dicit ipsum Antichristum, quod multos separaturus esset a Christo. Aut apostasiam sive defectionem ait ipsam a Deo separationem, et rem ipsam quæ per nomen significatur. — « Et revelatus fuerit. » Exstinguetur enim error qui orbem occupat, cessabitque idolorum seductio, et tunc revelabitur iniquus ille. Nam et hoc dixit Dominus : « Prædicabitur Evangelium **194** in omnes terminos terræ ad testimonium illis, et tunc veniet consummatio [a]. » — « Homo ille peccati. » Quisnam iste est ? utrumne Satanas ? nequaquam, sed homo aliquis qui universam ejus accipiat operationem. — Ad imitationem Salvatoris venturus est Satanas in toto homine. *Alio modo.* Hominem peccati dicit ipsum Antichristum. Neque enim Satanas erit Antichristus, sed homo obsessus ac directus a Satana. Hominem autem peccati ipsum vocat, quod et ipse plurimum delinquet, et alios ad hoc compellet. Filium vero perditionis eum appellat, eo quod perdat multos et ipse perdetur : Hominem autem quempiam Hebræum dicit ipsum, in cujusvis magiæ ac veneficii scientia provectum. « Qui est adversarius et effertur. » Adversabitur namque et extolletur sua superbia non solum adversus Deum universorum, verum etiam adversus idola. Neque enim ad ididolatriam ducet homines, sed ut ipsum tanquam Deum adorent. Propterea dicit quod efferetur adversus om-

[a] Matth. XVIV, 14.

τοῦ νοὸς, τουτέστι, ταραχθῆναι καὶ φοβηθῆναι ἐκ τῆς ἀπωλείας καὶ δειλίας. Ἴστέον γὰρ ὅτι τινὲς λυμεῶνες ἀνεφάνησαν παρ' αὐτοῖς, φάσκοντες ἐφιστάναι τὴν ἡμέραν τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας, καὶ ἐθρόουν αὐτοὺς καὶ ἐπτόουν. Εἶτα ὁ Παῦλος, πότε μὲν ἔσται, οὐ λέγει, ὅτι δὲ οὐ νῦν ἐφέστηκεν ἀποδείκνυσι, σημεῖα λέγων τῆς παρουσίας. « Μήτε διὰ Πνεύματος. » Ψευδοπροφῆται γὰρ ταῦτα ἔλεγον. Φησὶ δὲ πνεῦμα, οἷον χάρισμα. Ἵνα γὰρ συνανέλῃ τοὺς ψευδοπροφήτας, καθολικῶς εἶπεν, ὅτι κἂν χάρισμά τις ἔχων προφητείας τοῦτο εἴπῃ, μὴ πιστεύσητε. Ἢ πνεῦμα λέγει τὸ ἀκάθαρτον. Διὰ γὰρ ἀκαθάρτου πνεύματος ἐλάλουν οἱ ψευδοπροφῆται. Ταύτῃ τῇ δευτέρᾳ ἑρμηνείᾳ ἔθετο ὁ μακάριος Ἰωάννης. « Μήτε διὰ λόγου. » Πιθανολογίᾳ γάρ τινι, B ἐπειθον ἐφεστηκέναι τὴν ἡμέραν τοῦ Κυρίου. « Μήτε δι' ἐπιστολῆς. » Καὶ ἐπιστολὰς γὰρ ὡς ἐξ ὀνόματος τοῦ Παύλου ἔπλαττον, τοῦτο δῆθεν δηλώσας.

Μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον, ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ ὡς Θεὸν καθίσαι ἀποδεικνύντα ἑαυτὸν ὅτι ἔστι Θεός.

Ἐπειδὴ εἶπε μὴ ἐφιστάναι, αὐτῆς λοιπὸν τῆς ἐπιστασίας σημεῖα λέγει, καὶ μέγα μυστήριον ἀποκαλύπτει. « Κατὰ μηδένα τρόπον. » Μὴ κατὰ πνεῦμα, φησὶ, μὴ κατὰ λόγον, μὴ κατὰ ἐπιστολήν. « Ἐὰν μὴ ἔλθῃ ἀποστασία. » Ἀποστασίαν αὐτὸν λέγει τὸν C Ἀντίχριστον, ὡς ἀφιστᾷν μέλλοντα πολλοὺς ἀπὸ τοῦ Χριστοῦ. Ἢ ἀποστασίαν, αὐτὴν τὴν ἀπὸ Θεοῦ ἀναχώρησιν, καὶ αὐτὸ τὸ πρᾶγμα. — « Καὶ ἀποκαλυφθῇ. » [ΘΕΟΔΩΡ.] Σβεσθήσεται γὰρ ἡ κατέχουσα πλάνη, καὶ λήξει τῶν εἰδώλων ἡ ἐξαπάτη, καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος. Τοῦτο γὰρ καὶ ὁ Κύριος εἶπε, « Κηρυχθήσεται τὸ Εὐαγγέλιον εἰς πάντα τὰ πέρατα τῆς γῆς εἰς μαρτύριον αὐτοῖς, καὶ τότε ἥξει τὸ τέλος. » — « Ὁ ἄνθρωπος τῆς ἁμαρτίας. » [ΙΩΑΝ.] Τίς οὗτος ἐστίν ; ἆρα ὁ Σατανᾶς ; οὐδαμῶς. Ἀλλ' ἄνθρωπός τις, πᾶσαν αὐτοῦ δεχόμενος τὴν ἐνέργειαν. [ΣΕΥΗΡ.] Κατὰ μίμησιν τοῦ Σωτῆρος ἔρχεται ὁ Σατανᾶς, ἐν ἀνθρώπῳ ὁλοκλήρῳ. — Ἄλλως. Ἄνθρωπον ἁμαρτίας αὐτὸν λέγει τὸν Ἀντίχριστον. Οὐ γὰρ ὁ Σατανᾶς ἔσται ὁ Ἀντίχριστος, ἀλλ' ἄνθρωπος ἐνεργούD μενος ὑπὸ τοῦ Σατανᾶ. Ἄνθρωπον δὲ ἁμαρτίας αὐτὸν καλεῖ, ὅτι καὶ αὐτὸς πλεῖστα ἁμαρτήσεται, καὶ ἄλλους εἰς τοῦτο ἀναγκάσει. Υἱὸν δὲ ἀπωλείας αὐτὸν καλεῖ, διὰ τὸ ἀπολύειν πολλοὺς, καὶ αὐτὸν ἀπόλλυσθαι. Ἄνθρωπον δέ τινα Ἑβραῖον, πάσης μαγείας καὶ φαρμακείας ἐν ἐπιστήμῃ γενόμενον αὐτὸν, φησίν. « Ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος. » Ἀντιτεύήσεται γὰρ καὶ ὑπεραρθήσεται τῇ ἰδίᾳ ὑπερηφανείᾳ οὐ μόνον κατὰ τοῦ ἐπὶ πάντων Θεοῦ, ἀλλὰ καὶ κατὰ τῶν εἰδώλων. Οὐ γὰρ πρὸς εἰδωλολατρείαν ἄξει τοὺς ἀνθρώπους, ἀλλ' εἰς τὸ αὐτὸν ὡς Θεὸν προσκυνεῖν. Διὰ τοῦτο φησὶν, ὑπεραρθήσεται ἐπὶ πάντα

nem qui dicitur Deus aut numen. « In templo Dei. » Non dicit templum quod erat Hierosolymis, sed Ecclesias Dei. « Ostentans. » Non ait : Dicens, sed Ostentans, hoc est, operibus, signis ac miraculis nitens ostendere, quod sit Deus. Extrinsecus autem subaudiendum est : Nequaquam veniet adventus Domini.

II, 5-8. *An non meministis quod cum adhuc essem apud vos, hæc dicebam vobis ? Et nunc quid detineat scitis, ad hoc ut ille reveletur in suo tempore. Nam mysterium jam peragitur iniquitatis : solum est qui modo retinet donec e medio tollatur : et tunc patefiet iniquus ille, quem Dominus conficiet spiritu oris sui et abolebit charitate adventus sui.*

Multa itaque non scripta tradebat mysteria, et non solum per epistolas : tanquam diceret : Nihil novum dico ; sed quod præsens dicebam. « Et nunc quid detineat scitis. » Detinere dicit quod prohibet vel impedimento est. Quidnam autem est illud ? Multi Spiritum sanctum dicunt : alii vero Romanorum imperium, qui etiam melius sentiunt : nisi enim hoc solvatur, ille non veniet. **195** Nam ob id quoque adeo obtecte locutus est beatus Paulus, nolens importunos ac superfluos accipere inimicos inter Romanos. Si enim audissent quod dissolvendum diceret imperium Romanorum, et ipsum affli xisseut et universos credentes, tanquam eos qui exspectarent illam dissolutionem. Nam si hic non apparuerit, non manifestabitur Christus : ergo ex eo quod statim cupiant manifestari Christum, volunt etiam statim fieri dissolutionem principatus Romanorum. Si autem de Spiritu sancto intelligeret, quid prohiberet quominus aperte diceret : Gratia spiritus ipsum detinet ne manifestetur ?

« Et nunc quid detineat scitis. » Ne nunc ipse manifestetur, sed in suo tempore : hoc est, quando præfinitum ipsi ac permissum a Deo tempus statuatur : nisi enim nunc detineretur, utique etiam nunc immineret, adeo semper adversus credentes concitatur, et eorum pravitatem, cum ipsè sit pravus, concupiscit, sed detinetur ac prohibetur. — *Aliud.* Detinet ac prohibet iniqui illius adventum Spiritus sanctus. Postquam igitur hic propter hominum peccata de medio fiet et discedet, tunc locum habebit iniquus ille, ut reveletur et insurgat, nullo prohibente. Dixit autem quod etiam initium accepit mysterium iniquitatis : quandoquidem et Manichæi dixerunt diabolum esse Deum legis, et Marcion ait Patrem Christi non esse Deum legis. Quin et Manes seipsum dicit esse Christum ac Paracletum : et ex eo tempore hominum incredulitatem diabolus inducebat. « Nam mysterium jam peragit iniquitatis. » Mysterium iniquitatis dicit Neronem, ut qui sit typus Antichristi. Etenim Nero et perversus erat et Deus dici cupiebat. Mysterium autem vocat ipsum, quod absque pudore faceret Nero quæ Antichristus facturus esset, sed parce ac tecte, inquit, peragitur, nempe sub Satana : ipse namque Satanas per me-

A λεγόμενον Θεὸν ἢ σέβασμα. « Εἰς τὸν ναὸν τοῦ Θεοῦ. » Οὐ τὸν ἐν Ἱερουσαλὴμ λέγει, ἀλλ' εἰς τὰς Ἐκκλησίας τοῦ Θεοῦ. « Ἀποδεικνύντα. » Οὐκ εἶπε, Λέγοντα, ἀλλ' Ἀποδεικνύντα, τουτέστι, πειρώμενον ἀποδείξαι δι' ἔργων καὶ σημείων καὶ θαυμάτων, ὅτι ἔστι Θεός. Ἔξωθεν ὑπακουστέον, Οὐ μὴ ἔλθῃ, φησὶν, ἡ παρουσία τοῦ Κυρίου.

Οὐ μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς, ταῦτα ἔλεγον ὑμῖν ; καὶ νῦν τὸ κατέχον οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ. Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας. Μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται, καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ.

B Ἄρα ἀγράφως πολλὰ παρεδίδου τῶν μυστηρίων, καὶ οὐ δι' ἐπιστολῶν μόνον, ὡσεὶ εἶπεν. Οὐδὲν ξένον ἐρῶ, ἀλλ' ὃ παρὼν ἔλεγον. « Καὶ νῦν τὸ κατέχον οἴδατε. » Κατέχον φησὶ, τὸ κωλύον καὶ ἐμποδίζον, Τί δὲ τοῦτο ; Πολλοὶ τὸ Πνεῦμα τὸ ἅγιόν φασιν, ἄλλοι δὲ τὴν Ῥωμαίων ἀρχήν, οἱ καὶ βέλτιον λέγουσιν. Ἂν γὰρ μὴ αὕτη λυθῇ, ἐκεῖνος οὐχ ἥξει. Διὰ γὰρ τοῦτο καὶ οὕτως συνεσκιασμένως εἶπεν ὁ μακάριος Παῦλος, μὴ βουλόμενος ἔχθρας ἀκαίρους ἀναδέχεσθαι παρὰ τῶν Ῥωμαίων. Ἔμελλον γὰρ ἀκούοντες ὅτι καταλυθήσεται ἡ Ῥωμαίων ἀρχὴ, καὶ αὐτὸν κακοῦν καὶ τοὺς πιστοὺς ἅπαντας, ὡς τὴν κατάλυσιν αὐτῆς προσδοκῶντας. Εἰ γὰρ μὴ οὗτος φανῇ, οὐ φαίνεται ὁ Χριστός. Διὰ οὖν τὸ φανῆναι τὸν Χριστὸν C φησι βούλεσθαι αὐτὸν ταχὺ ἐλθεῖν, καὶ τῆς Ῥωμαίων ἡγεμονίας κατάλυσιν γενέσθαι. Εἰ δὲ ἦν περὶ τοῦ ἁγίου Πνεύματος, τί ἐκώλυεν αὐτὸν εἰπεῖν σαφῶς, ὅτι ἡ τοῦ πνεύματος αὐτὸν χάρις κατέχει πρὸς τὸ μὴ φανῆναι ;

« Καὶ νῦν τὸ κατέχον φησὶν οἴδατε. » [ΦΩΤ.] Εἰς τὸ μὴ νῦν ἀποκαλυφθῆναι αὐτὸν, ἀλλ' ἐν τῷ ἑαυτοῦ καιρῷ. Οἷον ὅταν ὁ ὁρισθεὶς αὐτῷ καὶ συγχωρηθεὶς ὑπὸ Θεοῦ χρόνος ἐπιστῇ. Εἰ δὲ μὴ κατείχετο, καὶ νῦν ἂν ἐπέστη. Οὕτως ἀεὶ κατὰ τῶν πιστῶν ὀργᾷ, καὶ τὴν κάκωσιν αὐτῶν ὁ πονηρὸς ἐπιθυμεῖ, ἀλλὰ κατέχεται καὶ κωλύεται. Ἄλλο. [ΣΕΥΗΡ.] Κατέχει καὶ κωλύει τοῦ ἀνόμου τὴν παρουσίαν, τὸ Πνεῦμα ἅγιον. Ἐπειδ' ἂν οὖν, φησὶ, τοῦτο διὰ τὴν τῶν ἀνD θρώπων κακίαν ἐκ μέσου γένηται καὶ ἀποστῇ, τὸ τηνικαῦτα χώραν ἕξει ὁ ἄνομος, ἀποκαλυφθῆναι καὶ ἐπαναστῆναι, μηδενὸς κωλύοντος. Ἔφη δὲ ὅτι καὶ ἀρχὴν εἴληφε τὸ μυστήριον τῆς ἀνομίας, ἐπειδὴ καὶ Μανιχαῖοι εἶπον τὸν διάβολον Θεὸν τοῦ νόμου, καὶ Μαρκίων φησὶν οὐ τὸν Πατέρα εἶναι τοῦ Χριστοῦ τὸν Θεὸν τοῦ νόμου. Λέγει δὲ καὶ Χριστὸν ἑαυτὸν ὁ Μάνης καὶ παράκλητον, καὶ ἔκτοτε τὴν ἀπιστίαν τῶν ἀνθρώπων ὁ διάβολος εἰσῆγεν. Τὸ γὰρ μυστήριον ἤδη ἐνέργειται τῆς ἀνομίας. Μυστήριον τῆς ἀνομίας τὸν Νέρωνα λέγει, ὡς εἰς τύπον ὄντα τοῦ Ἀντιχρίστου. Καὶ γὰρ καὶ ὁ Νέρων φαῦλός τε ἦν, καὶ Θεὸς ἐζήτει λέγεσθαι. Μυστήριον δὲ αὐτὸν φησι, διὰ τὸ μὴ ἀπηρυθριασμένως ποιεῖν τὸν Νέρωνα οἷα ὁ Ἀντίχριστος ποιήσει· ἀλλ' ὑφεικένως ἤδη, φησὶν, ἐνερ-

γεῖται, τουτέστιν, ὑπὸ τοῦ Σατανᾶ. Εἰργάζετο γὰρ διὰ μέσου τοῦ Νέρωνος ὁ Σατανᾶς τὰ αὐτῷ δοκοῦντα. Οὕτως δὲ συνεσκιασμένως εἶπεν, οὐ διὰ δειλίαν, ἀλλὰ παιδεύων ἡμᾶς, ἀνονήτους ἔχθρας καὶ περιττὰς μὴ ἀναδέχεσθαι. « Μόνον ὁ κατέχων ἄρτι. » Τουτέστι, ὁ Ῥωμαίων θρόνος καὶ ἡ βασιλεία ἡ νῦν ἐμποδίζουσα, ὅταν παύσηται, φησὶ, καὶ τέλος λάβῃ, τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, τουτέστιν, ὁ Ἀντίχριστος. Ὅταν γὰρ καταλυθῇ ἡ Ῥωμαίων ἀρχὴ, τότε ὁ Ἀντίχριστος ἐπιτεθήσεται τῇ ἀναρχίᾳ καὶ κρατῆσαι ἐπιχειρήσει, οὐ μόνον τὴν τῶν ἀνθρώπων, ἀλλὰ καὶ τὴν τοῦ Θεοῦ ἀρχήν. Τὴν δὲ Ῥωμαίων ἀρχὴν, αὐτὸς τέλεον καταργήσει ὁ Ἀντίχριστος. Ὥσπερ γὰρ ἡ Μήδων ὑπὸ Βαβυλωνίων κατελύθη, καὶ ἡ Βαβυλωνίων ὑπὸ Περσῶν, καὶ ἡ Περσῶν ὑπὸ Μακεδόνων, καὶ ἡ Μακεδόνων ὑπὸ Ῥωμαίων, οὕτως ἡ Ῥωμαίων ὑπὸ τοῦ Ἀντιχρίστου καὶ ἡ τοῦ Ἀντιχρίστου ὑπὸ τοῦ ἡμῶν Δεσπότου. Ταῦτα δὲ ὁ Δανιὴλ φησιν. Ὅταν μέντοι τὸ πέρας ἐπιστῇ τῆς τοῦ Θεοῦ προθέσεως, καὶ ὁ νῦν κατέχων αὐτὸν ὅρος ἐκστῇ πληρωθεὶς, ἑτοίμως τότε καὶ δίχα πάσης ἀναβολῆς ὁ ἄνομος ἀποκαλυφθήσεται. « Ὃν ὁ Κύριος ἀναλώσει. » Λοιπὸν καὶ ἡ παραμυθία. Ὃν ὁ Χριστὸς, φησὶν, ἀναλώσει. Ὥσπερ γὰρ πυρὸς ἔτι πόρρωθεν ὄντος, τὰ μικρὰ ζωύφια ἐκ τῆς θερμότητος ἀναλίσκεται, οὕτω καὶ ὁ Ἀντίχριστος ἐξ αὐτῆς τῆς ἐπιφανείας τοῦ Χριστοῦ, καὶ τοῦ πνεύματος τοῦ στόματος αὐτοῦ, ἀναλωθήσεται. Πνεῦμα στόματος, τὸ ἐπίταγμα καὶ κέλευσμα καλῶν, καὶ οἷον ἐμφύσημα, ἢ τὸ ἅγιον Πνεῦμα. « Καταργήσει. » Οἷον παύσει, ἀπολέσει.

A dium Neronem operabatur quæ sibi videbantur. Ita autem obtecte dixit, non timore cohibitus : sed nos instruens ne inutiles ac superfluas inimicitias suscipiamus. « Solum est qui modo retinet. » Thronus videlicet et regnum Romanorum, quod nunc impedimento est donec cesset, finemque accipiat : tunc revelabitur iniquus ille, hoc est, Antichristus. Ubi enim imperium Romanorum fuerit dissolutum, tunc Antichristus rebellione irruet, ac obtinere conabitur, **196** non hominum solum, verum etiam Dei imperium. Romanorum autem imperium ipse Antichristus perfecte abolevit. Quemadmodum enim Medorum imperium a Babyloniis dissolutum est, et Babyloniorum a Persis, Persarum quoque a Macedonibus, et Macedonum a Romanis : ita et Romanorum ab Antichristo, et Antichristi a Domino nostro. Hæc autem ait Daniel. Quando sane terminus divini propositi appropinquaverit, et qui nunc ipsum retinet finis, completus exstiterit : tunc prompte et sine ulla mora iniquus ille revelabitur. « Quem Dominus conficiet. » Deinde sequitur consolatio. Quem Christus, inquit, delebit. Quemadmodum enim dum adhuc ignis eminus separatur, minuta animalia calore consumuntur, ita et Antichristus ex ipso Christi adventu et spiritu oris ejus, consumetur. Spiritum autem oris vocat jussum ac præceptum et veluti flatum, aut Spiritum sanctum. « Abolebit, » hoc est, cohibebit, perdet.

B

C

Οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ, ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους, καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις, ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο, εἰς τὸ σωθῆναι αὐτούς. Διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει, ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ.

II, 9-11. *Cujus adventus est secundum operationem Satanæ cum omni potentia, et signis ac prodigiis mendacii, et cum omni deceptione injustitiæ in iis qui pereunt, pro eo quod dilectionem veritatis non receperunt, in hoc ut salvi fierent. Et propterea mittet illis Deus efficaciam illusionis, ut credant mendacio : ut judicentur omnes qui non crediderunt veritati, sed approbaverunt injustitiam.*

Καὶ καταργήσει, φησὶ, τῇ παρουσίᾳ αὐτοῦ ὁ Κύριος τὸν Ἀντίχριστον, οὗ Ἀντιχρίστου ἔσται ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ. Διὰ μέσου γὰρ αὐτοῦ πάντα πράξει ὁ διάβολος. « Ἐν πάσῃ δυνάμει καὶ σημείοις. » Ταῦτα προεῖπεν, ἵνα μὴ ἀπατηθῶσιν οἱ τότε. Πᾶσαν, φησὶν, ἐπιδείξεται δύναμιν. Ψεύδους δὲ, ἢ ὅτι κατὰ φαντασίαν μέλλει ποιεῖν, καὶ τοὺς ὀφθαλμοὺς ἀπατᾷν, ἢ ἐπειδὴ πρὸς τὸ ψεῦδος ἄγουσιν, ἢ ἐν παντὶ πράγματι ἀπατῆσαι καὶ ἀδικῆσαι τοὺς πιστεύοντας δυναμένῳ. Ἢ, ὡς εἴρηται, φαντασίᾳ καὶ δοκήσει τὰ σημεῖα ποιήσει. « Ἐν τοῖς ἀπολλυμένοις. » Μὴ φοβηθῇς ταῦτα ἀκούων περὶ αὐτοῦ. Ἐν τοῖς ἀπολλυμένοις γὰρ ἰσχύσει, οἳ καὶ πρὸ αὐτοῦ οὐκ ἐπίστευσαν τῷ Χριστῷ. « Ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο. » Ἀγάπην ἀληθείας τὸν Χριστὸν λέγει. Διὰ γὰρ ἀγάπην τὴν πρὸς ἡμᾶς, καὶ ἵνα τ' ἀληθῆ διδάξῃ, ἐνανθρωπῆσαι κατηξίωσεν. Αἰνίττεται δὲ, ὅτι παρὰ Ἰουδαίοις ἰσχύσει. Οὗτοι γὰρ τὸν Χριστὸν οὐκ ἐδέξαντο, οὔτε ἐπίστευσαν αὐτῷ, ὃ καὶ ὁ Χριστὸς αὐτοῖς φησιν· « Ἐγὼ ἦλθον ἐν τῷ

D

Abolebit, inquit, Dominus suo adventu Antichristum, cujus Antichristi adventus erit secundum operationem Satanæ. Nam per medium ejus omnia operabitur diabolus. « In omni potentia et signis. » Hæc prædixit, ne deciperentur qui tunc præsentes essent. Omnem, inquit, ostendet potentiam. Mendacii autem, vel quod juxta phantasiam duntaxat facturus sit, et fallet oculos : vel quia ad mendacium ducunt. Aut in omni re quæ fallere possit ac nocere credentibus. Aut sicut dictum est, ad solam phantasiam et apparentiam facturus est signa. « In his qui pereunt. » Ne terrearis cum hæc de illo audis. Nam in his qui pereunt potentiam habebit : **197** qui etiam priusquam ipse veniret, non credebant Christo. « Pro eo quod dilectionem veritatis non receperunt. » Dilectionem veritatis dicit Christum : nam propter dilectionem quam erga nos habuit, et, ut quæ vera sunt doceret, homo fieri dignatus est. Designat autem quod apud Judæos potentiam habebit. Nam hi Christum non suscepe-

runt, neque ipsi crediderunt : quod etiam Christus dixit eis : « Ego veni in nomine Patris mei, et non excepistis me : veniet alius in nomine proprio, et ipsum suscipietis[5]. » — Et propterea mittet illis Deus. » Quod ait : Mittet, non ita accipias, quasi Deus mitteret, sed permissionem quæ est a Deo solet ita vocare Paulus. Efficaciam vero dicit illusionis, hoc est, illusionem efficacem et seducere potentem. Animadverte autem quam caute expressus sit sermo. Non dixit : Ut puniantur : siquidem puniendi erant omnes qui in Christum non crediderunt, quanquam non venisset Antichristus, nec ipsi credidissent : sed, Ut judicentur, id est, etiam in hoc condemnentur, et ipsorum ora ad hoc obstruantur. Quid enim dicere poterunt cur Christo non crediderint? Quia dictum est, inquiunt, « Dominus Deus tuus, Deus unus est[6] : » sed audient primum quod hoc sane Triadem aperte prædicat : verum concedendo admittamus quod præcipiatur unicum colere principem : quomodo ergo Antichristo tanquam Deo credidistis? Vides quod præcluduntur eorum responsa? Christo quidem non crediderunt quod Deus esset, Antichristo vero tanquam Deo et credent et ipsum adorabunt : idque manifeste dicenti : Ego sum Deus. Quid amplius dicent? quod signa faciat? Sed plura ac majora fecit Christus. An dicent quod a Scripturis ferebatur de illo testimonium? Atqui de Christo sane tanquam de Salvatore datum est testimonium : de Antichristo vero tanquam de corruptore. Quid autem afferet omnino nocumenti fidelibus adventus ipsius? imo ipsis occasio etiam præmiorum erit, illos vero decipiet qui etiam absque eo a seipsis condemnati erant : ait enim quod in iis solis qui pereunt vires habet. « Sed approbaverunt injustitiam. » Multi enim quærunt quam ob causam venturus sit Antichristus? Ad quid enim, aiunt, utilis est adventus ipsius? Et dicimus quod ut ii qui probati sunt manifesti fiant[7]. Quod si hunc non suscipias sermonem, accipe Apostolum causam fere dicentem : **198** Ut judicentur, inquit, omnes qui non crediderunt veritati. Quoniam enim Judæi qui Christo non crediderunt poterant velamentum obtendere ac dicere : Propterea non credidimus Christum esse Deum quod scriptum sit : « Unus Deus ex quo omnia[8], » etc. : « Dominum Deum tuum adorabis et illum solum coles[9]. » Ut ergo neque hæc prætendant, Antichristus ipsorum obturabit ora. Quomodo? Quoniam certe Christo non crediderunt quod Deus esset, idque cum palam diceret Christus, Ego sum Deus. Antichristo vero tanquam Deo crediderunt et eum adoraverunt. Quid jam dicent? quod signa faciebat, sed et plura et majora faciebat Christus. An dicent quod a Scripturis ferebatur de ipso testimonium? Atqui de Christo quidem ut de Salvatore, de Antechristo vero tanquam de corruptore. Denique etiam lege annotationem superius positam. Approbarunt autem, hoc est, una operati sunt et una ministrarunt injustitiæ, hoc est Antichristo.

A ὀνόματι τοῦ Πατρός μου, καὶ οὐκ ἐδέξασθέ με· ἥξει ἄλλος ἐν τῷ οἰκείῳ ὀνόματι, καὶ αὐτὸν δέξεσθε, φησί. » — « Διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεός. » Τὸ πέμψει, μὴ οὕτω δέξῃ, ὡς τοῦ Θεοῦ πέμποντος, ἀλλὰ τὴ ἀπὸ τοῦ Θεοῦ συγχώρησιν, οὕτως ἔθος καλεῖν τ Παῦλῳ. Ἐνέργειαν δέ φησι πλάνης, τουτέστι, πλάνη ἐνεργὸν καὶ πλανῆσαι ἰσχύουσαν. Ὅρα δὲ ἀσφα λειαν λόγου. Οὐκ εἶπεν· Ἵνα κολασθῶσιν. Ἐμελλ γὰρ κολάζεσθαι πάντες οἱ ἀπιστήσαντες τῷ Χριστῷ κἂν ὁ Ἀντίχριστος μὴ ἐληλύθει, μηδὲ ἐπιστεύθη π αὐτῶν, ἀλλ' ἵνα κριθῶσι, τουτέστι, κατακριθῶσι κα ἐν τούτῳ, καὶ ἐμφραγῇ αὐτῶν καὶ εἰς τοῦτο τ στόματα. Τί γὰρ εἴποιεν, διὰ τί μὴ ἐπίστευσαν τ Χριστῷ; Ὅτι, φασίν, εἴρηται, « Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστιν. » Ἀλλ' ἀκούσονται πρῶτον μὲν B τοῦτο φανερῶς. Τὴν Τριάδα κηρύσσει. Πλὴν ἐάσωμεν κατὰ συγχώρησιν, τὸ μοναρχίαν δεῖν σέβειν παρεγγυᾶν. Πῶς οὖν τῷ Ἀντιχρίστῳ ὡς Θεῷ ἐπιστεύσατε; ὁρᾷς ὅτι ἀποκλείονται; τῷ μὲν Χριστῷ οὐκ ἐπίστευσαν ὅτι ἔστι Θεὸς, τῷ δὲ Ἀντιχρίστῳ ὡς Θεῷ καὶ πιστεύσουσι καὶ προσκυνήσουσι, καὶ ταῦτα διαῤῥήδην λέγοντι, ὅτι Εἰμὶ Θεός. Τί λοιπὸν ἐροῦσιν; ἆτι σημεῖα ποιεῖ; ἀλλὰ καὶ πλείω καὶ μείζω ἐποίησεν ὁ Χριστός. Ἀλλ' ὅτι παρὰ τῶν Γραφῶν ἐμαρτυρεῖτο; καίτοι ὁ μὲν Χριστὸς, ὡς Σωτὴρ, ὁ δὲ Ἀντίχριστος, ὡς λυμεὼν μεμαρτύρηται. Τί δὲ ὅλως καὶ καταβλάψει τοὺς πιστοὺς ἡ παρουσία αὐτοῦ; Καὶ πρόφασις αὐτοῖς μᾶλλον στεφάνων γένηται. Ἐκείνους δὲ ἀπατήσει, τοὺς καὶ τούτου χωρὶς αὐτοκατακρίτους ὄντας. C Φησὶ γὰρ, ὅτι ἐν τοῖς ἀπολλυμένοις ἰσχύει μόνοις. Ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ. Πολλοὶ γὰρ ζητοῦσι, τί δήποτε ἔρχεται ὁ Ἀντίχριστος; εἰς τί γὰρ ὠφέλιμος ἡ παρουσία αὐτοῦ; καὶ φαμὲν, Ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται. Εἰ δὲ μὴ δέχῃ τὸν λόγον τοῦτον, δέξαι τὸν Ἀπόστολον μικροῦ τὴν αἰτίαν λέγοντα. Ἵνα κριθῶσι πάντες, φησὶν, οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ. Ἐπειδὴ γὰρ οἱ τῷ Χριστῷ μὴ πιστεύσαντες Ἰουδαῖοι, εἶχον ἐν τῇ κρίσει προβάλλεσθαι, διὰ τοῦτο οὐκ ἐπιστεύσαμεν εἶναι τὸν Χριστὸν Θεὸν ὅτι γέγραπται· « Εἷς Θεὸς ἐξ οὗ τὰ πάντα, » καὶ, « Κυρίῳ τῷ Θεῷ σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. » Ἵνα οὖν μηδὲ ταῦτα προΐσχωνται, ὁ Ἀντίχριστος αὐτῶν ἀποῤῥάψει τὰ στόματα. Πῶς; Ὅταν γὰρ τῷ μὲν Χριστῷ οὐκ ἐπίστευσαν ὅτι ἔστι Θεὸς, D καὶ ταῦτα διαῤῥήδην λέγοντος Χριστοῦ ὅτι Θεός εἰμι, τῷ δὲ Ἀντιχρίστῳ, ὡς Θεῷ καὶ πιστεύσωσι καὶ προσκυνήσωσι, τί λοιπὸν ἐροῦσιν; ὅτι σημεῖα ἐποίει; Ἀλλὰ καὶ πλείω καὶ μείζω ἐποίει ὁ Χριστός. Ἀλλ' ὅτι παρὰ τῶν Γραφῶν ἐμαρτυρεῖτο; καίτοι ὁ μὲν Χριστὸς, ὡς Σωτὴρ, ὁ δὲ Ἀντίχριστος, ὡς λυμεών. Καὶ ἁπλῶς τὴν ἄνω παραγραφὴν ἀνάγνωθι. Εὐδοκήσαντες δὲ, οἷον συνυπουργήσαντες καὶ συμπράξαντες τῇ ἀδικίᾳ, τουτέστι τῷ Ἀντιχρίστῳ.

[5] Joan. v, 43. [6] Deut. vi, 4. [7] 1 Cor. ii, 19. [8] 1 Cor. viii, 6. [9] Deut. vi, 13, Matth. iv, 10.

ΚΕΦΑΛ. Γ'.

CAPUT III.

Εὐχαριστία περὶ τῆς κλήσεως.

Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ Θεὸς ἀπαρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος, καὶ πίστει ἀληθείας, εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ τοῦ Εὐαγγελίου ἡμῶν εἰς περιποίησιν δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἄρα οὖν, ἀδελφοί, στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν. Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ ὁ Θεὸς καὶ Πατὴρ ἡμῶν ὁ ἀγαπήσας ἡμᾶς, καὶ δοὺς παράκλησιν αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι, παρακαλέσαι ὑμῶν τὰς καρδίας, καὶ στηρίξαι ἐν παντὶ B *λόγῳ καὶ ἔργῳ ἀγαθῷ.*

Gratiarum actio de vocatione.

II, 12-16. *Nos autem debemus gratias agere Deo semper de vobis, fratres dilecti a Domino, quod elegerit vos Deus ab initio in salutem, per sanctificationem spiritus ac fidem veritatis : ad quod vocavit vos per Evangelium nostrum in acquisitionem gloriæ Domini nostri Jesu Christi. Itaque, fratres, state et tenete institutiones quas didicistis sive per sermonem sive per epistolam nostram. Ipse vero Dominus noster Jesus Christus, et Deus ac Pater noster qui dilexit nos et dedit consolationem æternam et spem bonam per gratiam, consoletur corda vestra et stabiliat vos in sermone et opere bono.*

Καὶ ταῦτα μὲν ἔσται, φησὶν, ἐν τῷ ἰδίῳ καιρῷ, « Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ, ὅτι εἵλετο ὑμᾶς. » Οἷον ἐπελέξατο. Εἵλετο μὲν πρὸς τὸ σῶσαι, εἵλετο δὲ ἐν ἁγιασμῷ Πνεύματος, τουτέστι, διὰ τοῦ ἁγιάσαι ἡμᾶς τῷ ἁγίῳ αὐτοῦ Πνεύματι. « Καὶ ἐν πίστει ἀληθείας. » Τουτέστι, διὰ πίστεως ἀληθοῦς. Ταύτην γὰρ μόνην ἡμῶν συνεισενεγκόντων, ἡγίασεν αὐτὸς διὰ τοῦ πνεύματος. Διὰ τοῦτο δὲ πρῶτον εἶπε · Τὸν ἁγιασμὸν τοῦ Πνεύματος, δηλῶν ὡς οὐδὲ ἐπιστεύσαμεν, εἰ μὴ ἡ χάρις τοῦ Πνεύματος ἡγιάσατο. « Εἰς ὃ ἐκάλεσεν ὑμᾶς. » Εἰς ὃ Πνεῦμα, ἢ εἰς ὃν ἁγιασμὸν ἐκάλεσε, φησὶν, ὑμᾶς ὁ Θεὸς διὰ τοῦ Εὐαγγελίου. Ἐκεῖθεν γὰρ καλούμενοι, Χριστῷ C πιστεύομεν, ὑπὸ δὲ τοῦ Πνεύματος ἁγιαζόμεθα. « Εἰς περιποίησιν δόξης. » Διὰ τοῦτο δὲ, φησὶν, ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς εἰς ἁγιασμὸν πνευματικὸν, ἵνα δόξαν περιποιήσῃ τῷ Υἱῷ αὐτοῦ. Δόξα γὰρ Χριστῷ, τὸ πολλοὺς εἶναι τοὺς μέλλοντας σώζεσθαι διὰ τῆς πίστεως αὐτοῦ, καθὼς καὶ ἄνω εἶπεν· Ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ. Ὅρα δὲ πῶς τετίμηται ὁ ἄνθρωπος, ὅτι δόξαν αὐτοῦ ἡγεῖται Χριστὸς τὴν ἡμῶν σωτηρίαν. « Ἄρα οὖν, ἀδελφοί, στήκετε. » Μὴ καταβλήθητε, φησὶ, τοῖς πειρασμοῖς. « Εἴτε διὰ λόγου. » Καὶ γὰρ καὶ ἀγράφως καὶ ἐγγράφως παρέδωκαν οἱ ἀπόστολοι, καὶ ἀξιοφύλακτα ἀμφότερα. Τοιγαροῦν καὶ ἡ ἄγραφος τῆς Ἐκκλησίας παράδοσις, φυλακτέα ἐστίν. « Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν. » Πάλιν μετὰ τὴν παραίνεσιν, D εὐχῇ βεβαιοῖ τὰ παραινεθέντα. « Καὶ ὁ Θεὸς καὶ Πατὴρ ἡμῶν. » Ποῦ εἰσιν οἱ λέγοντες διὰ τοῦτο μείζονα τὸν Πατέρα, ὅτι πρῶτος ὀνομάζεται; Ἰδοὺ γὰρ ἐνταῦθα πρῶτος ὁ Υἱὸς ὀνομάζεται. « Παράκλησιν αἰωνίαν. » Τίς δὲ ἡ αἰωνία παράκλησις; Ἡ ἐλπὶς τῶν μελλόντων ἀγαθῶν, ἣν διὰ τοῦτο καὶ ἀγαθὴν καλεῖ. « Ἐν χάριτι. » Ταύτην δὲ τὴν ἐλπίδα, διὰ οἰκείας χάριτος ὁ Θεὸς ἔδωκεν. Οὐ διὰ κατορθώματα ἡμέτερα. « Παρακαλέσαι ὑμῶν τὰς καρδίας. » Τοῦτο γὰρ παράκλησις ἀληθῶς Χριστιανοῖς πρὸ τῆς τῶν μελλόντων ἐλπίδος, τὸ ἐστηρίχθαι καὶ βεβαίους εἶναι ἐν παντὶ ἔργῳ καὶ λόγῳ ἀγαθῷ. Τί γὰρ πρὸς παράκλησιν ἴσον ὡς τὸ συνειδέναι ἡμᾶς ὅτι Χριστῷ ἀρέσκομεν ἐξ ὧν ζῶμεν καὶ πολιτευό-

199 Et hæc quidem, ait, suo fient tempore. « Nos autem debemus Deo gratias agere quod elegerit vos : » quod vos delegerit. Elegerit quidem ut salvos faceret, elegit autem per sanctificationem Spiritus, hoc est, per hoc quod nos sancto suo Spiritu sanctificavit. « Ac per fidem veritatis. » Hoc est, per fidem veram. Nam cum solam hanc contulissemus, ipse per Spiritum sanctificavit. Propterea autem primum dixit : Sanctificationem Spiritus; significans quod ne credidissemus quidem nisi gratia Spiritus sanctificasset. « Ad quod vocavit vos. » Ad quem Spiritum vel ad quam sanctificationem vocavit vos Deus per Evangelium : nam per illud vocati Christo credimus : a Spiritu vero sanctificamur. « In acquisitionem gloriæ. » Propter hoc autem vocavit nos Deus ad sanctificationem spiritualem, ut gloriam acquirat Filio suo. Christo enim ad gloriam est quod multi per fidem ipsius salvi fiant, quemadmodum etiam superius dixit : Ut glorificetur in sanctis suis. Animadverte autem quanto in honore habeatur homo, quod Christus suam gloriam esse ducat nostram salutem. « Itaque, fratres, state. » Ne dejiciamini, ait, afflictionibus. « Sive per sermonem. » Nam et sine scriptura et per scripturam nonnulla tradebant apostoli : et utraque digna erant quæ observarentur. Itaque Ecclesiæ traditio etiam citra Scripturam observanda est. « Ipse vero Dominus noster. » Rursum post exhortationem precatione confirmat ea quæ admonuit. « Et Deus et Pater noster. » Ubi sunt qui dicunt ob id majorem esse Patrem quod primus nominetur? Ecce enim hic, primus Filius nominatur. « Consolationem æternam. » Quæ est autem æterna consolatio? Spes futurorum bonorum, quam propterea etiam dicit bonam. « Per gratiam. » Hanc vero spem per suam gratiam dedit Deus, non ob nostra bona opera. « Consoletur corda vestra. » Nam illa Christianis vera consolatio est, ut ante spem futurorum stabiles ac firmi sint in omni opere et sermone bono. Quid enim huic consolationi par est, quam ut nobis conscii simus quod ex vita et con-

versatione nostra Christo placeamus? « In omni sermone. » Per opus quidem actiones significat, per sermonem vero recta dogmata.

200 CAPUT IV.

Ut pro ipso precentur et pro opere Evangelii.

III, 1-5. *Quod superest orate pro nobis, ut sermo Domini currat et glorificetur, sicut et apud vos: et ut eripiamur ab absurdis ac perversis hominibus. Non enim omnium est fides, sed fidelis est Dominus qui stabiliet vos et custodiet a malo. Confidimus autem per Dominum de vobis quod quæ præcipimus vobis et faciatis et facturi sitis. Porro Dominus dirigat corda vestra ad dilectionem Dei et ad exspectationem Christi.*

Superius precatus ipse pro illis, petit nunc ab ipsis precationem. Simul autem eorum quoque prudentiam extollit, quod idonei essent qui pro magistro precarentur. « Ut sermo Domini currat. » Non ut liberetur a periculis (nam in eum usum positus erat, ut in priore dixit Epistola [10]), sed ut prædicatio currat, et apud omnes ei fides adhibeatur. « Sicut et apud vos. » Hoc etiam encomium habet. Quemadmodum apud vos, inquit, cucurrit et creditus est. « Ab absurdis ac perversis hominibus. » De his qui adversabantur prædicationi loquitur, qualis erat Alexander faber ærarius [11]. « Non enim omnium est fides. » Ac si diceret: Non omnium est credere, sed eorum qui digni sunt ut credant. Veluti si quis dicat: Non omnium est in aulis regum militare, sed eorum qui digni sunt. Illi itaque repugnant quorum non est fides. « Sed fidelis est Dominus. » Nam quoniam elegit vos ad salutem, sicut superius ait, fidelis est, hoc est, verax, ut stabiliat vos tanquam fluctuantes: ut custodiat autem, ne quid possit Satanas adversum vos. « Confidimus autem. » Ne existimarent omnia sibi proventura a Deo qui ipsis annuntiatus esset, eosque elegisset ad salutem, et ita segnes permanerent: ab eis etiam bonorum operationem exigit. Quæ precepimus, inquit, vobis et facitis et facturi estis. Ac si diceret: **201** Verax quidem est Deus, qui vos ad salutem elegit: attamen necessaria quoque sunt vestra opera. Ideo neque ausus fuit dicere simpliciter: Confidimus autem de vobis, sed, In Domino: et addit: « Porro Dominus dirigat. » Recto tramite adduci faciat: nam multa sunt quæ ab illo retrahunt. — Beatus Basilius libro ad Amphilochium hoc scribit, quod spiritum precetur Paulus, dicens: Dominus autem dirigat ad dilectionem Dei Patris et ad exspectationem Christi. Quis enim Dominus præter Spiritum directurus erat corda ipsorum ad dilectionem Dei et Patris et ad exspectationem Christi? Nullus autem precatur alium præter Deum. « Et ad exspectationem Christi. » Ubi autem exspectationem et tolerantiam dicit, afflictiones designat. Exspectationem autem dicit

[10] I Thess. III, 3 seqq. [11] II Tim. IV, 14.

μεθα; « Ἐν παντὶ λόγῳ. » Τῷ μὲν ἔργῳ, τὰς πράξεις δηλοῖ, τῷ δὲ λόγῳ, τὰ ὀρθὰ δόγματα.

ΚΕΦΑΛ. Δ'.

Παράκλησις εὐχῆς ὑπὲρ αὐτοῦ καὶ τοῦ ἔργου.

Τὸ λοιπὸν προσεύχεσθε, ἀδελφοί, περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ καὶ δοξάζηται, καθὼς καὶ πρὸς ὑμᾶς, καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων. Οὐ γὰρ πάντων ἡ πίστις, πιστὸς δέ ἐστιν ὁ Κύριος ὃς στηρίξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. Πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ' ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν ὑμῖν, καὶ ποιεῖτε, καὶ ποιήσετε. Ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ.

B Ἄνω αὐτὸς εὐξάμενος ὑπὲρ αὐτῶν, νῦν αἰτεῖ εὐχὴν παρ' αὐτῶν. Ἅμα δὲ καὶ τὰ φρονήματα αὐτῶν ἐπαίρει, ὅτι ἱκανοί εἰσιν ὑπὲρ τοῦ διδασκάλου εὔξασθαι. « Ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ. » Οὐχ ἵνα ἀπαλλαγῇ κινδύνων (εἰς τοῦτο γὰρ ἔκειτο, ὡς ἐν τῇ πρώτῃ ἐπιστολῇ φησιν), ἀλλ' ἵνα τὸ κήρυγμα τρέχῃ, καὶ ἐν πᾶσι πιστεύηται. « Καθὼς καὶ πρὸς ὑμᾶς. » Τοῦτο καὶ ἐγκωμίου ἔχεται. Ὥσπερ παρ' ὑμῖν, φησὶν, ἔδραμε καὶ ἐπιστεύθη. « Ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων. » Περὶ τῶν ἀντιλεγόντων τῷ κηρύγματι λέγει, οἷος ἦν Ἀλέξανδρος ὁ χαλκεύς. « Οὐ γὰρ πάντων ἡ πίστις. » Ὡσεὶ ἔλεγεν· Οὐ πάντων ἐστὶ τὸ πιστεῦσαι, ἀλλὰ τῶν ἀξίων τοῦ πιστεῦσαι. Ὡς εἴ τις εἴποι· Οὐ πάντων ἐστὶ τὸ στρατεύεσθαι ἐν ταῖς βασιλείοις αὐλαῖς, C ἀλλὰ τῶν ἀξίων. Ἐκεῖνοι τοιγαροῦν ἀνθίστανται, ὧν οὐκ ἔστιν ἡ πίστις. « Πιστὸς δέ ἐστιν ὁ Κύριος. » Ἐπειδὴ γὰρ εἵλετο ὑμᾶς εἰς σωτηρίαν, καθὼς ἄνω φησὶ, πιστός ἐστι, τουτέστιν, ἀληθής, στηρίξαι ὑμᾶς ὡς σαλευομένους, φυλάξαι δὲ, εἰς τὸ μὴ ἰσχῦσαι τὸν Σατανᾶν καθ' ὑμῶν. « Πεποίθαμεν δέ. » Ἵνα μὴ νομίσωσι πάντα αὐτοῖς ἔσεσθαι ἀπὸ τοῦ ἐπαγγειλαμένου Θεοῦ, καὶ ἐλομένου εἰς σωτηρίαν, καὶ ῥᾴθυμοι μείνωσι, καὶ τὴν αὐτῶν ἐργασίαν ἀπαιτεῖ. Ἃ παραγγέλλομεν ὑμῖν, φησὶ, καὶ ποιεῖτε, καὶ ποιήσετε. Ὡσεὶ εἶπεν· Ἀληθὴς μὲν ὁ Θεὸς ὁ εἰς σωτηρίαν ὑμᾶς ἑλόμενος· πλὴν ἀλλὰ δεῖ καὶ ὑμετέρων ἔργων. Διὸ οὐδὲ ἐθάρσησεν εἰπεῖν, πεποιθαμεν δὲ εἰς ὑμᾶς, ἀλλ', Ἐν Κυρίῳ, προστέθεικεν. D « Ὁ δὲ Κύριος κατευθύναι. » Ἐπ' εὐθείας, φησὶν, ἐνεχθῆναι ποιήσαι. Πολλὰ γὰρ τὰ ἔνθεν ἀφέλκοντα. — [ΟΙΚΟΥΜΕΝΙΟΥ.] Ὁ μακάριος Βασίλειος ἐν τοῖς πρὸς Ἀμφιλόχιον τοῦτο σημειοῦται, ὅτι τῷ πνεύματι εὔχεται ὁ Παῦλος, λέγων, Ὁ δὲ Κύριος κατευθύναι εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ. Ποῖος γὰρ Κύριος παρὰ τὸ πνεῦμα ἔμελλε κατευθύνειν τὰς καρδίας αὐτῶν εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ Πατρὸς καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ; Οὐδείς δὲ εὔχεται, πλὴν Θεῷ. « Καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ. » Ὅπου δὲ ὑπομονὴν λέγει, θλίψεις αἰνίττεται. Ὑπομονὴν δέ φησιν, ἵνα ὑπομείνωμεν, τουτ-

ἐστιν, ἵνα ἐμπαράσκευοι ὄντες, αὐτὸν προσδεχώμεθα.

ΚΕΦΑΛ. Ε'.

Προτροπὴ ἐργασίας καὶ παραιτήσεως τῶν ἀργῶν καὶ περιέργων.

Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβεν παρ' ἡμῶν. Αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ νύκτα καὶ ἡμέραν ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν. Οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν, εἰς τὸ μιμεῖσθαι ἡμᾶς. Καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. Ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους.

Φοβερωτέραν τὴν παραγγελίαν εἰργάσατο, ὡς εἰ εἶπεν· Διὰ τοῦ Χριστοῦ παραγγέλλομεν ὑμῖν. Ἐν μέσου ὄντος τοῦ ὀνόματος αὐτοῦ, καὶ μαρτυροῦντος ὅτι παρηγγείλαμεν, ἢ ὅτι αὐτοῦ ἐστι λόγος ὁ ῥηθησόμενος, οὐκ ἐμός. « Στέλλεσθαι. » Ὑποστέλλεσθαι, χωρίζεσθαι. Ἄτακτος δέ ἐστιν ὁ δίχα τάξεως καὶ τῶν τοῦ Θεοῦ νόμων περιπατῶν. Εἰπεῖν δὲ θέλει ἐνταῦθα περί τινων ἀργῶς περιιόντων καὶ μὴ ἐργαζομένων. « Καὶ μὴ κατὰ τὴν παράδοσιν. » Ἣν διὰ τῶν ἔργων ὑμῖν παρέδωκα, τύπος γενόμενος ὑμῖν, φησίν. « Αὐτοὶ γὰρ οἴδατε. » Ἐξ ὧν γὰρ ἐποιοῦμεν, δεδώκαμεν ὑμῖν σπέρματα καὶ εἰκόνας μιμήσεως. « Ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ. » Βαβαί· ἐπίτασις! « Πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν. » Βάρος μὲν κυρίως λέγεται, τὸ παρὰ ἀκόντων λαβεῖν. Πλὴν οὐ διὰ τοῦτο λέγει, ἀλλ' ὅτι σφόδρα πένητες ἦσαν. « Οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν. » Εἶχε γὰρ ἐξουσίαν ἀργεῖν ἐκ τοῦ ἔργου τῶν χειρῶν, ἀπησχολημένος τῷ κηρύγματι, καὶ τρέφεσθαι παρὰ τῶν μαθητευομένων. « Ἄξιος γάρ, φησὶν, ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. » Ἀλλ' ἐκ περιουσίας καὶ φιλοτιμίας, καὶ εἰργάζετο. Καὶ ἑαυτῶν ἔτρεφε, καὶ τοὺς σὺν αὐτῷ· ὃ καὶ ἀλλαχοῦ φησιν. « Ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν. » Ἵνα, φησὶν, εἰκόνα ἑαυτοὺς δῶμεν ὑμῖν, πῶς δέοι βιοῦν. « Ὅτι εἴ τι; οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. » Ἐργασίαν, τὴν διὰ τῶν χειρῶν φησιν. Ἀνάγκη γὰρ πάντως τι ποιεῖν. « Ἀλλὰ περιεργαζομένους. » Ὁ γὰρ Θεὸς ἐνεργὸν ἡμῖν δέδωκε τὸν νοῦν. Ὅταν οὖν αὐτὸν τῶν ἔργων ἀπαγάγωμεν, ἐπειδὴ αὐτὸς ἀργεῖν οὐ δύναται, λοιπὸν εἰς ἐργασίας ἔρχεται διαβολικὰς, εἰς περιεργίαν, φλυαρίαν, καταλαλιὰν, εὐτραπελίαν, καὶ τὰ ὅμοια.

Τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦμεν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-

A ut sustineamus, hoc est, ut præparati ipsum recipiamus.

CAPUT V.

Exhortatio ad laborem et devitationem otiosorum ac curiose degentium.

III, 6-11. *Præcipimus autem vobis, fratres, per nomen Domini nostri Jesu Christi, ut subducatis vos ab omni fratre qui inordinate se gerit, et non juxta traditionem quam accepit a nobis. Nam ipsi scitis quomodo oporteat imitari nos : quomodo non inordinate gessimus nos inter vos, neque gratis panem accepimus a quoquam : sed cum labore et fatigatione nocte dieque facientes opus, ad hoc ne cui vestrum essemus oneri. Non quod id nobis non liceat,* B *sed ut nosipsos formam exhibeamus vobis ad imitandum nos. Etenim cum essemus apud vos hoc præcipiebamus vobis, ut si quis nollet operari, is nec ederet. Audivimus enim quosdam versantes inter vos inordinate, nihil operis facientes, sed curiose agentes.*

202 Præceptum timoris plenum effecit : ac si dixisset : Per Christum præcipimus vobis. Aut per medium nomen ejus, quod testificetur nos præcepisse : aut quod ipsius sermo sit qui referetur, non meus. « Ut subducatis. » Ut separemini. Est autem inordinatus qui sine ordine aut absque Dei legibus ambulat. Vult autem hic dicere de quibusdam qui otiosi circumeunt, nec quidquam operantur. « Et non juxta traditionem quam accepit a C nobis. » Quam operibus vobis tradidi, factus vobis typus. « Nam ipsi scitis. » Ex his quæ operati sumus, dedimus vobis semina ac simulacra operandi quæ imitaremini. « Sed cum labore ac fatigatione. » Papæ! quanta exaggeratio. « Ad hoc ne cui vestrum essemus oneri. » Onus quidem proprie dicitur quod ab invitis sumitur : attamen non propterea dicit, sed quod admodum pauperes essent. « Non quod id nobis non liceat. » Licebat ei degere in otio, aut cessare ab opere manuum, vacando prædicationi, ut aleretur ab iis quos docebat : « Dignus est enim operarius, inquit, mercede sua [12] : » sed ex abundantia et magnificentia operabatur ac seipsum alebat eosque qui secum erant : quod etiam alibi dicit [13]. « Sed ut nosmetipsos D formam exhibeamus. » Ut nosmetipsos, inquit, traderemus vobis imaginem quomodo vivere oporteat. « Ut si quis nollet operari, is nec ederet. » Operationem vero dicit quæ manibus fit : necesse est enim ut omnes aliquid faciant. « Sed curiose agentes. » Nam Deus mentem nobis dedit quæ operi alicui intenderet : cum ergo ipsam ab opere subducimus, quoniam ipsa in otio esse non potest, jam ad operationes accedit diabolicas, puta curiositatem, nugacitatem, detractionem, eutrapeliam, ac similia.

III, 12-15. *His autem qui sunt istiusmodi præcipimus et hortamur per Dominum nostrum Jesum*

[12] Matth. XII, 10. [13] Act. XX, 34.

Christum, ut cum quiete operantes, suum ipsorum panem edant. Vos autem, fratres, ne defatigemini in benefaciendo. Quod si quis non obedit sermoni nostro, per Epistolam hunc adnotate, et non commercium habeatis cum illo, ut pudore suffundatur : neque veluti inimicum habeatis, sed admonete ut fratrem.

203 Vides quam terribilem exhibuerit adhortationem? Per Dominum, inquit, hoc est, ipse est qui præcipit, ipse qui exhortatur, non ego. « Cum quiete operantes. » Non solum quiete agere, verum etiam operari jubet. Adhuc de otiosis sermo est : aptat tamen illum, ut et de his dicatur qui delinquunt. « Suum ipsorum panem. » Non alienum emendicando. « Vos autem, fratres. » Considera paterna viscera. Non diu produxit increpationem, metuens ne fame perirent inordinati. Et ait ut subducant quidem se ab ipsis, hoc est, segregentur, et per separationem corripiantur. Dum autem corriguntur, inquit, tradite illis necessaria ne fame premantur. Sufficit quidem eis qui non corriguntur increpatio per hoc quod subducatis vos ab ipsis. « Quod si quis non obedit sermoni nostro per epistolam. » Aut per epistolam, puta, loquenti, aut sermoni per Epistolam misso. « Hunc adnotate. » Ne vos lateat. Maxima est autem confusio omnes habere aversos. « Neque velut inimicum habeatis. » Cum superius dixisset non oportere edere eum qui otiosus est, veritus ne fame perirct, adjunxit : Vos autem, fratres, ne defatigemini in benefaciendo : ita et hic cum dixisset : Ne commisceamini, timuit ne segregatus absorberetur vehementiori tristitia, quod ad Corinthios scripsit [14] : ideo subjungit : Ne ut inimicum habeatis, sed admonete, ac si diceret : Corripite quidem ipsum non veluti inimico irascentes, sed tanquam fratrem in charitate admonentes.

CAPUT VI.

Precatio pro pace, quæ est a Deo.

III, 16-18. *Ipse autem Dominus pacis det vobis pacem semper omnibus modis. Dominus sit cum omnibus vobis. Salutatio mea manu Pauli, quod est signum in omni epistola. Ita scribo. Gratia Domini nostri Jesu Christi sit cum omnibus vobis, Amen.*

204 Quia novit ex admonitionibus et objurgationibus pugnas ac contentiones oriri, cum ii qui hoc patiantur exasperentur ad reprehensiones, precatur eis pacem a Deo pacis. « Omnibus modis. » Ut nulla relinquatur dissensionis occasio. « Salutatio mea manu Pauli. » Hoc propria manu subscripsit, tanquam dicens : Saluto vos, aut Valete, aut aliquid hujusmodi, ne adulterentur litteræ aut corruptæ putentur. Dixit autem in superioribus quod effingentes missas ab ipso litteras, avertebant eos a rectis dogmatis. « Quod est signum in omni epistola. » Hoc enim signum erat ne corrumperetur.

[14] II Cor. II, 7.

στοῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν. Ὑμεῖς δέ, ἀδελφοί, μὴ ἐκκακήσητε καλοποιοῦντες. Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, διὰ τῆς Ἐπιστολῆς τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ. Καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν.

Ὁρᾷς πῶς φοβερὰν εἰργάσατο τὴν παράκλησιν; Διὰ τοῦ Κυρίου, φησί, τουτέστιν, αὐτός ἐστιν ὁ παραγγέλλων, αὐτὸς ὁ παρακαλῶν, οὐκ ἐγώ. « Μετὰ ἡσυχίας ἐργαζόμενοι. » Οὐ μόνον ἡσυχάζειν, ἀλλὰ καὶ ἐργάζεσθαι κελεύει. Ἔτι περὶ τῶν ἀργῶν ὁ λόγος· Ἁρμόζει δὲ καὶ περὶ τῶν ἁμαρτανόντων λέγεσθαι. « Τὸν ἑαυτῶν ἄρτον » Μὴ τὸν ἀλλότριον διὰ τοῦ ἐπαιτεῖν. « Ὑμεῖς δὲ ἀδελφοί. » Ὅρα σπλάγχνα πατρικά. Οὐ προήγαγεν ἐπὶ πολὺ τὴν ἐπιτίμησιν, δεδοικὼς μὴ λιμῷ φθαρῶσιν οἱ ἄτακτοι, καί φησι, στέλλεσθαι μὲν ἀπ' αὐτῶν, τουτέστι, χωρίζεσθαι, καὶ διὰ τοῦ χωρισμοῦ ἐπιτιμᾶσθαι. Ἐν ὅσῳ δὲ διορθοῦνται, φησὶ, μεταδίδοτε αὐτοῖς, ἵνα μὴ λιμώττωσιν. Ἀρκεῖ γὰρ μὴ διορθουμένοις, ἡ ἐπιτίμησις τοῦ στέλλεσθαι ὑμᾶς ἀπ' αὐτῶν. « Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν. » Ἢ τῷ διὰ τῆς Ἐπιστολῆς οἷον λαλοῦντι, ἢ τῷ διὰ τῆς Ἐπιστολῆς ἀποσταλέντι. « Τοῦτον σημειοῦσθε. » Ἵνα μὴ λάθῃ ὑμᾶς, φησί. Μεγίστη δὲ ἐντροπὴ, τὸ πάντας ἔχειν ἀποστρεφομένους. « Καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε. » Ὥσπερ ἄνω εἰπὼν μὴ δεῖν τὸν ἀργὸν ἐσθίειν, δείσας μὴ λιμῷ φθαρῇ, ἐπήγαγεν· Ὑμεῖς δὲ, ἀδελφοί, μὴ ἐκκακήσητε καλοποιοῦντες, οὕτως καὶ ὧδε εἰπών· Μὴ συναναμίγνυσθε, ἔδεισε μὴ ἀποσχισθεὶς, τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ, ὅπερ πρὸς Κορινθίους ἔγραψε· διὸ ἐπάγει, Μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε, ὡς εἶπεν· Ἐπιτιμᾶτε μὲν αὐτῷ, μὴ ὡς ἐχθρῷ δὲ ὀργιζόμενοι, ἀλλ' ὡς ἀδελφὸν ἐν ἀγάπῃ νουθετοῦντες.

ΚΕΦΑΛ. Ϛ'.

Εὐχὴ περὶ εἰρήνης, τῆς παρὰ Θεοῦ.

Αὐτὸς δὲ ὁ Κύριος τῆς εἰρήνης, δῴη ὑμῖν τὴν εἰρήνην διαπαντὸς ἐν παντὶ τρόπῳ. Ὁ Κύριος μετὰ πάντων ὑμῶν. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ. Οὕτως γράφω. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

Ἐπειδὴ οἶδεν ἐκ τοῦ νουθετεῖσθαι καὶ ἐπιτιμᾶσθαι, ἔρεις καὶ μάχας τικτομένας, τῶν τοῦτο πασχόντων πρὸς τοὺς ἐλέγχους τραχυνομένων, ἐπεύχεται αὐτοῖς εἰρήνην, παρὰ τοῦ Θεοῦ τῆς εἰρήνης. « Ἐν παντὶ τρόπῳ. » Ὥστε μηδεμίαν ὑπολελεῖφθαι μάχης ἀφορμήν. « Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. » Τοῦτο ἰδιόχειρον ὑπέγραφεν οἷον, τὸ, Ἀσπάζομαι ὑμᾶς, ἢ τὸ, Ἔρρωσθε, ἤ τι τοιοῦτον, ἵνα μὴ παραποιῆτε τὰ γράμματα. Εἶπε γὰρ ἄνω, ὡς ἀπ' αὐτοῦ ἐπιστολὰς πλαττόμενοι, διέστρεφον αὐτοὺς ἀπὸ τῶν ὀρθῶν δογμάτων. « Ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ. » Τοῦτο γὰρ σημεῖον

πρὸς τὸ μὴ μεταποιεῖσθαι. Ἐν πάσῃ δὲ τῇ, ὡς εἰκὸς, πεμφθησομένῃ πρὸς ὑμᾶς. Ὡς εἰ εἶπεν· Εἰ μὴ ἔχοι τοῦτο, οὐκ ἔστι μου Ἐπιστολή. « Ἡ χάρις τοῦ Κυρίου ἡμῶν. » Πάλιν ὡς ἔθος αὐτῷ, εὐχῇ κατέλυσε τὴν Ἐπιστολήν.

Τέλος, σὺν Θεῷ, τῆς πρὸς Θεσσαλονικεῖς δευτέρας Ἐπιστολῆς.

Ἐγράφη ἀπὸ Ἀθηνῶν.

A In omni autem, quæ ut verisimile est ad vos mittenda est. Ac si diceret : Nisi hoc habeat, non est mea Epistola. « Gratia Domini nostri. » Rursum ut sibi moris est, precatione absolvit Epistolam.

Finis, divino favente auxilio, posterioris ad Thessalonicenses Epistolæ.

Scripta fuit ex Athenis.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

—

ARGUMENTUM

PRIORIS EPISTOLÆ AD TIMOTHEUM.

—

Ταύτην ἐπιστέλλει ἀπὸ Λαοδικείας. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. Ἐν τῇ Ἐφέσῳ τινὲς Ἰουδαΐζοντες ἐπεχείρουν ἑτεροδιδασκαλεῖν καὶ ἀπατᾷν τοὺς ἀκεραιοτέρους, προφάσει τοῦ νόμου. Τοῦτο δὲ μαθὼν ὁ Ἀπόστολος, προτρέπει τὸν Τιμόθεον ἐκεῖ προσμεῖναι πρὸς διόρθωσιν αὐτῶν, γράφει τε τὴν ἐπιστολήν. Καὶ πρῶτον μὲν ὑπομιμνήσκει Τιμόθεον εἰδότα τὴν ἐν Χριστῷ πίστιν, διδάσκων αὐτὸν περὶ τοῦ νόμου, κωλύειν τοὺς παρὰ τὴν ὀρθὴν διδασκαλίαν λαλοῦντας, ἐπιτιμᾷν τε αὐτοῖς. Καὶ γὰρ αὐτὸς Ὑμέναιον καὶ Ἀλέξανδρον ναυαγήσαντας περὶ τὴν πίστιν παρέδωκε τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν. Ταῦτα ὑπομνήσας, λοιπὸν διατάσσει αὐτῷ κανόνας ἐκκλησιαστικούς. Πρῶτον, περὶ προσευχῆς, πῶς καὶ ποῦ, καὶ περὶ τίνων δεῖ προσεύχεσθαι. Δεύτερον, περὶ τοῦ σιγᾷν ἐν ἐκκλησίᾳ τὰς γυναῖκας, καὶ μᾶλλον μανθάνειν ἐθέλειν, καὶ μὴ διδάσκειν αὐτάς. Τρίτον, περὶ ἐπισκόπων, καὶ πρεσβυτέρων καὶ διακόνων, πῶς καὶ ὁποίους εἶναι δεῖ τοὺς καθισταμένους. Τέταρτον, περὶ τῶν ἐν τῇ ἐκκλησίᾳ χηρῶν, ἀπὸ πόσων ἐτῶν χρὴ ταύτας καταλέγεσθαι, καὶ ποίας αὐτὰς εἶναι δεῖ, καὶ πῶς αὐταῖς δεῖ προσέχειν. Πέμπτον, περὶ τοῦ σωφρονεῖν τοὺς νεωτέρους, καὶ γαμεῖν μᾶλλον, καὶ μὴ αἰσχρῶς ζῆν. Ἕκτον, περὶ τοῦ παραγγέλλειν τοῖς πλουσίοις μὴ ὑψηλοφρονεῖν, μηδὲ ἐλπίζειν ἐπὶ πλούτῳ. Περὶ τούτων διαταξάμενος, προτρέπεται αὐτὸν ταῦτα διδάσκειν, καὶ μηκέτι μὲν ὑδροποτεῖν, προσέχειν δὲ ἑαυτῷ καὶ τῇ διδασκαλίᾳ, εἰδότα ἔσεσθαι καιροὺς ἐν οἷς ἀποστήσονταί τινες τῆς πίστεως, διδάξας δὲ καθαρὰ εἶναι καὶ τὰ βρώματα, καὶ παραγγείλας αὐτῷ ἐκτρέπεσθαι τὰς ἐμφιλονείκους ζητήσεις ὡς βεβήλους οὔσας, ἐφ' αἷς καί τινες καυχώμενοι παρέβησαν τὴν πίστιν, καὶ τέλος ὃν χρὴ τρόπον ἄρχειν τε καὶ διατάσσεσθαι, τελειοῖ τὴν Ἐπιστολήν.

B **205** Hanc ab urbe Laodicea scribit. Occasio vero Epistolæ fuit hæc. Ephesi quidam judaizantes varia docere conabantur et simpliciores decipere, legis prætextu. Quod ubi cognovisset Apostolus hortatur Timotheum, ut ibi maneat ad ipsorum correptionem, scribitque Epistolam. Et primum quidem suggerit Timotheo quod fidem nosset quæ in Christo est, docens eum de lege, ut prohibeat illos qui aliquid præter rectam doctrinam loquerentur, et objurget eos. Nam et ipse Hymenæum et Alexandrum, qui circa fidem naufragium fecerant, Satanæ tradiderat, ut discerent non blasphemare. Hæc ubi ad memoriam reduxit, deinceps ecclesiasticos canones ei constituit : primo de oratione, quomodo et ubi ac de quibus precari oporteat. Secundo, ut C mulieres taceant in Ecclesia, quodque magis cupiant discere quam docere. Tertio, de episcopis et presbyteris ac diaconis, quomodo affectos et quales esse oporteat eos qui constituantur. Quarto, de viduis quæ sunt in Ecclesia a quot annis eas **206** eligi et quales esse conveniat, et quomodo ipsas observare oporteat. Quinto, quod juniores modestas esse oporteat, et nubere potius quam indecenter vivere. Sexto, ut præcipiat divitibus ne extollantur, neque sperent in divitiis. Hæc postquam ordinavit, exhortatur ipsum ut ea doceat : et posthac aquam non bibat, ac sibiipsi doctrinæ animum adhibeat, sciens quod futura sint tempora quibus discedent nonnulli a fide. Postquam autem docuit mundos quoque esse cibos, præcepitque ut avertatur a contentiosis quæstionibus, ut quæ profanæ sint, in quibus aliqui gloriantes, in fide prævaricati sunt, tandem concludit Epistolam.

THEODORETI.

Utquid, obsecro, cum et alios haberet Paulus discipulos, nempe Silam, Lucam et alios, ad Timotheum solum et Titum nominatim scribit? Et dicimus quod his Ecclesias regendas jam tradiderat, reliquos vero secum adhuc habebat. Scribit autem ad Timotheum ea quæ jam magistrum ac præceptorem decent.

207 *PRIORIS AD TIMOTHEUM EPISTOLÆ CAPITA.*

1. *De ducatu ad amorem Dei, qui prorsus legali caret necessitate.*
2. *De sui in evangelistam electione, cum persecutor esset, secundum gratiam Dei.*
3. *Præceptum de fide ac mysterio bonæ conscientiæ, qua deficiente imminet periculum.*
4. *De oratione ut pro omnibus fiat, ut ubique, pure, sine ulla turbatione et religiose.*
5. *De præceptoribus quod viros esse oporteat, et non mulieres, propter naturam et affectum qui ex amore suboritur.*
6. *De virtute episcoporum.*
7. *De divina incarnatione.*
8. *De certamine ad pietatem propter spem.*
9. *Adhortatio ut suiipsius curam habeat et Ecclesiæ.*
10. *Ut se unicuique apte accommodet.*
11. *De viduarum ætate et modo, ac gubernatione.*

208 12. *De presbyterorum honore.*
13. *De cauta electione.*
14. *Quod nullum opus sit occultum.*
15. *De obedientia servorum.*
16. *Adversus avaros et falsos præceptores.*
17. *Præceptum horrore plenum de bona obedientia usque ad finem.*
18. *Deductio divitum ad veram vitam.*

ΘΕΟΔΩΡΗΤΟΥ.

Τί δήποτε καὶ ἄλλους ἔχων μαθητὰς; ὁ Παῦλος οἷον τὸν Σίλαν, τὸν Λουκᾶν καὶ ἑτέρους, πρὸς Τιμόθεον μόνον καὶ πρὸς Τίτον ὀνομαστὶ γράφει; καὶ φαμὲν, ὅτι τούτοις ἦν ἤδη ἐκκλησίας ἐγχειρικὼς, τοὺς δὲ ἄλλους ἔτι εἶχε μεθ' ἑαυτοῦ. Γράφει δὲ πρὸς Τιμόθεον τὰ διδασκάλῳ πρέποντα λοιπόν.

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

α'. *Περὶ τῆς εἰς ἀγάπην Θεοῦ ὁδηγίας, τὴν ἀπροσδεῆ νομικῆς ἀνάγκης.*
β'. *Περὶ τῆς ἑαυτοῦ ἐκλογῆς εἰς εὐαγγελιστὴν ἐκ διώκτου, κατὰ χάριν Θεοῦ.*
γ'. *Παραγγελία περὶ πίστης καὶ εὐσυνειδήτου διακονίας, ἧς ἄνευ κίνδυνος.*
δ'. *Περὶ εὐχῆς, ὅτι ὑπὲρ πάντων, ὅτι πανταχοῦ ἀκάκως, ἀταράχως, σεμνῶς.*
ε'. *Περὶ διδασκάλων, ὅτι ἄνδρας χρὴ, καὶ οὐ γυναῖκας εἶναι, διὰ τὴν φύσιν καὶ τὸ πάθος τὸ ἐξ ἀγάπης.*
ς'. *Περὶ ἀρετῆς ἐπισκόπων.*
ζ'. *Περὶ θείας σαρκώσεως.*
η'. *Περὶ ἀγῶνος εὐσεβείας ἐπ' ἐλπίδι.*
θ'. *Περὶ ἐπιμελείας αὐτοῦ, καὶ τῆς Ἐκκλησίας.*
ι'. *Περὶ τοῦ ἁρμοζόντως ἑκάστῳ προσφέρεσθαι.*
ια'. *Περὶ χηρῶν ἡλικίας, καὶ τρόπου, καὶ διοικήσεως.*
ιβ'. *Περὶ πρεσβυτέρων τιμῆς.*
ιγ'. *Περὶ χειροτονίας ἀσφαλοῦς.*
ιδ'. *Ὅτι οὐδὲν ἔργον λανθάνει.*
ιε'. *Περὶ δούλων ὑπακοῆς.*
ις'. *Κατὰ φιλοχερδῶν, καὶ ψευδοδιδασκάλων.*
ιζ'. *Παραγγελία φοβερὰ περὶ καθαρᾶς ὑπακοῆς ἄχρι τέλους.*
ιη'. *Πλουσίων ὁδηγία ἐπὶ τὴν ὄντως ζωήν.*

ΠΑΥΛΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΠΡΩΤΗ ΕΠΙΣΤΟΛΗ.

—

PAULI APOSTOLI

AD TIMOTHEUM PRIOR EPISTOLA.

PROŒMIUM.

1, 1, 2. *Paulus apostolus Jesu Christi juxta præcepta Dei Servatoris nostri et Domini Jesu Christi, spei nostræ, Timotheo germano filio in fide: gratia,*

ΠΡΟΟΙΜΙΟΝ.

Παῦλος ἀποστολος Ἰησοῦ Χριστοῦ, κατ' ἐπιταγὴν Θεοῦ Σωτῆρος ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν, Τιμοθέῳ γνησίῳ

τέκνῳ ἐν πίστει. Χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

misericordia et pax a Deo Patre nostro et Christo Jesu Domino nostro.

Τὸ ἀτυφον καὶ νῦν δείκνυσιν, ὅτι φησίν· Οὐκ ἀπ' ἐμαυτοῦ προσῆλθον, ἀλλ' ἐπετράπην παρὰ Θεοῦ. Ποῦ δὲ ἐπετάγη; Ἐν ταῖς Πράξεσιν, ἔνθα φησὶ τὸ Πνεῦμα, « Ἀφορίσατέ μοι τὸν Σαῦλον καὶ τὸν Βαρνάβαν, » καὶ ἔνθα ὁ Κύριος πρὸς αὐτὸν, « Εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε. » Ἀλλ' ὅπερ ὁ Υἱὸς ἢ τὸ Πνεῦμα ἐπέταξε, ταῦτα τὸν Πατέρα φησὶν ἐπιτεταχέναι. Ἓν γὰρ θέλημά ἐστι τῆς ἁγίας Τριάδος. « Καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν. » Πολλὰ μὲν, φησὶν, οἱ ἀπόστολοι πάσχομεν, ἀλλ' ἔχομεν τὸν Θεὸν Σωτῆρα ἡμῶν, καὶ τὸν Χριστὸν Σωτῆρα τῆς ἐλπίδος ἡμῶν. Τὸ γὰρ, Σωτῆρα, ἀπὸ κοινοῦ νοητέον. Αὐτὸς γὰρ παρέχει, φησὶν, ἐλπίδα ὅτι σωθῶμεν. «Γνησίῳ τέκνῳ.» Βαβαί! ὅσην ἐπεδείξατο πίστιν ὁ Τιμόθεος, ὡς καὶ διὰ ταύτης γενέσθαι Παύλου τέκνον γνήσιον! Οὐδὲν γὰρ ἠλλάκτο κατὰ τὴν πίστιν. « Χάρις, ἔλεος. » Τὸν ἔλεον ἐνταῦθα ἐπεύχεται, μὴ εἰωθὼς, δεικνὺς τόν τε πρὸς αὐτὸν πόθον, καὶ ὅτι πλείονος ἐλέου χρῄζουσιν οἱ διδάσκαλοι.

Modestiam etiam nunc ostendit in eo quod dicit: Non a me ipso accessi, sed mihi a Deo commissum fuit. Ubi autem præceptum fuit? In Actis apostolorum cum ait Spiritus: « Segregate mihi Saulum et Barnabam [1]; » et ubi Dominus ad eum: « Ad gentes procul mittam te [2]. » Sed quod Filius jussit aut Spiritus, hæc Patrem ait jussisse: quoniam una est sanctæ Trinitatis voluntas. « Et Domini Jesu Christi spei nostræ. » Multa quidem patimur, inquit, nos apostoli: sed Deum habemus Servatorem nostrum, et Christum Servatorem spei nostræ. Siquidem a communi sensu subaudiendum est Servatorem. Nam ipse, inquit, præbet spem quod servemur. « Germano filio. » Papæ! quantam demonstravit fidem **210** Timotheus, ut per hanc quoque fieret germanus Pauli filius. Nihil enim immutatus est circa fidem. « Gratia, misericordia et pax. » Misericordiam hic precatur, quod facere non solet, ostendens majorem erga ipsum affectum: et quod majori opus est misericordia præceptoribus.

ΚΕΦΑΛ. Α'.

CAPUT I.

Περὶ τῆς εἰς ἀγάπην Θεοῦ ὁδηγίας, τὴν ἀπροσδεῆ νομικῆς ἀνάγκης.

De ducatu ad amorem Dei, qui prorsus legali careat necessitate.

Καθὼς παρεκάλεσά σε, προσμεῖναι ἐν Ἐφέσῳ πορευόμενος εἰς Μακεδονίαν, ἵνα παραγγείλῃς τισὶ, μὴ ἑτεροδιδασκαλεῖν, μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις. Αἵτινες ζητήσεις παρέχουσι μᾶλλον ἢ οἰκονομίαν Θεοῦ, τὴν ἐν πίστει.

I, 3-4. *Quemadmodum rogavi te, ut remaneres Ephesi cum proficiscerer in Macedoniam, ita facito: ut denunties quibusdam ne aliis utantur præceptoribus, nec attendant fabulis et genealogiis fine carentibus: quæ quæstiones præbent magis quam Dei ordinationem, quæ est per fidem.*

Ὅρα ἱκέτου καὶ διδασκάλου ῥήματα. « Προσμεῖναι ἐν Ἐφέσῳ. » (Μᾶλλον γὰρ οὐκ ἤρκεσεν ἡ Παύλου Ἐπιστολὴ τούτους διορθώσασθαι.) Ἐντεῦθα δὲ αὐτὸν ἐπίσκοπον ἐχειροτονήκει. « Ἵνα παραγγείλῃς τισίν. » Οὐκ εἶπε, Παρακαλέσῃς, ἀλλ', Ὡς πρὸς διεφθαρμένους, μετὰ αὐστηρίας παραγγείλῃς, φησίν. « Μὴ ἑτεροδιδασκαλεῖν. » Ἦσαν ψευδαπόστολοί τινες ἀπὸ Ἰουδαίων, πάλιν ἐπὶ τὸν νόμον ἕλκοντες, καὶ νόθα ἄλλα κατηχοῦντες δόγματα. « Μηδὲ προσέχειν μύθοις. » Μύθους λέγει, τὰ παραπεποιημένα δόγματα. Ὁ γὰρ ταῦτα λαλῶν, ἑτεροδιδασκαλεῖ. « Καὶ γενεαλογίαις ἀπεράντοις. » Πάππους γὰρ καὶ προγόνους ἠρίθμουν, οἷον οἱ Ἰουδαῖοι τοὺς ἀμφὶ τὸν θεσπέσιον Ἀβραάμ, ἐν αὐτοῖς ἐγκαλλωπιζόμενοι, καὶ μηδὲν αὐτοὶ χρηστὸν πράττοντες. Τὸ δὲ, « Ἀπεράντοις, » οἷον, τοῖς μὴ ἔχουσι πέρας τι χρηστὸν, ἢ τοῖς λέγουσιν, ἢ τοῖς ἀκούουσιν. « Αἵτινες ζητήσεις παρέχουσι μᾶλλον. » Εἰ αἱ ζητήσεις ἐν καταγνώσει εἰσὶ, πῶς ὁ Χριστός· « Ζητεῖτε καὶ εὑρήσετε, » καὶ, « Ζητεῖτε τὰς Γραφάς; » Ὅτι ἡ ζήτησις τῶν μέσων ἐστίν. Ἔνι γὰρ ζητεῖν χρηστὰ, ὡς τὸ, « Ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν. » Ἔνι καὶ ζητεῖν κακὰ, ὡς οἱ φιλόσοφοι τὰ οὐράνια καὶ οὐσίαν Θεοῦ. Ἐνταῦθα οὖν ζητήσεις, τὰς ἀνυήτους φησὶ, τὰς ἐμφι-

Animadverte obsecrantis etiam præceptoris verba. « Ut remaneres Ephesi. » (Magis enim credendum est non satis fuisse Pauli Epistolam ad hos corrigendos.) Hic autem ipsum ordinaverat episcopum « Ut denunties quibusdam. » Non dixit, Obsecres, sed, Veluti erga eos qui corrupti sunt austere denunties, inquit. « Ne aliis utantur præceptoribus. » Ex Judæis erant quidam pseudopostoli qui rursum ad legem trahebant, adulterina tradentes alia dogmata. « Nec attendant fabulis. » Fabulas dicit adulterina dogmata: qui enim hæc loquitur, alio utitur præceptore. « Et genealogiis fine carentibus. » Avos namque ac progenitores numerabant, quemadmodum Judæi divinum Abraham, in illis gloriantes, cum ipsi nihil laude dignum operarentur. Quod autem ait: « Fine carentibus, » hoc est, quæ finem nullum habent utilem aut dicentibus aut audientibus. « Quæ quæstiones præbent magis. » Si damnantur quæstiones, quomodo ait Christus: « Quærite et invenietis [3]; » et « Scrutamini Scripturas [4]! » Quia quæstio est media et indifferens. **211** Contingit enim et bene quærere, ut illud: « Quærite regnum Dei [5]: » contingit et male quærere, ut cum philosophi cœlestia quærunt ac

[1] Act. XIII, 2, [2] ibid. 47. [3] Luc. II, 9. [4] Joan. V, 39. [5] Matth. VI, 33.

Dei substantiam. Hic ergo quæstiones dicit insensatas ac contentiosas. « Quam Dei ordinationem. » Quid autem ordinavit Deus? ut quæ ipsius sunt, fide suscipiantur : sunt enim incomprehensibilia. Per hoc autem quod rationes ac demonstrationes de unoquoque requirunt (nam illæ sunt quæstiones) Dei resistunt dispositioni.

A

1, 5-7. *Porro finis præcepti est charitas ex puro corde et conscientia bona ac fide non simulata. A quibus nonnulli aberrantes deflexerunt ad vaniloquium, volentes esse legis doctores, non intelligentes neque quæ loquuntur, neque de quibus affirmant.*

Quod si hæc adsit, etiam cessabunt alienis uti præceptoribus. Quomodo? Quia ex eo quod non amant, invidia in quosdam ingreditur erga præceptores, ne velint eos esse præceptores, et ex hoc consequenter alienis utuntur præceptoribus. « Ex puro corde. » Contingit enim et ex impuro corde diligere, ut est in dilectione latronum ad latrones. Ex puro corde, ut et perfectam, inquit, charitatem ipsis præcipias. Siquidem quæ magis capita sunt sermonum, in exordio et in fine referunt hi qui præcipiunt, juvandæ memoriæ gratia. « Et conscientia bona. » Non eam, inquit, requiro quæ duntaxat ad verba usque protenditur, qualis et in simulatione esse potest, sed illam quæ a corde procedit, eoque puro : quæ a conscientia et ea quæ inde nascitur cogitatione, quæ sola nihil habet simulationis. Quis enim erit qui seipsum fallat, aut occultare tentet? « A quibus nonnulli. » Nempe ab his quæ dicta sunt, puta Dei ordinatione quæ est per fidem, et charitate non simulata. « Aberrantes. » Arte enim opus est ne extra veritatis scopum decidas. « Ad vaniloquium. » Quod prius dixit : Quæstiones et genealogias, nunc dicit, Vaniloquium. « Volentes esse legis doctores. » Alia erroris occasio. Non enim solum mutuum odium, sed et amor principatus ad hoc ducit : qui et ipse ex odio et invidia nascitur. « Non intelligentes neque quæ loquuntur. » **212** Ostendere vult quod vere ab amore principatus ad hoc venerint, ut cupiant esse magistri : neque enim legem noverunt neque de quibus affirmant. Si enim legem nossent, Christo utique crederent, cum etiam alibi dicat : « Dicite mihi qui sub lege vultis esse, legem non auditis [6]? » Nam si legem novissent, crederent utique quod ad Christum transmittat.

B

C

D

1, 8-11. *Scimus autem quod bona sit lex, si quis ea legitime utatur, sciens illud quod justo non sit lex posita, sed injustis et non obsequentibus, impiis et peccatoribus, irreverentibus et prophanis, patricidis et matricidis, homicidis, scortatoribus, masculorum concubitoribus, plagiariis, mendacibus, perjuris, et si quid aliud est quod sanæ doctrinæ adversatur, secundum Evangelium gloriæ beati Dei, quod concreditum est mihi.*

[6] Galat. IV, 21.

Ἐπεὶ οὖν ἀνοίκους. « Ἡ οἰκονομίαν Θεοῦ. » Τί δὲ ᾠκονόμησεν ὁ Θεός; Τὸ πίστει ἔχεσθαι τὰ αὐτοῦ· ἀ ατάληπτα γάρ. Τῷ δὲ λογισμοὺς καὶ ἀποδείξεις ἐπὶ ἑκάστου ζητεῖν (τοῦτο γὰρ αἱ ζητήσεις), τῇ τοῦ Θεοῦ διοικήσει ἀνθίστανται.

Τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς, καὶ πίστεως ἀνυποκρίτου. Ὧν τινες ἀστοχήσαντες, ἐξετράπησαν εἰς ματαιολογίαν, θέλοντες εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται.

Ταύτης γὰρ οὔσης, καὶ τὸ ἑτεροδιδασκαλεῖν ἐπαύετο. Πῶς; Ὅτι ἐκ τοῦ μὴ ἀγαπᾷν, φθόνος εἰσῆλθέ τισι πρὸς τοὺς διδασκάλους ἐκ τοῦ θέλειν αὐτοὺς εἶναι διδασκάλους. Λοιπὸν ἐκ τούτου, τὸ ἑτεροδιδασκαλεῖν. « Ἐκ καθαρᾶς, φησὶ, καρδίας. » Ἔστι γὰρ καὶ ἐξ ἀκαθάρτου καρδίας ἀγαπᾷν, οἵαι εἰσὶν αἱ τῶν λῃστῶν πρὸς τοὺς λῃστὰς φιλίαι. Ἐκ καθαρᾶς καρδίας, ἵνα καὶ τὴν ἀγάπην ἐντελῇ, φησὶ, παραγγείλῃς αὐτοῖς. Τὰ γὰρ τῶν λόγων κεφαλαιωδέστερα, ἢ ἐν πρώτοις ἢ ἐν τελευταίοις διὰ τὸ εὐμνημόνευτον λέγουσιν οἱ παραγγέλλοντες. « Καὶ συνειδήσεως ἀγαθῆς. » Οὐ μόνον, φησὶ, τὴν ἄχρι ῥημάτων ζητῶ, ἥτις καὶ ἐν ὑποκρίσει δύναται εἶναι, ἀλλὰ τὴν ἀπὸ καρδίας, καὶ ταύτης καθαρᾶς, τὴν ἀπὸ συνειδήσεως, καὶ τοῦ ἔνθεν λογισμοῦ, ὃς μόνος τὸ ἀνυπόκριτον ἔχει. Τίς γὰρ ἔσται ὃς αὐτὸς ἑαυτὸν ὑποκρίνεται; ἢ κρύπτειν πειρᾶται; « Ὧν τινες. » Ὧν, τῶν εἰρημένων, τῆς ἐν πίστει οἰκονομίας τοῦ Θεοῦ, καὶ τῆς ἀνυποκρίτου ἀγάπης. « Ἀστοχήσαντες. » Τέχνης γὰρ δεῖται, ὥστε μὴ ἔξω τοῦ σκοποῦ τῆς ἀληθείας πεσεῖν. « Εἰς ματαιολογίαν. » Ὃ εἶπεν ἄνω· Εἰς ζητήσεις καὶ γενεαλογίας, νῦν λέγει, Ματαιολογίαν. « Θέλοντες εἶναι νομοδιδάσκαλοι. » Ἄλλη πρόφασις ἀστοχίας. Οὐ γὰρ μόνον, φησὶ, τὸ μισάλληλον, ἀλλὰ καὶ τὸ φίλαρχον εἰς τοῦτο ἄγει, ὅπερ καὶ αὐτὸ ἐκ τοῦ μίσους ἐγείρεται καὶ τοῦ φθόνου. « Μὴ νοοῦντες μήτε ἃ λέγουσι. » Δείξαι θέλει, ὅτε ὄντως ἀπὸ φιλαρχίας ἦλθον εἰς τὸ θέλειν εἶναι διδάσκαλοι. Οὔτε γὰρ τὸν νόμον ἴσασιν, οὔτε περὶ ὧν διαβεβαιοῦνται. Εἰ γὰρ ᾔδεισαν τὸν νόμον, Χριστῷ ἂν ἐπίστευον, ὃ καὶ ἀλλαχοῦ φησι· « Λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε; » Εἰ γὰρ ᾔδεισαν τὸν νόμον, ἠπίσταντο ἂν ὅτι Χριστῷ παραπέμπει.

Οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται, εἰδὼς τοῦτο ὅτι δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βεβήλοις, πατραλῴαις καὶ μητρολῴαις, ἀνδροφόνοις, πόρνοις, ἀρσενοκοίταις, ἀνδραποδισταῖς, ψεύσταις, ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται, κατὰ τὸ Εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου Θεοῦ, ὃ ἐπιστεύθην ἐγώ.

« Ὅτι καλὸς ὁ νόμος. » Ὡς εἴ γε μὴ ἦ τοῦτο, οὐ καλός. Τίς δὲ ὁ νομίμως αὐτῷ χρώμενος; Ὁ δι' αὐτοῦ εἰς τὴν πίστιν παραπεμπόμενος. Μὴ ἰσχύων γὰρ ὁ νόμος δικαιῶσαι, ἐπὶ τὸν δικαιοῦν δυνάμενον παραπέμπει Χριστόν. Ὁ γὰρ πληρῶν, οὐχ ὁ ἐξηγούμενος, νομίμως αὐτῷ χρῆται. « Εἰδὼς τοῦτο. » Καὶ ἐκεῖνος, φησὶ, νομίμως αὐτῷ κέχρηται ὁ εἰδὼς ὅτι οὐ χρῄζει αὐτοῦ πρὸς τὸ ὀρθῶς βιοῦν. Τίς δὲ οὗτος; Ὁ δι' ἀρετὴν ὀρθῶς βιῶν, καὶ οὐ διὰ τὸν φόβον τοῦ νόμου. « Ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις. » Τοῦτο καὶ ἀλλαχοῦ φησιν· « Ὁ νόμος τῶν παραβάσεων χάριν προσετέθη. » Ὥστε τῷ δικαίῳ καὶ μὴ παραβάντι οὔτε ἔστι νόμος, ἀλλ' ἐκείνοις τοῖς μὴ ἀφ' ἑαυτῶν τὴν ἀρετὴν μετιοῦσιν, ἀλλὰ δεομένοις τῆς ἀπειλῆς τοῦ νόμου. Καὶ λοιπὸν αὐτοὺς καταλέγει, ταῦτα ἔχειν τοὺς Ἰουδαίους αἰνιττόμενος. « Ἀσεβέσι καὶ ἁμαρτωλοῖς. » Οἱ γὰρ συνεχῶς εἰδώλοις προσκυνοῦντες, οἱ τὰ τέκνα τοῖς δαίμοσι θύοντες, οἱ τὸν Μωσέα λιθάζοντες, καὶ φόνοις ἐμφυλίοις μολυνόμενοι Ἰουδαῖοι, ταῦτα πάντα οὐκ ἂν εἶεν; « Καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται. » Ταῦτα γὰρ πάντα πάθη ψυχῆς ἐστι διεφθαρμένης. Ἡ δὲ τοιαύτη ψυχὴ τῇ ὑγιεῖ καὶ καλῶς ἐχούσῃ διδασκαλίᾳ ἀντιπράττει. « Κατὰ τὸ Εὐαγγέλιον τῆς δόξης. » Ποίᾳ ὑγιαινούσῃ φησί; Τῇ οὔσῃ κατὰ τὸ Εὐαγγέλιον τοῦ Θεοῦ. Εὐαγγέλιον δὲ δόξης αὐτὸ καλεῖ, ὅτι δι' αὐτοῦ μάλιστα δοξάζεται ὁ Χριστὸς, σταυρὸν ἑλόμενος. « Ὃ ἐπιστεύθην ἐγώ. » Εἰκὸς γὰρ ἦν ἔχειν τοὺς ψευδαποστόλους πεπλασμένα Εὐαγγέλια.

A « Quod bona sit lex. » Quod si hoc non fiat, non est bona. Quis autem legitime ipsa utitur? Qui per ipsam ad fidem transmittitur. Cum enim justificare non possit, ad Christum transmittit qui potest justificare. Siquidem is qui complet et non qui interpretatur, legitime ea utitur. « Sciens illud. » Etiam is, inquit, legitime ea utitur, qui scit ea sibi opus non esse ad recte vivendum. Quis est autem ille? is qui virtutis gratia recte vivit et non timore legis. « Injustis et non obsequentibus. » Hoc etiam alibi dicit quod lex propter transgressiones addita fuit[f]. Justo itaque et ei qui non prævaricatur, ne ulla quidem erit lex, sed illis qui ex seipsis virtutem non sequuntur, sed egent legis comminatione; et deinceps recenset illos qui ejusmodi sunt, Judæos his obnoxios esse innuens. « Impiis et peccatoribus. » Judæi enim qui continue idola adorabant, qui filios dæmonibus sacrificabant, qui Mosen lapidare volebant, qui cædibus intestinis sese inquinabant, anne hæc omnia in se habebant? « Et si quid aliud est quod sanæ doctrinæ adversatur. » Nam hæ omnes corruptæ sunt affectiones animæ; talis autem anima sanæ et bene dispositæ doctrinæ operibus repugnat. « Secundum Evangelium **213** gloriæ. » Quæ est autem doctrina sana? ea quæ secundum Evangelium Dei est. Vocat autem illud Evangelium gloriæ, quia per ipsum maxime glorificatur Christus, qui crucem elegit. « Quod concreditum est mihi. « Verisimile enim est quod pseudopostoli haberent conflicta Evangelia.

B

C

ΚΕΦΑΛ. Β'.

Περὶ τῆς ἑαυτοῦ ἐκλογῆς εἰς εὐαγγελιστὴν, ἐκ διώκτου, κατὰ χάριν Θεοῦ.

Καὶ χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν τὸν πρότερον ὄντα βλάσφημον, καὶ διώκτην καὶ ὑβριστήν· ἀλλὰ καὶ ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ. Ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ Κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης ἐν Χριστῷ Ἰησοῦ.

CAPUT II.

De sui in evangelistam electione, cum persecutor esset, secundum gratiam Dei.

I, 12-14. *Et gratiam habeo Christo Jesu Domino nostro, qui me potentem reddidit, quia fidelem me judicavit ponendo in ministerium: qui prius eram blasphemus et persecutor et violentus: sed misericordiam adeptus sum, quod ignorans fecerim per incredulitatem. Exuberavit autem gratia Domini nostri cum fide et dilectione, quæ est per Christum Jesum.*

Ἐπειδὴ εἶπεν· « Ὃ ἐπιστεύθην ἐγὼ, » ἵνα μὴ δόξῃ κομπάζειν, ἐπὶ τὸν Θεὸν τὸ πᾶν ἀνάγει, καὶ φησι· Χάριν ἔχω τῷ ταύτην μοι τὴν δύναμιν δεδωκότι, εἰς τὸ ὅλως πιστευθῆναι τὸ Εὐαγγέλιον. « Τῷ ἐνδυναμώσαντί με. » Φορτίον γὰρ ὑπεισῆλθον μέγα, φησὶ, καὶ πολλῆς δεόμενον τῆς παρὰ Θεοῦ ἰσχύος. « Ὅτι πιστόν με ἡγήσατο. » Εἶτα δείκνυσιν ὅτι δεῖ καὶ παρ' ἡμῶν εἰσενεχθῆναί τινα. Οὐ γὰρ ἀκρίτως Θεὸς ἐπιλέγεταί τινας. Ἡ γὰρ ἂν ἦν ἀδοκία τὸ πρᾶγμα. Καί φησιν· « Ὅτι πιστόν με ἡγήσατο. » Τὸν δὲ μὴ ὄντα πίστεως ἄξιον, πῶς ἂν πιστὸν ἡγήσατο ὁ Θεός; Πιστὸς δὲ, ὁ μηδὲν τῶν τοῦ Θεοῦ σφετεριζόμενος, ἀλλὰ καὶ τὰ ἑαυτοῦ τῷ Θεῷ ἀνατιθείς. « Εἰς διακονίαν. » Τουτέστι, τοῦ Εὐαγγελίου. Διάκονον δὲ λέγει διὰ τὸ κηρύσσειν. Ἀπόδειξις δὲ τοῦ

D Quoniam dixerat: « Quod concreditum est mihi: » ne se jactare videretur, rem omnem ad Deum refert, et ait: Gratiam ei habeo qui mihi hanc dedit potentiam, ut omnino crederetur mihi Evangelium. « Qui me potentem reddidit. » Magnum enim onus subivi, inquit, et quod magna indiget a Deo potentia. « Quia fidelem me judicavit. » Deinde ostendit quod oporteat etiam quædam a nobis afferre: non enim Deus sine judicio aliquos elegit: alioqui res probata justaque non esset, et ait: « Quia fidelem me judicavit. » At quomodo fidelem judicasset Deus Ieum qui fide dignus non esset? Fidelem sane, quod nihil eorum quæ Dei sunt sibi vindicaret, sed et quæ sua sunt Deo attribueret. « In ministerium, » puta Evangelii. Dicit autem se ministrum propter prædi-

[f] Galat. III, 19.

cationem. In hoc autem demonstratur, quod me fidelem judicaverit, quia Evangelii ministerium mihi concredidit. « Qui prius eram blasphemus. » Vide quomodo augeat Dei misericordiam, prioris vitæ **214** faciens mentionem, et ostendens cujus voluerit misereri. « Et persecutor. » Ac si diceret : Non solum blasphemias ingerebam, sed et alios persequendo, blasphemias dicere compellebam. « Sed misericordiam adeptus sum. » Seipsum supplicio dignum fuisse ostendit : nam ad hæc accedit misericordia. « Quod ignorans fecerim. » Si ideo misericordiam adeptus est quod ignorans fecerit, quamobrem Judæi quoque non sunt misericordiam adepti ? Et dicimus primum quidem quia nolunt : nam qui ad Christum accesserunt, misericordiam adepti sunt. Quare autem non viderunt omnes visionem sicut et Paulus ? Ita enim omnes accessissent. Quia Paulus quidem ex ignorantia persequebatur, illi vero scientes ac volentes. Audi evangelistam dicentem,quod multi e Pharisæis et Judæis credebant, sed non confitebantur : [8] « Dilexerunt enim gloriam hominum magis quam gloriam Dei.[9] » Rursum Christus ad eos : « Quomodo potestis credere qui gloriam a vobis mutuo accipitis ? » Et iterum : « Hoc dixerunt parentes cæci propter Judæos, ne et ipsi e Synagoga ejicerentur. » Quin et ipsi Judæi dicebant : « Videtis quod nihil proficimus, ecce totus mundus post eum abit[10]. » Vides quod scientes laberentur eo quod amarent principatum ? Tunc autem Paulus fortassis ad pedes Gamalielis erat, nec turbæ communicabat. Cumque post hæc videret Christi fidem augeri, zelo Dei accendebatur, quanquam non secundum scientiam. « Per incredulitatem. » Ex lege ea quæ Christum concernebant legerat, quia ergo statim Christo non credidit, ignorantiam vocat rem ex incredulitate ortam. « Exuberavit autem gratia. » Non solum, inquit, cum dignus essem supplicio me dimisit inultum, sed justificavit, et filium ac amicum hæredemque fecit. « Cum fide et dilectione. » Exuberavit autem cum mea fide et dilectione quæ et ipsa per Christum mihi contigit. « Quæ est per Christum Jesum. » Fidem autem dixit et dilectionem, quia contingit credentem non facere ea quæ sunt diligentium Christum. Ostendit autem quod necesse sit et nos aliquid afferre.

ἡγήσασθαί με πιστὸν, τὸ τὴν διακονίαν μοι πιστευθῆναι τοῦ Εὐαγγελίου. « Τὸν πρότερον ὄντα βλάσφημον. » Ὅρα πῶς αὔξει τὸν ἔλεον τοῦ Θεοῦ, τοῦ προτέρου μεμνημένος βίου, καὶ δεικνὺς τίνα ἐλεῆσαι εἵλετο. « Καὶ διώκτην, » φησίν. Ὡς εἰ ἔλεγεν· Οὐ μόνον ἐβλασφήμουν, ἀλλὰ καὶ τοὺς ἄλλους διώκων, βλασφημεῖν ἠνάγκαζον. « Ἀλλὰ καὶ ἠλεήθην. » Δείκνυσιν ἑαυτὸν τιμωρίας ἄξιον. Ὁ γὰρ ἔλεος ἐπὶ τούτοις γίνεται. « Ὅτι ἀγνοῶν ἐποίησα. » Εἰ ἐπειδὴ ἀγνοῶν ἐποίησεν, ἠλεήθη, τί δήποτε καὶ οἱ Ἰουδαῖοι οὐκ ἠλεήθησαν ; Καί φαμεν, πρῶτον μὲν, ὅτι οὐ βούλονται. Οἱ γὰρ προσελθόντες τῷ Χριστῷ, ἠλεήθησαν. Διὰ τί δὲ οὐ πάντες εἶδον ὀπτασίαν ὡς ὁ Παῦλος; ἦ γὰρ ἂν πάντες προσῆλθον. Ὅτι ὁ μὲν Παῦλος ἐξ ἀγνοίας ἐδίωκεν, ἐκεῖνοι δὲ ἐν εἰδήσει. Ἄκουε τοῦ εὐαγγελιστοῦ λέγοντος, ὅτι, πολλοὶ ἐκ τῶν Φαρισαίων καὶ Ἰουδαίων ἐπίστευον, οὐχ ὡμολόγουν δέ· « Ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ Θεοῦ. » Καὶ πάλιν πρὸς αὐτοὺς ὁ Χριστός· « Πῶς δύνασθε πιστεύειν, δόξαν παρ' ἀλλήλων λαμβάνοντες; » Καὶ πάλιν· « Τοῦτο εἶπον, φησὶν, οἱ γονεῖς τοῦ τυφλοῦ διὰ τοὺς Ἰουδαίους, ἵνα μὴ καὶ αὐτοὶ ἀποσυνάγωγοι γένωνται. » Καὶ αὐτοὶ δὲ οἱ Ἰουδαῖοι ἔλεγον· « Ὁρᾶτε ὅτι οὐδὲν ὠφελοῦμεν; Ἰδὲ πᾶς ὁ κόσμος ὑπάγει ὀπίσω αὐτοῦ. » Εἶδες αὐτοὺς ἐν εἰδήσει πταίοντας, φιλαρχίας ἕνεκεν; Τότε δὲ ὁ Παῦλος ἴσως παρὰ τοὺς πόδας ἦν Γαμαλιήλου, μὴ ἐπικοινωνῶν τῷ ὄχλῳ, καὶ μετὰ ταῦτα ὁρῶν τὴν τοῦ Χριστοῦ πίστιν αὐξανομένην, ἐζηλοτύπει ζῆλον Θεοῦ ἔχων, εἰ καὶ μὴ κατ' ἐπίγνωσιν. « Ἐν ἀπιστίᾳ. » Ἐκ τοῦ νόμου, τὰ περὶ τὸν Χριστὸν ἀνεγνώκει. Ἐπεὶ οὖν εὐθέως μὴ ἐπίστευσε τῷ Χριστῷ, ἄγνοιαν τὸ πρᾶγμα καλεῖ, ἐξ ἀπιστίας τεχθεῖσαν. « Ὑπερεπλεόνασε δὲ ἡ χάρις. » Οὐ μόνον γὰρ, φησὶν, ἄξιον ὄντα τιμωρίας, εἴασεν ἀτιμώρητον, ἀλλὰ καὶ ἐδικαίωσε, καὶ υἱὸν, καὶ φίλον, καὶ κληρονόμον ἐποίησε. « Μετὰ πίστεως καὶ ἀγάπης. » Ὑπερεπλεόνασε δὲ μετὰ τῆς ἐμῆς πίστεως καὶ ἀγάπης, τῆς καὶ αὐτῆς διὰ Χριστοῦ μοι ὑπερχυθείσης. Τῆς γὰρ « ἐν Χριστῷ Ἰησοῦ » φησι. Πίστεως δὲ εἶπε καὶ ἀγάπης, ὅτι ἕνι μὲν πιστεῦσαι, μὴ πράττειν δὲ τὰ τῶν ἀγαπώντων τὸν Χριστόν. Δείκνυσι δὲ ὅτι ἐπάναγκες καὶ ἡμᾶς τι συνεισενεγκεῖν.

1, 15-17. *Certus sermo et dignus quem modis omnibus amplectamur, quod Christus Jesus venit in mundum, ut peccatores salvos* **215** *faceret, quorum primus sum ego. Verum ideo misericordiam adeptus sum, ut in me primo ostenderet Jesus Christus omnem clementiam ad exprimendum exemplar iis qui crediturl essent in ipso ad vitam æternam. Regi autem sæculorum immortali, invisibili, soli sapienti Deo honor et gloria in sæcula sæculorum. Amen.*

Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ, εἰς ζωὴν αἰώνιον. Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ, δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

« Certus sermo. » Sive verax est qui dicetur sermo. Ex me, inquit, discite. « Quorum primus sum

« Πιστὸς ὁ λόγος, » τουτέστιν, ἀληθὴς ὁ ῥηθησόμενος λόγος. Ἐξ ἐμοῦ, φησὶ, γνώσεσθε. « Ὧν πρῶ-

[8] Joan. XII, 43. [9] ibid. 42. [10] ibid. 19.

τός εἰμι ἐγώ. » Καίτοι ἀλλαχοῦ λέγει · « Κατὰ τὴν δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος. » Πῶς οὖν ὧδε ἁμαρτωλὸν καὶ πρῶτον τῶν ἁμαρτωλῶν λέγει ἑαυτόν ; Καί φαμεν, ὅτι ἡ ἐκ νόμου δικαιοσύνη, πρὸς τὴν ἐκ πίστεως παραβαλλομένη, οὐ μόνον οὐκ ἔστι δικαιοσύνη, ἀλλὰ καὶ πρώτη ἁμαρτία. « Πάντες γὰρ ἥμαρτον, φησὶ, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. » Ταύτῃ δὲ τῇ συγκρίσει καὶ ἀλλαχοῦ κέχρηται, ἔνθα φησί · « Καὶ γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. » — « Ἀλλὰ διὰ τοῦτο ἠλεήθην. » Ὅρα τί ταπεινὸν εἶπεν. Ἐμοῦ, φησὶ, σωθέντος τοῦ πάντων ἁμαρτωλοτέρου, οὐ δεῖ λοιπὸν ἀμφιβάλλειν περὶ σωτηρίας. Δεῖξαι γὰρ θέλει ὅτι οὐ σέσωσται ὡς ἄξιος σωτηρίας, ἀλλὰ διὰ τὸ τοὺς ἄλλους μὴ ἀπελπίσαι τῆς σφῶν σωτηρίας. « Τὴν πᾶσαν μακροθυμίαν. » Ὦ τῆς Παύλου ταπεινώσεως ! Εἰς πᾶν, φησὶν, εἶδος ἐλθὼν κακίας, τῆς πάσης ἐδεόμην μακροθυμίας, οὐ μέρους αὐτῆς, ὥσπερ οἱ ἐν μέρει ἡμαρτηκότες. « Πρὸς ὑπόδειγμα. » Πρὸς παράκλησιν, πρὸς ἀπόδειξιν. « Εἰς ζωὴν αἰώνιον. » Ἐπὶ γὰρ τῷ σχῆσειν ζωὴν αἰώνιον, ἡ εἰς Χριστὸν γίνεται πίστις. « Τῷ δὲ βασιλεῖ τῶν αἰώνων. » Ταῦτα περὶ τῆς ἁγίας δέξαι Τριάδος. Κοιναὶ γὰρ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος αἱ τοιαῦται προσηγορίαι. Ἕνι γὰρ ἀλλαχοῦ περὶ τοῦ Υἱοῦ ταῦτα εὑρεῖν, ἀλλαχοῦ περὶ Πνεύματος, νῦν δὲ περὶ τοῦ Πατρός. « Μόνῳ σοφῷ Θεῷ. » Ταῦτα περὶ τοῦ Χριστοῦ τῆς ἀγάπης φιλοσοφήσας, μέμνηται καὶ τοῦ Πατρὸς, καὶ δοξολογίαν ἀναπέμπει αὐτῷ, ἵνα μήτις νομίσῃ ἄμοιρον τῆς εἰς ἡμᾶς ἀγάπης εἶναι τὸν Πατέρα. Ὑπὲρ γὰρ τῆς εἰς ἡμᾶς ἀγάπης, τὴν ἁγίαν Τριάδα δοξάζεσθαι πρέπει, κοινῆς οὔσης τῆς ἀγάπης.

ego. » Atqui alibi dicit : « Juxta justitiam, quæ est in lege factus irreprehensibilis [11]. Quomodo ergo hoc loco sese dicit peccatorem primumque peccatorum ? Et dicimus quod justitia, quæ est ex lege ad eam collata quæ est ex fide, non solum justitia non est, sed et primum peccatum est. « Omnes enim peccaverunt, inquit, ac destituuntur gloria Dei [12]. » Hac autem comparatione etiam alibi usus est quando ait : « Etenim ne glorificatum quidem fuit quod glorificatum est in hac parte, propter eminentem gloriam [13]. » — « Verum ideo misericordiam adeptus sum. » Vide quam humiliter de se loquatur. Cum ego, inquit, salus factus sim qui cæteris omnibus magis peccaveram, non oportet posthac ambigere de salute. Vult enim ostendere quod salvus non sit factus, quia salute dignus esset, sed quod alii desperarent de sua salute. « Omnem clementiam. » O magnam Pauli modestiam ! Ad omne, inquit, genus malitiæ perveneram, omni clementia mihi opus erat, non parte ipsius, sicut iis qui in parte peccaverant. « Ad exprimendum exemplar. » Ad exemplum, ad consolationem, ad demonstrationem. « Ad vitam æternam. » Nam ad obtinendum vitam æternam, exsistit fides in Christum. « Regi autem sæculorum. » Hæc de sancta intellige Trinitate. Nam communes de Patre et Filio ac Spiritu sancto sunt hujusmodi appellationes. Contingit enim hæc alibi de Filio invenire, alibi de Spiritu, nunc autem de Patre. « Soli sapienti Deo. » Hæc ubi de Christi dilectione disseruit, etiam Patris meminit, et doxologiam ad eum dirigit, ne quis Patrem existimet expertem esse dilectionis erga nos. Sanctam siquidem Trinitatem glorificare convenit ob amorem erga nos, cum communis sit illis dilectio.

ΚΕΦΑΛ. Γ'.

Παραγγελία περὶ πιστῆς καὶ εὐσυνειδήτου διακονίας, ἧς ἄνευ κίνδυνος.

Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν, ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἣν τινες ἀπωσάμενοι, περὶ τὴν πίστιν ἐναυάγησαν. Ὧν ἐστιν Ὑμέναιος καὶ Ἀλέξανδρος, οὓς παρέδωκα τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν.

CAPUT III.

Præceptum de fide ac mysterio bonæ conscientiæ, qua deficiente imminet periculum.

2161 I, 18-20. *Hoc præceptum commendo tibi, fili Timothee, juxta eas quæ de te præcesserunt prophetias, ut milites in eis bonam militiam, habens fidem et bonam conscientiam : quam repellentes nonnulli, circa fidem naufragium fecerunt : quorum de numero sunt Hymenæus et Alexander, quos tradidi Satanæ, ut discant non blasphemare.*

« Ταύτην τὴν παραγγελίαν. » Δηλοῖ τῆς φυλακῆς τὸ ἀκριβές. « Παρατίθεμαί σοι. » Ὡς τέκνῳ, φησὶ, παραγγέλλω, οὐ κατά τινα ἐξουσίαν δεσπόταις πρέπουσαν. « Κατὰ τὰς προαγούσας. » Μεθ' ὑπερβατοῦ κεῖται. Ἡ γὰρ σύνταξις αὕτη· Ἵνα στρατεύῃ κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, τουτέστιν, ἵνα στρατεύῃ ἀξίως τῶν ἐπὶ σοὶ προφητειῶν. Κατὰ γὰρ Πνεύματος ἀποκάλυψιν, καὶ ᾑρέθη παρὰ τοῦ Παύλου εἰς μαθητήν, καὶ περιετμήθη, καὶ ἐπίσκοπος ἐχειροτονήθη. « Ἵνα στρατεύῃ. » Ὡς Χριστοῦ στρατιώτης μετὰ τῶν πνευματικῶν ὅλων τοῖς νοη-

« Hoc præceptum. » Significat observationis diligentiam. « Commendo tibi. » Tanquam filio, inquit, præcipio, non secundum aliquam autoritatem quæ dominis conveniat. « Juxta eas quæ præcesserunt. » Per hyperbaton id positum est. Est autem hic ordo : Ut milites juxta eas quæ de te præcesserunt prophetias, hoc est, ut apte milites, respondens prophetiis quæ de te fuerunt. Nam juxta Spiritus revelationem, et electus a Paulo in discipulum, et circumcisus est, et episcopus ordinatus est. « Ut milites. » Tanquam Christi miles cum spiritualibus

[11] Philipp. III, 6. [12] Rom. III, 23. [13] II Cor. III, 10.

pugnans omnibus modis adversus spirituales inimicos. « In eis. » Prophetiis videlicet : nam illæ te elegerunt. Propter quas ergo susceptus et a quibus electus es, in ipsis et per ipsas milita, id est, per ipsum Spiritum per quem sunt et prophetiæ. « Bonam militiam. » Est enim et mala militia de qua dicit : « Exhibuistis membra vestra arma immunditiæ et iniquitati[14]. » — « Habens fidem. » Oportet enim magistrum sui primum esse doctorem. Fidem autem dicit quæ est circa dogmata : conscientiam vero quæ circa conversationem est. « Quam repellentes nonnulli. » Quam, inquit, conscientiam, quæ est de recte vivendo. Ubi enim quis probe vixerit, etiam circa fidem, naufragium facit. **217** Siquidem ne terrore futurorum crucientur, suo animo persuadere nituntur mendacia esse quæcunque apud nos de resurrectione ac judicio dicuntur. « Tradidi Satanæ ut discant. » Cum Satanas seipsum non instruat, quomodo aliis bonam afferet doctrinam? Et dicimus quod sicut lictores innumeris pleni malis alios castigant, et instruunt ut modeste se gerant, ita et Satanas. Quando enim quis Satanæ traditur, ab aliorum communicatione separatur. Deinceps ergo dæmon acceptum hominem divino nudatum auxilio castigat et erudit : et hoc cedit ipsi ad modestiam. Quare autem Satanæ tradit[15], et non ipse castigat et erudit? Ut ostendat quod etiam possibile sit Satanæ imperare : et ut una cum supplicio ferant etiam contumeliam, nempe quod a Satana puniantur. Siquidem incredulos puniebant per seipsos apostoli : quemadmodum ipse Paulus Baricsum qui et Elymas, et Petrus Ananiam : ut ostenderent quod potentes essent : alios vero qui ab ipsis quidem eruditi fuerant, sed aversi erant, Satanæ tradebant. « Non blasphemare. « Hi enim nationibus humanis fidem interpellantes convertebantur ad blasphemandum : quod nunc patiuntur Nestoriani ac reliquæ hæreses.

CAPUT IV.

De oratione ut pro omnibus fiat, ut ubique pure sine ulla turbatione et religiose.

H, 1-4. *Adhortor igitur ut ante omnia fiant deprecationes, obsecrationes, interpellationes, gratiarum actiones pro omnibus hominibus, pro regibus et omnibus qui in eminentia sunt constituti : ut placidam ac quietam vitam degamus in omni pietate ac honestate. Nam hoc bonum est et acceptum coram Salvatore nostro Deo, qui cunctos homines vult salvos fieri et ad cognitionem veritatis venire.*

218 In quotidiano, inquit, cultu hoc ante aliorum mentionem sit. « Ut fiant deprecationes. » Deprecatio quidem est supplicatio pro remotione tristium oblata : obsecratio vero petitio bonorum. Interpellatio autem est ad accusationem nocentium. « Gratiarum actiones. » Oportet enim gratias agere pro bonis quæ mutuo inter nos fiunt. « Pro omnibus hominibus. » Cum enim episcopus communis

τοῖς ἐχθροῖς πολεμῶν. « Ἐν αὐταῖς. » Ταῖς προφητείαις, φησίν· ἐκεῖναι γὰρ εἶλοντό σε. Δι' ἃς οὖν ἠρέθης, καὶ ἐξ ὧν ἐπελέγης, ἐν αὐταῖς καὶ δι' αὐτῶν στρατεύων, διὰ τοῦ αὐτοῦ Πνεύματος, δι' οὗ καὶ αἱ προφητεῖαι. « Τὴν καλὴν στρατείαν. » Ἔνι γὰρ καὶ κακὴ στρατεία, περὶ ἧς φησιν· « Ὥσπερ παρεστήσατε τὰ μέλη ὑμῶν ὅπλα τῇ ἁμαρτίᾳ καὶ τῇ ἀκαθαρσίᾳ. » — « Ἔχων πίστιν. » Τὸν γὰρ διδάσκαλον χρὴ, ἑαυτοῦ πρῶτον εἶναι διδάσκαλον. Πίστιν δέ φησι τὴν περὶ τὰ δόγματα, συνείδησιν δὲ, τὴν περὶ τῆς πολιτείας. « Ἣν τινες ἀπωσάμενοι. » Ἣν τινα, φησὶ, συνείδησιν τὴν περὶ τὸ ὀρθῶς βιοῦν. Ὅταν γάρ τις ἀδοκίμως ζῇ, καὶ περὶ τὴν πίστιν ναυαγεῖ. Ἵνα γὰρ μὴ τῷ φόβῳ τῶν μελλόντων βασανίζωνται, σπουδάζουσι πείθειν τὴν ἑαυτῶν ψυχὴν ὅτι ψευδῆ πάντα τὰ παρ' ἡμῖν τά τε περὶ ἀναστάσεως καὶ κρίσεως. « Παρέδωκα τῷ Σατανᾷ, ἵνα παιδευθῶσι. » Ὁ ἑαυτὸν μὴ παιδεύων Σατανᾶς, πῶς τοῖς ἄλλοις γίνεται χρηστῆς παιδείας πρόξενος; Καί φαμεν, ὥσπερ οἱ δήμιοι μυρίων γέμοντες κακῶν, τοὺς ἄλλους σωφρονεῖν παιδεύουσιν, οὕτως καὶ ὁ Σατανᾶς. Παράδοσις γὰρ ὅταν γένηται τῷ Σατανᾷ, δι' ἀφορισμοῦ τῆς κοινωνίας γίνεται. Λοιπὸν παραλαβὼν ὁ δαίμων γυμνὸν τῆς τοῦ Θεοῦ βοηθείας τὸν ἄνθρωπον, παιδεύει. Καὶ τοῦτο γίνεται αὐτῷ πρὸς σωφρονισμόν. Διὰ τί δὲ τῷ Σατανᾷ παραδίδωσι, καὶ μὴ αὐτὸς παιδεύει; Ἵνα δείξῃ ὅτι καὶ τῷ Σατανᾷ ἐπιτάσσειν οἷόν τέ ἐστι, καὶ ἵνα μετὰ τῆς κολάσεως καὶ ὑβρίζωνται, τοῦ Σατανᾶ τιμωρουμένου. Τοὺς μὲν γὰρ ἀπίστους, δι' ἑαυτῶν ἐκόλαζον οἱ ἀπόστολοι, ὥσπερ τὸν Βαριησοῦν ὁ αὐτὸς Παῦλος καὶ τὸν Ἐλύμαν, καὶ ὁ Πέτρος τὸν Ἀνανίαν· ἵνα δείξωσιν ὅτι δύνανται. Τοὺς δὲ τούτοις μὲν μανθάνοντας, ἐκτραπέντας δὲ, τῷ Σατανᾷ παρεδίδουν. « Μὴ βλασφημεῖν. » Οὗτοι γὰρ λογισμοῖς ἀνθρωπίνοις τὴν πίστιν ὑποβάλλοντες, ἐξετράπησαν καὶ βλασφημεῖν, ὅπερ νῦν Νεστοριανοὶ πάσχουσι, καὶ αἱ λοιπαὶ αἱρέσεις.

ΚΕΦΑΛ. Δ'.

Περὶ εὐχῆς, ὅτι ὑπὲρ πάντων, ὅτι πανταχοῦ ἀκάκως, ἀταράχως, σεμνῶς.

Παρακαλῶ οὖν πρῶτον πάντων, ποιεῖσθαι δεήσεις, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων, ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἥρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον, ἐνώπιον τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

Ἐν τῇ καθημερινῇ λατρείᾳ, τοῦτο πρὸ τῆς τῶν ἄλλων μνήμης εἴη, φησί. « Ποιεῖσθαι δεήσεις. » Δέησις μὲν ἔστιν ἱκεσία ὑπὲρ ἀπαλλαγῆς λυπηρῶν προσφερομένη. Προσευχὴ δὲ, αἴτησις ἀγαθῶν. Ἔντευξις δὲ, κατηγορία τῶν ἀδικούντων. « Εὐχαριστίας. » Δεῖ γὰρ εὐχαριστεῖν ὑπὲρ τῶν εἰς ἀλλήλους γινομένων ἀγαθῶν. « Ὑπὲρ πάντων ἀνθρώπων. » Τὸν γὰρ ἐπίσκοπον, κοινὸν πατέρα ὄντα, χρὴ ὑπὲρ

[14] Rom. vi, 13. [15] Act. xiii, 9 seqq.

πάντων ἀνθρώπων εὔχεσθαι, πιστῶν, ἀπίστων, φίλων, ἐχθρῶν, ἐπηρεαζόντων, θλιβόντων. « Ὑπὲρ βασιλέων. » Εἶτα ἵνα μὴ κολακείας εἶναι τὸ πρᾶγμα ὑπολάβῃς, πρῶτον εἶπών, « Ὑπὲρ πάντων ἀνθρώπων· » οὕτως ἐπήγαγεν, « Ὑπὲρ βασιλέων καὶ τῶν ἐν ὑπεροχῇ. « Ἵνα ἥρεμον καὶ ἡσύχιον βίον. » Ἵνα μὴ ταράττηται ὁ Χριστιανὸς, τί δήποτε ἐν καιρῷ μυστηρίων μέμνηται βασιλέως, πολλάκις καὶ ἀπίστου ὄντος, δείκνυσιν ἡμῖν κέρδος ὂν τὴν ἐκείνων σωτηρίαν. Πῶς ἡμῶν τὸ κέρδος ἡ ἐκείνων σωτηρία; Πῶς; Ἂν γὰρ ἐκεῖνοι σώζωνται καὶ εὐδοκιμῶσιν ἐν τοῖς πρὸς ἐχθροὺς πολέμοις, ἡμεῖς ἐν ἡσυχίᾳ καὶ ἠρεμίᾳ διάξομεν, μηδενὸς ἡμᾶς ταράττοντος. Καὶ γὰρ ἦν ἄτοπον, αὐτοὺς μὲν ὑπὲρ τῆς κοινῆς σωτηρίας μοχθεῖν, ἡμᾶς δὲ, μηδὲ τὸ κατὰ δύναμιν ἀμυντήριον, τὴν εὐχὴν λέγω, ὑπὲρ αὐτῶν συνεισφέρειν. « Ἐν πάσῃ εὐσεβείᾳ. » Τρεῖς εἰσι πόλεμοι· εἷς ὁ ἐκ τῶν Βαρβάρων ἐπιφερόμενος· εἷς ὁ ἐκ τῶν ὁμοφύλων· τρίτος, ὃν ἡ ψυχὴ στασιάζει πρὸς τὸ σῶμα, ὁ καὶ πάντων χαλεπώτερος. Ὁ μὲν γὰρ ἐκ τῶν Βαρβάρων, θάνατον ἢ δουλείαν ἐπιφέρει μόνον. Τὸν δὲ ἐκ τῶν ὁμοφύλων, ἔστι καὶ δι' ἐπιεικείας ἐκφυγεῖν (« Ἀντὶ γὰρ τοῦ ἀγαπᾶν με, φησὶν, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην. » Καὶ, « Μετὰ τῶν μισούντων τὴν εἰρήνην, ἤμην εἰρηνικός »). Ὁ δὲ ἐν ἡμῖν αὐτοῖς, δυσκατόρθωτός ἐστι, καὶ τῇ ψυχῇ τὴν βλάβην ἐπιφέρει. Βούλεται οὖν ὑπὲρ βασιλέων εὔχεσθαι, ἵνα τε νικῶσι καὶ διαμένωσιν, εἰδὼς τὴν ἀπὸ τῶν Βαρβάρων εἰρήνην πολὺ συντελοῦσαν εἰς τὴν ἐν ἡμῖν αὐτοῖς εἰρήνην. Εἰ γὰρ δεῖ σχολάσαι καὶ γνῶναι Θεὸν, ἆρα σχολῆς καὶ ἡσυχίας χρεία εἰς ἐπίγνωσίν τε Θεοῦ καὶ ἀγαθοεργίας. Πῶς δ' ἂν οἱ πολέμοις ἐνεχόμενοι βαρβαρικοῖς, σχολάσαιεν; Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον, τὸ εὔχεσθαι ὑπὲρ πάντων ἀνθρώπων, καὶ Ἑλλήνων, ἵνα ἐπιστρέψωσιν. « Ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι. » Εἰ αὐτὸς, φησὶ, θέλει πάντας σωθῆναι, ὁ καὶ σώζων Κύριος, τίς χρεία ἐμῶν εὐχῶν; Ναί. Αὐτούς τε γὰρ ἐκείνους εἰς ἀγάπην ἕλκεις, καὶ τὸ φιλόστοργον δεικνύεις. Μιμοῦ, φησὶ, τὸν σκοπὸν τοῦ Θεοῦ. Αὐτὸς γὰρ πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ σὺ ὑπὲρ πάντων εὔχου ἀνθρώπων. « Καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. » Εἶπεν, « Εἰς ἐπίγνωσιν ἀληθείας, » λοιπὸν λέγει ποία ἡ ἐν δόγμασιν ἀλήθεια. Εἰ οὖν θέλει, φησὶν, ὁ Θεὸς, τί μὴ γίνεται ὃ θέλει; Οὐ γίνεται, ὅτι ἐκεῖνοι οὐ θέλουσιν. Οὐδὲν γὰρ πρὸς ἀνάγκην ποιεῖ ὁ Θεός.

A sit pater, debet pro omnibus hominibus precari, fidelibus et infidelibus, amicis et inimicis, calumniantibus et affligentibus. « Pro regibus. » Deinde ne adulatoriam esse rem suspiceris, primum dixit: « Pro omnibus hominibus; » et ita demum subjunxit: « Pro regibus et his qui sunt in eminentia constituti. » « Ut placidam ac quietam vitam degamus. » Ne in aliquo turbetur Christianus, quamobrem tempore mysteriorum meminerit regis cum frequenter sit infidelis, ostendit nostrum esse lucrum illorum salutem. Sed quomodo nostrum est lucrum illorum salus? Quomodo? Si enim illi serventur et egregie se gerant in bellis adversus hostes, nos quiete et placide degemus nullo turbante. Absurdum siquid esset ipsos pro communi salute defatigari, nos B autem, ne id quidem quod in nobis est auxilium (orationem dico) pro ipsis in unum conferre. « In omni pietate. » Tria sunt bella: unum quod a Barbaris infertur, alterum quod a contribulibus, et tertium quo anima dissidium habet adversus corpus, quod etiam longe omnium periculosissimum est: illud namque quod a Barbaris infertur, mortem tantum aut servitutem affert: quod autem a contribulibus, contingit etiam per benignitatem devitari. Ait enim: « Cum me diligere debuissent, detrahebant mihi, ego autem orabam [16]. » Et: « Cum his qui oderant pacem eram pacificus [17]. » Illud vero cum sit in nobis ipsis, difficillime confici potest, et animæ affert nocumentum. Vult ergo pro regibus fieri precationes ut vincant et permaneant: C sciens pacem quæ a Barbaris est, plurimum conferre ad pacem quæ in nobis esse debet. Nam si vacare oporteat Deumque cognoscere, certe otio et quiete opus est ad Dei et beneficiorum ipsius cognitionem. Quomodo ergo hi vacare poterunt qui bellis occupantur barbaricis? Nam hoc bonum est et acceptum, nempe precari pro omnibus hominibus, etiam Græcis, ut convertantur. **219** « Qui cunctos homines vult salvos fieri. » Si ipse (dices) qui Dominus est salvos faciens, vult omnes salvos fieri, quorsum ergo nostræ orationes? Utique necessariæ sunt. Nam et eos ipsos ad charitatem attrahis, et benevolentiam ostendis. Imitare, inquit, Dei propositum: ipse etenim vult omnes homines salvos fieri, et tu D pro universis precare hominibus. « Et ad cognitionem veritatis venire. » Dixit ad cognitionem veritatis, postea dicit quænam sit in dogmatis veritas. Si ergo Deus vult, quare non fit quod vult? Non fit, quia illi nolunt. Nihil enim ex necessitate facit in nobis Deus.

Εἷς γὰρ Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις, εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ καὶ ἀπόστολος. Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ.

II, 5-7. *Unus enim Deus, unus etiam conciliator Dei et hominum homo Christus Jesus, qui dedit semetipsum pretium redemptionis pro omnibus, testimonium temporibus suis, ad quod positus sum ego præco et apostolus. Veritatem dico in Christo, non mentior, doctor gentium per fidem et veritatem.*

« Εἷς γὰρ Θεὸς, εἷς καὶ μεσίτης. » Ὅρα, οὐκ εἶπε Δύο, ἀλλὰ, Εἷς καὶ εἷς, ταύτῃ τὴν πολυθεΐαν φεύγων. Ἐπεὶ οὖν ἔδει τὸν μεσιτεύειν μέλλοντα, ἀμφοτέρων

« Unus enim Deus, unus et conciliator. » Animadverte quod non dixerit, Duo, sed, Unus et unus, hoc modo deorum multiplicationem fugiens. Quo-

[16] Psal. cviii, 4. [17] Psal. cxix, 7.

niam ergo oportebat eum qui conciliator futurus esset, amborum esse participem, ut etiam conciliare posset, Filius Dei ante sæcula incarnatus advenit in duabus naturis, nempe in divinitate et humanitate exsistens: et in unica hypostasi post unionem, intellectus et adoratus. Nam si in nuda divinitate apparuisset nobis Unigenitus, non potuisset eum ferre creatura; quando neque Mosi faciem videre poterant filii Israel [18]. Quod autem ait: Unus Deus, non ad distinctionem Filii ponitur aut Spiritus. Absit! Sed propter illos qui non sunt, et tamen dicuntur dii. Quæritur autem quam ob causam Spiritus non meminerit. Quoniam de Græcis sermo erat, de ipsis namque dicebatur: « Et ad cognitionem veritatis venire. » Apud ipsos autem erat deorum multitudo: et ita dispensatorie cavit Spiritus facere mentionem, ne quo modo videretur deorum inducere multitudinem. Quia ubi cum fidelibus disserit, continue ejus meminit, frequenter etiam solius, nullam faciens mentionem Patris et Filii. « Homo Christus Jesus. » Quemadmodum erat homo, ita erat et Deus, inseparabiliter, inconfuse. **220** « Qui dedit semetipsum pretium redemptionis pro omnibus. » Etiam Græcis. Ipse siquidem pro omnibus mortuus est: tu autem non subduceris ut vel preceris pro omnibus. Animadverte autem quod ait: « Qui dedit semetipsum. » Nam hoc contra Arianos est qui dicunt quod nolens traditus sit. Quid est autem pretium redemptionis? Obnoxia erat natura ut periret, at ille semetipsum pro ipsa dedit. « Testimonium. » Hoc est, per testimonium sive martyrium factus est Filius redemptionis pretium: quod interpretans dicit nunc, quod pretium redemptionis vocet nunc martyrium, hoc est passionem. Venit enim testimonium ferens veritati: nam per ea quæ fecit testatus est quod esset Christus Filius Dei usque ad mortem. Siquidem ipse Patrem manifestavit, et verum dogma veramque vitam evangelicam ipse introduxit. « Temporibus suis. » Hoc est, quando recte se habebant homines ad fidem. Ita dicit Clemens septimo *Informationum* libro: « Temporibus suis. » Per testimonium, inquit, sive martyrium dedit semetipsum pretium redemptionis: hoc est, per passionem. Nam in ea testificatus est de bonitate Patris, quod ipse proprium dederit Filium: ipsi autem non quieverunt ab inimicitia quam adversus eum gerebant, sed et Filium crucifixerunt. Et quia ipse promissiones eis complere cupit, ipsi vero nolunt; factum dicit temporibus suis, hoc est præfiguratis et antea definitis a sancta ac beata Trinitate. « Ad quod positus sum ego. « Ad quod testimonium et passionem, ego positus ac definitus sum præco, ut ubique manifestum faciam crucis mysterium. Quoniam autem dicturus erat *doctor gentium*, incredibile autem videbatur quod idololatræ essent advocati ad salutem, ideo præmittit,

[18] Exod. xxxiv, 35; II Cor. iii, 13.

A μετέχειν, ἵνα καὶ μεσιτεῦσαι δυνηθῇ, ὁ Υἱὸς τοῦ Θεοῦ ὁ προαιώνιος Λόγος, σαρκωθεὶς παραγέγονεν, ἐκ δύο φύσεων, οἷον ἐκ θεότητος καὶ ἀνθρωπότητος ὑπάρχων, καὶ ἐν μιᾷ ὑποστάσει μετὰ τὴν ἕνωσιν νοούμενος καὶ προσκυνούμενος. Εἰ γὰρ γυμνῇ τῇ θεότητι ἐπεφάνη ἡμῖν ὁ Μονογενής, οὐκ ἂν ἤνεγκεν ἡ κτίσις αὐτὸν, ὅπου γε τὸ πρόσωπον Μωσέως ἰδεῖν οὐκ ἴσχυον οἱ υἱοὶ Ἰσραήλ. Τὸ δὲ, « Εἷς Θεὸς, » οὐ πρὸς ἀντιδιαστολὴν κεῖται τοῦ Υἱοῦ ἢ τοῦ Πνεύματος, ἄπαγε! ἀλλὰ πρὸς τοὺς οὐκ ὄντας, λεγομένους δὲ θεούς. Ζητεῖται δὲ διά τί τοῦ Πνεύματος οὐκ ἐμνήσθη. Ἐπειδὴ περὶ Ἑλλήνων ὁ λόγος ἦν. Περὶ αὐτῶν γὰρ τὸ, « Καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. » Παρ' αὐτῶν δὲ πολυθεΐα ἦν, καὶ ἐφυλάξατο οἰκονομικῶς τοῦ Πνεύματος μνησθῆναι, μή πως δόξῃ πολυθεΐαν εἰσ-
B ἄγειν. Ἐπεὶ ἔνθα πιστοῖς διαλέγεται, συνεχῶς αὐτοῦ μέμνηται, πολλάκις καὶ μόνου, μὴ φέρων μνήμην Πατρὸς καὶ Υἱοῦ. « Ἄνθρωπος Χριστὸς Ἰησοῦς. » Ὥσπερ ἦν ἄνθρωπος, οὕτως ἦν καὶ Θεὸς, ἀδιαιρέτως, ἀσυγχύτως. « Ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, » καὶ Ἑλλήνων. Ἐκεῖνος μὲν οὖν ἀπέθανεν ὑπὲρ πάντων, σὺ δὲ εὔξασθαι οὐκ ἀνέχῃ; Ὅρα δὲ τὸ, « Δοὺς ἑαυτόν. « Κατὰ Ἀρειανῶν γὰρ τοῦτο, τῶν λεγόντων, ὅτι ἄκων παρεδόθη. Τί δέ ἐστιν ἀντίλυ-
C τρον; Ἔνοχος ἦν ἡ φύσις, ὥστε ἀπολέσθαι, ἀλλ' ἀντ' ἐκείνης ἑαυτὸν ἔδωκε. « Τὸ μαρτύριον. » Τουτέστι, δι' οὗ τοῦ μαρτυρίου ἐγένετο ὁ Υἱὸς ἀντίλυτρον. Ὃ ἐφερμηνεύων, τοῦτό φησι νῦν, ὅτι ἀντίλυτρον τὸ μαρτύριον λέγει, τουτέστι τὸ πάθος. Ἦλθε γὰρ μαρτυρήσων τῇ ἀληθείᾳ. Ἐμαρτύρησε γὰρ δι' ὧν ἔπραττεν, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, μέχρι θανάτου. Καὶ γὰρ αὐτὸς τὸν Πατέρα ἐφανέρωσε, καὶ τὸ ἀληθὲς δόγμα καὶ τὸν ἀληθῆ καὶ ἀγγελικὸν βίον αὐτὸς εἰσηγήσατο. « Καιροῖς ἰδίοις, » φησί. Τουτέστιν, ὅτε ἐπιτηδείως εἶχον πρὸς τὴν πίστιν οἱ
D ἄνθρωποι. Οὕτως ὁ Κλήμης ἐν ζ' Ὑποτυπώσεων· « Καιροῖς ἰδίοις. » Διὰ τοῦ μαρτυρίου ἔδωκεν ἑαυτὸν, φησὶν, ἀντίλυτρον. Διὰ τοῦ μαρτυρίου, τουτέστι, τοῦ πάθους (ἐν αὐτῷ γὰρ ἐμαρτύρει τῇ τοῦ Πατρὸς ἀγαθότητι ὅτι αὐτὸς καὶ τὸν Υἱὸν ἔδωκεν. Αὐτοὶ δὲ τῆς πρὸς αὐτὸν ἔχθρας οὐκ ἐπαύσαντο, ἀλλὰ καὶ τὸν Υἱὸν ἐσταύρωσαν. Καὶ ὅτι αὐτὸς τὰς ἐπαγγελίας αὐτοῖς πληρῶσαι θέλει, αὐτοὶ δὲ οὐ βούλονται), τοῦ καιροῖς ἰδίοις, φησὶ, γενομένου, τουτέστι, προτετυπωμένοις καὶ προορισθεῖσιν ὑπὸ τῆς ἁγίας καὶ μακαρίας Τριάδος. « Εἰς ὃ ἐτέθην ἐγώ. » Εἰς δ μαρτύριον καὶ πάθος, ἐγὼ ἐτέθην καὶ ἀφωρίσθην κήρυξ, ἵνα πανταχοῦ καταφανῆ ποιήσω τὸν σταυρόν. Ἐπειδὴ δὲ ἔμελλε λέγειν, *διδάσκαλος ἐθνῶν*, ἄπιστον δὲ ἐδόκει εἰ προσεκλήθησαν οἱ εἰδωλολάτραι, προαναφωνεῖ· « Ἀλήθειαν λέγω, οὐ ψεύδομαι. » — « Διδάσκαλος ἐθνῶν. » Ἐπειδὴ ἔνι καὶ παρατρεχόντως κηρῦξαι, ἐπήγαγε, Διδάσκαλος. Οὐ γὰρ ἐκήρυξα μόνον, ἀλλὰ καὶ παραμένων ἐδίδασκον. Τοῦτο δὲ τὴν περὶ τὰ ἔθνη σπουδὴν τοῦ Θεοῦ ἐνδείκνυται. « Ἐν πίστει καὶ ἀληθείᾳ. » Ἐπειδὴ εἶπεν, Ἐν πίστει, ἵνα μή τις νομίσῃ, ὅτι ἀπάτῃ ἐστὶν, ἐπάγει, Ἐν ἀληθείᾳ. Οὐ κηρυσσω

ἐν συλλογισμοῖς καὶ πλοκαῖς ῥητορικαῖς, ἀλλ' ἐν πίστει. Τοῦτο γὰρ δεικνύει τοῦ κηρύγματος τὴν δύναμιν.

A Veritatem dico, non mentior. « Doctor gentium. » Quia contingit etiam prædicare prætercurrendo, subjunxit, Doctor : non solum enim prædicavi, sed et perseveranter docui. Hoc autem ostendit Dei studium erga gentes. « Per fidem et veritatem. » Quoniam dixit : Per fidem, ne quis existimet quod sit error, subjunxit : Per veritatem. Non prædico rationibus ac nexibus rhetoricis, sed per fidem. Nam hoc prædicationis vim ostendit.

Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίας χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. Ὡσαύτως καὶ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης, κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν δι' ἔργων ἀγαθῶν.

II, 8-10. *Volo igitur viros orare in omni loco, sustollentes pias manus absque* **221** *ira et disceptatione. Consimiliter et mulieres in amictu decenti cum pudore et castitate ornare seipsas, non tortis crinibus aut auro aut margaritis aut vestitu sumptuoso, sed quod decet mulieres, profitentes pietatem per opera bona.*

Πῶς οὖν, ὁ Χριστὸς ἐκώλυε τὸ φανερῶς εὔχεσθαι; « Σὺ γὰρ, φησὶν, εἰσελθε εἰς τὸ ταμιεῖόν σου. » Οὐδὲ ὁ Χριστὸς ἐκώλυε τὸ ἐν παντὶ τόπῳ εὔχεσθαι, ἀλλὰ τοῦτο εἶπεν, ἐκ περιουσίας ἀναιρῶν τὸ πρὸς ἐπίδειξιν εὔχεσθαι· ὥσπερ καὶ τὸ, « Μὴ γνώτω ἡ δεξιά σου τί ποιεῖ ἡ ἀριστερά σου, » οὐ περὶ χειρῶν φησιν, ἀλλ' ὅπως ἀκενοδόξως καὶ μὴ πρὸς ἐπίδειξιν εὐποιῶμεν. Οὐ γὰρ ὁ τόπος ἔχει διαφοράν, ἀλλὰ πανταχοῦ, τοῦ μὴ ἐπιδεικτικῶν ἐφρόντισε. Πρὸς τούτοις, καὶ τοῦτο δηλοῖ ὁ Ἀπόστολος· Οὐχ ὥσπερ τοῖς Ἰουδαίοις οὐκ ἐξῆν ἔξω τοῦ ναοῦ θύειν, οὕτως καὶ ἡμῖν εὔχεσθαι. Ἡμῖν γὰρ, φησὶ, πᾶς τόπος ἐπιτήδειος, μόνον εἰ ὁσίας αἴρωμεν χεῖρας, τουτέστι καθαράς· καθαρὰς δὲ ἁρπαγῆς, πλεονεξίας, φόνων, διὰ ἐλεημοσύνης καθαιρομένας. « Χωρὶς ὀργῆς. » Χωρὶς μνησικακίας, χωρὶς τοῦ ἐπαρᾶσθαί τινι. Τοῦτο γὰρ ὄντως ὀργὴ, τὸ μηδὲ εὐχόμενον σπείσασθαι πρὸς τὸν ἀδελφόν. « Καὶ διαλογισμοῦ. » Ἆρα ἀκούσεταί μου ὁ Θεός; Ἆρα μὴ ἁπλῶς καὶ μάτην εὔχομαι; Πεπεῖσθαι γὰρ χρὴ ὅτι εἰσακούσεται ὁ Θεὸς, εἰ τὰ αὐτῷ φίλα αἰτοῦμεν καθαροὶ ὄντες. « Ὡσαύτως καὶ τὰς γυναῖκας. » Τουτέστι, Βούλομαι ὁσίας αἴρειν χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. Πλέον τι ἀπαιτεῖ παρὰ τῶν γυναικῶν, τὸ ἐστολίσθαι κοσμίως. Τὸ δὲ, « Ἐν καταστολῇ, » δηλοῖ, τὸ πάντοθεν κεκαλῦφθαι. Κοσμίως φησὶ, μὴ περιέργως ὡς τέρψαι τοὺς ὁρῶντας. « Μετὰ αἰδοῦς καὶ εὐλαβείας. » Μὴ τοίνυν μιμοῦ τὰς ἑταιριζομένας, ἀναίσχυντον βλεπούσας καὶ πορνικόν. « Μὴ ἐν πλέγμασιν. » Μὴ γὰρ εἰς σκηνὴν ἐλήλυθας, φησίν. Ἦλθες δακρύσαι τὰς ἁμαρτίας σου. Οὐκ ἔστι δὲ σχῆμα ἱκέτιδος ἡ πολυτέλεια, οὔτε τὰς ἁμαρτίας πενθούσης ὁ κόμπος τοῦ περὶ σὲ κόσμου. Εἰ δὲ ταῦτα ἐκώλυσεν ἡ πλοῦτον ἐνδείκνυται, πολλῷ μᾶλλον τὰ περίεργα, οἷον ἐπιτρίμματα, ὑπογραφὰς ὀφθαλμῶν, διατεθρυμμένον βάδισμα, κατακεκλασμένην φωνὴν, ὄμμα ὑγρὸν καὶ περίεργον, ἀναβολὴν τοῦ χιτωνίσκου πορνικὴν, ζώνην περιεργοτέραν, ὑποδήματα ἀπηρτισμένα. Ἅπαντα γὰρ ταῦτα, διὰ τοῦ εἰπεῖν, « Ἐν καταστολῇ κοσμίῳ, » ἐξέβαλεν. « Ἐπαγγελλομέναις θεοσέβειαν. » Ἔστι γὰρ διὰ λόγων μόνων ἐπαγγέλλεσθαι θεοσέβειαν, τοῖς δὲ ἔργοις αὐτὴν ἀρνεῖσθαι. Εἶτα ἐπειδὴ τὰ ἔργα τῶν μέσων ἐστὶν, ἐπήγαγεν, Ἀγαθῶν.

Quomodo ergo Christus, prohibebat in publico B precari? ait enim : « Tu intra in cubiculum tuum [19]. » Neque Christus prohibuit in omni loco orare : sed illud dixit, ex abundanti cautione tollens ad ostentationem precari : quemadmodum et illud; « Nesciat sinistra tua quid agat dextera tua [19'], » non de manibus loquitur, sed ne ad inanem gloriam et ostentationem bona operemur. Non enim locus discrimen habet, sed ubique curam habuit ut abesset ostentatio. Ad hæc etiam hoc significat Apostolus : quod non, sicut Judæis non licebat extra templum sacrificia offerre, ita neque nobis orare. Nobis siquidem quivis locus aptus est, modo pias attollamus manus, id est puras : puras, inquam, a rapina, avaritia et cædibus, per eleemosynam purificatas. « Absque C ira. » Absque memoria injuriarum, ne quemquam exsecrentur. Nam illa vere ira est, ne, eum quidem qui precatur, parcere fratri. « Et disceptatione. » Intra semetipsos, Putasne audiet me Deus? putasne temere et vane precor? Persuasum enim esse oportet quod exaudiet Deus, si nos puri petamus quæ illi amica sunt. « Consimiliter et mulieres. » Puta volo ut pias attollant manus absque ira et disceptatione. Sed amplius quiddam a mulieribus requirit, ut decenter ornentur, sive modeste. Quod autem ait : « In amictu, » significat undique contectus esse debere. Nam καταστολὴν vocat habitum longiorem circumquaque tegentem. Decenter inquit, non curiose ut intuentes delectent. « Cum pudore et castitate. » Ne ergo imiteris eas quæ venereo D amore diliguntur, quæ impudice et meretricum more intuentur. « Non in tortis crinibus. » Non enim in theatrum inquit, venisti, sed ut peccata tua defleres : non est autem pretiositas supplex habitus, neque lugentis peccata est ornamenti in te arrogantia. Quod si hæc prohibuit quæ divitias tantum ostendunt : multo magis curiosa ac perversa, veluti sunt infectiones generum, picturæ oculorum, præfractus incessus, vox diffracta, oculus flexibilis ac curiosus, meretricius tuniculæ amictus; **222** zona curiosior, calcei distracti sive discissi. Nam hæc omnia rejicit in eo quod dixit : « In amictu decenti. » — « Profitentes pietatem. » Contingit enim solis verbis profiteri pietatem, operibus vero illam negare. Deinde quia opera, res quædam mediæ sunt et indifferentes, subjunxit, Bona.

[19] Matth. VI, 6. [19'] ibid. 3.

CAPUT V.

De præceptoribus quod viros esse oporteat, et non mulieres, propter naturam et affectum qui ex errore suboritur.

II, 11-15. *Mulier in silentio discat cum omni subjectione. Cæterum mulieri docere non permitto, neque autoritatem usurpare in virum, sed esse in silentio. Adam enim prior formatus est, deinde Eva: et Adam non fuit seductus, sed mulier seducta, facta est transgressioni obnoxia. Salva tamen fiet per liberorum generationem, si manserint in fide ac dilectione et sanctificatione cum castitate. Certus sermo.*

Non solum expetit honestas esse mulieres, sed et taciturnas ac subjectas. Siquidem per silentium significat subjectionem. « Cæterum mulieri docere non permitto. » Omnem loquacitatis occasionem a muliere abstulit. Quoniam enim tacere eas præcepit, ne rationabili docendi prætextu loquantur, Non doceant, inquit, non solum humana, sed neque spiritualia. Vetat autem eas in Ecclesia sive publica concione docere : neque enim modis omnibus docere eis interdixit. Siquidem permittit interim illis ut liberos suos doceant, quod in progressu dicit. « Neque autoritatem usurpare in virum. » Ipsum namque docere est autoritatem adversus virum usurpare. « Adam enim prior formatus est. » Quoniam ergo prior formatus est, ne usurpet autoritatem in virum, sed subjecta sit. « Adam non fuit seductus. » **223** Si ad deceptionem conferas qua mulier seducta fuit : imo neque seductio fuit, error ipsius Adam. Plurimum enim discriminis est a serpente seduci et a muliere accipere arboris fructum et edere. Unde neque in responsione asserit se fuisse seductum, sed « Mulier quam dedisti mihi in auxilium, dedit mihi et comedi [20] ; » tacite innuens quod neque audita consorte lapsus fuerat. « Non fuit seductus. » Adverte quod subaudiatur Prior, quod præcessit.

Alio quoque modo. Quomodo non fuit Adam seductus ? Quia neque Scriptura hoc dicit, sed mulier quidem ait : « Serpens decepit me. » Adam veronon dicit ; « Mulier decepit me ; sed, »Dedit mihi : Neque enim æqualia sunt persuasum esse a congenita ac consorte, et persuasum esse a fera, serva ac subjecta. Illud itaque fuit deceptionis. Sed neque Adam vidit lignum quod pulchrum esset ad edendum, sed mulier. « Mulier autem seducta. » Idque in hoc profert ne mulier doceat. Semel namque docuit mulier, inquit, et cuncta evertit, virumque inobedientiæ fecit obnoxium : auctor enim ipsi fuit et consuluit ut ederet. Ideo non dicit : Eva seducta ; sed, Mulier seducta, naturam quæ facile decipiatur significans. « Facta est transgressioni obnoxia. » Non sola Eva facta est transgressioni obnoxia, sed et universum mulierum sodalitium. Quemadmodum enim in Adam omnes morimur, ita in Eva uni-

[20] Gen. III, 12.

ΚΕΦΑΛ. Ε'.

Περὶ διδασκάλων, ὅτι ἄνδρας χρὴ, καὶ οὐ γυναῖκας εἶναι, διὰ τὴν φύσιν καὶ τὸ πάθος τὸ ἐξ ἀπάτης.

Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω, ἐν πάσῃ ὑποταγῇ. Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρὸς, ἀλλ' εἶναι ἐν ἡσυχίᾳ. Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα, καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν τῇ πίστει, καὶ ἀγάπῃ, καὶ ἁγιασμῷ μετὰ σωφροσύνης. Πιστὸς ὁ λόγος.

Οὐ μόνον κοσμίας ἀπαιτεῖ τὰς γυναῖκας εἶναι, ἀλλὰ καὶ σιγηρὰς καὶ ὑποτεταγμένας. Διὰ γὰρ τῆς σιγῆς, τὴν ὑποταγὴν σημαίνουσι. « Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω. » Πᾶσαν ἀφορμὴν λαλιᾶς ἀνεῖλε τῇ γυναικί. Ἐπειδὴ γὰρ σιγᾷν αὐταῖς παρήγγειλεν, ἵνα μὴ προφάσει εὐλόγῳ τοῦ διδάσκειν λαλοῖεν, Μηδὲ διδασκέτωσαν, φησὶ, μὴ μόνον ἀνθρώπινα, ἀλλὰ καὶ πνευματικά. Τὸ δὲ μὴ διδάσκειν ἀπηγόρευσεν ἐν ἐκκλησίᾳ. Οὐ γὰρ παντάπασιν αὐταῖς τὴν διδαχὴν ἀνεῖλε· τέως γὰρ αὐταῖς ἐπιτρέπει διδάσκειν αὐτὰς τὰ τέκνα, ὅπερ προϊὼν φησιν. « Οὐδὲ αὐθεντεῖν ἀνδρός. » Αὐτὸ γὰρ τὸ διδάσκειν, καταυθεντεῖν ἐστιν ἀνδρός. « Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη. » Ἐπεὶ οὖν ὁ Ἀδὰμ πρῶτος ἐπλάσθη, μὴ αὐθεντείτω τοῦ ἀνδρὸς ἡ γυνὴ, ἀλλ' ὑποτετάχθω. « Ἀδὰμ οὐκ ἠπατήθη. » Ὡς πρὸς τὴν σύγκρισιν τῆς ἀπάτης ἦν ἡ γυνὴ ἠπατήθη, οὐδὲ ἀπάτη ἐστὶν ἡ τοῦ Ἀδάμ. Πολὺ γὰρ τὸ μέσον παρὰ τοῦ ὄφεως ἀπατηθῆναι, καὶ παρὰ τῆς γυναικὸς δέξασθαι τοῦ ξύλου καὶ φαγεῖν. Ὅθεν ἀπολογούμενος, οὐδὲ ἠπατῆσθαί φησιν, ἀλλ' ὅτι « Ἡ γυνὴ ἣν ἔδωκάς μοι βοηθὸν, ἔδωκέ μοι καὶ ἔφαγον· » ῥῆμα δεικνὺς, ὡς οὐδὲ ἐσφάλη τῆς βοηθοῦ ἀκούσας. « Οὐκ ἠπατήθη. » Πρόσχες, συνυπακούεται, Πρῶτος.

Καὶ ἄλλως. Πῶς οὐκ ἠπατήθη ὁ Ἀδάμ; Ὅτι οὐδὲ ἡ Γραφὴ τοῦτο λέγει, ἀλλ' ἡ μὲν γυνὴ φησιν, ὅτι « Ὁ ὄφις ἠπάτησέ με. » Ὁ δὲ Ἀδὰμ, οὐ λέγει, ὅτι Ἡ γυνὴ ἠπάτησέ με, ἀλλ' ὅτι « Ἔδωκέ μοι. » Οὐκ ἔστι δὲ ἴσον τὸ πεισθῆναι ὁμογενεῖ καὶ βοηθῷ, καὶ τὸ πεισθῆναι θηρίῳ δούλῳ καὶ ὑποτεταγμένῳ. Ὥστε ἐκεῖνο ἀπάτης. Ἀλλ' οὐδὲ ὁ Ἀδὰμ εἶδε τὸ ξύλον ὅτι καλὸν εἰς βρῶσιν, ἀλλ' ἡ γυνή. « Ἡ δὲ γυνὴ ἀπατηθεῖσα. » Τοῦτο ὡς πρὸς τὸ μὴ διδάσκειν γυναῖκα. Ἅπαξ γὰρ, φησὶν, ἐδίδαξεν ἡ γυνὴ, καὶ πάντα ἀνέτρεψε, καὶ τῇ παρακοῇ ὑπεύθυνον ἐποίησε τὸν ἄνδρα· αὐτὴ γὰρ εἰσηγήσατο αὐτῷ τὸ φαγεῖν. Διὸ οὐκ εἶπεν· Ἡ Εὔα ἀπατηθεῖσα, ἀλλ', « Ἡ γυνὴ, » τὴν εὐεξαπάτητον φύσιν δηλῶν. « Ἐν παραβάσει γέγονε. » Ἐν παραβάσει γέγονεν οὐχ ἡ Εὔα μόνη, ἀλλ' ὅλη ἡ γυναικῶν σύστασις. Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκομεν, οὕτως ἐν τῇ Εὔᾳ πᾶσαι παρέβησαν. « Σωθήσεται δέ. » Ὁρᾷς ὅτι οὐ

περὶ τῆς Εὔας ἦν μόνης ὁ λόγος αὐτῷ, ἀλλὰ περὶ τοῦ κοινοῦ τῶν γυναικῶν συστήματος; « Σωθήσεται γάρ, φησὶ, διὰ τῆς τεκνογονίας, » οὐχ ἡ Εὔα μόνον, ἀλλὰ πᾶσα γυνή. *Τεκνογονίαν* δέ φησι, τὸ μὴ μόνον τεκεῖν, ἀλλὰ καὶ κατὰ Θεὸν ἀναγαγεῖν. Τί οὖν εἴποι τις, αἱ παρθένοι καὶ στεῖραι, καὶ ἄπαιδες καὶ χῆραι ἀπολώλασιν; Ἄπαγε! οὐ γὰρ τοῦτό φησιν, ὅτι ἐξ οἰκείας ἀρετῆς οὐ σωθήσονται· ἀλλ' ὅτι καὶ ἡ τεκνογονία ἔσται αὐταῖς πρόφασις σωτηρίας, ἐκείνου ὡμολογημένου, τοῦ ἐξ οἰκείας ἀρετῆς σώζεσθαι. « Ἐὰν μείνωσιν ἐν πίστει. » Ἐάν, φησὶ, στεφανίτας Χριστῷ θρέψῃ, καὶ ἐμμείνωσι τῇ ἀρετῇ. Τί οὖν εἰ αὐτὴ κακὴ ᾖ, ἀναθρέψει δὲ καλῶς; Ἀδύνατον μὲν τὴν κακὴν ἀναγαγεῖν καλῶς· πλὴν εἰ γένηται, μισθὸν ἕξει. Τί δὲ εἰ καλὴ οὖσα κακῶς ἀνάξει; Ἀπώνατο τῆς κακίας τῶν παίδων. Καὶ μάρτυς Ἠλεὶ ὁ ἱερεύς. « Πιστὸς ὁ λόγος. » Ὅτι δυνήσονται, φησὶν, οἱ πατέρες, συναπολαύειν τῆς ἀρετῆς τῶν παίδων.

A versæ prævaricatæ sunt. « Salva tamen fiet. » Vides quod non de sola Eva ipsi sermo erat, sed de communi mulierum sodalitio, ait enim: « Salva fiet per liberorum generationem, » non sola Eva, ed et quævis mulier. Vocat autem τεκνογονίαν non solum parere, verum etiam ad Deum introducere. Quid igitur? dicet aliquis, an pereunt virgines et steriles, quæque liberis carent ac viduæ? Minime! neque enim hoc dicit; quod sua virtute salvæ non fiant; sed, quod etiam liberorum generatio erit occasio salutis, cum hoc in confesso sit quod ex propria virtute salvæ fiant. « Si manserint in fide. » Si Christo athletas educaverint, et in virtute manserint. Quid ergo si ipsa mala fuerit, et bene educaverit? Fieri certe nequit ut quæ mala est bene B instruat; si tamen ita fiat, mercedem habebit. Quid autem si cum bona fuerit, male educet? Malitia fruetur filiorum. Testis est Eli sacerdos [21]. « Certus sermo, » nempe quod poterunt patres ac matres frui virtute filiorum.

ΚΕΦΑΛ. Ϛ'.

Περὶ ἀρετῆς ἐπισκόπων.

Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. Δεῖ οὖν τὸν ἐπίσκοπον, ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν· μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος

CAPUT VI.

224 *De virtute episcoporum.*

III, 1-4. *Si quis episcopi munus appetit, honestum opus desiderat. Oportet igitur episcopum irreprehensibilem esse, unius uxoris maritum, vigilantem, sobrium, modestum, hospitalem, aptum ad docendum, non vinolentum, non percussorem, non turpiter lucri avidum, sed æquum, alienum a pugnis, alienum ab avaritia: qui suæ domui bene præsit, qui liberos habeat in subjectione cum omni reverentia.*

Πρὸς Τιμόθεον γράφων, δείκνυσι καθολικῶς ὁποῖον εἶναι χρὴ τὸν ἐπίσκοπον. « Καλοῦ ἔργου ἐπιθυμεῖ. » Οὐκ ἐγκαλῶ, φησί. Καλοῦ ἔργου, τουτέστι, λειτουργίας καὶ προστασίας, ἐπιθυμεῖ, εἴ γε διὰ τὴν τῶν πολλῶν ὠφέλειαν, καὶ οὐ διὰ δόξαν ἐπιθυμεῖ. Ἐπίσκοπος γὰρ εἴρηται, διὰ τὸ ἐπισκοπεῖν ἅπαντας. Ἐπεὶ καὶ Μωϋσῆς ἐπεθύμησεν, ἀλλ' οὐ διὰ δόξαν, ἀλλὰ διὰ τὸ συμφέρον τοῖς πολλοῖς. « Ἀνεπίληπτον εἶναι. » Ἵνα μηδὲν ἑαυτῷ κακὸν σύνοιδεν. Εἰ γὰρ σύνοιδε, κακῶς ποιεῖ ἐπιθυμῶν ἐπισκοπῆς, ἧς διὰ τῶν ἔργων ἑαυτὸν ἠλλοτρίωσεν. « Μιᾶς γυναικὸς ἄνδρα. » Οὐ τοῦτο νομοθετεῖ, ὅτι ἀπὸ γυναικὸς εἶναι δεῖ πάντως τὸν ἐπίσκοπον, ἀλλ' εἰ γίνεται, φησὶν, ἀπὸ κοσμικῶν, μὴ εἷς δευτερόγαμος. Ἢ ὅτι μίαν ἰδέτω πρὸς μίξιν γυναῖκα τὴν νομικήν· πλὴν, ἵνα πρὸς ἐπισκοπὴν κληθεὶς, ἐκεῖνο πληροῖ· « Ἵνα οἱ ἔχοντες, φησὶ, γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι. » Καὶ, « Θέλω πάντας εἶναι ὡς κἀγώ, » φησὶν ὁ Παῦλος. Καὶ, « Ὁ γαμήσας, μεριμνᾷ τὰ τοῦ κόσμου. » Πῶς οὖν δίκαιον φροντίζειν κοσμικῶν πραγμάτων τὸν ἐπίσκοπον; Τινὲς δὲ περὶ Ἐκκλησίας τοῦτό φασιν αὐτὸν εἰρηκέναι, ἵνα μὴ μεταβῇ ἀπὸ ἄλλης εἰς ἄλλην· μοιχεία γὰρ τὸ πρᾶγμα. « Νηφάλιον. » Ἀγρυπνον, ὁρατικὸν, ζέοντα τῷ πνεύματι. « Διδακτικόν. » Τὴν γὰρ σωφροσύνην, καὶ τὴν κοσμιότητα, καὶ τὴν φιλοξενίαν κατὰ τοὺς ἀρχομένους ἔχειν χρή. Προσέθηκεν οὖν τὸ διδασκάλου ἴδιον, διδακτικὸν εἰπών.

C Ad Timotheum scribens, ostendit in genere qualem oporteat esse episcopum. « Honestum opus desiderat. » Non reprehendo, inquit. Honestum opus, nempe muneris ac præsidentiæ desiderat, modo plurium juvandorum gratia et non propter gloriam desideret. Episcopus enim sive speculator dictus est, quod universos speculetur et observet. Quoniam et Moyses cupivit, at non propter gloriam, sed propter utilitatem multis ferendam. « Irreprehensibilem esse. » Ut nullius mali sit sibi conscius; si enim sibi sit conscius, male facit cupiendo episcopi munus, a quo per opera scipsum fecit alienum. « Unius uxoris maritum. » Non statuit ut ab uxore pendeat episcopus, aut uxorem D necessario habeat; sed si fiat, inquit, e mundanis, non sit saltem bigamus. Aut quoad commistionem unicam noverit legitimam uxorem, ita tamen ut vocatus ad episcopi munus illud compleat: « Ut qui habent uxores sint tanquam non habeant; » et: « Volo omnes esse sicut et ego, » inquit Paulus [22]. « Qui uxorem duxit, curat quæ mundi sunt [23]. » Quomodo ergo æquum est ut mundana negotia curet episcopus? Quidam autem de Ecclesia aiunt hoc eum dixisse, ne ab una migret ad aliam, id enim adulterium est. « Vigilantem. » Insomnem, cuncta perspicientem, spiritu ferventem. « Aptum ad docendum. » Sobrietatem namque, modestiam

[21] I Reg. II-IV. [22] I Cor. VII, 7. [23] ibid, 33.

et hospitalitatem etiam ergo eos habere oportet quibus præest. Addidit ergo quod magistri proprium est, dicens. Aptum ad docendum. **225** « Non vinolentum. » Vinolentum sive πάροινον non dicit ebriosum : id enim nimis crassum esset, sed contumeliosum et præfractum. Rursum percussorem non eum dicit qui manibus cædit, sed qui fratrum percutit conscientiam. « Qui suæ domui bene præsit. » Nam qui unicæ domui præesse non novit, aut qui duos vel tres natura filios recte gubernare non potuit, quomodo Ecclesiæ tantoque populo convenienter præesse poterit ? Oportet enim ipsum afferre domestica quæ habet exempla.

A « Μὴ πάροινον. » *Πάροινον*, οὐ τὸν μέθυσον λέγει (πολὺ γὰρ ἦν τοῦτο παχὺ), ἀλλὰ τὸν ὑβριστὴν καὶ αὐθάδη. Πλήκτην πάλιν, οὐ τὸν ταῖς χερσὶ παίοντα, ἀλλὰ τὸν τὴν συνείδησιν πλήττοντα τῶν ἀδελφῶν. « Τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον. » Ὁ γὰρ ἑνὸς οἴκου προστῆναι μὴ εἰδὼς, ἢ τοὺς φύσει υἱοὺς δύο ἢ τρεῖς μὴ ἰσχύσας οἰκονομῆσαι καλῶς, πῶς Ἐκκλησίας καὶ λαοῦ τοσούτου προσταίη δεόντως ; Δεῖ γὰρ αὐτὸν οἴκοθεν ἔχοντα φέρειν τὰ παραδείγματα.

III, 5-7. *Quod si quis propriæ domui præesse non novit, quomodo Ecclesiam Dei curabit ? Non neophytum, ne inflatus in condemnationem incidat diaboli. Oportet autem illum et bonum habere testimonium ab extraneis, ne in probrum incidat et in laqueum diaboli.*

Εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς Ἐκκλησίας Θεοῦ ἐπιμελήσεται ; Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου. Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου.

Quam ob causam episcopis hæc crassa præcepit, ne ne vinolentus sit, ne percussor, sed æquus, aliaque hujusmodi ? cum discipulis præcipiat : « Mortificate membra vestra terrestria [24]. » Et : « Sunt nonnulli qui Christi carnem crucifixerunt [25]. » Ipse quoque Christus crucem tollere, et sese qui omnibus præcepit [26]. Cur enim non potius angelos eos esse præcepit, veluti ad sæcularium proportionem ? Et dicimus quia suprema virtus paucorum est : multos vero episcopos esse oportebat, ad singulas ecclesias singulos. Ne ergo rarum aut impossibile redderet munus episcoporum qui necessarii erant, mediocrem jubet virtutem, rem ipsam reddens accessu facilem. « Quomodo Ecclesiam Dei. » Ubi majora pluraque sunt negotia. « Non neophytum. » Quod ait νεόφυτον, non significat juvenem, sed recenter in fide instructum. Nam et Timotheus ipse ætate junior erat, cui dicit in sequentibus : « Nemo juventutem tuam despiciat » . Quem enim adhuc discipulum esse oporteret, si quis faciat præceptorem, inflatur et extollitur. « In condemnationem incidat diaboli. » In eamdem cum diabolo condemnationem, in quam ille ex arrogantia incidit. « Ab extraneis. » Extraneos dicit Græcos. Vide quantam adhibeat diligentiam. Quid autem si malus sit, bonum tamen habeat testimonium ? Id fieri non potest. Amabile est enim ut qui probatissimus est, testimonium ab ipsis quoque ferat inimicis. **226** Attamen hoc inter cætera expetit bona. Hoc enim, designat conjunctio, Et : Quid autem, si, cum bonus sit, circa vitam reprehendatur ? Illud quidem difficile est : verum si talis sit, ne fiat episcopus. Quod si ab extraneis, multo magis a fratribus bonum debet habere testimonium. « Ne in probrum incidat. » Qui malus fuerit, probrum ac contumeliam sustinebit. « Et in laqueum diaboli. » Nam si in aliquo malus fuerit, alium facile sibi addit laqueum. Nam si ex hoc quod probra patitur et injuria, ad peccata deflectit, in aliam incidit affectionem iræ et memoriæ injuriarum : nemo enim probrum ferre potest sic ut nulla tangatur ira.

B Τί δήποτε τοῖς ἐπισκόποις τὰ παχέα ταῦτα ἐπέταξε, Μὴ πάροινον, μὴ πλήκτην, ἀλλ' ἐπιεικῆ καὶ τὰ ὅμοια, ὁ τοῖς μαθηταῖς ἐπιτάσσων, « Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς · » καὶ, « Εἰσί τινες οἳ τὴν τοῦ Χριστοῦ σάρκα ἐσταύρωσαν ; » Καὶ ὁ Χριστὸς δὲ αἴρειν τὸν σταυρὸν καὶ ἀκολουθεῖν πᾶσιν ἐπέταξε. Διὰ τί γὰρ μὴ ἀγγέλους αὐτοὺς εἶναι ἐπέταξεν, ὡς πρὸς τὴν τῶν λαϊκῶν ἀναλογίαν ; Καί φαμεν, ὅτι ἡ ὑπέρτατος ἀρετὴ, ὀλίγων ἐστίν. Ἐπισκόπων δὲ πολλῶν ἦν χρεία καθ' ἑκάστην ἐκκλησίαν εἶναι ὀφειλόντων. Ἵνα οὖν μὴ σπάνιον ἢ ἀδύνατον ποιήσῃ τὸ τῶν ἐπισκόπων, χρειωδῶν ὄντων, τὴν μέσην ἐπιτάσσει ἀρετὴν, εὐπρόσιτον ποιῶν τὸ πρᾶγμα. « Πῶς Ἐκκλησίαν Θεοῦ ; » Ὅπου καὶ μείζω, φησὶ, καὶ πλείω τὰ πράγματα. « Μὴ νεόφυτον. » Οὐ τὸν νεώτερον λέγει, ἀλλὰ τὸν νεοκατήχητον. Ἐπεὶ καὶ αὐτὸς νεώτερος ἦν ὁ Τιμόθεος. « Μηδείς γάρ σου τῆς νεότητος καταφρονείτω, » προτῶν φησι. Τὸν γὰρ ἔτι μαθητὴν εἶναι ὀφείλοντα εἴ τις διδάσκαλον ποιήσει, φυσᾶται καὶ ἐπαίρεται. « Εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου. » Εἰς τὴν αὐτὴν, φησὶ, τῷ διαβόλῳ καταδίκην, εἰς ἣν ἐξ ἀπονοίας ἔπεσεν ἐκεῖνος. « Ἀπὸ τῶν ἔξωθεν. » Ἔξωθεν, τῶν Ἑλλήνων φησίν. Ὅρα τὴν ἀκρίβειαν. Τί οὖν εἰ κακός ἐστιν, ἔχει δὲ μαρτυρίαν καλήν ; Τοῦτο ἀδύνατον. Ἀγαπητὸν γὰρ τὸν ὀρθότατον μαρτυρεῖσθαι ὑπὸ τῶν ἐχθρῶν. Πλὴν τοῦτο μετὰ τῶν ἄλλων ἀπαιτεῖ καλῶν · ὁ γὰρ, καὶ, σύνδεσμος δηλοῖ. Τί δὲ εἰ καλὸς ὢν λοιδορεῖται περὶ τὸν βίον ; Δυσχερὲς μὲν, πλὴν ὁ τοιοῦτος μὴ γινέσθω ἐπίσκοπος. Εἰ δὲ ἀπὸ τῶν ἔξωθεν, πολλῷ μᾶλλον ἀπὸ τῶν ἀδελφῶν. « Ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ. » Μέλλει κακὸς ὢν ὀνειδίζεσθαι καὶ ὑβρίζεσθαι. « Καὶ παγίδα τοῦ διαβόλου. » Εἰ γὰρ ᾖ, φησὶ, κατά τι κακὸς, καὶ ἄλλην αὐτῷ εὐχερῶς τίθησι παγίδα. Εἰ γὰρ ἐκ τοῦ ὀνειδίζεσθαι καὶ ὑβρίζεσθαι εἰς ἁμαρτίας ἐκτρέπεται, ἐμπίπτει εἰς ἕτερον πάθος τῆς ὀργῆς καὶ τῆς μνησικακίας · οὐδεὶς γὰρ ἀοργητὶ φέρειν ὀνειδισμὸν δύναται.

III, 8-10. *Diaconos itidem compositos, non bilin-*

Διακόνους ὡσαύτως σεμνοὺς, μὴ διλόγους,

[24] Coloss. III, 5. [25] Galat. V, 24. [26] Matth. XVI, 14.

μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς, ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει. Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν, ἀνέγκλητοι ὄντες.

Τί δήποτε τοὺς πρεσβυτέρους παρέλιπεν; Ὅτι ἀνέμιξεν αὐτοὺς τοῖς ἐπισκόποις. Ἃ γὰρ περὶ ἐπισκόπων εἶπε, ταῦτα καὶ περὶ πρεσβυτέρων ἁρμόζει. Ὁμοίως γὰρ καὶ αὐτοὶ ἱερεῖς τέ εἰσι καὶ διδασκαλίαν εἰσὶ πεπιστευμένοι. « Μὴ διλόγους. » Οἷον, ὑπούλους καὶ δολερούς. « Μὴ οἴνῳ πολλῷ. » Οὐκεῖπε· Μὴ μεθύσους (τοῦτο γὰρ πολὺ παχὺ ἦν), ἀλλά, Μὴ πότας. Κἂν γὰρ, φησὶ, μὴ μεθύσκωνται, χαυνοῦσι μέντοι τῆς καρδίας τὸν τόνον. « Ἐν καθαρᾷ συνειδήσει. » Πίστιν ἀπαιτεῖ καὶ βίον. « Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν. » Ὥσπερ, φησὶν, οἱ ἐπίσκοποι, ἵνα μὴ ὦσι νεόφυτοι.

Γυναῖκας ὡσαύτως σεμνὰς, μὴ διαβόλους, νηφαλίους, πιστὰς ἐν πᾶσι. Διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι, καὶ τῶν ἰδίων οἴκων. Οἱ γὰρ καλῶς διακονήσαντες, βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται, καὶ πολλὴν παῤῥησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ. Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρός σε τάχιον· ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας.

Γυναῖκας, οὐ τὰς οἱασδήποτε λέγει, ἀλλὰ τὰς διακόνους. Τί γὰρ ἐβούλετο μεταξὺ τῶν ἐν τῷ κλήρῳ, τῶν οἱωνδήποτε γυναικῶν ἐπιμνησθῆναι; « Μὴ διαβόλους. » Ὃ εἶπεν ἄνω, Διλόγους. « Νηφαλίους. » Εὐαπάτητον γὰρ τὸ τῶν γυναικῶν γένος. Δεῖ οὖν νήφειν καὶ ἀγρυπνεῖν. Ὅσῳ γὰρ εὐχείρωτοι ταῖς ἀπάταις εἰσὶ, τοσούτῳ νήψεως χρῄζουσι. « Πιστὰς ἐν πᾶσι. » Ἐν πίστει καὶ βίῳ. « Μιᾶς γυναικὸς ἄνδρες. » Ὁρᾷς πῶς τὰ αὐτὰ καὶ παρὰ διακόνων ἀπαιτεῖ, ἃ παρὰ ἐπισκόπων; Ταῦτα δὲ καὶ περὶ διακονισσῶν δεῖ δέχεσθαι. « Τέκνων καλῶς προϊστάμενοι. » Πανταχοῦ τοῦτο τίθησι, βουλόμενος οἴκοθεν αὐτοὺς φέρειν τὸν ἔλεγχον. « Οἱ γὰρ καλῶς διακονήσαντες. » Οἱ ἐν τοῖς κάτω πεῖραν ἑαυτῶν δεδωκότες χρηστὴν, ταχέως εἰς προκοπὴν καὶ παῤῥησίαν ἐλεύσονται τὴν ἐπὶ τοῦ Χριστοῦ. « Καὶ πολλὴν παῤῥησίαν. » Τίς δὲ σχοίη παῤῥησίαν ἐν τῇ τοῦ Χριστοῦ πίστει, εἰ μὴ ὁ μετὰ τῆς πίστεως καὶ ὀρθῶς βιούς; « Ταῦτά σοι γράφω. » Ἵνα μὴ τὸ περὶ τούτων διατάσσεσθαι, εἰς ἀθυμίαν ἐμβάλῃ τὸν Τιμόθεον τοῦ μηκέτι τὸν Παῦλον παραγενέσθαι, ὅρα τί φησιν· « Ἐὰν δὲ βραδύνω. » Ἐπειδὴ Πνεύματι ἦγετο, καὶ οὐκ ἠπίστατο ποῦ κελεύεται ὑπὸ τοῦ Πνεύματος ἀπελθεῖν, διὰ τοῦτο ἀεὶ ἀμφιβάλλει. « Ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος. » Ὅστις οἶκος, Ἐκκλησία ἐστὶ Θεοῦ ζῶντος· οὐχ ὡς ὁ Ἰουδαϊκὸς ναὸς, ἀλλὰ στῦλός ἐστι καὶ ἑδραίωμα, τουτέστι, βεβαίωσις τῆς ἀληθείας. Ὁ γὰρ ναὸς, φησὶ, τῶν τύπων τῆς ἀληθείας ἦν ἑδραίωμα. Καλῶς δὲ τὸ, « Θεοῦ ζῶντος. » Μὴ γάρ, φησὶ, πρόσχῃς ὅτι ἐξ ἀνθρώπων πληροῦται· Θεῷ διαφέρει, καὶ αὐτῷ ἀνάκειται, καὶ αὐτὸν ἔνοικον ἔχει.

gues, non multo vino deditos, non turpiter lucri avidos ; tenentes mysterium fidei cum pura conscientia. Atque hi probentur prius, deinde ministrent, sic ut nemo possit illos criminari.

Quam ob causam presbyteros prætermisit ? Quia episcopis ipsos permiscuit. Nam quæ dixit de episcopis, hæc etiam aptat presbyteris : siquidem et ipsi similiter sunt sacerdotes, et docendi munus sibi concreditum habent. « Non bilingues. » Hoc est, non dolosos ac fraudulentos. « Non multo vino deditos. » Non dixit : Non ebriosos, (nam jd admodum crassum esset,) sed, Non bibitores Quanquam enim non inebrientur inquit, tamen emolliuntur a cordis robore. « Cum pura conscientia. » Fidem requirit et vitam. « Atque hi probentur. » Quemadmodum et episcopi, ut non sint neophyti sive novitii.

III, 11-13. *Mulieres similiter modestas, non calumniosas, vigilantes, fidas in omnibus. Diaconi sint unius uxoris mariti, qui liberis recte præsint et propriis familiis. Nam qui bene ministraverint, gradum sibi bonum acquirunt, et multam libertatem in fide quæ est in Christo Jesu. Hæc tibi scribo, sperans fore ut veniam ad te cito ; quod si tardius venero, ut noris quomodo oporteat in domo Dei versari, quæ est Ecclesia Dei viventis, columna et stabilimentum veritatis.*

227 Mulieres dicit non quaslibet, sed quæ ministrant. Nam quid sibi vellet, si inter ea quæ cleri sunt, mentionem faceret de quibusvis mulieribus ? « Non calumniosas. » Quod superius dixit : Bilingues. « Vigilantes. » Nam facile decipitur mulierum genus. Oportet ergo diligentes esse ac vigilare. Quanto enim facilius deceptionibus capiuntur, tanto majori egent vigilantia. « Fidas in omnibus. » In fide et vita. « Unius uxoris mariti. » Vides quo pacto eadem a diaconis expetat, quæ ab episcopis ? Hæc autem etiam accipi oportet de mulieribus quæ ministrant. « Qui liberis bene præsint. » Ubique hoc ponit, volens eos domesticam afferre probationem. « Nam qui bene ministraverint. » Qui in inferioribus sui bonum dederint experimentum, facile ad promotionem venient et libertatem quæ est in Christo. « Et multam libertatem. » Quis autem posset habere libertatem in fide Christi, nisi cum fide rectaque vita ? « Hæc tibi scribo. » Ne propterea quod hæc scriberet, spem abjiceret Timotheus de propinquo Pauli adventu, vide quid dicat : « Quod si tardius venero. » Quoniam Spiritu ducebatur, neque noverat quo juberetur a Spiritu ut abiret, ideo semper hæsitat. « Quæ est ecclesia Dei viventis. » Quæ domus, est Ecclesia Dei viventis : non sicut Judaicum templum, sed columna est et stabilimentum, hoc est, firmamentum veritatis. Templum enim, inquit, typicum erat veritatis stabilimentum. Et bene, ait, « Dei viventis. » Neque enim advertas, inquit, quod hominibus repleatur : nam per Deum excellit, et ipsi exstruitur, ipsumque habet inhabitatorem.

CAPUT VII.

De divina incarnatione.

III, 16. *Et citra controversiam magnum est pietatis mysterium. Deus manifestatus est in carne, justificatus est in spiritu, visus est angelis, prædicatus est gentibus, fides illi habita est in mundo, assumptus est in gloria.*

228 « Citra controversiam. » Nemo enim de hoc ambigit. Et magnum est, et mysterium est, et pietatis mysterium est fides quæ in nobis est, nec ullam habet hæsitationem. Videsne gradus? « Deus manifestatus est in carne, » et cæt. Deinde dicit mysterium. Ille enim qui in carne hominibus manifestatus est, hic non ab humanis oculis justus judicatus est, sed oculis Spiritus, qui scrutantur etiam profunda Dei [27]. Dicit autem : Justificatus est, propter carnem. Quatenus enim Deus est, non justificatur, sed justificat. Hoc et propheta dicebat : « Qui peccatum non fecit, neque dolus inventus est in ore ejus [28]. » Divus Cyrillus duodecimo capite *Scholiorum* ait : *Qui manifestatus est in carne, justificatus est in spiritu :* nullo enim modo nostris infirmitatibus fuit obnoxius. « Visus est ab angelis. » Siquidem non ignoraverunt generationem ipsius secundum carnem. — « Justificatus est in spiritu. » Et qua justificatione justificatus est is qui est ipsa justitia et redemptio, Sol justitiæ juxta Malachiam [29]? quod significat sincerissimam ac purissimam justitiam. Complementum videlicet legalium justificationum, de quibus Joanni dicebat : « Sine modo, sic enim decet nos complere omnem justitiam [30]. » Quoniam enim de baptismatis præceperat lex, venit ad Jordanem ut hanc compleret : quemadmodum videlicet circumcisionem et oblationes de primogenitis. Quid autem sibi vult quod ait : « In spiritu? » Spiritu servitutis constrictus erat Israel per punientem legem, non enim habuit spiritum adoptionis, nam hic Christianis datus est, quemadmodum dicit Paulus : « Quæ sursum est Jerusalem libera est, quæ est mater omnium nostrum [31]. » Dicit ergo : Quamquam legales complevit justificationes, attamen non spiritu servitutis, (Quomodo enim id faceret qui alios quoque liberos reddit?) sed Spiritu sancto, qui est spiritus adoptionis, quem accepit juxta humanitatem, nobis donum hoc concilians legitimus Filius et ejusdem substantiæ cum Spiritu, et non sibi ipsi. Quemadmodum videlicet etiam precabatur, nostras preces reddens acceptabiles : et templum vocabat suum corpus [32], qui hoc agebat ut nos templa Dei efficeremur. Etenim qui juxta Evangelium justi sunt, vere spirituales sunt, **229** longe iis præeminentiores qui olim in lege justificabantur.

Alio modo. « Justificatus est in spiritu. » Hoc est, spiritualiter et non juxta legem. Siquidem etiam cum legalia complebat præcepta, non juxta legem ea complebat, sed spiritualiter. Aut quia licet carnalibus et gravibus corde non videbatur

ΚΕΦΑΛ. Ζ'.

Περὶ θείας σαρκώσεως.

Καὶ ὁμολογουμένως, μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ.

« Ομολογουμένως. » Οὐ γάρ τις ἀμφιβάλλει περὶ τούτου. Καὶ μέγα ἐστὶ, καὶ μυστήριόν ἐστι, καὶ εὐσεβείας ἐστὶ μυστήριον ἡ καθ' ἡμᾶς πίστις, καὶ οὔτε ἀμφισβητήσιμον ἔχει τι. Ὁρᾷς ἀναβαθμούς; « Θεὸς ἐφανερώθη ἐν σαρκί. » Εἶτα λέγει τὸ μυστήριον. Ἐκεῖνος γὰρ ὁ ἐν σαρκὶ τοῖς ἀνθρώποις φανερωθεὶς, οὗτος οὐ παρὰ ἀνθρωπίνοις ὀφθαλμοῖς δίκαιος ἐκρίθη, ἀλλὰ τοῖς τοῦ Πνεύματος ὀφθαλμοῖς, τοῖς ἐρευνῶσι καὶ τὰ βάθη τοῦ Θεοῦ. Τὸ δὲ, Ἐδικαιώθη διὰ τὴν σάρκα. Καθὸ γάρ ἐστι Θεὸς, οὐ δικαιοῦται, ἀλλὰ δικαιοῖ. Τοῦτο καὶ ὁ προφήτης ἔλεγεν, « Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. » Ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῷ δωδεκάτῳ κεφαλαίῳ τῶν *Σχολίων* φησίν· *Ὃς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι.* Κατ' οὐδένα γὰρ τρόπον, ταῖς ἡμετέραις ἀσθενείαις ἦλω. « Ὤφθη ἀγγέλοις. » Οὐ γὰρ ἠγνόησαν τὴν κατὰ σάρκα αὐτοῦ γέννησιν. — « Ἐδικαιώθη ἐν πνεύματι. » [ΟΙΚΟΥΜ.] Καὶ ποίαν ἐδικαιώθη δικαιοσύνην ἡ αὐτοδικαιοσύνη καὶ ἀπολύτρωσις, ὁ τῆς δικαιοσύνης Ἥλιος κατὰ τὸν Μαλαχίαν; ὅ δηλοῖ τὴν ἀκραιφνεστάτην καὶ καθαρωτάτην δικαιοσύνην, τὴν ἐκπλήρωσιν δηλονότι τῶν νομικῶν δικαιωμάτων· περὶ ὧν τῷ Ἰωάννῃ ἔλεγεν· « Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην. » Ἐπειδὴ γὰρ καὶ περὶ βαπτισμάτων ἐνετείλατο ὁ νόμος, ἦλθεν ἐν Ἰορδάνῃ καὶ τοῦτον πληρῶσαι, ὥσπερ ἀμέλει τὴν περιτομὴν καὶ τὰς ὑπὲρ τῶν πρωτοτοκίων προσφοράς. Τί δὲ βούλεται τὸ, « Ἐν πνεύματι; » Πνεύματι δουλείας ἦν κατεσφιγμένος ὁ Ἰσραὴλ, διὰ τοῦ κολάζοντος νόμου. Οὐ γὰρ εἶχε τὸ πνεῦμα τῆς υἱοθεσίας· τοῦτο γὰρ Χριστιανοῖς δεδώρηται, καθώς φησι καὶ Παῦλος· « Ἡ δὲ ἄνω Ἰερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. » Λέγει οὖν, Εἰ καὶ τὰς νομικὰς ἐπλήρου δικαιοσύνας, ἀλλ' οὐ τῷ τῆς δουλείας πνεύματι (πῶς γὰρ, ὁ καὶ τοὺς ἄλλους ἐλευθερῶν;), ἀλλὰ τῷ ἁγίῳ Πνεύματι τῷ τῆς υἱοθεσίας, ὅπερ ἔλαβε κατὰ τὸ ἀνθρώπινον, ἡμῖν τὸ δῶρον προξενῶν ὁ γνήσιος Υἱὸς, καὶ ὁμοούσιος τῷ Πνεύματι, καὶ οὐχ ἑαυτῷ. Ὥσπερ ἀμέλει καὶ ηὔξατο, τὰς ἡμῶν εὐχὰς εὐπροσδέκτους ποιῶν, καὶ ναὸν τὸ οἰκεῖον ἐκάλει σῶμα, ναοὺς ἡμᾶς Θεοῦ γενέσθαι προξενῶν. Καὶ γὰρ καὶ οἱ κατὰ τὸ Εὐαγγέλιον δίκαιοι, ὄντως πνευματικοὶ, πολλῷ τῶν ἐν νόμῳ δικαιουμένων πάλαι ὑπερέχοντες.

Ἄλλως. « Ἐδικαιώθη ἐν πνεύματι. » Ἀντὶ τοῦ, πνευματικῶς ἐδικαιώθη, ἀλλ' οὐ νομικῶς. Καὶ γὰρ καὶ τὰς νομικὰς πληρῶν ἐντολὰς, οὐ νομικῶς αὐτὰς, ἀλλὰ πνευματικῶς ἐξεπλήρωσεν. Ἢ ὅτι εἰ καὶ τοῖς σαρκικοῖς καὶ βαρυκαρδίοις οὐκ ἐδόκει δεδικαιῶσθαι (ἔλεγον γὰρ,

[27] I Cor. II, 10. [28] Isa. LIII, 9. [29] Malach. IV, 2. [30] Matth. III, 15. [31] Galat. IV, 26. [32] Joan. II, 19.

« Φάγος καὶ οἰνοπότης. »), ἀλλὰ τοῖς ἐν Πνεύματι Θεοῦ στηριζομένοις δεδικαίωται. « Καὶ ἐθεασάμεθα γὰρ τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς, » καὶ ἐξῆς. « Ὤφθη ἀγγέλοις. » (Ὦ μυστήριον! Μεθ' ἡμῶν εἶδον οἱ ἄγγελοι τὸν Χριστὸν, πρότερον οὐχ ὁρῶντες.) Οὐχ ὡς τοῖς ἀνθρώποις. Οὕτως ὁ Κλήμης ἐν τῷ ἑβδόμῳ τῶν Ὑποτυπώσεων. « Ἐπιστεύθη ἐν κόσμῳ. » Ὄντως μέγα τὸ μυστήριον. Πανταχοῦ γὰρ τῆς οἰκουμένης ἐπιστεύθη. « Ἀνελήφθη ἐν δόξῃ. » Διηκόνουν γὰρ αὐτῷ ἀναλαμβανομένῳ οἱ ἄγγελοι ἐπὶ τῶν νεφελῶν. Διὰ τοῦτό φησιν, « Ἐν δόξῃ, » ὅτι καὶ αὐτὸ τὸ ἀναλῃφθῆναι, ἔνδοξόν ἐστι.

Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις, καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς, καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν· ὅτι πᾶν κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον, μετὰ εὐχαριστίας λαμβανόμενον. Ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.

« Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει. » Τουτέστι, σαφῶς, φανερῶς. Μὴ θαυμάσῃς δὲ, φησὶν, εἰ νῦν ἀπὸ τῆς πίστεως ἀποστάντες τινὲς, Ἰουδαΐζουσιν. Ἔσται γὰρ φησὶ, καιρὸς ὅτε καὶ μᾶλλον ἡ πίστις πλατυνθήσεται, ἐν ᾧ καὶ χείρονα ποιήσουσιν, οὐ μέχρι βρωμάτων παρατηρούμενοι, ἀλλὰ καὶ γάμων, καὶ τῶν λοιπῶν. « Προσέχοντες πνεύμασι πλάνοις. » Ἐὰν γὰρ τῆς πίστεως ἀποστῇ τις, πάντα λοιπὸν ὄψεται τὰ χαλεπά. Λοιπὸν γὰρ ἀνάγκη πνεύμασιν ἀκαθάρτοις καὶ δαίμοσι προσέχειν, πλανῶσιν ἀπὸ τῆς ὀρθότητος τὸν ἄνθρωπον. « Καὶ διδασκαλίαι; δαιμονίων. » Διὰ τούτων πᾶσαν αἵρεσιν ἐδήλωσε, μάλιστα δὲ Μανιχαίους, Ἐγκρατιστὰς, Μαρκιωνιστάς. « Ἐν ὑποκρίσει, » τουτέστιν, ἐπιτηδεύσει. Δείκνυσιν δὲ ὅτι εἰδότες ὅτι ψευδὴς αὐτῶν ἡ ἐπιτήδευσις τῶν δογμάτων, ἐπιτηδεύουσι τὸ ψευδολογεῖν. Ψευδολόγων δέ φησι, τῶν κεκαυτηριασμένων τὴν συνείδησιν ἀπὸ πονηροῦ βίου· τουτέστι, πονηροῦ βίου εἰσί. Καὶ ἐπειδὴ συνοίδασιν ἑαυτοῖς ἀκαθαρσίαν πολλὴν, διὰ τοῦτο τὸ συνειδὸς αὐτῶν ἀνεξαλείπτους ἔχει τοὺς καυτῆρας τοῦ ῥυπαροῦ βίου. Ὄντως γὰρ οἱ τοιοῦτοι δέει τῶν ἀντιδόσεων, διαστρέφουσι τὰ ἀληθῆ δόγματα, πάντα πείθοντες αὐτοὺς εἶναι ἢ μόνον Θεὸν κρ[illegible] ἀνάστασιν, ἀπόληψιν καλῶν καὶ κακῶν. « [illegible]ν γαμεῖν. » Τί οὖν; οἱ Χριστιανοὶ οὐ κωλύ[illegible] γαμεῖν; Μὴ γένοιτο. « Τίμιος γὰρ ὁ γάμος [illegible]αὶ ἡ κοίτη ἀμίαντος. » Ἀλλὰ τοὺς μὴ βουλομ[illegible]ους γαμεῖν, ἐπὶ παρθενίαν προτρέπουσιν. [illegible] δὲ κωλύοντες γαμεῖν, ὡς ἀκαθάρτου κωλύου[illegible] « Ἀπέχεσθαι βρωμάτων. Οὐκ ἔστι σφάλμα [illegible]λιγραφικὸν τὸ, « Ἀπέχεσθαι βρωμάτων, » ὡς τοῖς ἔδοξεν, οὐδὲ παράλειμμα [illegible]λικὸν, ἀλλὰ [illegible]ρθῶς εἰς τὴν Ἀθλίδα

A justificatus esse. Dicebant enim : « Vorax est et vini potator [33], » attamen his qui Spiritu confirmati erant justificatus est : « Nam vidimus gloriam ejus, gloriam tanquam Unigeniti a Patre [34]. »—« Visus est ab angelis. » (O mysterium! Nobiscum viderunt angeli Christum, cum prius non vidissent·) Non sicut ab hominibus. Ita habet Clemens septimo *Informationum*. « Fides illi habita est in mundo. » Vere magnum mysterium. Ubique enim terrarum creditum est. « Assumptus est in gloria. » Ipsi namque dum assumeretur ministrabant angeli in nubibus. Propter hoc dicit : « In gloria, » quia et ipsum assumi, gloriosum est.

B IV, 1-5. *Spiritus autem aperte dicit, quod in posterioribus temporibus discedent quidam a fide, attendentes spiritibus impostoribus ac doctrinis dæmoniorum, in simulatione falsa loquentium, cauterio notatam habentium conscientiam, prohibentium contrahere matrimonium, abstinere a cibis quos Deus creavit ad participandum cum gratiarum actione fidelibus, et iis qui cognoverunt veritatem, quod quidquid creavit Deus bonum sit, et nihil rejiciendum, si cum gratiarum actione sumatur : sanctificatur enim per verbum Dei et orationem.*

«Spiritus aperte dicit.» Ῥητῶς enim idem significat quod *palam*, *manifeste*. Ne autem admireris, inquit, si nunc quidam a fide discedentes Judaismum sequantur. Erit enim tempus, quando etiam magis dispersa erit fides, in quo etiam pejora facient : non in ciborum duntaxat observationibus, sed et C conjugiorum ac cæterarum rerum. « Attendentes spiritibus impostoribus. » Nam si quis semel a fide discedat, omnia deinceps sequetur periculosa. Necesse est enim deinceps ut impuris spiritibus animum attendat, ac dæmonibus hominem a recto seducentibus. « Ac doctrinis dæmoniorum. » **230** Omnem hæresim per hæc significavit, maxime autem Manichæorum, Encratistarum (id est, Continentium) et Marcionistarum. « In simulatione : » hoc est, data opera. Ostendit autem quod cum sciant falsum esse commentum suorum dogmatum, affectant falsa loqui. Falsa loquentium vero, inquit, cauterio notatam habentium conscientiam, a mala vita, hoc est, pravæ vitæ sunt : et quia sibi conscii sunt de multa immunditia, ideo conscientia ipsoD rum indelebiles habet sordidæ vitæ insuturas. Vere enim qui tales sunt, metu retributionum pervertunt vera dogmata, quidvis sibi persuadentes potius quam solum Deum justum esse judicem, resurrectionem, ac retributionem bonorum et malorum. « Prohibentium contrahere matrimonium. » Quid ergo? annon et Christiani prohibent contrahere matrimonium? Nequaquam. « Honorabile est enim conjugium et cubile impollutum [35]; » sed eos qui contrahere nolunt hortantur ad virginitatem : qui autem contrahere prohibent, tanquam a re impura arcent. « Abstinere a cibis. » Non est error aut

[33] Matth. xi, [illegible] [34] Joan. i, 14. [35] Hebr. xiii, 4.

CAPUT VII.

De divina incarnatione.

III, 16. *Et citra controversiam magnum est pietatis mysterium. Deus manifestatus est in carne, justificatus est in spiritu, visus est angelis, prædicatus est gentibus, fides illi habita est in mundo, assumptus est in gloria.*

228 « Citra controversiam. » Nemo enim de hoc ambigit. Et magnum est, et mysterium est, et pietatis mysterium est fides quæ in nobis est, nec ullam habet hæsitationem. Videsne gradus? « Deus manifestatus est in carne, » et cæt. Deinde dicit mysterium. Ille enim qui in carne hominibus manifestatus est, hic non ab humanis oculis justus judicatus est, sed oculis Spiritus, qui scrutantur etiam profunda Dei [27]. Dicit autem : Justificatus est, propter carnem. Quatenus enim Deus est, non justificatur, sed justificat. Hoc et propheta dicebat : « Qui peccatum non fecit, neque dolus inventus est in ore ejus [28]. » Divus Cyrillus duodecimo capite *Scholiorum* ait : *Qui manifestatus est in carne, justificatus est in spiritu :* nullo enim modo nostris infirmitatibus fuit obnoxius. « Visus est ab angelis. » Siquidem non ignoraverunt generationem ipsius secundum carnem. — « Justificatus est in spiritu. » Et qua justificatione justificatus est is qui est ipsa justitia et redemptio, Sol justitiæ juxta Malachiam [29]? quod significat sincerissimam ac purissimam justitiam. Complementum videlicet legalium justificationum, de quibus Joanni dicebat : « Sine modo, sic enim decet nos complere omnem justitiam [30]. » Quoniam enim de baptismatis præceperat lex, venit ad Jordanem ut hanc compleret : quemadmodum videlicet circumcisionem et oblationes de primogenitis. Quid autem sibi vult quod ait : « In spiritu? » Spiritu servitutis constrictus erat Israel per punientem legem, non enim habuit spiritum adoptionis, nam hic Christianis datus est, quemadmodum dicit Paulus : « Quæ sursum est Jerusalem libera est, quæ est mater omnium nostrum [31]. » Dicit ergo : Quanquam legales complevit justificationes, attamen non spiritu servitutis, (Quomodo enim id faceret qui alios quoque liberos reddit?) sed Spiritu sancto, qui est spiritus adoptionis, quem accepit juxta humanitatem, nobis donum hoc concilians legitimus Filius et ejusdem substantiæ cum Spiritu, et non sibi ipsi. Quemadmodum videlicet etiam precabatur, nostras preces reddens acceptabiles : et templum vocabat suum corpus [32], qui hoc agebat ut nos templa Dei efficeremur. Etenim qui juxta Evangelium justi sunt, vere spirituales sunt, **229** longe iis præeminentiores qui olim in lege justificabantur.

Alio modo. « Justificatus est in spiritu. » Hoc est, spiritualiter et non juxta legem. Siquidem etiam cum legalia complebat præcepta, non juxta legem ea complebat, sed spiritualiter. Aut quia licet carnalibus et gravibus corde non videbatur

ΚΕΦΑΛ. Ζ'.

Περὶ θείας σαρκώσεως.

Καὶ ὁμολογουμένως, μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ.

« Ομολογουμένως. » Οὐ γάρ τις ἀμφιβάλλει περὶ τούτου. Καὶ μέγα ἐστὶ, καὶ μυστήριόν ἐστι, καὶ εὐσεβείας ἐστὶ μυστήριον ἡ καθ' ἡμᾶς πίστις, καὶ οὔτε ἀμφισβητήσιμον ἔχει τι. Ὁρᾷς ἀναβαθμούς; « Θεὸς ἐφανερώθη ἐν σαρκί. » Εἶτα λέγει τὸ μυστήριον. Ἐκεῖνος γὰρ ὁ ἐν σαρκὶ τοῖς ἀνθρώποις φανερωθεὶς, οὗτος οὐ παρὰ ἀνθρωπίνοις ὀφθαλμοῖς δίκαιος ἐκρίθη, ἀλλὰ τοῖς τοῦ Πνεύματος ὀφθαλμοῖς, τοῖς ἐρευνῶσι καὶ τὰ βάθη τοῦ Θεοῦ. Τὸ δὲ, Ἐδικαιώθη, διὰ τὴν σάρκα. Καθὸ γάρ ἐστι Θεὸς, οὐ δικαιοῦται, ἀλλὰ δικαιοῖ. Τοῦτο καὶ ὁ προφήτης ἔλεγεν, « Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. » Ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῷ δωδεκάτῳ κεφαλαίῳ τῶν *Σχολίων* φησίν· *Ὃς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι.* Κατ' οὐδένα γὰρ τρόπον, ταῖς ἡμετέραις ἀσθενείαις ἦλω. « Ὤφθη ἀγγέλοις. » Οὐ γὰρ ἠγνόησαν τὴν κατὰ σάρκα αὐτοῦ γέννησιν. — « Ἐδικαιώθη ἐν πνεύματι. » [Οἰκουμ.] Καὶ ποίαν ἐδικαιώθη δικαιοσύνην ἡ αὐτοδικαιοσύνη καὶ ἀπολύτρωσις, ὁ τῆς δικαιοσύνης Ἥλιος κατὰ τὸν Μαλαχίαν; ὅ δηλοῖ τὴν ἀκραιφνεστάτην καὶ καθαρωτάτην δικαιοσύνην, τὴν ἐκπλήρωσιν δηλονότι τῶν νομικῶν δικαιωμάτων· περὶ ὧν τῷ Ἰωάννῃ ἔλεγεν· « Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην. » Ἐπειδὴ γὰρ καὶ περὶ βαπτισμάτων ἐνετείλατο ὁ νόμος, ἦλθεν ἐν Ἰορδάνῃ καὶ τοῦτον πληρῶσαι, ὥσπερ ἀμέλει τὴν περιτομήν, καὶ τὰς ὑπὲρ τῶν πρωτοτοκίων προσφοράς. Τί δὲ βούλεται τὸ, « Ἐν πνεύματι; » Πνεύματι δουλείας ἦν κατεσφιγμένος ὁ Ἰσραὴλ, διὰ τοῦ κολάζοντος νόμου. Οὐ γὰρ εἶχε τὸ πνεῦμα τῆς υἱοθεσίας· τοῦτο γὰρ Χριστιανοῖς δεδώρηται, καθώς φησι καὶ Παῦλος· « Ἡ δὲ ἄνω Ἰερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. » Λέγει οὖν, Εἰ καὶ τὰς νομικὰς ἐπλήρου δικαιοσύνας, ἀλλ' οὐ τῷ τῆς δουλείας πνεύματι (πῶς γὰρ, ὁ καὶ τοὺς ἄλλους ἐλευθερῶν;), ἀλλὰ τῷ ἁγίῳ Πνεύματι τῷ τῆς υἱοθεσίας, ὅπερ ἔλαβε κατὰ τὸ ἀνθρώπινον, ἡμῖν τὸ δῶρον προξενῶν ὁ γνήσιος Υἱὸς, καὶ ὁμοούσιος τῷ Πνεύματι, καὶ οὐχ ἑαυτῷ. Ὥσπερ ἀμέλει καὶ ηὔξατο, τὰς ἡμῶν εὐχὰς εὐπροσδέκτους ποιῶν, καὶ ναὸν τὸ οἰκεῖον ἐκάλει σῶμα, ναοὺς ἡμᾶς Θεοῦ γενέσθαι προξενῶν. Καὶ γὰρ καὶ οἱ κατὰ τὸ Εὐαγγέλιον δίκαιοι, ὄντως πνευματικοὶ, πολλῷ τῶν ἐν νόμῳ δικαιουμένων πάλαι ὑπερέχοντες.

Ἄλλως. « Ἐδικαιώθη ἐν πνεύματι. » Ἀντὶ τοῦ, πνευματικῶς ἐδικαιώθη, ἀλλ' οὐ νομικῶς. Καὶ γὰρ καὶ τὰς νομικὰς πληρῶν ἐντολὰς, οὐ νομικῶς αὐτὰς, ἀλλὰ πνευματικῶς ἐξεπλήρωσεν. Ἢ ὅτι εἰ καὶ τοῖς σαρκικοῖς καὶ βαρυκαρδίοις οὐκ ἐδόκει δεδικαιῶσθαι (ἔλεγον γὰρ,

[27] I Cor. II, 10. [28] Isa. LIII, 9. [29] Malach. IV, 2. [30] Matth. III, 15. [31] Galat. IV, 26. [32] Joan. II, 19.

« Φάγος καὶ οἰνοπότης. »), ἀλλὰ τοῖς ἐν Πνεύματι Θεοῦ στηριζομένοις δεδικαίωται. « Καὶ ἐθεασάμεθα γὰρ τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς, » καὶ ἐξῆς. « Ὤφθη ἀγγέλοις. » (Ὦ μυστήριον! Μεθ' ἡμῶν εἶδον οἱ ἄγγελοι τὸν Χριστὸν, πρότερον οὐχ ὁρῶντες.) Οὐχ ὡς τοῖς ἀνθρώποις. Οὕτως ὁ Κλήμης ἐν τῷ ἑβδόμῳ τῶν *Ὑποτυπώσεων*. « Ἐπιστεύθη ἐν κόσμῳ. » Ὄντως μέγα τὸ μυστήριον. Πανταχοῦ γὰρ τῆς οἰκουμένης ἐπιστεύθη. « Ἀνελήφθη ἐν δόξῃ. » Διηκόνουν γὰρ αὐτῷ ἀναλαμβανομένῳ οἱ ἄγγελοι ἐπὶ τῶν νεφελῶν. Διὰ τοῦτό φησιν, « Ἐν δόξῃ, » ὅτι καὶ αὐτὸ τὸ ἀναληφθῆναι, ἔνδοξόν ἐστι.

Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις, καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς, καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν· ὅτι πᾶν κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον, μετὰ εὐχαριστίας λαμβανόμενον. Ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.

« Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει. » Τουτέστι, σαφῶς, φανερῶς. Μὴ θαυμάσῃς δὲ, φησὶν, εἰ νῦν ἀπὸ τῆς πίστεως ἀποστάντες τινὲς, Ἰουδαΐζουσιν. Ἔσται γὰρ φησὶ, καιρὸς ὅτε καὶ μᾶλλον ἡ πίστις πλατυνθήσεται, ἐν ᾧ καὶ χείρονα ποιήσουσιν, οὐ μέχρι βρωμάτων παρατηρούμενοι, ἀλλὰ καὶ γάμων, καὶ τῶν λοιπῶν. « Προσέχοντες πνεύμασι πλάνοις. » Ἐὰν γὰρ τῆς πίστεως ἀποστῇ τις, πάντα λοιπὸν ἕψεται τὰ χαλεπά. Λοιπὸν γὰρ ἀνάγκη πνεύμασιν ἀκαθάρτοις καὶ δαίμοσι προσέχειν, πλανῶσιν ἀπὸ τῆς ὀρθότητος τὸν ἄνθρωπον. « Καὶ διδασκαλίαι; δαιμονίων. » Διὰ τούτων πᾶσαν αἵρεσιν ἐδήλωσε, μάλιστα δὲ Μανιχαίους, Ἐγκρατιστὰς, Μαρκιωνιστάς. « Ἐν ὑποκρίσει, » τουτέστιν, ἐπιτηδεύσει. Δείκνυσιν δὲ ὅτι εἰδότες ὅτι ψευδὴς αὐτῶν ἡ ἐπιτήδευσις τῶν δογμάτων, ἐπιτηδεύουσι τὸ ψευδολογεῖν. Ψευδολόγων δέ φησι, τῶν κεκαυτηριασμένων τὴν συνείδησιν ἀπὸ πονηροῦ βίου· τουτέστι, πονηροῦ βίου εἰσί. Καὶ ἐπειδὴ συνοίδασιν ἑαυτοῖς ἀκαθαρσίαν πολλὴν, διὰ τοῦτο τὸ συνειδὸς αὐτῶν ἀνεξαλείπτους ἔχει τοὺς καυτῆρας τοῦ ῥυπαροῦ βίου. Ὄντως γὰρ οἱ τοιοῦτοι δέει τῶν ἀντιδόσεων, διαστρέφουσι τὰ ἀληθῆ δόγματα, πάντα πείθοντες αὐτοὺς εἶναι ἢ μόνον Θεὸν κριτὴν δίκαιον, ἀνάστασιν, ἀπόληψιν καλῶν καὶ κακῶν. « Κωλυόντων γαμεῖν. » Τί οὖν; οἱ Χριστιανοὶ οὐ κωλύουσι γαμεῖν; Μὴ γένοιτο. « Τίμιος γὰρ ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος. » Ἀλλὰ τοὺς μὴ βουλομένους γαμεῖν, ἐπὶ παρθενίαν προτρέπουσιν. Οἱ δὲ κωλύοντες γαμεῖν, ὡς ἐξ ἀκαθάρτου κωλύουσιν. « Ἀπέχεσθαι βρωμάτων. » Οὐκ ἔστι σφάλμα καλλιγραφικὸν τὸ, « Ἀπέχεσθαι βρωμάτων, » ὡς ἐνίοις ἔδοξεν, οὐδὲ παράγραμμα ἀποστολικὸν, ἀλλὰ καὶ ὀρθῶς εἰς τὴν Ἀθίδα

justificatus esse. Dicebant enim : « Vorax est et vini potator [33], » attamen his qui Spiritu confirmati erant justificatus est : « Nam vidimus gloriam ejus, gloriam tanquam Unigeniti a Patre [34]. » — « Visus est ab angelis. » (O mysterium! Nobiscum viderunt angeli Christum, cum prius non vidissent·) Non sicut ab hominibus. Ita habet Clemens septimo *Informationum*. « Fides illi habita est in mundo. » Vere magnum mysterium. Ubique enim terrarum creditum est. « Assumptus est in gloria. » Ipsi namque dum assumeretur ministrabant angeli in nubibus. Propter hoc dicit : « In gloria, » quia et ipsum assumi, gloriosum est.

IV, 1-5. *Spiritus autem aperte dicit, quod in posterioribus temporibus discedent quidam a fide, attendentes spiritibus impostoribus ac doctrinis dæmoniorum, in simulatione falsa loquentium, cauterio notatam habentium conscientiam, prohibentium contrahere matrimonium, abstinere a cibis quos Deus creavit ad participandum cum gratiarum actione fidelibus, et iis qui cognoverunt veritatem, quod quidquid creavit Deus bonum sit, et nihil rejiciendum, si cum gratiarum actione sumatur : sanctificatur enim per verbum Dei et orationem.*

« Spiritus aperte dicit. » Ῥητῶς enim idem significat quod *palam*, *manifeste*. Ne autem admireris, inquit, si nunc quidam a fide discedentes Judaismum sequantur. Erit enim tempus, quando etiam magis dispersa erit fides, in quo etiam pejora facient : non in ciborum duntaxat observationibus, sed et conjugiorum ac cæterarum rerum. « Attendentes spiritibus impostoribus. » Nam si quis semel a fide discedat, omnia deinceps sequetur periculosa. Necesse est enim deinceps ut impuris spiritibus animum attendat, ac dæmonibus hominem a recto seducentibus. « Ac doctrinis dæmoniorum. » **230** Omnem hæresim per hæc significavit, maxime autem Manichæorum, Encratistarum (id est, Continentium) et Marcionistarum. « In simulatione : » hoc est, data opera. Ostendit autem quod cum sciant falsum esse commentum suorum dogmatum, affectant falsa loqui. Falsa loquentium vero, inquit, cauterio notatam habentium conscientiam, a mala vita, hoc est, pravæ vitæ sunt : et quia sibi conscii sunt de multa immunditia, ideo conscientia ipsorum indelebiles habet sordidæ vitæ inusturas. Vere enim qui tales sunt, metu retributionum pervertunt vera dogmata, quidvis sibi persuadentes potius quam solum Deum justum esse judicem, resurrectionem, ac retributionem bonorum et malorum. « Prohibentium contrahere matrimonium. » Quid ergo? annon et Christiani prohibent contrahere matrimonium? Nequaquam. « Honorabile est enim conjugium et cubile impollutum [35] ; » sed eos qui contrahere nolunt hortantur ad virginitatem : qui autem contrahere prohibent, tanquam a re impura arcent. « Abstinere a cibis. » Non est error aut

[33] Matth. xi, 19. [34] Joan. i, 14. [35] Hebr. xiii, 4.

lapsus a venustate sermonis quod ait : Abstinere a cibis, ut quibusdam visum est, neque apostoli negligentia : sed recte ad Atticum etiam usum expressus est sermo. Quemadmodum cum dicitur : Ἐκώλυσεν αὐτὸν μὴ ποιεῖν τὰ ἄτοπα, id est, prohibuit cum ne perpetraret absurda, non significatur quod ad absurditatem eum exhortatus est, et cum dicitur : ἀπέτρεπεν αὐτὸν μὴ προσκρούειν φίλοις, id est, deterruit eum ne resisteret amicis, non innuitur quod hortatus sit ad resistendum amicis, sed contrarium potius. Rursum cum dicitur : Ἐκώλυσε μὴ κλέπτειν, id est, prohibuit non furari, non significatur quod adhortatus sit ad furtum. Præterea cum dicitur : Ἐκώλυσεν ἀπέχεσθαι ἀῤῥητοποιίας, id est, prohibuit a nefandis abstinere, hoc est abegit a tali actione. Ita etiam, ἐκώλυον ἀπέχεσθαι βρωμάτων, id est, prohibebant abstinere a cibis, hoc est prohibebant a cibis. Apud externos quoque scriptores multum est horum usus. « Ad participandum cum gratiarum actione. » Vide quomodo delicias abjecerit nomine participationis? Participatio enim mediocrem acceptionem significat. Ipsas tamen delicias non ut rem immundam abjecit, sed quod animæ impedimento sint per immoderantiam et veluti diruptionem. Fidelibus, inquit, Deus cibos creavit ad participandum gratias agendo. Infidelibus enim non ita : nam hi propriis legibus seipsos ab eis arcent. **231** « Et iis qui cognoverunt veritatem. » Judaica sane erant figura : nunc enim est veritas. Multa autem illis prohibita sunt, non quod impura essent, sed ut a deliciis compescerentur. Veritatem vero dicit fidem quæ in Christum est. « Quod omnis creatura Dei bona sit. » De esculentis loquitur. Et jam illorum quoque sectam diruit, qui materiam ingenitam asserebant, ac cibos illius esse dicebant. « Et nihil rejiciendum. » Itaque neque idolothytum rejiciendum est, modo cum oratione sumatur, si ignores : quoniam ex lege reus efficeris quæ præcipit ne immundus reddaris mensis idolorum : ex transgressione ergo legis immundus redditur : quemadmodum etiam quod omnino purum est, si sine gratiarum actione sumatur, immundum redditur propter voluntariam tuam ingratitudinem. « Sanctificatur enim per sermonem Dei quia immundum erat? Nequaquam! nam omnia eos qui cibos aliquos immundos esse dicebant : nihilque immundum est : quod si quis etiam admittendo donet aliquid esse immundum, accedit hoc etiam modo pharmacum, inquit : sanctificatur enim per sermonem Dei, hoc est, per orationem. Ponitur autem ordine præpostero : nam intelligitur sic : Per sermonem et orationem quæ sit ad Deum.

A συνήθειαν διαπεφρασμένον. Ὥσπερ τὸ, *Ἐκώλυσεν αὐτὸν μὴ ποιεῖν τὰ ἄτοπα*, οὐ λέγει ὡς εἰς ἀτοπίαν αὐτὸν προὔτρεπεν· καὶ τὸ, *Ἀπέτρεπεν αὐτὸν μὴ προσκρούειν φίλοις*, οὐχὶ φίλοις προσκρούειν, ἀλλὰ τοὐναντίον. Καὶ πάλιν, *Ἐκώλυσε μὴ κλέπτειν*, οὐχ ὅτι ἐπέτρεπε τὴν κλοπήν. Καὶ, *Ἐκώλυσεν ἀπέχεσθαι ἀῤῥητοποιίας*, ἀντὶ τοῦ, Ἀπῆγεν ἀπὸ τῆς τοιαύτης πράξεως. Οὕτως καὶ, *Ἐκώλυον ἀπέχεσθαι βρωμάτων*, ἀντὶ τοῦ, Ἐκώλυον ἀπὸ τῆς βρώσεως. Πολλὴ δὲ καὶ παρὰ τοῖς ἔξω ἡ χρῆσις. « Εἰς μετάληψιν μετὰ εὐχαριστίας. » Ὅρα πῶς ἐξέβαλε τὴν τρυφὴν τῷ ὀνόματι τῆς μεταλήψεως. Ἡ γὰρ μετάληψις, τὴν μεμετρημένην λῆψιν δηλοῖ. Καὶ αὐτὴν δὲ τὴν τρυφήν, οὐχ ὡς ἀκάθαρτον ἐξέβαλλεν, ἀλλ' ὡς κωλύουσαν διὰ τῆς ἀμετρίας καὶ τῆς οἷον
B διαῤῥήξεως τὴν ψυχήν. Τοῖς πιστοῖς, φησὶν, εἰς εὐχάριστον μετάληψιν ἔκτισεν ὁ Θεὸς τὰ βρώματα. Τοῖς γὰρ ἀπίστοις οὐκ ἔτι. Νόμοις γὰρ ἰδίοις ἑαυτοὺς ἀπείργουσιν αὐτῶν. « Καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν. » Ἆρα τὰ Ἰουδαϊκὰ τύπος ἦν· νῦν γὰρ ἡ ἀλήθεια. Ἐκωλύθησαν δὲ τῶν πολλῶν ἐκεῖνοι, οὐχ ὡς ἀκαθάρτων, ἀλλ' ἵνα τοῦ τρυφᾶν ἐπισχεθῶσιν. Ἀλήθειαν δέ φησι, τὴν εἰς Χριστὸν πίστιν. « Πᾶν γὰρ κτίσμα Θεοῦ καλόν. » Περὶ τῶν ἐδωδίμων λέγει. Προκαταβάλλει δὲ ἤδη τὴν αἵρεσιν τῶν τὴν ἀγέννητον ὕλην εἰσαγόντων, καὶ ἐκείνης τὰ βρώματα λεγόντων. « Καὶ οὐδὲν ἀπόβλητον. » Οὐκοῦν καὶ τὸ εἰδωλόθυτον οὐκ ἔστιν ἀπόβλητον μετὰ εὐχῆς
C λαμβανόμενον, ἐὰν ἀγνοῇς σὺ, ἐπεὶ ὑπεύθυνος γίνῃ τῷ νόμῳ τῷ ἀπαγορεύοντι μὴ κοινωνεῖν εἰδώλων τραπέζαις. Ἐκ τῆς τοῦ νόμου οὖν παραβάσεως κοινοῦται· ὥσπερ οὖν καὶ τὸ καθαρὸν παντελῶς εὐχαριστίας λαμβανόμενον δίχα, κοινοῦται, διὰ τὴν ἀχάριστόν σου προαίρεσιν. « Ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως. » Εἰ ἁγιάζεται, οὐκοῦν ὅτι ἀκάθαρτόν ἐστι; Μὴ γένοιτο! πάντα γὰρ καθαρά· ἀλλὰ δύο τίθησιν ἐνταῦθα κεφάλαια πρὸς ἐκείνους τοὺς ἀκάθαρτά τινα τῶν βρωμάτων λέγοντας. Ὅτι πρῶτον μὲν, πᾶν κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀκάθαρτον. Εἰ δέ τις δῴη κατὰ συγχώρησιν εἶναί τι ἀκάθαρτον, ἕνι καὶ οὕτως φάρμακον, φησίν. Ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ, τουτέστι, δι' εὐχῆς. Πρωθύστερον δὲ κεῖται· Διὰ γὰρ λόγου καὶ ἐντεύξεως τῆς πρὸς Θεὸν γινομένης.

IV, 6, 7. *De his si commonesceris fratres, bonus eris minister Jesu Christi, enutritus sermonibus fidei bonæque doctrinæ, quam usque secutus es. Cæterum aniles et prophanas fabulas rejice.*

D *Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς, καλὸς ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας, ᾗ παρηκολούθηκας. Τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ.*

« De his. » Quibus? Quæ de mysterio sunt et quæ de hæresibus, quæque de cibis retexuit. Animadverte autem quod non dixerit : Si jusseris, sed : Si

« Ταῦτα. » Ποῖα; Τὰ περὶ τοῦ μυστηρίου, τὰ περὶ τῶν αἱρέσεων, τὰ περὶ τῶν βρωμάτων, ἅπερ κατέλεξεν. Ὅρα δὲ, οὐκ εἶπε, Κελεύων, ἀλλ', « Ὑποτιθέ-

μενος,» τουτέστι, συμβουλεύων. Συγκαταβατικὸν γὰρ, ἡ ἀρχοντικὸν εἶναι δεῖ τὸν ἐπίσκοπον. « Καλὸς ἔσῃ διάκονος. » Διακονεῖ γὰρ τῷ Χριστῷ διδάσκων, ἃ διδάσκεσθαι ὁ Χριστὸς βούλεται. « Ἐντρεφόμενος, φησὶ, τοῖς λόγοις τῆς πίστεως.» Ὥσπερ γὰρ τροφῆς, φησὶν, οὐκ ἀφίστασαι, οὕτως μηδὲ τῶν λόγων τούτων. Ἢ ὅτι τρεφόμενος ἐν αὐτοῖς τὴν πνευματικὴν τροφήν. « Οὐ γὰρ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος. » Οὐ γὰρ μόνον σε δεῖ τοῖς ἀδελφοῖς ταῦτα ὑποτίθεσθαι, ἀλλὰ καὶ σεαυτὸν τρέφειν. « Καὶ τῆς καλῆς διδασκαλίας. » Ἔνι γὰρ καὶ κακὴ διδασκαλία ἡ τῶν αἱρετικῶν. « Ἧ παρηκολούθηκας. » Τουτέστι, ἧς ἐγένου τρόφιμος. « Τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους. » Τὰς Ἰουδαϊκὰς λέγει παρατηρήσεις. Αὗται γὰρ, ἐν μὲν τῷ οἰκείῳ καιρῷ χρήσιμοι ἦσαν, νῦν δὲ γραώδεις καὶ σεσηπυῖαι. Ἢ καὶ περὶ Ἑλληνικῶν καὶ αἱρετικῶν φλυαριῶν ταῦτα λέγει. Οὕτως γὰρ βέβηλοι καὶ ἀνόσιαι, καὶ γραϊδίων λεληρηκότων ῥήματα. Ὁ Ζεὺς, φησὶ, συνεγένετο τῇ Ἥρᾳ. Καὶ ὁ Ἄρης ἐμοίχευσε. Καὶ ὁ Ἥφαιστος ἐρρίφη οὐρανόθεν.

A commonefeceris. Nam oportet episcopum nunc submissionem ostendere, nunc principatus auctoritatem. « Bonus eris minister. » Christo enim ministrat qui ea docet quæ Christus vult doceri. « Enutritus sermonibus fidei. » Quemadmodum, inquit, a nutrimento non discedis, ita neque ab his sermonibus. Aut quod in his nutritus sis spirituali nutrimento. Si quidem, « Non solo pane vivet homo [86]. » Non enim solum oportet te de his fratres commonefacere, **232** sed et teipsum his nutrire. « Bonæque doctrinæ. » Est enim et prava doctrina hæreticorum. « Quam usque secutus es. » Hoc est, in qua fuisti educatus. « Cæterum aniles et profanas fabulas. » Judaicas dicit observationes. Nam hæ suo tempore utiles erant, nunc autem aniles sunt B ac putridæ. Aut de Græcorum et hæreticorum nugis hæc dicit: vere enim profanæ sunt et impiæ ac delirantium verba anicularum. Jupiter, inquiunt, coivit cum Junone : Mars adulterium perpetravit cum Venere : Vulcanus e cœlo dejectus est

ΚΕΦΑΛ. Η'.

Περὶ ἀγῶνος εὐσεβείας ἐπ' ἐλπίδι.

Γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν· ἡ γὰρ σωματικὴ γυμνασία, πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίας ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης. Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος. Εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι Σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.

« Γύμναζε δὲ, » ἀντὶ τοῦ, ἔθιζε. « Πρὸς εὐσέβειαν. » Εὐσέβειά ἐστιν, ἡ μετὰ πίστεως ὀρθῆς ἐπιμέλεια τοῦ βίου. « Ἡ γὰρ σωματικὴ γυμνασία. » Ἡ τὰ σώματα, φησὶν, ὑγιαίνειν ποιοῦσα. Ἡ δὲ σύγκρισις ἀπὸ τοῦ ἐλάττονος. « Πρὸς ὀλίγον, φησὶν, ἐστὶν ὠφέλιμος, » οἷον ἄχρι τοῦ σώματος, καὶ ἄχρι τοῦ παρόντος βίου. « Ἐπαγγελίας ἔχουσα ζωῆς. » Ὁρᾷς τὴν ὠφέλειαν; Ὅτι καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι βίῳ ἡ εὐσέβεια ζωοποιεῖ τὴν πνευματικὴν ζωήν. « Πιστὸς ὁ λόγος. » Πιστὸς καὶ ἀπόδεκτος ὁ τοιοῦτος λόγος. Ποῖος; Ὅστις καὶ ἐνταῦθα καὶ ἐκεῖ ζωοποιεῖ. Ὅρα δὲ ὅτι καὶ πιστὸν αὐτὸν εἶπεν, οἱονεὶ ἀληθῆ, καὶ πᾶσιν ἀπόδεκτον· ἔνι γὰρ καὶ ἀληθῆ μὲν εἶναι, ἀμφίβολον δέ. Διὰ δὲ τὸ θαρρεῖν τῷ μαθητῇ, ἀποφαντικῶς ἐν ὅλῃ λαλεῖ τῇ Ἐπιστολῇ. « Εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν. » Εἰς τοῦτο, ποῖον; « Ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι. » Καὶ ἡμεῖς γὰρ τῷ τοῦτο συνειδέναι κάμνομεν ἀνενδοιάστως, καὶ οἱ ἐχθροὶ διὰ τοῦτο ἡμᾶς μάλιστα πολεμοῦσιν. « Ὅς ἐστι Σωτὴρ πάντων. » Σωτὴρ πάντων ἐστὶν ἐνταῦθα. Ἐκεῖ δὲ οὐ πάντων, ἀλλὰ τῶν ἀξίων τοῦ σώζεσθαι. Καὶ ἐνταῦθα δὲ, τῶν πιστῶν μάλιστα προνοεῖ. Καὶ γὰρ ὑπὸ τοσούτων πολεμούμενοι, σωζόμεθα. Παρορμᾷ δὲ τὸν Τιμόθεον εἰς τοὺς ὑπὲρ πίστεως κινδύνους, Θεὸν ἔχοντα Σωτῆρα.

CAPUT VIII.

De certamine ad pietatem propter spem.

IV, 7-10. *Exerce autem temetipsum ad pietatem, nam corporalis exercitatio ad modicum utilis est, at pietas ad omnia utilis est ut quæ promissiones habeat vitæ præsentis ac futuræ. Credibilis sermo, dignusque qui modis omnibus accepietur. Nam in hoc et laboramus et probris afficimur, quod spem fixam habeamus in Deo vivente qui est Salvator omnium C hominum, maxime fidelium.*

« Exerce. » Hoc est, assuefacito. « Ad pietatem. » Pietas est vitæ diligentia ac studium cum recta fide. « Nam corporalis exercitatio : » quæ corpus sanum reddit. Est autem comparatio a minori. « Ad modicum utilis est : » utpote ad corpus duntaxat vitamque præsentem sese extendens. « Promissionem habens vitæ. » Vides utilitatem? Quia et in præsenti et in futura vita pietas vivificat spiritualem vitam. « Credibilis sermo. » Credibilis et acceptabilis est talis sermo. Qualis? Qui et hic et in futuro vitam tribuit. Vide autem quod et credibilem ipsum dixerit, nempe quod verus sit : et omnibus amplectendum. Contingit enim verum quidem esse, D sed de quo ambigitur. Ut autem discipulum faceret audentiorem, assertive loquitur in tota Epistola. « Nam in hoc et laboramus. »**233** In hoc. quidnam illud est? « Quod spem fixam habeamus in Deo vivente. » Nos enim hoc cognoscentes laboramus absque ulla hæsitatione : et propter hoc inimici maxime nos impugnant. « Qui est Salvator omnium » in hac vita Salvator est omnium : in futura vero non omnium, sed eorum qui salvari digni fuerint. Præterea vero maximam hic gerit curam fidelium, quod cum impetamur a tam multis, salvamur tamen. Timotheum vero hortatur ad pericula pro fide toleranda, quod Deum habeat Salvatorem.

[86] Matth. IV, 4.

CAPUT IX.

Adhortatio ut suiipsius curam habeat et Ecclesiæ.

IV, 11-16. *Præcipe hæc, doce. Nemo juventutem tuam despiciat : sed esto forma fidelium in sermone, in conversatione, in dilectione, in spiritu, in fide, in sanctimonia. Donec venero attende lectioni, exhortationi et doctrinæ. Ne neglexeris quod in te est donum, quod datum est tibi per prophetiam cum impositione manuum auctoritate presbyterii. Hæc exerce, in his esto, ut tuus profectus manifestus sit omnibus. Attende tibiipsi et doctrinæ, persiste in his. Nam si id feceris, et teipsum salvum facies et eos qui te audierint.*

Illis enim qui ex scientia peccant, cum auctoritate præcipere oportet : eos autem qui ex ignorantia, docere. Et ut uno verbo eloquar, qui adhortatur ad bona, docet : qui autem prohibet malum, præcipere dicitur. « Nemo juventutem tuam. » Oportet enim magna cum auctoritate disserere episcopum. Et ubi ergo est illud quod dicitur : Modestia vestra nota sit omnibus hominibus [37] ? » Et dicimus, quod inter eos a quibus ipse injuria afficitur, mitis esse debet : inter illos vero per quos fratres errantes offenduntur, austerus.—*Aut hoc modo.* Si decentissimam degas vitam, non despicietur juventus quæ facile despectui esse solet. **234** « Sed esto forma fidelium. » Tanquam viva imago, et regula beatæ vitæ. « In sermone. » Loquendo quæ præceptorem loqui oportet. Vide autem quia doctorem habere oporteat dicendi facultatem. « In conversatione. » In vita et consuetudine vivendi. « In dilectione : » quæ erga omnes est. « In spiritu : » aut spirituali ordine, aut in dono spiritus, ne in hoc extollaris. « In fide : » recta, qua quis Deo indubitanter credat, etiam de impossibilibus. « In sanctimonia : » hoc est, puritate, virginitate, temperantia. » Donec venero attende lectioni. » Verisimile erat quæ ipse tanquam Paulo orbatus, cum optaret. Bifariam itaque consolatur illum, et promissione sui adventus, et consolatione a Scripturis. Animadverte autem, si Timotheo ut legat præcipitur, quod nos facere oportet. « Exhortationi : » ad populum. « Ne neglexeris quod in te est donum. » Hoc est, doctrinam aut episcopi munus. Nam gratia Dei erat, qua juvenis meruisset pastor fieri. « Quod datum est tibi per prophetiam. » Jussu namque spiritus facti sunt episcopi, et non passim. Est autem prophetiæ genus præsentia quoque dicere ; ut cum dicitur. « Segregate mihi Barnabam et Saulum [38]. » « Cum impositione manuum auctoritate presbyterii. » Presbyteros dicit episcopos : neque enim presbyteri episcopum ordinabant. « Hæc exerce. » Quænam ? Ea quæ superius dixit. In sermone, inquit, in conversatione, in fide, in sanctimonia. Ex eo autem quod frequenter eadem jubet, ostendit episcopum debere hæc indubitanter observare. « Manifestus sit in omnibus. »

[37] Philipp. IV, 5. [38] Act. XIII, 2.

ΚΕΦΑΛ. Θ'

Περὶ ἐπιμελείας αὐτοῦ, καὶ τῆς Ἐκκλησίας.

Παράγγελλε ταῦτα, καὶ δίδασκε. Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ. Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας, μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου. Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν. Ἔπεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ, ἐπίμενε αὐτοῖς. Τοῦτο γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς σου.

Ἐπὶ μὲν τῶν ἐν γνώσει ἁμαρτανόντων, παραγγέλλειν μετὰ αὐθεντίας χρεία· ἐπὶ δὲ τῶν ἐν ἀγνοίᾳ, διδάσκειν, καὶ ἁπλῶς. Ὁ μὲν ἐπὶ ἀγαθὰ προτρέπων, διδάσκει· ὁ δὲ κακοῦ κωλύων, παραγγέλλει. « Μηδείς σου τῆς νεότητος. » Δεῖ γὰρ καὶ αὐθεντικώτερον διαλέγεσθαι τὸν ἐπίσκοπον. Ποῦ οὖν, « Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις ; » Καί φαμεν, ὅτι ἐν μὲν οἷς αὐτὸς ἀδικεῖται, πρᾶος εἶναι ὀφείλει· ἐν οἷς δὲ οἱ ἀδελφοὶ ἁμαρτάνοντες ἀδικοῦνται, αὐστηρός. — *Ἢ οὕτως.* Ἐὰν κοσμιώτατον ἀσκεῖς βίον, οὐ καταφρονηθήσεται ἡ νεότης, φύσει τὸ εὐκαταφρόνητον ἔχουσα. « Ἀλλὰ τύπος γίνου τῶν πιστῶν. » Ὥσπερ εἰκὼν ἔμψυχος, καὶ ὅρος εὐζωΐας. « Ἐν λόγῳ, » φησὶν, ἐν τῷ λαλεῖν, ἃ δεῖ διδάσκαλον. Ὅρα δὲ, ὅτι δεῖ τὸν διδάσκαλον, παρασκευὴν ἔχειν λόγου. « Ἐν ἀναστροφῇ. » Οἷον βίῳ καὶ πολιτείᾳ. « Ἐν ἀγάπῃ. » Τῇ πρὸς πάντας. « Ἐν πνεύματι. » Ἢ τῇ πνευματικῇ καταστάσει, ἢ ἐν τῷ χαρίσματι, ὥστε μὴ ἐπαίρεσθαι ἐπὶ τούτῳ. « Ἐν πίστει. » Τῇ ὀρθῇ, ἢ καὶ τῇ ἀδιστάκτῳ, ὅταν τις πιστεύῃ τῷ Θεῷ, καὶ περὶ τῶν ἀδυνάτων. « Ἐν ἁγνείᾳ, » τουτέστι, καθαρότητι, παρθενίᾳ, σωφροσύνῃ. « Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει. » Εἰκὸς ἦν αὐτὸν ἀπορφανισθέντα τοῦ Παύλου, ζητεῖν αὐτόν. Διττῶς οὖν αὐτὸν παραμυθεῖται, τῇ τε τῆς ἀφίξεως ἐπαγγελίᾳ, καὶ τῇ ἐκ τῶν Γραφῶν παραμυθίᾳ. Ὅρα δὲ, εἰ Τιμόθεος ἀναγινώσκειν ἐπιτάσσεται, τί δεῖ ποιεῖν ἡμᾶς ; « Τῇ παρακλήσει. » Τῇ πρὸς τὸν λαόν. « Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, » τουτέστι, τῆς διδασκαλίας, ἢ τῆς ἐπισκοπῆς. Χάρις γὰρ Θεοῦ, τὸ ποιμένα εὑρεθῆναι τὸν νέον. « Ὃ ἐδόθη σοι διὰ προφητείας. » Πνεύματος γὰρ προστάξει ἐγίνοντο οἱ ἐπίσκοποι, καὶ οὐ χύδην. Προφητείας δὲ εἶδος, καὶ τὸ τὰ ἐνεστῶτα λέγειν, ὡς ἐκεῖ· « Ἀφορίσατέ μοι τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον. » — « Τῶν χειρῶν τοῦ πρεσβυτερίου. » Πρεσβυτέρους τοὺς ἐπισκόπους φησίν. Οὐ γὰρ ἂν οἱ πρεσβύτεροι ἐχειροτόνησαν τὸν ἐπίσκοπον. « Ταῦτα μελέτα. » Ποῖα ; Ἃ εἶπεν ἄνω. Ἐν λόγῳ, φησὶν, ἐν ἀναστροφῇ, ἐν πίστει, ἐν ἁγνείᾳ. Ἐκ δὲ τοῦ πολλάκις τὰ αὐτὰ παρεγγυᾷν, δείκνυσι τὸν ἐπίσκοπον δεῖν ἀναντιῤῥήτως ταῦτα φυλάττειν. « Φανερὰ ᾖ ἐν πᾶσιν. » Εἰ δὲ μὴ γένηται σφόδρα μεγάλη, οὐκ ἂν γένηται καταφανής. Ἐν πᾶσι δὲ, ᾗ

ἀνθρώποις, ἢ πράγμασιν. « Ἔπεχε σεαυτῷ. » Οἷον, Πρόσεχε, καὶ μὴ μόνον σαυτῷ, ἀλλὰ καὶ τῇ διδασκαλίᾳ, ἵνα καὶ ἄλλους ὠφελήσῃς. Εἶτα καὶ τὸ ἀνένδοτον παρεγγυῶν, φησὶν, « Ἐπίμενε αὐτοῖς. Τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις. » Ἐν γὰρ τῷ παραινεῖν ἑτέροις, καὶ ὁ παραινῶν κατανύττεται καὶ ὠφελεῖται, ἐρυθριῶν ὑπεύθυνος γενέσθαι, ὧν ἄλλους ἀποτρέπει.

A Quod si non fuerit vehementer magnus, nequaquam fieri potest manifestus. In omnibus vel rebus. « Attende tibiipsi et doctrinæ. » Hoc est, intende et animum adhibe, non tibiipsi solum, sed et doctrinæ, ut aliis quoque prosis. Deinde accurate præcipiens ait : « Persiste in his. Nam si id feceris, et teipsum salvum facies. » Siquidem allos adhortando, etiam is qui adhortationem facit, compungitur et utilitatem accipit, erubescens in his fieri obnoxius, a quibus deterret.

ΚΕΦΑΛ. Ι'.

Περὶ τοῦ ἁρμοζόντως ἑκάστῳ προσφέρεσθαι.

Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει ὡς πατέρα, νεωτέρους ὡς ἀδελφούς. Πρεσβυτέρας ὡς μητέρας, νεωτέρας ὡς ἀδελφὰς, ἐν πάσῃ ἁγνείᾳ.

Θὺ τὸ ἀξίωμα, φησὶν, ἀλλὰ πάντα γεγηρακότα. Τί οὖν φησιν; Ἂν δέηται διορθώσεως, ὡς ἂν πατρὶ προσενέχθητι, μετὰ προσηνείας διδάσκων. Ἐπειδὴ γὰρ φορτικὸν ἡ ἐπίπληξις, μάλιστα ἡ τοῦ νέου πρὸς γεγηρακότα, τῇ ἐπιεικείᾳ ὑποτέμνεται τὸ φορτικόν. « Νεωτέρους ὡς ἀδελφούς. » Ἀπὸ κοινοῦ τὸ, παρακάλει. Ὡς ἀδελφοὺς δὲ διὰ τοῦτο, ἵνα τὸ θρασὺ αὐτῶν καταστείλῃς. « Πρεσβυτέρας ὡς μητέρας. » Διὰ τὴν εἰρημένην ἐπὶ τῶν πρεσβυτέρων αἰτίαν. « Ἐν πάσῃ ἁγνείᾳ. » Ἐπειδὴ καὶ αἱ πρὸς νεωτέρας ὁμιλίαι, δυσκόλως διαφεύγουσιν ὑποψίαν, σὺ μετὰ πάσης ἁγνείας τοῦτο ποίει, τουτέστι, μηδὲ μέχρι ψιλῆς εὐνοίας. — *Ἄλλως.* Οὐ Τιμοθέῳ δὲ μόνῳ, ἀλλὰ καὶ παντὶ ἐπισκόπῳ παραινεῖ.

B Non novum aliquod tradit documentum, sed omnia vetera sunt. Quid ergo dicit? Si correctione opus sit, tanquam patri admoveas cum mansuetudine docens. Quoniam enim gravis est aspera objurgatio, maxime juvenis erga senem, per modestiam præciditur quod grave est. « Juniores ut fratres. » A communi sensu subaudito, adhortare. Propterea autem ut fratres, quo ipsorum temeritatem ad modestiam revoces. « Mulieres natu grandiores ut matres. » Propter dictam de senioribus causam. « Cum omni castitate. » Quoniam collocutiones quæ sunt cum junioribus ægre suspicionem effugiunt, tu id cum omni castitate facito, hoc est, ne ad tenuem quidem usque benevolentiam. — *Alio modo.* Non solum Timotheum, C sed et omnem per hoc admonet episcopum.

ΚΕΦΑΛ. ΙΑ'.

Περὶ χηρῶν ἡλικίας, καὶ τρόπου, καὶ διοικήσεως.

Πάλιν τὸν Θεὸν ποιεῖται μάρτυρα, αὔξων τε τὸν φόβον, καὶ ἀσφαλέστερον ποιῶν τὸν μαθητὴν, τῷ τὸν μαρτυρηθέντα ἔχειν ἐν νῷ. « Τοῦ ζωοποιοῦντος τὰ πάντα. » Τοῦτο καὶ πρὸς κινδύνους ἐστὶ παράκλησις. Εἰ γὰρ ὁ Θεὸς, φησὶ, ζωογονεῖ τὰ πάντα, τί περφρίκαμεν τοὺς ὑπὲρ πίστεως ἀγῶνας; Καὶ ὅτι εἰς τοῦτο προτρέπει, δῆλον ἐκ τοῦ ἑπομένου, « Ἰησοῦ Χριστοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου. » Εἰ γὰρ ὁ Δεσπότης ἐμαρτύρησε, διὰ τί ἡμεῖς ἀναβαλλόμεθα; « Τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου. » Ἐμαρτύρησε γὰρ δι' ὧν ἔπραττεν, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. Οὕτως ὁ Κλήμης ἐν ἑβδόμῳ Ὑποτυπώσεων. « Τὴν καλὴν ὁμολογίαν. » Ποίαν λέγει καλὴν ὁμολογίαν; Ἐν ᾗ καὶ αἰνιγματωδῶς, ὡμολόγησε μέντοι εἶναι Θεός. Εἰπόντος γὰρ τοῦ Πιλάτου, εἰ βασιλεύς ἐστιν, εἶπεν, Ἐγὼ εἰς τοῦτο γεγένημαι. « Τὴν ἐντολὴν ἄσπιλον. » Τουτέστι, Μήτε δογμάτων, μήτε βίου κηλῖδα προστριβόμενον. « Μέχρι τῆς ἐπιφανείας. » Μέχρι, φησὶ, τῆς ἐσχάτης σου ἀναπνοῆς. Ἀλλ' οὕτως μὲν οὐκ εἶπεν. Ὅπως δὲ αὐτὸν διεγείρῃ μειζόνως, τῆς ἐπιφανείας ἐμνήσθη τοῦ Κυρίου, καὶ τῆς δόξης τῆς φρικτῆς. « Ἐν καιροῖς ἰδίοις. » Τουτέστι, τοῖς προσήκουσι, τοῖς ἀφωρισμένοις. Μὴ τοίνυν λυποῦ, ὅτι μὴ ἤδη γέγονεν. « Ὁ μακάριος. » Ταῦτα περὶ τοῦ Υἱοῦ εἴρηται. Τὴν γὰρ παρουσίαν ὁ ἐρχόμενος δεικνύει. Εἰ δὲ ὁ Πατὴρ οὐχ ἥξει, ἀλλ' ὁ Υἱὸς, ἐπὶ κρίσιν, περὶ τοῦ ἐρχομένου ταῦτα εἴρηται. « Ὁ μακάριος, » ἡ αὐτομακαριότης. Παρ' αὐτῷ γὰρ ἀπέδρα πᾶσα λύπη καὶ ὀδύνη. Οὗτος καὶ δυνάστης, καὶ ἀγαθὸς βασιλεύς. Οὐ φοβητέον οὖν τοὺς ἐπιγείους. « Καὶ μόνος δυνάστης. » Ἔνθα ἂν ἀκούῃς περὶ μιᾶς τῶν τριῶν ἁγίων ὑποστάσεων, ὁ μόνος τόδε ἢ τόδε, μὴ

πρὸς ἀντιδιαστολὴν δέχου τὸ εἰρημένον τῶν ἄλλων δύο, ἀλλὰ περὶ τῶν μὴ ὄντων μὲν, λεγομένων δὲ θεῶν. Ἰδοὺ γὰρ νῦν περὶ τοῦ Υἱοῦ ταῦτα λέγων, ἅπερ ἀλλαχοῦ καὶ περὶ Πατρὸς καὶ περὶ Πνεύματος εἰρηκεν, Ὁ μόνος, εἶπεν. « Ὁ μόνος ἔχων ἀθανασίαν. » Πῶς, φησὶ, περὶ τοῦ Θεοῦ ὁ μόνος ἔχων ἀθανασίαν, ὁπότε καὶ ἄγγελοι καὶ ψυχαὶ καὶ δαίμονες ἔχουσιν ἀθανασίαν; Ὅ οὖν λέγων, « Ὁ μόνος ἔχων ἀθανασίαν, » περὶ Θεοῦ, ἢ ἀφαιρεῖται τῶν εἰρημένων τὴν ἀθανασίαν, ἢ ψεύδεται. Καί φαμεν, ὅτι οὗτοι περὶ ὧν ὁ λόγος, οὐκ ἔχουσιν ἀθανασίαν, ἀλλὰ μετέχουσιν αὐτῆς, χάριτι τοῦ μόνου ἀθανάτου φύσει. Ὑπὸ Θεοῦ γὰρ αὐτοῖς τοῦτο δεδώρηται. Θεὸς γάρ ἐστιν οὗ πάντες μετέχομεν, ὥσπερ τῶν ἄλλων τῶν πρὸς τὸ κρεῖττον νοουμένων, οὕτω δὴ καὶ ἀθανασίας. « Φῶς οἰκῶν ἀπρόσιτον. » Ὁ ὢν αὐτοαθανασία, καὶ φῶς τὸ ἀπρόσιτον, ἄρα τόπῳ περιείληπται; Ἆρα ἄλλο τὸ φῶς καὶ ἄλλο αὐτός; Καὶ μὴν αὐτοφῶς ἐστιν. Ὁρᾷς ὅτι καὶ ὅταν μέγα τι φθέγξασθαι βουληθῶμεν, ἀδυνατεῖ ἡ γλῶσσα; Ἀπρόσιτον δὲ, ᾧ οὐδεὶς προσελθεῖν δύναται διὰ τὴν ἄγαν λαμπρότητα. « Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων. » Οὐδὲ γὰρ τοῦ Υἱοῦ τὴν θεότητα εἶδέ τις, ὥσπερ οὐδὲ τὴν τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος. Κατὰ γὰρ τὴν σάρκα ὡράθη. « ὯΙ τιμὴ καὶ κράτος. » Εἰ ἡ τιμὴ αὐτοῦ καὶ τὸ κράτος αἰώνιον ἔσται, πάντως καὶ ἡ ἐπιφάνεια αὐτοῦ. Ὑπέσχετο γάρ· « Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν [εἰμι] πάσας τὰς ἡμέρας. »

A una trium personarum audieris hoc aut illud, ne hoc dictum accipias ad discrimen aliarum duarum, sed de illis qui non sunt et tamen dicuntur dii. Ecce ergo nunc de Filio loquens, quæ alibi et de Patre dixit et de Spiritu: Solus dicit. « Qui solus habet immortalitatem. » Quomodo de Deo dicit quod solus habet immortalitatem, cum et angeli et animæ ac dæmones habeant immortalitatem? Cum ergo de Deo dicit: Qui solus habet immortalitatem, aut ab illis quos diximus, aufert immortalitatem, aut mentitur. Et dicimus quod hi de quibus est sermo non habent immortalitatem, sed ipsam participant, gratia illius qui natura solus est immortalis. Nam a Deo hoc ipsis datum est. Deus enim est a quo omnes participamus, quemadmodum et alia, ad id quod præstantius est comparata, ita et immortalitatem. « Lucem habitans inaccessam. » Qui ipsa est immortalitas et lux inaccessa, num putas loco circumscriptus est? Num aliud est lux et aliud ipse? Atqui ipsa lux est. Vides quod dum etiam magnum aliquid dicere volumus, lingua impotens efficitur? Inaccessa vero dicitur, ad quam nemo ob vehementem splendorem potest accedere, « Quem nemo vidit hominum. » Neque enim Filii divinitatem quispiam vidit, quemadmodum neque Patris aut Spiritus: nam secundum carnem visus est. « Cui honor et imperium. » Si honor ipsius et imperium sempiternum erit, omnino etiam apparitio ipsius. Promisit namque: « Ecce ego vobiscum sum omnibus diebus [46]. »

B

C

ΚΕΦΑΛ. ΙΗ'.

Πλουσίων ὁδηγία ἐπὶ τὴν ὄντως ζωήν.

Τοῖς πλουσίοις, ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐν τῷ Θεῷ τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν, ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς, ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς.

250 CAPUT XVIII.

Deductio divitum ad veram vitam.

VI, 17-19. *His qui in præsenti sæculo divites sunt, præcipe ne elato sint animo, neque spem ponant in incertis divitiis, sed in Deo vivente qui præbet nobis omnia affatim ad fruendum, ut benefaciant, ut divites sint operibus bonis, ut faciles sint ad impartiendum, libenter communicantes, recondentes sibi ipsis fundamentum bonum in posterum, ut apprehendant vitam æternam.*

Εἰσὶ γὰρ καὶ ἄλλοι πλούσιοι, ἀλλ' οὐκ ἐν τῷ αἰῶνι τούτῳ. Οἱ ὄντως πλούσιοι, οἱ δίκαιοι δηλαδή. « Μὴ ὑψηλοφρονεῖν, » φησίν. Οὐδὲν γὰρ οὕτως, ὡς χρήματα, φυσᾷ καὶ μετεωρίζει. « Ἐπὶ πλούτου ἀδηλότητι. » Ὅρα πῶς αὐτοὺς, καὶ ὡς ἀνοήτους διαβάλλει. Τίς γὰρ ἐπὶ ἀδήλῳ ἐλπίζει; « Ἀλλ' ἐν τῷ Θεῷ. » Ὁ γὰρ εἰς Θεὸν ἐλπίζων οὐκ ἐπαίρεται, φησίν. « Τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως. » Αὐτὸς γάρ, ὅσον εἰς αὐτὸν ἦκε, πάντα κοινὰ προὔθηκε καὶ ἄφθονα, οὐρανὸν, γῆν, ἀέρα, ζωὴν, τροφάς. Ἀλλ' ἡ πλεονεξία λαβοῦσα συνεργὸν τὴν δυναστείαν, πολλὰ τῶν κοινῶν ἐσφετερίσατο καὶ ἐποίησεν ἴδια. « Πλουτεῖν ἐν ἔργοις καλοῖς. » Εἰ πλοῦτον ζητεῖς, τὸν ὄντως ζήτει, τὸν οὐκ ἄδηλον. Ποῖον δὴ τοῦτον; Τὸ ἀγαθοεργεῖν, φησὶν, εὐμεταδότους εἶναι, τοῦτο τὸ τῶν χρημάτων. « Κοινωνικούς. » Τουτέστι πράους, προσηνεῖς, ἀτύφους, συγκαταβατικούς. « Ἀποθησαυ-

Sunt namque et alii divites, at non in præsenti sæculo, qui vere divites sunt, justi videlicet. « Ne elato sint animo. » Nihil enim æque inflat ac elatum reddit animum atque pecuniæ et possessiones. « In incertis divitiis. » Vide quomodo ipsos etiam tanquam insensatos calumnietur. Quis est enim qui sperat in incerta re? « Sed in Deo. » Nam qui in Deo sperat, non effertur. « Qui præbet nobis omnia affatim. » Ipse etenim quantum ad se attinet omnia omnibus communiter proposuit, etiam abunde, cœlum, terram, aera, vitam, alimenta. Sed avaritia, sumpto simul potentatus auxilio, multa quæ erant communia sibi vindicavit, ac propria effecit. « Ut divites sint in operibus bonis. » Si divitias quæris, veras quære, et non incertas. Quænam illæ sunt? Bona. inquit operari, facilem esse ad impartiendum, hoc enim

D

[46] Matth. xxviii, 20.

pecuniarum est. « Libenter communicantes. » Hoc est mansueti, lenes, tumore carentes, sese demittentes. « Recondentes sibiipsis. » Hoc est, reponentes fundamentum bonum. Ubi bonum est fundamentum, omnia secura sunt et firma. « Ut apprehendant vitam æternam. » Propter hanc sane vitam recondendum est bonum fundamentum. Quomodo autem hoc esse poterit? Si in hac vita bonis operibus incumbendo, reponamus nobis ipsis vitæ hujus fundamentum. Bonorum namque operum fruitionem reconciliare potest.

A ρίζοντας ἑαυτοῖς. » Οἷον, ἀποτιθεμένους, φησί, θεμέλιον καλόν. Ἔνθα δὲ καλὸς ὁ θεμέλιος, πάντα ἀσφαλῆ καὶ βέβαια. « Ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς. » Ἄρα διὰ ταύτην τὴν ζωὴν δεῖ ἀποθησαυρίζειν τὸν θεμέλιον. Πῶς δ' ἂν εἴη τοῦτο; Εἰ διὰ τοῦ εὖ ποιεῖν ἐνταῦθα, ἀποθώμεθα ἑαυτοῖς τῆς ζωῆς ταύτης τὸν θεμέλιον καὶ τὴν ἀσφάλειαν. Ἡ γὰρ τῶν ἀγαθῶν ἔργων πρᾶξις, ἣν καὶ θεμέλιον ὠνόμασε, τὴν ἀπόλαυσιν ἐκείνης προξενῆσαι δύναται.

actio, quam et fundamentum nominavit, illius

251 VI. 20-21. *O Timothee, depositum serva, devitans profanas vocum vanitates et oppositiones falso dictæ scientiæ, quam nonnulli profitentes circa fidem aberraverunt. Gratia sit tecum. Amen.*

« Depositum serva. » Præceptum, inquit, Dei quod per me tibi proposuit. Aut gratiam Spiritus quam per ordinationem accepisti. « Devitans profanas vocum vanitates. » Impuras, nocentes. Vocum autem vanitates, id est, vaniloquia. Est itaque et vocum vanitas sive inanitas, quæ non est profana. Beatus autem Joannes recentiores admonitiones dixit vocum novitates, legens ut videntur καινοφωνίας per αι diphthongum in prima. « Et oppositiones. » Et sane objectio aliqua ad quam respondere non oporteat propter absurditatem. « Falso dictæ scientiæ. » Ubi enim non fuerit fides, non est scientia, sed quæ videtur esse, mendax est. « Quam nonnulli profitentes: » mendacem, inquit, et adulterinam scientiam. Siquidem erat fortassis nonnulli profitentes scientiam humanis rationibus inventam, quæ fidei opposita est: et manifestum ex eo est, quod circa fidem naufragium fecerunt. « Gratia sit tecum. Amen. » Omnium sigillum sive signaculum ipsi precatur, nempe Dei gratiam, a qua bonum omne et datur et conservatur.

Ὦ Τιμόθεε, τὴν παρα[κατα]θήκην φύλαξον, ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας, καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως, ἣν τινες ἐπαγγελλόμενοι, περὶ τὴν πίστιν ἠστόχησαν. Ἡ χάρις μετὰ σοῦ. Ἀμήν.

B « Τὴν παρα[κατα]θήκην φύλαξον. » Τὴν ἐντολήν, φησί, τοῦ Θεοῦ, ἣν δι' ἐμοῦ σοι παρέθετο· ἢ τὴν χάριν τοῦ Πνεύματος, ἣν διὰ τῆς χειροτονίας ἐδέξατο. « Ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας. » Τὰς ἀκαθάρτους, τὰς μιαράς. Κενοφωνίας δὲ, τὰς ματαιολογίας. Ἄρα οὖν ἔστι καὶ κενοφωνία οὐ βέβηλος. Ὁ δὲ μακάριος Ἰωάννης τὰς νεωτέρας παραινέσεις *καινοφωνίας* εἶπε, διὰ τῆς αι διφθόγγου τὸ *και* γράφων, ὡς ἔοικε. « Καὶ ἀντιθέσεις. » Ἄρα ἔστιν ἀντίθεσις πρὸς ἣν οὔτε ἀποκρίνασθαι χρὴ, διὰ τὴν ἀτοπίαν. « Τῆς ψευδωνύμου γνώσεως. » Ὅταν γὰρ πίστις μὴ ᾖ, γνῶσις οὐκ ἔστιν. Ἡ δὲ εἶναι δοκοῦσα, ψευδὴς ἐστιν. « Ἣν τινες ἐπαγγελλόμενοι. » Τὴν ψευδομένην φησὶ καὶ νόθον γνῶσιν. Ἴσως γὰρ ἦσάν τινες γνῶσιν ἐπαγγελλόμενοι τὴν ἀπὸ λογισμῶν ἀνθρωπίνων εὑρεθεῖσαν, ἥτις ἐναντία τῇ πίστει καθέστηκε. Καὶ δῆλον ἐξ ὧν περὶ τὴν πίστιν ἐναυάγησαν. « Καὶ χάρις μετὰ σοῦ. Ἀμήν. » Τὴν σφραγῖδα πάντων ἐπεύχεται αὐτῷ, τὴν χάριν τοῦ Θεοῦ, ἀφ' ἧς καὶ δίδοται πᾶν ἀγαθὸν καὶ φυλάττεται.

Finis, divino favente auxilio prioris ad Timotheum Epistolæ.

Scripta est a Laodicea, quæ metropolis Phrygiæ et Pacatianæ.

Τέλος σὺν Θεῷ τῆς πρὸς Τιμόθεον πρώτης Ἐπιστολῆς.

Ἐγράφη ἀπὸ Λαοδικείας, ἥτις ἐστὶ μητρόπολις Φρυγίας τῆς Πακατιανῆς.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

ARGUMENTUM

POSTERIORIS EPISTOLÆ AD TIMOTHEUM.

252 Hanc ab urbe Roma scribit. Occasio vero Epistolæ hæc fuit. Cum bi[qui una cum apostolo pe-

D Ταύτην ἀποστέλλει ἀπὸ Ῥώμης. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς, αὕτη· Τῶν συναποδημούντων τῷ

Παύλῳ καταλειφθέντων αὐτὸν, βουλόμενος ὁ Ἀπόστολος ἐλθεῖν Τιμόθεον πρὸς αὐτὸν, γράφει τὴν Ἐπιστολήν. Καὶ πρῶτον μὲν δηλοῖ αὐτῷ μνημονεύειν αὐτοῦ τὸ τῆς εὐσεβείας καὶ τῆς τῶν προγόνων αὐτοῦ πίστεως. Ἔπειτα δηλοῖ, ὅτι οἱ ἀπὸ Ἀσίας, ὧν ἐστι Φύγελος καὶ Ἑρμογένης, ἀπεστράφησαν αὐτὸν ὁρῶντες αὐτοῦ τὰς ἁλύσεις. Μόνῳ δὲ Ὀνησιφόρῳ μαρτυρεῖ σπουδὴν πλείστην, καὶ τοῦτον ἀπεδέξατο ἐλθόντα εἰς τὴν Ῥώμην καὶ προσμείναντα αὐτῷ. Παραγγέλλει δὲ αὐτὸν, παραιτεῖσθαι τὰς μωρὰς ζητήσεις, διὰ τὸ ἐξ αὐτῶν γεννᾶσθαι μάχας. Καὶ γὰρ Ὑμέναιος καὶ Φιλητὸς οὕτως ἐκτραπέντες, παρέδησαν τὴν ἀλήθειαν, λέγοντες ἀνάστασιν ἤδη γεγονέναι, καί τινας ἀνατρέπουσι· μᾶλλον οὖν παραινεῖ αὐτῷ προσέχειν ἑαυτῷ καὶ τῇ διδασκαλίᾳ, καὶ εἰδέναι με, ὅτι ἐν ἐσχάτοις καιροῖς ἔσονται ἄνθρωποι φίλαυτοι καὶ φιλήδονοι μᾶλλον ἢ φιλόθεοι, προβλέποντα δὲ μᾶλλον ταῦτα, ἀσφαλίζεσθαι τοὺς λαοὺς μή τις ἐξ αὐτῶν ἀπατηθῇ. Καὶ εἰς τὰ ἤθη δὲ, καὶ εἰς τὴν τῆς διδασκαλίας ἀκρίβειαν πολλὰ προτραψάμενος αὐτὸν καὶ σημάνας τὸν καιρὸν τῆς ἀναλύσεως αὐτοῦ ἐνστῆναι καὶ μέλλειν σπένδεσθαι καὶ μαρτυρεῖν, ἐνετείλατο αὐτῷ ἐλθεῖν πρὸς αὐτὸν ταχέως, κομίζοντα τὸν φαιλόντην καὶ τὰ βιβλία. Παρῄνεσε δὲ αὐτῷ Ἀλέξανδρον τὸν χαλκέα φυλάττεσθαι, ὡς πολλὰ κακὰ ἐνδειξάμενον αὐτῷ, καὶ οὕτως τελειοῖ τὴν Ἐπιστολήν.

regrinabantur reliquissent ipsum, volens Apostolus ut Timotheus ad ipsum veniret, scribit Epistolam. Et primum quidem indicat ei quod memor sit tum pietatis ipsius, tum fidei progenitorum ejus. Deinde significat quod hi qui ab Asia erant, inter quos Phrygelus erat et Hermogenes, aversati ipsum fuerant, visis ejus catenis. De solo Onesiphoro strenue fert testimonium : et hunc susceperat, cum ille Romam venisset et apud se mansisset. Præcepit autem ut stultas devitet quæstiones, eo quod ab ipsis pugnæ oriantur. Siquidem Hymenæus et Philetus aversi veritatem reliquerunt, dicentes jam factam esse resurrectionem, et quosdam subvertebant. Magis ergo exhortatur ut sibiipsi attendat et doctrinæ, ac sciat quod in extremis temporibus erunt homines sui amantes, et voluptatum potius quam Dei : cumque hæc amplius futura prospiciat, populos muniat ne quis ab illis seducatur. Multumque exhortatus ipsum, tum de his quæ ad mores pertinent, tum de illis quæ doctrinæ diligentiam respiciunt, ubi etiam tempus suæ resolutionis significavit instare, **253** futurumque esse ut immoletur et martyrium ferat : præcipit ut cito ad se veniat, deferens penulam et libros. Admonet quoque ipsum ut Alexandrum ærarium caveat, ut qui se multis malis affecerit, et ita concludit Epistolam.

ΘΕΟΔΩΡΗΤΟΥ.

Τί δή ποτε δευτέραν γράφει πρὸς Τιμόθεον Ἐπιστολήν; Εἶπεν ἐν τῇ πρώτῃ, Ἐλπίζω ἐλθεῖν πρὸς σὲ τάχιον. Οὐκ ἠδυνήθη ἀπελθεῖν. Ἤδη γὰρ κατείχετο ὑπὸ Νέρωνος. Ἔδει οὖν, ἀντὶ τῆς παρουσίας, γράμματα γοῦν πέμψαι, ὁμοῦ μὲν, τὸ μὴ ἐλθεῖν παραμυθούμενον, ὁμοῦ δὲ, ἐπιῤῥώννυντα τὸν Τιμόθεον, οὕτω τῇ φροντίδι τῆς Ἐκκλησίας ἐγκεχρονικότα.

THEODORETI.

Quam ob causam scribit alteram ad Timotheum Epistolam? Dixerat in priori : Spero me brevi venturum : non potuit autem proficisci : jam enim tenebatur a Nerone. Opus ergo fuit, ut pro præsentia litteras saltem mitteret : simul quidem ut consolaretur, eo quod non veniret : simul etiam ut Timotheum confirmaret in Ecclesiæ cura detentum.

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β'. ΕΠΙΣΤΟΛΗΣ.

α'. *Ἔπαινος τῆς Τιμοθέου πίστεως, καὶ προτροπὴ ὑπομονῆς, κατὰ τὸ πρέπον τῇ χάριτι, ἐν ᾗ καὶ αὐτός φησι διακαρτερεῖ πάσχων.*

β'. *Περὶ τῆς ἁρμοζούσης μεταδόσεως τῶν θείων δογμάτων.*

γ'. *Περὶ τῆς ἀφροντίδος ἐν τῷ νῦν βίῳ πολιτείας, ἐπὶ ταῖς ἀπόροις τροφαῖς.*

δ'. *Περὶ τῆς εἰς Χριστὸν πίστεως καὶ ὑπομονῆς, ἐπ' ἐλπίδι ζωῆς.*

ε'. *Περὶ θείας διδασκαλίας καὶ βίου καθαροῦ καὶ εἰρηνικοῦ, καὶ κατὰ τῶν ἐναντίων.*

ς'. *Πρόῤῥησις περὶ κακίας ἀνθρώπων πλεοναζούσης, ἀπατηλῆς ἐλεγχομένης.*

ζ'. *Προτροπὴ τῆς ἑαυτοῦ μιμήσεως ἐξ ἐναντίου τοῖς φαύλοις, ἐν ὑπομονῇ Θεοῦ.*

η'. *Περὶ τῶν καινοτομησάντων, οἷς ἀντιτάττει τὸν Τιμόθεον.*

θ'. *Περὶ τῆς ἑαυτοῦ μελλούσης ἀναλύσεως, ἐπὶ δόξῃ αἰωνίᾳ.*

254 *POSTERIORIS AD TIMOTHEUM EPISTOLÆ CAPITA.*

1. *Commendatio fidei Timothei, et exhortatio ad tolerantiam juxta id quod gratiam decet, in qua et ipse seipsum perdurare tolerando dicit.*
2. *De convenienti traditione divinorum dogmatum.*
3. *De conversatione in præsenti vita sine anxietate : de alimentis quæ citra laborem proveniunt.*
4. *De fide in Christum, et tolerantia ob spem vitæ.*
5. *De divina doctrina et vita pura ac pacifica, etiam erga adversarios.*
6. *Vaticinium de abundante hominum malitia, per fucum reprehensibilem.*
7. *Exhortatio ut se imitentur, opponendo se perversis in tolerantia propter Deum.*
8. *De his qui nova moliebantur, quibus Timotheum opponit.*
9. *De futura suiipsius resolutione ad æternam gloriam.*

ΠΑΥΛΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β' ΕΠΙΣΤΟΛΗ

—

PAULI APOSTOLI

AD TIMOTHEUM EPISTOLA SECUNDA.

—

PROŒMIUM.

255 I, 1, 2. *Paulus apostolus Jesu Christi per voluntatem Dei secundum promissionem vitæ quæ est in Christo Jesu, Timotheo dilecto filio : gratia, misericordia, pax a Deo Patre et Christo Jesu Domino nostro.*

Apostolus, inquit, sum ob promissam vitam quæ est in Christo Jesu, hoc est, per Christum danda. « Secundum promissionem vitæ. » Ne mihi, ait, præsentia pericula commemores : ab his promissa vita procedat. Quandoquidem ergo promissa est, in futuro eam quære. In exordio autem de suis afflictionibus ipsum consolatur. Me, inquit, creavit Dominus Deus apostolum, id una decernente etiam Christo, ut promissam æternam vitam hominibus prædicarem. — « Dilecto filio. » Contingit enim filium esse, non tamen dilectum. Quod si admodum probus non esset, nequaquam et filius esset et dilectus, maximeque Pauli. « Gratia, misericordia. » Hæc etiam prius, et nunc quoque ipsi precatur.

CAPUT I.

Commendatio fidei Timothei, et exhortatio ad tolerantiam, juxta id quod gratiam decet, in qua et ipse seipsum perdurare tolerando dicit.

I, 3-6. *Gratiam habeo Deo cui servio a majoribus cum pura conscientia, quod citra ullam intermissionem faciam de te mentionem in precationibus meis nocte dieque, desiderans te videre, memor lacrymarum tuarum, ut gaudio replear : commonefactus quæ in te est fidei non simulatæ, quæ habitavit primum in avia tua Loide et matre tua Eunica : certus autem sum quod etiam in te. Quam ob causam commonefacio te, ut suscites donum Dei quod est in te per impositionem manuum mearum.*

256 Vides dilectionis magnitudinem? Gratias, inago Deo quod tui memor sim. Hæc est vehemens quit, dilectio, quando gloriatur quispiam de eo quod hunc diligat. « Cum pura conscientia. » Quomodo cum pura conscientia, cum Christum ab initio ignoraret? Ostendit quod nullius mali sibi conscius fuerit. Nam si Ecclesiam persequebatur, ex Dei zelo persequebatur, non humana aliqua causa :

A

ΠΡΟΟΙΜΙΟΝ.

Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ κατ' ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ Τιμοθέῳ ἀγαπητῷ τῷ τέκνῳ, Χάρις, ἔλεος, εἰρήνη, Πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

Ἀπόστολός εἰμι, φησὶν, ἐπὶ τῇ ἐπηγγελμένῃ ζωῇ τῇ οὔσῃ ἐν Χριστῷ Ἰησοῦ, τουτέστι, διὰ Χριστοῦ Ἰησοῦ δοθῆναι μελλούσῃ. « Κατ' ἐπαγγελίαν ζωῆς. » Μή μοι, φησὶ, τοὺς ἐνταῦθα κινδύνους εἴπῃς· οὗτοι γὰρ τὴν ἐπηγγελμένην ζωὴν αἰώνιον τίκτουσιν. Ἐπεὶ οὖν ἐπήγγελται, ἐκεῖ αὐτὴν ζήτει, φησίν. Ἐκ προοιμίων δὲ ὑπὲρ τῶν ἑαυτοῦ πειρασμῶν τοῦτον παραμυθεῖται. Ἀπόστολόν με προεβάλετο, φησὶν, ὁ Δεσπότης Θεὸς, συμψηφισαμένου καὶ τοῦ Χριστοῦ, B ὥστε με τὴν ἐπαγγελθεῖσαν αἰώνιον ζωὴν τοῖς ἀνθρώποις κηρῦξαι.—« Ἀγαπητῷ τέκνῳ » [ΘΕΟΔΩΡ.] Ἕνι γὰρ εἶναι τέκνον, οὐ μὴν ἀγαπητόν. Εἰ μὴ ἦν δὲ σφόδρα ἐνάρετος, οὐκ ἂν ἦν καὶ τέκνον, καὶ ἀγαπητὸν, καὶ μάλιστα Παύλου. « Χάρις, ἔλεος. » Ὅπερ καὶ πρότερον, ταῦτα καὶ νῦν αὐτῷ ἐπεύχεται.

ΚΕΦΑΛ. Α'.

Ἔπαινος τῆς Τιμοθέου πίστεως, καὶ προτροπὴ ὑπομονῆς, κατὰ τὸ πρέπον τῇ χάριτι, ἐν ᾗ καὶ αὐτὸς φησι διακαρτερεῖν πάσχων.

Χάριν ἔχω τῷ Θεῷ ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ ἡμέρας, ἐπιποθῶν σε ἰδεῖν, μεμνημένος σου τῶν C *δακρύων, ἵνα χαρᾶς πληρωθῶ. Ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρί σου Εὐνίκῃ· πέπεισμαι δὲ, ὅτι καὶ ἐν σοί. Δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου.*

Ὄρᾳς ἀγάπης ὑπερβολήν; Εὐχαριστῶ, φησὶ, τῷ Θεῷ ὅτι μέμνημαί σου. Τοῦτό ἐστιν ἀγάπη, ὅταν τις ἐγκαλλωπίζηται ὑπὲρ τοῦ τόνδε φιλεῖν. « Ἐν καθαρᾷ συνειδήσει. » Πῶς ἐν καθαρᾷ συνειδήσει; ὅπου γε ἠγνόει τὸν Χριστὸν ἐξ ἀρχῆς; Δείκνυσιν ὅτι οὐδὲν πονηρὸν ἑαυτῷ σύνοιδεν. Εἰ γὰρ καὶ ἐδίωκε, κατὰ ζῆλον ἐδίωκε, καὶ οὐ κατὰ ἀνθρώπινον λογισμὸν, ὡς οἱ πολλοὶ διὰ δόξαν, αἱρεσιν συνιστῶντες, οἳ συνοίδασι πολλὴν τὴν σαθρότητα.

Καλῶς δὲ συνίστησιν ἑαυτὸν, ἵνα καὶ τὸ ἀγαπᾷν τὸν Τιμόθεον δείξῃ ἀληθεύων, καὶ μὴ ἀφίλου λάβῃ δόξαν, μὴ ἀπελθὼν πρὸς αὐτὸν, καὶ ταῦτα ὑποσχόμενος. « Ὡς ἀδιάλειπτον. » Ἐπειδὴ ἀδιάλειπτον. « Ἐν ταῖς δεήσεσί μου. » Οὐχ ἁπλῶς μέμνημαι, ἀλλ' ἐν ταῖς δεήσεσι, καὶ νυκτὸς καὶ ἡμέρας. « Ἐπιποθῶν σε ἰδεῖν. » Οὐκοῦν, φησὶ, τοσαύτης ἡδονῆς ἐκὼν ἐμαυτὸν ἀπεστέρησα. Φιλεῖσθαι γὰρ ἄξιος ὑπάρχεις, διά τε τὰ δάκρυα, διά τε τὴν σὴν καὶ τὴν τῶν προγόνων πίστιν. Ὅρα δὲ, οὐ βούλεται αὐτὸν ἐκ προοιμίων λυπῆσαι ὡς μὴ ἐρχόμενος, ἀλλ' ἐλπίδα δίδωσι τοῦ ἰδεῖν αὐτόν. Πρὸς τῷ τέλει δὲ, τὸ μὴ ἰδεῖν αὐτὸν ἔτι ἐν σαρκὶ δηλοῖ, εἰπών· « Ἐγὼ γὰρ ἤδη σπένδομαι. » Ἡ δὲ τάξις αὕτη· Χάριν, φησὶν, ἔχω τῷ Θεῷ, ἐπειδή σου μέμνημαι, ἐπιποθῶν σε ἰδεῖν, ἵνα χαρᾶς πληρωθῶ. Εἶτα διὰ μέσου· « Μεμνημένος σου τῶν δακρύων. » Εἶτα ἵνα μὴ δόξῃ εἰκῇ φιλεῖν, λέγει καὶ τὴν αἰτίαν.

A quemadmodum multi qui gloriæ cupiditate duct. hæresim statuunt, magnæ imbecillitatis sibi conscii. Et recte seipsum commendat, ut etiam in diligendo Timotheo ostendat se non esse fallacem, neque ejus quem non diligeret captare gloriam, cum ad eum profectus non esset; licet antea id promisisset. « Quod citra ullam intermissionem. » Quod absque intermissione. « In precationibus meis. » Non vulgari, ait, modo memini, sed in precationibus, et nocte ac die. « Desiderans te videre. » Nequaquam igitur tanta voluptate me voluntarie privavi. **257** Dignus enim es qui ameris, tum propter tuas lacrymas, tum propter tuam ac majorum tuorum fidem. Animadverte autem quod nolit in exordio eum contristare quasi non sit venturus, B sed potius tribuit spem videndi se: juxta finem vero insinuat, quod non sit eum amplius in carne visurus, dicens: « Ego enim jam delibor, » sive immolor. Est autem hic ordo: Gratiam habeo Deo quoniam tui memini, desiderans te videre, ut gaudio replear. Deinde quæ in medio relicta sunt: « Memor lacrymarum tuarum. » Postmodum, ne temere amare videatur, addit et causam.

« Μεμνημένος σου, φησὶ, τῶν δακρύων. » Ἴσως γὰρ χωριζόμενος τοῦ Παύλου οὕτως ἦλγει, ὡς καὶ δακρύειν. Τὸ δὲ ὑπερβατὸν, « Ἐπιποθῶν σε ἰδεῖν ἵνα χαρᾶς πληρωθῶ, » ὡς τῆς θέας μόνης χαρᾶς πληρωτικῆς ὑπαρχούσης. « Ἀνυποκρίτου πίστεως. » Ἐμεμνήμην σου, φησὶν, ἐν ταῖς προσευχαῖς μου, ὑπομιμνησκόμενος τῶν τε δακρύων σου καὶ τῆς ἀνυποκρίτου πίστεως. « Πρῶτον ἐν τῇ μάμμῃ σου. » Ἄλλο ἐγκώμιον· ὅτι οὔτε ἐξ Ἑλλήνων τὸ πρὸς μητρὸς γένος ἦν, ἀλλ' ἐξ Ἰουδαίων πεπιστευκότων Χριστῷ. Ὁ δὲ τούτου πατὴρ Ἕλλην ὢν, διὰ τὸν φόβον τῶν Ἰουδαίων περιετμήθη. « Καὶ ἐν τῇ μητρί σου. » Τὰ τῶν προγόνων ἐγκώμια, ὅταν μὲν καὶ ἡμεῖς αὐτῶν μετέχωμεν, εἰς δόξαν ἡμῖν γίνεται· ὅταν δὲ μὴ, κατακρίνει μᾶλλον ἡμᾶς. Οὗτος δὲ μετεῖχε. « Πέπεισμαι γὰρ, φησὶν, ὅτι καὶ ἐν σοί. » Εἰκότως οὖν ἀνυπόκριτον ταύτην ἔχεις, ὡς ἄνωθεν τεθεμελιωμένην καὶ σαλεύεσθαι οὐκ ἔχουσαν. « Δι' ἣν αἰτίαν. » Ἐπειδὴ ταῦτά σοι σύνοιδα, φησίν. « Ἀναζωπυρεῖν τὸ χάρισμα. » Χαρίσματος ἦν πνευματικοῦ ἠξιωμένος, καὶ συμβουλεύει αὐτῷ τοῦτο σφοδρότερον καὶ ἐνεργέστερον ἀποτελεῖν διὰ προθυμίας, διὰ προσοχῆς, διὰ νήψεως. Τὰ γὰρ ἐναντία τούτων, ἀπομαραίνει αὐτὸ, ὡς ἀλλαχοῦ φησι· « Τὸ πνεῦμα μὴ σβέννυτε. » — « Διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου. » Ἅμα γὰρ αὐτῷ χεῖρας ὁ Παῦλος ἐπέθηκε χειροτονῶν ἐπίσκοπον, καὶ χάρισμα ἐπῆλθεν ἐπ' αὐτῷ, εἰς σημείων ποίησιν, εἰς διδασκαλίαν, εἰς προστασίαν τῆς Ἐκκλησίας.

« Memor lacrymarum tuarum. » Fortassis enim adeo dolebat eo quod a Paulo separatus esset, ut etiam lacrymaretur. Est autem hyperbaton. « Desiderans te videre ut gaudio replear, » tanquam ipse aspectus gaudio repleat. « Fidei non simulatæ. » Tui, inquit, mentionem feci in precibus meis, admonitus tum lacrymis tuis, tum fide non simulata. « Primum in avia tua. » Aliud encomium quod neque ex Græcis a materno genere ortus erat, sed ex Judæis qui etiam in Christum credebant. C Porro cum pater ejus Græcus esset, metu Judæorum circumcisus est. « Et matre tua. » Majorum encomia, quando et nos illorum sumus participes, ad gloriam nobis proveniunt: si vero ab eis alieni sumus, magis nos condemnant: hic autem particeps erat. « Certus autem sum, quod etiam in te. » Merito igitur hanc habes non simulatam, utpote superne fundatam, et quæ concuti non possit. « Quam ob causam. » Quoniam hæc in te esse novi. « Ut suscites donum Dei. » Spirituale receperat donum, et suadet ut illud animi promptitudine, attentione et vigilantia efficiat vehementius et efficacius. Nam horum contraria languidum illud reddunt quemadmodum alibi dicit: « Spiritum ne exstinguatis [1]. » — « Per impositionem D manuum mearum. » Simul enim ut Paulus illi manus imposuit ordinans ipsum episcopum, donum quoque in eum supervenit ad signorum operationem, ad doctrinam et ad præsidendum Ecclesiæ.

Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως, καὶ ἀγάπης, καὶ σωφρονισμοῦ. Μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν, μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ. Ἀλλὰ συγκακοπάθησον τῷ Εὐαγγελίῳ, κατὰ δύναμιν Θεοῦ τοῦ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ,

I, 7-9. *Non enim dedit nobis Deus spiritum timiditatis, sed potentiæ ac dilectionis et sobrietatis. Ne igitur te pudeat testimonii* **258** *Domini nostri neque mei qui sum vinctus illius: sed particeps esto afflictionum Evangelii juxta potentiam Dei, qui salvos fecit nos et vocavit vocatione sancta, non se-*

[1] 1 Thess. v, 19.

cundum opera nostra, sed secundum propositum et gratiam quæ data est nobis per Christum Jesum ante tempora æterna.

Quomodo autem suscitabo donum Dei? Si viriliter ad tentationes et afflictiones permanseris. « Non enim nobis dedit Deus spiritum timiditatis. » Est enim est spiritus sive donum timiditatis, quemadmodum in libris Regum ait : Et cecidit super illos spiritus timiditatis, ubi utile omnino erat timere. Sed potentiæ, inquit, donum datum est nobis. « Potentiæ. » Quæ est adversus tentationes. « Dilectionis. » Quæ est erga fratres. « Sobrietatis. » Circa rectam vitam. In his autem omnibus inferenda etiam est a nobis animi promptitudo. Ne igitur te pudeat testimonii Domini nostri. » Multi homines miserrimi, dispensationis mysterium juxta humanas rationes investigantes, pudorem esse dicunt si Dei Filium crucifixum esse prædicarent, ignorantes quid præstitum sit per crucem et mortem Domini. Te igitur ne pudeat, inquit, testimonii sive martyrii, hoc est passionis Christi, sed libere prædica. « Neque mei qui sum vinctus illius. » Neque te pudeat quod cum qui vinctus est habeas præceptorem. Si enim Christus ob crucem non erubuit, neque ego ob vincula. « Sed particeps esto afflictionum. » Nec solum te non pudeat, verumetiam una mecum particeps esto afflictionum : hoc est, Si et te oporteat hujusmodi pati propter Evangelium, ne formides. Nam hoc superius quoque innuit, ubi ait : Non accepimus spiritum timiditatis, sed potestatis. « Juxta Dei potentiam. » Deinde etiam exhortatur illum. Non enim propria, inquit, potentia vales sustinere afflictiones, sed Deus hujusmodi dedit dabitque potentiam, tu modo id asseras ut in hoc promptus sis. « Qui salvos fecit nos. » Ad hæc probationes recenset de divino auxilio ac potentia, quæ id efficit ut viriliter toleremus afflictiones et injurias. Salvos, inquit, fecit nos de morte peccati, et vocavit nos vocatione sancta cum obsurdesceremus : non quod digni essemus vocatione, **259** sed ipse suo proposito et gratia hoc effecit. Qui igitur, inquit (nam hæc est sententia), dum inimici essemus ita erga nos fuit affectus, multo magis cum amici facti simus, et pro eo affligi cupiamus, potentiam dabit ut ad virtutes evadamus. « Et gratiam quæ data est nobis per Christum. » Ostendit quod salutem nobis dari per Christum (nam ἐν capitur pro διά, id est, in, propter) antea præfiguratum erat ante tempora æterna.

οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων.

Πῶς δὲ ἀναζωπυρήσω τὸ χάρισμα τοῦ Θεοῦ; Ἐὰν στῇς πρὸς πειρασμοὺς γενναίως. « Οὐ γὰρ ἔδωκεν ἡμῖν πνεῦμα δειλίας. » Ἔνι γὰρ καὶ πνεῦμα, οἷον χάρισμα δειλίας, ὡς ἐν ταῖς Βασιλείαις φησί· Καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς πνεῦμα δειλίας, ἔνθα συμφέρει πάντως τὸ δειλιᾶν· ἀλλ' ἡμῖν, φησὶ, χάρισμα δυνάμεως δέδοται. « Δυνάμεως. » Τῆς πρὸς πειρασμούς. Ἀγάπης. » Τῆς πρὸς τοὺς ἀδελφούς. « Σωφρονισμοῦ. » Περὶ βίον ὀρθόν. Ἐφ' ἅπασι δὲ τούτοις, καὶ ἡμᾶς συνεισεκτέον τὴν προθυμίαν. « Μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν. » Πολλοὶ τρισάθλιοι ἄνθρωποι λογισμοῖς ἀνθρωπίνοις τὸ κατὰ τὴν οἰκονομίαν ἐξετάζοντες μυστήριον, αἰσχύνην εἶναι λέγουσιν, εἰ τὸν Υἱὸν τοῦ Θεοῦ σταυρωθέντα κηρύξαιεν, ἀγνοοῦντες τί κατωρθοῦτο διὰ τοῦ σταυροῦ καὶ τοῦ θανάτου τοῦ Κυρίου. Σὺ οὖν, φησὶ, μὴ ἐπαισχυνθῇς τὸ μαρτύριον, τουτέστι, τὸν σταυρὸν τοῦ Χριστοῦ, ἀλλὰ κήρυσσε παῤῥησίᾳ. « Μηδὲ ἐμὲ τὸν δέσμιον. » Μηδὲ, ὅτι ἔχεις δέσμιον διδάσκαλον, ἐπαισχυνθῇς. Εἰ γὰρ ὁ Χριστὸς οὐκ ἐπησχύνθη τὸν σταυρὸν, οὐδὲ ἐγὼ τὰ δεσμά. « Ἀλλὰ συγκακοπάθησον. » Καὶ μὴ ἐπαισχυνθῇς μόνον, ἀλλὰ καὶ συγκακοπάθησον μετ' ἐμοῦ· τουτέστιν, Εἰ δέοι καὶ σὲ τοιαῦτα παθεῖν διὰ τὸ Εὐαγγέλιον, μὴ δειλιάσῃς. Τοῦτο γὰρ ἠνίξατο καὶ ἄνω ἔνθα φησὶν, Οὐ γὰρ ἐλάβομεν πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως. « Κατὰ δύναμιν Θεοῦ. » Εἶτα καὶ προτρέπει αὐτόν. Μὴ γὰρ οἰκείᾳ, φησὶ, δυνάμει ἔχεις κακοπαθῆσαι; Ὁ Θεὸς τὴν τοιαύτην ἔδωκέ τε καὶ δώσει δύναμιν· σὺ μόνον τὸ προθυμηθῆναι εἰσάγαγε. « Τοῦ σώσαντος ἡμᾶς. » Εἶτα καὶ τῆς συμπράξεως τοῦ Θεοῦ καὶ τῆς δυνάμεως, τῆς φέρειν γενναίως ποιούσης τοὺς πειρασμοὺς καὶ τὴν κακοπάθειαν, λέγει τὰς ἀποδείξεις. Ἔσωσεν ἡμᾶς, φησὶν, ἐκ τοῦ θανάτου τῆς ἁμαρτίας, καὶ ἐκάλεσεν ἡμᾶς κλήσει ἁγίᾳ, ἀποσκιρτῶντας, οὐκ ἐπειδὴ ἄξιοι ἦμεν τῆς κλήσεως, ἀλλ' αὐτὸς οἰκείᾳ προθέσει καὶ χάριτι τοῦτο πεποίηκεν. Ὁ οὖν, φησὶ (τοῦτο γὰρ τὸ ἀποτέλεσμα), ἐχθροὺς ὄντας οὕτω διατεθεικὼς, πολλῷ μᾶλλον φίλους γεγονότι καὶ ὑπὲρ αὐτοῦ κακοπαθεῖν βουληθεῖσι, δώσει δύναμιν εἰς τὸ περιγενέσθαι. « Καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ. » Δείκνυσιν ὅτι τὸ δοθῆναι ἡμῖν χάριτι τὴν σωτηρίαν διὰ τοῦ Χριστοῦ (τοῦτο λέγει ἐν Χριστῷ Ἰησοῦ), προτετυπωμένον ἦν ἄνωθεν πρὸ χρόνων αἰωνίων.

I, 10-14. *Manifesta est autem nunc per apparitionem Salvatoris nostri Jesu Christi, qui mortem quidem abolevit, vitam autem in lucem produxit ac immortalitatem per Evangelium, in quod positus sum ego præco et apostolus ac doctor gentium : quam ob causam etiam hæc patior, attamen non erubesco. Novi enim cui crediderim, certusque sum quod potens sit depositum meum custodire in illum diem. Formam habeto sanorum sermonum quos a*

Φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ Εὐαγγελίου, εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ καὶ ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν, δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω, ἀλλ' οὐκ ἐπαισχύνομαι. Οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι, ὅτι δυνατός ἐστι τὴν παραθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν. Ὑποτύπωσιν

ἔχε ὑγιαινόντων λόγων ὧν παρ' ἐμοῦ ἤκουσας ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ. Τὴν καλὴν παραθήκην φύλαξον διὰ Πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν.

Ἤδη μὲν πάλαι τὸ σωθῆναι ἡμᾶς προετετύπωτο, νῦν δὲ ἐκ τῆς ἐνανθρωπήσεως τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, γέγονε καταφανές. Ἡ γὰρ τοιαύτη βουλὴ τοῦ Θεοῦ, τὸ σωθῆναι τὸν κόσμον διὰ τῆς πίστεως, νῦν καὶ οὐκ ἄλλοτε γέγονε καταφανής. « Καταργήσαντος μὲν τὸν θάνατον. » Τῷ τὴν ἁμαρτίαν συγχωρῆσαι, καὶ ἀνάστασιν δωρήσασθαι. « Φωτίσαντος δὲ ζωήν. » Τουτέστι, φανερώσαντος. Ἀξία δὲ τῆς ζωῆς ἡ λέξις. « Διὰ τοῦ Εὐαγγελίου, » φησί. Δι' αὐτοῦ γὰρ ἥ τε αἰώνιος ζωὴ καὶ ἡ ἀνάστασις ἐφάνη γέγονεν. « Εἰς ὃ ἐτέθην ἐγώ. » Πρῶτον μὲν τὸ ὃν λέγει, ἔπειτα καὶ τοῦτο αἰνίττεται, ὅτι χρή σε καὶ ἔθνεσι πλησιάζειν. Ἄλλως τε καὶ ἀξιόπιστον τὸν λόγον ποιεῖ. « Δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω. » Ποίαν; Διὰ τὸ εἶναι κήρυξ καὶ ἀπόστολος, ὡς εἰ ἔλεγεν. Οὐχ ὡς κακοῦργος δέδεμαι, καὶ εἰς φυλακὰς ἕλκομαι. « Ἀλλ' οὐκ ἐπαισχύνομαι. » Καύχησις γὰρ μεγίστη, τὸ ὑπὲρ Χριστοῦ τι πάσχειν. Ὁρᾷς πῶς ἀλείφει πρὸς πειρασμὸν τὸν μαθητήν, δεικνὺς ὡς εἰ μή τις αἰσχυνόμενος ὑποσταλῇ, αὐτὸς ὁ κίνδυνος ῥᾳων ἔσται τῇ τοῦ Χριστοῦ βοηθείᾳ. « Ὅτι δυνατός ἐστι τὴν παραθήκην μου φυλάξαι. » Παραθήκην φησὶ τὴν πίστιν, ἣν παρέθετο αὐτῷ ὁ Χριστὸς κηρύσσειν. Ἢ τοὺς πιστοὺς λέγει, οὓς αὐτῷ ὁ Θεὸς παρέθετο διδάξαι, ἢ οὓς αὐτὸς τῷ Θεῷ παρέθετο. « Ἰδοὺ γάρ, φησὶ, παρατίθημι ὑμᾶς τῷ Κυρίῳ. » Εἷς δὲ τῶν παρατεθέντων καὶ ὁ Τιμόθεος. Φησὶν οὖν· Οἶδα ὅτι ἐκεῖνος ᾧ πεπίστευκα καὶ πέπεισμαι, δύναται φυλάξαι τὴν παραθήκην ἀσάλευτον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. « Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων. » Οἷον εἰκόνα, ὁμοίωσιν, μίμησιν. Ὑγιαινόντων δὲ, τῶν περὶ πίστιν καὶ βίον. Ὡς οἵγε περὶ ἄλλων, οὐχ ὑγιαίνουσιν. « Ὧν παρ' ἐμοῦ ἤκουσας. » Οὐ διὰ γραμμάτων μόνον τὰ πρακτέα ὑπέθετο τῷ μαθητῇ, ἀλλὰ καὶ στόμα πρὸς στόμα ἐντέταλτο αὐτῷ. Οὕτω γὰρ καὶ ἐπὶ πάντων ἐποίει. Διὸ μηδεὶς νομιζέτω ἐλλιπῶς ἔχειν τὰς ἐπιστολὰς, ὅτι μὴ περὶ πάντων διαλέγονται. « Ἐν πίστει καὶ ἀγάπῃ. » Ἐν πίστει γὰρ καὶ ἀγάπῃ τῇ διὰ Χριστοῦ δοθείσῃ αὐτῷ οἱ λόγοι ἐγίνοντο καὶ αἱ διδαχαί. « Τὴν καλὴν παραθήκην φύλαξον. » Παραθήκην φησὶ τὴν πίστιν καὶ ἐπιμέλειαν τῆς ἐμπιστευθείσης αὐτῷ Ἐκκλησίας. Εἶτα δείκνυσιν ὅτι οὐκ ἀνθρωπίνη ἰσχὺς ἀρκεῖ τὰ τοσαῦτα φυλάξαι. Πολλὰ γὰρ τὰ κωλύματα. Ὑποδείκνυσιν οὖν ὁδὸν φυλακῆς. Φύλαττε γὰρ, φησὶ, διὰ Πνεύματος ἁγίου. Ὡς εἰ εἶπεν· Σπούδασον ἔχειν τὸ Πνεῦμα παρὰ σοὶ μένον, καὶ μὴ ἀπελάσῃς αὐτὸ διὰ φαύλης ἀναστροφῆς, καὶ φυλάξεις τὴν παραθήκην. « Ἐὰν γὰρ μὴ Κύριος, φησὶν, οἰκοδομήσῃ οἶκον καὶ πόλιν φυλάξῃ, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες καὶ οἱ φυλάσσοντες. »

me audisti per fidem et charitatem quæ est in Christo Jesu. Egregium depositum servato per Spiritum sanctum qui inhabitat in nobis.

Jam quidem olim præfiguratum erat nos salvos fieri, nunc vero ex incarnatione Salvatoris nostri Dei factum est manifestum. Siquidem hujusmodi Dei voluntas, ut mundus per fidem salvus fieret, nunc et non antea manifestata est. « Qui mortem quidem abolevit : » peccatum sane condonando, et resurrectionem tribuendo. « Vitam autem in lucem produxit : » hoc est, manifestavit. Est autem φωτίζειν vox optime conveniens vitæ. « Per Evangelium. » Nam per ipsum et vita æterna et resurrectio manifesta facta est. « In quod positus sum. » Primum id quod est dicit, deinde etiam hoc innuit : Oportet te quoque ad gentes accedere. Præterea etiam sermonem reddit magis credibilem. « Quam ob causam etiam hæc patior. » Quænam est illa causa ? Quia præco sum et Apostolus. Ac si diceret : Non tanquam maleficus vincior et ad carceres trahor. « Attamen non erubesco. » Nam gloriatio maxima est, pati quidpiam pro Christo. Vides quomodo discipulum ad afflictiones præparet ? ostendens quod si quis pudefieri non formidaverit, **260** ipsum periculum Christi auxilio facilius erit. « Quod potens sit depositum meum custodire. » Depositum dicit fidem quam commendavit ei Christus prædicandam, vel fideles ipsos quos ei Deus commendavit docendos, aut quos ipse Deo commendavit. « Ecce, ait, commendo vos Deo [2]. » Unus autem commendatorum erat Timotheus. Dicit ergo : Novi quod ille cui credidi et confidi, potens sit custodire depositum inconcussum in illum diem. « Formam habeto sanorum sermonum. » Hoc est imaginem, similitudinem, imitationem. Sanorum autem ut qui sint circa fidem et vitam, tanquam qui circa alia sunt, sani non sint. « Quos ad me audisti. » Non per solas epistolas, quæ facienda sunt discipulo proposuit, sed et ore coram ipsi præcepit. Nam ita in omnibus quoque faciebat. Ne quis itaque in epistolis aliquid deesse existimet, quod non de omnibus disserant. « Per fidem et charitatem. » Per fidem enim et charitatem quæ ipsi per Christum data erat, fuerunt sermones et doctrinæ. « Egregium depositum servato. » Depositum dicit fidem ac diligentiam circa concreditam ipsi Ecclesiam. Deinde ostendit humanam non sufficere potentiam ad tanta custodienda. Multa enim sunt quæ obsistunt. Viam igitur ac modum custodiæ indicat. Servato, inquit, per Spiritum sanctum. Ac si diceret : Cura Spiritum habere apud te manentem, neque prava conversatione ipsum repellas, et depositum custodies. « Nisi enim Dominus ædificaverit domum et custodierit civitatem, in vanum laboraverunt qui ædificant quique custodiunt [3]. »

[2] Act. xx, 32. [3] Psal. cxxvi, 1.

CAPUT II.

De conveniente traditione divinorum dogmatum.

1, 15-15. *Nosti hoc quod adversati me fuerint omnes qui sunt in Asia, quorum est Phrygelus et Hermogenes. Det* **261** *misericordiam Dominus Onesiphori familiæ, quoniam sæpius me refocillavit, et de catena mea non erubuit, sed cum esset Romæ, studiosius quæsivit me, et invenit. Det ei Dominus, ut inveniat misericordiam apud Dominum in die illo. Et in quam multis Ephesi ministraverit tu melius nosti.*

Afflictiones commemorat, non ut discipulum reprehendat, sed ut doceat ad similia fortiter tolerandum. Nam cum a Nerone comprehensus esset, dereliquerunt eum amici qui erant in Asia. Multi enim Romæ erant qui ab Asia secuti erant Paulum aut alio modo credentes ; omnes autem subduxerunt sese postquam est a Nerone comprehensus. « Qui sunt in Asia : » hoc est, ex Asia. « Det misericordiam Dominus. » Animadverte ejus studium. Non exsecratur eos qui reliquerant, sed solum narrat quæ ab ipsis fiebant : ei vero qui opem tulit multa bona precatur, nec soli ipsi, sed et familiæ ipsius : adeo probi erant, et ita Onesiphorus eos instruxerat « Onesiphori familiæ. » O felix Onesiphore ! qui dignus habitus es ut Paulum refocillares, sit nobis et pars tecum. « Sæpius me refocillavit. » Velut athletam aliquem squalore ac fatigatione a lucta occupatum. « Et de catena mea non erubuit. » Relictis periculis pudorem solum proposuit, suadens discipulum bono esse animo, veluti solus pudor ex ea procederet, nec periculum accederet, cum tamen adesset etiam periculum. Nero enim insania agitabatur adversus Paulum, quod quemdam e domesticis suis in fide instruxisset. « Studiosius quæsivit me. » Non solum, inquit, non fugit meam societatem, cum tamen etiam periculum esset mecum conversari ubi reclusus essem : verum etiam studiosius quam debuit quæsivit me donec invenisset me. Qui autem participes cum sanctis erant in laboribus erunt quoque participes in coronis, sicut ipse dicit [b] : « Recte fecistis quod communicastis afflictioni meæ. » Det ei Dominus ut inveniat misericordiam apud Dominum. » Qui Marcionis dogmata sequuntur, assultum faciunt in Scripturam, quasi duo sint Domini · unum tamen alibi dicit Dominum. « Nobis tamen unus est Dominus Jesus Christus per quem omnia [a]. » Quid ergo dicemus ? Hæc ordinatio in usu est apud divinam Scripturam : ut est illud : Dixit Abraham : Nequaquam **262** ingressus est Abraham. Ac si hoc loco dixisset : Tribuat illi Dominus ut inveniat misericordiam apud ipsum. Quod si etiam Patrem ac Filium hic significari accipias, ne hoc quidem absurdum erit. Nam et Pater Dominus est, et Filius Domi-

[b] Philipp. IV, 14. [a] I Cor. VIII, 6.

A

ΚΕΦΑΛ. Β'.

Περὶ τῆς ἁρμοζούσης μεταδόσεως τῶν θείων δογμάτων.

Οἶδας τοῦτο ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστι Φύγελος καὶ Ἑρμογένης. Δώη ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπησχύνθη, ἀλλὰ γενόμενος ἐν Ῥώμῃ, σπουδαιότερον ἐζήτησέ με καὶ εὗρε. Δώη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις.

Ἐξηγεῖται τοὺς πειρασμούς, οὐχ ἵνα καταβάλῃ τὸν μαθητήν, ἀλλ' ἵνα διδάξῃ ἐπὶ τοῖς ὁμοίοις καρτερῶς φέρειν. Συλληφθέντα γὰρ αὐτὸν παρὰ B Νέρωνος, οἱ φίλοι κατέλιπον οἱ ἐν τῇ Ἀσίᾳ. Ἦσαν γὰρ ἐν Ῥώμῃ πολλοὶ ἐκ τῆς Ἀσίας ἑπόμενοι τῷ Παύλῳ, ἢ ἄλλως πιστοί. Πάντες δὲ ἀπεσχοίνισαν ἑαυτοὺς μετὰ τὴν ὑπὸ Νέρωνος σύλληψιν. « Οἱ ἐν τῇ Ἀσίᾳ. » Τουτέστιν, οἱ ἐκ τῆς Ἀσίας. « Δώη ἔλεος ὁ Κύριος. » Ὅρα φιλοσοφίαν. Τοὺς μὲν καταλιπόντας, οὐ κατηράσατο, ἀλλὰ μόνον τὰ κατ' αὐτοὺς διηγήσατο · τῷ δὲ συμπράξαντι πολλὰ ἐπεύχεται, καὶ οὐκ αὐτῷ μόνῳ, ἀλλὰ καὶ τῷ οἴκῳ αὐτοῦ. Οὕτως ἦσαν ἐνάρετοι, καὶ οὕτως αὐτοὺς Ὀνησιφόρος ἐπαίδευσεν. « Τῷ Ὀνησιφόρου οἴκῳ. » Ὦ μακάριε Ὀνησιφόρε ! ὃς ἠξιώθης ἀναψῦξαι Παῦλον, εἴη ἡμῖν μερὶς μετὰ σοῦ. « Πολλάκις με ἀνέψυξε. » Καθάπερ ἀθλητήν τινα ὑπὸ τοῦ αὐχμοῦ τῆς πάλης κατεχόμενον. Καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη. Τοὺς C κινδύνους ἀφεὶς, τὴν αἰσχύνην προέταξε, πείθων τὸν μαθητὴν θαρρεῖν, ὡς αἰσχύνης μόνης τικτομένης ἐκ τοῦ πράγματος, καὶ οὐ κινδύνου προσόντος· καίτοι γε καὶ κίνδυνος προσῆν. Ὁ γὰρ Νέρων ἐμαίνετο κατὰ Παύλου ὡς κατηχήσαντός τινα τῶν οἰκείων αὐτῷ. « Σπουδαιότερον ἐζήτησέ με. » Οὐ μόνον, φησὶν, οὐκ ἔφυγέ μου τὴν συντυχίαν, καίτοι κινδύνου ὄντος καὶ συντυγχάνειν αὐτῷ μετὰ τὸ ἐγκλεισθῆναι, ἀλλὰ καὶ σπουδαιότερον τοῦ ὀφείλοντος ἐζήτησέ με ἕως εὗρέ με. Οἱ κοινωνοῦντες δὲ τῶν πόνων τοῖς ἁγίοις, κοινωνήσουσι καὶ τῶν στεφάνων, ὡς καὶ αὐτός φησι. « Καλῶς ἐποιήσατε, κοινωνήσαντές μου τῇ θλίψει. » — « Δώη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου. » Οἱ τὰ Μαρκίωνος φρονοῦντες ἐπι- D πηδῶσι τῇ Γραφῇ, ὡς δύο Κυρίων ὄντων, ἀλλ' εἷς Κύριος ἀλλαχοῦ φησιν. « Ἡμῖν δὲ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. » Τί οὖν ἐροῦμεν ; Συνήθης ἡ σύνταξις αὕτη τῇ θείᾳ Γραφῇ. Ὡς ἐκεῖ. Εἶπεν Ἀβραὰμ, Οὐ μὴ εἰσέλθῃ Ἀβραάμ· ὡς εἰ ἔλεγε, Παράσχῃ αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρ' αὐτῷ. Εἰ δὲ καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν δηλοῦσθαι ἐνταῦθα δέξῃ, οὐδὲ τοῦτο ἄτοπον. Καὶ ὁ Πατὴρ γὰρ καὶ ὁ Υἱὸς Κύριος, καὶ τὸ Πνεῦμα Κύριος, ἀλλ' εἷς Κύριος ταῖς τρισὶν ὑποστάσεσιν ἐμφαινόμενος. « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. » Ἢ ὅτι διευκρινοῦντός ἐστι τὸ οὕτως εἰπεῖν τὰς ἁγίας ὑποστάσεις, ὡς ἐκεῖ· « Ἔβρεξε Κύριος παρὰ Κυρίου πῦρ

καὶ θεῖον. » — « Εὑρεῖν ἔλεος. » Εἰ δὲ Ὀνησιφόρος ἐλέους δεῖται πρὸς τὸ σωθῆναι ὁ τοιοῦτος, τί πάθωμεν ἡμεῖς; « Καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε. » Ἀεὶ διηκόνει, ἐν Ἐφέσῳ, ἐν Ῥώμῃ. Τοιοῦτον γὰρ εἶναι δεῖ τὸν σπουδαιότερον, ἐν ἔργῳ ἀεί.

A nus, et Spiritus Dominus, sed unus Dominus tribus personis demonstratur. « Dixit Dominus Domino meo [6]. » Aut quod hoc modo divinas distinguat personas, quemadmodum ibi : « Pluit Dominus a Domino ignem ac sulphur [7]. » — « Ut inveniat misericordiam. » Quod si Onesiphorus cum tantus sit, misericordia eget ut salvus fiat, quid nobis continget? « Et in quam multis Ephesi ministraverit. » Semper ministrabat, et Ephesi et Romæ. Talem enim oportet esse eum qui studiosior est, puta semper in opere.

Σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι.

II, 1,2. *Tu igitur, fili mi, fortis esto per gratiam quæ est per Christum Jesum : et ea quæ audisti a me per multos testes, hæc commenda fidelibus hominibus qui erunt idonei ut alios quoque doceant.*

Πολὺ φιλοστόργως τὸ, μοῦ, πρόσκειται. Εἰ τέκνον μου εἶ, φησί, τὸν πατέρα μιμοῦ. Οὐδὲ γὰρ θάρσος ἐμβάλλειν μαθητῇ, διδασκάλου πειρασμός. Διό φησιν, « Ἐνδυναμοῦ. » Ἂν γάρ τί σοι, φησί, τοιοῦτο προσπέσῃ, μὴ καταπέσῃς, πρὸς ἐμὲ ὁρῶν. « Ἐνδυναμοῦ ἐν τῇ χάριτι. » Ἐνδυναμοῦ δὲ, φησί, μὴ μόνον τῷ ἐμῷ παραδείγματι, ἀλλὰ καὶ διὰ τῆς χάριτος τῆς διὰ Χριστοῦ δοθείσης. Εἰ γὰρ μὴ αὐτὸς τῷ ἰδίῳ αἵματι ἐδικαίωσεν, οὐκ ἂν ἡ χάρις τοῦ Πνεύματος παρεγένετο. Ἔχε οὖν, φησὶ, τὸ Πνεῦμα συμμαχοῦν. « Καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων. » Τουτέστιν, οὐ κρύφα σοι εἶπον, ἀλλὰ μετὰ παῤῥησίας πολλῶν παρόντων. Περὶ τοῦ κηρύγματος δὲ ταῦτα λέγει. Πιστοῖς, φησὶν, οὐ ζητητικοῖς, οὐδὲ συλλογιστικοῖς, ἀλλὰ τοῖς μὴ προδιδοῦσι τὰ παρατιθέμενα. Οὐκ εἶπε δὲ, Εἰπὲ, ἀλλὰ, Παράθου. Τί γὰρ ὄφελος εἰ πιστοὶ μέν εἰσιν, οὐχ ἱκανοὶ δὲ εἰς ἑτέρους ἐξάγειν τὰ πιστευθέντα; Δεῖ γὰρ καὶ πιστοὺς καὶ διδακτικοὺς εἶναι τοὺς διδασκάλους. — « Πιστοῖς ἀνθρώποις. » [ΦΩΤ.] Ἤγουν ἐπισκόποις, πρεσβυτέροις, οὓς ἔμελλεν ὁ Τιμόθεος χειροτονεῖν. « Διὰ πολλῶν μαρτύρων, » τουτέστι, νόμου καὶ προφητῶν. — [ΟΙΚΟΥΜ.] Καὶ γάρ, ὡς ἡγοῦμαι, περὶ ἐπισκόπων καὶ πρεσβυτέρων τῶν παρ' αὐτοῦ χειροτονεῖσθαι μελλόντων, ταῦτα αὐτῷ παραγγέλλει. Οὐκ ἂν γὰρ περὶ λαϊκῶν τοιαῦτα ἔγραψεν. Οἷον γὰρ ἦν, εἰ μὴ εὑρέ τινα πιστὸν καὶ διδακτικὸν, οὐκ ἂν κατήχει εἰς τὴν πίστιν, αὐτοῦ τοῦ Παύλου καὶ τοῖς φονῶσιν Ἰουδαίοις καὶ Ἕλλησιν ἀπαρατηρήτως κηρύσσοντος τὸν λόγον. « Διὰ πολλῶν μαρτύρων. » Τουτέστι, νόμου καὶ προφητῶν. Τούτους γὰρ Ἀπόστολος ἐποιεῖτο μάρτυρας τοῦ ἰδίου κηρύγματος. Οὕτως ὁ Κλήμης ἐν ἑβδόμῳ Ὑποτυπώσεων.

Magnam indicat benevolentiam quod additur, Fili mi. Si meus, inquit, filius es, patrem imitare. Audaciam enim solet addere discipulo præceptoris afflictio. Ideo ait : « Fortis esto. » Si quid hujusmodi in te inciderit, ne concidas, sed ad me respicito. « Fortis esto per gratiam. » Fortis autem esto non solum meo exemplo, sed etiam per gratiam quæ per Christum data est. Nisi enim ipse suo sanguine justificasset, nequaquam gratia Spiritus accessisset. Habeto igitur Spiritum, inquit, una tecum pugnantem. « Et ea quæ audisti a me per multos testes. » Hoc est, non in occulto tibi dixi, sed palam multis præsentibus. Hæc autem de prædicatione loquitur. Fidelibus, inquit, non curiosis investigatoribus, neque disputatione ratiocinantibus, sed iis qui non prodant ea quæ sibi commendantur. Non ait autem : Dic, sed, Commenda. Quæ enim utilitas si fideles quidem sint, at non idonei qui ea quæ sibi concredita sunt ad alios proferant? Oportet enim præceptores et fideles esse et aptos ad docendum. « Fidelibus hominibus. » Videlicet episcopis ac præsbyteris quos ordinaturus erat Timothæus— « Per multos testes. » Puta legem ac prophetas. Siquidem meo judicio de episcopis ac presbyteris qui ab ipso ordinandi erant hæc ei præcipit: **263** neque enim ista de popularibus scripsit : quid enim futurum erat si nullum invenisset fidelem, aptumque ad docendum? annon instruxisset ad fidem? cum Paulus et homicidis Judæis ac Græcis sine discrimine prædicaret sermonem. « Per multos testes. » Hoc est legem ac prophetas. Nam hos in testes proferebat Apostolus suæ prædicationis. Ita habet Clemens septimo *Informationum* libro.

ΚΕΦΑΛ. Γ'.

Περὶ τῆς ἀῤῥόντιδος ἐν τῷ νῦν βίῳ πολιτείας, ἐπὶ ταῖς ἀπόροις τροφαῖς.

Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν.

CAPUT III.

De conversatione in præsenti vita sine anxietate, de alimentis quæ citra laborem proveniunt.

II, 3-6. *Tu igitur feras afflictionem ut bonus miles Jesu Christi. Nemo qui militat implicatur vitæ negotiis, ut ei qui se in militiam delegit placeat. Quod si certet etiam aliquis, non coronatur nisi legitime certaverit. Laborantem agricolam oportet primum de fructibus participem esse.*

[6] Psal. cix, 2. [7] Gen. xii, 24.

Papæ! quanta dignitas militem esse Christi! Signum autem militis est ferre adversa. « Nemo qui militat. » Militis fecit mentionem, ostendens quod promptum et audacem esse oporteat Christi servum : athletæ vero dicens, Ἐὰν δὲ καὶ ἀθλῇ τις, id est, Quod si certet etiam aliquis, ut ostendat quod esse debeat in continuo labore. Si ergo, inquit, is qui terreno regi militat, non implicatur rebus quæ abstrahunt eum ab armis, quanto magis qui cœlesti regi sese dedicavit, ejusque militiæ addixit. « Nisi legitime certaverit. » Non enim satis est tantum inungi, inquit, aut locum certaminis ingredi, aut cum hoste conserere manus, sed oportet etiam tolerare ac vincere : hæc enim est lex certaminis. « Laborantem agricolam. » Non negligentem : sed eum qui laborat. Etenim præceptor quoque qui laborat circa discipulos, præmia a Deo habebit pro utilitate et commodo discipulorum. « Oportet primum de fructibus participem esse. » Quæ præceptores in seipsis primum bona operentur quæ docent. **264** Nam hoc est, primum oportere fructuum participes esse, quos sibi ipsis primum ante alios per virtutes colunt. Militis quidem et athletæ exemplum etiam discipulis quadrat : agricolæ vero, solis præceptoribus. Quemadmodum enim, inquit, agricola, terræ ac fructuum curam habet, ita et tu discipulorum ac prædicationis. Et vide quomodo respondeat. Præceptor, inquit, primus utilitate discipulorum fruitur apud Deum, quemadmodum agricola fructibus.

II, 7-10. *Considera quæ dico. Det enim tibi Dominus in omnibus intellectum. Memento Jesum Christum resurrexisse ex mortuis ex semine David secundum Evangelium meum, in quo malis affligor quasi facinorosus usque ad vincula, at sermo Dei non est vinctus. Propterea omnia suffero propter electos, ut et ipsi salutem consequantur, quæ est in Jesu cum gloria æterna.*

Quoniam omnia dixerat in parabolis quæ de milite erant, de athleta et de agricola, ait nunc : « Considera quæ dico : » cujus causa dicam : In omnibus : » Ut et intelligas ut oportet, et cætera facias ut decet. « Memento Jesum Christum resurrexisse. » Simul etiam adversus hæreticos firmiorem reddit et excitat sermonem : ostendens quod et Christus per afflictionem venerit, et mortem per mortem devicerit. « Ex semine David. » Jam enim nonnulli hæreticorum ab eo tempore Dei negabant dispensationem, qui ignominiam arbitrabantur quod Filius Dei pateretur, et propterea fortassis phantastica induxerunt, ignorantes quod summæ benevolentiæ ac bonitatis suæ signum hoc tradiderit. « Secundum Evangelium meum. » Quoniam etiam pseudapostoli Evangelium prædicabant, sed male, ut meum, inquit, Evangelium attestatur. « In quo malis affligor. » Evangelii veritatem exhibent Pauli afflictiones. « In quo *Evangelio* malis affligor. » Quis enim non vera prædicans, et de quibus non esset factus omnino certior, talia pati eligeret?

Βαβαὶ, ὅσον τὸ ἀξίωμα, στρατιώτην εἶναι Χριστοῦ ; Δεῖγμα δὲ στρατιώτου τὸ κακοπαθεῖν. « Οὐδεὶς στρατευόμενος. » Στρατιώτου ἐμνήσθη, δεικνὺς ὡς πρόθυμον καὶ τολμητίαν εἶναι δεῖ τὸν Χριστοῦ δοῦλον· ἀθλητοῦ δὲ, δεικνὺς ὅτι ἀσκήσεως αὐτῷ χρεία διηνεκοῦς. Εἰ οὖν, φησὶν, ὁ τῷ ἐπιγείῳ βασιλεῖ στρατευόμενος, οὐκ ἐμπλέκεται πράγμασι τοῖς ἀφέλκουσιν αὐτὸν τῶν ὅπλων, πόσῳ μᾶλλον ὁ τῷ οὐρανίῳ βασιλεῖ ἑαυτὸν ἀναθεὶς καὶ στρατολογήσας. « Ἐὰν μὴ νομίμως ἀθλήσῃ. » Οὐ γὰρ ἀρκεῖ μόνον, φησὶ, τὸ ἀλείψασθαι ἢ εἰς σκάμμα εἰσελθεῖν, ἢ συμπλακῆναι τῷ ἀντιπάλῳ, ἀλλὰ δεῖ καὶ ἐγκρατεύεσθαι καὶ νικῆσαι. Οὗτος γὰρ νόμος ἀθλήσεως. « Τὸν κοπιῶντα γεωργόν. » Οὐ τὸν ἀμελῆ, ἀλλὰ τὸν κοπιῶντα. Καὶ γὰρ καὶ διδάσκαλος ὁ κοπιῶν περὶ τοὺς μαθητὰς, ἀμοιβὰς ἕξει παρὰ Θεοῦ ὑπὲρ τῆς τῶν μαθητῶν ὠφελείας. — « Δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. » [ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ.] Ὡς τῶν διδασκάλων πρῶτον ἐν ἑαυτοῖς κατορθούντων ἅπερ διδάσκουσι. Τοῦτο γάρ ἐστι, τὸ δεῖν πρῶτον τῶν καρπῶν μεταλαμβάνειν, ὧν πρὸ τῶν ἄλλων ἑαυτοῖς διὰ τῶν ἀρετῶν γεωργοῦσιν. Τὸ μὲν τοῦ στρατιώτου καὶ ἀθλητοῦ παράδειγμα, καὶ μαθηταῖς ἁρμόζει, τὸ δὲ γεωργοῦ, διδασκάλοις μόνοις. Ὥσπερ γὰρ, φησὶν, ὁ γεωργὸς τῆς γῆς καὶ τῶν καρπῶν ποιεῖται φροντίδα, οὕτω καὶ σὺ τῶν μαθητῶν καὶ τοῦ κηρύγματος. Καὶ ὅρα τὴν ἀντίδοσιν. Τῆς ὠφελείας, φησὶ, τῶν μαθητῶν, πρῶτος ὁ διδάσκαλος ἀπολαύει παρὰ Θεῷ, ὥσπερ τῶν καρπῶν ὁ γεωργός.

Νόει ἃ λέγω. Δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν ἐκ σπέρματος Δαυὶδ κατὰ τὸ Εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος, ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι, τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.

Ἐπειδὴ πάντα ἐν παραβολαῖς εἶπε, τὰ τοῦ στρατιώτου, τὰ τοῦ ἀθλητοῦ, τὰ τοῦ γεωργοῦ, φησί· « Νόει ἃ λέγω. » Τίνος χάριν λέγω· « Ἐν πᾶσι, » φησὶν, ἵνα καὶ ταῦτα νοῇς ὡς χρὴ, καὶ τἆλλα πράττῃς ὡς δεῖ. « Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον. » Ἅμα καὶ πρὸς αἱρετικοὺς ἀσφαλέστερον ποιεῖ καὶ διεγείρει, δεικνὺς ὡς καὶ ὁ Χριστὸς διὰ παθημάτων ἦλθε, καὶ διὰ θανάτου τὸν θάνατον κατηγωνίσατο. « Ἐκ σπέρματος Δαυίδ. » Ἤδη γὰρ ἐξ ἐκείνου τινὲς τῶν αἱρετικῶν τὴν οἰκονομίαν ἠρνοῦντο, εἰ αἰσχύνην ἐνόμιζον, τὸ τὸν Υἱὸν τοῦ Θεοῦ παθεῖν. Καὶ διὰ τοῦτο ἴσως τὴν φαντασίαν εἰσῆγον, ἀγνοοῦντες ὅτι τῆς ἄκρας αὐτοῦ φιλανθρωπίας καὶ ἀγαθότητος τοῦτο μάλιστα δεῖγμα καθέστηκε. « Κατὰ τὸ Εὐαγγέλιόν μου. » Ἐπειδὴ καὶ οἱ ψευδαπόστολοι εὐηγγελίζοντο κακῶς, ὡς τὸ ἐμὸν κήρυγμα, φησὶν, ὑπογράφει. « Ἐν ᾧ κακοπαθῶ. » Τὸ ἀληθὲς τοῦ Εὐαγγελίου παρίστησι, τὰ Παύλου παθήματα. « Ἐν ᾧ *Εὐαγγελίῳ* κακοπαθῶ. » Τίς γὰρ μὴ ἀληθῆ κηρύσσων καὶ ἐφ' οἷς μὴ πεπληροφόρηται, ἕλοιτ' ἂν τοιαῦτα πάσχειν ;

« Ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. » Ἐμοῦ δεδεμένου, φησὶν, οὐ συνδέδεται τὸ κήρυγμα, ἀλλὰ περιπατεῖ. Τῶν γὰρ χειρῶν δεσμουμένων, ἡ γλῶσσα λαλεῖ. Γλώσσης γὰρ δεσμὸς, δειλία μόνον καὶ ἀπιστία. Τοῦτο δέ φησι, καὶ εἰς προτροπὴν τῶν λελυμένων. Εἰ γὰρ ἐγὼ δεδεμένος κηρύσσω, ποία συγγνώμη, φησὶ, τοῖς λελυμένοις καὶ ἀμελοῦσι; « Διὰ τοὺς ἐκλεκτούς. » Διὰ τοὺς πιστοὺς, φησὶν, οὓς ὁ Θεὸς ἐξελέξατο· ἐπειδὴ γὰρ αὐτοὺς ὁ Θεὸς ἐξελέξατο, δεῖ καὶ ἐμὲ πάντα πάσχειν ὑπὲρ αὐτῶν, ἐπειδὴ καὶ ὁ Θεὸς ὑπὲρ ἡμῶν ἔπαθεν, ὡς εἶναι ἀντιμισθίαν τὸ πρᾶγμα, ἵνα καὶ αὐτοὶ ὡς καὶ ἡμεῖς, φησὶ, σωτηρίας τύχωσιν· ὡς εἰ ἔλεγεν· Ἐξὸν ἦν μοι ζῆν ἀκινδύνως, εἰ τὸ ἐμὸν ἐσκόπουν μόνον, ἀλλ' ὑπὲρ τῶν ἀλλοτρίων ταῦτα πάσχω ἀγαθῶν, ἵνα ἄλλοι τύχωσι σωτηρίας. « Τῆς ἐν Χριστῷ Ἰησοῦ. » Εἰ σαυτῷ, φησὶν, οὐ δυνάμενος σωτηρίαν περιποιῆσαι, ἀλλ' ἰδοὺ ἀποθνήσκειν μέλλεις, πῶς ἑτέροις προξενεῖς; Καί φησιν· Οὐ περὶ ταύτης λέγω τῆς προσκαίρου, ἀλλὰ τῆς ἐν Χριστῷ Ἰησοῦ, τουτέστι, τῆς διὰ Χριστοῦ δωρηθείσης, τῆς αἰωνίου, τῆς μετὰ δόξης ἐσομένης. Ἡ γὰρ τοῦ κόσμου σωτηρία, ἀδοξίαν ἔχει.

A « Sed sermo Dei non est vinctus. » Etsi ego, inquit, vinctus sim, prædicatio non est simul vincta, sed perambulat. Nam vinctis manibus lingua loquitur. Siquidem linguæ carcer solus metus est et incredulitas. **265** Hoc autem dicit etiam ad eorum exhortationem qui soluti erant. Si enim ego qui vinctus sum prædico, quæ venia dari potest his qui solutisunt et tamen negligunt? « Propter electos. » Propter fideles, inquit, quos Deus elegit : nam quia Deus illos elegit, oportet me universa pati pro ipsis, quoniam Deus quoque pro nobis passus est, ut reipsa sit aliqua repensio ac retributio : ut etiam ipsi sicut et nos, inquit, salutem consequantur. Ac si diceret : Mihi sane liceret procul a periculis vivere, si mei solius respectum haberem ; B sed hæc ob aliorum bona patior, ut ipsi salutem consequantur. « Quæ est in Christo Jesu. » Diceret aliquis : Si tibi ipsi non potes salutem acquirere, sed ecce moriturus es, quomodo aliis conciliabis salutem ? Et ait : Non de hac temporali vita loquor, sed de ea quæ est in Christo Jesu, hoc est quæ per Christum donata est, quæ æterna est, quæ futura est cum gloria : mundi enim salus ignominiam habet.

ΚΕΦΑΛ. Δ'.

Περὶ τῆς εἰς Χριστὸν πίστεως καὶ ὑπομονῆς, ἐπ' ἐλπίδι ζωῆς.

Πιστὸς ὁ λόγος. Εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν. Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. Εἰ ἀρνούμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς. Εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει. Ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται. Ταῦτα ὑπομίμνησκε διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου, μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. Σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ Θεῷ, ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

CAPUT IV.

De fide in Christum, et tolerantia ob spem vitæ.

II, 11-15. *Fide dignissimus sermo. Nam si commortui sumus, et convivemus : si sufferimus, et conregnabimus : si negamus, et ille negabit nos : si increduli sumus, ille fidelis manet, negare seipsum non potest. Hæc admone contestans coram Domino, ne verbis contendant ad nullam utilitatem, sed subversionem audientium. Stude teipsum probatum exhibere Deo, operarium non erubescendum, recte secantem sermonem veritatis.*

Πιστὸς ὁ λόγος, ὅτι οἱ ἐκλεκτοὶ ἐνδόξου καὶ αἰωνίας τύχωσι σωτηρίας. Ἐπειδὴ γάρ τινες ἀμφέβαλλον πρὸς τὴν ἀνάστασιν, ταύτης ἐδεήθη τῆς βεβαιώσεως. Ὅτι δὲ πιστὸς ὁ λόγος, καὶ ἀπὸ λογισμῶν αὐτὸν κατασκευάζει. « Εἰ γὰρ συναπεθάνομεν τῷ Χριστῷ, (θάνατον λέγων τόν τε διὰ βαπτίσματος καὶ τὸν διὰ παθημάτων, τοῦτον δὴ τὸν αἰσθητὸν,) καὶ συμβασιλεύσομεν. » Οὐδεὶς γὰρ, φησὶ, τοὺς τῶν σκυθρωπῶν κοινωνήσαντας, τῶν χρηστῶν ἀποστερεῖ, μήτι γε Χριστὸς, ἡ αὐτοαγαθότης καὶ φιλανθρωπία. « Εἰ ἀρνούμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς. » Εἶτα καὶ ἀπὸ τῶν φαύλων αὐτοὺς φοβεῖ. Τὸν δέ γε ἀρνηθέντα ὑπὸ Χριστοῦ, ἐννόει τί παθεῖν εἰκός. « Εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει. » Εἰ ἀπιστοῦμεν ὅτι ἀνέστη, ἢ ὅτι Θεός ἐστιν, ἐκεῖνος πιστὸς, τουτέστιν, ἀληθὴς μένει. Εἰπὼν γὰρ ὅτι ἀναστήσεται, καὶ ὅτι Θεός ἐστιν, (ἐν πολλοῖς γὰρ τοῦτο ἐσήμανεν,) ἀληθὴς ἐστιν. Ἀνέστη γὰρ καὶ Θεός ἐστιν. Ἀρνήσασθαι, φησὶν, ἑαυτὸν οὐ δύναται, εἰς τὸ μὴ εἶναι Θεὸς ἢ ἐγηγέρθαι. Ὡς εἰ εἶπεν· Οὐδὲν παραλλαγεὶς ἔσται διὰ τὴν ἡμετέραν ἄρνησιν, ἀλλὰ πιστὸς μένει καὶ ἀληθὴς εἰς τὰ περὶ ἑαυτοῦ. Καὶ

C

D

« Fide dignissimus sermo. » Quod electi gloriosam et æternam consequantur salutem. Quoniam enim nonnulli de resurrectione ambigebant, hac opus fuit confirmatione. Quod autem sermo fide dignus sit, a rationibus quoque confirmat. « Nam si commortui sumus Christo (mortem dicens et quæ per baptismum est, **266** et quæ per afflictiones, nempe hanc sensibilem), etiam conregnabimus. » Nullus enim eos qui in tristibus communicarunt, privat bonis ac prosperis : nedum Christus qui ipsa est bonitas ac benignitas. « Si negamus, et ille negabit nos. » Deinde ab his quoque dehortatur quæ mala sunt. Eum vero quem negaverit Christus, cogita quid sit consequens pati. « Si increduli sumus, ille fidelis manet. » Si non credimus quod surrexerit, aut quod Deus sit, ille fidelis, id est, verax manet. Cum enim dixerit se resurrecturum, seque Deum esse (nam hoc multis in locis significavit), verax est : siquidem et resurrexit et Deus est. Negare, ait, seipsum non potest, quin Deus sit ac resurrexerit. Ac si diceret : Nihil ob nostram negationem immutatus est, sed fidelis ma-

net et verax in his quæ ipsum concernunt, et negare, hoc est mendacem reddere seipsum non potest, ut non resurgeret aut Deus non esset. Cum enim de seipso annuntiaverit, non potest seipsum mendacem reddere, non complendo ea quæ promisit. Neque enim si credimus, Deum ipsum efficimus : neque si incredduli sumus, divinam ab eo naturam repellimus : sed et credentibus nobis et non credentibus ipse Deus est. Nos igitur qui credimus, utilitatem referimus. Quod autem dicitur, «Non potest,» hoc est : Non est possibile. « Ille fidelis manet. » Itaque propter nostram salutem expetitnobis ut ei assentiamus, et in ipsum credamus. Neque enim damnum ullum recipit ex nostra negatione. « Hæc admone. » Ne quis existimet hæc opus fuisse Timotheo, ait : Hæc admone contestans coram Domino. » Tremendum est autem dicere, teste Deo. « Ne verbis contendant. » Quoniam aviditatem afferunt negotia, semperque vult humanus animus conquirere, et verbis contendere, tu, inquit, contestare ipsis coram Deo ne verbis contendant : hoc est, præcipe assumpto Deo in testem : ut sciant quod si te contempserint, ille judicabit ipsos. « Ad nullam utilitatem. » Neque enim solum circa quæstiones, rationes ac pugnas verborum involvi, nullam affert utilitatem, sed ad damnum etiam fit auditorum qui imbecilliores sunt. « Stude teipsum probatum exhibere Deo. » Hoc est, nulla dignum reprehensione. « Operarium non erubescendum. » Multa de hoc pudore disseruit. **267** Verisimile est enim quod aliquos perditos pudebat prædicationis, quod apostoli malis afficerentur, et quod Christus cum cruce prædicaretur, sive quod viles et abjecti essent prædicatores : nempe Paulus textor tabernaculorum, et Petrus cum aliis pluribus piscatores. Aut ne rubore suffundaris ob mala quæ perpetres. « Recte secantem sermonem veritatis. » Securis in modum seca superflua et adulterina dogmata, quæ impii ac perditi commiscent prædicationi ; et per Spiritum ad id quod rectum est perducito.

A ἀρνήσασθαι, τουτέστι, ψεύσασθαι ἑαυτὸν οὐ δύναται, ἐν τῷ μὴ ἐγηγέρθαι ἢ μὴ εἶναι Θεός. Ἐπαγγειλάμενος γὰρ περὶ ἑαυτοῦ, οὐ δύναται ἑαυτὸν ψεύσασθαι καὶ μὴ πληρῶται τὰ ἐπηγγελμένα. Οὔτε γὰρ πιστεύοντες, Θεὸν αὐτὸν ἀποφαίνομεν, οὔτε ἀπιστοῦντες τῆς θείας ἐκβάλλομεν φύσεως, ἀλλὰ καὶ πιστευόντων ἡμῶν καὶ ἀπιστούντων αὐτὸς Θεός ἐστι. Ἡμεῖς τοίνυν πιστεύοντες τὴν ὠφέλειαν καρπούμεθα. Τὸδὲ « Οὐ δύναται, » ἀντὶ τοῦ, Οὐκ ἐνδέχεται. « Ἐκεῖνος πιστὸς μένει. » Ὥστε διὰ τὴν ἡμετέραν σωτηρίαν ἀπαιτεῖ ἡμῶν τὴν εἰς αὐτὸν συγκατάθεσιν. Οὐ γὰρ καταβλάπτεται, φησὶν, ἐκ τῆς ἡμετέρας ἀρνήσεως. « Ταῦτα ὑπομίμνησκε. » Ἵνα μή τις νομίσῃ τούτων δεῖσθαι τῶν λόγων τὸν Τιμόθεον, φησὶ, Ταῦτα ὑπομίμνησκε, διαB μαρτυρούμενος ἐνώπιον τοῦ Κυρίου. Φοβερὸν δὲ, τὸ, ἐπὶ μάρτυρι Θεῷ λέγειν. « Μὴ λογομαχεῖν. » Ἐπειδὴ λιχνείαν ἔχει τὸ πρᾶγμα, καὶ ἀεὶ βούλεται ἡ ἀνθρωπίνη ψυχὴ συζητεῖν καὶ λογομαχεῖν, σὺ, φησὶ, διαμαρτύρου αὐτοῖς ἐνώπιον τοῦ Θεοῦ, μὴ λογομαχεῖν, ἀντὶ τοῦ, Παράγγελλε, μάρτυρα παραλαμβάνων τὸν Θεὸν, ἵνα εἰδῶσιν ὅτι ἐάν σου καταφρονῶσιν, ἐκεῖνος αὐτοὺς κρινεῖ. « Εἰς οὐδὲν χρήσιμον. » Οὐ μόνον γὰρ τὸ περὶ ζητήματα καὶ λογισμοὺς καὶ μάχας εἰλεῖσθαι οὐδὲν ὄφελος ἔχει, ἀλλὰ καὶ εἰς βλάβην γίνεται τοῖς ἀσθενεστέροις τῶν ἀκουόντων. « Σαυτὸν δόκιμον. » Οἷον, ἀνεπίληπτον. « Ἐργάτην ἀνεπαίσχυντον. » Πολλὰ περὶ τῆς αἰσχύνης ταύτης διειλέχθη. Εἰκὸς γὰρ τινας C ἀπολλυμένους ἐπαισχύνεσθαι τὸ κήρυγμα, ὡς τῶν ἀποστόλων κακῶς πασχόντων, καὶ ὡς τοῦ Χριστοῦ μετὰ τοῦ σταυροῦ κηρυσσομένου, ἢ γοῦν ὡς εὐτελῶν ὄντων τῶν κηρύκων, οἷον ὡς σκηνορράφου τοῦ Παύλου, καὶ ἁλιέων τῶν ἀμφὶ τὸν Πέτρον. Ἢ ὅτι μὴ καταισχυνθῇς, διὰ τοῦ πρᾶξαί τι φαῦλον. « Ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. » Μαχαίρας δίκην τέμνε τὰ περισσὰ καὶ νόθα δόγματα, ἃ οἱ ἀπολλύμενοι προσετρίψαντο τῷ κηρύγματι, καὶ εἰς τὸ εὐθὲς ἄγε διὰ τοῦ Πνεύματος.

II, 16-19. *Cæterum profanas vocum novitates prætermitte : ad majorem enim proficient impietatem, et sermo illorum ut cancer morbus pastionem habebit ; quorum de numero sunt Hymenæus et Philetus, qui circa veritatem aberrarunt, dicentes resurrectionem jam esse factam ; et subvertunt quorumdam fidem. Solidum tamen fundamentum Dei stat, habens signaculum hoc : Novit Dominus qui sint sui*, et, *Discedat ab iniquitate omnis qui nominat nomen Domini.*

« Profanas vocum vanitates. » Si quid novum in prædicatione fuerit inductum ex recentiore invento, omnino vitiosum est et profanum. Quod autem ait περιΐστασο, aut significat Expelle, aut acriter obsiste ut illi finem imponas ac prohibeas. « Ad majorem enim proficient impietatem. » Si quid adulterinum ingreditur, semper ad insolentiam magis tendit, atque in dies magis assumit in-

Τὰς δὲ βεβήλους καινοφωνίας περιΐστασο. Ἐπὶ πλεῖον γὰρ προσκόψουσιν ἀσεβείας, καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει. Ὧν ἐστιν D *Ὑμέναιος καὶ Φιλητός, οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι, καὶ ἀνατρέπουσι τήν τινων πίστιν. Ὁ μέντοι στερεὸς θεμέλιος τοῦ Θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην· Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ, καὶ, Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου.*

« Τὰς δὲ βεβήλους καινοφωνίας. » Εἴ τι νέον ἐν τῷ κηρύγματι ἐξ ἐπινοίας νεωτέρας ἐπεισαχθὲν, πάντως φαῦλον καὶ βέβηλον. Τὸ δὲ, περιΐστασο, ἢ παραιτοῦ, ἢ περισσῶς ἵστασο εἰς τὸ παῦσαι καὶ κωλῦσαι. « Ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας. » Εἴ τι γὰρ νόθον εἰσήχθη, φησὶν, ἀεὶ βαδίζει πρὸς ἀτοπίαν. Καὶ μείζονα τὴν ἐπίδοσιν ὁσημέραι λαμβάνει. « Ὡς γάγγραινα. » Ἡ *γάγγραινα* ἕλκος

σηπτικὸν, καὶ νεμόμενον τὸν τόπον, σηπεδόνας ἐργαζόμενον· « ἣν τινες ἕρπην φασὶν, ἢ ἐρυσιπέλην. « Ὧν ἐστιν Ὑμέναιος... » Τῶν τὰς βεβήλους κενοφωνίας φερόντων. — « Λέγοντες τὴν ἀνάστασιν. » [ΘΕΟΔΩΡ.] Τὰς ἐκ παιδοποιίας διαδοχάς. ἀνάστασιν οἱ δυσώνυμοι προσηγόρευον, καί τινας ἐξηπάτησαν τῆς ἀποστολικῆς ἀποστῆναι διδασκαλίας. « Τὴν ἀνάστασιν ἤδη γεγονέναι. » Καλῶς ἄνωφησὶν, Ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας. Ὅρα γὰρ ὅσα τίκτεται, ἐκ τοῦ λέγειν, ἤδη τὴν ἀνάστασιν γεγονέναι, κακά. Ἀπεστερήμεθα τῆς παρουσίας τοῦ Χριστοῦ, οὗ τί γένοιτ' ἂν ἀνιαρώτερον; οὐκ ἔστιν ἀντίδοσις, οὐδὲ κόλασις. Ψεύδεται ὁ ταῦτα ἐπαγγειλάμενος Χριστός. Καὶ ὅμοια πολλά. Οἷον, « Εἰ ἀνάστασις οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται, » οὔτε κριτὴς καθεδεῖται ζώντων καὶ νεκρῶν. « Καὶ ἀνατρέπουσι τὴν τινων πίστιν. » Τῶν ἀφελεστέρων καὶ ἀσθενεστέρων. « Ὁ μέντοι στερεὸς θεμέλιος. » Ἀνατρέπεται μὲν τῶν ἀσθενεστέρων ἡ πίστις· ὁ μέντοι στερεὸς θεμέλιος ἕστηκε, τοὺς ἀπερι-τρέπτους λέγων τῶν πιστῶν, ἔχων, φησὶ, τὴν σφραγῖδα καὶ τὸ γνώρισμα τοῦτο· « Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ. » Πάλαι γὰρ προεγνώσθησαν ὡς ὄντες ὁλοτελῶς Θεοῦ καὶ ἀμετένεκτοι. Δεῖγμα γὰρ τοῦ γνωσθῆναι παρὰ Κυρίου, τὸ μὴ ἀνατετράφθαι καὶ ἀποστῆναι ὑπὸ τῆς ἀσεβείας. « Καὶ, Ἀποστήτω ἀπὸ ἀδικίας. » Εἶτα καὶ ἄλλο γνώρισμα, τὸ, Ἀποστήτω ἀπὸ ἀδικίας, (τουτέστι, τῆς ἐν δόγμασι πλάνης,) πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου, ὡς ὀνομάζειν χρή. Οἱ γὰρ ἀπερίτρεπτοι, φησὶν, ὥσπερ στῆλαί τινες ἔμψυχοι ἵστανται, ταῦτα διὰ τῶν οἰκείων ἔργων φέροντες τὰ ἐπιγράμματα.

Ἐν μεγάλῃ δὲ οἰκίᾳ, οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα, καὶ ἃ μὲν εἰς τιμὴν, ἃ δὲ εἰς ἀτιμίαν. Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον, εὔχρηστον τῷ Δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.

Ἔτι καὶ νῦν εἰσί τινες θαυμάζοντες ἵνα τί μὴ ἀπόλλυνται οἱ κακοί. Καί φαμεν, ὅτι ὥσπερ ἐν οἰκίᾳ μεγάλῃ διάφορα σκεύη, οὕτω καὶ ἐν τῷ κόσμῳ διάφοροι ἄνθρωποι, οὐ τοῦ Θεοῦ οὕτως πεποιηκότος· ἐπεὶ πῶς ἴσχυσαν ἐκκαθᾶραι ἑαυτοὺς οἱ κακοί; Τοῦτο γὰρ προϊὼν ἐγκελεύεται τοὺς ἑαυτοὺς εἰς τοῦτο ἄγοντας. « Ἃ δὲ εἰς ἀτιμίαν, » οἷον τὰ ξύλινα καὶ ὀστράκινα. « Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτόν. » Εἰ τὸ ὀστράκινον εἶναί τινα ἄτιμόν ἐστι καὶ ἀκάθαρτον, (εἶπε γάρ, Ἐάν τις ἐκκαθάρῃ ἑαυτὸν,) πῶς αὐτὸς περὶ τῶν ἀποστόλων φησὶν, « Ἔχοντες δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι; » Καί φαμεν, ὅτι ἐκεῖ περὶ αὐτῆς τῆς φύσεως τοῦ σώματος διαλέγεται, οὐχ ὡς περὶ ἀκαθάρτου, ἀλλ' ὡς περὶ πηλίνου καὶ γηΐνου. Ἐκ τούτων γὰρ τὸ ὀστράκινον. Ἢ τὸ ὀστράκινον ἐκεῖ δέξαι, ὡς πρὸς τὴν σύγκρισιν τοῦ ἐν αὐτῷ θησαυροῦ· ὧδε μέντοι περὶ ἀρετῆς καὶ φαυλότητος διαλέγεται, ὀστρακίνους

A crementum. « Ut cancer. » Γάγγραινα ulcus est putridum, locum depascens, putredinem efficiens : quam nonnulli ἕρπην appellant, quod veluti repat. « Quorum de numero sunt Hymenæus... » qui profanas afferunt vocum vanitates. — « Dicentes resurrectionem. » Successionem procreationis liberorum exsecrandi appellabant resurrectionem : et quosdam illiciebant ut ab apostolica doctrina discederent. Merito superius dixit : Ad majorem proficient impietatem. Vide enim quanta oriantur mala ex hoc quod dicatur jam facta esse resurrectio. Ex hoc privamur Christi adventu, quo quid potest contingere tristius ? non est retributio neque supplicium : mentitur Christus qui hæc promisit, aliaque multa similia ; nempe : « Si resurrectio non est, neque Chris-
B tus resurrexit[16] », 268 neque judex sedebit vivorum ac mortuorum[17]. « Et subvertunt quorumdam fidem. » Simpliciorum ac imbecilliorum. « Solidum tamen fundamentum. » Subvertitur quidem fides imbecilliorum ; « solidum tamen fundamentum stat (fideles dicens qui subverti nequeunt), habens hoc signaculum ac indicium : « Novit Dominus qui sint sui. » Olim quidem prænoti sunt tanquam Deo omnino addicti et intransmutabiles. Signum enim quod sint a Deo cogniti, est, quod non potuerint ab impietate subverti ut a fide discederent. « Et Discedat ab iniquitate. » Ecce aliud indicium : nempe, Discedat ab iniquitate, hoc est, errore dogmatum, omnis qui nominat nomen Domini, sicut nominare
C oportet. Nam qui veluti columnæ quædam animatæ persistunt immobiles, has in suis operibus ferunt inscriptiones.

II, 20, 21. *Cæterum in magna domo non tantum sunt vasa aurea et argentea, verumetiam lignea ac testacea : et alia quidem in honorem, alia vero in contumeliam. Si quis igitur expurgarit seipsum ab his, erit vas in honorem sanctificatum, accommodum usibus Domini, ad omne opus bonum præparatum.*

Etiamnum sunt nonnulli qui admirantur quare non pereant mali. Et dicimus quod quemadmodum in magna domo varia sunt vasa, ita et in mundo varii sunt homines : non quod Deus ita illos fecerit : alioqui enim quomodo possent sese mali ex-
D purgare ? nam ob id ipsos in progressu accusat quod seipsos ad hoc deduxerint. « Alia vero in contumeliam ; » hoc est, lignea ac testacea. « Si quis igitur expurgaverit seipsum. » Si testaceum esse aliquem, contumeliosum est et impurum (nam ait, Si quis expurgaverit seipsum), quomodo ipse de apostolis dixit : « Habemus thesaurum hunc in vasis testaceis[18] ? » Et dicimus, quod ibi de ipsa corporis natura disserit, non quasi de re impura, sed quasi de lutea ac terrena ; nam ex his conficitur testa. Aut testaceum ibi accipe velut ad comparationem thesauri qui in ea est, hic autem de virtute et pravitate disserit, testaceos vocans pravos, probos

[16] I Cor. xv, 14. [17] Act. x, 42. [18] II Cor. iv, 7.

vero aureos: tales autem possunt voluntate immutari, **269** et ad bonum et ad malum. « Erit vas in honorem. » In vasis quidem aureis et testaceis quæ in domo sunt, semper vasa similiter se habent; in hominibus vero qui talis formæ sunt, ex studio ac diligentia contingit ut testaceum vas fiat aureum, et aureum ex segnitie fiat testaceum. Si quis ergo seipsum expurgarit, inquit, ab his, nempe ligneis ac testaceis, ut nihil habeat de sorte illorum, Domini usibus erit accommodus, quasi videlicet illa sint inutilia. « Ad omne opus bonum præparatum. » Ut si etiam nunc non sit tempus aut occasio hoc faciendi, oportet tamen promptum ac paratum esse ad ferendas persecutiones, ad dolores et ad martyrium.

CAPUT V.

De divina doctrina et vita pura ac pacifica etiam erga adversarios.

II, 22-26. *Juveniles autem concupiscentias fuge, sectare vero justitiam, fidem, charitatem, pacem cum his qui invocant Dominum ex puro corde. Stultas autem et ineruditas quæstiones respue, sciens eas parere pugnas. Porro servum Domini non oportet pugnare, sed placidum esse erga omnes, propensum ad docendum, clementem, cum mansuetudine erudientem eos qui obsistunt, si quando det illis Deus pœnitentiam ad cognoscendam veritatem, ut ad sanam mentem redeant a diaboli laqueo, vincti ab eo ad ipsius voluntatem.*

Juvenilis autem concupiscentia dicitur non solum stuprum, sed et omnis inordinata concupiscentia : sive dominandi libidine quis teneatur, sive pecuniarum : hæ namque sunt phantasiæ insensatæ et præcordium instabilium. Considera igitur quomodo is qui senex est junior efficiatur. « Sectare vero justitiam. » Justitiam dicit verum ac firmum animum vigentem erga amicos. « Charitatem, pacem cum **270** his qui invocant Dominum. »Hoc est, solis illis confide, qui sine fictione et dolo invocant Dominum : cum pacificis et a pugna alienis commiscere, et sectare quæ dicta sunt. « Ex puro corde. » Contingit enim in simulatione quoque pietatis invocari. « Stultas autem et ineruditas. » Sunt enim et sanæ ac eruditæ quæstiones, nempe quæ sunt de sacris Scripturis. Quare autem dixit, Respue, et non potius, Evince ipsas et redargue? Quia nihil affert utilitatis bona responsio : pugnas enim generant. « Porro servum Domini non oportet pugnare. » Nam pacificos esse oportet Christi servos. « Sed placidum esse erga omnes. » Si placidum esse oportet et mansuetum, quomodo alibi dixit[9] : « Redargue illos acriter, » et : «Nemo tuam juventutem despiciat[10]?» Quia contingit et cum mansuetudine acriter objurgare, et temere ac severe. « Propensum ad docendum, » eos qui cupiunt dis-

[9] Tit. I, 9. [10] I Tim. IV, 12.

A τοὺς φαύλους καὶ χρυσοῦς τοὺς ἐναρέτους λέγων. Οἱ δὲ τοιοῦτοι δύνανται ἀπὸ προαιρέσεως μεταβληθῆναι, καὶ ἐπὶ τὸ χρηστὸν καὶ ἐπὶ τὸ φαῦλον. « Ἔσται σκεῦος εἰς τιμήν. » Ἐπὶ μὲν τῶν χρυσῶν καὶ ὀστρακίνων ἐν οἰκίᾳ σκευῶν, ἀεὶ τὰ σκεύη ὡσαύτως ἔχει. Ἐπὶ δὲ τῶν τοιουτομόρφων ἀνθρώπων, ἔστιν ἀπὸ σπουδῆς, τὸ ὄστρακον γενέσθαι χρυσοῦν, καὶ τὸ χρυσοῦν ἀπὸ ῥᾳθυμίας γενέσθαι ὀστράκινον. Ἐὰν οὖν τις, φησὶν, ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων τῶν οἷον ξυλίνων καὶ ὀστρακωδῶν ἀνθρώπων, ὡς μηδὲν ἔχειν τῆς ἐκείνων μοίρας, εὔχρηστος τῷ Δεσπότῃ γίνεται, ὡς ἐκείνων δηλαδὴ ἀχρήστων ὄντων. « Εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. » Κἂν μὴ τοῦτο πράττειν ᾖ καιρός. Δεῖ μέντοι ἡτοιμάσθαι καὶ ἐπιτηδείως ἔχειν, καὶ πρὸς διωγμοὺς, καὶ πρὸς
B λύπας, καὶ πρὸς μαρτύριον.

ΚΕΦΑΛ. Ε'.

Περὶ θείας διδασκαλίας καὶ βίου καθαροῦ καὶ εἰρηνικοῦ, καὶ κατὰ τῶν ἐναντίων.

Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε. Δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας. Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς ὅτι γεννῶσι μάχας. Δοῦλον δὲ Κυρίου, οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικὸν, ἀνεξίκακον, ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μή ποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζω-
C *γρημένοι ὑπ αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.*

Νεωτερικὴ δὲ ἐπιθυμία, οὐχ ἡ πορνεία μόνη, ἀλλὰ καὶ πᾶσα ἄτοπος ἐπιθυμία, κἂν δυναστείας ἐρᾷ τις, κἂν χρημάτων· ἀνόητοι γὰρ αὗται αἱ φαντασίαι, καὶ φρενῶν ἀβέβαιαι. Ὅρα πῶς καὶ γέρων νεωτερίζεται. « Δίωκε δὲ δικαιοσύνην. » Δικαιοσύνην δὲ λέγει, τὴν ἀληθῆ καὶ βεβαίαν πρὸς τοὺς φιλουμένους συνδιάθεσιν. « Ἀγάπην, εἰρήνην μετὰ τῶν ἐπικαλουμένων τὸν Κύριον. » Τουτέστιν, ἐκείνοις θάῤῥει μόνοις, τοῖς ἁνυπούλως καὶ ἀδόλως ἐπικαλουμένοις τὸν Κύριον· τοῖς εἰρηνικοῖς, τοῖς ἁμάχοις, μετ' ἐκείνων ἀναμίγνυσο, μετ' ἐκείνων δίωκε τὰ εἰρημένα. « Ἐκ καθαρᾶς καρδίας. » Ἐνι γὰρ καὶ ἐν ὑποκρίσει εὐλαβείας ἐπικαλεῖσθαι. « Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους. » Εἰσὶ γὰρ καὶ φρόνιμοι ζητήσεις, αἱ τῶν ἁγίων Γραφῶν. Διὰ τί δὲ, Παραιτοῦ, καὶ μὴ μᾶλλον εἶπε, νίκα αὐτὰς καὶ ἀπέλεγχε; Ὅτι οὐδὲν ἔχει τὸ πρᾶγμα χρηστὸν ἀποτέλεσμα. Μάχας γὰρ γεννῶσι. « Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι. » Εἰρηνικοὺς γὰρ εἶναι τοὺς Χριστοῦ δούλους χρή. « Ἀλλ' ἤπιον εἶναι πρὸς πάντας. » Εἰ ἤπιον εἶναι δεῖ καὶ πρᾶον, πῶς εἶπεν ἄνω, « Ἔλεγχε αὐτοὺς ἀποτόμως, » καὶ, Μηδείς σου τῆς νεότητος καταφρονείτω; Ὅτι ἔνι καὶ μετὰ πραότητος σφοδρότερον ἐπιπλῆξαι, ἢ μετὰ θρασύτητος. « Διδακτικόν. » Πρὸς τοὺς μαθεῖν βουλομένους. « Αἱρετικὸν δὲ ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραι-

τοῦ. « Ἀνεξίκακον. » Μάλιστα γὰρ θρασύτης ἀγριοῖ, πραότης δὲ, πείθειν οἶδε. Τίς γὰρ πεισθείη τῷ θρασυνομένῳ, ᾧ πολλάκις καὶ ἀντιπάσχει ὁ παραινούμενος ; Πῶς οὖν ἀλλαχοῦ λέγει, μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτεῖσθαι τοὺς αἱρετικούς ; Ἰδοὺ γὰρ καὶ ὧδε εἰπὼν, ἀντιδιατιθεμένους, τοὺς αἱρετικοὺς ἐσήμανε. Καί φαμεν, ὅτι τοὺς ὡμολογημένους καὶ ἀνίατα νοσοῦντας, παραιτεῖσθαι χρή. Οὗτοι δὲ περὶ ὧν ὁ λόγος ἀμφίβολοι ἦσαν, καὶ δῆλον ἐκ τοῦ εἰπεῖν, « Μή ποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν. » Τὸ γὰρ *μή ποτε*, ἐπὶ τῶν ἀδήλων ἔθος ἡμῖν λέγειν. « Ἐν πραότητι παιδεύοντα. » Μάλιστα γὰρ τούτου χρεία. Πολλάκις γὰρ ὁ δεκάκις συμβουλευθεὶς καὶ μὴ ἀκούσας, ἅλλῳ ἅπαξ συμβουλευομένῳ πείθεται, τῶν πρώτων δέκα συμβούλων ἀφανῶς ἐργασαμένων τὸ οἰκεῖον. « Μή ποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν. » Κἂν γένηται, φησὶ, τοῦ Θεοῦ ἐστιν ἔργον, οὐ τῆς σῆς μόνον πραότητος. Καταστέλλει δὲ τῶν διδασκάλων τὸ φρόνημα, ἐπὶ τὸν Θεὸν ἀνάγων τὸ γεγονός. « Καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος. » Τίς δὲ ἡ ἐπίγνωσις τῆς ἀληθείας ; τὸ ἀνανῆψαι ἐκ τοῦ διαβόλου καὶ τῶν νόθων δογμάτων, πρὸς τὴν ὀρθότητα τῆς πίστεως. Ὅρα δὲ, ὡς ἐπὶ μέθης ἢ μανίας, *ἀνανῆψαι* εἶπεν ἐκ τῆς τοῦ διαβόλου παγίδος. Ὥσπερ γὰρ τὸ στρουθίον, κἂν ἐκ τοῦ ἄκρου ποδὸς κατέχηται ὑπὸ τῆς παγίδος ὑπ' αὐτήν ἐστιν· οὕτως καὶ ἡμεῖς, κἂν ψιλόν τι παρατραπῶμεν ἐπὶ τοῦ δόγματος, ὑπὸ τὴν παγίδα πράττομεν τοῦ διαβόλου. « Ἐζωγρημένοι ὑπ' αὐτοῦ. » Ἀνανήψωσιν ὄντες ἐζωγρημένοι, τουτέστι τῇ πλάνῃ ἐνειλημμένοι καὶ ἀποκεκλεισμένοι εἰς τὸ τοῦ διαβόλου θέλημα. Τοὺς γὰρ ἐναλόντας τοῖς πονηροῖς δόγμασιν, εἰς τὸ οἰκεῖον θέλημα ἐνειλημμένους ἔχει ὁ διάβολος.

cere. Porro hæreticum hominem post unam et alteram admonitionem fuge. « Clementem. » Siquidem ferocitas plurimum exasperat, mansuetudo vero persuadere novit. Quis enim persuadebitur ab eo qui ferox est et insolens, cui frequenter resistit etiam is qui admonetur? Quomodo ergo alibi dicit, Post unam et alteram admonitionem fugiendos hæreticos? nam ecce hoc etiam in loco dicens, Obsistentes, significavit hæreticos quos erudire jubet. Et dicimus quod apertos et insanabiliter ægrotantes jubet evitari, hi autem de quibus hic sermo est, hæsitantes erant; quod ex eo manifestum est quod ait. Si quando det illis Deus pœnitentiam. » De his enim solemus dicere : *Si quando*, quæ incerta sunt. « Cum mansuetudine erudientem. » Nam hoc est maxime necessarium. Frequenter enim is ,cui decies datum est consilium nec audivit, alteri semel danti consilium obtemperabit, nempe decem prioribus illis consiliis occulte agentibus quod suum est. « Si quando det illis Deus pœnitentiam. » Quod si fiat, inquit, Dei opus est, non tuæ mansuetudinis. Præceptorum autem fastum reprimit, factum ipsum ad Deum referens. « Et ut ad sanam mentem redeant a diaboli laqueo. » Quæ est autem cognitio veritatis? Ad sanam mentem redire a diabolo, et ab adulterinis dogmatis ad fidei rectitudinem. Animadverte autem quod, veluti ab ebrietate aut insania, dixit ἀνανῆψαι **271** a diaboli laqueo, quod proprie est ad sobrietatem vel sanam mentem redire. Quemadmodum enim passer quanquam a pedis solum extremitate teneatur laqueo, ipsi obnoxius est : ita et nos, quanquam in tenui aliqua dogmatis particula subvertamur, diaboli laqueo subjicimur. « Vincti ab eo. » Ad sanam mentem redeant qui vincti sunt, hoc est, errore capti et conclusi ad diaboli voluntatem. Nam eos qui pravis capti sunt dogmatis, ad suam voluntatem detentos habet diabolus.

ΚΕΦΑΛ. Ϛ'.

Προφῆσις περὶ κακίας ἀνθρώπων πλεοναζούσης, ἀπατηλῆς ἐλεγχομένης.

Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. Ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι, ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι. Καὶ τούτους ἀποτρέπου.

Καὶ ἤδη ἦσαν ἐπὶ Μωσέως Ἰαννῆς καὶ Ἰαμβρῆς, αὐτὸς προϊὼν λέγει, καὶ τότε ἦσαν. Τὸ γὰρ τῶν χρυσῶν καὶ ὀστρακίνων σκευῶν, τοῦτο δηλοῖ. Ὥστε εἰσὶν ἀεὶ, ἐν ὑστέρῳ δὲ μᾶλλον. « Καιροὶ χαλεποί. » Οὐ τοὺς καιροὺς ἢ τὰς ἡμέρας διαβάλλει, ἀλλὰ τοὺς ἐν αὐταῖς πονηροὺς ἀνθρώπους. Καιροὺς γὰρ καλοὺς καὶ κακοὺς φαμεν, ἐκ τῶν ἐν αὐτοῖς γινομένων. « Φίλαυτοι. » Τοῦτο ἡ ῥίζα τῶν κακῶν, τὸ τὰ ἑαυτοῦ σκοπεῖν μόνον. Οἱ δὲ τοιοῦτοι ἀμελοῦντες τῶν ἀδελφῶν, τὰ ἑαυτῶν πρῶτον διαφθείρουσιν. « Ἀλαζόνες. » Ἀπὸ φιλαυτίας ἡ φιλαργυρία τίκτεται. Ταύτης δὲ

CAPUT VI.

Vaticinium de abundante hominum malitia, per fucum reprehensibilem.

III, 1-5. *Illud autem scito quod in extremis diebus instabunt tempora acerba. Erunt enim homines sui amantes, avari, fastuosi, superbi, maledici, parentibus immorigeri, ingrati, impii, amoris affectu carentes, nescii fœderis, calumniatores, intemperantes, immites, negligentes bonorum, proditores, præcipites, inflati, voluptatum amantes potius quam Dei : habentes formam pietatis, sed qui vim ejus abnegarint. Et istos aversare.*

Et jam sub Mose fuerant Jannes et Jambres, sicut in progressu dicit : nam hoc significat sermo de vasis aureis et testaceis. Semper itaque sunt, sed magis postremo tempore. « Tempora acerba. » Non tempora calumniatur aut dies, sed pravos homines qui in ipsis sunt. Tempora enim bona et mala dicimus ab his quæ in ipsis contingunt. « Sui amantes. » Hæc est radix malorum, sola ea intueri aliquem quæ ad se spectant. Qui autem hujusmodi sunt, fratrum negligentes, quæ sua sunt primum perdunt ac corrumpunt. « Fastuosi. » A sui amore

avaritia oritur : hujus autem fetus sunt fastus et superbia, deinde ex his blasphemia : mutuo enim sibi hærent mala sicut et bona : ex charitate enim **272** procedit omne bonum. « Parentibus immorigeri. » Novit enim fastus etiam adversus naturam efferri. « Ingrati. » Avari etiam sunt ingrati. Nam tunc solum gratias agunt, quando eorum concupiscentiam impleverint, nunquam autem fit ut ipsi satientur. Qui vero talis est etiam impius est. Nam qui benefactori Deo gratiam non habet, quomodo aliis gratiam referet? « Amoris affectu carentes. » Hoc est sine amore exsistentes erga suos. « Nescii fœderis : » nulli fœderati. « Calumniatores : » maledici. Nam qui sibi nullius boni conscius est, omnibus maledicit ac detrahit, sibiipsi in hoc consolationem aliquam inveniens. « Intemperantes : » nempe qui linguam ventremque et ea quæ sub ventre sunt non continent. « Immites. » Crudeles quodammodo et inhumani. « Negligentes bonorum. » Aut ἀφιλάγαθοι, inimici omnis boni. « Proditores, » amicitiæ et sodalitatis. « Præcipites, » hoc est, temerarii et nihil stabile habentes. « Inflati, » id est, arrogantia pleni. « Voluptatum amantes potius quam Dei. » Commutantes divinum amorem in turpem. Ipsa vero pietatis forma et hypocritas ipsos exhibet et seductores. « Habentes formam pietatis. » Ex his quæ loquuntur, pietatis cultores videntur : ex his autem quæ operantur, contrarii sermonibus et inveniuntur et convincuntur. « Et hos aversare. » Quemadmodum et illos de quibus superius latius disseruit. Scribens autem Timotheo, his qui post Timotheum futuri erant, consuluit, ut tales aversarentur. Neque enim potuit hic ad extremos dies pertingere : sed eos possumus etiam intelligere dici extremos, qui Pauli interitum statim essent secuturi, in quibus Timotheus adhuc superstes futurus erat.

A γεννήματα, ἀλαζονεία καὶ ὑπερηφανία, εἶτα ἐκ τούτων ἡ βλασφημία. Ἀλλήλων γὰρ ἔχεται τὰ κακὰ, ὥσπερ καὶ τὰ καλά. Ἐκ γὰρ ἀγάπης, ἅπαν τίκτεται καλόν. « Γονεῦσιν ἀπειθεῖς. » Οἶδε γὰρ ἡ ἀλαζονεία, καὶ κατὰ τῆς φύσεως ἐξανίστασθαι. « Ἀχάριστοι. » Οἱ φιλάργυροι καὶ ἀχάριστοι. Τότε γὰρ εὐχαριστοῦσι μόνον, ὅταν αὐτῶν πληρώσωσι τὴν ἐπιθυμίαν, ὅπερ οὐδέποτε ἔστιν αὐτοὺς κορεσθῆναι. Ὁ δὲ τοιοῦτος, καὶ ἀνόσιος. Ὁ γὰρ τῷ εὐεργέτῃ Θεῷ χάριν οὐκ εἰδὼς, πῶς ἑτέροις εἴσεται χάριν; « Ἄστοργοι. » Οἷον ἄφιλοι πρὸς τοὺς οἰκείους. « Ἄσπονδοι. » Δηλοῖ μηδενὶ σπενδομένους. « Διάβολοι. » Οἷον κακήγοροι. Ὁ γὰρ μηδὲν ἀγαθὸν ἑαυτῷ συνειδὼς, πάντας διαβάλλει, ἑαυτῷ τινα παραμυθίαν ἐπινοῶν. « Ἀκρατεῖς. » Τουτέστι, γλώσσης καὶ γαστρὸς καὶ τῶν ὑπὸ ταύτην. « Ἀνήμεροι. » Ὠμοί τινες καὶ ἀπάνθρωποι. « Ἀφιλάγαθοι. » Τουτέστιν, ἐχθροὶ παντὸς ἀγαθοῦ. « Προδόται. » Φιλίας καὶ ἑταιρείας. « Προπετεῖς. » Οἷον θρασεῖς, οὐδὲν βεβηκὸς ἔχοντες. « Τετυφωμένοι. » Οἷον ἀπονοίας πλήρεις. « Φιλήδονοι καὶ οὐ φιλόθεοι. » Οἱ ἀντικαταλλασσόμενοι τοῦ θείου πόθου τὸ αἰσχρόν. Ἡ δέ γε μόρφωσις τῆς εὐσεβείας, καὶ ὑποκριτὰς καὶ πλάνους αὐτοὺς παρατίθεται. « Ἔχοντες μόρφωσιν εὐσεβείας. » Ἐξ ὧν λέγουσιν, εὐσεβεῖς εἰσιν, ἐξ ὧν δὲ πράττουσιν, ἐναντίοι τῶν λόγων εὑρίσκονται καὶ ἐλέγχονται. « Καὶ τούτους ἀποτρέπου. » Ὡς ἐκείνους, περὶ ὧν ἄνω διεξῆλθε μᾶλλον. Τιμοθέῳ δὲ γράφων, τοῖς μετὰ Τιμόθεον συμβουλεύει, ἀποτρέπεσθαι τοὺς τοιούτους. Οὐ γὰρ ἂν οὗτος τὰς ἐσχάτας ἡμέρας εἶχεν ἐπιφθάσαι, ἀλλὰ τὰς εὐθὺς μετὰ τὴν Παύλου τελευτὴν, ἐν αἷς περιεῖναι ἔτι ὁ Τιμόθεος ἔμελλεν.

B

C

III, 6-9. *Ex his enim sunt qui subeunt in familias, et captivas ducunt mulierculas oneratas peccatis, quæ ducuntur concupiscentiis variis : semper discentes, nec unquam ad cognitionem veritatis venire valentes. Quemadmodum enim Jannes et Jambres resistebant Mosi, ita et hi resistunt veritati : homines mente corrupti, reprobi circa fidem, sed non proficient amplius. Siquidem amentia ipsorum evidens erit omnibus, sicut et illorum fuit.*

Ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκείας, καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα. Ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωσῇ, οὕτως καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ, ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν. Ἀλλ' οὐ προκόψουσιν ἐπὶ πλεῖον. Ἡ γὰρ D *ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο.*

Animadverte quomodo secretum eorum **273** et impudentiam insidiarum manifestaverit, dicens : « Qui subeunt et captivas ducunt mulierculas oneratas peccatis. » Vides eos fraude uti serpentis, qua ille adversus Adam usus est? Verisimile enim erat et hos per mulieres etiam viros seducere. Dicens autem : Mulierculas, solum innuit facilitatem ad deceptionem. Qui ergo seducitur, quanquam is fuerit vir, nihil in hoc a muliere differt, nec ea præstantior est. Quod vero subdit : Oneratas peccatis, multitudinem designat ac confusionem peccatorum. Non enim qualescunque, inquit, seducunt mulieres (nam sunt et mulieres virilis naturæ, quem-

Ὅρα πῶς τὸ λαθραῖον αὐτῶν καὶ ἀναίσχυντον τῆς ἐπιβουλῆς ἐδήλωσε διὰ τοῦ, « Εἰσδύνοντες καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις. » Ὁρᾷς αὐτοὺς τῇ τοῦ ὄφεως ἀπάτῃ κεχρημένους, ᾗ κατὰ τοῦ Ἀδὰμ ἐχρήσατο; Εἰκὸς γὰρ ἦν καὶ τούτους διὰ τῶν γυναικῶν, καὶ τοὺς ἄνδρας ἀπατᾷν. Γυναικάρια δὲ εἰπὼν, μόνον τὸ εὐξαπάτητον ἠνίξατο. Ὁ τοίνυν ἀπατώμενος, κἂν ἀνὴρ ᾖ, οὐδὲν διαφέρει κατὰ τοῦτο, γυναικός. Τὸ δὲ, Σεσωρευμένα ἁμαρτίαις, τὸ πλῆθος δηλοῖ καὶ τὴν σύγχυσιν τῶν ἁμαρτιῶν. Οὐ γὰρ ἁπλῶς, φησὶ, γυναῖκας ἀπατῶσιν (εἰσὶ γὰρ καὶ γυναῖκες ἀνδρείας φύσεως, ὥσπερ καὶ ἄνδρες γυναικείας), ἀλλὰ τὰ σεσωρευ-

μένα ἁμαρτίαις, ἔνθεν γὰρ αὐταῖς καὶ τὰ τῆς ἀπάτης. « Ἀγόμενα ἐπιθυμίαις. » Οὐ τῆς φύσεως κατηγόρησεν, ἀλλὰ τῆς τοιᾶσδε γυναικός. Ἐνταῦθα δὲ πολλὰς ἠνίξατο ἐπιθυμίας, σωματικάς τε καὶ ψυχικάς. Ὅρα δὲ καὶ τὸ, Ἀγόμενα, ὡς ἐπὶ ἀλόγων. « Πάντοτε μανθάνοντα. » Οὐ συγγινώσκων αὐταῖς ταῦτά φησιν, ἀλλὰ καὶ σφόδρα μεμφόμενος. Ἐπειδὴ γὰρ ἑαυτὰς ἐσώρευσαν ἁμαρτίαις, ἐπωρώθη αὐτῶν εἰκότως ἡ διάνοια. « Ἰαννῆς καὶ Ἰαμβρῆς. » Οὗτοι ἦσαν οἱ ἐπὶ τοῦ Φαραὼ μάγοι. Πῶς δὲ τὰ ὀνόματα αὐτῶν οἶδε τῆς Γραφῆς μὴ λεγούσης; Φαμὲν ὅτι ἐξ ἀγράφου παραδόσεως, ἢ ἐκ Πνεύματος ἁγίου εἰκὸς ἦν εἰδέναι τὸν Παῦλον. « Καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ. » Τῇ ἀληθινῇ πίστει. « Ἀλλ' οὐ προκόψουσιν, Ἐπὶ πλεῖον ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν. » Ὅταν τις τὸν νοῦν φθαρῇ ἐν τοῖς πάθεσι, τότε ἀδόκιμος περὶ τὴν πίστιν γίνεται. Πῶς ἄνω εἰρηκὼς ἐπὶ πλεῖον προκόψουσιν ἀσεβείας, ὧδε λέγει, Οὐ προκόψουσιν; Ἐκεῖ λέγει ὅτι ἀρξάμενοι πλανᾶν, οὐδαμοῦ στήσονται, ἀλλ' ἀεὶ χείρονα ἐπινοήσουσιν, ὧδε δὲ, ὅτι οὐκ ἀπατήσουσιν οὐδὲ συναρπάσουσιν ἐπὶ πολὺ τοὺς ἀρτίφρονας. Προῶν γὰρ εἶπε, Πλανῶντες καὶ πλανώμενοι. Παρὰ οὖν τοῖς εὐεξαπατήτοις αὐτοῖς ἡ ἰσχύς. « Ἡ γὰρ ἄνοια αὐτῶν ἐκδηλος ἔσται πᾶσι. » Πόθεν τοῦτο; Ἐκ τῶν πάλαι, φησὶ, πιστώθητι. Εὐέλεγκτον γὰρ ἡ κακία.—Ἄλλως. Εἰ ἀπιστεῖς, μάθε ἀπὸ τῶν τοῖς μάγοις ἐκείνοις συμβάντων. Καὶ γὰρ ἐκεῖνοι ἠλέγχθησαν κατὰ φαντασίαν θαύματα ποιοῦντες· καὶ ἀπατῶντες, ὅτε Μωσῆς ἐτερατούργησεν ἀληθῶς, ὥστε πάντα τὰ τῆς ἀπάτης πρὸς καιρὸν ἀνθεῖ.

A admodum sunt et viri muliebres), sed eas quæ sunt onustæ peccatis. Hinc enim ipsis provenit ut seducantur. « Quæ ducuntur concupiscentiis. » Non naturam accusavit, sed hujusmodi mulieres. Hic autem multas innuit concupiscentias et a corpore provenientes et ab animo. Considera vero etiam id quod ait : Quæ ducuntur, tanquam de irrationalibus loquens. « Semper discentes. » Non hoc ait ignoscens ipsis, sed potius vehementer arguens. Quoniam enim seipsas peccatis onerarunt, merito excæcata est mens earum. « Jannes et Jambres. » Hi erant magi sub Pharaone. Quomodo autem ipsorum nomina novit cum Scriptura non dicat ? Dicimus quod ex traditione non scripta. Aut per Spiritum sanctum verisimile est hoc novisse. « Et hi B resistunt veritati. » Veræ fidei. « Sed non proficient amplius, homines mente corrupti. » Ubi quis mente corruptus fuerit in affectibus, tunc reprobus circa fidem efficitur. Quomodo cum in superioribus dixerit, Ad majorem proficient impietatem, hic dicit : Non proficient ? Ibi dicit quod qui seducere cœperant, nequaquam sistent, sed pejora semper excogitabunt, hic vero quod non decipient neque rapient longo tempore eos qui sane mentis sunt. In progressu enim ait, quod et in errorem adducent et ipsi errabunt. Itaque potentiam habent in eos qui facile seducuntur. « Siquidem amentia ipsorum evidens erit in omnibus. » Unde hoc manifestum est ? Ex his quæ olim facta sunt firmiter crede. Nam malitia facile convincitur.— *Alio modo.* Si mihi C non credis, inquit, ab his disce quæ magis illis contigerunt. Nam et illi convicti sunt quod phantastica miracula ederent, ac in errorem ducerent, quando Moses vera edebat prodigia. Omnia itaque quæ fraudem inducunt, ad tempus solum vigent.

ΚΕΦΑΛ. Ζ'.

Προτροπὴ τῆς ἑαυτοῦ μιμήσεως ἐξ ἐναντίου τοῖς φαύλοις, ἐν ὑπομονῇ Θεοῦ.

Σὺ δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ, τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις, οἵους διωγμοὺς ὑπήνεγκα, καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος.

Ἐκεῖνοι μὲν, φησὶ, τοιοῦτοι, σὺ δὲ οἶδας τὰ ἡμέτερα ἀκριβῶς οὐ τοιαῦτα. Οὐ γὰρ ἁπλῶς συνεγένου, ἀλλὰ παρηκολούθηκας, τουτέστι, μακρὸν συνεγένου μοι χρόνον, καὶ πᾶσι προσεῖχες τοῖς ἐμοῖς. Δεῖ οὖν σε ἐν ἕξει γενόμενον τῶν εὐσεβῶν διδαγμάτων, ἀπερίτρεπτον εἶναι. « Τῇ διδασκαλίᾳ. » Τῇ περὶ τὰ δόγματα. « Ἀγωγῇ, » τῇ περὶ τὸν βίον. Πῶς ἠγόμην, φησὶν, ἐν τῇ πολιτείᾳ. « Τῇ προθέσει, » Οἷον τῇ προθυμίᾳ, καὶ τῷ παραστήματι τῆς ψυχῆς. « Τῇ πίστει. » Τῇ ἐν τοῖς κινδύνοις, τῇ μὴ ἀπογινώσκειν ποιούσῃ, ἀλλὰ πιστεύειν τῷ Θεῷ ὅτι ἐξελεῖται. « Τῇ μακροθυμίᾳ. » Πῶς, φησὶν, οὐδέν με τῶν πειρασμῶν ναρκότερον εἰργάζετο. « Τῇ ὑπομονῇ. » Τῇ πρὸς τοὺς διωγμούς. « Οἷά μοι ἐγένετο. » Οὐ μόνον ἐδιωκόμην, φησὶν, ἀλλὰ καὶ ἔπασχον. Εἶτα λοιπὸν καὶ κατ' εἶδος διεξέρχεται τοὺς πειρασμούς, ταύτῃ θαρραλεώτερον τὸν μαθητὴν ποιῶν. Οἶδε γὰρ

274 CAPUT VII.

Exhortatio ut se imitentur, opponendo se perversis in tolerantia propter Deum.

III, 10-11. *Tu vero assectatus es meam doctrinam, institutionem, propositum, fidem, longanimitatem, charitatem, patientiam, persecutiones, afflictiones, quæ mihi acciderunt Antiochiæ, Iconii, Lystris, quas persecutiones sustinui. Et ex omnibus eripuit me Dominus.*

Illi quidem tales sunt, inquit, tu vero nosti mea non esse hujusmodi. Neque enim vulgari modo adfuisti, sed etiam assectatus es, hoc est longo tempore mecum versatus es, et ad omnia quæ mea erant animum applicuisti. Necesse est igitur te, qui D jam in assuetudinem pervenisti piorum dogmatum, non posse ab illis averti. « Doctrinam. » Quæ fuit circa dogmata. « Institutionem. » Quæ vitam concernebat, quomodo, inquit, mea circa conversationem instituebam. « Propositum : » promptitudinem et animi præsentiam. « Fidem : » servatam in periculis, quæ non sineret desperare, sed credere Deo quod liberaturus esset. « Longanimitatem. » Quomodo, inquit, nulla me afflictio segniorem reddiderit. Quia magno eram animo in periculis, fidens semper in Domino. « Patientiam. » Quæ est adversus persecutiones. « Quæ mihi acciderunt. »

Non solum, inquit, persecutionem ferebam, sed et varia patiebar. Deinde etiam in specie recenset afflictiones, hoc modo discipulum audentiorem reddens. Novit enim, novit, inquam, continua afflictionum memoria addere animum. Horum autem solum meminit, aut quod recentiora, aut quod Timotheo nota essent, et hoc verisimilius est. « Antiochiæ. » Non enumerat tentationes in specie : neque enim illi sermo est ad gloriam, sed ad institutionem discipuli. Duo autem hic dicit quæ sunt ad exhortationem idonea. Ego, inquit, animi promptitudinem exhibui, Deus vero auxilium. — Antiochiam vero dicit Pisidiæ. **275** « A Lystris. » Arbitror quod ex abjectione quadam novissimo loco dixerit Lystris, ex qua oriundus erat Timotheus : ac si diceret : Profecto in frequentibus ac populosis civitatibus patiebar quæ passus sum : sed cur etiam Lystris passus sum? Unde inventi sunt homines qui me Lystris affligerent?

A οἶδεν ἡ συνεχὴς μνήμη τῶν πειρασμῶν, παραθαρρύνειν ψυχήν. Τούτων δὲ μόνον ἐμνήσθη, ἢ ὡς νεωτέρων, ἢ ὡς καὶ τῷ Τιμοθέῳ ἐγνωσμένων, ὅπερ καὶ ἄμεινον. « Ἐν Ἀντιοχείᾳ. » Οὐκ ἀπαριθμεῖται κατ' εἶδος τοὺς πειρασμούς. Οὐ γὰρ αὐτῷ ὁ λόγος πρὸς φιλοτιμίαν ὁρᾷ, ἀλλὰ πρὸς ὁδηγίαν τοῦ μαθητοῦ. Δύο δὲ ἐνταῦθα λέγει εἰς προτροπὴν ἐπιτήδεια. Ὅτι τε ἐγὼ, φησὶ, προθυμίαν παρέσχον, καὶ ὁ Θεὸς βοήθειαν. — [ΟΙΚΟΥΜ.] Ἀντιόχειαν δὲ τὴν Πισιδίας λέγει. « Ἐν Λύστροις. » Ἡγοῦμαι κατά τινα εὐτελισμὸν, ἐσχάτης αὐτὴν τῆς Λύστρης μνησθῆναι, ἐξ ἧς ἦν ὁ Τιμόθεος, ὡσεὶ εἶπε· Ναὶ εἰς τὰς πολυανθρώπους πόλεις, ἔπαθον ἅπερ ἔπαθον, τί καὶ ἐν Λύστροις; Πόθεν εὑρέθησαν οἱ κακοῦντες με ἐν Λύστροις ἄνθρωποι;

III, 12-17. *Sed et omnes qui volunt pie vivere in Christo Jesu persecutionem patientur. Porro mali homines et impostores proficient in pejus, dum et in errorem adducent et errabunt ipsi. Tu vero in his persiste quæ didicisti, et in quibus certior redditus es, sciens a quo didiceris, et quod a puero sacras Litteras noveris, quæ te possunt erudire ad salutem per fidem quæ est in Christo Jesu. Omnis Scriptura divinitus inspirata est, et utilis ad doctrinam, ad redargutionem, ad correctionem, ad institutionem quæ est in justitia, ut integer sit Dei homo ad omne opus bonum perfectus.*

B *Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται. Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ Γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν, διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ. Πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.*

Et quid dico, inquit, de meipso, cum etiam omnes qui volunt pie vivere persecutionem passuri sint? Dicit autem Persecutionem non solum quæ ab idololatris infertur, verum etiam cunctas afflictiones ac tentationes. « Est enim angusta et arcta via quæ ducit ad vitam [11]. » — « In Christo Jesu. » Nam sola hæc est pia vita, quæ est in Christo Jesu. « Persecutionem patientur. » Talis est natura rerum, quoniam non est nunc vita piorum, sed perversorum. Neque enim potest is qui in bello est et pugna, quiete vivere. « Proficient in pejus. » Proficere enim res media est, sive indifferens et ad melius et ad pejus. Hi igitur in pejus proficient : nam interpretando quid sit Pejus, dixit quod in errorem adducent et errabunt ipsi. « Tu vero in his persiste quæ didicisti. » — « Ne æmuleris, ut ait David, operantes iniquitatem, neque hominem qui prospere ambulat in via sua [12]. » « Et certior redditus es : » hoc est, certitudinem didicisti. « Sciens a quo didiceris. » Duas reddit causas cur eum firmum sistere oporteat, nec facile everti : Et quia non a quovis vulgari didicisti, sed a Paulo : et quia in profundum radix tibi posita est Scripturarum, quæ a multis temporibus scriptæ sunt. Sacras autem Litteras dicit Scripturam quæ a Deo inspirata est. « Quæ te possunt erudire. » **276** Nequaquam te permittent insipienter erga aliquid

C Καὶ τί λέγω, φησὶ, περὶ ἐμαυτοῦ; Πάντες γὰρ οἱ θέλοντες εὐσεβῶς ζῆν, διωχθήσονται, διωγμὸν λέγων, οὐ μόνον παρὰ τῶν εἰδωλολατρῶν, ἀλλὰ καὶ τὰς θλίψεις καὶ τοὺς πειρασμούς. Στενὴ γὰρ καὶ τεθλιμμένη ἡ ὁδὸς τῆς ζωῆς. « Ἐν Χριστῷ Ἰησοῦ. » Αὕτη γὰρ μόνη εὐσεβὴς ζωὴ, ἡ ἐν Χριστῷ Ἰησοῦ. « Διωχθήσονται. » Οὕτως ἡ φύσις ἐστὶ τῶν πραγμάτων. Ἐπειδὴ οὐκ ἔστιν ἡ νῦν ζωὴ τῶν εὐσεβῶν, ἀλλὰ τῶν πονηρῶν. Οὐδὲ γὰρ ἔνι πολεμοῦντα καὶ πυκτεύοντα ἐν ἀνέσει ζῆν. « Προκόψουσιν ἐπὶ τὸ χεῖρον. » Ἡ γὰρ προκοπὴ τῶν μέσων ἐστὶ, καὶ ἐπὶ τὸ βέλτιον καὶ ἐπὶ τὸ χεῖρον. Οὗτοι τοιγαροῦν ἐπὶ τὸ χεῖρον προκόψουσιν. Ἑρμηνεύων γὰρ, τί ἐστι τὸ χεῖρον, εἶπε πλανᾷν, καὶ πλανᾶσθαι. « Σὺ δὲ μένε ἐν οἷς ἔμαθες. » — Ὅμοιον ὁ Δαυὶδ, Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ἐν ἀνθρώπῳ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ. » « Καὶ ἐπιστώθης, » φησὶ, τουτέστι, μετὰ πληροφορίας ἔμαθες. « Εἰδὼς παρὰ τίνος D ἔμαθες. » Δύο αἰτίας λέγει τοῦ δεῖν αὐτὸν ἀπερίτρεπτον μένειν, Ὅτι τε οὐ παρὰ τοῦ τυχόντος ἔμαθες, ἀλλὰ ἀπὸ Παύλου, καὶ ὅτι διὰ βάθους ἡ ῥίζα σοι κεῖται τῶν Γραφῶν, ἐν χρόνῳ γραφεῖσα πολλῷ. Ἱερὰ δὲ Γράμματα, τὴν θεόπνευστον λέγει Γραφήν. « Τὰ δυνάμενά σε σοφίσαι. » Οὐκ ἀφῆσί σε ἀνόητόν τι παθεῖν, καὶ οἷον οἱ πολλοί. Ὁ γὰρ τὰς Γραφὰς εἰδὼς, ὡς εἰδέναι χρὴ, οὐκ ἂν περιτραπείη ποτέ. « Εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ. »

[11] Matth. VII, 14. [12] Psal. XXXVI, 1.

Σοφίζει δέ σε, οὐ κατὰ τὴν ἔξω σοφίαν τὴν ἐν λόγῳ καὶ ἀπάτῃ κειμένην, ἀλλ' εἰς σωτηρίαν διὰ τῆς ἐν Χριστῷ πίστεως. Αἱ γὰρ ἅγιαι Γραφαί, καὶ ἡ ἐξ αὐτῶν σοφία, εἰς πίστιν ἄγουσι τοῦ Χριστοῦ. « Πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμος. « Πολλοὺς εἰρηκὼς παραμυθίας τρόπους νῦν καὶ τὸν μέγιστον λέγει, τὸν ἐκ τῆς ἀναγνώσεως τῶν Γραφῶν. Λυπηρὸν γὰρ μέλλει λέγειν ὅτι τελειοῦται. Εἰ δὲ Τιμοθέῳ δεῖ ἀναγινώσκειν, πόσῳ μᾶλλον ἡμῖν; « Πρὸς διδασκαλίαν. » Ἐπειδὴ τὰ χρηστὰ διδάσκει δόγματα καὶ πράγματα. « Πρὸς ἔλεγχον. » Εἰς τὸ, τὰ ψευδῆ ἐλέγχειν. « Πρὸς ἐπανόρθωσιν. » Εἰς τὸ, διορθοῦσθαι τοὺς ἀδελφούς. « Πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ. » Πρὸς τὸ παιδεῦσαι καὶ ἐναγαγεῖν εἰς δικαιοσύνην. Ἐκ γὰρ δὴ τούτων, φησὶ, περιγίνεταί τινι, τὸ ἄρτιον εἶναι. Ἄρτιος δέ ἐστιν, ὁ ἀεὶ ἴσος, καὶ μήτε τοῖς λυπηροῖς κλινόμενος καὶ ταπεινούμενος, μήτε τοῖς χρηστοῖς ἐπαιρόμενος καὶ φυσιούμενος, ἀλλ' ἀεὶ ὡσαύτως ἔχων ἐν πράγμασιν ἀνίσοις. « Πρὸς πᾶν ἔργον ἀγαθόν. » Οὐχ ἁπλῶς μετέχων, ἀλλ' ἀπηρτισμένος καὶ πεπληρωμένος.

A affici vulgi more. Nam qui sacras novit Litteras, sicuti nosse oportet, nunquam subverti poterit. « Ad salutem per fidem quæ est in Christo Jesu. » Erudiunt autem te, non more externæ sapientiæ quæ in sermone et errore sita est, sed ad salutem per fidem quæ in Christo est. Nam sacræ Litteræ et sapientia quæ ex eis sumitur, ad fidem Christi ducunt. « Omnis Scriptura divinitus inspirata est. » Ubi multos consolationis modos expressit, nunc etiam maximum dicit qui est ex lectione Scripturarum. Nam triste aliquid dicturus est, nempe de sua morte. Quod si Timotheum legere oportet, quanto magis nos? « Ad doctrinam. » Quoniam bona docet dogmata et opera. « Ad redargutionem. » Ad hoc ut falsa redarguantur. « Ad B correctionem. » Ad corrigendos fratres. « Ad institutionem quæ est in justitia. » Ad erudiendum et inducendum ad justitiam. Ex his autem contingit alicui ut integer sit. Est autem integer qui semper est æqualis, et neque ad tristia declinat et dejicitur animo, neque ad prospera erigitur et inimparibus. « Ad omne opus bonum. » Non vulgari

tumescit, sed semper pari modo se habet in rebus modo particeps factus, sed perfectus ac completus.

Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ Θεοῦ καὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ. Κήρυξον τὸν λόγον, ἐπίστηθι εὐκαίρως, ἀκαίρως. Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ.

IV, 1-2. *Obtestor igitur ego coram Deo et Domino Jesu Christo qui judicaturus est vivos et mortuos in apparitione sua et in regno suo. Prædica sermonem, insta tempestive, intempestive, convince, increpa : exhortare cum longanimitate et doctrina.*

Ἡ συνεχὴς διαμαρτυρία ἤτοι παραγγελία, τρία C τίκτει, φοβερωτέραν τε τὴν παραγγελίαν καὶ ἀπαραίτητον ποιεῖ, καὶ τὸ σωτηριῶδες τοῦ λόγου παρατίθεται. Οὐ γὰρ εἰ μὴ τοιοῦτος ἦν, ἔδει αὐτὸν μετὰ τοσαύτης ἀνυπερθέτως κηρυχθῆναι. Καὶ ὅτι τὸ οἰκεῖον πληροῖ ὁ παραγγέλλων, μηκέτι ὑποκείμενος τῇ, ὡς εἰκὸς, γινομένῃ περὶ τὸ κήρυγμα ἀμελείᾳ. « Τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς. » Ἢ ἁμαρτωλοὺς λέγει καὶ δικαίους, ἢ τοὺς προαπελθόντας, καὶ τοὺς ἔτι ζῶντας, ἢ ὅτι πολλοὶ καταλειφθήσονται ζῶντες τότε. Ὅ καὶ ἀλλαχοῦ φησι, Πάντες μὲν οὐ κοιμηθησόμεθα. « Κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ. » Πότε μέλλοντος κρίνειν; ἐν τῇ ἐπιφανείᾳ αὐτοῦ, τῇ μετὰ βασιλείας καὶ δόξης γενησομένῃ. Οὐδὲ γὰρ οὕτως ἥξει ὡς ἦλθε πρότερον. « Κήρυξον τὸν λόγον. » Τί δὲ διαμαρτύρομαι; Μὴ κατακρύψῃς D τὸν λόγον, φησὶν, ἀλλὰ κήρυξον. « Ἐπίστηθι. » Οἷον, Αἰφνίδιον ἐπισκόπει, ἐφόρα μή τις ἁμαρτάνῃ, καὶ τοῦτο ποίει, εὐκαίρως, ἀκαίρως, τουτέστι, μὴ ἔστω σοι καιρὸς πρὸς τοῦτο ὡρισμένος, ἀλλ' ἐν ἑκάστῳ καιρῷ κἂν μὴ προσῆκον ᾖ, ἐπισκόπει. Καὶ ἐὰν εὕρῃς, φησὶν, ἡμαρτηκότα. « Ἔλεγξον. » Οὐδὲν γὰρ δεῖ πρὸ ἐλέγχου ποιεῖν. Καὶ μετὰ τὸ ἀποδεῖξαι τὸ πταῖσμα, « Ἐπιτίμησον. » Μέμψαι, ἐγκάλεσον. Εἶτα μετὰ τὴν πληγὴν, ἐπίθες φάρμακον. « Παρακάλεσον » γὰρ, φησὶν, « ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. » « Ἐν πάσῃ μακροθυμίᾳ. »

Continua obtestatio et præceptum tria parit : formidabilius reddit præceptum et irrecusabile, quodque salutare est in sermone proponit. Neque enim si talis non esset, oporteret ipsum cum tanta sublimitate prædicari. Præterea quod suum est facit is qui præcipit et annuntiat, jam non obnoxius, ut verisimile est, negligentiæ quæ circa prædicationem solet contingere. « Qui judicaturus est vivos et mortuos. » Aut peccatores dicit et justos : aut eos qui jam mortui erant, quique adhuc vivebant : aut quia multi eo tempore vivi relinquendi sunt, sicut alibi dicit : Omnes quidem non dormiemus[12]. « In apparitione sua. » **277** Quando judicaturus est? In apparitione sua, quæ futura est cum majestate et gloria. Neque enim ita veniet sicut prius venit. « Prædica sermonem. » Quid autem obtestor? Ne occultes sermonem, sed prædices. « Insta. » Hoc est, Repente circumspice et observa ne quis peccet. Et hoc facito tempestive, intempestive, hoc est ne ad hoc sit tibi certum ac definitum tempus, sed omni tempore quanquam non fuerit opportunum, superintende. Et si inveneris, inquit, peccantem, « Convince. » Nihil enim facere oportet priusquam conviceris : et postquam lapsum esse ostenderis, « Increpa. » Reprehende, objurga. Deinde post vulnus adde et pharmacum. « Exhortare, »—« ne nimia tristitia absorbeatur qui

[12] 1 Cor. xv, 51.

hujusmodi est. » — « Cum omni longanimitate. » Sed quidem longanimitate opus est in hac re, ne facile credat utcumque deferenti, sed per omne scrutinium et indaginem perveniat ad veritatem. « Et doctrina. » Admonitionem, inquit, una cum increpatione tanquam filio adjunge, non tanquam inimicum puniens. Novit enim admonitionem interdum plus prodesse quam increpationem.

A Μακροθυμίας γὰρ δεῖται τὸ πρᾶγμα, ὥστε μὴ ἁπλῶς τοῖς λέγουσι πείθεσθαι, διὰ δὲ πάσης ἐρεύνης ἔρχεσθαι καὶ θήρας τοῦ ἀληθοῦς. «Καὶ διδαχῇ.» φησί. Τὴν ἐπιτίμησιν μετὰ τοῦ νουθετεῖν, φησὶν, ὡς τέκνῳ ἐπίθες, μὴ ὡς ἐχθρὸν τιμωρούμενος. Οἶδε γὰρ ἔσθ' ὅτε παραίνεσιν καὶ πλέον ἰσχῦσαι τῆς ἐπιτιμήσεως.

CAPUT VIII.

De his qui nova moliebantur quibus Timotheum opponit.

IV, 3-5. *Nam erit tempus cum sanam doctrinam non sustinebunt, sed juxta concupiscentias suas coacervabunt sibiipsis magistros hi quibus pruriunt aures : et a veritate quidem aures avertent, ad fabulas vero convertentur. Tu vero in omnibus vigila, obdura in laboribus, opus perage evangelistæ, ministerium tuum adimple.*

Priusquam igitur præcipitentur, præoccupa illos interim dum tibi parent. Propterea dicit Tempestive, intempestive, quandiu sustinent. Oportet enim assuescere ipsos ad obedientiam priusquam resiliant. Considera vero rem indignam magistris. **278** Siquidem præsidentiæ illis occasio sunt plebis concupiscentiæ. « Coacervabunt sibiipsis magistros : » hoc est doctorum multitudinem sine judicio. Et dicens : Coacervabunt sibiipsis, ostendit quod a discipulis constituentur magistri. « Hi quibus pruriunt aures. » Hoc est gaudentes audire quæ delectant appetitum, semperque audire cupientes quæ dicuntur ad gratiam. « Et a veritate quidem aures avertent. » Hæc prædicit, non ut mœrore afficiat, sed docens oportere discipulos quamdiu morigeri fuerint et obtemperantes, recte formari et adduci : utque dum hæc contigerint, non despondeant animum. Nam, « Paratus fui, inquit, et non sum turbatus[14]. » Jamne vides quod non ignorantes labuntur, sed spontanei? Avertent namque aures, ait, et subvertentur ut voluntarium sit malum. « Tu vero in omnibus vigila. » Hæc dixit ut vigilaret et excitaretur. « Obdura in laboribus. » Decerta, labora, præoccupa discipulorum aures bonis ac veris dogmatis, priusquam subingrediatur illa pestis. « Ministerium tuum adimple. » Etenim Timotheus quoque prædicatione ministrabat. Siquidem prædicabat. Comple igitur quod auspicatus es, et prædicationem ipsis dissemina dum sani sunt.

B Πρὶν ἢ οὖν ἐκτραχηλισθῆναι, προκατάλαβε αὐτοὺς εἰκοντάς σοι. Διὰ γὰρ τοῦτό φησιν, Εὐκαίρως, ἀκαίρως, ἕως οὗ ἀνέχονται. Δεῖ γὰρ αὐτοὺς ἐθίσαι πρὸς πειθὼ, πρὶν ἀποσκιρτήσωσιν. Ὅρα δὲ ἀτοπίαν τῶν διδασκάλων, ὅτι πρόφασις αὐτοῖς προστασίας αἱ τῶν λαῶν ἐπιθυμίαι. « Ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους. » Τὸ ἀδιάκριτον πλῆθος τῶν διδασκάλων, καὶ τὸ, ὑπὸ τῶν μαθητῶν χειροτονεῖσθαι αὐτοὺς, διὰ τοῦ, Ἐπισωρεύσουσι διδασκάλους, ἐδήλωσε. « Κνηθόμενοι τὴν ἀκοήν. » Οἷον, τερπόμενοι τὴν ἀκοὴν C ἀκοῦσαι τὰ πρὸς ὄρεξιν, καὶ ἀεὶ ἐπιθυμοῦντες τὰ πρὸς χάριν ἀκούειν. « Καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσι. » Ταῦτα προλέγει, οὐχ ἵνα λυπήσῃ, ἀλλὰ διδάσκων, δεῖν τοὺς μαθητὰς ἕως ὅτε πειθήνιοι καὶ εἰκτικοὶ τυγχάνωσι, πλασθῆναι καλῶς καὶ ἀχθῆναι, καὶ ἵνα, ὅταν ταῦτα ἀποβαίη, μὴ ἀθυμῇ. « Ἡτοιμάσθην γὰρ, φησὶ, καὶ οὐκ ἐταράχθην. » Ὁρᾷς ὅτι οὐχ ὡς ἀγνοοῦντες σφάλλονται, ἀλλ' ἑκόντες; Ἀποστρέψουσι γὰρ τὴν ἀκοὴν, φησὶ, καὶ ἐκτραπήσονται, ὥστε ἑκούσιον τὸ κακόν. « Σὺ δὲ νῆφε ἐν πᾶσι. » Διὰ οὖν τὸ νήφειν καὶ διεγηγέρθαι, ταῦτα εἶπε. « Κακοπάθησον. » Ἀγώνισαι, φησὶ, κοπίασον, προκατάλαβε τῶν μαθητῶν τὰς ἀκοὰς ἐν χρηστοῖς καὶ ἀληθέσι δόγμασι πρὶν ἢ τὴν λύμην ἐκείνην ὑπεισελθεῖν. « Τὴν διακονίαν σου πληροφόρησον. » Καὶ γὰρ καὶ ὁ Τιμόθεος διηκόνει τῷ κηρύγματι. Ἐκήρυσσε γάρ. Πλήρωσον οὖν ὃ ἐνήρξω, φησὶ, καὶ κατάσπειρον αὐτοῖς, ἕως ὑγιαίνουσι, τὸ κήρυγμα.

CAPUT IX.

De futura sui ipsius resolutione ad æternam gloriam.

IV. 6-8. *Nam ipse ego jam delibor, et tempus meæ resolutionis instat. Certamen bonum decertavi, cursum consummavi, fidem servavi. Quod superest, reposita est mihi justitiæ corona, quam reddet mihi*

ΚΕΦΑΛ. Η'.

Περὶ τῶν καινοτομησάντων, οἷς ἀντιτάττει τὸν Τιμόθεον.

Ἔσται γὰρ καιρὸς, ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς ἰδίας ἐπιθυμίας ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους, κνηθόμενοι τὴν ἀκοὴν, καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. Σὺ δὲ νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον.

Πρὶν ἢ οὖν ἐκτραχηλισθῆναι, προκατάλαβε αὐτοὺς εἰκοντάς σοι. Διὰ γὰρ τοῦτό φησιν, Εὐκαίρως, ἀκαίρως, ἕως οὗ ἀνέχονται. Δεῖ γὰρ αὐτοὺς ἐθίσαι πρὸς πειθὼ, πρὶν ἀποσκιρτήσωσιν. Ὅρα δὲ ἀτοπίαν τῶν διδασκάλων, ὅτι πρόφασις αὐτοῖς προστασίας αἱ τῶν λαῶν ἐπιθυμίαι. « Ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους. » Τὸ ἀδιάκριτον πλῆθος τῶν διδασκάλων, καὶ τὸ, ὑπὸ τῶν μαθητῶν χειροτονεῖσθαι αὐτοὺς, διὰ τοῦ, Ἐπισωρεύσουσι διδασκάλους, ἐδήλωσε. « Κνηθόμενοι τὴν ἀκοήν. » Οἷον, τερπόμενοι τὴν ἀκοὴν ἀκοῦσαι τὰ πρὸς ὄρεξιν, καὶ ἀεὶ ἐπιθυμοῦντες τὰ πρὸς χάριν ἀκούειν. « Καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσι. » Ταῦτα προλέγει, οὐχ ἵνα λυπήσῃ, ἀλλὰ διδάσκων, δεῖν τοὺς μαθητὰς ἕως ὅτε πειθήνιοι καὶ εἰκτικοὶ τυγχάνωσι, πλασθῆναι καλῶς καὶ ἀχθῆναι, καὶ ἵνα, ὅταν ταῦτα ἀποβαίη, μὴ ἀθυμῇ. « Ἡτοιμάσθην γὰρ, φησὶ, καὶ οὐκ ἐταράχθην. » Ὁρᾷς ὅτι οὐχ ὡς ἀγνοοῦντες σφάλλονται, ἀλλ' ἑκόντες; Ἀποστρέψουσι γὰρ τὴν ἀκοὴν, φησὶ, καὶ ἐκτραπήσονται, ὥστε ἑκούσιον τὸ κακόν. « Σὺ δὲ νῆφε ἐν πᾶσι. » Διὰ οὖν τὸ νήφειν καὶ διεγηγέρθαι, ταῦτα εἶπε. « Κακοπάθησον. » Ἀγώνισαι, φησὶ, κοπίασον, προκατάλαβε τῶν μαθητῶν τὰς ἀκοὰς ἐν χρηστοῖς καὶ ἀληθέσι δόγμασι πρὶν ἢ τὴν λύμην ἐκείνην ὑπεισελθεῖν. « Τὴν διακονίαν σου πληροφόρησον. » Καὶ γὰρ καὶ ὁ Τιμόθεος διηκόνει τῷ κηρύγματι. Ἐκήρυσσε γάρ. Πλήρωσον οὖν ὃ ἐνήρξω, φησὶ, καὶ κατάσπειρον αὐτοῖς, ἕως ὑγιαίνουσι, τὸ κήρυγμα.

ΚΕΦΑΛ. Θ'.

Περὶ τῆς ἑαυτοῦ μελλούσης ἀναλύσεως, ἐπὶ δόξῃ αἰωνίᾳ.

Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε. Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα. Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιο-

[14] Psal. cxviii, 60.

σύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής, οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

A *Dominus in illo die, qui est justus judex : non solum autem mihi, sed et his qui diligunt adventum ipsius.*

Ἐγὼ γάρ, φησὶν, ἤδη θυσίαν ἐμαυτὸν προσφέρω Χριστῷ. Οὐκ εἶπε δὲ θυσίαν, ἀλλὰ σπονδήν, τὸ πλεῖον λέγων καὶ ἱερώτερον. Τῆς μὲν γὰρ θυσίας μέρος τι μόνον Θεῷ εἰς θυμίαμα ἀφιεροῦτο. Ἡ δὲ σπονδὴ ἅπασα αὐτῷ ἀφιέρωτο. Τοῦτο δὲ ποιεῖν καὶ αὐτὸς τοῖς μαθηταῖς ἐπιτάσσει λέγων· « Παραστήσατε τὰ μέλη ὑμῶν θυσίαν ζῶσαν. » Ἑαυτὸν γὰρ ἱερουργεῖ ὁ ὑπὲρ Χριστοῦ θυόμενος. Ἢ τὸ *σπένδομαι* νόει, οἷον, καταλύω τὸν πρὸς πάντας πόλεμον. Οὔτε πολεμῶν, οὔτε πολεμούμενος, τελειοῦμαι γάρ. — « Τῆς ἐμῆς ἀναλύσεως. » [ΘΙΚΟΥΜ.] Ἀνάλυσιν γὰρ λέγει τὸν θάνατον, ἢ διὰ τὸ ἀναλύειν ἐξ ἧς ἐλήφθημεν γῆς· ἢ πρὸς τὸν δημιουργήσαντα Χριστόν. « Τὸν ἀγῶνα. » Ταῦτα λέγει, οὐ μεγαληγορῶν, ἄπαγε, ἀλλὰ τὸν μαθητὴν παραμυθούμενος, ὡς ἐπὶ στεφάνους ἀπιὼν καὶ ἀντιδόσεις ἀγαθῶν, ὡς εἰ ἔλεγεν· Χαίρειν σε μᾶλλον δεῖ ἢπερ ἀλγεῖν, ὅτι τοιαύτης ἐπιτυγχάνω τελευτῆς. « Τὸν καλὸν ἠγώνισμαι. » Πᾶς γὰρ ὁ ὑπὲρ Χριστοῦ ἀγὼν, καλὸς, κἂν ἀλύσεις ἔχῃ, κἂν διωγμοὺς, κἂν θανάτους. Εἰ οὖν καλὸς, φησὶν, ἐπιλαβοῦ δῆτα καὶ σὺ αὐτοῦ. « Τὸν δρόμον τετέλεκα. » Περιέδραμε γὰρ τὴν οἰκουμένην, πάντας εἰς θεογνωσίαν ἄγων. Ὥστε ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ Εὐαγγέλιον. « Τὴν πίστιν τετήρηκα. » Πολλοὶ γὰρ αὐτὴν συλῆσαι παρ' αὐτοῦ ἤθελον, φίλοι ψευδεῖς, ἐχθροὶ, Ἕλληνες, Ἰουδαῖοι. « Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. » Εἶτα καὶ ἀπὸ τῶν ἐπάθλων παραμυθεῖται αὐτόν. Τίς γὰρ ἂν ἀλγήσειεν ἐπὶ τῷ ἀπολαμβάνοντι στέφανον; Δικαιοσύνης δέ, οἷον τῆς καθόλου ἀρετῆς. « Ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. » Μὴ γάρ μοι, φησὶ, τὰ ὧδε εἴπῃς τὰ πρόσκαιρα, ἐγὼ γὰρ τὰ ἐκεῖ ζητῶ. Ὅρα δὲ πῶς χρέος αὐτὸν ἀπαιτεῖ, διά τε τοῦ, Ἀποδώσει μοι, ἀλλ' οὐκ εἶπε, Δώσει· τοῦτο δηλῶν καὶ διὰ τοῦ, Ὁ δίκαιος κριτής. « Οὐ μόνον δὲ ἐμοί. » Ἐνταῦθα καὶ αὐτὸν ἀνέστησε τὸν Τιμόθεον, ὅτι, φησὶ, καὶ σοὶ ἀποδώσει. Εἰ γὰρ πᾶσι τοῖς ἀγαπῶσι τὴν ἐπιφάνειαν αὐτοῦ στέφανον δίδωσι, πολλῷ μᾶλλον σοί. Τίς δὲ ἀγαπᾷ τὴν ἐπιφάνειαν αὐτοῦ; Ὁ ἄξια πράττων ἀμοιβῶν χρηστῶν.

Nam ego, inquit, me ipsum jam offero Christo hostiam. Non tamen dixit hostiam, sed σπονδὴν, id est, libamen (ponens enim verbum σπένδομαι, id est, delibor ponit, et nomen ejus σπονδὴ) quod amplius est ac sacratius. Siquidem hostiæ quædam pars tantum **279** Deo in sacrificium offerebatur, universum vero libamen ipse sacrificabatur. Hoc autem et ipse discipulis facere jubet cum ait : « Præbete corpora vestra hostiam viventem[18]. » Seipsum enim sacrificat qui pro Christo immolatur. Aut σπένδομαι intellige fœdus : saucio, hoc est : bel-
B lum adversus quosvis dissolvo : morior enim neque bello impugnans neque bello impugnatus. — « Meæ resolutionis. » Nam resolutionem dicit mortem : aut quia in terram resolvimur de qua sumpti sumus, aut reditum dicit ad Christum qui creavit. « Certamen. » Hæc ait, non sese jactitans : minime gentium : sed discipulum consolando, quasi ad recipiendas coronas abeat et bonorum operum retributiones, ac si diceret : Te potius gaudere oportet quam lugere, quod talem assequar finem. « Bonum decertavi. » Omne enim certamen pro Christo susceptum, bonum est : sive vincula habeat, sive persecutiones, sive mortes. Si igitur bonum est, et tu ergo illud assume. « Cursum consummavi. » Orbem namque percurrit, omnes ad
C Dei cognitionem adducens. Itaque ab Jerusalem et in circumjacentibus regionibus usque ad Illyricum impleverat Evangelio[19]. « Fidem servavi. » Multi enim hanc ab ipso prædari conabantur, falsi amici, inimici, Judæi, Græci. « Quod superest, reposita est mihi justitiæ corona. » Deinde etiam a præmiis certaminum consolatur ipsum. Quis enim lugebit eum qui coronam accipit? Justitiæ vero, hoc est universalis virtutis. « Quam reddet mihi Dominus in illo die. » Neque enim mihi hæc temporalia proferas, nam ego futura quæro. Considera vero quod tanquam debitum expetit illud, cum ait, Reddet mihi, et non dicit, Dabit : significans etiam hoc ex eo quod ait : Justus judex. « Non solum autem mihi. » Hic ip-
D sum quoque excitat Timotheum, nam etiam tibi, inquit, reddet. Si enim omnibus qui diligunt adventum ipsius dabit coronam, multo magis tibi. Quis autem diligit adventum ipsius? Qui digna operatur beatis remunerationibus.

Σπούδασον ἐλθεῖν πρός με ταχέως. Δημᾶς γάρ με ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην, Κρήσκης εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν, Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. Μάρκον ἀναλαβὼν, ἄγε μετὰ σεαυτοῦ. Ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν. Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔφεσον. Τὸν φαιλόνην ὃν ἀπέλιπον ἐν Τρῳάδι παρὰ Κάρπῳ ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας.

IV, 8-13. *Da operam ut venias ad me cito : nam Demas me dereliquit cum diligeret præsens sæculum, et profectus est Thessalonicam, Crescens in Galatiam, Titus in* **280** *Dalmatiam : Lucas mecum est solus. Marcum assumptum adducito una tecum. Est enim mihi perutilis ad ministerium. Porro Tychicum misi Ephesum. Penulam quam reliqui Troade apud Carpum ubi veneris conferas, et libellos, maxime autem membranas.*

Τί δή ποτε τὴν Ἐφεσίων Ἐκκλησίαν ἐμπεπιστευ-

Quam ob causam eum ad se vocat cui concre-

[18] Rom. XII, 1. [19] Rom. XV, 19.

dita erat Ephesiorum Ecclesia? Quia cum in carcere esset, ad illum proficisci non poterat. Vult igitur ut Timotheus ad se veniat, tum quod solus esset, tum ut aliqua ipsi præciperet. « Ad me cito. » Non ait : Interim dum vivo : neque enim voluit eum contristare. « Cum diligeret præsens sæculum. » Id est securitatem : et ita fugit periculum ut existimavit. Magis enim elegit domi in deliciis agere, quam mecum defatigari. Non autem intendit hunc traducere, sed nos potius confirmare ne mollescamus. « Crescens in Galatiam. » Hi sua voluntate discesserant, ideo non dicit, Reliqui. Porro Titus inter præclaros erat cui Cretæ episcopatum crediderat. « Lucas mecum est solus. » Lucas hic est qui Evangelium scripsit et Acta apostolorum : cum autem discendi cupidus esset, sanctus et constans, nunquam a Paulo divellebatur. « Est enim mihi perutilis. » Non ad meam, inquit, requiem, sed ad ministerium evangelicum. Sane Timotheum quoque hanc ob causam vocabat, ut post suam mortem consolaretur fratres. « Ad ministerium. » Evangelii videlicet. « Porro Tychicum misi. » Vide omnimodam solitudinem. « Penulam quam reliqui. » Vestimentum quoddam hic dicit. Quærit autem illud, ne egens cuiquam sit molestus. Nam ubique hoc ipsi curæ est plurimum. — *Alio modo.* Vestis genus hic dicit. Quidam vero thecam significari volunt in qua libelli reponebantur. Quæ autem ipsi libellorum erat necessitas qui brevi ad Deum migraturus erat? Certe tunc maxime opus erat, ut eos fidelibus commendaret, et ut illos pro ipsius doctrina haberent. Penulam vero quærebat, ne sibi opus esset ab aliis accipere. — « Maxime membranas. » Membranas Latina magis voce, volumina sive chartas volubiles appellavit : tanquam a Romano usu indifferenter dictione abusus, **281** ex qua urbe etiam scripsit Epistolam. In complicatis enim et involutis chartis habebant olim quæ ad divinam spectabant Scripturam : quemadmodum etiam ad hunc usque diem Judæi plurima habent. Libellos autem dixit communi vocabulo quod in alia quoque forma habuerit fortassis libellos. « Maxime membranas. » Fortassis autem hæ utiliora quædam in se reposita habebant. Sunt autem risu digni qui hoc loco Apostolum aiunt per penulam non vestem significasse, sed genus libelli, qui litteræ seriem non adverterunt. Superfluum fuisset libelli genus, cum potuisset una cum aliis

A μένον, πρὸς ἑαυτὸν καλεῖ; Ὅτι ἐν φυλακῇ ὢν αὐτὸ., ἀπελθεῖν οὐκ ἠδύνατο. Βούλεται οὖν ἐλθεῖν πρὸς αὐτὸν τὸν Τιμόθεον, διά τε τὸ, μόνος εἶναι, καὶ διά τὸ, τινὰ αὐτῷ ἐντείλασθαι. « Πρός με ταχέως. » Οὐ λέγει, Ἐν ὅσῳ ζῶ· οὐδὲ γὰρ λυπῆσαι ἤθελεν. « Ἀγαπήσας τὸν νῦν αἰῶνα. » Τοῦ ἀσφαλοῦς καὶ τοῦ ἀκινδύνου γενόμενος, ὡς ἐνόμισεν. Εἵλετο γὰρ μᾶλλον οἴκοι τρυφᾶν, ἢ μετ' ἐμοῦ ταλαιπωρεῖσθαι. Οὐ τοῦτον δὲ διαβαλεῖν θέλει, ἀλλ' ἡμᾶς στηρίξαι μὴ μαλακίζεσθαι. « Κρήσκης εἰς Γαλατίαν. » Οὗτοι γνώμῃ αὐτοῦ ἀπεληλύθεισαν, διὸ οὐ λέγει περὶ αὐτῶν τὸ, Ἐγκατέλιπον. Τέως γὰρ ὁ Τίτος τῶν θαυμασίων ἦν, τούτῳ καὶ ἐπισκοπὴν ἐπεπιστεύκει τῆς Κρήτης. « Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. » Λουκᾶς οὗτός ἐστιν ὁ τὸ Εὐαγγέλιον γράψας καὶ τὰς Πράξεις τῶν ἀποστόλων. Φιλομαθὴς δὲ ὢν ὁ ἅγιος καὶ καρτερικὸς, ἀδιασπάστως εἵχετο τοῦ Παύλου. « Ἔστι γάρ μοι εὔχρηστος. » Οὐκ εἰς τὴν ἐμὴν ἀνάπαυσιν, φησὶν, ἀλλ' εἰς διακονίαν τοῦ Εὐαγγελίου. Ἆρα καὶ τὸν Τιμόθεον τούτου χάριν ἐκάλει, ἵνα κατὰ τὴν αὐτοῦ τελείωσιν παραμυθῆται τοὺς ἀδελφούς. « Εἰς διακονίαν. » Τοῦ Εὐαγγελίου, φησίν. « Τυχικὸν δὲ ἀπέστειλα. » Ὅρα διὰ πάντων τὴν μόνωσιν. « Τὸν φελόνην ὃν ἀπέλιπον. » Ἱμάτιόν τι λέγει ἐνταῦθα. Ζητεῖ δὲ τοῦτο, ὥστε μὴ δεηθῆναί τινος. Πανταχοῦ γὰρ πολὺς αὐτῷ τούτου λόγος. — *Ἄλλως.* [ΙΩΑΝ.] Ἱμάτιον ἐνταῦθα λέγει. Τινὲς δὲ τὸ γλωσσόκομον ἐνθα τὰ βιβλία ἔκειτο. Τί δὲ αὐτῷ τῶν βιβλίων ἔδει μέλλοντι ἀποδημεῖν πρὸς τὸν Θεόν; Καὶ μάλιστα ἔδει, ὥστε αὐτὰ τοῖς πιστοῖς παραθέσθαι, καὶ ἀντὶ

B

C τῆς αὐτοῦ διδασκαλίας ἔχειν αὐτά. Τὸν δὲ φελόνην ἐζήτει, ὥστε μὴ δεηθῆναι παρ' ἑτέρων λαβεῖν. — « Μάλιστα τὰς μεμβράνας. » [ΘΕΟΔΩΡ.] Μεμβράνας Ῥωμαϊκώτερον, τὰ εἰλητὰ ἐκάλεσεν, ὡς ἀπὸ τῆς ἐν Ῥώμῃ συνηθείας ἀδιαφόρως τῇ λέξει καταχρησάμενος, ἀφ' ἧς δὴ καὶ ἔγραφε τὴν Ἐπιστολήν. Ἐν εἰλητοῖς γὰρ εἶχον τὸ παλαιὸν τὰ τῆς θείας Γραφῆς, ὥσπερ οὖν καὶ ἄχρι τῆς δεῦρο οἱ Ἰουδαῖοι τὰ πλεῖστα ἔχουσι. Βιβλία δὲ εἶπε κατὰ κοινοῦ, ὡς ἂν καὶ ἐν ἑτέρῳ σχήματι τυχὸν ἔχων βιβλία. « Μάλιστα τὰς μεμβράνας. » Ἴσως γὰρ αὗται ὠφελιμώτεραι ἦσαν. Γελάσαι ἄξιον τῶν ἐνταῦθα εἰρηκότων φελόνην τὸν Ἀπόστολον, οὐ τὸ ἔνδυμα καλεῖν, ἀλλά τι εἶδος βιβλίου, οἳ οὐ προσέσχον τῇ ἐπαγωγῇ. Περιττὸν γὰρ ἦν εἰπεῖν· Καὶ τὰ βιβλία, εἴπερ δὴ κἀκεῖνο βιβλίου

D εἶδος ἦν, δυνάμενον τοῖς λοιποῖς συσσημαίνεσθαι. enim fuisset dicere : Et libellos, si etiam illud significari.

IV, 14-18. *Alexander faber ærarius multis malis me affecit : reddat illi Dominus juxta facta ipsius : quem et tu cave : vehementer enim restitit nostris sermonibus. In prima mea defensione nemo mihi adfuit, sed omnes me deseruerunt : ne illis imputetur, Dominus autem mihi adfuit, et corroboravit me, ut per me prædicatio expleretur, et audirent omnes gentes : et ereptus fui ex ore leonis, et eripiet me Dominus ab omni facto malo, et servabit ad regnum suum æternum : cui gloria in sæcula sæculorum. Amen.*

Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο (ἀποδῴη αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ), ὃν καὶ σὺ φυλάσσου. Λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις. Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ, οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον. Μὴ αὐτοῖς λογισθείη. Ὁ δὲ Κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με, ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ, καὶ ἀκούσῃ πάντα τὰ ἔθνη. Καὶ ἐρρύσθην ἐκ στόματος λέοντος. Καὶ ῥύσεταί με ὁ Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ, καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν αἰώνιον. ὯΙ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀποδείκνυσιν αὐτῷ καὶ τὰς ἀπὸ τῶν εὐτελῶν θλίψεις, γενναίως φέρειν. Τὸ γὰρ ἀδικεῖσθαι λυπηρὸν, μάλιστα δὲ παρὰ τῶν εὐτελῶν. « Ἀποδῴη αὐτῷ ὁ Κύριος. » Οὐκ ἐπειδὴ Παῦλος ἔχαιρε τῇ τιμωρίᾳ, ἀλλὰ διὰ τοὺς ἀσθενεστέρους ἐν τοῖς πιστοῖς ἔδει τοὺς ἄγαν ἐναντιουμένους πάσχειν κακῶς, ἵνα μὴ ἀδυναμίαν καταγνῶσι τοῦ κηρύγματος. « Κατὰ τὰ ἔργα αὐτοῦ. » Ἢ ὅτι προρρήσεις ἐστι τῶν μελλόντων, οὐκ ἀρά. « Ὃν καὶ σὺ φυλάσσου. » Οὐκ εἶπε, Τιμώρησαι, κόλασον (καὶ γὰρ ἐξῆν τοῦτο ποιεῖν Τιμοθέῳ διὰ τοῦ πνεύματος), ἀλλὰ, Φυλάσσου. Ὁρᾷς ὅτι οὐκ ἐπιτρέχει τῇ τιμωρίᾳ; Τὸ δὲ, Φυλάσσου, οἷον παραιτοῦ. « Τοῖς ἡμετέροις λόγοις. » Τοῖς τοῦ κηρύγματος δηλαδή. « Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ. » Παρέστη ἤδη τῷ Νέρωνι καὶ διέφυγεν. Ἀλλ' ὅταν τὸν οἰνοχόον αὐτοῦ κατήχησε, τότε αὐτὸν ἀποτέμνει. Οὐδὲ γὰρ οὕτω πρὸς τὰ εἴδωλα ζῆλον εἶχεν ὁ Νέρων, οὕτως ἦν ἐξίτηλος ἐν πᾶσιν. « Ἀλλὰ πάντες με ἐγκατέλιπον. » Οἱ Ἰουδαῖοι, φησὶν, οἱ ἀδελφοί. « Μὴ αὐτοῖς λογισθείη. » Ὁρᾷς αὐτὸν μὴ μόνον οὐ βουλόμενον τιμωρεῖσθαι, ἀλλὰ καὶ συγχώρησιν εὐχόμενον; Καίτοι δεινὰ ἐπεπόνθει. Οὐ γὰρ ἴσον τὸ ἀπ' ἀλλοτρίων προδίδοσθαι, ὅσον τὸ ἀπὸ τῶν οἰκείων. « Ὁ δὲ Κύριός μοι παρέστη. » Τὸν γὰρ ὑπὸ ἀνθρώπων ἐγκαταλιμπανόμενον ὁ Κύριος οὐκ ἀφίησιν. Ἐνεδυνάμωσέ με, φησί· τουτέστι, παῤῥησίαν ἐχαρίσατο, καὶ οὐκ ἀφῆκε καταπεσεῖν. Ὁρᾷς προτροπὴν πρὸς τὸν μαθητὴν, καὶ πάλιν ἑτέραν παραμυθίαν; « Ἵνα δι' ἐμοῦ τὸ κήρυγμα. » Ὅρα ταπεινοφροσύνην. Οὐ γὰρ ὡς ἄξιος ἐπικουρίας ἐβοηθήθην, ἀλλὰ διὰ τὸ κήρυγμα, ἵνα πληρωθῇ καὶ εἰς πέρας ἔλθῃ. « Καὶ ἀκούσῃ, φησὶ, πάντα τὰ ἔθνη. » Ἵνα πᾶσι, φησὶ, κατάδηλος γένηται καὶ τοῦ κηρύγματος ἡ δύναμις, καὶ τῆς περὶ ἐμὲ προνοίας ἡ κηδεμονία. « Ἐκ στόματος λέοντος. » Λέοντα, τὸν Νέρωνα λέγει, διὰ τὸ ὠμὸν καὶ θηριῶδες. « Καὶ ῥύσεταί με ὁ Κύριος. » Εἰ ῥύσεται, πῶς φησιν, Ἐγὼ ἤδη σπένδομαι; Ἀλλ' ὅρα. Τότε μὲν ἐκ τοῦ Νέρωνος ἐῤῥύσατο, νῦν δὲ οὐχ ὅτι ἐκ τοῦ Νέρωνος, (τὸ ἱκανὸν γὰρ τῷ Εὐαγγελίῳ ἐγεγόνει,) ἀλλ' ἀπὸ παντὸς ἁμαρτήματος, τουτέστιν, οὐκ ἀφήσει καταγνωσθέντα ἔν τινι ἀπελθεῖν. « Καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν αἰώνιον. » Ἐξαρπάσει με, φησὶν, ἐνθεν, καὶ φυλάξει. Τοῦτο γὰρ σημαίνει τὸ, Σώσει εἰς τὴν βασιλείαν αὐτοῦ. Ἄρα ἡ ὄντως σωτηρία αὕτη ἐστὶν, ὅταν ἐκεῖ διαλάμπωμεν. « ὯΙ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. » Ὅρα δοξολογίαν Υἱοῦ, ὡς καὶ τοῦ Πατρὸς, καὶ ἄλλοτε Πνεύματος· οὗτος γὰρ ὁ Κύριος, ἤγουν ὁ Υἱός.

A Ostendit ei viriliter ferendas esse afflictiones quæ etiam ab abjectis inferuntur. Molestum enim est injuria affici, ab iis præsertim qui viles et abjecti sunt. « Reddat illi Dominus. » Non quod Paulus gauderet ultione, sed propter imbecilliores qui inter fideles erant, oportebat eos qui valde repugnabant mala pati, ne imbecillitatem accusarent prædicationis. « Juxta facta ipsius. » Aut quod eorum quæ futura erant vaticinium sit, non imprecatio. « Quem et tu cave. » Non dixit, Ulciscere, punito (siquidem hoc facere potuisset Timotheus per spiritum) sed, Cave. Videsne quod ad ultionem non accurrat? Cave: aversare. « Nostris sermonibus: » videlicet qui prædicationis sunt. « In prima mea defensione. » Exhibitus jam fuerat Neroni et B evaserat: sed ubi pocillatorem, ejus ad fidem instruxit, tunc ipsum capite truncavit. Neque enim magnum erga idola zelum habebat Nero, adeo erat ignavus in omnibus. « Sed omnes me deseruerunt. » Judæi inquit, fratres. **282** « Ne illis imputetur. » Vides illum non solum vindictam non petentem, sed etiam veniam precantem? Atqui indigna passus fuerat. Neque enim æque miserum est prodi ab alienis sicut a domesticis et familiaribus. « Dominus autem mihi adfuit. » Eum qui ab hominibus derelictus est, Dominus non relinquit. Confirmavit me, inquit; hoc est, dicendi libertate donavit, nec permisit excidere. Vides exhortationem ad discipulum, rursumque aliam consolationem? « Ut per me prædicatio. » Consi- C dera animi modestiam. Non quod auxilio dignus essem, inquit, adjutus sum, sed propter prædicationem, ut expleretur et ad terminum perveniret. « Et audirent omnes gentes. » Ut omnibus manifesta fieret prædicationis potentia et gubernatio providentiæ circa me habitæ. « Ex ore leonis. » Leonem dicit Neronem ob crudelitatem ac feritatem. « Et eripiet me Dominus. » Si erepturus est, quomodo ait: Ego jam delibor? Sed animadverte. Tunc quidem a Nerone fuit liberatus, nunc vero jam non a Nerone liberandus erat cum Evangelio satisfactum esset, sed ab omni peccato, hoc est, non permittet ut in aliquo condemnatus discedam. « Et servabit ad regnum suum æternum. » Hinc, inquit, D me eripiet et custodiet. Nam hoc significat: Servabit ad regnum suum. Hæc itaque est vera salus, ut ibi splendidi simus. « Cui gloria in sæcula sæculorum. Amen. » Vide doxologiam pro Filio sicut et pro Patre alibi et pro Spiritu, hic enim est Dominus, nempe Filius.

Ἄσπασαι Πρίσκιλλαν καὶ Ἀκύλαν, καὶ τὸν Ὀνησιφόρου οἶκον. Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ. Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα. Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν. Ἀσπάζεταί σε Εὔβουλος καὶ Σπούδης καὶ Λῖνος, καὶ Κλαυδία, καὶ οἱ ἀδελφοὶ πάντες. Ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου. Ἡ χάρις μεθ' ἡμῶν. Ἀμήν.

IV, 19-22. *Saluta Priscillam et Aquilam, et Onesiphori familiam. Erastus mansit Corinthi. Trophimum autem reliqui Mileti languentem. Da operam ut venias ante hiemem. Salutat te Eubulus et Pudens et Linus et Claudia et fratres omnes. Dominus Jesus Christus cum spiritu tuo. Gratia nobiscum. Amen.*

Οὗτοί εἰσιν ὧν συνεχῶς μέμνηται τῶν σκηνοποιῶν, Ili sunt, quorum frequenter facit mentionem,

tabernaculorum textores, apud quos etiam diversatus est. Uxoris autem tanquam fidelioris ac diligentioris prius meminit, nam et hæc ipsum Apollo in fide instruxit. Facit autem salutationem, simul et consolationis gratia, et honorem ac dilectionem per hoc exhibens : quodque majus est, multa replet gratia eum qui salutatur. **283** « Et Onesiphori familiam. » Onesiphorus enim Romæ erat. Eos ergo salutat qui erant ex ejus familia, hac via excitans ad similem æmulationem, qualem habuerat Onesiphorus. « Erastus mansit Corinthi. » Quoniam horum nullam fecerat mentionem, nunc eorum meminit ut ostendat quod undique solus sit relictus, et quod ipsi sit opus Timotheo. « Trophimum autem reliqui Mileti. » Miletus propinqua est Epheso. Utrum igitur quando navigabat in Judæam, reliquerit eum Mileti Paulus, an rursum postquam Romam venerat, ad eas accesserit regiones, certo non possumus asserere. « Languentem. » Quare autem ipsum non sanavit, sed eum reliquit? Quia non omnia faciebant sancti, ne majus aliquid existimarentur et supra hominum naturam. « Da operam ut venias ante hiemem. » Interim, inquit, dum vivo, ne hieme detentus non videas me. « Et Linus. » Hunc aiunt esse Linum qui secundo loco creatus est Romæ episcopus post Petrum. « Et Claudia. » Vides quomodo etiam mulieres acres fuerint et ferventes crucifixæ mundo? Etenim genus hoc in nulle viris inferius est, modo velit. « Et fratres omnes. » Inter hos autem illi quorum nominatim facta est mentio, ferventiores in fide erant. » Dominus Jesus Christus cum spiritu tuo. » Duplex auxilium, nempe et Christi et Spiritus sancti : ac si diceret : Cum superventione Spiritus sancti quem nunc habes. Sit Dominus Jesus Christus tecum : hoc autem tibi præsente, non lugebis ob meam resolutionem. Aut, quia non potest Christi frui præsentia is qui ob gratiam spiritualem non suspirat : ut sit juxta hanc interpretationem, Spiritu tuo, hoc est, spirituali gratia. « Gratia nobiscum. » Pro seipso quoque una precatur, aut ut semper grati sint, aut ut semper donum habeant spirituale.

παρ' οἷς καὶ κατήχθη. Τῆς δὲ γυναικὸς, ὡς πιστοτέρας καὶ σπουδαιοτέρας, πρώτης μέμνηται. Καὶ γὰρ καὶ τὸν Ἀπολλὼ αὕτη κατήχησε. Τὸν δὲ ἀσπασμὸν ποιεῖται, ὁμοῦ μὲν παραμυθούμενος, ὁμοῦ δὲ καὶ τιμὴν καὶ ἀγάπην ἐνδεικνύμενος διὰ τούτου, τὸ δὲ μεῖζον, καὶ πολλῆς ἐκπλήσας χάριτος τὸν προσαγορευόμενον. « Καὶ τὸν Ὀνησιφόρου οἶκον. » Ὁ γὰρ Ὀνησιφόρος ἐν Ῥώμῃ ἦν. Τοὺς οὖν ἐν τῷ οἴκῳ αὐτοῦ ἀσπάζεται, ταύτῃ διεγείρων πρὸς τὸν ὅμοιον τῷ Ὀνησιφόρῳ ζῆλον. « Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ. » Ἐπειδὴ τούτων οὐκ ἐμνήσθη, νῦν μέμνηται, ἵνα δείξῃ ὅτι πάντοθεν μεμόνωται καὶ χρῄζει τοῦ Τιμοθέου. « Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ. » Ἡ Μίλητος ἐγγύς ἐστιν Ἐφέσου. Ἆρα οὖν ὅτε ἀπέπλευσεν ἐπὶ τὴν Ἰουδαίαν, ἀφῆκεν αὐτὸν ἐν Μιλήτῳ ὁ Παῦλος, ἢ μετὰ τὸ γενέσθαι ἐν Ῥώμῃ πάλιν εἰς ταῦτα τὰ μέρη, οὐκ ἔχομεν εἰπεῖν. « Ἀσθενοῦντα. » Ἵνα τί γὰρ μὴ ἴασατο αὐτὸν, ἀλλ' εἴασεν αὐτόν; Ὅτι οὐ πάντα ἐποίουν οἱ ἅγιοι, ἵνα μὴ νομισθῶσι κρείττονες ἢ κατὰ ἄνθρωπου φύσιν. « Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν. : Ἕως οὗ, φησὶ, ζῶ, ἵνα μὴ τῷ χειμῶνι ἐπισχεθεὶς, οὐκ ἴδῃς με. « Καὶ Λῖνος. » Τοῦτόν φασι τὸν Λῖνον, δεύτερον τῆς Ῥώμης ἐπίσκοπον γεγονέναι μετὰ τὸν Πέτρον. « Καὶ Κλαυδία. » Ὁρᾷς πῶς καὶ γυναῖκες διάπυροι ἦσαν καὶ θερμαὶ καὶ ἐσταυρωμέναι τῷ κόσμῳ; Καὶ γὰρ οὐδὲν ἐλαττοῦται τὸ γένος τοῦτο τῶν ἀνδρῶν, ἐὰν θέλῃ. « Καὶ οἱ ἀδελφοὶ πάντες. » Οἱ ὀνομαστὶ μνησθέντες θερμότεροι τὴν πίστιν ἦσαν. « Ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου. » Διπλῆ ἡ βοήθεια, ἥ τε τοῦ Χριστοῦ, καὶ ἡ τοῦ Πνεύματος τοῦ ἁγίου, ὡς εἰ ἔλεγε, Μετὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος οὗ νῦν ἔχεις. Ἔστω καὶ ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ σοῦ. Τούτου δέ σοι ὑπάρξαντος, οὐκ ἀλγήσεις ἐπὶ τῇ ἐμῇ ἀναλύσει. Ἢ ὅτι οὐκ ἔνι τῆς παρουσίας εὐπορῆσαι τοῦ Χριστοῦ τὸν μὴ χάριτι πνευματικῇ κατεστεμμένον, ἵνα ᾖ ὡς πρὸς ταύτην τὴν ἑρμηνείαν, Τοῦ πνεύματός σου, τουτέστι, τῆς πνευματικῆς χάριτος. « Ἡ χάρις μεθ' ἡμῶν. » Καὶ ἑαυτῷ ἐπεύχεται, ἢ ὥστε ἀεὶ εὐχαρίστους εἶναι, ἢ ὥστε ἀεὶ χάρισμα ἔχειν πνευματικόν.

Finis, divino favente auxilio, posterioris ad Timotheum Epistolæ.

Τέλος, σὺν Θεῷ, τῆς πρὸς Τιμόθεον δευτέρας Ἐπιστολῆς.

Scripta est ab urbe Roma, cum secundo sisteretur Paulus Neroni Cæsari Romano.

Ἐγράφη ἀπὸ Ῥώμης ὅτε ἐκ δευτέρου παρέστη Παῦλος τῷ Καίσαρι Ῥώμης Νέρωνι.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗΣ.

ARGUMENTUM

EPISTOLÆ AD TITUM.

Ταύτην ἐπιστέλλει ἀπὸ Νικοπόλεως. Ἐκεῖ γὰρ παρεχείμαζεν. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Εἰς μὲν τὴν Κρήτην ἀπέλιπε τὸν Τίτον, ἵνα καταστήσῃ κατὰ πόλεις κληρικούς. Πολλῶν δὲ ὄντων ἐκεῖ τῶν ἐπιχειρούντων προφάσει τοῦ νόμου ἀπατᾷν τοὺς λαούς, μαθὼν ὁ Παῦλος γράφει. Καὶ πρῶτον μὲν εὐχαριστῶν τῷ Θεῷ διὰ τὴν αὐτοῦ εὐλάβειαν, σημαίνει τὴν ἐν Χριστῷ πίστιν μὴ νεωτέραν εἶναι, ἀλλ' ἐξ αἰῶνος ἡτοιμάσθαι καὶ ἐπηγγέλθαι παρὰ τοῦ Θεοῦ ταύτην. Ἔπειτα περὶ τῆς καταστάσεως τῶν κληρικῶν, καὶ τοῦτον διδάσκει πῶς καὶ ὁποίους αὐτοὺς εἶναι δεῖ. Καὶ ἐπιτιμᾷν δὲ ἐντέλλεται αὐτῷ τοῖς ἀντιλέγουσι τῇ ὑγιαινούσῃ πίστει, μάλιστα δὲ τοῖς ἐκ περιτομῆς, εἰδέναι τε τοὺς Κρῆτας ὅτι ἀργοί εἰσι, καὶ χρῄζουσιν ἐπιτιμίας, διδάξας τε πάντα τὰ βρώματα καθαρὰ εἶναι τοῖς καθαροῖς, καὶ ὁποίας εἶναι δεῖ τὰς πρεσβύτιδας τὰς ὀφειλούσας σωφρονίζειν τὰς νέας. Παραινεῖ δὲ, πῶς δεῖ τοὺς δούλους τοῖς ἰδίοις δεσπόταις ὑποτάσσεσθαι. Καὶ τέλος ὑπομνήσας ὅτι ἡ τοῦ Πνεύματος χάρις οὐκ ἐξ ἔργων ἡμᾶς ἐδικαίωσεν, ἀλλὰ τῇ ἰδίᾳ φιλανθρωπίᾳ· καὶ παραγγείλας τὰς νομικὰς μάχας ἐκτρέπεσθαι ὡς ἀναισχυντούσας, δηλοῖ αὐτῷ μετὰ τὸ πέμψαι πρὸς αὐτὸν Ἀρτεμᾶν, ἵνα ἔλθῃ πρὸς αὐτόν· ἐνετείλατό τε αὐτῷ ὥστε διδάσκειν καὶ τοὺς αὐτοῦ καλῶν ἔργων προίστασθαι, καὶ οὕτως τελειοῖ τὴν Ἐπιστολήν.

A

B

284 Hanc ab urbe Nicopoli scribit : nam ibi hibernabat. Hæc autem fuit Epistolæ occasio : In Creta Titum reliquerat ut in singulis civitatibus clericos constitueret. Cum autem multi ibidem essent qui legis prætextu conarentur populum seducere, hoc cognito scribit Paulus. Et primum quidem gratias agens Deo propter ipsius pietatem, significat fidem quæ in Christum est non esse recentem, sed hanc a sæculo paratam fuisse et annuntiatam a Deo. Deinde agit de constitutione clericorum, et hunc docet quomodo aut quales esse ipsos oporteat, ac præcipit ei ut objurget adversantes sanæ fidei, maxime autem illos qui sunt ex circumcisione : quodque Cretenses otiosos esse noverit et egere increpatione, simul etiam doceps omnes cibos esse mundos : et quales esse oporteat anus quæ debent adolescentiores reddere modestas. Admonet autem quomodo servos oporteat suis dominis esse subditos. Tandemque suggerit quod gratia Spiritus non ex operibus nos justificaverit, sed sua benignitate. Et postquam præcepit **285** ei ut aversetur pugnas quæ sunt circa legem, ut quæ pudorem afferunt et confusionem, denuntiat ipsi ut ad se veniat, ubi Arteman ad eum miserit : datoque ipsi præcepto ut suos doceat bonis præesse operibus, ita concludit Epistolam.

ΘΕΟΔΩΡΗΤΟΥ.

Ὁ Τίτος θαυμάσιός τις ἦν μαθητὴς τοῦ Παύλου. Ἐπίσκοπος δὲ τῆς Κρήτης μεγίστης οὔσης κεχειροτόνητο ὑπὸ τοῦ Παύλου. Ἐπετέτραπτο δὲ τοὺς ὑπ' αὐτὸν ἐπισκόπους χειροτονῆσαι. Γράφων δὲ ταῦτα ὁ Παῦλος, μᾶλλον ἐν ἀδείᾳ ἦν. Οὐδαμοῦ γὰρ πειρασμῶν μέμνηται. Ἀποτείνεται δὲ καὶ πρὸς Ἰουδαίους ἡ ἐπιστολή. Πρώτη δὲ αὕτη τῆς πρὸς Τιμόθεον μᾶλλόν ἐστιν.

C

THEODORETI.

Titus egregius erat Pauli discipulus. Cretæ vero quæ maxima erat, ordinatus a Paulo episcopus. Permissum autem ipsi erat et commissum ut inferiores ordinaret episcopos. Cum autem hæc scriberet Paulus, in libertate erat : nusquam enim afflictionum meminit. Extenditur autem et ad Judæos Epistola. Hæc autem prior fuisse videtur quam epistola ad Timotheum.

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΗΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗΣ.

α'. *Περὶ διδασκάλων ἐπιτηδείων εἰς διακονίαν, καὶ ἐλεγχον ἀπειθῶν.*

β'. *Κατὰ τῶν σαρκικὰς καθάρσεις πρεσβευόντων, καὶ ὑπὲρ πνευματικῆς ἀρετῆς.*

286 *EPISTOLÆ AD TITUM CAPITA.*

1. *De doctoribus idoneis ad ministerium, et redargutionem non obtemperantium.*
2. *Adversus eos qui carnales annuntiabant purificationes, et de spirituali virtute.*

tui. Bigamum vero repellit, tanquam vituperio et contemptui obnoxium. « Liberos habens fideles. » Qui suos enim liberos non correxit, quomodo alienos corriget ac gubernabit?

κωλύει. « Τέκνα ἔχων πιστά. » Ὁ γὰρ τὰ τέκνα μὴ ῥυθμίσας, πῶς ἑτέρους διευθυνεῖ;

290 I, 7 8. *Oportet enim episcopum inculpatum esse tanquam Dei dispensatorem, nonpræfractum, non iracundum, non debacchantem, non percussorem, non turpiter lucro deditum : sed hospitalem, bonarum rerum studiosum, sobrium, justum, sanctum, temperantem, tenacem ejus qui secundum doctrinam est fidelis sermonis : ut potens sit etiam exhortari per doctrinam sanam, et contradicentes convincere.*

Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ· ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.

Inculpatum esse, generale est. Siquidem inculpatum esse, omnia quæ enumeranda sunt complectitur : hoc est, in quem nullum possis crimen impingere. « Tanquam Dei dispensatorem. » Quoniam magna, inquit, est dignitas, magna quoque opus est custodia. « Non præfractum. » Qui enim seipsum domare nequit, quomodo aliis utiliter præesse poterit? « Non debacchantem. » Non contumeliosum. « Non percussorem. » Non ferientem conscientias fratrum. « Non turpiter lucro deditum. » Qualis esse solet qui inops est : quasi lucrum quodvis, etiam si justum esse videatur, turpe sit episcopo. « Sanctum. » Purum ab affectibus. « Temperantem. » Non tantum circa cibos, sed etiam circa affectiones. « Fidelis sermonis. » Aut veri, aut ejus qui per fidem suppeditatur, et non ab humanis cogitationibus aut rationibus. Propterea autem dixit : Qui secundum doctrinam est : significans, quod etiam sine externa sapientia docere possit. Neque enim demonstratione, inquit, naturali aut philosophica opus est, sed doctrina et utilitate. « Ut potens sit etiam exhortari. » Hoc autem et a prudentia continget et a cognitione Scripturarum. Sana vero doctrina est quæ et vera dogmata et rectam vitam docet. « Et contradicentes revincere. » Qui non novit adversus inimicos pugnare et captivam ducere omnem cogitationem ad obediendum Christo, nihil faciet eorum quæ conveniunt.

Ἀνέγκλητον εἶναι, τὸ γενικὸν λέγει. Τὸ γὰρ ἀνέγκλητον, πάντα περιέχει τὰ ῥηθησόμενα, τουτέστιν, ἀκατηγόρητον. « Ὡς Θεοῦ οἰκονόμον. » Ἐπεὶ οὖν, φησὶ, τὸ ἀξίωμα μέγα, μεγάλης δεῖται καὶ φυλακῆς. « Μὴ αὐθάδη. » Ὁ γὰρ ἑαυτοῦ μὴ κρατῶν, πῶς ἑτέρων κρατήσειεν; « Μὴ πάροινον. » Πάροινον, ὑβριστήν. « Μὴ πλήκτην. » Πλήττοντα τὴν συνείδησιν τῶν ἀδελφῶν. « Μὴ αἰσχροκερδῆ. » Οἷον ἀκτήμονα. Ὡς παντοίου κέρδους, κἂν δίκαιον εἶναι δοκῇ, αἰσχροῦ ὄντος ἐπισκόπῳ. « Ὅσιον. » Καθαρὸν πάθους. « Ἐγκρατῆ. » Μὴ περὶ σιτία μόνον, ἀλλὰ παντὸς πάθους. « Πιστοῦ λόγου. » Ἢ τοῦ ἀληθοῦς, ἢ τοῦ διὰ πίστεως χορηγουμένου, καὶ οὐκ ἀπὸ λογισμῶν. Διὰ τοῦτο δὲ εἶπε, Τοῦ κατὰ διδαχὴν, δηλῶν, ὅτι καὶ χωρὶς τῆς ἔξω σοφίας, διδάσκειν δύναται. Οὐ γὰρ ἐπιδείξεως, φησὶ, χρεία, ἀλλὰ διδαχῆς καὶ ὠφελείας. « Ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν. » Τοῦτο δὲ ἔσται, ἀπό τε φρονήσεως, καὶ τῆς τῶν Γραφῶν εἰδήσεως. Ὑγιαίνουσα δὲ διδασκαλία ἐστὶν, ἣ καὶ δόγματα ἀληθῆ καὶ βίον ὀρθὸν διδάσκουσα. « Καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. » Ὁ γὰρ μὴ εἰδὼς μάχεσθαι τοῖς ἐχθροῖς, καὶ αἰχμαλωτίζειν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, οὐδὲν ποιήσει τῶν δεόντων.

CAPUT II.

ΚΕΦΑΛ. Β'.

291 *Adversus eos qui carnales annuntiabant purificationes : et de spirituali virtute.*

Κατὰ τῶν σαρκικὰς καθάρσεις πρεσβευόντων, καὶ ὑπὲρ πνευματικῆς ἀρετῆς.

I. 10, 11. *Sunt enim multi non obsequentes et vaniloqui ac mentium seductores : maxime ii qui sunt ex circuncisione, quibus oportet obturare os : qui totas domos subvertunt, docentes quæ non oportet turpis lucri gratia.*

Εἰσὶ γὰρ πολλοὶ ἀνυπότακτοι καὶ ματαιολόγοι καὶ φρεναπάται, μάλιστα οἱ ἐκ περιτομῆς. Οὓς δεῖ ἐπιστομίζειν, οἵτινες ὅλους οἴκους ἀνατρέπουσι, διδάσκοντες, ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν.

Omnium posuit radicem ex qua reliqua etiam oriuntur. Nam qui inobediens est, ipse quidem obtemperare recusat, reliquis vero imperare ac præesse concupiscit. Deinde oportet eum qui ecclesiastico principatu imperat, etiam docere : qui autem docet (priusquam didicerit, eo quod aliis non obsequatur, jure vaniloquus ac mentium seductor invenitur. « Maxime ii qui sunt ex circumcisione. » His enim etiam Christus objecit quod principatum ambirent : qui post susceptam quoque; fidem, morbum hunc non relinquebant. « Quibus oportet obturare os. » Nam si episcopus sibi commissam

Τὴν ῥίζαν εἶπε πάντων, ἐξ ἧς καὶ τὰ λοιπὰ φύεται. Ὁ γὰρ ἀνυπότακτος, αὐτὸς μὲν εἶκειν οὐ βούλεται, ἄρχειν δὲ καὶ ἐπιστατεῖν ἑτέρων ἐπιθυμεῖ. Εἶτα δεῖ τὸν ἄρχοντα τὴν ἐκκλησιαστικὴν ἀρχὴν, καὶ διδάσκειν. Ὁ δὲ πρὶν μαθεῖν διὰ τὸ ἀνυπότακτος γεγενῆσθαι διδάσκων, εἰκότως ματαιολόγος καὶ φρεναπάτης εὑρίσκεται. « Μάλιστα οἱ ἐκ περιτομῆς. » Τούτοις γὰρ καὶ ὁ Χριστὸς φιλαρχίαν ὠνείδιζεν, οἳ καὶ μετὰ τὴν πίστιν οὐκ ἀπέθεντο τὸ νόσημα. « Οὓς δεῖ ἐπιστομίζειν. » Εἰ γὰρ τῶν ἄλλων προστασίαν καὶ ὁδηγίαν ὁ ἐπίσκοπος ἐγχειρίσεται, ἀγνοεῖ δὲ τοὺς ματαιολόγους καὶ φρεναπάτας, ἐλέγχειν καὶ ἐπιστο-

μίζειν τῆς τῶν ἀπολλυμένων βλάβης αἴτιος γίνεται. Καλῶς δὲ τὸ, Ἐπιστομίζειν, τὸ οἷον, μήτε λαλεῖν ἐᾷν ἐκ τῆς τῶν ἐλέγχων ἰσχύος, ἵνα καὶ οἱ ἀκούοντες ὠφελῶνται. « Διδάσκοντες ἃ μὴ δεῖ. » Οὐδὲν γάρ ἐστιν ὃ μὴ πείθει παρανομεῖν, τοῦτο τὸ πάθος. ut hinc etiam inventur auditores. « Docentes quæ non opertet, turpis lucri gratia. » Nihil est quod non suadeat hic affectus transgredi.

A habet aliorum curam et ducatum, neque novit vaniloquorum ac seductorum ora obturare, illosque convincere, efficitur causa damni eorum qui pereunt. Et recte dicit : Ora obturare : hoc est, ut vi objurgationum, ne loqui quidem permittantur,

Εἶπέ τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης· Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί. Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής. Δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει, μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις καὶ ἐντολαῖς ἀνθρώπων, ἀποστρεφομένων τὴν ἀλήθειαν.

I, 12-14. *Dixit quidam ex istis proprius ipsorum propheta : Cretenses semper mendaces, malæ bestiæ, ventres pigri. Testimonium hoc est verum : quam ob causam redargue illos acriter, ut sani sint non attendentes Judaicis fabulis et præceptis hominum aversantium veritatem.*

Ζητεῖται, τί δή ποτε ἐξ Ἑλλήνων ἤγαγε μαρτυρίαν, καὶ ἔθετο αὐτῇ, μήτε καλῶς ἐχούσῃ. Τίς δὲ ἡ μαρτυρία; Οἱ Κρῆτες τύμβον κατεσκεύασαν τῷ Διΐ. Λέγει οὖν τις ποιητῶν· Τάφον, ἄνα, σεῖο Κρῆτες ἐτεκτήναντο. Σὺ δὲ οὐ θάνες, ἐσσὶ γὰρ αἰεί. Ταύτης τῆς χρήσεως μέρος ἐστὶ τὸ, Κρῆτες ἀεὶ ψεῦσται, καὶ τὰ λοιπά. Ἐμαρτύρησε δὲ ἀληθῆ εἶναι τὸν λόγον τοῦτον. Εἰ οὖν ἀληθὴς ἡ μαρτυρία, καὶ ὁ Ζεὺς ἀθάνατός ἐστιν. Ἀλλά φαμεν, ὅτι πρὸς τοῦτο εἶπε τὴν μαρτυρίαν μόνον ἀληθῆ εἶναι, ὅτι ψεύστας αὐτοὺς ἐκάλεσεν. Ὅθεν φησίν· « Ἡ μαρτυρία αὕτη. « Ἡ περὶ τοῦ ὅτι ψεῦσταί εἰσι λέγουσα, φησί. Ναὶ τοῦτο εἴποι τις οὕτως εἶναι. Διὰ τί δὲ ἐξ Ἑλληνικῶν ἤγαγε τὴν μαρτυρίαν; Καί φαμεν, ὅτι μάλιστα τοῦτο αὐτοὺς ἐνέτρεπεν, ὅτι οἰκοθεν καὶ ἐκ τῶν ἰδίων, τὴν τῆς ὕβρεως μαρτυρίαν προέβαλεν. Ἐπειδὴ γὰρ τοῖς παρ' ἡμῖν οὐ πείθονται, τοὺς ἰδίους αὐτοῖς ἐπέστησε κατηγόρους. Τοῦτο καὶ ὁ Θεὸς ἐποίει, τοῖς Μάγοις δι' ἀστέρος μηνύων τὸν Χριστὸν, ὡς περὶ ἀστρονομίας ἀσχολουμένους, ἀπὸ τῶν ἰδίων πείθων. Καὶ πάλιν τοὺς μάντεις, ἀπὸ τῶν βοῶν τῶν συρόντων τὴν κιβωτόν. Καὶ τὸν Σαοὺλ ἀπὸ τῆς ἐγγαστριμύθου, ἐπειδὴ αὐτῇ ἐπίστευε. Ταῦτα δὲ συγκαταβάσεις εἰσίν. Εἰ δὲ ὁ Χριστὸς καὶ ὕστερον οἱ ἀπόστολοι ἐκώλυον τοὺς δαίμονας λαλεῖν, οὐκ ἐναντία εἰσὶν, ἀλλὰ γὰρ σημεῖα ἐγίνετο πείθειν δυνάμενα, καὶ οὐ χρεία ἦν τοὺς ἀνθρώπους, οἷς ἐπίστευον, ἐξ αὐτῶν πείθεσθαι. « Δι' ἣν αἰτίαν ἔλεγχε αὐτούς. » Ἐπεὶ οὖν φησίν, ἰταμοί τινές εἰσι, πληκτικώτερον ἔλεγχε αὐτούς. Οὗτοι γὰρ, φησὶν, οὐκ ἂν ἀπὸ ἐπιεικείας πεισθείεν. « Ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει. » Ὑγιαίνει δέ ἐστιν ἐν τῇ πίστει, ὅταν μηδὲν ἔξωθεν ἐπεισαγάγῃ τις αὐτῇ, μήτε Ἰουδαϊκὸν, μήτε Ἑλληνικόν. « Ἰουδαϊκοῖς μύθοις. » Διπλῶ λόγῳ μῦθοί εἰσι τὰ Ἰουδαϊκὰ, ὅτι τε ἐξῆλθεν αὐτῶν ὁ καιρὸς, καὶ ὅτι ἐν ᾧ ἥκμαζον, τύπος ἦν ἀληθείας καὶ οὐκ ἀλήθεια. « Καὶ ἐντολαῖς ἀνθρώπων. » Τὰς περὶ τὰ βρώματα παρατηρήσεις λέγει, καὶ δῆλον ἐκ τῶν ἑπομένων.

Quæritur quam ob causam Græcorum adduxerit testimonium, illudque commendaverit, maxime B cum non recte dictum sit? Quod autem est testimonium? Cretenses sepulcrum extruxerunt Jovi. Itaque dicit **292** quidam poeta : Tuum, o rex sepulcrum Cretenses exstruxerunt : tu vero nequaquam mortuus es, semper enim vivis. Hujus vaticinii pars est, Cretenses semper mendaces, etc. Attestatus est autem Apostolus verum esse hunc sermonem. At si verum est hoc testimonium, Jupiter igitur immortalis erit. Sed dicimus quod in hoc solo dixit verum esse testimonium quod mendaces ipsos vocaverit. Unde ait : « Testimonium hoc, » nempe quod ipsos dicit esse mendaces. Sane hoc (dicet quispiam) ita sit : at cur a Græcis produxit testimonium? Et dicimus, quod hoc C maximo pudore ipsos afficiebat quod domesticum ac proprium proferat testimonium improbitatis ipsorum. Cum enim iis fidem non habeant qui apud nos sunt, proprios suos adduxit ipsis accusatores. Hoc et Deus faciebat cum per stellam Christum Magis indicabat, quod circa astronomiam occuparentur, quasi a propriis illos admonens. Rursumque vates a bobus arcam trahentibus. Præterea Saul a muliere spiritum Pythonem habente, quoniam illi credebat. His autem modis Deus sese domittebat. Nec his adversantur quod Christus et postmodum apostoli loqui prohibuerint dæmones: signa enim fiebant quæ persuadere poterant. Neque erat necesse suader hominibus ab his quibus credebant. « Quam ab causam redargue illos. » D Quia ergo improbi sunt quidam, asperius, inquit, illos objurga, nam hi a mansuetudine non possent ad id quod rectum est adduci. « Ut sani sint in fide. » Est autem in fide sanum esse, si quis nihil externum ad eam induxerit neque Judaicum neque gentilitium. « Judaicis fabulis. » Dupla ratione Judaica dicuntur fabulæ : et quia tempus ipsorum præteriit : et quia etiam cum in suo essent vigore, figura erant veritatis et non ipsa veritas. « Et præceptis hominum. » Observationes dicit circa cibos, ut ex his quæ sequuntur manifestum est.

Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς, τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις, οὐδὲν καθαρὸν, ἀλλὰ μεμίανται, αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν

I, 15, 16; II, 1. *Omnia quidem pura puris : porro pollutis et infidelibus nihil est purum, sed polluta est et mens illorum et conscientia: Deum profitentur se scire : cæterum factis negant : cum sint abominabiles, et dicto non audientes, et ad omne*

opus bonum reprobi. Tu vero loquere quæ deeent sanam doctrinam.

293 Quam ob causam ergo lex Judæis data habebat observationem eiborum immundorum? Et dicimus : Non quod impura essent, ita statuit Deus, sed ut hac via magnas Judæorum delicias, vescentium omnibus nullo discrimine imputaret. Purum enim et impurum efficitur proprie ex eorum mente qui edunt. Siquidem juxta naturam omnia pura sunt his qui curiosius non inquirunt : his autem qui tales non sunt universa sunt impura, cum ex se non sint impura : solum namque peccatum est impurum. « Porro pollutis. » Itaque juxta pollutam mentem fiunt impura : quemadmodum laboranti morbo omnia sunt insuavia propter morbum. « Sed polluta est illorum mens. » Nullus quidem cibus impurus est, inquit, cæterum mens ac conscientia illorum impuræ sunt· suaque inspicione cibo reddunt impuros et inutiles. « Deum profitentur se scire. » Hoc vere impurum est absque operibus enim fides mortua est. « Tu vero loquere quæ decent. » Verum quanquam hi tales sint, inquit, tu tamen non segnior efficiaris, sed quod tuum est facito ac doce, etiamsi nemo obtemperet.

ἔργον ἀγαθὸν ἀδόκιμοι· Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ.

Τί δή ποτε οὖν ὁ Ἰουδαίοις δοθεὶς νόμος εἶχεν ἀκαθάρτων παρατήρησιν; Καί φαμεν, Οὐκ ἐπειδὴ ἀκάθαρτα ἦν, οὕτως ἐνομοθέτησεν ὁ Θεὸς, ἀλλὰ ταύτῃ τὴν πολλὴν τρυφὴν καὶ ἀδιαφορίαν τῶν Ἰουδαίων ὑποτεμνόμενον. Τὸ γὰρ καθαρὸν καὶ ἀκάθαρτον κυρίως ἀπὸ τῆς τῶν λαμβανόντων διανοίας γίνεται. Ἐπεὶ κατὰ φύσιν πάντα καθαρὰ, τοῖς μὴ ἀκριβολογουμένοις· τοῖς δὲ μὴ τοιούτοις πάντα ἀκάθαρτα μὴ ὄντα ἀκάθαρτα. Ἀκάθαρτος γὰρ μόνη ἡ ἁμαρτία. « Τοῖς δὲ μεμιασμένοις. » Ὥστε παρὰ τὴν μεμιασμένην γνώμην ἀκάθαρτα γίνεται. Ὥσπερ καὶ τῷ ἀῤῥώστῳ πάντα ἀηδῆ διὰ τὴν νόσον. « Ἀλλὰ μεμίανται αὐτῶν ὁ νοῦς. » Βρῶμα μὲν, φησὶν, ἀκάθαρτον οὐδέν. Ὁ νοῦς δὲ αὐτῶν καὶ ἡ συνείδησίς ἐστιν ἀκάθαρτος, καὶ συναχρειοῖ τὰ βρώματα τῇ ἰδίᾳ ὑπονοίᾳ. « Θεὸν ὁμολογοῦσιν εἰδέναι. » Τοῦτο ὄντως ἀκάθαρτον. Ἄνευ γὰρ ἔργων νεκρὰ ἡ πίστις. « Σὺ δὲ λάλει ἃ πρέπει. » Ἀλλ' εἰ καὶ οὗτοι τοιοῦτοι, φησὶ, σὺ μὴ διὰ τοῦτο ὀκνήσῃς, ἀλλὰ τὸ σαυτοῦ ποίει καὶ δίδασκε, κἂν μηδεὶς ὁ πειθόμενος.

CAPUT III.

Admonitiones quas tradi oportet juxta singulorum ætatem.

II, 2-5. *Senes vigilantes esse, prudentes, modestos, sanoi fide, charitate, patientia. Anus itidem in habitu qui religionem deceat, non calumniatrices, non vino multo servientes, honesta docentes, quo honestas reddant adolescentulas, ut maritos suos diligant, liberos ament, sobriæ sint, puræ, domus custodes, bonæ, subditæ suis viris, ne sermo Dei male audiatur.*

« Senes vigilantes. » Senectutem enim maxime sequitur tarditas et ignavia. Hoc igitur corrigit. « Esse. » Esse oportet, nam a communi intelligentia subauditur Oportet. « Prudentes. » Prudentes, inquit. Dicitur enim σωφροσὺνη quasi σαοφροσύνη, hoc est, φρενῶν σωτηρία, id est, præcordiorum vel mentis salus aut sanitas. Neque enim in sensibus requirit temperantiam in lasciva libidine, quod hoc jam in confesso sit eos habere. « Patientia. » Recte ait debere eos habere tolerantiam. **294** Siquidem non decet senectutem iracundia. « Anus itidem. » Eas dicit quæ in Ecclesia ministrabant, habitum autem dicit vestes quæ operiunt. « Qui religionem deceat. » Ab ipso, inquit, indumento honestatem ostendant, et quod aptæ sint ad sacra ministeria. « Non calumniatrices. » Nam ex vino sequitur calumnia : et maxime quod imbecilliori senectuti inimica est vini vehementia. « Honesta docentes. » Et quomodo alibi mulieres docere prohibet? Et dicimus, quod hic de exhortatorio sermone loquitur qui domi habetur, ibi vero ne publice præsiderent et concionarentur. Et quod solius doctrinæ quæ domi traditur participes eas

ΚΕΦΑΛ. Γ'.

Παραινέσεις ἃς δεῖ πάραιτεῖν καθ' ἡλικίαν ἑκάστοις.

Πρεσβύτας νηφαλαίους εἶναι, σεμνοὺς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ. Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους, ἵνα σωφρονίζωσι τὰς νέας, φιλάνδρους εἶναι, φιλοτέκνους, σώφρονας, ἁγνὰς, οἰκουρούς, ἀγαθὰς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται.

« Πρεσβύτας νηφαλαίους. » Μάλιστα γὰρ τῷ γήρᾳ τὸ βραδὺ καὶ νωχελὲς ἕπεται. Ὅθεν τοῦτο ἐπανορθοῖ. « Εἶναι. » Εἶναι δεῖ. Ἀπὸ κοινοῦ γὰρ τὸ, εἶναι Δεῖ. « Σώφρονας. » Φρονίμους φησί. *Σωφροσύνη* γάρ ἐστιν, οἱονεὶ σαοφροσύνη, ἡ *τῶν φρενῶν σωτηρία*. Οὐ γὰρ ἂν ἐπὶ γεγηρακότων τὴν ἐπὶ τῇ ἀσελγείᾳ Σωφροσύνην ἀπῄτησεν, ὡς ὁμολογουμένου τούτου γε. « *Τῇ ὑπομονῇ*. Καλῶς τῇ ὑπομονῇ. Τὸ γὰρ ἀκρόχολον τῷ γήρᾳ παρέπεται. « Πρεσβύτιδας ὡσαύτως. » Τὰς διακόνους λέγει. Κατάστημα δὲ, τὰ περιβόλαια λέγει. « Ἱεροπρεπεῖς. » Ἀπ' αὐτῆς, φησὶ, τῆς ἀμφιάσεως τὴν κοσμιότητα δεικνύτωσαν, καὶ τὸ, ἱεραῖς ἐμπρέπειν ὑπηρεσίαις. « Μὴ διαβόλους. » Ἐκ γὰρ τοῦ οἴνου τὸ διάβολον. Μάλιστα δὲ, ὡς ἀσθενεστέρῳ τῷ γήρᾳ, πολέμιος ἡ τοῦ οἴνου σφοδρότης. « Καλοδιδασκάλους. » Καὶ πῶς ἀλλαχοῦ κωλύει τὰς γυναῖκας διδάσκειν; Καί φαμεν, ὅτι ἐνταῦθα περὶ παραινετικοῦ λέγει λόγου ἐπὶ οἴκου γινομένου, ἐκεῖ δὲ περὶ τοῦ μὴ προκαθῆσθαι δημοσίᾳ καὶ δημηγορεῖν. Καὶ ὅτι τῆς ἐν οἰκίᾳ μόνης διδαχῆς αὐταῖς μετέδωκε, δηλοῖ τὸ ἐπαγόμενον. « Ἵνα σωφρονίζωσι, φησὶ, τὰς νέας. » Οὐ περὶ θυγατέρων μόνων τοῦτό φησιν, ἀλλὰ καθόλου τὴν νεότητα

ὑποτάσσει τῷ γήρᾳ. « Φιλάνδρους εἶναι. » Τοῦτο τὸ κεφάλαιον τῶν ἐν οἰκίᾳ ἀγαθῶν. Ἐξ αὐτοῦ καὶ τὰ λοιπὰ πίκτεται. « Φιλοτέκνους, » φησίν. Ἡ γὰρ τὴν ἀρχὴν ἀγαπῶσα, καὶ τοὺς κλάδους ἀγαπήσει. « Οἰκουρούς. » Οἰκουρούς φησι, τὰς οἰκονομικάς. Αἱ δὲ τοιαῦται οὔτε περὶ τροφὴν, οὔτε περὶ ἐξόδους ἀκαίρους ἀσχολοῦνται. « Ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται. » Εἰ γὰρ εἴη ἄπιστος ἀνὴρ γυναῖκα ἔχων πιστὴν μὲν, ἀνυπότακτον δὲ καὶ φαύλην τὴν πίστιν, αὐτὴν βλασφημήσει, τοιαύτας ἔχουσαν γυναῖκας. Ὁρᾷς ὅτι προηγουμένως τοῦ κηρύγματος φροντίζων, ταῦτα γράφει;

A fecerit, manifestat id quod sequitur. « Quo honestas reddant adolescentulas. » Non de solis filiabus hoc dicit, sed in universum adolescentiam subjicit senectuti. « Ut maritos suos diligant. » Hoc bonorum omnium caput est quæ in familia sunt, unde et reliqua oriuntur. « Liberos ament. » Nam quæ radicem amat, etiam et ramos amabit. « Domus custodes. » Domus dicit custodes quæ domum gubernant. Tales autem neque circa suum alimentum, neque circa egressus intempestivos occupantur. « Ne sermo Dei male audiat. » Nam si maritus esset infidelis, uxorem habens fidelem, sed non subjectam et pravam, fidem ipsam calumniaretur quæ hujusmodi haberet mulieres. Vides quod hæc scribat, curam in primis habens prædicationis?

Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν, περὶ πάντα σεαυτὸν παρεχόμενον τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα, ἀφθαρσίαν, λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον.

B II, 6-8. *Adolescentes consimiliter adhortare, ut temperantes sint: per omnia temetipsum præbens formam bonorum operum, in doctrina integritatem, honestatem, incorruptionem, sermonem sanum, irreprehensibilem, ut is qui repugnat, rubore suffundatur, nihil habens quod de nobis dicat mali.*

Ὁρᾷς πῶς προσηκόντως διέταξε, ταῖς μὲν γυναιξὶ, γυναῖκας καὶ πρεσβύτιδας διδασκάλους ἐπιστήσας, τοῖς δὲ ἀνδράσιν, αὐτὸν τὸν Τίτον; « Σωφρονεῖν, » φησίν. Οὐδὲν γὰρ οὕτως τῇ νεότητι πολέμιον, ὡς ὁ τῶν σωμάτων ἔρως. « Σεαυτὸν παρεχόμενον τύπον. » Ἔστω, φησὶ, κοινὸν ἅπασι διδασκαλεῖον ὁ σὸς βίος καὶ ὑπόδειγμα. « Ἐν τῇ διδασκαλίᾳ. » Τὸ, Παρεχόμενος, ἀπὸ κοινοῦ. Ἐν τῇ οὖν διδασκαλίᾳ, παρεχόμενον ἀφθορίαν, « Σεμνότητα. » Τουτέστι, κοινότητα καὶ οἷον ἀτυφότητα. « Καὶ σεμνότητα. » Τουτέστι, μὴ ὡς ἄρχων τις, μηδὲ ὡς ὑποτελέσι διαλεγόμενον, ἀλλ' ἠπίως ὡς τέκνοις. « Καὶ λόγον ὑγιῆ. » Τὸν τῶν δογμάτων δηλονότι. Τούτων γὰρ προσόντων τῇ διδασκαλίᾳ, ἐντραπήσεται ὁ ἐξ ἐναντίας, ἢ ὁ διάβολος, ἢ ὁ αἱρετικὸς, μηδεμίαν εὑρίσκων λαβὴν καθ' ἡμῶν.

Vides quam congrue præceperit, mulieribus quidem mulieres et anus præficiens præceptores, viris autem ipsum Titum? « Ut temperantes sint. » Nihil enim adeo hostile est juventuti sicut amor corporum. « Te ipsum præbens formam. » Tua vita atque exemplum, sit omnibus communis doctrina. « In doctrina. » A communi intelligentia supple Præbens. In doctrina igitur præbens integritatem, familiaritatem et quamdam humilitatem. « Honestatem. » Id est, non tanquam princeps aliquis, neque veluti cum tributariis aut subjectis disserens, **295** sed blande ac leniter veluti cum filiis. « Sermonem sanum : » videlicet dogmatum. Nam si hæc adsint doctrinæ, rubore suffundetur is qui repugnat, sive calumniator aut hæreticus, nullam inveniens adversus nos calumniandi ansam.

C

ΚΕΦΑΛ. Δ'.

CAPUT IV.

Περὶ δούλων, ὡς ἂν καὶ αὐτοὶ τῆς Χριστοῦ χάριτος ἀξίως δουλεύοιεν.

De servis, ut ipsi quoque decenter ad Christi gratiam serviant.

Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθὴν, ἵνα τὴν διδασκαλίαν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ κοσμῶσιν ἐν πᾶσιν.

D II, 9-11 *Servos hortare, ut suis dominis pareant, in omnibus illis placeant, non responsatores, non suffurantes, sed fidem omnem ostendentes bonam : ut doctrinam Salvatoris nostri Dei ornent in omnibus.*

Οὐ χρὴ οὖν προφάσει εὐλαβείας αἴρειν δούλους ἀπὸ δεσποτῶν. « Μὴ ἀντιλέγοντας. » Τὸ πειθήνιον καὶ ἄκλοπον παραινεῖ. Τοῦτο γὰρ μάλιστα δούλοις ἁρμόδιον. « Ἵνα τὴν διδασκαλίαν τοῦ Σωτῆρος. » Εἰκότως ἔλεγεν ἀλλαχοῦ, « Ὡς τῷ Θεῷ δουλεύοντες καὶ οὐκ ἀνθρώποις. » Κἂν γὰρ τῷ δεσπότῃ, φησὶ, διακονῇς μετ' εὐνοίας, ἀλλ' ἡ πρόφασις ἀπὸ τοῦ φόβου τοῦ Θεοῦ τὴν ἀρχὴν ἔχει. Εἰ γὰρ φαῦλοι ὦσι, φησὶ, τὸν Χριστιανισμὸν ἐνυβρίζουσι. « Τὸ γὰρ ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημεῖται, » φησί. Τὰ δὲ εἰρημένα, ποιοῦντες κοσμοῦσι τὸ κήρυγμα, πιστῶς δουλεύοντες.

Non oportet ergo prætextu pietatis tollere servos a dominis. « Non responsatores. » Admonet servandam obedientiam ac fidelitatem ; id enim maxime servos decet. « Ut doctrinam Salvatoris. » Merito dixit alibi : « Tanquam Deo servientes, et non hominibus [1]. » Siquidem quanquam domino cum benevolentia ministres, inquit, occasio tamen initium habet a timore Dei. Si enim pravi sunt, Christianismum contumelia afficiunt. « Nomen enim Dei propter vos, ait, blasphemiis afficitur [2]. » Qui autem fecerint ea quæ dicta sunt prædicationem ornant, fideliter servientes.

[1] Ephes. VI, 7. [2] Isa. LII, 52 ; Rom. II, 24

II, 12-14. *Illuxit enim gratia Dei salutifera omnibus hominibus, erudiens nos, ut abnegata impietate et mundanis concupiscentiis, caste et juste ac pie vivamus in præsenti sæculo, exspectantes beatam spem, et apparitionem gloriæ magni Dei et Salvatoris nostri Jesu Christi : qui dedit semetipsum pro nobis, ut redimeret nos ab omni iniquitate, et purificaret sibi ipsi populum peculiarem sectatorem bonorum operum.*

Deinde etiam causam ponit cur servos esse tales oporteat. Illuxit, inquit, gratia Dei erudiens nos. Cum igitur Deum habeamus doctorem, **296** An non æquum est, ut faciamus quæ doctrinam ipsius deceant? « Ut abnegata. » Apparitio autem Salvatoris nostri Dei, hoc est, adventus in carne, non solum prioribus peccatis nos liberavit, verum etiam securiores in posterum fecit. Dicens enim : Ut abnegata, significat magnam separationem et abstinentiam. « Impietate et mundanis concupiscentiis. » Impietatem quidem dicit pravorum dogmatum : mundanas vero concupiscentias et quæ animæ et quæ corporis : utque uno verbo dicam, quæcunque non transeunt nobiscum in cœlum. Quod autem, ait : Caste, non solum continentiam significat quæ est circa corpora, eorumque amorem, verum etiam erga omnem affectionem. « In præsenti sæculo. » Nam hoc sæculum habet certamen, futurum vero retributiones. « Exspectantes beatam spem. » Ecce et præmia. Vere enim nihil beatius est illa apparitione. « Gloriæ. » Siquidem secundus adventus cum gloria erit, cum fuerit primus cum abjectione. « Magni Dei. » Ubi nunc sunt impiorum dogmatum inventores, qui Christum asserunt non esse Deum, aut minorem esse Patre? Nam hoc loco aperte Deum etiam magnum profitetur Apostolus esse Christum. Magnus vero, non distinguit adversus aliquem parvum deum : minime! sed absolute ita magnus, ut eo major nemo possit intelligi. « Populum peculiarem : » hoc est, ab aliis separatum, abunde dilectum, nihil cum reliquis populis commune habentem. « Sectatorem bonorum operum. » Vides quod etiam necessitas eorum quæ a nobis sunt? Sectatorem, inquit, sive æmulatorem, id est, ut magna cum animi promptitudine veniamus ad virtutem. Quoniam enim olim remissa sint nobis peccata, sola factum est ipsius benignitate : quod autem perficiatur id quod virtutis est, et ipsius est et nostrum.

CAPUT V.

De obedientia principatibus exhibenda veluti decet Christi mansuetudinem.

II, 15; III, 1, 2. *Hæc loquere et adhortare, ac argue cum omni præcipiendi studio. Nemo te despiciat. Admone illos, ut principatibus ac potestatibus subditi sint,* **297** *ut magistratibus pareant, ut ad omne opus bonum sint parati : ne de quoquam male dicant : ne sint pugnaces, sed humani, omnem exhibentes mansuetudinem erga omnes homines.*

Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον ζηλωτὴν καλῶν ἔργων.

Εἶτα καὶ αἰτίαν τοῦ χρῆναι τοὺς δούλους τοιούτους εἶναι πρὸς τοὺς δεσπότας τίθησιν. Ἐπεφάνη γάρ, φησὶν, ἡ χάρις τοῦ Θεοῦ παιδεύουσα ἡμᾶς. Οἱ τοίνυν Θεοῦ παιδευτοῦ τυχόντες, πῶς οὐκ ὀφείλομεν ἄξια τῆς αὐτοῦ πράττειν διδαχῆς; « Ἵνα ἀρνησάμενοι. » Ἡ δὲ ἐπιφάνεια τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, τουτέστιν, ἡ μετὰ σαρκὸς ἐπιδημία, οὐ μόνον τῶν προτέρων ἀπήλλαξεν ἁμαρτημάτων, ἀλλὰ καὶ πρὸς τὸ μέλλον ἀσφαλεστέρους ἐποίησεν. Ἵνα γὰρ, φησὶν, ἀρνησάμενοι, τὴν πολλὴν ἀποχὴν σημαίνει. « Τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας. » Ἀσέβειαν μέν φησι, τὴν τῶν πονηρῶν δογμάτων, κοσμικὰς δὲ ἐπιθυμίας, ὅσαι τε ψυχικαὶ, καὶ ὅσαι σαρκικαὶ, καὶ ὅσαι ἁπλῶς μὴ διαβαίνουσι μεθ' ἡμῶν εἰς τὸν οὐρανόν. Τὸ δὲ, Σωφρόνως, οὐ τὴν πρὸς τὰ σώματα καὶ τὸν τούτων ἔρωτα ἀποχὴν δηλοῖ μόνον, ἀλλὰ καὶ πρὸς πᾶν πάθος. « Ἐν τῷ νῦν αἰῶνι. » Οὗτος γὰρ ἔχει τὸν ἀγῶνα, ὁ δὲ μέλλων, τὰς ἀντιδόσεις. « Προσδεχόμενοι τὴν μακαρίαν. » Ἰδοὺ καὶ τὰ ἔπαθλα. Οὐδὲν γὰρ ὄντως ἐκείνης μακαριώτερον τῆς ἐπιφανείας. « Τῆς δόξης. » Ἡ γὰρ δευτέρα ἐπιφάνεια μετὰ δόξης ἔσται, τῆς πρώτης ἐν εὐτελείᾳ γεγονυίας. « Τοῦ μεγάλου Θεοῦ. » Ποῦ νῦν εἰσιν οἱ τῶν ἀνοσίων δογμάτων εὑρεταὶ, οἱ φασιν ὅτι ὁ Χριστὸς οὐ Θεὸς, ἢ ὅτι ἐλάττων τοῦ Πατρός; Ὧδε γὰρ φανερῶς, καὶ Θεὸν μέγαν τὸν Χριστὸν ὁμολογεῖ. Τὸ δὲ μέγας, οὐ πρός τινα θεὸν μικρὸν ἀντιδιαιρεῖται, ἄπαγε! ἀλλὰ ἀπολύτως οὕτως μέγας, οὗ μεῖζόν τι οὐκ ἄν τις ἐπινοήσειεν. « Λαὸν περιούσιον. » Οἷον, ἐξηλλαγμένον, ἐκ περιουσίας ἀγαπώμενον, οὐδὲν ἔχοντα κοινὸν πρὸς τοὺς λοιπούς. « Ζηλωτὴν καλῶν ἔργων. » Ὁρᾷς ὅτι καὶ τῶν παρ' ἡμῖν χρεία; Ζηλωτὴν, φησὶ, τουτέστι, μετὰ πολλῆς προθυμίας ἐπ' αὐτὴν ἰόντας τὴν ἀρετήν. Τὸ μὲν γὰρ τῶν πάλαι ἁμαρτημάτων ἀπαλλάξαι, τῆς αὐτοῦ μόνης γέγονε φιλανθρωπίας. Τὸ δὲ κατεργάσασθαι τὴν ἀρετὴν, καὶ αὐτοῦ καὶ ἡμῶν.

ΚΕΦΑΛ. Ε'.

Περὶ ἀρχόντων ὑπακοῆς πρεπούσης τῇ ἐπιεικείᾳ τοῦ Χριστοῦ.

Ταῦτα λάλει καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς. Μηδείς σου περιφρονείτω. Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐπιδεικνυμένους πραότητα πρὸς πάντας ἀνθρώπους.

« Μετὰ πάσης ἐπιταγῆς. » Τουτέστι, σφοδρότητος. Ἐπειδὴ γὰρ τὸ τούτων ἦθος σκληρότερον ἦν, διὰ τοῦτο ἀποτόμως ἐλέγχεσθαι αὐτοὺς φησι. « Μηδείς σου περιφρονείτω, » τουτέστι, καταφρονείτω. Ὁρᾷς πῶς βούλεται καὶ μετὰ ἐξουσίας εἶναι τὸν ἐπίσκοπον; « Πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι. » Οἷον, ἠὐτρεπισμένους. « Μηδένα βλασφημεῖν, » κἂν κακῶς πράττῃ, κἂν ἔν τινι σφάλληται. Τὸ γὰρ στόμα ἡμῶν καθόλου καθαρὸν εἶναι λοιδορίας χρή. « Σὺ γάρ, φησὶ, τί κρίνεις τὸν ἀδελφόν; τί παρασπᾷς τὴν κρίσιν τοῦ Θεοῦ; « *Βλασφημίαν* γὰρ τὴν πρὸς τὸν ἀδελφὸν λοιδορίαν λέγει. « Πραότητα πρὸς πάντας· » καὶ Ἰουδαίους καὶ Ἕλληνας, καὶ φίλους καὶ ἐχθρούς, καὶ ἀδικοῦντας καὶ ἐπηρεάζοντας. A

« Cum omni præcipiendi studio. » Hoc est, vehementia. Quoniam enim horum mores erant asperiores, dicit ut durius arguantur. « Nemo te despiciat, » hoc est, parvifaciat. Vides quod etiam velit episcopum alicujus esse potestatis et auctoritatis? « Ut ad omne opus bonum sint parati. » Id est, prompti et instructi. « Ne de quoquam male dicant, » etiam si male faciat, etiam si in aliquo labatur. Oportet enim os vestrum omnino purum esse a contumelia. « Nam tu, inquit, cur judicas fratrem? cur Dei judicium tibi vindicas[a]? » Βλασφημίαν enim hoc loco vocat convicium adversus fratrem. « Mansuetudinem erga omnes: » et Judæos et Græcos, et amicos et inimicos, et nocentes et calumniantes.

Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους. Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα, κατ' ἐλπίδα ζωῆς αἰωνίου. B

III, 3-7. *Nam eramus et nos quondam amentes, inobedientes, errantes, servientes desideriis ac voluptatibus variis, in malitia et invidia degentes, odiosi, invicem odio prosequentes. At postquam bonitas et erga homines amor apparuit Salvatoris nostri Dei, non ex operibus quæ essent, in justitia quæ feceramus nos, sed secundum suam misericordiam salvos nos fecit, per lavacrum regenerationis ac renovationis Spiritus sancti, quem effudit in nos opulente per Jesum Christum Salvatorem nostrum: ut justificati gratia illius, hæredes efficeremur juxta spem vitæ æternæ.*

Μηδενί, φησὶν, ὀνειδείσῃς. Καὶ γὰρ καὶ ἡμεῖς κακοὶ ἦμεν, μὴ ὅτι καὶ ἐσμέν. Ὁπότε οὖν καὶ σὺ ἦσθα τοιοῦτος, καὶ χάριτι Χριστοῦ ἐσώθης, καὶ οὐκ ἐξ οἰκείων κατορθωμάτων, πῶς τολμᾷς ἄλλῳ ὀνειδίσαι; Πότε δὲ ἦμεν τοιοῦτοι; Ὅταν, φησὶν, ἦμεν ἐν πλάνῃ, ὅταν εἰδώλοις προσεκυνοῦμεν. Δῆλον γὰρ ὅπως διάγουσιν Ἕλληνες ἀσεβῶς. Μοιχεῖαι γὰρ παρ' αὐτοῖς, πορνεῖαι, φόνοι, πανυχίδες αἰσχραὶ, καὶ ταῦτα ὡς εἰς τιμὴν Θεῶν ἐπιτελοῦσιν. « Στυγητοί. » Ὅταν γάρ τις εἰς ἄκρον ἔλθῃ κακίας, πάντας μισεῖ· εἰκότως οὖν καὶ παρὰ πάντων μισεῖται. « Καὶ ἡ φιλανθρωπία ἐπεφάνη. » Διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ. « Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ. » Οὐκ ἐπειδὴ, φησὶν, ἡμεῖς οὕτως εὐσεβῶς ἐζῶμεν, ὡς προτρέψασθαι αὐτὸν ἐνανθρωπῆσαι, ἀλλ' ὅτι αὐτὸς ἀναξίους ἡμᾶς ὄντας ἐλεῆσαι ἠβουλήθη. « Ὧν ἐποιήσαμεν ἡμεῖς. » Οὐκ ἐποιήσαμεν γάρ. « Οὗ ἐξέχεεν ἐφ' ἡμᾶς. » Ποίου πνεύματος; « Οὗ ἐξέχεεν ἐφ' ἡμᾶς, φησὶ, πλουσίως διὰ Ἰησοῦ Χριστοῦ. » Πολλῆς, φησὶν, ἐδεόμεθα χάριτος πνευματικῆς, ἵνα μὴ μόνον δικαιωθῶμεν τῶν πάλαι ἁμαρτιῶν, ἀλλὰ καὶ κληρονόμοι γενώμεθα ζωῆς, διὰ τοῦτο ἐξέχεεν. « Τῇ ἐκείνου χάριτι. » Τοῦ Χριστοῦ, ἢ τοῦ ἁγίου Πνεύματος. « Κληρονόμοι γενώμεθα. » Κληρονόμοι, φησὶ, γενώμεθα τῆς αἰωνίου ζωῆς, τῆς νῦν ἐν ἐλπίδι οὔσης ἡμῖν. — « Ἢ οὕτως. Κληρονόμοι γενώμεθα τῆς αἰωνίου ζωῆς, καθὼς καὶ ἐλπίζομεν. C D

Adversus neminem, inquit, sis contumeliosus: nam et nos mali eramus, non quod etiam nunc simus. Quando igitur et tu talis eras, Deique gratia salvus factus es, non ex propriis bonis operibus, quomodo audes alii convicium ingerere? Quando autem tales eramus? Quando in errore eramus, quando idola adorabamus. Manifestum est enim quod impie vivant Græci. Siquidem apud ipsos sunt adulteria, stupra, cædes, fœdæ nocturnæ vigiliæ: et hæc veluti ad honorem deorum perpetrant. « Odiosi. » Ubi enim quis ad extremum vitiorum pervenerit, omnes odio habet: merito ergo etiam ab universis odio habetur. **298** « Erga homines amor apparuit. » Per ipsius incarnationem. « Non ex operibus quæ essent in justitia. » Non quod adeo pie viveremus, ut satis exhortaremur eum quo incarnaretur: sed quod ipse, cum indigni essemus, voluerit nostri misereri. « Quæ feceramus nos. » Neque enim feceramus. « Quem effudit in nos. » Quemnam spiritum? « Quem in nos, inquit, « effudit opulente per Jesum Christum. » Magna gratia nobis opus erat spiritali: non solum ut a præteritis justificaremur peccatis, sed etiam ut hæredes efficeremur vitæ: propterea effudit. « Gratia illius: » Christi videlicet aut Spiritus sancti. « Hæredes efficeremur. » Hæredes, inquit, efficeremur æternæ vitæ, quæ nunc in spe nobis est. -- *Aut hoc modo.* Hæredes efficeremur æternæ vitæ, quemadmodum et speramus.

[a] Rom. XIV, 4.

IV, 8, 9. *Fide dignissimus est sermo. Et de his volo ut confirmes : quo solliciti sint, ut bonis operibus præsint qui crediderunt Deo. Hæc enim sunt utilia et honesta hominibus. Stultas autem quæstiones et genealogias et contentiones ac pugnas legales omitte : sunt enim inutiles ac supervacaneæ.*

Quoniam de futuris locutus erat quæque multis incerta erant, subjungit : Πιστὸς ὁ λόγος, id est, dignus est sermo qui credatur, verax et qui omnino eveniet. « Et de his volo ut confirmes. » Et de illis quæ superius dicta sunt et de istis. Quibus? « Ut solliciti sint, ut bonis operibus præsint. » Nempe viduis, orphanis, labore confectis et egenis non solum pecunias erogent, sed et sollicitudinem. Nam hæc sunt bona. Ut bonis operibus præsint. « Stultas autem quæstiones et genealogias. » Genealogias aut de Græcis dicit, qui Deorum suorum genus recensebant. Talis, inquiunt, talem genuit. Aut de Judæis, qui cum nihil boni operarentur, ad genera confugiebant, et ab his cristas erigebant. Abraham, inquiunt, Isaac et Jacob progenitores nostri sunt. Stultas vero, hoc est, nullam afferentes utilitatem. Quæ enim peccatori utilitas si Patrem habeat Abraham? imo potius damnum referet, si ex his profecti, reprobi facti sunt. Περίστατο, id est, fuge, caveto. Quomodo ergo alibi præcipit ut contradicentibus obturet ora, si omnino credere oportet et omittere? **299** Et dicimus : Quod his qui ad aliorum docent perditionem, oportet ora obturare : cum autem adversum te contenderint non de dogmatis, cede et omitte. « Sunt enim inutiles. » Siquidem nullum habebunt bonum finem.

A *Πιστὸς ὁ λόγος, καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ. Ταῦτά ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. Μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περίστασο. Εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι.*

Ἐπειδὴ περὶ μελλόντων ἐλάλησε, καὶ τοῖς πολλοῖς ἀδήλων, ἐπάγει, *Πιστὸς ὁ λόγος*, τουτέστιν, ἀληθὴς καὶ πάντως ἐκβησόμενος. « Καὶ περὶ τούτων βούλομαί σε. » Καὶ περὶ τῶν ἄνω εἰρημένων, καὶ τούτων. Ποίων ; « Ἵνα φροντίζωσι, φησὶ, καλῶν ἔργων προΐστασθαι. » Τουτέστι, χηρῶν, ὀρφανῶν, καταπονουμένων, ἐπιδεομένων, μὴ χρήμασι μόνον, ἀλλὰ καὶ σπουδῇ. Ταῦτά ἐστι τὰ καλά. Τὸ, ἔργων
B καλῶν προεστάναι. « Μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας. » Τὸ, γενεαλογίας, ἢ περὶ Ἑλλήνων φησὶν, οἳ τοὺς θεοὺς αὐτῶν γενεαλογοῦσιν. Ὁ δεῖνα, φησὶν, ἐγέννησε τόνδε. Ἢ περὶ Ἰουδαίων τῶν μηδὲν μὲν κατορθούντων, ἐπὶ τὰ γένη δὲ καταφευγόντων, καὶ ἐξ αὐτῶν μέγα φρονούντων. Ὁ Ἀβραὰμ, φησὶ, καὶ Ἰσαὰκ καὶ ὁ Ἰακὼβ, πρόγονοι ἡμῶν. Μωρὰς δὲ, τὰς οἷον ἀνωφελεῖς. Τί γὰρ ὄφελος τῷ ἁμαρτάνοντι ἔχειν πατέρα τὸν Ἀβραάμ ; Βλάβη μέν τοι, ὅτι ἐκ τούτων ὁρμώμενοι, ἀδόκιμοι γεγόνασι. *Περίστασο*, οἷον, παραιτοῦ. Πῶς οὖν αὐτῷ ἀλλαχοῦ κελεύεις τοὺς ἀντιλέγοντας ἐπιστομίζειν, εἰ ὅλως ὑποστέλλεσθαι αὐτῶν χρὴ καὶ παραιτεῖσθαι ; καί φαμεν· Τοὺς ἐπὶ λύμῃ τινῶν διδάσκοντας, ἐπιστομίζειν χρὴ, ὅταν δὲ πρὸς σὲ μάχωνται οὐ περὶ δογμάτων, πε-
C ρίστασθαι καὶ παραιτεῖσθαι. « Εἰσὶ γὰρ ἀνωφελεῖς. » Οὐδὲν γὰρ, φησὶν, ἕξουσι πέρας χρηστόν.

CAPUT VI.

Admonitiones de declinandis quæstionibus, quæ seditionem concitent.

III, 10-15. *Hæreticum hominem post unam et alteram admonitionem fuge, sciens quod adversus sit qui ejusmodi est, et peccet per se damnatus. Cum autem misero Arteman ad te aut Tychicum, da operam ut venias ad me Nicopolim : nam illic decrevi hibernare. Zenam legisperitum et Apollo studiose deducito, ne quid illis desit. Discant autem et nostri bonis operibus præesse ad necessarios usus, ut non sint infrugiferi. Salutant te qui mecum sunt omnes. Saluta eos qui nos diligunt in fide. Gratia cum omnibus vobis. Amen.*

Atqui dicit alibi : « Ne quando det illis Deus pœnitentiam [a] ; » quomodo ergo hoc loco fugere eos jubet? Ibi de iis loquitur de quibus est spes emendæ; hic autem, de illis qui incurabili morbo laborant. « Per se damnatus. » Neque enim hoc potest in excusationem proferre : Nemo mihi dixit : Nullus me adhortatus est. Quod ergo dixit αὐτοκατάκριτος, aut idem est quod inexcusabilis, aut, Ipse

[a] II Tim. II, 25.

ΚΕΦΑΛ. Ϛ'.

Παραινέσεις περὶ τοῦ ἐκκλίνειν τοὺς αἱρετικοὺς ζητητάς.

Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σὲ ἢ Τυχικὸν, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν. Ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι. Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ. Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι
D *καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες. Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἡ χάρις μετὰ πάντων ὑμῶν Ἀμήν.*

Καὶ τοι ἀλλαχοῦ φησι, « Μή ποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν. » Πῶς οὖν ὧδε παραιτεῖσθαι κελεύει ; Ἐκεῖ περὶ τῶν ἐλπίδα ἐχόντων διορθώσεως λέγει· ὧδε δὲ, περὶ τῶν ἀνίατα νοσούντων. « Ὢν αὐτοκατάκριτος. » Οὔτε γὰρ ἔχει πρὸς ἀπολογίαν προβάλλεσθαι, ὅτι, Οὐδείς μοι εἶπεν · Οὐδείς μοι παρῆνεσε. Τὸ δὲ *αὐτοκατάκριτος*, ἢ Ἀναπολόγητός ἐστιν, ἢ, Αὐτὸς ὑφ' ἑαυτοῦ καὶ τῆς οἰκείας συνειδή-

σεως κατακρινόμενος. « Σπούδασον ἐλθεῖν πρός με. » Τί δή ποτε ἐπιστήσας αὐτὸν τῇ Κρήτῃ, πάλιν καλεῖ πρὸς ἑαυτόν ; Ἵνα πλέον ῥυθμίσῃ, καὶ τὰ πρακτέα συμβουλεύσῃ. Ἡ δὲ Νικόπολις τῆς Θράκης ἐστὶ πόλις. — « Εἰς Νικόπολιν. » [ΘΕΟΔΩΡ.] Τῆς Θράκης ἐστὶν ἡ Νικόπολις, τῇ δὲ Μακεδονίᾳ πελάζει. Δῆλον τοίνυν ὡς κατ' ἐκεῖνον τὸν καιρὸν καθ' ὃν ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ διέτριβεν, ἔγραψε τὴν Ἐπιστολήν. « Ζηνᾶν τὸν νομικόν. » Τὸν τῶν Ἰουδαϊκῶν νόμων ἔμπειρον. Οὔπω δὲ ἦσαν οὗτοι ἐγχειρισθέντες Ἐκκλησίας. Ὁ δὲ Ἀπολλὼς οὗτος, μέγας τις ἦν καὶ λόγιος καὶ δυνατὸς ἐν ταῖς Γραφαῖς. « Ἵνα μηδὲν αὐτοῖς λείπῃ. » Ἐν πάσῃ ἀφθονίᾳ κατάστησον αὐτούς, τροφῆς ἴσως καὶ ἐνδυμάτων. « Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι. » Ἢ περὶ διδασκαλίας λέγει, ἢ περὶ μεταδόσεως, ὡς εἰ εἶπεν· Αὐτοὶ πρὸς τοὺς δεομένους φιλάνθρωπον ὁράτωσαν, καὶ ἐπισπάσθωσαν αὐτούς, κἂν τε διδασκαλίας δέωνται, κἂν τε ἀναγκαίων. « Ἵνα μὴ ὦσιν ἄκαρποι. » Αὐτοὺς γὰρ μᾶλλον τοὺς διδόντας, ἢ τοὺς λαμβάνοντας ὠφελεῖν βούλεται. « Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς. » Ἢ τοὺς αὐτὸν φιλοῦντας λέγει, ἢ καθόλου τοὺς πιστούς. Τὸ δὲ, ἐν πίστει, οἷον διὰ τῆς πίστεως.

Τέλος, σὺν Θεῷ, τῆς πρὸς Τίτον Ἐπιστολῆς.

Ἐγράφη ἀπὸ Νικοπόλεως τῆς Μακεδονίας πρὸς Τίτον, τῆς Κρητῶν Ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα.

A a sua conscientia condemnatus. « Da operam ut venias ad me. » Quam ob causam cum ipsum Cretæ præfecisset, rursum eum ad se vocat? Ut plenius eum informaret et quæ facienda essent consuleret. Nicopolis autem Thraciæ civitas est.— « Nicopolim. » Thraciæ pars est Nicopolis, propinqua Macedoniæ. Manifestum ergo est quod eo tempore scripserit Epistolam quo in Macedonia et Achaia versabatur. « Zenam legisperitum et Apollo. » Legum Judaicarum **300** peritum. Nondum autem commissæ his erant Ecclesiæ. Porro hic Apollos magnus vir erat, et sapiens ac potens in Scripturis. « Ne quid illo desit. » Abunde illis provide : de alimentis fortassis loquitur et indumentis. « Discant autem et nostri. » Aut de doctrina loquitur aut de traditione : perinde ac si diceret : ipsi humanitatem respiciant erga eos qui egeni sunt, ipsosque foveant, sive doctrina egeant sive rebus necessariis. « Ut non sint infrugiferi. » Siquidem cupit illis magis prodesse qui dant, quam qui accipiunt. « Saluta eos qui nos diligunt. » Aut eos dicit qui ipsum diligebant, aut universaliter fideles. In fide vero, id est, per fidem.

B

Finis, divino favente auxilio, Epistolæ ad Titum.

Scripta est ab urbe Nicopoli Macedoniæ ad Titum, primæ Ecclesiæ Cretensium ordinatum episcopum.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗΣ

—

ARGUMENTUM

EPISTOLÆ AD PHILEMONEM.

—

Ταύτην ἐπιστέλλει ἀπὸ Ῥώμης. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Ὀνήσιμος ὁ οἰκέτης Φιλήμονος ἔφυγε, καὶ ἀπελθὼν πρὸς τὸν Ἀπόστολον, κατηχήθη παρ' αὐτοῦ, καὶ γέγονεν αὐτῷ χρήσιμος εἰς διακονίαν. Περὶ τούτου τοίνυν γράφει Φιλήμονι, παρατιθέμενος αὐτῷ τὸν Ὀνήσιμον, ἵνα πρόσεχῃ αὐτῷ γνησίως, καὶ μηκέτι ἔχῃ αὐτὸν ὡς δοῦλον, ἀλλ' ὡς ἀδελφόν. Προετρέψατο δὲ αὐτὸν καὶ ξενίαν αὐτῷ ἑτοιμάσαι, ἵνα ἐὰν ἔλθῃ, εὕρῃ ποῦ μείνῃ. Καὶ οὕτως τελειοῖ τὴν Ἐπιστολήν. Ἰστέον δὲ, ὅτι οὗτος ὁ Ὀνήσιμος καὶ μαρτυρίου ἠξιώθη ἐν τῇ Ῥωμαίων πόλει, Τερτύλλου τὸ τηνικαῦτα τὴν ἔπαρχον ἐξουσίαν διέποντος, τῇ τῶν σκελῶν κλάσει τὴν ψῆφον ὑπομείνας τοῦ μαρτυρίου.

C **301** Hanc ab urbe Roma scribit. Occasio vero Epistolæ fuit hæc. Onesimus servus Philemonis fugerat, et ad Apostolum profectus, ab ipso instructus erat, fuitque ei utilis ad ministerium. De hoc ergo scribit Philemoni, commendans ipsi Onesimum, ut ingenue animum ad eum advertat : nec deinceps habeat eum ut servum, sed ut fratrem. Admonet quoque ipsum ut sibi præparet hospitium : ut si venerit inveniat ubi diversetur : et ita concludit Epistolam. Sciendum autem quod hic Onesimus in urbe Roma passus sit martyrium, Tertullo eo tempore præfecturam tenente, crurum fractione sententiam sustinens martyrii.

302 THEODORETI.

Philemon præclarus quidam vir erat: Phrygius quidem genere, moribus autem fidelis, ei in necessitatibus sanctorum participans. Hujus servus Onesimus aufugit expilato domino. Qui cum Romæ ad Paulum venisset, ab ipso instructus est et baptizatus: cumque Paulus esset in vinculis, egregie se gessit. Nunc ad Philemonem remittit data ad ipsum commendatitia hac Epistola. Aiunt autem quidam non debere hanc cæteris connumerari Epistolis, quod de re parvi momenti scripta est. Sed vide quantæ ex hac colligantur utilitates. Primum instruit ut in parvis etiam rebus studiosi simus. Secundo, quod si servus adeo improbus conversus est, non oportet quemquam liberum desperare. Tertio, quod non oporteat pietatis prætextu servos invitis dominis abstrahere. Quarto, quod non oporteat nos pudefacere servos virtute præditos, quando Paulus Onesimum vocat filium. Qua igitur causa Epistolam quæ tantum afferebat utilitatis non expediebat cæteris annumerari?

303 *AD PHILEMONEM EPISTOLÆ CAPITA.*

1. *Laus Philemonis et gratiarum actio pro ipso.*

2. *Commendatio Onesimi fugitivi servi, et admonitio pro ipso qui salvus erat per fidem.*

A

ΘΕΟΔΩΡΗΤΟΥ.

Ὁ Φιλήμων θαυμάσιός τις ἦν ἀνήρ, Φρὺξ μὲν τὸ γένος, πιστὸς δὲ τὸν τρόπον, καὶ ταῖς χρείαις τῶν ἁγίων κοινωνῶν. Τούτου δοῦλος Ὀνήσιμος ἀπέδρα, κεκλοφὼς αὐτόν. Ὃς παραγενόμενος ἐν Ῥώμῃ πρὸς τὸν Παῦλον, κατηχήθη παρ' αὐτοῦ, καὶ βαπτισθεὶς, ἐν δεσμοῖς ὄντος τοῦ Παύλου, θαυμάσιος γέγονε. Τοῦτον ἀποπέμπει πρὸς τὸν Φιλήμονα παραθετικὴν αὐτῷ ταύτην ποιήσας τὴν Ἐπιστολήν. Φασὶ δέ τινες, μὴ χρῆναι συναριθμεῖσθαι ταῖς λοιπαῖς Ἐπιστολαῖς, ὑπὲρ εὐτελοῦς γραφεῖσα πράγματος. Ἀλλ' ὅρα πόσα ἐκ ταύτης τὰ χρήσιμα. Πρῶτον, παιδεύει καὶ ὑπὲρ εὐτελῶν εἶναι σπουδαίους. Δεύτερον, ὅτι εἰ δοῦλος οὕτως ἰταμὸς ἐπέστρεψεν, οὐ δεῖ τῶν ἐλευθέρων ἀπογινώσκειν. Τρίτον, ὅτι οὐ προσήκοι προφάσει εὐλαβείας, δούλους ἀποσπᾶν ἀκόντων τῶν δεσποτῶν. Τέταρτον, ὅτι οὐ χρὴ ἡμᾶς τοὺς δούλους ἐπαισχύνεσθαι ἐναρέτους ὄντας, ὁπότε Παῦλος τέκνον καλεῖ τὸν Ὀνήσιμον. Πῶς οὖν τὴν τοσαύτην ὠφέλειαν ἔχουσαν Ἐπιστολὴν οὐκ ἔδει καταριθμεῖσθαι ταῖς λοιπαῖς;

B

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗΣ.

α'. Ἔπαινος Φιλήμονος καὶ εὐχαριστία ὑπὲρ αὐτοῦ.

β'. Σύστασις Ὀνησίμου φυγάδος οἰκέτου, καὶ παράκλησις ὑπὲρ αὐτοῦ σωθέντος διὰ πίστεως.

ΠΑΥΛΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ

—

PAULI APOSTOLI

AD PHILEMONEM EPISTOLA.

—

Vers 1-3. *Paulus vinctus Jesu et Timotheus frater Philemoni dilecto et collegæ nostro, et Apphiæ dilectæ et Archippo commilitoni nostro, et quæ domi tuæ est congregationi : gratia vobis et pax a Deo Patre nostro et Domino Jesu Christo.*

Statim ab exordio dominum instruit, ne pudefaciat servum. Omnia enim, etiam vincula, propter Christum honesta sunt. Et quia æquum est gratificari ei qui propter Christum vinctus est. « Et Timotheus frater. » Socium deprecationis assumit Timotheum. « Philemoni dilecto. » Si dilectus est, gratificabitur : si collega, dabit servum ad ministerium prædicationis. Siquidem datus Onesimus « xplebit opus Domini Philemonis. « Et Apphiæ. » Fortassis Apphia uxor erat, et Archippus amicus. Considera vero animi modestiam. Nam hos etiam

C

Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς, Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν, καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ' οἶκόν σου Ἐκκλησίᾳ. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Εὐθέως ἐκ προοιμίων παιδεύει τὸν δεσπότην, μὴ ἐπαισχύνεσθαι τὸν δοῦλον. Πάντα γὰρ καὶ δεσμὰ διὰ τὸν Χριστὸν καλά. Καὶ ὅτι δίκαιον τῷ διὰ Χριστὸν δεσμίῳ δοθῆναι τὴν χάριν. « Καὶ Τιμόθεος ὁ ἀδελφός. » Συμπαραλαμβάνει τῆς ἱκεσίας κοινωνὸν τὸν Τιμόθεον. « Φιλήμονι τῷ ἀγαπητῷ. » Εἰ ἀγαπητὸς, καὶ δώσει τὴν χάριν. Εἰ συνεργὸς, δώσει τὸν δοῦλον πρὸς ὑπηρεσίαν τοῦ κηρύγματος. Ἔργον γὰρ καὶ τοῦ δεσπότου Φιλήμονος ἀναπληρώσει δοθεὶς ὁ Ὀνήσιμος. « Καὶ Ἀπφίᾳ. » Ἴσως ἡ Ἀπφία γαμετὴ ἦν, καὶ ὁ Ἄρχιππος φίλος. Ὅρα δὲ ταπεινοφροσύνην, ὅτι καὶ

τούτους παρακαλεῖ συλλαβέσθαι τῆς ἐκκλησίας. « Τῷ συστρατιώτῃ ἡμῶν. » Εἰ συστρατιώτης, καὶ ἐν τούτῳ ἀγωνιεῖται. Οὗτος ἦν περὶ οὗ γράφει Κολοσσαεῦσιν· « Εἴπατε Ἀρχίππῳ, Βλέπε τὴν διακονίαν ἣν παρέλαβες. » — « Καὶ τῇ κατ' οἶκόν σου Ἐκκλησίᾳ. » Πᾶσαν τὴν οἰκίαν παρακαλεῖ, καὶ δούλους. « Χάρις ὑμῖν. » Πῶς δὲ ἔσται ἡ χάρις τοῦ Θεοῦ ἐν ὑμῖν; Ἐὰν καὶ ὑμεῖς τοῖς ὀφειλέταις χαρίσησθε. Πῶς δὲ ἡ εἰρήνη; Ἐὰν καταλλαγῆτε τῷ δούλῳ.

A exhortatur, ut simul opituletur in precatione. « Commilitoni nostro. « Si commilito, etiam in hoc decertabit. Hic erat de quo ad Colossenses scribit: **305** « Dicite Archippo: Vide ministerium quod accepisti [1]. »—« Et quæ domi tuæ est congregationi. » Totam domum exhortatur, etiam servos. « Gratia vobis. « Quomodo autem erit gratia Dei in vobis? Si vos etiam debitoribus condonetis. Quomodo autem erit pax? Si servo conciliemini.

ΚΕΦΑΛ. Α'.

Ἔπαινος Φιλήμονος καὶ εὐχαριστία ὑπὲρ αὐτοῦ.

CAPUT PRIMUM.

Laus Philemonis et gratiarum actio pro ipso.

Εὐχαριστῶ τῷ Θεῷ μου, πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἀκούων σου τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους, ὅπως B *ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ἡμῖν εἰς Χριστὸν Ἰησοῦν. Χάριν γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ. Διὸ πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον διὰ τὴν ἀγάπην, μᾶλλον παρακαλῶ, τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ Χριστοῦ.*

Vers. 4-9. Gratias ago Deo meo, semper mentionem tui faciens in precibus meis, cum audiam tuam charitatem ac fidem quam habes erga Dominum Jesum et erga omnes sanctos, ut communicatio fidei tuæ efficax fiat in agnitionem omnis boni quod est in nobis erga Christum Jesum. Gaudium enim habemus multum et consolationem in dilectione tua, quod viscera sanctorum refocillata sint per te, frater. Quapropter cum multam fiduciam habeam injungendi tibi, id quod decens est, propter charitatem, potius rogo, cum talis sim, nempe Paulus senex, nunc autem etiam vinctus Jesu Christi.

Εἴ ποτέ σου, φησὶ, μνείαν ποιήσομαι, ἀεὶ δὲ ποιοῦμαι, εὐχαριστῶ τῷ Θεῷ ὑπὲρ σοῦ. Διὰ τί; Ἀκούων σου, φησὶ, τὴν ἀγάπην. Ὁρᾷς αὐτὸν μὴ ἐκ προοιμίων τὴν χάριν αἰτοῦντα; « Ἀκούων σου τὴν ἀγάπην. » Εἰ δὲ μὴ μεγίστη ἦν, οὐκ ἂν ἀπὸ Φρυγίας εἰς Ῥώμην ἠκούετο. « Ὅπως ἡ κοινωνία τῆς πίστεως. » Συνάπτει αὐτὸν πρὸς ἑαυτὸν, ὡς εἰ ἔλεγεν· Ἡ κοινὴ πίστις, καὶ ἡ κοινοποιός. Τίνος δὲ ἕνεκεν εὐχαριστεῖς τῷ Θεῷ; Ὅπως, φησὶν, ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται. Πῶς δὲ ἔσται ἐνεργής; Ἐν τῷ ἅπαν εἶδος ἀρετῆς αὐτὸν ἐπελθεῖν. Ἡρμήνευσε δὲ ἑαυτὸν ὁ μακάριος Παῦλος. Πῶς δὲ ἔσται ἐνεργής; Διὰ τοῦ ἐπιγνῶναί σε, φησὶ, καὶ πράττειν πᾶν ἀγαθόν. « Τοῦ ἐν ἡμῖν. » Τοῦ ὄντος καὶ νῦν ἐν ἡμῖν, φησίν. « Εἰς Χριστὸν Ἰησοῦν. » Ὁ γὰρ ποιῶν τινι καλῶς, Χριστῷ ποιεῖ, μάλιστα δὲ ἁγίοις ποιῶν. « Χαρὰν γὰρ ἔχομεν πολλήν. » Οὐ μόνον, φησὶν, ἡδόμεθα, ἀλλὰ τοσαύτη ἡ ἡδονὴ, ὡς καὶ παράκλησιν ἡμῖν ἐν τοῖς δεσμοῖς ἐμποιεῖν. « Ὅτι τὰ σπλάγχνα τῶν ἁγίων. » Ὅρα, θέλων εἰπεῖν· Εἰ ἄλλοις παρέχει; χάριτας, πολλῷ μᾶλλον ἐμοὶ παράσχῃ, οὕτως μὲν οὐ λέγει, ἄλλως δὲ εὐφυεστέρως. Οἶδε γὰρ τὴν μνήμην τῶν πρὸς ἄλλους εὐεργεσιῶν, πειθηνίους μᾶλλον ποιοῦσαν τοὺς παρακαλουμένους. « Ἀναπέπαυται διὰ σοῦ. » Ἀναπαύονται γὰρ, φησὶν, ἐπὶ τῇ σῇ ἀγάπῃ. « Διὸ πολλήν. » Ἐπειδὴ τοιοῦτος εἶ πρὸς τοὺς ἁγίους ὥστε καὶ ἀναπαύειν αὐτούς, παρρησίαν ἔχω ἐπιτάσσειν σοι. Ἔχων παρρησίαν διὰ τὸν Χριστὸν, ἐπιτάσσειν σοι πρᾶγμα πρέπον. Τοῦτο γὰρ τὸ ἀνῆκον. Ἐπιτάσσειν δὲ εἶπον, οὐκ ἐπειδὴ ἄρχω σου, ἀλλὰ διὰ τὴν ἀγάπην ἣν ἀγαπῶ τέ σε καὶ ἀγαπῶμαι ὑπὸ σοῦ. Ἐπιτάσσειν μὲν δοκῶ,

Si quando, inquit, tui mentionem faciam, semper autem facio, gratias ago Deo pro te. Quare? Cum audiam, ait, tuam charitatem. Vides quod non statim ab exordio petat gratiam? « Cum audiam tuam charitatem : » quæ nisi maxima esset, nequaquam a C Phrygia Romam usque audiretur. « Ut communicatio fidei. » Conjungit eum sibi, perinde ac si diceret : Communis fides et quæ unum ac commune facit. Quare autem Deo gratias agis? ut communicatio, inquit, fidei tuæ efficax fiat. Quomodo autem erit efficax? si ad omne virtutis opus procedat. Interpretatur autem seipsum beatus Paulus. Quomodo autem erit efficax? Per hoc quod tu cognoscas et perficias omne bonum. « Quod est in nobis. » Quod nunc quoque est in nobis, ait. « Erga Christum Jesum. » Nam qui alicui **306** bene facit, Christo facit, maxime autem qui sanctis facit [2]. « Gaudium enim habemus multum. » Non solum, inquit, lætamur, sed tanta nobis accedit voluptas, D ut etiam consolationem nobis addat in vinculis. « Quod viscera sanctorum. » Cónsidera quod cum velit dicere : Si aliis gratiam præstas, multo magis mihi præstes, non ita quidem dicit, sed alio commodiori modo. Scit enim quod memoria beneficiorum erga alios exhibitorum, magis obsequentes reddit eos quos precamur. « Refocillata sint per te. » Refocillantur enim, inquit, ob tuam dilectionem. « Ideo cum multam. » Quoniam talis es erga sanctos ut etiam refocillas eos, fiduciam habeo injungendi tibi : cum fiduciam habeam propter Christum injungendi tibi rem quæ expediat : nam hoc significat ἐπιτάσσειν. Injungere autem dixi, non

[1] Colos. IV, 17. [2] Matth. XXV, 40.

quod dominer tibi, sed propter charitatem qua et te diligo et a te diligor, injungere quidem videor, verum non injungo. Nam etsi videor injungere propter charitatem, non tamen injungo, sed potius rogo: adeo, inquit, rem magnifico. « Cum talis sim, nempe Paulus senex. » Rogo cum talis sim, qualis deberet quispiam esse ad persuadendum. « Paulus. » Sufficere autem deberet hoc solum ad persuadendum. « Senex vinctus pro Christo. » Vides quot sint ad persuadendum occasiones?

A οὐκ ἐπιτάσσω δέ. Εἰ καὶ φαίνωμαι ἐπιτάσσειν σοι δι' ἀγάπην, οὐκ ἐπιτάσσω, παρακαλῶ δὲ μᾶλλον. Οὕτω, φησὶ, περὶ πολλοῦ τὸ πρᾶγμα ποιοῦμαι. Τοιοῦτος ὢν, ὡς Παῦλος πρεσβύτης. Παρακαλῶ δὲ, τοιοῦτός τις ὑπάρχων, οἷός τις ὤφειλεν εἶναι, φησὶ, πρὸς τὸ πεῖσαι. « Παῦλος. » Ἤρκει δὲ αὐτὸ τοῦτο μόνον πρὸς τὸ πεῖσαι, « Πρεσβύτης δέσμιος ὑπὲρ Χριστοῦ. » Ὁρᾷς ὅσαι πρὸς τὸ πεῖσαι ἀφορμαί;

CAPUT II.

Commendatio Onesimi fugitivi servi, et admonitio pro ipso qui salvus factus erat per fidem.

Vers. 10-14. *Rogo autem pro filio meo quem genui in vinculis meis Onesimo, quondam tibi inutili, nunc vero tibi et mihi perutili, quem remisi. Tu autem eum, hoc est, mea viscera suscipe: quem ego cupiebam apud me retinere, ut pro te ministraret mihi in vinculis Evangelii: sed absque tua sententia nihil volui facere, ne velut ex necessitate bonum tuum esset, sed spontaneum.*

ΚΕΦΑΛ. Β'.

Σύστασις Ὀνησίμου φυγάδος οἰκέτου, καὶ παράκλησις ὑπὲρ αὐτοῦ σωθέντος διὰ πίστεως.

Παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃ ἐγέννησα ἐν τοῖς δεσμοῖς μου Ὀνήσιμον, τόν ποτέ σοι B *ἄχρηστον, νυνὶ δὲ σοι καὶ ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψα. Σὺ δὲ αὐτὸν, τουτέστι, τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ, ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ Εὐαγγελίου. Χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον.*

307 Placat et mitigat Philemonem, collaudans servum Onesimum, vocando filium, quia et ipsum, inquit, baptizavi. Nam hoc significat: Genui cum essem in vinculis. His igitur sedata ipsius ira, ita nomen exprimens, Onesimo, inquit. « Quondam tibi inutili. » Scit enim illum qui confitetur peccatum, iram domini exstinguere. Ideo subdit: « Nunc C vero tibi et mihi perutili. » Si Paulo perutilis erat qui tanta diligentia expetebat, manifestum est quod etiam Philemoni. « Quem remisi: » ut ipsum Domino redderet, magis autem ut iram exstingueret. « Hoc est mea viscera. » Quid autem dico ut ipsum suscipias? hunc suscipiens mea viscera suscipiens. Adeo, inquit, eum diligo, ut mea appellem viscera. Quod autem, ait, Suscipe, hoc est, cum amore accipe. « Ut pro te ministraret mihi. » Viden' quod paulatim ipsum ad Domini locum produxerit? ait enim: Ut pro te ministraret. Hic autem ostendit quod Domini potius cupiat utilitatem. Nam si tu, inquit, debes ministrare, hic autem pro te hoc facit, utique in tuam est utilitatem quod agitur. « In vinculis Evangelii. » In vinculis quæ pro Evangelio D perfero. « Sed absque tua sententia. » Hoc maxime ipsum emolliebat, quod rem adeo sibi necessariam absque ejus sententia non fecerit. « Ne velut ex necessitate. » Non dixit simpliciter: Ex necessitate, sed, Velut ex necessitate. Perinde ac si diceret: Noveram quod si etiam præter tuam sententiam ipsum retinerem, nequaquam te contristarem: attamen ne videretur quasi ex necessitate fieri, nolui facere.

Προκαταλεαίνει τὸν Φιλήμονα, ἐγκωμιάζων τὸν οἰκέτην τέκνον καλῶν, ὅτι καὶ αὐτὸν, φησὶν, ἐβάπτισα. Τοῦτο γὰρ τὸ, Ἐγέννησα ἐν τοῖς δεσμοῖς ὑπάρχων. Διὰ τούτων οὖν προκαταστείλας τὸν θυμὸν αὐτοῦ, οὕτως ἐξονομάζει τὸ ὄνομα· Ὀνήσιμον, φησίν. « Τόν ποτέ σοι ἄχρηστον. » Οἶδε γὰρ ὁμολογούμενον τὸ ἁμάρτημα, σβεννύειν τὸν θυμὸν τοῦ δεσπότου. « Νυνὶ δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστος. » Εἰ Παύλῳ εὔχρηστος; τοσαύτην ἀκρίβειαν ἀπαιτοῦντι, δηλονότι καὶ τῷ Φιλήμονι. « Ὃν ἀνέπεμψα. » Τῷ παραδοῦναι αὐτὸν τῷ Δεσπότῃ, μᾶλλον τὸν θυμὸν ἔσβεσεν. Τουτέστι, τὰ ἐμὰ σπλάγχνα. » Τί λέγω αὐτὸν προσλαβοῦ; Τοῦτον προσλαμβανόμενος, τὰ ἐμὰ σπλάγχνα προσλήψῃ. Οὕτως αὐτὸν ἀγαπῶ, φησὶν, ὡς καὶ σπλάγχνα καλεῖν. Τὸ δὲ, προσλαβοῦ, οἷον μετὰ ἀγάπης δέξαι. « Ἵνα ὑπὲρ σοῦ διακονῇ μοι. » Ὁρᾷς ὅτι κατὰ μικρὸν εἰς τὸν τόπον αὐτὸν ἤγαγε τοῦ δεσπότου; Ἵνα γὰρ, φησὶ, ὑπὲρ σοῦ μοι διακονῇ. Ἐνταῦθα δὲ δείκνυσιν ὅτι τῷ Δεσπότῃ συμφέρον βούλεται μᾶλλον. Εἰ γὰρ σὺ, φησὶ, χρεωστεῖς διακονεῖν, οὗτος δὲ ἀντὶ σοῦ τοῦτο ποιεῖ, σὸν ὄφελος τὸ γινόμενον. « Ἐν τοῖς δεσμοῖς τοῦ Εὐαγγελίου. « Ἐν τοῖς ὑπὲρ τοῦ Εὐαγγελίου δεσμοῖς. « Χωρὶς δὲ τῆς σῆς γνώμης. » Τοῦτο μάλιστα αὐτὸν ἐκαύνου, ὅτι πρᾶγμα οὕτως ἀναγκαῖον αὐτῷ, παρὰ γνώμην αὐτοῦ οὐκ ἐποίησεν. « Ἵνα μὴ ὡς κατὰ ἀνάγκην. » Οὐκ εἶπε, Κατὰ ἀνάγκην, ἀλλ', Ὡς κατὰ ἀνάγκην· ὡς εἰ εἶπεν· Ἤδειν ὅτι καὶ παρὰ γνώμην σου κατέχιον αὐτὸν, οὐκ ἐλύπουν σε. Ἀλλ' ἵνα μὴ δόξῃ ὡς κατὰ ἀνάγκην γίνεσθαι, οὐκ ἠβουλήθην, φησίν.

Vers. 15-20. *Nam propterea forsitan secessit ad horam, ut æternum eum reciperes, non jam ut servum, sed supra servum, nempe fratrem dilectum, maxime mihi, quanto autem magis tibi et in carne et in Domino? Si igitur me habes consortem, suscipe illum*

Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς, οὐκ ἔτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητὸν, μάλιστα ἐμοί. Πόσῳ δὲ μᾶλλόν σοι καὶ ἐν σαρκὶ καὶ ἐν Κυρίῳ. Εἰ οὖν με ἔχεις κοινωνὸν, προσλαβοῦ αὐτὸν ὡς

ἐμέ. Εἰ δέ τι ἠδίκησέ σε ἢ ὀφείλει, τοῦτο ἐμοὶ A *tanquam me. Quod si quid nocuit tibi aut debet, hoc*
ἐλλόγει. Ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί, ἐγὼ
ἀποτίσω, ἵνα μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι
προσοφείλεις. Ναὶ ἀδελφέ. Ἐγώ σου ὀναίμην
ἐν Κυρίῳ, ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν Κυ-
ρίῳ.

mihi imputa. Ego Paulus scripsi mea manu, ego dependam : ut ne dicam tibi quod teipsum quoque mihi insuper debes. Næ frater. Fruar ego te in Domino. Refocilla mea viscera in Domino.

Ἐπειδὴ ὁ Ὀνήσιμος ἀπὸ κακούργου γνώμης ἔφυγε, μεταστρέφει αὐτὴν αὐτὸς ἐπὶ τὸ ἀμφίβολον, ὡς εἰ εἶπεν· Τάχα γὰρ κατ' οἰκονομίαν ἔφυγεν. « Διὰ τοῦτο ἐχωρίσθη. » Εὐφήμῳ ὀνόματι, τὴν φυγὴν χωρισμὸν εἶπεν, ἵνα μὴ τῇ μνήμῃ τῆς φυγῆς παρεγείρῃ τὸν δεσπότην. Εἶτα καὶ τὸν χρόνον συστέλλει, καταπαύων τὴν ὀργὴν, ἢ πρὸς ὥραν ἔτους λέγει. « Ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς. » Ἀπέχῃς, ἤγουν, Ἀπολάβῃς. « Ἀλλ' ὑπὲρ δοῦλον. » Ὁρᾷς ὅτι πρὸς πολλὰ ὠφέλησεν ἡ φυγή; Ἀντὶ γὰρ ὥρας φυγῆς, ἔχεις αὐτὸν αἰώνιον. (Ὥρα γὰρ μία ἡ φυγὴ ὡς πρὸς τὸν αἰῶνα.) Καὶ ἀντὶ δούλου ἀχρήστου, χρηστὸν ἀδελφὸν ἀπείληφας. « Πόσῳ δὲ μᾶλλόν σοι. » Εἰ ἐμοὶ, πολλῷ μᾶλλόν σοι, καὶ ἐν ταῖς κοσμικαῖς ὑπηρεσίαις. Τοῦτο γὰρ τὸ, Ἐν σαρκί. Καὶ ἐν ταῖς πνευματικαῖς. Τοῦτο γὰρ τὸ, Ἐν Κυρίῳ. « Εἰ οὖν με ἔχεις κοινωνόν. » Τουτέστιν, εἰ τὰ αὐτά μοι φρονεῖς καὶ βούλει. « Προσλαβοῦ αὐτὸν ὡς ἐμέ. » Βαβαὶ, τοῦ μεγέθους τοῦ ῥήματος. « Εἰ δέ τι ἠδίκησέ σε. » Οὐκ εἶπεν, Ἔκλεψεν, ἀλλ' ὑποτέμνεται τὸ ῥῆμα. Ἠδίκησε, φησὶ, ἢ ὀφείλει. « Τοῦτο ἐμοὶ ἐλλόγει. » Εἰκὸς γὰρ ἦν αὐτοὺς καταναλῶσαι τὰ κλαπέντα, καί φησι, Τοῦτο ἐμοὶ ἐλλόγει, τουτέστιν, ἐμοὶ αὐτὰ λόγισαι εἰς χρέος, πρὸς ἐμὲ ἔχε τὴν ὀφειλήν. « Ἐγὼ Παῦλος ἔγραψα. » Μετὰ χάριτος πνευματικῆς ἔγραψεν, ὡς εἰ εἶπε. Πρὸς δὲ ἀσφάλειαν ὅτι ἀποδώσω τὸ χρέος, ἰδιόχειρα πεποίηκα τὰ γράμματα. « Ἵνα μὴ λέγω σοὶ ὅτι καὶ σεαυτόν μοι προσοφείλεις. » Ἵνα μὴ δόξῃ αὐτὸν ὑβρίζειν ὅτι οὐκ ἐθάρρησεν ὑπὲρ κλοπῆς οἰκέτου ἐν παῤῥησίᾳ αὐτὸν παρακαλέσαι (τοῦτο γὰρ ὠμόν τινα ἐδείκνυ τὸν Φιλήμονα), δείκνυσιν ὅτι καὶ σφόδρα αὐτῷ θαῤῥεῖ. Οὐ μόνον γὰρ, φησὶ, τὰ σαυτοῦ, ἀλλὰ καὶ σαυτόν μοι προσοφείλεις. « Ναὶ ἀδελφέ. » Ἦλθε πάλιν ἀπὸ τοῦ χαριέντος, εἰς τὸ σπουδαῖον. Ναὶ, φησὶν, ἀδελφέ. Τί; Προσλαβοῦ αὐτόν. Ἐγώ σου, φησὶν, ἀπολαύσαιμι ἐν τοῖς κατὰ Χριστὸν πράγμασιν. « Ἐγώ σου ὀναίμην. » Ἀντὶ τοῦ Ἀπολαύσαιμί σου τῶν ἐν Χριστῷ κατορθωμάτων. Ἴδοιμί σε πλουτοῦντα ἐν ἅπασι τοῖς πνευματικοῖς ἀγαθοῖς. « Ἀνάπαυσόν μου τὰ σπλάγχνα. » Ἀνάπαυσόν μου, φησὶ, τὴν περὶ σὲ ἀγάπην διὰ τὸν Χριστόν.

308 Quoniam Onesimus prava mente fugerat, ipse rem in dubium revocat, tanquam diceret : Forsitan dispensatione quadam fugit. « Propterea secessit. » Fausto nomine fugam appellavit secessionem, ne facta fugæ mentione Dominum irritaret. Deinde coarctato etiam tempore cohibet iram ; aut horam dicit annum. « Ut æternum eum recideres. » Nam ἀπέχῃς significat A fuga recideres. « Sed supra servum. » Vides quod ad multa utilis fuerit B fuga ? Pro hora enim fugæ habes ipsum perpetuum (unica namque hora est fugæ tempus si ad sæculum conferas) et pro servo inutili utilem fratrem recepisti. « Quanto autem magis tibi. » Si mihi, multo magis tibi et in mundanis ministeriis : nam hoc significat, In carne : et in spiritualibus : hoc enim designat, In Domino. « Si igitur me habes consortem. » Hoc est, si eadem mecum sentis et optas. « Suscipe illum tanquam me. » Papæ, quanta verbi dignitas. « Quod si quid nocuit tibi. » Non dixit : Furatus est, sed diminuit verbum. Nocuit, inquit, aut debet. « Hoc mihi imputa. » Verisimile enim erat ipsos una consumpsisse quæ furto sublata fuerant, et ait : Hoc mihi imputa, hoc est, C referas mihi in debitum, adversum me habeto debiti actionem. « Ego Paulus scripsi. » Cum gratia spirituali scripsit, ac si diceret : Ad securitatem quod redditurus sim debitum, propria manu has scripsi litteras tanquam syngraphum meam. « Ut ne dicam tibi quod teipsum quoque mihi insuper debeas. » Ne videatur indigne de illo sentire, quod non audeat libere ipsum precari de remissione furti ab ipsius servo commissi (nam hoc crudelem quodammodo demonstraret Philemonem), ostendit quod vehementer de ipso confidat. Non solum, inquit, quæ tua sunt, sed et teipsum mihi insuper debes. « Næ frater. » Rursum ab eo quod gratiosum est accedit ad id quod serium est. « Næ, inquit, frater. » Quid ? Suscipe ipsum. Capiam ex te commodum in D rebus quæ secundum Christum sunt. « Fruar ego te. » Hoc est, delecter tuis præclaris in Domino operibus. Videam ego te ditescentem omnibus bonis spiritualibus. « Refocilla mea viscera. » Refocilla, inquit, meam erga te dilectionem propter Christum : non mihi, ait, gratiam præstans, sed Christo.

Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις. Ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν. Ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν. Ἀσπάζονταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ, Μάρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν. Ἀμήν.

309 Vers. 21-25. *Confisus de tua obedientia scripsi tibi, sciens quod etiam ultra quam dico facturus sis. Simul autem etiam præpara mihi hospitium. Spero enim quod auxilio precum vestrarum donabor vobis. Salutant te Epaphras concaptivus meus in Christo Jesu ; Marcus, Aristarchus, Demas, Lucas adjutores mei. Gratia Domini nostri Jesu Christi sit cum spiritu vestro. Amen.*

« Πεποιθώς. » Οὐκ ἐμοὶ, φησὶ, τὴν χάριν δίδως,

« Confisus. » Non mihi, inquit, hoc gratum facis

sed Christo. « Confisus de tua obedientia. » Non imperans neque pertinaciter tecum agens scripsi tibi, sed fiduciam habens de tua obedientia. Quem non emollirent hæc, etiam si ferreus esset? « Sciens quod etiam ultra quam dico facturus sis. » Hoc dicit omnibus modis illum inducens, ut suscipiat Onesimum, et si non ob aliud, at saltem ne periret bona opinio quam de ipso conceperat Apostolus. « Simul autem etiam præpara mihi hospitium. » Non solum propter Onesimum scripsi (dixisset enim Philemon quod propter se ne verbo quidem dignaretur ipsum Paulus), verum etiam propterea, inquit, scripsi, ut præpares mihi hospitium. Futurum enim erat ut formidaret si Onesimum non susciperet quod venturus esset Apostolus, et, palam fieret, quod fuisset inobediens. « Auxilio precum vestrarum. « Magna quidem est orationum potentia, multa vero etiam Pauli modestia, qui preces illorum cupiebat, et ipsis indigere se ostendebat. « Epaphras concaptivus meus. » Hic a Colossensibus missus erat ad Paulum, ut manifestum sit quod et Philemon e Colossensibus fuerit. Vocat eum concaptivum, ostendens quod et ipse in multa sit afflictione. Præterea quoque ipsum pudore afficit, si Epaphras etiam una secum captus erat, ipse vero ne gratiam quidem in suscipiendo Onesimo præstaret illi qui propter Dominum captivus tenebatur. « Aristarchus, Demas. » De hoc ad Timotheum scripsit : Demas me dereliquit. Hunc Demam aiunt ad cultum gentilitium rediisse, factumque sacerdotem idolorum. Quod si illa Epistola prior fuerat, postmodum resipuit ; si vero fuit posterior, factus est postea segnis et ignavus. « Lucas. » Qui postremus erat, factus est primus. Nam in secunda ad Timotheum ait : Lucas mecum est solus. Adjutores autem eos vocat, ostendens quod et hi una secum precentur ipsum ut Onesimum suscipiat.

A ἀλλὰ τῷ Χριστῷ. « Πεποιθὼς τῇ ὑπακοῇ σου. » Οὐκ ἐπιτάττων, φησὶν, οὐδὲ αὐθαδιζόμενος ἔγραψά σοι, ἀλλὰ θαρρῶν τῇ ὑπακοῇ σου. Ποῖον ταῦτα σιδηροῦν οὐκ ἐμάλασσεν ; « Εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις. » Τοῦτο εἶπεν, ἐκεῖνον πᾶσι τρόποις ἐνάγων δέξασθαι τὸν Ὀνήσιμον, εἰ καὶ κατὰ μηδὲν ἄλλο, διὰ μέντοι τοῦ μὴ διαφθεῖραι τὴν ἑαυτοῦ δόξαν ἣν εἶχε παρὰ τῷ Ἀποστόλῳ. « Ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν. » Οὐ διὰ Ὀνήσιμον, φησὶν, ἔγραψα μόνον (εἶπεν γὰρ ἂν ὁ Φιλήμων, εἰ μὴ δι' ἑαυτὸν, οὔτε λόγου με ἠξίους), ἀλλὰ καὶ διὰ τοῦτο ἔγραψα, φησὶν, ἵνα ἑτοιμάσῃς μοι ξενίαν. Ἔμελλε δὲ καὶ φοβεῖσθαι αὐτὸς μὴ δεχόμενος τὸν Ὀνήσιμον, ὅτι ἦξει ὁ Ἀπόστολος καὶ γνωσθήσεται παρακουσθείς. « Ὅτι διὰ τῶν προσευχῶν ὑμῶν. » Πολλὴ μὲν ἡ τῶν εὐχῶν B δύναμις, πολλὴ δὲ καὶ ἡ ταπείνωσις τοῦ Παύλου, ὅτι τῶν ἐκείνων εὐχῶν ἔχρῃζεν. « Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου. » Οὗτος παρὰ Κολοσσαέων ἦν ἀποσταλεὶς πρὸς τὸν Παῦλον, ὡς εἶναι δῆλον, ὅτι ἀπὸ Κολοσσαέων ἦν ὁ Φιλήμων. Συναιχμάλωτον δὲ αὐτὸν καλεῖ, δεικνὺς καὶ αὐτὸν ἐν πολλῇ θλίψει. Ἄλλως δὲ καὶ ἐνερέπει αὐτὸν· εἴ γε ὁ Ἐπαφρᾶς καὶ συναιχμάλωτος ἦν, οὗτος δὲ μηδὲ τὴν περὶ Ὀνησίμου χάριν παράσχῃ αὐτῷ, ὁ διὰ Κύριον αἰχμάλωτος. « Ἀρίσταρχος, Δημᾶς. » Περὶ τούτου ἔγραψε Τιμοθέῳ, Δημᾶς με ἐγκατέλιπεν. Τοῦτον τὸν Δημᾶν φασιν εἰς Ἑλληνισμὸν πάλιν ἐκκλῖναι, καὶ γενέσθαι ἱερέα εἰδώλων. Καὶ εἰ μὲν πρώτη ἐκείνη, νῦν μετέγνω. Εἰ δὲ ὑστέρα, μετὰ ταῦτα ἐῤῥᾳθύμησεν. « Λουκᾶς. » C Ὁ τελευταῖος γέγονε πρῶτος. Ἐν γὰρ τῇ πρὸς Τιμόθεον δευτέρᾳ φησὶ, Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. Συνεργοὺς δὲ καλεῖ, δεικνὺς ὅτι καὶ οὗτοι, φησὶ, σὺν ἐμοὶ παρακαλοῦσί σε.

Finis, divino favente auxilio, Epistolæ ad Philemonem.

Τέλος, σὺν Θεῷ, τῆς πρὸς Φιλήμονα Ἐπιστολῆς.

Scripta est ab urbe Roma per Onesimum servum.

Ἐγράφη ἀπὸ Ῥώμης, διὰ Ὀνησίμου οἰκέτου.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

—

311 ARGUMENTUM

EPISTOLÆ AD HEBRÆOS.

—

Hanc ab Italia scribit. Occasio autem Epistolæ fuit hæc. Quoniam Judæi legi insistebant ac figuris umbraticis, propterea apostolus Paulus cum doctor gentium factus esset, et ad gentes missus prædicaret Evangelium, ubi universis gentibus

D Ταύτην ἐπιστέλλει ἀπὸ Ἰταλίας. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη. Ἐπειδὴ οἱ Ἰουδαῖοι ἐνίσταντο τῷ νόμῳ καὶ ταῖς σκιαῖς, διὰ τοῦτο ὁ ἀπόστολος Παῦλος διδάσκαλος ἐθνῶν γενόμενος, καὶ εἰς τὰ ἔθνη ἀποσταλεὶς, κηρύττει τὸ Εὐαγγέλιον Γράψας τε

πᾶσι τοῖς ἔθνεσι, γράφει λοιπὸν καὶ τὴν ἐκ περι- A
τομῆς πιστεύσασιν Ἑβραίοις ἀποδεικτικὴν ταύτην
ἐπιστολὴν, περὶ τῆς τοῦ Χριστοῦ παρουσίας καὶ τοῦ
πεπαῦσθαι τὴν σκιὰν τοῦ νόμου. Καὶ πρῶτον μὲν
ἀποδείκνυσι τοὺς προφήτας διὰ τοῦτο ἀπεσταλθαι,
ἵνα περὶ τοῦ Σωτῆρος ἀπαγγείλωσι, καὶ μετ' αὐτοὺς
αὐτὸς ἔλθῃ, δούλους τε εἶναι τοὺς προφήτας καὶ
μηνυτὰς τῆς αὐτοῦ παρουσίας, αὐτὸν δὲ τὸν Χριστὸν
Υἱὸν εἶναι Θεοῦ, δι' οὗ τὰ πάντα γέγονε· « καὶ ὅτι
τοῦτον τὸν Υἱὸν ἔδει ἄνθρωπον γενέσθαι, ἵνα διὰ τῆς
τοῦ σώματος αὐτοῦ θυσίας καταργήσῃ τὸν θάνατον.
Οὐ γὰρ δι' αἵματος μόσχου ἢ τράγου, ἀλλὰ δι' αἵ-
ματος Χριστοῦ, ἔσεσθαι τοῖς ἀνθρώποις τὴν σωτη-
ρίαν. Ἀποδείκνυσι δὲ ὅτι ὁ νόμος οὐδένα ἐτελείωσεν,
ἀλλὰ σκιὰν εἶχε τῶν μελλόντων ἀγαθῶν, καὶ οὐ
κατέπαυσεν ὁ λαὸς, ἀλλὰ κοινῇ πᾶσιν ἡμῖν ἀπολέ- B
λειπται ἡμέρα τῆς καταπαύσεως. Πάλιν δὲ ἀποδεί-
κνυσιν ὅτι ἡ ἀρχιερατικὴ λειτουργία μετετέθη ἀπὸ
Ἀαρὼν εἰς τὸν Χριστὸν, οὗ τύπος ἦν ὁ Μελχισεδέκ,
οὐκ ὢν ἐκ τοῦ Λευί. Πίστει δὲ δεδικαιῶσθαι τοὺς
πατέρας σημαίνει, καὶ οὐκ ἐξ ἔργων νόμου. Εἶτα
πάλιν εἰς τὰ ἤθη προτρεψάμενος καὶ τούτους, καὶ
ἀποδεξάμενος αὐτῶν τὴν διὰ Χριστὸν ὑπομονὴν, καὶ
πείσας τιμᾷν τοὺς πρεσβυτέρους, τελειοῖ τὴν Ἐπι-
στολήν.

scripsisset, Hebræis quoque qui ex circumcisione A
crediderant postea scribit hanc qua eos doceat
Epistolam, qua Christum declarat venisse, et um-
bram legis cessasse. Et primum quidem demonstrat
propterea missos fuisse prophetas et annuntiatores
adventus ipsius, ipsum vero Christum esse Dei
Filium, per quem omnia facta sunt. Quodque hunc
Filium oportuit fieri hominem, ut per hostiam
corporis sui deleret mortem. Neque enim per
sanguinem vituli aut hirci, sed per Christi san-
guinem futura erat omnibus salus. Ostendit au-
tem quod lex neminem perfecerit, sed umbram
habebat futurorum bonorum. **312** Nec requievit
populus Judaicus, sed communiter omnibus nobis
relictus est dies quietis. Præterea demonstrat B
etiam quod sacerdotale ministerium ab Aaron
translatum sit in Christum : cujus figura erat
Melchisedech, qui non descenderat ex Levi. Fidè
quoque justificatos fuisse patres significat, et non
ex operibus legis. Deindè ubi hos etiam ad bonos
mores exhortatus est, et commendavit tolerantiam
ipsorum propter Christum, suasitque ut senioribus
deferrent honorem, concludit Epistolam.

ΥΠΟΘΕΣΙΣ ΕΤΕΡΑ.

Πρὸς Ἑβραίους Ἐπιστολὴ, δοκεῖ μὲν οὐκ εἶναι
Παύλου, διά τε τὸν χαρακτῆρα, καὶ τὸ μὴ προγρά-
φειν ὡς ἐν ἁπάσαις ταῖς ἄλλαις Ἐπιστολαῖς, καὶ τὸ
λέγειν, « Πῶς ἡμεῖς ἐκφευξώμεθα τηλικαύτης ἀμε- C
λήσαντες σωτηρίας, ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι
ὑπὸ τοῦ Κυρίου διὰ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβε-
βαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις καὶ
τέρασι. » Τοῦ μὲν οὖν ἠλλάχθαι τὸν χαρακτῆρα τῆς
Ἐπιστολῆς, φανερὰ ἡ αἰτία. Πρὸς γὰρ Ἑβραίους τῇ
σφῶν διαλέκτῳ γραφεῖσα, ὕστερον μεθερμηνεύθηναι
λέγεται, ὡς μέν τινες ὑπὸ Λουκᾶ, ὡς δὲ οἱ πολλοὶ
ὑπὸ Κλήμεντος. Τοῦτο γὰρ καὶ σώζει τὸν χαρα-
κτῆρα. Τοῦ δὲ μὴ προγράφειν τὴν Ἐπιστολὴν τοὔνομα,
εἰτιον ἡ ἀκολουθία. Ἀπόστολος γὰρ ἐθνῶν ὑπῆρχεν
ὁ Παῦλος, ἀλλ' οὐχὶ Ἰουδαίων, ἐπεὶ δεξιὰς ἔδωκε
τῷ Πέτρῳ καὶ τοῖς ἀποστόλοις κοινωνίας, ἵνα αὐτὸς
μὲν σὺν Βαρνάβᾳ εἰς τὰ ἔθνη, οἱ δὲ περὶ τὸν Πέτρον,
εἰς τὴν περιτομήν. Ἐπειδὴ δὲ κοινωνία τὸ κήρυγμα,
καὶ κατηχηθέντες ὑπῆρχον οἱ ἐξ Ἰουδαίων ὡς ἀπο- D
στασίαν διδάσκει Παῦλος, εἰκότως τοῦ γνωρίσαι
χάριν τὴν συμφωνίαν, Ἑβραίοις ἐπιστέλλει. Γράφων δὲ πρὸς τούτους, προγράφειν Ἀπόστολον οὐ
θέμις. Μαρτυρεῖται δὲ καὶ ἐν τοῖς ἑξῆς ἡ Ἐπιστολὴ
ὑπάρχουσα Παύλου τῷ γράφειν, ὅτι καὶ τοῖς δεσμοῖς
μου συνεπαθήσατε. « Καὶ ἐκ τοῦ λέγειν, Περισσότερον
εὔχεσθε ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν » καὶ ἐκ τοῦ
λέγειν· « Γινώσκετε τὸν ἀδελφὸν ἡμῶν Τιμόθεον ἀπο-
λελυμένον, μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς. »
Οὐδεὶς γὰρ ἂν οἶμαι ἀπέλυσεν εἰς διακονίαν Τιμό-
θεον, εἰ μὴ Παῦλος. Καὶ τοῦτον τάχιον προσδοκῶν,
τὴν ἰδίαν αὐτοῖς, ὡς ἔθος πολλαχοῦ σὺν αὐτῷ παρ-

ALIUD ARGUMENTUM.

Epistola ad Hebræos videtur quidem non esse
Pauli, tum propter scribendi dictionem, tum quod
suum non præfixerit nomen, quemadmodum in
cæteris omnibus Epistolis : tum quod dicat : « Quo-
modo effugiemus qui tantam negleximus salutem,
quæ sumpto loquendi initio a Domino, ab his qui
audierant in nos confirmata fuit, attestante Deo
signis et prodigiis [1] ? » Et quidem manifesta est
causa cur stylus fuerit immutatus. Nam ad He-
bræos scripta, patria ipsorum lingua, postmodùm
versa dicitur, ut quidem sentiunt a Luca, ut ple-
risque autem videtur a Clemente : hujus enim
characterem etiam servat. Quod autem suum no-
men non præfixerit Epistolæ in causa est ordo rei.
Siquidem Paulus gentium apostolus erat, et non
Judæorum. Nam societatis dextras dederat Petro
cæterisque apostolis, ut ipse cum Barnaba inter
gentes, Petrus vero cum reliquis circumcisione
fungerentur apostolatum. Quoniam autem societas
erat in prædicatione, et Judæi audierant Paulum
discessionem docere aliquo modo a lege, merito ad
Hebræos scribit Epistolam, ut ostendat consen-
sum prædicationis : cum autem ad eos scriberet,
consultum non erat ut se in initio diceret Aposto-
lum. Testatur autem in sequentibus ipsa quoque
Epistola **313** quod Pauli sit, ex eo quod dicit : Etiam
afflictionum, quæ ex vinculis meis contigerunt,
participes fuistis. Et cum dicit : « Magis precemini
quo celerius restituar vobis ; » præterea cum ait :
« Scitis fratrem nostrum Timotheum dimissum, cum
quo, si celerius venerit, videbo vos. » Nemo enim præ-

[1] Hebr. II, 3.

ter Paulum, ut opinor, dimiserat Timotheum in ministerium : atque hunc celerius exspectans, suum ac illius pollicetur eis adventum, quemadmodum frequenter facere solet. Multa quoque alia ostendunt nobis esse ipsius Epistolam, quemadmodum et lectio ipsa in progressu docet.

A

THEODORETI.

Quam ob causam Paulus, cum gentium esset Apostolus, ad Hebræos scribit ? idque cum odiose affecti essent erga ipsum quod legem dissolveret? Petrus enim ac cæteri qui cum ipso erant, demittentes sese ad imbecillem captum Judæorum, aliquantulum sequebantur etiam legem. Dicimus, quod sicut non erat ipsi commissum baptizare, ex abundanti tamen ministerio etiam baptizabat : ita Hebræis quoque scribit, cum ad gentes missus esset. Siquidem anxiam illorum curam habebat, adeo ut etiam diceret : Optarim anathema esse a Christo pro ipsis ; et rursum : « Proficiscor Hierosolyma ministraturus sanctis [1]. » Scribit itaque illis qui jam crediderant Hierosolymis et in Palæstina : scribit autem consolando eos quod plurimas afflictiones passi essent a propriis contribulibus qui non crediderant, quemadmodum et ipse significat, dicens. « Manus remissas ac genua soluta subrigite [2]. » Duo autem potissimum efficit in Epistola : consolatur eos quod viriliter tulerint afflictiones, et quod bona dabitur ob hæc retributio. Multa autem de fide disputat, ostendens Judaica jam non esse necessaria, ut quæ figura erant veritatis : nostra vero necessaria esse, ut quæ veritatem in se contineant. Quare autem proprium non addiderit nomen cum ad Hebræos scriberet. Clemens *In informationibus* scribit in hunc modum : Jam vero ut beatus presbyter dicit : Cum **314** Dominus tanquam Dei omnipotentis apostolus ad Hebræos missus esset, ex modestia actum est ut Paulus qui ad gentes missus erat, non scriberet se Hebræorum apostolum, ob honorem delatum erga Dominum. Præterea ex abundanti charitate factum est, ut gentium concionator et apostolus etiam scriberet ad Hebræos.

B

C

ΘΕΟΔΩΡΗΤΟΥ.

Τίνος ἕνεκεν [τῶν ἐθνῶν] ἀπόστολος ὑπάρχων ὁ Παῦλος, Ἑβραίοις ἐπιστέλλει; Καὶ ταῦτα ἀπεχθῶς ἔχουσι πρὸς αὐτὸν τῷ τὸν νόμον παραλύειν; Οἱ γὰρ ἀμφὶ Πέτρον συγκαταβαίνοντες αὐτοῖς, ἠρέμα εἶχοντο καὶ τοῦ νόμου. Φαμέν · ὥσπερ βαπτίζειν οὐκ ἐπιτεταγμένος, ἐκ περιουσίας ἐβάπτιζεν, οὕτως καὶ Ἑβραίοις ἐπιστέλλει, πρὸς τὰ ἔθνη ἀποσταλείς. Ἐκήδετο γὰρ αὐτῶν, ὡς καὶ λέγειν, Ἠθελον ἀνάθεμα εἶναι ὑπὲρ αὐτῶν · καὶ πάλιν, « Πορεύομαι εἰς Ἱεροσόλυμα διακονήσων τοῖς ἁγίοις. » Ἐπιστέλλει μὲν οὖν τοῖς ἤδη πεπιστευκόσιν ἐν τῇ Ἱερουσαλὴμ καὶ Παλαιστίνῃ. Ἐπιστέλλει δὲ, παραμυθούμενος αὐτοὺς πλεῖστα κακὰ πεπονθότας ὑπὸ τῶν ἰδίων συμφυλετῶν τῶν μὴ πεπιστευκότων, ὡς καὶ αὐτὸς δηλοῖ, λέγων. « Παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε. » Δύο δὲ μάλιστα κατασκευάζει ἐν τῇ Ἐπιστολῇ, παραμυθεῖται αὐτοὺς τοῦ φέρειν γενναίως τοὺς πειρασμοὺς, καὶ ὅτι ἔσται τούτων ἀντίδοσις ἀγαθή. Πολλὰ δὲ περὶ τῆς πίστεως φιλοσοφεῖ, δεικνὺς τὰ μὲν Ἰουδαϊκὰ μηκέτι ἀναγκαῖα ὡς τύπον ὄντα τῆς ἀληθείας, τὰ δὲ ἡμέτερα ἀναγκαῖα, ὡς ὄντα ἀλήθειαν. Τίνι δὲ τρόπῳ οὐκ ἔθηκε τὴν ἰδίαν ὀνομασίαν Ἑβραίοις γράφων, Κλήμης ἐν ταῖς Ὑποτυπώσεσι γράφει λέγων οὕτως · Ἤδη δὲ ὡς ὁ μακάριος ἔλεγε πρεσβύτερος, ἐπεὶ ὁ Κύριος ὡς Ἀπόστολος τοῦ Παντοκράτορος ἀπεστάλη πρὸς Ἑβραίους, διὰ μετριότητα ὁ Παῦλος ὡς ἂν εἰς τὰ ἔθνη ἀπεσταλμένος, οὐκ ἐγγράφει ἑαυτὸν Ἑβραίων ἀπόστολον, διὰ τὴν πρὸς τὸν Κύριον τιμήν, διά τε τὸ ἐκ περιουσίας, ἐθνῶν κήρυκα καὶ ἀπόστολον εἶναι, ἐπιστέλλει καὶ τοῖς Ἑβραίοις.

D

315 *EPISTOLÆ AD HEBRÆOS CAPITA.*

1. *Divina de Christo doctrina, cui data est gloria Patris ac potestas omnium, cum purgatione omnium quæ sunt in terra, a qua ascendit ad supercœlestem gloriam.*
2. *Quod non sit ministerialis gloria Christi, sed divina et efficax : ideo non in præsenti sæculo habitet, in quo sunt ministri, sed in futuro.*
3. *Quod carnem assumpserit juxta dispositionem et condolentiam ac familiaritatem quam erga nos habuit, ut hominem a morte per familiaritatem ad ipsum liberaret.*
4. *Quod Christo credendum sit quemadmodum Mosi crediderant, tantoque id melius quanto dignior est Deus homine.*

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

α'. *Θεολογία Χριστοῦ ἐν δόξῃ Πατρὸς, καὶ ἐξουσίᾳ τῶν πάντων, μετὰ τῆς καθάρσεως τῶν ἐπὶ γῆς. Ἀφ' ἧς ἀνέβη εἰς τὴν ἐπουράνιον δόξαν.*

β'. *Ὅτι οὐ λειτουργικὴ ἡ δόξα Χριστοῦ, ἀλλὰ θεϊκὴ καὶ ποιητική. Διὸ οὐκ ἐπὶ τοῦ παρόντος αἰῶνος, ἐν ᾧ οἱ λειτουργοὶ, ἀλλ' ἐπὶ τῆς μελλούσης οἰκουμένης.*

γ'. *Ὅτι ἐσαρκώθη κατὰ διάθεσιν καὶ συμπάθειαν καὶ οἰκειότητα τὴν πρὸς ἡμᾶς ἐπὶ σωτηρίᾳ ἀνθρώπων τῇ ἐκ θανάτου, διὰ τῆς πρὸς αὐτὸν οἰκειώσεως.*

δ'. *Ὅτι πιστευτέον Χριστῷ ὡς Μωσεῖ ἐπίστευσαν, καθ' ὑπεροχὴν δὲ τὴν τοῦ Θεοῦ πρὸς ἄνθρωπον.*

[1] Rom. xv, 25. [2] Hebr. xii, 12.

ε'. Προτροπὴ σπουδάσαι εἰς τὴν προδηλουμένην κατάπαυσιν. A 5. *Exhortatio ut conemur ingredi requiem quæ prænuntiata est.*

ς'. Τὸ φοβερὸν τῆς κρίσεως παρὰ τῷ λόγῳ τῷ διὰ πάντων, καὶ τὸ χρηστὸν τῆς χάριτος τῆς ἱερατικῆς παρὰ τῷ ὁμοιοπαθήσαντι ἡμῖν ἀνθρωπίνως. 6. *Terror judicii juxta sermonem, qui per omnes disseminatus est, et utilitas gratiæ sacerdotalis, apud eum qui humano more affectus est una nobiscum naturali condolentia.*

ζ'. Ἐπιτίμησις τοῖς δεομένοις εἰσαγωγῆς. 7. *Objurgatio adversus illos quibus opus est prima elementorum institutione.*

η'. Ὅτι βεβαία ἡ ἐπαγγελία τοῦ Θεοῦ, καὶ ταῦτα σὺν ὅρκῳ. 8. *Quod firma sit Dei promissio, idque cum juramento.*

θ'. Περὶ τοῦ Μελχισεδὲκ τοῦ εἰς Χριστὸν τύπου κατὰ τὸ ὄνομα, καὶ τὴν πόλιν, καὶ τὴν ζωὴν, καὶ τὴν ἱερωσύνην. 9. *De Melchisedech, qui Christi figura fuit, et a nomine, et a civitate, et a vita, et a sacerdotio.*

ι'. Ὅτι παύσεται ἡ τοῦ Ἀαρὼν ἱερωσύνη ἐπὶ γῆς οὖσα, ἱσταται δὲ ἡ οὐράνιος ἡ Χριστοῦ ἐξ ἑτέρου γένους, οὐ κατὰ σάρκα, οὐδὲ διὰ νόμου σαρκίνου. 10. *Quod cessare debeat terrenum Aaron sacerdotium, firmum sit autem cœleste Christi sacerdotium, alterius generis, non juxta carnem, neque per legem carnalem.* B

ια'. Ὑπεροχὴ τῆς δευτέρας διαθήκης ὑπὲρ τὴν προτέραν, ἐν ἱλασμῷ καὶ ἁγιασμῷ. 11. *Excellentia novi testamenti supra* **316** *vetus propter propitiationem et sanctimoniam.*

ιβ'. Περὶ τοῦ αἵματος τοῦ Χριστοῦ, ἐν ᾧ ἦν ἡ νέα διαθήκη, ὅτι τοῦτο ἀληθὲς καθάρσιον εἰσάγει, οὐ τὰ ἐν αἵμασι ζώων πολλάκις προσφερόμενα. 12. *De sanguine Christi, in quo condebatur novum testamentum, qui veram inducit purificationem, non frequentia sacrificia quæ fiebant per sanguinem animalium.*

ιγ'. Μαρτυρία περὶ τῆς μόνης καθάρσεως καὶ προσαγωγῆς πρὸς Θεόν. 13. *Testimonium de sola purificatione et accessu ad Deum.*

ιδ'. Προτροπὴ σπουδῆς κατὰ φόβον τῆς μελλούσης κρίσεως. 14. *Exhortatio ad virtutem ex timore futuri judicii.*

ιε'. Περὶ τοῦ καλὴν ἀρχὴν εἰς καλὸν τέλος προαγαγεῖν. 15. *Quod bonum initium ad bonum finem deducit.*

ις'. Περὶ πίστεως τῆς καὶ τοὺς παλαιοὺς δοξασάσης. C 16. *De fide quæ veteres quoque glorificavit.*

ιζ'. Περὶ ὑπομονῆς ἐν ἀκολουθήσει Χριστοῦ. 17. *De patientia ex imitatione Christi.*

ιη'. Περὶ σωφροσύνης, ἕως καιρὸς κατορθώσεως, μὴ ἀποτύχωμεν αὐτῆς ὡς Ἡσαῦ, μὴ εὑρὼν τόπον μετανοίας. 18. *De temperantia, dum occasio datur correctionis: ne careamus ea in modum Esau, qui postmodum non invenit pœnitentiæ locum.*

ιθ'. Ὅτι φοβερώτερα τῶν ἐπὶ Μωυσέως τὰ μέλλοντα, καὶ πλείονος ἄξια σπουδῆς τὰ νῦν. 19. *Quod formidabiliores sint futuræ pœnæ illis quæ sub Mose infligebantur, et quod dignum sit ut circa præsentia majus adhibeatur studium.*

κ'. Περὶ φιλαδελφίας καὶ φιλοξενίας. 20. *De fraterno amore ac hospitalitate.*

κα'. Περὶ τοῦ μὴ σωματικῶς ζῆν κατὰ νόμον, ἀλλὰ πνευματικῶς κατὰ Χριστὸν ἐν ἀρετῇ. 21. *De non vivendo carnaliter juxta legem, sed spiritualiter secundum Christum in virtute.*

κβ'. Εὐχὴ πρὸς τὸν Θεὸν περὶ τῆς εἰς ἀρετὴν ἀγωγῆς καὶ οἰκονομίας. 22. *Precatio ad Deum, ut ad virtutem instituantur et debite gubernentur.*

ΠΑΥΛΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

PAULI APOSTOLI
AD HEBRÆOS EPISTOLA.

317 CAPUT PRIMUM.

Divina de Christo doctrina, cui data est gloria Patris ac potestas omnium, cum purgatione omnium, quæ sunt in terra, a qua ascendit ad supercœlestem gloriam.

1, 1-3. *Multifariam multisque modis Deus olim locutus patribus per prophetas, extremis hisce diebus locutus est nobis per Filium, quem constituit hæredem omnium, per quem condidit et sæcula : qui cum esset splendor gloriæ, et expressa imago substantiæ illius, moderareturque omnia verbo potentiæ suæ.*

318 Diversis variisque modis Deus olim per prophetas locutus est, nobis autem per Filium. Magnum itaque discrimen est inter nos et patres nostros. Ideo enim quod malis afficerentur patres nostri, non existimabant se admodum Deo curæ esse : ostendit igitur ex eo quod magis curæ essent. « Extremis hisce diebus. » Rebus adversis defatigatos consolatur dicens : Extremis. In proximo, inquit, est finis et requies a laboribus, initium vero retributionum. « Locutus est nobis per Filium. » Non dixit ; Locutus est nobis in Christo sive per Christum : adhuc enim tenuiter affecti erant erga Christum, sed, in Filio, sive per Filium. « Quem constituit hæredem. » Quem totius mundi fecit hæredem. Est autem Fecit aptum post humanitatis assumptionem vocabulum.—Quem constituit hæredem. Quorum? Omnium. Cunctorum qui ad immortalem divinamque naturam accedunt. Siquidem Filius hæres est ac particeps Paternæ substantiæ et facultatis ac potestatis. Deinde ubi dixisset Filium esse hæredem Paternarum possessionum, enarrat etiam quo modo. Per ipsum, inquit, condita sunt sæcula : hoc est, sæcula sunt ipsius ac Patris communia opera. Quod si sæcula commune sunt opus Patris ac Filii, ea etiam Patri ac Filio utique sunt communia quæ sunt in sæculis. Quod si ea quæ sunt in sæculis, multo magis ea quæ post sæcula sunt, nempe mundus et quæ in eo sunt. Deinde ne audiens hæredem, existimes non natura appellari hæredem, sed quadam gratia et adoptione, subjungit : «Qui cum esset splendor gloriæ,» dicens propemodum : Quanquam dixerim quod eum constituerit Pater hæredem,

ΚΕΦΑΛ. Α'.

Θεολογία Χριστοῦ ἐν δόξῃ Πατρὸς, καὶ ἐξουσίᾳ τῶν πάντων, μετὰ τῆς καθάρσεως τῶν ἐπὶ γῆς, ἀφ' ἧς ἀνέβη εἰς τὴν ἐπουράνιον δόξαν.

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε. Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ.

Διαφόρως καὶ ποικίλως ἐλάλησε διὰ τῶν προφητῶν ὁ Θεὸς τοῖς πάλαι, ἡμῖν δὲ διὰ τοῦ Υἱοῦ. Πολλὴν οὖν ἔσχομεν διαφορὰν πρὸς τοὺς ἡμετέρους Πατέρας. Διὰ γὰρ τὸ, πεπονθέναι κακὰ, οὐχ οὕτως ἐνόμιζον πεφροντίσθαι παρὰ Θεοῦ ὡς οἱ Πατέρες αὐτῶν. Δείκνυσιν οὖν πλέον πεφροντισμένους. « Ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων. » Ἀπειρηκότας πρὸς τὰ δεινὰ, παραμυθεῖται τῷ εἰπεῖν, Ἐπ' ἐσχάτων. Ἐγγὺς γὰρ, φησὶ, τὸ τέλος· καὶ τῶν μὲν πόνων ἀνάπαυσις, τῶν δὲ ἀμοιβῶν ἀρχή. « Ἐλάλησεν ἡμῖν ἐν Υἱῷ. » Οὐκ εἶπεν· Ἐλάλησεν ἡμῖν ἐν Χριστῷ, τουτέστι, διὰ τοῦ Χριστοῦ, (ἔτι γὰρ ἀσθενέστερον περὶ τὸν Χριστὸν διέκειντο,) ἀλλ', Ἐν Υἱῷ, τουτέστι, διὰ τοῦ Υἱοῦ. « Ὃν ἔθηκε κληρονόμον. » Ὃν, φησὶ, παντὸς τοῦ κόσμου κληρονόμον ἐποίησε. Τὸ δὲ, Ἐποίησεν, ἁρμόδιον μετὰ τὴν ἐνανθρώπησιν [ΦΩΤ.] — Ὃν ἔθηκε κληρονόμον. Τίνων ; Πάντων· πάντων τῶν προσόντων τῇ ἀκηράτῳ καὶ θείᾳ φύσει. Κληρονόμος γὰρ καὶ μέτοχος τῆς Πατρικῆς οὐσίας καὶ ἐξουσίας καὶ δυνάμεως ὁ Υἱός. Εἶτα εἰπὼν ὅτι κληρονόμος ἐστὶ τῶν Πατρῴων πλεονεκτημάτων ὁ Υἱὸς, ἐπεξηγεῖται καὶ πῶς. Δι' αὐτοῦ, φησὶν, οἱ αἰῶνες ἐποιήθησαν, τουτέστι, κοινά εἰσιν ἔργα οἱ αἰῶνες, αὐτοῦ καὶ τοῦ Πατρός. Εἰ δὲ οἱ αἰῶνες κοινὸν ἔργον Πατρὸς καὶ Υἱοῦ, καὶ τὰ ἐν τοῖς αἰῶσι πάντως κοινὰ Πατρὸς καὶ Υἱοῦ. Εἰ δὲ τὰ ἐν τοῖς αἰῶσι, πολλῷ μᾶλλον τὰ μετὰ τοὺς αἰῶνας, οἷον ὁ κόσμος, καὶ τὰ ἐν αὐτῷ. Εἶτα ἵνα μὴ κληρονόμον ἀκούσας, νομίσῃς οὐ κατὰ φύσιν χρηματίσαι κληρονόμον, ἀλλὰ χάριτι τινὶ καὶ εἰσποιήσει, ἐπάγει « · Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, » μονονουχὶ λέγων, ὡς Εἰ καὶ κληρονόμον αὐτὸν εἶπον ὅτι ἔθηκεν ὁ Πατὴρ, μηδὲν ταπει-

ἀνῃ ἀνάξιον Θεοῦ ἐννοήσῃς. Τὸ γὰρ, Ἔθηκεν, οὐχὶ τῆς εἰσποιήσεως καὶ τοῦ θετὸν εἶναι τὸν κληρονόμον, εἴρηταί μοι δηλωτικὸν, ἀλλὰ τῆς τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ὡς αἴτιον κατὰ φύσιν ἀναφορᾶς καὶ συννεύσεως· καὶ ἵνα μὴ ἀναίτιον τὸν Υἱὸν ἀπολαβὼν, τῆς Πατρικῆς συγγενείας ἀλλοτριώσῃς, καὶ δύο ἀρχὰς ἀπεχισμένας ἀλλήλων ὑπονοήσῃς. Διὰ τοῦτο γάρ μοι καὶ αὐτὸ τὸ *κληρονόμος* εἴρηται, ἵνα τὸν αἴτιον, ὅθεν κάτεισιν ἡ κληρονομία, αὐτίκα ἐννοῇς, καὶ μὴ ἀγέννητον ὥσπερ τὸν Πατέρα ὑπονοῇς. Διὰ τοῦτο γὰρ εἴρηταί μοι καὶ τὸ, Κληρονόμον, καὶ τὸ, Ἔθηκε. Διὸ ἐπήγαγον αὐτίκα, Ὃς ὢν ἀπαύγασμα. Εἰ δὲ οὐκ ἐτέθη ἀπαύγασμα εἶναι, ἀλλ' ἦν ἀπαύγασμα, (Ὃς ὢν γὰρ ἀπαύγασμα, ἔφην). Οὐδὲ κληρονόμος δηλονότι ἐτέθη, ἀλλ' ἢ καθ' ὃν εἴρηταί μοι τρόπον. Ὅρα δὲ πῶς ἐμφαντικῶς καὶ ἀκριβῶς εἶπεν, *ἀπαύγασμα* εἰπὼν, καὶ ὤν, καὶ *τῆς δόξης*. Διὰ μὲν γὰρ τοῦ ἀπαύγασμα, τὴν κατὰ φύσιν ἐκ τοῦ Πατρὸς πρόοδον τοῦ Υἱοῦ δηλοῖ. Οὐδὲν γὰρ ὅλως οὐδαμοῦ κατὰ χάριν καὶ εἰσποίησιν πρόεισιν *ἀπαύγασμά* τινος, οὐκ ἀπὸ τοῦ ἡλίου, οὐκ ἀπὸ τοῦ πυρὸς, οὐκ ἀφ' ἑτέρου τινὸς, ἀφ' οὗ πέφυκεν ἀπαύγασμα προϊέναι. Διὰ δὲ τοῦ, ὤν, ὅτι οὐ πρόσφατον ἔχει τὸ εἶναι ἀπαύγασμα, ἀλλ' ἐξ ἀϊδίου, καὶ ἀεὶ ὤν. Εἶτα δὲ καὶ τὸ θεῖκὸν ἀξίωμα διὰ τοῦ, ὤν, παρίστᾳ. Οὕτως γὰρ καὶ ὁ Πατὴρ, « Ἐγώ εἰμι ὁ ὤν, » φησὶ χρηματίζων τῷ Μωϋσεῖ. Ἱκανὰ μὲν οὖν καὶ τὸ ἀπαύγασμα, καὶ τὸ ὤν, τήν τε κατὰ φύσιν πρόοδον παραστῆσαι τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς, καὶ τὸ ὁμοούσιον, καὶ συναΐδιον. Τὸ δὲ, καὶ δόξης, προστίθησιν, ἵνα εἴπῃς, τοῦ τιμιωτάτου καὶ κατ' οὐσίαν προσόντος, καὶ οὗ μεῖζον οὐκ ἔστιν ἐν Πατρὶ, ἐκείνου ὁ Υἱός ἐστιν ἀπαύγασμα. Ὁρᾷς πῶς καὶ τίνων ἐστὶ κληρονόμος ὁ Υἱός; Εἶτα ἔτι σαφηνίζων τὸ ῥηθὲν, ἐπάγει· « Καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. » Οἷον, ὅλην ἐν ἑαυτῷ ἀποτάξας τὴν οὐσίαν καὶ τὴν ὕπαρξιν. Θεός ἐστιν, ἐξουσιαστής ἐστι, παντοδύναμος, Δημιουργὸς, καὶ εἴ τι ἄλλο τὴν Πατρικὴν ὕπαρξιν χαρακτηρίζει. Πλὴν τοῦ εἶναι Πατὴρ, πάντα ἐστὶν ὁ Υἱός. Διὸ καὶ πάντα τῷ ῥήματι τῆς δυνάμεως περιάγει καὶ συνέχει καὶ πηδαλιουχεῖ. Εἶδες κληρονόμον ἀληθῶς, πῶς ἅπαντα κέκτηται τὰ τοῦ Πατρός; Εἶτα εἰπὼν τὰ θεῖα περὶ τοῦ Υἱοῦ καὶ ὑπερφυῆ, μέτεισι καὶ ἐπὶ τὰ λοιπὰ, ἃ ὑπερθαύμαστα μέν εἰσιν οὐδὲν ἧττον καὶ ὑπερφυῆ, ταπεινὰ δὲ ὅμως ἀκοῦσαι δόξαι καὶ εὐτελῆ, θάνατος καὶ σφαγή. Ἀλλὰ. . . . . .

. . . . . « Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε. » Ποῦ εἰσιν οἱ λέγοντες, Ἦν ὅτε οὐκ ἦν ὁ Υἱός; Οὐ γὰρ ὑπὸ χρόνον ὁ Ποιητὴς τῶν αἰώνων. Ἐπειδὴ δὲ αἴτιος ὁ Πατὴρ τοῦ Υἱοῦ, εἰκότως καὶ τῶν ὑπ' αὐτοῦ γεγονότων. Διὰ τοῦτό φησι, Δι' οὗ Ὁ Πατὴρ γὰρ δοκεῖ ποιεῖν, ὃς τὸν ποιήσαντα Υἱὸν ἐγέννησεν. « Ὃς ὢν ἀπαύγασμα. » Ἀπαύγασμα καλεῖται, δεῖνός τὴν ἐκ Πατρὸς οἱονεί πως εἰς τὸ ἔξω διεκδρομὴν, οὔτε εἰσάπαξ ἀπηλλαγμένην τῆς ὅθεν ἐστὶν ὑποστάσεως, οὔτε εἰς ἅπαν συνεσταλμένην, προεκκύπτουσαν δὲ ὥσπερ εἰς τὸ ὑφεστάναι καθ' ἑαυτὴν, καὶ εἰς

A nihil humile aut Deo indignum intelligas. Neque enim a me dictum est : Constituit, ut significaret adoptionem, aut quod factus esset hæres, sed relationem ac reductionem Filii ad Patrem tanquam ad eirum principium : et ne Filium sine principio existimans, a Paterna cognatione alienes : neve duo principia a se mutuo divisa esse suspiceris. Etenim propter hoc ipsum quoque dictus est a me hæres, ut principium statim intelligas a quo descendit hæreditas, nec ingenitum suspiceris sicut et Patrem : **319** propterea enim a me dictum est, Hæredem, et, Constituit. Ideo protinus subjunxi : Qui cum esset splendor. Quod si non est constitutus ut esset aut fieret splendor (sit enim : cum esset splendor), neque sane constitutus est hæres, sed B modo quo supra dixi. Vide autem quam significanter et exacte locutus sit, cum sit *Splendor*, et cum *esset* et *gloriæ*. Per splendorem namque manifestat naturalem Filii ex Patre progressum. Siquidem nunquam omnino cujusquam splendor, per gratiam aut adoptionem procedit, nec a sole, nec ab igne, nec a quovis alio unde solet splendor procedere. Per hoc autem quod ait : cum esset, ostendit non hoc illi recens esse ut splendor sit, sed ab æterno semperque fuisse. Deinde autem et divinam demonstrat dignitatem, dicens ὤν, id est, cum esset. Ita enim et Pater cum ad Mosen loqueretur : « Ego sum, inquit, qui sum [1]. » Idonea sunt itaque testimonia ad demonstrandum et naturalem Filii ex C Patre progressum et consubstantialitatem ac coæternitatem, tum quod ait : Splendor, tum quod dicit : Cum esset. Jam vero addit etiam Gloriæ, ut dicas : Illius splendor est Filius, quod honoratissimum est, et ex natura accedit, et quo majus nihil est in Patre. Vides quomodo et quorum hæres Filius? Deinde apertius explanans quod dictum est, subjungit : « Et expressa imago substantiæ illius. » Hoc est, totam in seipso complexus essentiam ac substantiam, Deus est, infinitæ auctoritatis, omnipotens, Creator, et si quid aliud est quod Paternam exprimit substantiam, præterquam esse Patrem, ea omnia est Filius : ideo quoque omnia verbo potentiæ versat et continet ac gubernat. Viden' quomodo vere hæres sit et omnia possideat quæ Patris D sunt? Postmodum ubi divina ac supernaturalia dixit de Filio, transit etiam ad reliqua : quæ maxime admiranda sunt nec minus supernaturalia, attamen auditu videntur humilia ac vilia, puta mors et occisio! Sed . . . . . .

. . . . . « Per quem condidit et sæcula. » Ubi sunt qui dicunt quod aliquando non erat Filius? Siquidem non est sub tempore Conditor sæculorum. Quoniam autem Pater principium est Filii, merito eorum etiam causa est quæ a Filio facta sunt. Propterea dicit : Per quem. Pater namque facere videtur, cum Filium genuerit qui ea fecit. **320** « Qui cum esset splendor. » Splendor

[1] Exod. III, 14.

appellatur ad ostendendum egressum ex Patre veluti quodammodo ad exteriora, neque ullo modo separatum a persona unde est, neque omnino diminutum, sed demittentem sese ut subesset et in sua substantia immoraretur. Ita habet divus Cyrillus libro quinto *De Trinitate*. Splendor consubstantialitatem et coæternitatem significat, hoc est, lucem de luce. Expressa imago sive similitudo gloriæ Patris est Filius. Nam similis et inseparabilis a Patre est Filius, et veluti una figura in diversis personis. « Moderaretur omnia. » Hoc est visibilia et invisibilia verbo circumferens et gubernans. Dixit autem Verbo, ostendens quod facile cuncta ducat et ferat.

A

I, 3-4. *Per semetipsum purgatione facta peccatorum nostrorum, consedit in dextera majestatis in excelsis ; tanto præstantior factus angelis, quanto excelsius præ illis hæreditario jure nactus est nomen.*

B

Locutus de nudo Dei Verbo, venit ad incarnationem, ne ob eorum quæ dicta sunt sublimitatem obruerentur. Per seipsum, inquit, hoc est, non alium misit ministrum, sed per seipsum operatus est purgationem, per crucem et mortem suam, cum nos a peccatis in baptismate liberasset. « Majestatis, » hoc est, Patris. Facta enim primum remissione peccatorum, cum carne sua consedit in dextera Dei. « In excelsis. » Super omnes, inquit, ascendit, ad ipsum paternum thronum. Hæc autem consubstantialitatem significant. « Tanto præstantior factus angelis. » De dispensatione ipsi sermo est. Nam caro ipsius facta est : Deus enim Verbum non est factum, sed genitum. Tanto ergo præstantior facto est caro ejus ipsis angelis, quantum C licet ex excellentia nominum cognoscere. Aut quod dicitur Factus, non de carne accipias, ne ipsum ex hoc dividi existimes : sed de Christo, qui in una hypostasi adoratur etiam cum carne sua. Nam ubi semel id quod dispensationis est attigit, absque timore quæ sunt humilia loquitur. « Hæreditario jure nactus est nomen. » Verbum enim, cum ab initio nomen **321** haberet Filii, etiam cum carne illud habuit. Merito ergo dicitur Hæreditario jure nactus est, propter incarnationem. Nactus est autem vocari Christus Dici igitur de Christo quod hæreditario jure nactus est, significat eum acquisivisse illud quod jam olim habuerat. *Alio modo.* Hæreditas eorum est quæ jure obveniunt, et non quæ aliena sunt. Itaque quod e supernis Verbo conveniebat, id inferne deductum accepit per ipsum etiam assumpta caro. Quod autem est illud? Filius, Deum universorum qui Pater est ipsius quoque carnis est, dicere Genui te. Quod autem ait : Hodie, non temporis significativum est, sed quod nunquam separatus fuit Pater a legitima paternali habitudine quam habet erga Filium. Ac si diceret : Semper hoc modo erga te affectus sum : non quasi accesserit generatio, sed quod perseveret semper et continuum sortiatur principium, nullumque finem. Considera vero ne quo modo ita potius adaptet, ut ambo quidem dicta sint de Christo, et, Filius meus es tu, et Ego, hodie

D

ὕπαρξιν ἰδικὴν ἐμφιλοχωροῦσαν. Οὕτως ὁ ἐν ἁγίοις Κύριλλος ἐν βιβλίῳ πέμπτῳ *Περὶ Τριάδος*. Ἀπαύγασμα, τὸ ὁμοούσιον καὶ συναΐδιον δηλοῖ, οἷον φῶς ἐκ φωτός. Χαρακτὴρ, οἷον ὁμοίωμα τῆς δόξης ὁ Υἱὸς τοῦ Πατρός. Ὅμοιος γὰρ καὶ ἀπαράλλακτος ὁ Υἱὸς τοῦ Πατρὸς, καὶ οἷον εἰς χαρακτὴρ ἐν διαφόροις ὑποστάσεσι. « Φέρων τε τὰ πάντα. » Οἷον τὰ ἀόρατα καὶ τὰ ὁρατὰ ἐν τῷ ῥήματι περιφέρων καὶ κυβερνῶν. Ῥῆμα δὲ εἶπε, δεικνὺς πάντα εὐκόλως αὐτὸν ἄγειν καὶ φέρειν.

Δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα.

Εἰρηκὼς περὶ γυμνοῦ τοῦ Θεοῦ λόγου, ἦλθεν εἰς τὴν ἐνανθρώπησιν, ἵνα μὴ τῷ ὕψει τῶν εἰρημένων ἰλιγγιάσωσι. Δι' ἑαυτοῦ, φησὶ, τουτέστιν, οὐκ ἄλλον ἔπεμψε διακονοῦντα, ἀλλὰ δι' ἑαυτοῦ καθαρισμὸν εἰργάσατο, διὰ τοῦ σταυροῦ καὶ τοῦ θανάτου αὐτοῦ, ἐλευθερώσας τῶν ἁμαρτιῶν ἡμᾶς ἐν τῷ βαπτίσματι. « Τῆς μεγαλωσύνης, » οἷον, Τοῦ Πατρός. Πρῶτον γὰρ ἄφεσιν ἁμαρτιῶν ποιησάμενος μετὰ τῆς σαρκὸς αὐτοῦ ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ. « Ἐν ὑψηλοῖς, » πάντων ἐπάνω, φησὶν, εἰς αὐτὸν τὸν πατρῷον θρόνον. Ταῦτα δὲ τὸ ὁμοούσιον δηλοῖ. « Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων. » Περὶ τῆς οἰκονομίας ὁ λόγος αὐτῷ. Ἡ γὰρ σὰρξ αὐτοῦ ἐγένετο. Ὁ γὰρ Θεὸς Λόγος οὐ γέγονεν, ἀλλὰ γεγέννηται. Τοσούτῳ οὖν κρείττων ἡ σὰρξ αὐτοῦ αὐτῶν γέγονε τῶν ἀγγέλων, ὅσον ἐστὶ, φησὶν, ἐκ τῆς τῶν ὀνομάτων διαφορᾶς γνῶναι [ΟΙΚΟΥΜΕΝΙΟΥ.] — Ἢ τὸ Γενόμενος, οὐκ ἐπὶ σαρκὸς ἐκλάβοις, ἵνα μὴ διαιρεῖν νομισθῇς, ἀλλ' ἐπὶ τοῦ Χριστοῦ τοῦ ἐν μιᾷ ὑποστάσει προσκυνουμένου, καὶ μετὰ τῆς σαρκὸς αὐτοῦ. Ἅπαξ γὰρ τῆς οἰκονομίας ἐπιλαβόμενος, ἁδεῶς τὰ ταπεινὰ φθέγγεται. « Κεκληρονόμηκεν ὄνομα. » Τὸ γὰρ, Υἱὸς, ὄνομα ἔχων ἀπ' ἀρχῆς ὁ Λογὸς, καὶ μετὰ τῆς σαρκὸς, αὐτοῦ ἔσχεν. Εἰκότως οὖν τὸ, Ἐκληρονόμησε κεῖται, ὡς διὰ τὴν ἐνανθρώπησιν. Ἐκληρονόμησε δὲ, τὸ λέγεσθαι Χριστός. Ἐκτήσατο οὖν, ὃ καὶ πάλαι εἶχεν. Ἄλλως. Ἡ κληρονομία κυρίως τῶν προσηκόντων γίνεται, ἀλλ' οὐ τῶν ἠλλοτριωμένων. Ἐκληρονόμησεν οὖν, ὅπερ ἄνωθεν ἐνῆν τῷ Λόγῳ, τοῦτο κατενεχθὲν δι' αὐτοῦ, καὶ ἡ προσληφθεῖσα σάρξ. Τί δέ ἐστι τοῦτο ; Τὸ Υἱὸς, τὸ λέγεσθαι τὸν τῶν ὅλων Θεὸν Πατέρα αὐτῆς, τὸ Γεγέννηκά σε. Τὸ δὲ, Σήμερον, οὐ χρόνου δηλωτικὸν, ἀλλὰ τοῦ μηδέ ποτε διεσπᾶσθαι τὸν Πατέρα τῆς γνησιότητος τῆς πρὸς τὸν Υἱόν. Οἷον Ἀεὶ, φησὶν, οὕτως πρὸς σὲ διάκειμαι, οὐχ ὡς παρελθούσης τῆς γεννήσεως, ἀλλ' ὡς ἐνεστηκυίας διαπαντὸς καὶ καθ' ἑκάστην ἀρχὴν, ἀλλ' οὐ τέλος λαμβανούσης. Σκόπει δὲ, μή ποτε μᾶλλον οὕτως ἁρμόζῃ, ἄμφω μὲν εἰρῆσθαι ἐπὶ τοῦ Χριστοῦ, τό τε Υἱός μου εἶ σὺ, καὶ τὸ, Ἐγὼ σήμερον γεγέννηκά σε. Ἀλλὰ τὸ μὲν, Υἱός μου εἶ, καθὸ λόγος· τὴν ἀΐδιον γὰρ διὰ τοῦ Εἶ, γέννησιν σημαίνει· τὸ δὲ, Σήμερον γεγέννηκά σε, καθὸ σὰρξ τὴν γὰρ πρόσ-

ρατον γέννησιν ἐμφαίνει. Εὐδοκίᾳ γὰρ τοῦ Πατρὸς γεγέννηται. Πνεῦμα γάρ, φησὶν, ὁ ἄγγελος, ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, εἶτα καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

A genui te : sed illud, Filius meus es, quatenus Verbum est : æternam enim significat nativitatem Es; hoc autem Hodie genui te, juxta carnem : recentem namque designat nativitatem. Etenim Patris beneplacito natus est. « Spiritus sanctus, inquit angelus, superveniet in te; » deinde etiam : « Virtus Altissimi obumbrabit tibi [a,b]. »

ΚΕΦΑΛ. Β'.

Ὅτι οὐ λειτουργικὴ ἡ δόξα Χριστοῦ, ἀλλὰ θεϊκὴ καὶ ποιητική· διὸ οὐκ ἐπὶ τοῦ παρόντος αἰῶνος ἐν ᾧ οἱ λειτουργοὶ, ἀλλ' ἐπὶ τῆς μελλούσης οἰκουμένης.

CAPUT II.

Quod non sit ministerialis gloria Christi, sed divina et efficax : ideo non præsenti sæculo habitet, in quo sunt ministri, sed in futuro.

Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε· καὶ πάλιν· Ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς Υἱόν. Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

I, 5-7. *Nam cui dixit unquam angelorum : Filius meus es tu, ego hodie genui te? Ac rursum : Ego ero ei Pater, et ille erit mihi Filius? Rursum autem, cum inducit Primogenitum in orbem terrarum, dicit : Et adorent eum omnes angeli Dei. Et ad angelos quidem ait ; Qui facit angelos suos spiritus, et ministros suos flammam ignis.*

Ἠκούσαμεν καὶ ἄνθρωποι υἱοὶ, ἀλλὰ κατὰ χάριν. Οἱ δὲ ἄγγελοι οὐκ ἤκουσαν, ἵνα μὴ τὸ μεγαλεῖον αὐτῶν, μὴ ἐπιδέξηται τὸ κατὰ χάριν, ἀλλὰ κατὰ φύσιν νομισθῇ. Ὁ δὲ Χριστὸς οὐ κατὰ χάριν, ἀλλὰ κατὰ φύσιν. « Ἐγὼ σήμερον γεγέννηκά σε. » Οἰκειοῦται ὁ Πατὴρ τὴν κατὰ σάρκα γέννησιν τοῦ Γἱοῦ. Διὰ τοῦτο εἶπε τὸ, Σήμερον. Οὕτως ὁ ἐν ἁγίοις Ἀθανάσιος. « Ἔσομαι αὐτῷ εἰς Πατέρα. » Καὶ τοῦτο πάλιν δέξαι ὡς οἰκειουμένου τοῦ Πατρὸς τὴν κατὰ σάρκα γέννησιν τοῦ Γἱοῦ. Τὸ γὰρ, ἔσομαι, σαφῶς ἐπὶ τοῦ κατὰ σάρκα εἴρηται. « Ὅταν δὲ πάλιν εἰσαγάγῃ. » Πάντα δέξῃ μετὰ τὴν ἐνανθρώπησιν. Τὸ γὰρ, Εἰσαγάγῃ, οἷον, Ἐγχειρίσῃ, κεῖται. Τότε γὰρ ἐκτήσατο αὐτὴν, ἐκοῦσαν παρ' αὐτοῦ βασιλευομένην, ὅτε ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, καὶ ὅτε ἐπιστεύθη Θεὸς ὤν. Εὐπαράδεκτον δὲ ποιῶν τὸν λόγον, τὸν Πατέρα εἶπεν εἰσαγαγόντα τὸν Υἱόν. Τὸ δὲ εἰσαγαγεῖν, νόει, οὐκ ἐπειδὴ πάλαι ἔξω ἦν τῆς κτίσεως τοπικῶς, (πῶς γὰρ ὁ πάντα πληρῶν;) ἀλλ' ὅτι οὐδὲν εἶχε πρὸς αὐτὴν κοινὸν Θεὸς ὤν. Ἀλλ' ὅτε ἐσαρκώθη, τότε ἐκοινώνησε τῇ κτίσει, κτιστὸν ἑνώσας ἑαυτῷ. Οὕτως ὁ ἐν ἁγίοις Κύριλλος, ἐν τῷ, Θεὸς ὁ Χριστὸς, πονήματι· καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης ἐν τοῖς κατὰ Εὐνομίου. Τὸ δὲ Πρωτότοκον, οὐκ ἐπὶ δευτέρου λέγει, ἀλλ' ἐπὶ ἑνὸς καὶ μόνου τοῦ γεννηθέντος ἐκ τοῦ Πατρός. — Ἄλλως. [ΦΩΤ.] « Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν Πρωτότοκον. » Τουτέστιν, ὅταν ηὐδόκησε μετὰ τῆς σαρκὸς ἐμφανισθῆναι τὸν Πρωτότοκον αὐτοῦ Υἱὸν τοῖς κατοικοῦσι τὴν οἰκουμένην. Φησὶ γάρ· « Καὶ προσελθόντες οἱ ἄγγελοι ἔτικόνουν αὐτῷ. » Καὶ, « Ἀπάρτι ὄψεσθε τοὺς ἀγγέλους καταβαίνοντας ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου. » Τουτέστι, μετὰ σαρκὸς προσκυνησάτωσαν οἱ ἄγγελοι τὸν Υἱόν. « Καὶ προσκυνησάτωσαν αὐτῷ. » Τῷ μετὰ σαρκός. « Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα. » Κτίσμα γάρ εἰσι, διὰ τοῦτο, Ποιῶν.

322 Audivimus et nos qui homines sumus, filii, verum per gratiam. Angeli vero id non audierunt, ne sublimitas ipsorum non ex gratia esse, sed ex natura existimaretur. Christus vero non ex gratia, sed ex natura. « Ego hodie genui te. » Appropriat sibi Pater nativitatem Filii juxta carnem, propterea dixit : Hodie. Ita habet divus Athanasius. « Ego ero ei Pater. » Etiam hoc rursum accipite tanquam a Patre appropriante sibi Filii juxta carnem nativitatem. Nam, Ero, manifeste dicitur de eo quod secundum carnem est. « Rursum autem cum inducit. » Post humanitatis acceptionem universa accipito. Siquidem Inducit, ponitur pro Committit : tunc enim ipsum nactus est orbem qui voluntarie ab ipso regebatur, quando pro universo orbe mortem gustavit, et quando creditus est esse Deus. Efficiens autem ut facile sermo suscipiatur, dixit Patrem inducere Filium. Inducere vero intelligit, non quod antea fuerit localiter extra conditum mundum : quomodo enim id verum esset de eo qui omnia implet? sed quod nihil cum creatura commune habuerit cum Deus esset. Cæterum, ubi carnem assumpsit, tunc cum creatura communicavit; cum sibiipsi unisset id quod creatum erat. Ita habet divus Cyrillus in opere, Deus Christus : et beatus Gregorius Nyssenus in libris adversus Eunomium. Quod autem ait ; Primogenitus, non respectu secundi dicit, sed quod unicus et solus sit ex Patre genitus. — *Alio modo.* « Rursum autem, cum inducit Primogenitum. » Hoc est, cum beneplacitum ipsius fuit, ut cum carne appareret Primogenitus suus his qui orbem inhabitabant. Ait enim : « Et angeli accesserunt et ministrabant ei [a]; » et : « Posthac videbitis angelos descendentes super Filium hominis [b]. » — « Et adorent eum, » ita cum carne apparentem : hoc est, cum carne adorent angeli Filium. « Qui facit angelos suos spiritus. » Creatura namque sunt, ideo ait, Qui facit.

[a,b] Luc. I, 35. [a] Matth. IV, 11. [b] Joan. I, 51.

I, 8-12. *Ad Filium autem : Thronus tuus, Deus, in sæculum sæculi, sceptrum æquitatis sceptrum regni tui. Dilexisti justitiam et odisti iniquitatem, propterea unxit te Deus Deus tuus oleo exsultationis ultra consortes* **323** *tuos. Et tu in initio, Domine, terræ fundamenta jecisti et opera manuum tuarum sunt cœli ; ipsi peribunt, tu autem permanes, et omnes ut vestimentum veterascent, ac velut amictum circumvolves eos et mutabuntur ; tu autem idem es, et anni tui non deficient.*

Quandoquidem non creatura est Filius, sed legitima progenies, jam non dixit : Qui facit, sicut de angelis: sed quid ? « Thronus tuus, Deus, in sæculum: » thronus autem regni indicium est, sceptrum vero justitiæ. « Sceptrum æquitatis. Ecce et aliud regni insigne, regius baculus ac sceptrum. « Dilexisti justitiam. » Post incarnationem apta sunt omnia quæ humilia sunt, nempe cum posset caro ea quæ abjecta sunt suscipere. « Propterea unxit te Deus Deus tuus. » O Deus, unxit te Deus tuus. Propter carnem dixit Tuus : ungitur namque humanitas a Spiritu sancto. Non operatur autem eo modo quo in nudis hominibus, nempe prophetis ac patriarchis : unctio tamen est, hoc est, tota ungentis præsentia. Ita habet divus Cyrillus. Vide autem Eusebium quomodo dicat Symmachum referre ac rejicere hanc unctionem. Propterea, inquit, unxit te Deus Deus tuus oleo gaudii præ consodalibus tuis. « Oleo exsultationis. » Oleum quidem exsultationis, est Spiritus sanctus : consortes vero Christi sunt homines. Quod autem dicit hoc est : Non quemadmodum nudi homines, ita unctus est Christus Spiritu sancto ad mensuram, sed tota unctus est Spiritu. « Et tu in initio, Domine. » Ne audiens, Cum inducit Primogenitum in orbem, existimes veluti in domo contingit, quod postea sit datus orbis a Patre Filio, ostendit ipsum orbis esse Creatorem : sed hæc quidem ante incarnationem intellige, illa vero post incarnationem. « Ipsi peribunt. » Transmutabuntur enim quæcunque videntur, et ad incorruptibilitatem pervenient. Dicit autem Peribunt, de præsenti aspectu. « Ac velut amictum circumvolves eos. » Facilitatem mutationis ipsorum significavit. « Tu autem idem es. » Omnia, inquit, immutabis et innovabis, ac ex corruptibilibus facies incorruptibilia : **324** tu vero perpetuo vives, semperque permanebis.

I, 13, 14. *Ad quem autem angelorum dixit unquam : Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum ? Nonne omnes sunt administratorii spiritus, qui in ministerium emittuntur propter eos qui hæredes erunt salutis ?*

Ad Patrem igitur retulit nostræ naturæ primitias. Et hoc donum cum veneratione suscepit Pater, tum propter ejus dignitatem qui offerebat, tum propter oblati doni irreprehensibilitatem, ut veluti

Πρὸς δὲ τὸν Υἱόν · Ὁ θρόνος σου ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν. Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Καὶ σὺ κατ' ἀρχὰς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι.

Ἐπειδὴ μὴ κτίσμα, ἀλλὰ γέννημα γνήσιον ὁ Υἱὸς, οὐκ ἔτι, Ὁ ποιῶν, εἶπεν, ὅπερ ἐπὶ τῶν ἀγγέλων, ἀλλὰ τί ; « Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα· » ὁ μὲν θρόνος, βασιλείας γνώρισμα, ἡ δὲ ῥάβδος δικαιοσύνης. « Ῥάβδος εὐθύτητος. » Ἰδοὺ καὶ ἕτερον βασιλείας σύμβολον, ἡ βασιλικὴ ῥάβδος, καὶ τὸ σκῆπτρον. « Ἠγάπησας δικαιοσύνην. » Ἁρμόδια πάντα μετὰ τὴν ἐνανθρώπησιν τὰ ταπεινὰ, τῆς σαρκὸς ὑποδέχεσθαι τὰ εὐτελῆ δυναμένης. « Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου. » Ὦ Θεὲ, ἔχρισέ σε ὁ Θεός σου. Τὸ, Σοῦ, διὰ τὴν σάρκα. Χρᾶται γὰρ ἡ ἀνθρωπότης τῷ ἁγίῳ Πνεύματι. Οὐκ ἐνεργεῖται δὲ καθάπερ ἐπὶ τῶν ψιλῶν ἀνθρώπων, εἷον προφητῶν, πατριαρχῶν. Χρίσις δέ ἐστιν, οἷον ὅλη τοῦ χρίοντος παρουσία. Οὕτως ὁ ἐν ἁγίοις Κύριλλος. Ὅρα τὸν Εὐσέβιον, πῶς ἔφη τὸν Σύμμαχον ἀναγαγεῖν ταύτην τὴν χρίσιν. Διὰ τοῦτο ἔφη, Ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον χαρᾶς παρὰ ἑταίρων σου. « Ἔλαιον ἀγαλλιάσεως. » Ἔλαιον μὲν ἀγαλλιάσεως, τὸ Πνεῦμα τὸ ἅγιον · μέτοχοι δὲ Χριστοῦ οἱ ἄνθρωποι. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. Οὐχ ὥσπερ, φησὶν, οἱ ψιλοὶ ἄνθρωποι, οὕτως ἐχρίσθη ὁ Χριστὸς τῷ ἁγίῳ Πνεύματι ἐκ μέτρου, ἀλλὰ ἅπαν ἐχρίσθη τὸ Πνεῦμα. « Καὶ σὺ κατ' ἀρχὰς, Κύριε. » Ἵνα γὰρ μὴ ἀκούσας, Ὅταν δὲ εἰσαγάγῃ τὸν Πρωτότοκον εἰς τὴν οἰκουμένην, νομίσῃς ὡς δώρημα ὕστερον τὴν οἰκουμένην δοθεῖσαν παρὰ τοῦ Πατρὸς τῷ Υἱῷ, αὐτὸν δείκνυσι Δημιουργὸν αὐτῆς. Ἀλλὰ ταῦτα μὲν πρὸ τῆς ἐνανθρωπήσεως, ἐκεῖνα δὲ μετὰ τὴν ἐνανθρώπησιν νόει. « Αὐτοὶ ἀπολοῦνται. » Μετασχηματισθήσονται γὰρ πάντα τὰ ὁρώμενα, καὶ εἰς ἀφθαρσίαν ἥξουσι. Τὸ οὖν Ἀπολοῦνται, ἐκ τῆς νῦν ὄψεως, φησί. « Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς. » Τὴν εὐκολίαν τῆς ἀναλλαγῆς αὐτῶν ἐσήμανεν. « Σὺ δὲ ὁ αὐτὸς εἶ. » Πάντα μὲν, φησὶν, ἀναλλάξεις καὶ νεουργήσεις, καὶ ἄφθαρτα ποιήσεις ἀντὶ φθαρτῶν. Σὺ δὲ ἀπείρως ζήσεις, καὶ διαμενεῖς διαπαντός.

Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε, Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου ; Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν ;

Ἀνήνεγκε τοίνυν τὴν ἀπαρχὴν τῆς φύσεως τῆς ἡμετέρας τῷ Πατρί. Καὶ τοῦτο ἐθαύμασε τὸ δῶρον ὁ Πατὴρ, καὶ διὰ τὴν ἀξίαν τοῦ προσενέγκαντος, καὶ διὰ τὸ ἄμωμον τοῦ προσενεχθέντος, ὡς οἰκεῖαι; αὐτὸ

δέξασθαι χεραὶ, καὶ θεῖναι πλησίον τὸ δῶρον, καὶ εἰπεῖν· « Κάθου ἐκ δεξιῶν μου. » Τὸ *κάθου* εἶπεν, οὐ δεῖξαι θέλων ὅτι ἄλλως, φησὶν, οὐκ ἂν ἐτόλμησε καθίσαι εἰ μὴ ἐκελεύσθη· μὴ γένοιτο· ἀλλ' ἵνα μὴ νομίσῃς αὐτὸν ἄναρχον καὶ ἀναίτιον. Ὅτι γὰρ τοῦτό ἐστι, δηλοῖ καὶ ὁ τόπος τῆς καθέδρας, τὸ ὁμότιμον σημαῖνον, δηλοῖ καὶ τὸ εἰπεῖν ἀνωτέρω, Ἐκάθισε, μὴ πρότερον ἀκούσας, Κάθου. Ἢ ὅτι τὴν συγκατάθεσιν καὶ τὴν βούλησιν τὴν ἐπὶ τῷ καθίσαι τοῦ Πατρὸς οὐκ ἄλλως σημᾶναι δυνάμενος ὁ προφήτης, τῷ, Κάθου, ἐχρήσατο ῥήματι. Μέγα μὲν οὖν καὶ τοῦτο, καὶ οὐ μόνον ὑπὲρ τὴν ἀνθρωπείαν φύσιν, ἀλλὰ καὶ ὑπὲρ ἅπασαν τὴν κτίσιν. Πλὴν ἀνθρωπίνως καὶ αὐτῷ εἴρηται. Ὡς γὰρ Θεὸς, ὁ Υἱὸς αἰώνιον ἔχει τὸν θρόνον. « Ὁ θρόνος σου ὁ Θεὸς, φησὶν, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » Οὐ γὰρ μετὰ τὸν σταυρὸν καὶ τὸ πάθος, ταύτης ὡς Θεὸς τῆς τιμῆς ἠξιώθη, ἀλλ' ἔλαβεν ὡς ἄνθρωπος ὅπερ εἶχεν ὡς Θεός. Οὐ γὰρ ταπεινὸς ὢν ὑψώθη, ἀλλ' ὕψιστος ὢν καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων, ἐταπείνωσεν ἑαυτὸν μορφὴν δούλου λαβών. Διὸ καὶ ὁ εὐαγγελιστὴς βοᾷ· « Ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο. » Καὶ ὁ Κύριός φησιν, « Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. » Καὶ ἀλλαχοῦ· « Δόξασόν με, Πάτερ, τῇ δόξῃ ᾗ εἶχον παρὰ σοὶ πρὸ τοῦ τὸν κόσμον γενέσθαι. » Ὡς ἄνθρωπος τοίνυν ἀκούει, « Κάθου ἐκ δεξιῶν μου. » Ὡς γὰρ Θεὸς, αἰώνιον ἔχει τὸ κράτος. « Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου· » Ὅρα γνησιότητος τοῦ Υἱοῦ ἀπόδειξιν. Ὀργίζεται ὁ Πατὴρ κατὰ τῶν ἐχθρῶν τοῦ Υἱοῦ, οὐχ ὡς τοῦ Υἱοῦ ἀδυνατοῦντος μόνου θεῖναι αὐτοὺς ὑπὸ τοὺς πόδας αὐτοῦ, τοῦτο εἴρηκεν, ἀλλ' ἵνα τὴν ταὐτότητα τῆς γνώμης δηλώσῃ. Τὸ δὲ, Ἕως, οὐκ ἔστι χρόνου δηλωτικὸν, ὡς μετὰ τὸ θεῖναι ὑποπόδιον αὐτοῦ τοὺς ἐχθροὺς, πάλιν ἀνίστασθαι μέλλοντας, Ἄπαγε. Ἀλλὰ δεῖξαι βούλεται, ὅτι οὐκ ἀσθενήσει τὸ Σεῖναι πάντας ὑποπόδιον. Τὸ γὰρ, Ἕως, τὸ μὲν ἄχρις ἐκείνου παρατίθεται, τὸ μετ' ἐκεῖνο δὲ οὐκ ἀναιρεῖ. Οὕτως ὁ ἐν ἁγίοις Γρηγόριος εἰς τὸν δεύτερον *Περὶ Υἱοῦ* λόγον φησίν. « Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα; » Παραθαῤῥύνει αὐτοὺς, λέγων, Ὅτι ὁ μὲν Χριστὸς, φησὶν, Υἱὸς τοῦ Θεοῦ γνήσιός ἐστιν, οἱ δὲ ἄγγελοι, ὁμόδουλοι ἡμῖν, ταύτην τεταγμένοι τὴν λειτουργίαν, τὸ πάντα πράττειν καὶ διακονεῖν, ὅπως ἡμεῖς οἱ ἄνθρωποι σωθῶμεν. Πολλαχοῦ γὰρ ἄγγελοι διάκονοι γεγόνασιν εἰς ἀνθρώπους, πρὸς τὴν Μαρίαν, καὶ ἐν τῷ τάφῳ τοῦ Κυρίου, καὶ πρὸς τὸν Κορνήλιον.

Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μή ποτε παραῤῥυῶμεν. Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; Ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη.

Ἐπειδὴ τοίνυν λεπτά ἐστι καὶ ἰσχνὰ τὰ κατὰ τὴν

suis susciperet manibus, et juxta se donum poneret ac diceret : « Sede a dextris meis. » *Sede* dixit non ostendere volens quod aliter sedere ausus non fuisset nisi jussus : minime ; sed ne ipsum existimes carere principio. Nam quod hoc ita sit, significat et cathedræ locus, similem designans honorem, et quod superius dixit : Sedit, cum prius non legatur ipsi dictum fuisse : Sede. Aut quia cum alio modo non posset Propheta significare Patris consensum ac voluntatem ut sederet, usus est verbo, Sede. Magnum itaque etiam hoc est, nec tantum super humanam naturam, verum etiam super omnem creaturam. Attamen ob humanam quoque naturam hoc ei dictum est. Siquidem quatenus Deus est Filius, sempiternum habet thronum : « Thronus tuus, inquit, Deus in sæculum sæculi [7]. » Neque enim post crucem et passionem hoc honore donatus est ut Deus : sed ut homo accepit quod jam habebat ut Deus. Nec enim exaltatus est cum humilis esset, sed cum sublimis et in forma Dei esset, seipsum humiliavit assumpta servi forma [8]. Ideo quoque evangelista clamat : « Unigenitus Filius qui est in sinu Patris, ipse enarravit [9]. » Et Dominus : « Ego in Patre, et Pater in me est [10]. » Et alibi : « Glorifica me, tu Pater, gloria quam habui apud te priusquam mundus fieret [11]. » Ut homo igitur audit : « Sede a dextris meis [12]. » Nam ut Deus æternum habet imperium. « Donec posuero inimicos tuos. » Animadverte demonstrationem quod legitimus sit Filius. Irascitur Pater adversus inimicos Filii. Nec hoc dixit quod Filius impotens sit ponere ipsos sub pedibus suis, sed ut identitatem voluntatis manifestaret. **325** Quod autem ait Donec, non temporis significativum est, quod ubi positi essent inimici scabellum pedum ipsius, rursum futurum esset ut resurgerent : nequaquam : sed ostendere vult quod non erit impotens ad ponendum omnes scabellum pedum. Siquidem ἕως sive Donec, id quidem profert quod usque ad aliquid est, at non tollit id quod post illud est. Ita ait Gregorius secundo libro *De Filio*. « Nonne omnes sunt administratorii spiritus ? » Consolatur eos, dicens : Christus quidem Filius Dei naturalis est, angeli vero nobis conservi : hoc sortiti ministerium, ut omnia faciant et administrent quo nos homines salvi simus. Frequenter enim angeli ministri facti sunt ad homines, veluti ad Mariam et in sepulcro Domini et ad Cornelium.

II, 1-3. *Propterea oportet nos vehementius attendere his quæ dicta sunt nobis, nequando perfluamus. Etenim si is qui per angelos dictus fuerat sermo fuit firmus, et omnis transgressio et inobedientia justam præmii repensationem accepit : quomodo nos effugiemus si tantam neglexerimus salutem ? quæ cum primum enarrari cœperit per ipsum Dominum, ab his qui audierant in nos firmata fuit.*

Quoniam igitur tenuia sunt et exilia quæ se-

[7] Psal. XLIV, 7. [8] Philipp. II, 6, 7. [9] Joan. I, 18. [10] Joan. XIV, 11. [11] Joan. XVII. 5 [12] Psal. CIX, 1.

cundum incarnationem sumuntur, oportet nos vehementius attendere. Aut dicit ut attendam legi. « Ne quando perfluamus. » Hoc est, excidamus ab honesto et a via quæ ducit ad salutem. « Qui per angelos dictus fuerat sermo. » Aut de lege loquitur quod per angelos data sit, sicut etiam dicit in Epistola ad Galatas : « Ordinata per angelos, » sive administrata ; aut de his quæ aliis dicta sunt ab angelis : quemadmodum de Sodomitis [14], quemadmodum de planctu in libro Judicum, quando venit angelus Domini ad Israelitas, et objurgavit eorum transgressionem [15]. Oportuit, inquit, omnes has gentes e medio tollere, vos autem fœdera quoque fecistis cum illis : propterea non disperdet Dominus gentes quæ derelictæ sunt. His auditis, planxerunt uno animo omnes : unde et locus Planctus dictus est. Quod autem, ait, hujusmodi est : **326** Si enim quæ ab angelis prædicta sunt acciderunt et effectum sortita sunt, quanto magis contingent quæ a Filio Dei prædicta sunt : ἔνδικον μισθαποδοσίαν, id est, justam retributionem ac si dicat : Si ea contigerunt quæ ab angelis in Veteri Testamento dicta fuerant, omnesque transgressores puniti sunt, quam habemus nos veniam cum illos punitos respicimus ac negligimus. « Si tantam neglexerimus salutem. » Quæ non terræ bona promittit sicut Vetus Testamentum, sed regnum cœlorum ac adoptionem in filios. Salutem autem dicit quæ a Christo demonstrata est et manifestata, hoc est, fidem in ipsum. Hanc autem dixit salutem, ostendens quæ in veteri lege erant non fuisse salutaria. « Enarrari per ipsum Dominum. » Ostendit deinde illud dignum esse cui fides adhibeatur. Non enim alius quispiam, inquit, ad id minister fuit, quemadmodum Moses in veteri, sed ipse Christus. « Ab his qui audierant. » Delata ad nos ab his qui audierant, confirmata sunt et credita. Quinam autem sunt hi qui audierunt? Venerandi sane discipuli. Ne offendiculum patiaris, non dicit seipsum quoque audisse a Christo, cum tamen audisset.

ἐνανθρώπησιν, δεῖ ἡμᾶς περισσοτέρως προσέχειν, ἤπερ, φησίν, ὡς προσείχομεν τῷ νόμῳ. « Μή ποτε παραῤῥυῶμεν. » Τουτέστιν, ἐκπέσωμεν τοῦ καθήκοντος, καὶ τῆς ἐπὶ σωτηρίαν ὁδοῦ. « Ὁ δι' ἀγγέλων λαληθεὶς λόγος. » Ἡ περὶ τοῦ νόμου, φησίν, ὅτι δι' ἀγγέλων ἐδόθη, ὡς καὶ ἐν τῇ πρὸς Γαλάτας φησί, « Διαταγεὶς δι' ἀγγέλων, » ἤγουν διακονηθείς· ἢ περὶ τῶν ὑπ' ἀγγέλων ἄλλοις λαληθέντων, ὡς ἐπὶ τῶν Σοδομιτῶν, ὡς ἐπὶ τοῦ κλαυθμῶνος ἐν τοῖς Κριταῖς, ὅτε ἦλθεν ἄγγελος Κυρίου πρὸς τοὺς Ἰσραηλίτας καὶ ἤλεγξεν αὐτῶν τὴν παρανομίαν. Δέον γὰρ, φησὶ, πάντας ἀφανίσαι, ὑμεῖς δὲ καὶ συνθήκας ἔθεσθε πρὸς αὐτούς. Διὰ τοῦτο οὐκ ἐξολοθρεύσει ὁ Θεὸς τὰ ὑπολειπόμενα ἔθνη. Ταῦτα ἀκούσαντες ἔκλαυσαν ὁμοθυμαδόν. Ὅθεν καὶ κλαυθμὼν ὁ τόπος ἐκλήθη. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Εἰ γὰρ, φησὶ, τὰ ὑπ' ἀγγέλων λαληθέντα ἐξέβη καὶ πέρας ἔσχε, πόσῳ μᾶλλον τὰ παρὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ λαληθέντα ἐκβήσεται; Ἔνδικον (*dikalar*) *μισθαποδοσίαν*. Τουτέστιν, ἀμοιβήν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Εἰ τὰ παρὰ ἀγγέλων λαληθέντα ἐν τῇ Παλαιᾷ ἐξέβη, καὶ οἱ ἁμαρτήσαντες πάντες ἀπέλαβον, ποίαν ἔξομεν συγγνώμην ἡμεῖς ἐκείνους ἀπολαβόντας ὁρῶντες καὶ ἀμελοῦντες; « Τηλικαύτης ἀμελήσαντες σωτηρίας. » Οὐ τὰ ἀγαθὰ τῆς γῆς ἐπαγγελλομένης, καθὼς ἡ Παλαιὰ, ἀλλὰ βασιλείαν οὐρανῶν καὶ υἱοθεσίαν. Σωτηρίας δέ φησι, τῆς ἀπὸ Χριστοῦ δειχθείσης καὶ φανερωθείσης, τουτέστι, τῆς εἰς αὐτὸν πίστεως. Ταύτην δὲ εἶπε σωτηρίαν, δεικνὺς τὰ ἐν τῇ Παλαιᾷ μὴ οὕτως ὄντα σωτήρια. « Λαλεῖσθαι διὰ τοῦ Κυρίου. » Εἶτα δείκνυσι τὸ ἀξιόπιστον αὐτῆς. Οὐ γάρ τις ἕτερος, φησὶ, διηκόνησεν αὐτῇ καθάπερ Μωσῆς τῇ Παλαιᾷ, ἀλλ' αὐτὸς ὁ Χριστός. « Ὑπὸ τῶν ἀκουσάντων. » Ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐνεχθεῖσα, ἐβεβαιώθη καὶ ἐπιστεύθη. Τίνες δὲ οἱ ἀκούσαντες; οἱ θεσπέσιοι δηλονότι μαθηταί. Ἵνα δὲ μὴ σκανδαλίσῃ, οὐ λέγει καὶ ἑαυτὸν ἀκηκοέναι παρὰ Χριστοῦ, καίτοι ἠκουσεν.

II, 4-8. *Attestante Deo signis et prodigiis simul variisque virtutibus, et Spiritus sancti distributionibus, juxta ipsius voluntatem. Non enim angelis subjecit orbem terræ futurum, de quo loquimur. Testatus est autem alicubi quidam dicens : Quid est homo quod memor es ejus, aut Filius hominis, quoniam invisis illum ? Fecisti eum paululum inferiorem angelis, gloria et honore coronasti eum, et constituisti eum super opera manuum tuarum. Omnia subjecisti sub pedibus ejus. In hoc enim quod ei subjecit omnia, nihil amisit illi non subjectum. Nunc vero nondum videmus omnia illi esse subjecta.*

Συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι, καὶ Πνεύματος ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν. Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν· διεμαρτύρατο δέ πού τις λέγων, Τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ Υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα.

Deinde ne mentiri credantur qui a Christo audierunt, et alia pro aliis dicant ; non, inquit. Nam et ipse Deus una cum eis testimonium perhibet veritati per signa et prodigia, variasque virtutes quas per eos operatur. « Et Spiritus sancti distri-

Εἶτα ὡσεὶ ψεύδονται οἱ ἀκούσαντες παρὰ Χριστοῦ, καὶ ἄλλα ἀντ' ἄλλων λέγουσιν. Οὔ φησιν· καὶ γὰρ καὶ αὐτὸς ὁ Θεὸς μαρτυρεῖ αὐτοῖς ἀλήθειαν, διὰ σημείων καὶ τεράτων καὶ ποικίλων δυνάμεων ὧν ἐνεργεῖ δι' αὐτῶν. « Καὶ Πνεύματος ἁγίου μερισμοῖς. »

[14] Galat. III, 19. [15] Gen. XIX, 1 seqq. [15] Judic. II, 1 seqq.

Καὶ διὰ χαρισμάτων καὶ ἐπιφοιτήσεως Πνεύματος ἁγίου, τὰ τῆς τοῦ Θεοῦ μαρτυρίας γένεται. Μερισμοῖς δέ φησι, διὰ τὸ οἷον καταμερίζεσθαι τὴν πνευματικὴν χάριν, κατά τε τὸ μέτρον ἑκάστου, καὶ τὴν τῆς πίστεως ἀναλογίαν, καὶ ὅπως αὐτῷ συμφέρει. «Κατὰ τὴν αὐτοῦ θέλησιν.» Τοῦ Παρακλήτου δηλονότι. Διαιροῦν, φησὶν, ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. «Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην.» Τοῦτο ἀκόλουθόν ἐστι τῇ ἄνω τῶν ἀγγέλων συγκρίσει. Ἔδει γὰρ τῷ μεγίστῳ κτίσματι τοῖς ἀγγέλοις, τουτέστι, τὸν κατὰ σάρκα Χριστὸν συγκρίνοντα, μείζονα ἄτε Δεσπότην δεικνύειν. Μέλλουσαν δὲ οἰκουμένην φησὶ, τὸν ἐσόμενον κόσμον. Περὶ οὗ, φησὶν, ὁ ἡμῖν λόγος ἐστίν. Αὐτὸς γὰρ κριτὴς ὁ Χριστὸς ἐκείνης καθεδεῖται τῆς οἰκουμένης. Οἱ δὲ ἄγγελοι, ὡς λειτουργοὶ καὶ δοῦλοι παρίστανται. «Διεμαρτύρατο δέ πού τις λέγων.» Ὡς πρὸς εἰδότας τὰς Γραφὰς διαλεγόμενος, οὐ τίθησι τῶν λεγόντων τὰ ὀνόματα. «Τί ἐστιν ἄνθρωπος;» [ΦΩΤ.] Τίνος χάριν προάγει νῦν, τὸ, τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ; Ἐπειδὴ ἀντιπίπτειν αὐτῷ ἐδόκει πρὸς τὴν πρόθεσιν, (ὁ μὲν γὰρ μείζονα δεικνυει τὸν Χριστὸν τῶν ἀγγέλων), τὸ δὲ, βραχύ τι ἠλαττῶσθαι παρ' αὐτούς. Διὸ τίθησιν αὐτὸ, ἵνα τὴν δοκοῦσαν ἀντίθεσιν λύσῃ. Καὶ λύων φησὶν εἰρῆσθαι αὐτὸν ἠλαττωμένον, διὰ τὸ πάθημα τοῦ θανάτου. «Εἴδομεν γὰρ αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος.» Συγχωρεῖ δὲ τέως καὶ τὸ ῥητὸν εἰρῆσθαι ἐπὶ τοῦ Δεσπότου, ἐπειδὴ ἐχρησίμευεν αὐτῷ καὶ εἰς τὸ ἐκείνους παραμυθήσασθαι, τὸ Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. «Ὅτι μιμνήσκῃ αὐτοῦ.» [ΘΕΟΔΩΡ.] Οὐ γὰρ μόνον εἰς τὸ εἶναι παρήγαγες, καὶ τὸ εὖ εἶναι δεδώρησαι, καὶ μεμνημένος διατελεῖς, καὶ κακῶς διακείμενον ἐπισκέπτῃ. «Ἠλάττωσας αὐτόν.» Ἐνταῦθα τῆς μετὰ τὴν παράβασιν ἐμνημόνευσεν ἀποφάνσεως. Τῷ θνητῷ γὰρ, τῶν ἀγγέλων ἠλάττωται. Ταῦτα ἁρμόζει μὲν καὶ εἰς τὴν κοινὴν ἀνθρωπότητα, μάλιστα δὲ εἰς τὸν κατὰ σάρκα Χριστόν. «Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα.» Ἐπειδὴ γὰρ εἶπεν· Οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον, οὗτοι δὲ κακῶς ἔπασχον καὶ ἡρπάζοντο παρὰ τῶν Ἰουδαίων τῶν ἐμμεινάντων τῇ ἀπιστίᾳ, ἵνα μὴ ἀμφιβάλωσι πρὸς τὰ εἰρημένα, φησὶ· Μὴ θόρυβεῖσθε. Οὔπω γὰρ πάντα αὐτῷ ὑποτέτακται, οὔπω τὸ κήρυγμα κατέσκηρται, οὔπω ἐκράτησεν ὁ βασιλεὺς καθαρῶς.

A

B

C

D

outionibus.» **327** Et per dona ac Spiritus sancti superventionem fiunt illa quæ sunt divini testimonii. Dicit autem Distributionibus, eo quod veluti distribuatur spiritualis gratia, et juxta cujusque mensuram, et juxta fidei proportionem, et velut ipsi expediens est [16]. « Juxta ipsius voluntatem : » Paracleti videlicet. Dividens, inquit, sua cuique sicut vult. « Non enim angelis subjecit orbem terræ.» Hoc consequens est ad comparationem angelorum quæ superius posita est. Oportuit enim potissimæ creaturæ, puta angelicæ, conferendo Christum secundum carnem, ostendere eum esse majorem tanquam Dominum. Futurum autem orbem terræ dicit futurum mundum. De quo, inquit, omnis sermo nobis est. Ipse enim Christus sedebit judex illius orbis terræ : angeli vero tanquam servi ac ministri stabunt. « Testatus est autem alicubi quidam dicens . » Tanquam ad eos qui Scripturas noverant disserens, non ponit eorum nomina qui dicunt ; « Quid est homo ? » Quam ob causam nunc citat, Quid est homo quod memor est ejus? Quoniam obstare suo proposito videbatur, ipse enim ostendit Christum angelis esse majorem, illud vero ait paululum angelis factum esse inferiorem. Ponit itaque hoc, ut eam quæ videtur, solvat objectionem : et solvens ait dictum esse factum inferiorem propter mortis passionem. « Vidimus namque eum et non habebat speciem neque decorem [17]. » Interim concedit etiam id dictum fuisse de Domino, quoniam sibi quoque serviebat, ut illos consoletur, quod dicitur : Omnia subjecisti sub pedibus ejus. —«Quod memor es ejus.» Neque enim tribuisti tantum ut esset, sed dedisti quoque ut bene esset, et continue memor ejus perseveras et malis affectum consideras. « Minuisti eum. » Hic sententiæ meminit quæ post transgressionem lata est ; mortalitate enim imminutus est ab angelis. Hæc quidem aptat etiam ad communem humanitatem, maxime autem ad Christum juxta carnem. « Nunc vero nondum videmus omnia illi esse subjecta. » Quoniam enim dixit : Nihil omisit illi non subjectum, hi autem malis afficiebantur et rapiebantur eorum bona a Judæis, qui in incredulitate permanserant : ne circa ea quæ dicta sunt hæsitarent, ait : **328** Ne turbemini : nondum enim omnia illi subjecta sunt, nondum prædicatio dispersa est, nondum rex manifeste accepit imperium.

ΚΕΦΑΛ. Γ'.

Ὅτι ἐσαρκώθη κατὰ διάθεσιν καὶ συμπάθειαν καὶ οἰκειότητα τὴν πρὸς ἡμᾶς ἐπὶ σωτηρίᾳ ἀνθρώπων τῇ ἐκ θανάτου, διὰ τῆς πρὸς αὐτὸν οἰκειώσεως.

Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον, βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. Ἔπρεπε γὰρ αὐτῷ δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολ-

CAPUT III.

Quod carnem assumpserit juxta dispositionem et condolentiam ac familiaritatem quam erga nos habuit, ut hominem a morte per familiaritatem ad ipsum liberaret.

11, 9, 10. *Eum vero qui paululum diminutus fuerat infra angelos, cernimus Jesum propter cruciatum mortis gloria et honore coronatum : ut per gratiam Dei pro universo orbe gustaret mortem. Decebat enim eum propter quem sunt omnia, et ver*

[16] 1 Cor. xii, 1 seqq. [17] Isa. liii, 2.

quem sunt omnia, ut multis filiis in gloriam adductis, auctorem salutis illorum per afflictiones perfectum redderet.

Paululum, ob id dicit quod tribus diebus fuerit apud inferos. « Propter cruciatum mortis. » Dicendo : Cruciatum mortis, veram manifestavit mortem. « Gloria et honore coronatum. » Gloriam et honorem vocat crucem. Neque enim tantum Deo dignum erat tamque gloriosum fecisse cœlum et terram ac hominem supernasque virtutes, sicut quod propter nos dignatus fuerit crucifigi. Hoc autem dicit etiam ipsos consolans, ac si diceret : Si Christus illa propter vos sustinuit, quid mirum si et vos propter ipsum afflictiones sustinetis ? « Ut per gratiam Dei. » Fuit namque sanctæ Trinitatis gratia quod pateretur Filius. Neque enim ex debito dedit Pater Filium, aut Filius suscepit, aut Spiritus sanctus cooperatus est ad passionem, sed omnia gratiose facta sunt. Recte autem ait : Gustaret. Neque enim in morte permansit, sed ipsam tantum quodammodo degustavit. — Sciendum vero quod Nestoriani adulterant Scripturam et ita legunt : ut χωρὶς Θεοῦ, id est, sine Deo pro 329 universo orbe gustaret mortem, hoc est, astruentes quod inhabitationem habuit Christus Verbi Dei ; et non unionem, quia non erat una cum eo qui crucifigebatur divinitas. Siquidem dictum est, inquiunt, Sine Deo gustaret mortem. Sed vide quo modo quidam orthodoxus responderit. Primum quidem positum est, χάριτι Θεοῦ, hoc est, gratia vel per gratiam Dei : attamen etiam, si ut vos valtis dictum sit χωρὶς Θεοῦ, id est, sine Deo, ita hoc accipiendum est quod sine Deo aut excepto Deo pro omnibus aliis mortuus sit Christus. Etenim non pro solis hominibus, sed et pro supernis virtutibus mortuus est, ut interstitium maceriæ dirueret, ac uniret inferiora supernis. [18] Huic est simile quod alibi dictum est. Atqui cum dicat quod omnia subjecta sunt, palam est excipiendum eum qui subjecit ipsi omnia [19].

« Pro universo orbe gustaret mortem. » Quanquam enim non omnes salvi facti sint ob suam incredulitatem : ipse tamen quod suum erat ad omnes et pro omnibus fecit. « Decebat enim eum. » Decebat, inquit, Deum et Patrem propter quem sunt omnia, ipse vero omnium est principium. « Et per quem sunt omnia. » Nam si etiam per ipsum sunt omnia, Pater est qui omnia creavit, qui Creatorem genuit. « Et per quem sunt omnia. » *Per quem*, de Patre positum est. « Multis filiis. » Filios hoc loco vocat homines. Eum, inquit, qui homines in gloriam Unigeniti per donum adoptionis introduxisset, decebat ut auctorem salutis horum filiorum, hoc est, Christum, per afflictiones perfectum redderet, hoc est, per crucem perfectum demonstraret ac gloriosum. Dictum est autem : Perfectum, tanquam ad nos loquendo, qui ipsum perfecte bonum ac humanum deprehendimus per crucem, cum ipse semper omnino perfectus esset, semperque maxime gloriosus.

[18] Ephes. II, 14. [19] I Cor. XV, 28.

Α λούς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν, διὰ παθημάτων τελειῶσαι.

Βαρὺ δέ φησι, διὰ τὸ, τρεῖς ἡμέρας ἐν τῷ ᾅδῃ, γενέσθαι. « Διὰ τὸ πάθημα τοῦ θανάτου. » Πάθημα θανάτου εἰπὼν, τὸν ἀληθῆ ἐνέφηνε θάνατον. « Δόξῃ καὶ τιμῇ ἐστεφανωμένον. » Δόξαν καὶ τιμὴν, τὸν σταυρὸν καλεῖ. Οὐ γὰρ οὕτως ἄξιον τοῦ Θεοῦ καὶ ὑπερένδοξον τὸ ποιῆσαι οὐρανὸν καὶ γῆν καὶ ἄνθρωπον καὶ τὰς ἄνω δυνάμεις, ὡς τὸ καταξιῶσαι δι' ἡμᾶς σταυρωθῆναι. Τοῦτο δέ φησι καὶ αὐτοὺς παραμυθούμενος. Εἰ γὰρ ταῦτα δι' ὑμᾶς ὁ Χριστὸς ὑπέμεινε, τί μέγα εἰ καὶ ὑμεῖς δι' αὐτὸν ὑπομένετε πειρασμούς ; « Ὅπως χάριτι Θεοῦ. » Χάρις γὰρ τῆς ἁγίας Τριάδος, τὸ παθεῖν τὸν Υἱόν. Οὐ γὰρ κατὰ Β ὀφειλὴν ὁ Πατὴρ τὸν Υἱὸν ἔδωκεν, ἢ ὁ Υἱὸς κατεδέξατο, ἢ τὸ Πνεῦμα συνήργησεν εἰς τὸν σταυρὸν, ἀλλὰ πάντα χάριτι γέγονε. Καλῶς δὲ τὸ, Γεύσηται. Οὐ γὰρ ἐνέμεινε τῷ θανάτῳ, ἀλλὰ μόνον αὐτοῦ τρόπον τινὰ ἀπεγεύσατο. — [ΟΙΚΟΥΜΕΝΙΟΥ]. Ἰστέον δὲ ὅτι οἱ Νεσταριανοὶ παραποιοῦσι τὴν Γραφὴν, καὶ οὕτως ἀναγινώσκουσιν, ὅπως χωρὶς Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου, τοῦτο κατασκευάζοντες, ὅτι ἐνοίκησιν ἔσχεν ὁ Χριστὸς, φασὶ, τοῦ Θεοῦ Λόγου καὶ οὐχ ἕνωσιν, ὅτι σταυρουμένῳ αὐτῷ οὐ συνῆν ἡ θεότης. Εἴρηται γὰρ, φασὶ, Χωρὶς Θεοῦ γεύσηται θανάτου. Ἀλλ' ὅρα πῶς ὀρθόδοξός τις ἀπεκρίθη. Πρῶτον μὲν, χάριτι Θεοῦ κεῖται. Πλὴν εἰ καὶ καθ' ὑμᾶς χωρὶς Θεοῦ εἴρηται, οὕτως δεκτέον αὐτό. C ὅτι χωρὶς τοῦ Θεοῦ ὑπὲρ πάντων τῶν ἄλλων ἀπέθανεν ὁ Χριστός. Καὶ γὰρ οὐ μόνον ὑπὲρ ἀνθρώπων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄνω δυνάμεων ἀπέθανεν, ἵνα λύσῃ τὸ μεσότοιχον τοῦ φραγμοῦ καὶ ἑνώσῃ τὰ κάτω τοῖς ἄνω. Τούτῳ ὅμοιον τὸ ἀλλαχοῦ εἰρημένον. Ὅταν δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται, δηλονότι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα.

« Ὑπὲρ παντὸς γεύσηται θανάτου. » Εἰ γὰρ καὶ μὴ πάντες ἐσώθησαν διὰ τὴν οἰκείαν ἀπιστίαν, αὐτὸς μέν τοι τὸ οἰκεῖον ἐπὶ πάντας καὶ ὑπὲρ πάντας ἐποίησεν. « Ἔπρεπε γὰρ αὐτῷ. » Ἔπρεπε γὰρ, φησὶ, τῷ Θεῷ καὶ Πατρὶ, δι' ὃν τὰ πάντα, αὐτὸς δὲ πάντων αἴτιος. « Καὶ δι' οὗ τὰ πάντα. » Εἰ γὰρ D καὶ δι' οὗ τὰ πάντα, ὁ Πατήρ ἐστιν ὁ τὰ πάντα δημιουργήσας, ὁ τὸν Δημιουργὸν γεγεννηκώς. « Καὶ δι' οὗ τὰ πάντα. » Τὸ *δι' οὗ*, ἐπὶ τοῦ Πατρὸς κείμενον. « Πολλοὺς υἱοὺς » ἐνταῦθα τοὺς ἀνθρώπους καλεῖ. Τὸν εἰσαγαγόντα, φησὶν, ἐν τῇ τοῦ Μονογενοῦς δόξῃ τοὺς ἀνθρώπους τῇ τῆς υἱοθεσίας δωρεᾷ, τὸν ἀρχηγὸν τῆς σωτηρίας τούτων τῶν υἱῶν, τουτέστι, τὸν Χριστὸν, διὰ παθημάτων τελειῶσαι, οἷον διὰ τοῦ σταυροῦ τέλειον ἀποδεῖξαι καὶ ἔνδοξον. Τὸ δὲ τέλειον ὡς πρὸς ἡμᾶς εἴρηται τοὺς τελείως αὐτὸν κατειληφότας ἀγαθὸν καὶ φιλάνθρωπον διὰ τοῦ σταυροῦ, ἐπεὶ ἀεὶ αὐτὸς παντέλειος ἦν, καὶ ἀεὶ ὑπερένδοξος. Ὅρα δὲ τὴν διαφορὰν τῶν υἱῶν. Ὁ μὲν γὰρ γνήσιος,

ἡμεῖς δὲ θετοί. Ὁ μὲν σώζει, ἡμεῖς δὲ σωζόμεθα. «Διὰ παθημάτων τελειῶσαι.» Τουτέστι, τὸ ἐλλεῖπον αὐτῷ ἀναπληρῶσαι. Τί δὲ ἐνέλειπε τῷ Χριστῷ καθὸ νοεῖται ἄνθρωπος; τὸ ἀθάνατον δηλαδή, ἵνα τὸ κατ' εἰκόνα ἔχῃ ἀνελλιπῶς. Ἀνεπλήρωσεν οὖν αὐτῷ τὸ λεῖπον ὁ Πατὴρ διὰ τῆς ἀναστάσεως. Διὰ μέσου δὲ αὐτοῦ, πάντας ἀνθρώπους ἀναπληρῶν, καθὼς καὶ ἀλλαχοῦ φησιν ὁ αὐτὸς Ἀπόστολος· Καὶ τελειωθεὶς, γέγονε τοῖς εἰς αὐτὸν ἐλπίζουσι πρόξενος σωτηρίας ἀκαταλύτου. Οὕτως ὁ ἐν ἁγίοις Κύριλλος καὶ Σεβῆρος ἐν τῷ ρξδ' κεφαλαίῳ τοῦ *Φιλαλήθους*.

Ὁ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες. Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε. Καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ. Καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι, τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας.

«Ὁ ἁγιάζων,» τουτέστιν, ὁ Χριστὸς, «καὶ οἱ ἁγιαζόμενοι,» τουτέστιν οἱ ἄνθρωποι, ἐξ ἑνός ἐσμεν τοῦ Θεοῦ καὶ Πατρός. Ἀλλ' ὁ μὲν Χριστὸς ὡς Υἱὸς καὶ γνήσιον γέννημα καὶ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, ἡμεῖς δὲ ὡς κτίσμα καὶ υἱοθεσίας χάριτι ἠξιωμένοι. «Ἀδελφοὺς αὐτοὺς καλεῖν.» [ΦΩΤ.] Ἅμα γὰρ τὴν σάρκα ἑαυτῷ ἥνωσε, καὶ τὴν ἀδελφότητα ἐνεδύσατο. Εἰπὼν, Οὐκ ἐπαισχύνεται, ἔδειξε τὸ διάφορον. Οὐ γὰρ κατὰ φύσιν ἀδελφὸς καίτοι ὢν ἀληθῶς ἄνθρωπος, ἀλλὰ κατὰ φιλανθρωπίαν, ἐπειδή ἐστι καὶ ἀληθῶς Θεός. «Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ.» Ἐπειδὴ ἄνω εἶπεν αὐτὸν ἀδελφὸν καὶ κάτω πατέρα, ἐν μέσῳ ἐσήμανεν ὅτι ταῦτα μὲν φιλανθρωπίας ὀνόματα καὶ χάριτος τῆς αὐτοῦ, τῇ δὲ φύσει καὶ ἀληθῶς Θεός ἐστι, φησί. Τίς γὰρ πέποιθεν ἐπὶ ἑτέρῳ τινὶ, εἰ μὴ ἐπὶ μόνῳ Θεῷ; ὡσεὶ ἔλεγε· Μὴ ἀκούοντες αὐτὸν ἀδελφὸν καὶ πατέρα, νομίσητε ἵνα εἶναι τῶν πολλῶν· Θεός ἐστι, φησὶν, ἐφ' ὃν γέγραπται πεποιθέναι χρεών. «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία.» Πατέρα τὸν Χριστὸν ἐποίησεν ἡμῶν. Τὸ δὲ, Ἔδωκε, διὰ τὴν ἀνθρωπότητα. Ὅμοιον τοῦ, «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.» — «Ἐπεὶ οὖν, φησὶ, τὰ παιδία,» τουτέστιν, οἱ ἄνθρωποι, «κεκοινωνήκασι σαρκὸς καὶ αἵματος, παραπλησίως,» τουτέστιν, ὁμοίως ἐξ ἀληθείας οὐ κατὰ φαντασίαν τινὰ, ὥς τινες αἱρετικοὶ λέγουσι, καὶ αὐτὸς σαρκὸς καὶ αἵματος μέτοχος γέγονεν, ἵνα καὶ ἐν τούτῳ δείξῃ τὸ φιλόπαις εἶναι.

Ἄλλως. [ΚΥΡΙΛ.] Ἡμεῖς, οἱ ἐν τέκνοις ἠριθμημένοι, Θεοῦ κεκοινωνήκαμεν αἵματος καὶ σαρκὸς,

Vide autem filiorum diversitatem; ipse enim naturalis est, nos autem adoptati: ipse salvat, nos autem salvamur. « Per afflictiones perfectum redderet. » Hoc est, quod ipsi deerat expleret. Quid autem Christo deerat quatenus homo intelligitur? Immortalitas videlicet, ut imaginem haberet cui nihil deesset. Complevit itaque Pater quod deerat per resurrectionem. Per medium vero ipsius omnes explevit homines, **330** quemadmodum etiam alibi dicit ipse Apostolus: Porro perfectus redditus omnibus qui sibi obedierunt fuit causa salutis indissolubilis. Ita sentit divus Cyrillus ac Severus centesimo sexagesimo quarto capite Φιλαλήθους.

11,-15. *Quandoquidem et qui sanctificat et qui sanctificantur ex uno sunt omnes. Quam ob causam non erubescit fratres illos vocare, dicens: Annuntiabo nomen tuum fratribus meis, in medio Ecclesiæ laudabo te. Et rursum: Ego ero fidens in illo. Et iterum: Ecce ego et filii quos dedit mihi Deus. Quandoquidem igitur filii commercium habent cum carne et sanguine, et ipse pariformiter particeps factus est eorumdem, ut per mortem aboleret eum qui mortis robur habebat, hoc est, diabolum: et liberos redderet eos, quicunque metu mortis per omnem vitam obnoxii erant servituti.*

« Qui sanctificat, » hoc est, Christus, « et qui sanctificantur, » id est, homines, ex uno sumus Deo et Patre. Sed Christus quidem, ut Filius et naturalis progenies et ex substantia Patris, nos autem ut creatura et qui gratiam adoptionis accepimus. — « Fratres illos vocare. » Simul enim carnem sibiipsi univit, et fraternitatem induit. Dicens: Non erubescit, ostendit diversitatem et excellentiam. Siquidem juxta naturam frater non erat, licet vere homo esset: sed ex benignitate, quandoquidem etiam vere Deus erat. « Ego ero fidens in illo. » Quoniam superius dixit illum fratrem et inferius patrem, in medio significavit quod hæc quidem benignitatis nomina sunt et gratiæ ipsius, natura autem et veritate Deus est, inquit. Quis enim in alio quoquam fidit nisi in solo Deo? Ac si diceret: Ne audientes ipsum esse fratrem ac patrem existimetis unum quempiam esse e vulgo, Deus est, inquit, in quem scriptum est oportere fidere. « Ecce ego et filii. » Patrem nostrum fecit Christum. Ait autem: Dedit, propter humanitatem, veluti est illud: « Postula a me et dabo tibi gentes hæreditatem tuam [19]. » **331** « Quandoquidem igitur filii, » hoc est, homines, « commercium habent cum carne et sanguine; pariformiter, » hoc est, similiter et vere, non juxta phantasiam aliquam, ut quidam dicunt hæretici, et ipse carnis et sanguinis particeps factus est: ut in hoc quoque demonstraret quem erga filios haberet amorem.

Alio modo. Nos qui inter filios Dei numerati sumus, commercium habemus sanguinis et car-

[19] Psal. II, 8.

nis: hoc est, in sanguine sumus et carne, et in corruptibilibus terrenisque corporibus. Hanc ob causam unigenitum Dei Verbum, cum juxta naturam vita esset, particeps factus est horum: nec id secundum alium modum, sed pariformiter nobiscum. « Ut per mortem. » Deinde etiam incarnationis causam dicit, ut aboleretur, inquit, diabolus qui mortis robur habebat, aboleretur autem per mortem. Tanquam diceret: O Dei sapientiam! Per mortem habuit diabolus robur, per mortem abolebitur. Nam his armis adversus eum usus est Christus, quibus ipse potens fuit. Quomodo autem dominatur morti? Quia dominium habens in peccatum ex que procedit mors, etiam dominatur morti, cum robur mortis sit peccatum. Qui igitur peccatum habet, ipsiusque inventor est, robur habet mortis. Diximus enim peccatum robur esse mortis, ut sit iste sensus: Per propriam mortem abolevit diabolum habentem subjectum sibi peccatum, quod est fortitudo ac robur mortis: nisi enim hoc expugnasset hominem, mors nequaquam intrasset in mundum. — « Quicunque metu mortis. » Priusquam, inquit, aboleretur mors, per totam vitam homines obnoxii erant ac subjecti timori servitutis: timebant enim mortem quæ nondum abolita erat: et nihil sæcularium voluptatum delectare poterat cordatos, idque timore mortis, in modum crudelis ac sævi domini, instanto semper ac exterrente eos qui erant in terra. « Obnoxii erant servituti. » Timebant homines mortem, ut qui obnoxii erant servituti ipsius. Servitus autem mortis est, detineri ac subjectum esse peccato. Fortitudo enim et aculeus mortis est peccatum. Cum enim Christus sua morte abolevit eum qui mortis robur habebat, hoc est, diabolum, inventorem ac auctorem peccati, merito imbecille efficitur peccatum: **332** merito liberati sumus a servitute quæ erat ex invalescentia ipsius: merito liberi effecti sumus a timore qui ex morte procedebat. Atque id in ipsis quoque operibus contingit perspicere. Nam qui antea tanquam maximum et inevitabile malum timebant ac devitabant mortem, ad ipsam nunc gaudentes accedunt, tanquam ad melioris vitæ mutationem et exordium, quando pro Christo ipsiusque legibus a persecutoribus inducitur. An non ergo manifeste liberavit nos Salvator a timore mortis ac servitute quæ inde procedebat?

II, 16-18. *Non enim videlicet angelos apprehendit, sed semen Abrahæ apprehendit. Unde debuit per omnia fratribus similis reddi, ut misericors esset et fidelis pontifex in his quæ ad Deum forent agenda, ad expiandum peccata populi. Nam ex hoc quod ipsi contigit tentatum esse, potest et iis qui tentantur succurrere.*

« Sed semen Abrahæ apprehendit. » Cum ait: Apprehendit, significat quod nos quidem homines ipsum fugiebamus, Christus vero persequebatur, et persequendo attigit, ac attingens apprehendit.

τουτέστιν, ἐν αἵματί ἐσμεν καὶ σαρκὶ, καὶ ἐν φθαρτοῖς καὶ γηΐνοις σώμασι. Ταύτης ἕνεκα τῆς αἰτίας ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος ζωὴ κατὰ φύσιν ὑπάρχων μετέσχε τῶν αὐτῶν, καὶ οὐ καθ' ἕτερον τρόπον, ἀλλὰ παραπλησίως ἡμῖν. « Ἵνα διὰ τοῦ θανάτου. » Εἶτα καὶ τῆς ἐνανθρωπήσεως λέγει τὴν αἰτίαν. Ἵνα, φησὶ, καταργηθῇ ὁ τὸ κράτος ἔχων τοῦ θανάτου διάβολος· καταργηθῇ δὲ διὰ τοῦ θανάτου, ὡς εἰ εἶπεν· Ὦ σοφίας Θεοῦ! Διὰ τοῦ θανάτου ἴσχε τὸ κράτος ὁ διάβολος, διὰ τοῦ θανάτου καταλυθήσεται. ὯΙ γὰρ ἴσχυσεν ὅπλῳ, τούτῳ κατ' αὐτοῦ ὁ Χριστὸς ἐχρήσατο. Πῶς δὲ ἄρχει τοῦ θανάτου; Ὅτι τῆς ἁμαρτίας ἄρχων ἐξ ἧς ὁ θάνατος, καὶ τοῦ θανάτου ἄρχει· ἦγουν κράτος θανάτου ἡ ἁμαρτία. Ἔχων οὖν τὴν ἁμαρτίαν καὶ εὑρετὴς αὐτῆς ὑπάρχων, τὸ κράτος ἔχει τοῦ θανάτου, (εἴπομεν γὰρ τὴν ἁμαρτίαν εἶναι τὸ κράτος τοῦ θανάτου,) ἵνα οὕτως εἴῃ· Διὰ τοῦ οἰκείου θανάτου κατήργησε τὴν ἁμαρτίαν ὑποχείριον ἔχοντα τὸν διάβολον, ἥτις ἐστὶν ἰσχὺς καὶ κράτος τοῦ θανάτου. Εἰ γὰρ μὴ αὕτη κατίσχυσε τοῦ ἀνθρώπου, οὐκ ἂν ὁ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον.—« Ὅσοι φόβῳ θανάτου. » [ΦΩΤ.] Πρὶν, φησὶ, καταργηθῇ ὁ θάνατος, δι' ὅλου τοῦ ζῆν οἱ ἄνθρωποι ἔνοχοι ἦσαν, καὶ ὑπέκειντο φόβῳ δουλείας. Ἐδεδοίκεσαν γὰρ τὸν οὔπω καταργηθέντα θάνατον. Καὶ οὐδὲν, φησὶ, τοὺς ἀρτίφρονας ἴσχυε τέρψαι τῶν τοῦ βίου τερπνῶν, τοῦ διὰ τὸν θάνατον φόβου, δίκην ὠμοῦ καὶ ἀπηνοῦς δεσπότου, ἐφισταμένου καὶ ἐκφοβοῦντος τοὺς ἐπὶ γῆς. « Ἔνοχοι ἦσαν δουλείας. » Ἐδεδοίκεσαν οἱ ἄνθρωποι τὸν θάνατον, ὡς ἔνοχοι ὄντες τῆς τούτου δουλείας. Δουλεία δὲ τοῦ θανάτου τὸ ἐνέχεσθαι καὶ ὑποκεῖσθαι τῇ ἁμαρτίᾳ. Ἰσχὺς γὰρ καὶ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία. Ἐπεὶ οὖν ὁ Χριστὸς διὰ θανάτου κατήργησε τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι, τὸν διάβολον, τὸν εὑρετὴν καὶ ἀρχηγὸν τῆς ἁμαρτίας, εἰκότως ἀσθενὴς γίνεται ἡ ἁμαρτία· εἰκότως ἀπηλλάγημεν τῆς κατὰ τὴν ἐπικράτειαν αὐτῆς δουλείας· εἰκότως ἠλευθερώμεθα τοῦ κατὰ τὸν θάνατον φόβου. Καὶ ἔστι τοῦτο καὶ ἐν αὐτοῖς τοῖς ἔργοις σαφῶς κατιδεῖν. Οἱ γὰρ πρὶν ὡς μέγιστον κακὸν καὶ ἀνυπέρβλητον φοβούμενοί τε καὶ ἀποτρεπόμενοι τὸν θάνατον, νῦν ὡς βελτίονος βίου μεταβολὴν καὶ προοίμιον, χαίροντες πρὸς αὐτὸν χωροῦσιν, ὅταν ὑπὲρ Χριστοῦ καὶ τῶν αὐτοῦ νόμων παρὰ τῶν διωκόντων ἐπάγηται. Ἆρα οὐ περιφανῶς ἀπήλλαξεν ἡμᾶς ὁ Σωτὴρ τοῦ κατὰ τὸν θάνατον φόβου, καὶ τῆς ἐκεῖθεν δουλείας;

Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

« Ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. » Τὸ Ἐπιλαμβάνεται δηλοῖ, ὅτι ἡμεῖς μὲν αὐτὸν ἐφεύγομεν οἱ ἄνθρωποι, ὁ δὲ Χριστὸς ἐδίωκε, καὶ διώκων ἔφθασε καὶ φθάσας ἐπελάβετο. Οὐκ ἀγγέλων φύσεως

ἐράξατο οὐδὲ ἀνέλαβεν, ἀλλ' ἀνθρωπίνης. Εἶτα καὶ ἐξ Ἰούδα τὸ κατὰ σάρκα ὁ Χριστὸς σημᾶναι βουλόμενος, φησὶ, Σπέρματος Ἀβραάμ. « Ὅθεν ὤφειλε. » Ἐπειδὴ ὅλως ἐπιλαβέσθαι ἠξίωσε, τούτου λοιπὸν κατὰ τὸ ἀκόλουθον, ὤφειλε κατὰ πάντα ὁμοιωθῆναι τοῖς ἀνθρώποις. Καὶ γὰρ ἐγεννήθη, καὶ ηὐξήθη, ἔφαγεν, ἔπιεν, ὕπνωσεν, ἀπέθανεν, ἀνέστη. « Ἵνα ἐλεήμων γένηται. » Ταῦτα δὲ πάντα, φησὶν, ὡκονόμησε κατ' ἄλλο μὲν οὐδὲν, ἢ ἵνα ἐλεήσῃ τοὺς ἐπὶ γῆς, καὶ ἀνελκύσῃ ἐκ τοῦ πτώματος. « Καὶ πιστὸς ἀρχιερεύς. » Πιστὸς, ἀληθής. Ἴδιον γὰρ τοῦ ὄντως καὶ ἀληθῶς ἀρχιερέως, τοὺς ὧν ἐστιν ἀρχιερεὺς, ἀπαλλάξαι τῶν ἁμαρτιῶν. Ἵνα οὖν προσενέγκῃ θυσίαν δυναμένην ἡμᾶς καθαρίσαι, γέγονεν ἄνθρωπος καὶ ἑαυτὸν προσήνεγκεν. Εἶτα ἐπάγει πῶς γέγονε, καὶ διατί πιστὸς ἀρχιερεύς. Εἰς τὸ ἱλάσκεσθαι, φησὶ, τὰς ἁμαρτίας τοῦ λαοῦ. Διὰ τοῦτο γὰρ γέγονεν, εἰς τὸ ἐξιλεώσασθαι ἡμᾶς καὶ καθαρίσαι τῶν ἁμαρτιῶν ἡμῶν. « Τὰ πρὸς τὸν Θεόν. » Τῶν πρὸς Θεὸν, καὶ εἰς Θεὸν ἀνηκόντων πραγμάτων. Ἐν τούτοις γὰρ γέγονεν ἡμῶν ἀρχιερεὺς, οὐκ ἐν τῷ σωματικὰς δεκάτας καὶ ἀπαρχὰς ἀπαιτῆσαι, ἀλλ' εἰδὲν ἡμᾶς ἐκπεπολεμωμένους πρὸς τὸν Θεὸν καὶ ἀπερρίμμένους, καὶ ἐλεήσας ἡμᾶς, ἑαυτὸν ἡμῖν ἔδωκεν ἀρχιερέα. « Ἐν ᾧ γὰρ πέπονθε, αὐτὸς πειρασθείς. » Ταπεινὸν τὸ εἰρημένον, πλὴν οὐκ ἔξω τῶν τῆς κενώσεως μέτρων. Ἔπειτα καὶ διὰ τὸ νηπιώδες τῶν ἀκουόντων εἴρηται. Τί γάρ φησιν; Ἐν ᾧ γὰρ πέπονθε, τουτέστιν, ἐπειδὴ πέπονθεν αὐτὸς εἰς οἰκεῖον σῶμα πειρασθείς, προθυμότερον βοηθήσει τοῖς πειραζομένοις. Ὡς εἰ εἶπεν· Πεῖρα μαθὼν τί ἐστι τὸ πειρασμοῖς περιπεσεῖν, οὐχ ὡς Θεὸς μόνον, ἀλλὰ καὶ ὡς ἄνθρωπος πεῖρα μαθὼν τὸ πάθος (δύναται, τουτέστι, προθυμότερον ὀρέξει χεῖρα τοῖς πειραζομένοις. — Ἢ, [ΦΩΤ.] Δύναται τοῖς πειραζομένοις βοηθῆσαι, οὕτως ἐκληπτέον. Ἐπειδὴ γὰρ, φησὶν, ἀναμαρτήτῳ σώματι τῷ Δεσποτικῷ ἐπεπήδησεν ὁ Πονηρὸς, καὶ πειρασμοῖς περιβαλεῖν ἐπειράθη· (διὰ γὰρ ἑαυτοῦ προσέβαλε πειράζων· καὶ τοὺς Ἰουδαίους αὐτὸς ἦν ὁ ἀνερεθίζων εἰς τὴν κατὰ τοῦ Δεσπότου μιαιφονίαν·) ἐπεὶ οὖν ἀναμάρτητον ἔχων σῶμα ἐπειράσθη καὶ πέπονθεν, ἰσχὺν δικαίαν καὶ εὔλογον ἔχει κατὰ τοῦ Πονηροῦ, καὶ τοὺς ὑφ' ἁμαρτίας τελοῦντας ἀνθρώπους ἁρπάζειν τῶν ἐκεῖθεν ἐπαγομένων πειρασμῶν, καὶ βοηθὸς καθίστασθαι τοῖς πειραζομένοις. Ἡ γὰρ κατὰ τοῦ ἀναμαρτήτου σώματος θρασύτης τοῦ πονηροῦ εὔλογον καὶ δικαίαν τῷ Δεσπότῃ παρέσχεν ἰσχὺν, εἰς τὸ ῥύεσθαι τοὺς ὑφ' ἁμαρτίαν τῶν ἐκεῖθεν πειρασμῶν, καὶ βοηθὸν εὑρίσκεσθαι τοῖς πειραζομένοις.

A Non angelicam naturam apprehendit aut assumpsit, sed humanam. Deinde etiam significare volens Christum ex Juda assumpsisse quod secundum carnem habebat, ait: Semen Abrahæ. « Unde debuit. » Quandoquidem omnino dignutus est apprehendere, reliquum ad hoc erat et ex consequenti, quod debuit per omnia similis reddi hominibus. Etenim natus est, sumpsit augmentum, comedit, bibit, dormivit, mortuus est ac resurrexit. « Ut misericors esset. » Hæc autem omnia, inquit, ad nihil aliud ita disposuit, quam ut eorum qui in terra sunt misereretur et de lapsu erigeret. « Et fidelis pontifex. » Fidelis, verax. Proprium enim est ejus qui certo ac vere pontifex est, liberare a peccatis illos quorum est pontifex. Ut igitur hostiam offerat quæ nos purificare valeat, factus est B homo ac seipsum obtulit. Deinde subdit quomodo et quamobrem factus sit fidelis pontifex: ad expiandum, inquit, peccata populi. Quare enim factus est? Ad expiandum nos et purificandum a peccatis nostris. « In his quæ ad Deum forent. » In rebus quæ ad Deum spectarent. 333 Nam in his factus est pontifex noster: non ut corporales decimas ac primitias exigeret, sed noverat nos inimicos effectos esse et abjectos apud Deum, ac misertus nostri seipsum nobis dedit pontificem. « Nam ex hoc quod ipsi contigit tentatum esse. » Abjectum est quod dicitur, nec tamen excedit modum exinanitionis. Deinde etiam propter eorum C qui audiunt infantiam, dictum est. Quid enim ait? Ex hoc quod ipsi contigit: hoc est, quandoquidem ipsi accidit ut ipse proprio corpore tentaretur et afflingeretur, promptius auxiliabitur his qui affliguntur. Ac si diceret: Cum experientia didicerit, quid sit in tentationes et afflictiones incidere: non solum ut Deus, verumetiam ut homo qui experientia percepit afflictionem, potest, id est, promptius manum porriget afflictis. *Aut:* — Potest iis qui tentantur succurrere, ita accipiendum est. Nam quia malignus ille insiliit in corpus Dominicum quod expers erat omnino peccati, et tentationibus et afflictionibus implicare conatus est: nam et per seipsum tentando occurrit, et Judeos ipse in eadem adversus Dominum concitavit: quia igitur, cum D corpus haberet nulli peccato obnoxium, tentatum ac passus est: juste ac rationabiliter fortitudinem habet adversus illum malignum, ut etiam homines qui sub peccatum redacti sunt, ab iniquis inde afflictionibus eripiat, et auxiliator constituatur his qui tentantur et affliguntur. Siquidem illa maligni audacia ac temeritas adversus corpus nulli obnoxium peccato, rationabilem ac justam tribuit Domino potentiam, ut eos qui peccato obnoxii erant eriperet ab afflictionibus inde emergentibus, et auxiliator inveniretur his qui tentantur et affliguntur.

ΚΕΦΑΛ. Δ'.

Ὅτι πιστευτέον Χριστῷ ὡς Μωσεῖ ἐπιστευσαν, καθ' ὑπεροχὴν δὲ τὴν τοῦ Θεοῦ πρὸς ἄνθρωπον.

Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα

CAPUT IV.

Quod Christo credendum sit quemadmodum Mosi crediderant, tantoque id melius quanto dignior est Deus homine.

III, 1-3. *Unde, fratres sancti, vocationis cœlestis participes, considerate* 334 *apostolum et pontifi-*

cem confessionis nostræ Christum Jesum: quod fidelis sit ei qui ipsum fecit, quemadmodum Moses in tota domo sua. Tanto namque majore gloria quam Moses hic dignus est habitus, quanto majorem habet honorem is qui construxit domum quam ipsa domus.

A τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστόν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν ὡς καὶ Μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.

Si igitur participes ac socii estis vocationis cœlestis, quæ ibi sunt quærite, nullaque vobis ratio sit eorum quæ hic sunt. « Apostolum et pontificem. » ubi ad dispensationem pervenit, omnia deinceps humilia intrepide eloquitur. Apostolum autem sive legatum dicit ipsum, quia missus est a Patre tanquam homo. Confessionis vero, fidei. « Quod fidelis sit. » Fidem, inquit, servavit beneplacentem Patri, idemque cum eo sensit de servando populo. Ei, inquit, qui ipsum fecit apostolum ac B pontificem, hoc est, Patri suo. Nihil autem admirandum si ita loquatur, facta jam semel dispensationis mentione. « Et qui ipsum fecit. » Quid fecit? Apostolum ac pontificem. Hoc loco non de substantia loquitur neque de divinitate, sed de dignitatibus humanis. « Quemadmodum Moses in tota domo sua. » Futurum est ut in progressu præponat Christum Mosi: verum quoniam hi ad quos est sermo, etsi fideles erant, plurimum tamen et gloriæ et honoris adhuc Mosi deferebant, ne protinus suas obturarent aures, non statim præponit Christum Mosi, sed interim æquat, deinde in progressu præponit. Suam autem domum vocavit populum: porro populum dixit Mosis, quoniam ipsis præfectus erat. Nam et Deus dixit ad eum: C « Peccavit populus tuus [39]. » — « Quemadmodum et Moses, » inquit. Frustra igitur me calumniantur apud vos, qui me dicunt defectionem a Mose docere, et erga ipsum inimico affectum esse animo. Hoc autem clam et non ex proposito sermone inducit, ut magis persuadeat: nam quod ad defensionem paratum est, suspicioni magis subjacet. « Majori gloria hic dignus. » Cum dixisset æqualitatem Christi ad Mosem, nunc paulatim dixit excellentiam. « Majore hic. » Quis? Qui juxta carnem intelligitur Christus. « Majore gloria quam Moses hic dignus est habitus, quanto majorem habet honorem is qui construxit domum quam ipsa domus. » Extremam nunc ponit præeminentiam, D **335** quantaque est Dei ad hominem, et ait: Fidelis quidem erat Moses super totam domum, id est, populum, ipse tamen etiam ex domo erat et unus e populo. Tanto igitur Christus juxta carnem majore gloria dignus est habitus quam Moses; quanto, inquit, æquum est Creatorem præcellere creaturæ: nam, quanto majorem, inquit, habet honorem is qui domum construxit, quam ipsa domus. Siquidem domum hoc loco populum appellat, qui cum Mose erat: quandoquidem et Moses unus erat e populo: exstructor vero domus erat Christus.

Εἰ οὖν μέτοχοι καὶ κοινωνοί ἐστε τῆς κλήσεως τῆς ἐπουρανίου, τὰ ἐκεῖ ζητεῖτε, καὶ τῶν ἐνταῦθα λόγος ὑμῖν ἔστω μηδείς. « Τὸν ἀπόστολον καὶ ἀρχιερέα. » Ἐλθὼν εἰς τὴν οἰκονομίαν, ἅπαντα λοιπὸν ἀδεῶς τὰ ταπεινὰ φθέγγεται. Ἀπόστολον δὲ αὐτόν φησι, διότι ἀπέσταλται παρὰ τοῦ Πατρὸς ὡς ἄνθρωπος. Ὁμολογίας δὲ, τῆς πίστεως. « Πιστὸν ὄντα. » Εὐνοϊκὸν, φησὶ, πίστιν τετηρηκότα τῷ Πατρὶ, καὶ τὸ αὐτὸ φρονοῦτα αὐτῷ περὶ τὸ σώζειν τὸν λαόν. Τῷ ποιήσαντι αὐτὸν, φησὶν, ἀπόστολον καὶ ἀρχιερέα, τουτέστι, τῷ Πατρὶ αὐτοῦ. Οὐδὲν δὲ ἐνταῦθα θαυμαστὸν εἰ οὕτω λέγει, ἅπαξ τῆς οἰκονομίας ἐπιλαβόμενος. « Τῷ ποιήσαντι αὐτόν. » Τί ποιήσαντι; ἀπόστολον καὶ ἀρχιερέα. Ἐνταῦθα οὐ περὶ οὐσίας φησὶν, οὐδὲ περὶ θεότητος, ἀλλὰ περὶ ἀξιωμάτων ἀνθρωπίνων. « Ὡς καὶ Μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. » Μέλλει προτιὼν τὸν κατὰ σάρκα Χριστὸν, προτιθέναι Μωσέως, ἀλλ' ἐπειδὴ εἰ καὶ πιστοὶ ἦσαν οὗτοι πρὸς οὓς ὁ λόγος, μεγάλας ἔτι δόξας εἶχον περὶ Μωσέως, ἵνα μὴ εὐθέως ἀποφράξωσιν αὐτῶν τὰ ὦτα, οὐκ εὐθέως προτίθησι Μωσέως τὸν Χριστὸν, ἀλλὰ τέως ἐξισοῖ, εἶτα προΐων προτίθησιν. Οἶκον δὲ αὐτοῦ τὸν λαὸν ἐκάλεσεν. Αὐτοῦ δὲ τὸν λαὸν εἶπε τοῦ Μωσέως, διότι προεστήκει αὐτῶν. Καὶ γὰρ ὁ Θεός φησι πρὸς αὐτὸν, « Ὁ λαός σου ἥμαρτεν. » —[ΦΩΤ.]« Ὡς καὶ Μωϋσῆς· » ὥστε μάτην διαλοιδοροῦνταί μοι πρὸς ὑμᾶς οἱ ἀποστασίαν με λέγοντες ἀπὸ Μωσέως διδάσκειν, καὶ πρὸς αὐτὸν δυσμενῶς διακεῖσθαι. Λεληθότως δὲ τοῦτο καὶ οὐ κατὰ προηγούμενον λόγον εἰσάγει, ἵνα μᾶλλον πείσῃ. Τὸ γὰρ εἰς ἀπολογίαν παρεσκευασμένον μᾶλλον ὑποπτον. « Πλείονος γὰρ δόξης οὗτος. » Εἰπὼν τὴν πρὸς Μωσῆν ἰσότητα τοῦ Χριστοῦ, νῦν ἤρεμα τὴν ὑπεροχὴν λέγει, « Πλείονος οὗτος. » Τίς; ὁ κατὰ σάρκα νοούμενος Χριστός. « Παρὰ Μωσῆν δόξης ἠξίωται, καθ' ὅσον, φησὶ, πλείονα τιμὴν ἔχει τοῦ οἴκου, ὁ κατασκευάσας αὐτόν. » Νῦν τὴν ὑστάτην ὑπεροχὴν, καὶ ὅση Θεοῦ πρὸς ἄνθρωπον λέγει, καί φησι· Πιστὸς μὲν ἦν Μωσῆς ὑπὲρ πάντα τὸν οἶκον, τουτέστι, τὸν λαόν. Πλὴν καὶ αὐτὸς τοῦ οἴκου ἦν, καὶ τοῦ λαοῦ εἷς. Τοσοῦτον οὖν πλείονος δόξης ὁ κατὰ σάρκα Χριστὸς παρὰ Μωσῆν ἠξίωται, ὅσον εἰκὸς, φησὶ, τὸν δημιουργὸν τοῦ δημιουργήματος. Ὅσον γὰρ, φησὶ πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. Οἶκον γὰρ ἐνταῦθα, τὸν λαὸν σὺν τῷ Μωσεῖ λέγει, ἐπειδὴ καὶ Μωσῆς, εἷς ἦν τοῦ λαοῦ· ποιητὴς δὲ τοῦ οἴκου ὁ Χριστός.

III, 4-6. *Omnis enim domus constituitur ab aliquo. Porro qui condidit omnia, Deus est. Et Moses*

Πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος. Ὁ δὲ τὰ πάντα κατασκευάσας Θεός. Καὶ Μωσῆς

[39] Exod. XXXII, 7.

μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων εἰς μαρτύριον τῶν λαληθησομένων. Χριστὸς δὲ, ὡς Υἱὸς, ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐὰν περ τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν.

A *quidem fidelis fuit in tota domo illius veluti minister, in testimonio eorum quæ dicenda erant. At Christus tanquam Filius administravit domum ipsius, cujus domus sumus nos, si loquendi libertatem et gloriationem spei, ad finem usque firmam tenuerimus.*

Ἐπειδὴ οἶκον τὸν λαὸν καὶ τὸν Μωσῆν ἐκάλεσεν, ἐνέμεινε τῇ τροπῇ, καί φησι· Δημιούργημα οὗτοί εἰσι καὶ δοῦλοι. Οὐ γὰρ ἔνι οἶκος, εἰ μή τι κατεσκευάσθη. Κατεσκεύασται δὲ τὰ πάντα, μεθ' ὧν καὶ ὁ οἶκος ὑπὸ τοῦ Χριστοῦ. Ὅσην οὖν εἰκὸς, φησὶ, διαφορὰν ἔχειν ποιητὴν ποιήματος, τοσαύτην ἔχει ὁ Χριστὸς πρὸς Μωσῆν. « Καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. » Εἶτα καὶ ἄλλην λέγει διαφορὰν Χριστοῦ καὶ Μωσέως, ὅτι ὁ μὲν ὡς δοῦλος ἦν πιστὸς, ὁ δὲ ὡς Υἱὸς γνήσιος καὶ ὁμοούσιος. Ἐπειδὴ γὰρ ἄνω πιστὸν ἐκάλεσε τὸν Χριστὸν, πιστὸν δὲ καὶ τὸν Μωσῆν, τὴν διαφορὰν τοῦ πιστοῦ ἐξηγεῖται. « Εἰς μαρτύριον τῶν λαληθησομένων. » Εἰς τὸ εἶναι μάρτυρα τῶν λαλουμένων παρὰ Θεοῦ τοῖς Ἰουδαίοις, ἵνα μὴ ἐν καιρῷ κρίσεως ἀρνήσωνται. Ἔθος γὰρ τῷ θεῷ καὶ οὐρανὸν καὶ γῆν καὶ φάραγγας προσλαμβάνειν εἰς μαρτυρίαν. « Ἄκουε γὰρ, φησὶν, οὐρανὲ, καὶ ἐνωτίζου, ἡ γῆ. » Καὶ πάλιν· « Ἀκούσατε, φάραγγες. » — « Χριστὸς δὲ ὡς Υἱός. » Εἰ γὰρ καὶ πιστὸς, φησὶ, παρ' ἐμοῦ ὠνόμασται, ἀλλ' ὡς Υἱὸς γνήσιός ἐστι πιστὸς, τὸ Πατρῷον ἀποπληρῶν θέλημα, μᾶλλον δὲ τὸ κοινὸν τῆς ἁγίας Τριάδος. « Οὗ οἶκός ἐσμεν ἡμεῖς. » Οὗ Χριστοῦ οἶκός ἐσμεν οἱ πιστοὶ, κατὰ τὸ, « Ἐνοικήσω ἐν αὐτοῖς. » — « Ἐάν περ τὴν παῤῥησίαν. » Ἐσόμεθα αὐτοῦ οἶκος, ἐὰν μὴ ἐγκαλυπτώμεθα ἐπὶ τῇ εἰς αὐτὸν πίστει, ἀλλὰ μετὰ παῤῥησίας καυχώμεθα, καὶ τὰ χρηστὰ λήψεσθαι παρ' αὐτοῦ ὡς θεοῦ ἐλπίζωμεν, μὴ σαλευόμενοι μηδὲ διστάζοντες ἔν τινι.

Quoniam domum vocaverat populum et etiam Mosen, permansit in tropo, et ait: Creatura sunt hi atque servi. Non enim contingit esse domum nisi aliquid exstruatur: exstructa sunt autem omnia a Christo, inter quæ etiam est ipsa domus. Quantam ergo æquum est ut habeat præcellentiam is qui condidit supra opus quod condidit, tantam habet Christus supra Mosen. « Et Moses quidem fidelis fuit in tota domo illius. » Deinde aliam B quoque ponit differentiam inter Mosen et Christum, quod ille quidem tanquam servus erat fidelis, hic vero tanquam Filius naturalis et ejusdem substantiæ. Quoniam enim superius fidelem vocavit Christum, fidelem autem et Mosen, narrat differentiam in fidelitate. « In testimonium eorum quæ dicenda erant. » Ut testis esset eorum quæ Judæis dicerentur a Deo, ne judicii tempore id factum esse negarent. Deo enim moris est et cœlum et terram ac valles in testimonium assumere. « Audi, inquit, cœlum, et auribus percipe, terra [21]. » Et rursum: « Audite, valles. » — « At Christus tanquam Filius. » Nam licet a me, inquit, nominatus sit fidelis, sed tanquam Filius naturalis est fidelis, Paternam explens voluntatem, magis autem eam quæ sanctæ Trinitati communis est. « Cujus domus sumus nos. » C Cujus Christi domus sumus fideles, **336** juxta illud: « Inhabitabo in illis [22]. » — « Si loquendi libertate. » Erimus domus ipsius si non erubuerimus ob fidem quæ ipsum est, sed cum dicendi libertate gloriemur: et quæ utilia sunt ab ipso tanquam a Deo nos accepturos speremus, non vacillantes, nec in aliquo dubitantes.

Διὸ καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν. Ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. Διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, Ἀεὶ πλανῶνται τῇ καρδίᾳ. Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

III, 7-11. *Quapropter sicut dicit Spiritus sanctus: Hodie si vocem ejus audieritis, ne obduretis corda vestra, sicut in exacerbatione in die tentationis in deserto, ubi tentaverunt me Patres vestri, probaverunt me et viderunt opera mea quadraginta annis. Quapropter infensus fui generationi illi, et dixi: Semper hi errant corde; ipsi vero non cognoverunt vias meas, ut jurarem in ira mea, si introibunt in requiem meam.*

D

Εἰπὼν ὅτι χρὴ τὰ χρηστὰ ἐλπίζειν παρὰ τοῦ Χριστοῦ, νῦν φησιν ὅτι οὐ δεῖ πρὸς τὴν πίστιν καὶ τὴν ἐλπίδα ταύτην ἀποσκληρῦναι τὴν καρδίαν ἡμῶν, ἵνα μὴ πάθωμεν ἅπερ οἱ ἐν τῇ ἐρήμῳ ἀπιστήσαντες πεπόνθασι. Τὸ δὲ *σήμερον*, τὸ *ἀεὶ* δηλοῖ, ὡσεὶ ἔλεγεν· Ὅτε δή ποτε καὶ ἕως ἐστὶ τὸ σήμερον ἐὰν ἀκούσητε τὴν φωνὴν τοῦ καλοῦντος Χριστοῦ, μὴ σκληροὶ καὶ δυσήνιοι γένησθε τὰς καρδίας εἰς τὸ μὴ ὑπακοῦσαι αὐτοῦ. « Μὴ σκληρύνητε. » Τὸ γὰρ σκληρὸν καὶ δύσεικτον καὶ ἀκαμπὲς, πρὸς τὸν διαλεγόμενόν

Ubi dixit quod oporteat utilia sperare a Christo, nunc ait quod ad fidem et spem istam non oporteat obdurare corda nostra, ne contingant nobis quæ contigerunt his qui in deserto fuerunt increduli. *Hodie* autem, significat *semper*, ac si diceret: Quandocunque et quoad appellatur dies hodiernus, si audieritis vocem loquentis Christi, ne duri et effrenes efficiamini cordibus ad non audiendum ipsum. « Ne obduretis. » Durum enim est id quod ægre obtemperat, et flecti non potest ad eum qui

[21] Deut. XXXII, 1. [22] Levit. XXVI, 12; II Cor. VI, 16.

disserit. « Corda vestra. » Etenim Israelitæ, inquit, duro corde facti, exacerbaverunt et ad iram provocaverunt Deum qui ipsis loquebatur. « In die tentationis. » Et qualis fuit hæc exacerbatio quæ in die facta est? quando increduli facti Deo, tentabant eum. « Num poterit, inquiunt, et panem dare aut parare mensam populo suo [21]? » — « Ubi tentaverunt me. » οὗ, id est, ubi, nempe in deserto. Aut οὗ πειρασμοῦ id est, qua tentatione tentaverunt me, ut οὗ sit articulus et non loci manifestativum. « Infensus sum generationi illi. » Hoc est, gravi et iracundo fui animo erga ipsam, eo quod semper a me desciscere et, meque tentaret. « Ut jurarem in ira mea. » In tantum, inquit, non cognoverunt vias meas, quousque ad hoc me induxerunt, ut jurarem quod ingressuri non essent in requiem meam, hoc est, terram promissionis, in quam cum ingressi essent, futurum erat ut a bellis quiescerent. **337** « Si introibunt in requiem meam. » Sed illi quidem cum increduli fuissent, non sunt ingressi Palæstinam. Nam hæc requies erat. Nobis autem, inquit, quid erit, cum non sit alia requies in terra, qua privandi sumus si Deo non credamus? Profecto, ait, etiam nunc erit vera requies, cujus illa vetus erat figura : et hac privandi estis, nisi Christo credideritis. Siquidem triplex est requies : una est Sabbatum, in quo requievit Deus ab operibus suis; secunda, promissa Palæstinæ terra : tertia, omnino vera, cujus duæ prædictæ figura erant, ubi fugit omnis luctus, dolor ac gemitus. Hac ergo, inquit, privandi estis, si Christo non credideritis.

III, 12 15. *Videte, fratres, ne quando sit in aliquo vestrum cor pravum incredulitatis, ut desciscat a Deo vivente; sed exhortemini vos invicem quotidie, quoad appellatur dies hodiernus : ne quis ex vobis obduretur seductione peccati. Siquidem participes facti sumus Christi, si sane initium substantiæ usque ad finem firmum tenuerimus, in hoc quod dicitur, Hodie si vocem ejus audieritis, ne obduretis corda vestra sicut in exacerbatione.*

Timentis verbum est : Videte, inquit, ne et vos propter incredulitatem vera privemini requie regni cœlorum. « Cor pravum. » Multa enim sunt prava corda incredulitatis sive incredula. Est enim cor pravum incredulum, quod pravum est ad non credendum, ad avaritiam, ad inferendam injuriam, ad ebrietatem, aliaque hujusmodi innumera. Magis autem et nulla facta comparatione, Cor pravum incredulum est quod a fide discedit quæ est in Deum. Videte igitur, inquit, ne quando sit in aliquo vestrum cor pravum incredulum : incredulitatem vero dico desciscere a Deo vivente. Bene autem ait : Cor pravum incredulum. Est enim et cor bonum incredulum, juxta illud : « Ne omni spiritui crediderilis, sed probate spiritus, num ex

[21] Psal. LXXVII, 19.

ἐστιν. « Τὰς καρδίας ὑμῶν. » Καὶ γὰρ οἱ Ἰσραηλῖται, φησὶ, σκληροὶ τὰς καρδίας γενόμενοι, παρεπίκραναν τὸν λαλοῦντα αὐτοῖς Θεόν. « Κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ. » Καὶ ποῖος οὗτος ὁ παραπικρασμὸς ὁ κατὰ τὴν ἡμέραν γενόμενος ; Ὅτε ἀπιστοῦντες τῷ Θεῷ, ἐπείραζον αὐτόν. « Μὴ δυνήσεται, φησὶ, καὶ ἄρτον δοῦναι, ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ ; » — « Οὗ ἐπείρασάν με. » Οὗ, ὅπου, τουτέστιν, ἐν τῇ ἐρήμῳ. Ἢ, *Οὗ ἐπείρασαν πειρασμοῦ*, ἵνα ᾖ τὸ, Οὗ, ἄρθρον, ἀλλὰ μὴ τόπου δηλωτικόν. « Προσώχθισα τῇ γενεᾷ ἐκείνῃ. » Οἷον, ἐπαχθῶς ἔσχον πρὸς αὐτὴν, διὰ τὸ ἀεὶ ἀπιστεῖν καὶ πειράζειν με. « Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου. » Εἰς τοσοῦτον, φησὶν, οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ἕως οὗ εἰς τοῦτό με ἤγαγον, ὥστε ὀμόσαι μὴ εἰσελθεῖν αὐτοὺς εἰς τὴν κατάπαυσίν μου, τουτέστι, τὴν γῆν τῆς ἐπαγγελίας, ἐν ᾗ εἰσελθόντες ἔμελλον ἀπὸ τῶν πολέμων ἀναπαύεσθαι. « Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. » Ἀλλ' ἐκεῖνοι μὲν ἀπιστήσαντες καὶ πειράσαντες τὸν Θεὸν οὐκ εἰσῆλθον εἰς Παλαιστίνην. Αὕτη γὰρ ἡ κατάπαυσις. Ἡμῖν δὲ τί ἔσται, φησὶ, μὴ οὔσης ἑτέρας καταπαύσεως ἐπὶ γῆς, ἧς μέλλομεν στερεῖσθαι ἀπειθοῦντες Θεῷ ; Ναὶ, φησὶν, ἔσται καὶ νῦν κατάπαυσις ἡ ἀληθινὴ, ἧς τύπος ἦν ἐκείνη ἡ παλαιὰ, καὶ μέλχετε ταύτης στερεῖσθαι, εἴπερ ἀπιστήσετε τῷ Χριστῷ. Καὶ γὰρ τρεῖς εἰσι καταπαύσεις. Μία τὸ Σάββατον, ἐν ᾧ κατέπαυσεν ὁ Θεὸς ἀπὸ τῶν ἔργων αὐτοῦ. Δευτέρα, ἡ ἐπηγγελμένη τῆς Παλαιστίνης γῆ. Τρίτη, ἡ ὄντως καὶ ἀληθὴς, ἧς τύπος ἦσαν αἱ εἰρημέναι δύο, ἡ βασιλεία τῶν οὐρανῶν, ἔνθα ἀπέδρα πᾶσα λύπη καὶ ὀδύνη καὶ στεναγμός. Ταύτης οὖν, φησὶ μέλλετε στερεῖσθαι ἀπειθήσαντες τῷ Χριστῷ.

Βλέπετε, ἀδελφοὶ, μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος. Ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται, ἵνα μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις ἀπάτῃ τῆς ἁμαρτίας. Μέτοχοι γὰρ γεγόραμεν τοῦ Χριστοῦ, ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν, ἐν τῷ λέγεσθαι· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ.

Φοβοῦντος τὸ ῥῆμα. Βλέπετε, φησὶ, μὴ καὶ ὑμεῖς διὰ τὴν ἀπιστίαν στερηθῆτε τῆς ὄντως ἀναπαύσεως, τῆς βασιλείας τῶν οὐρανῶν. « Καρδία πονηρά. » Πολλαὶ μέν εἰσι καρδίαι πονηραὶ ἀπιστίας. Ἔστι γὰρ καρδία πονηρὰ ἀπιστίας, τὸ μὴ πιστεύειν καλὸν εἶναι τὸ φιλοχρηματεῖν, τὸ ἄρχειν ὕβρεως, τὸ μεθύσκεσθαι, καὶ μυρία ἄλλα. Μεῖζον δὲ καὶ ἀσυγκρίτως, καρδία ἔστι πονηρὰ ἀπιστίας, ἡ ἀφισταμένη τῆς πίστεως τῆς πρὸς τὸν Θεόν. Βλέπετε οὖν, φησὶ, μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας. Ἀπιστίας δέ φημι, φησὶ· τῆς ἀφιστώσης ἀπὸ Θεοῦ ζῶντος. Καλῶς δέ φησι. Καρδία πονηρὰ ἀπιστίας. Ἔστι γὰρ καὶ καρδία ἀγαθὴ ἀπιστίας, ὡς τὸ, « Μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ

Θεοῦ ἐστιν. » — « Ἐν τῷ ἀποστῆναι, » τουτέστι διὰ τῆς ἀπιστίας, ἀπὸ Θεοῦ ζῶντος. « Ἀλλὰ παρακαλεῖτε. » Οἰκοδομεῖτε ἀλλήλους, καὶ προτρέπεσθε, καὶ διορθοῦτε. « Ἄχρις οὗ τὸ σήμερον καλεῖται. » Ἕως τέλους, φησίν· ἄχρι γὰρ τέλους τὸ σήμερον καλεῖται. Ἐπειδὴ γὰρ εἶπε, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, φησίν, Ἄχρις οὗ ἐστιν ἐκεῖνο τὸ εἰρημένον σήμερον. « Ἵνα μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις. » Ἵνα μὴ γένηται, φησίν, ἅπερ ἐπὶ τῶν προγόνων ἡμῶν γέγονε, καὶ δυσήνιος καὶ σκληρὰ ἡ ψυχὴ γένηται, ἀπατηθεῖσα διὰ τῆς ἀπιστίας, ἣν νῦν ἁμαρτίαν ἐκάλεσε. « Μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ. » Ἕν, φησί, γεγόναμεν ἡμεῖς καὶ ὁ Χριστός, ἐπειδὴ αὐτὸς κεφαλὴ ἡμῶν ἠξιώσεν εἶναι, καὶ ἡμᾶς μέλη αὐτοῦ ποιῆσαι. « Ἐάν περ τὴν ἀρχὴν τῆς ὑποστάσεως. » Ἀρχὴν ὑποστάσεως τὴν πρὸς τὸν Χριστὸν πίστιν φησί. Δι' αὐτῆς γὰρ ὑπέστημεν καὶ γεγενήμεθα μέτοχοι τοῦ Χριστοῦ. «Μέχρι τέλους.» Τὸ Μέχρι τέλους, δηλοῖ, ὅτι ἐναρξάμενοι ἦσαν. « Ὡς ἐν τῷ παραπικρασμῷ. » Τὸ ὑπερβατόν, Φοβηθῶμεν.

Τινὲς γὰρ ἀκούσαντες, παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέως. Τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; Οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ; Τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; Καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν διὰ τὴν ἀπιστίαν.

Τινὲς γὰρ ἀκούσαντες καὶ τότε τὰς ἐπαγγελίας τοῦ Θεοῦ, ὥσπερ καὶ ἡμεῖς νῦν ἀκούομεν, τῇ ἀπιστίᾳ παρεπίκραναν τὸν Θεόν. Βούλεται γὰρ δεῖξαι καὶ ἐκείνους ὥσπερ τούτους ἀκηκοότας, καὶ μηδὲν ὠφελημένους ἐκ μόνης τῆς ἀκοῆς τῆς ἐπαγγελίας. Ὥστε, φησί, καὶ ὑμεῖς οὐκ ἐπειδὴ ἀκηκόατε τὸ κήρυγμα, τὸ πᾶν πεπληρώκατε, ἐὰν μὴ καὶ πιστεύσητε. Καὶ ὅτι πίστεως χρεία, ἐκ τῶν πάλαι ἀκουσάντων μέν, διὰ δὲ τὸ μὴ πιστεῦσαι ἀπολομένων, τὸν λόγον πιστοῦται. Ὥσπερ γὰρ ἐκείνοις, φησίν, οὐκ ἤρκεσε τὸ ἀξιωθῆναι φωνῆς Θεοῦ, ἀλλὰ μὴ πιστεύσαντες ἀπώλοντο, οὕτως οὐδὲ ὑμῖν ἀρκέσει τὸ ἀκροατὰς γενέσθαι τῆς πίστεως, ἂν μὴ καὶ πιστεύσητε εἰλικρινῶς. Μᾶλλον δὲ οὗτοι τὸ αὐτάρκες ἴσχειν ἐνόμιζον ἐκ μόνου τοῦ ἀκηκοέναι τοῦ κηρύγματος. Τοῦτο γὰρ καὶ προϊὼν δηλοῖ, ἐν τῷ λέγειν, Καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι. « Ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου. » Ὁ γὰρ Χαλὲβ καὶ ὁ Ἰησοῦς οὐκ ἠπίστησαν, ὅθεν καὶ εἰσῆλθον εἰς τὴν ἐπηγγελμένην γῆν. « Τίσι δὲ προσώχθισε; » Κατὰ ἐρώτησιν τοῦτο. Πρὸς τίνας, φησίν, ἴσχεν ἐπαχθῶς; « Τίσι δὲ ὤμοσε; » Καὶ τοῦτο ὁμοίως κατὰ ἐρώτησιν. « Καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν. » Ἰδοὺ γάρ, φησὶ, πρὸ ὀφθαλμῶν ἡμῶν κεῖται τὸ τῆς ἀπιστίας ἐπιτίμιον. Ἐκεῖνοι γὰρ ἀπιστήσαντες, οὐκ εἰσῆλθον εἰς τὴν ἐπηγγελμένην γῆν.

[88] Joan. IV, 1.

A Deo sint [88]. » **338** « Ut desciscat, nempe per incredulitatem, a Deo vivente. « Sed exhortemini. » Ædificate invicem et adhortemini ac corrigite. « Quoad appellatur dies hodiernus. » Usque ad finem, inquit, nam ad finem usque appellatur dies hodiernus. Cum enim dixerat : Hodie si vocem ejus audieritis, ait : Quousque durat illud quod vocatur dies hodiernus. « Ne quis ex vobis indurctur. » Ne fiant, inquit, quæ in nostris majoribus facta sunt, et effrenis ac durus reddatur animus seductus per incredulitatem, quam nunc peccatum vocavit. « Siquidem participes facti sumus Christi. » Unum, inquit, facti sumus nos et Christus, quoniam ipse caput nostrum esse dignatus est, nosque membra sua efficere. « Si sane principium substantiæ. » Principium substantiæ dicit fidem in Christum. Per ipsam enim substitimus et facti sumus Christi participes. « Usque ad finem. » Dicendo *usque ad finem*, significat quod inceperant, « Sicut in exacerbatione. » Hyperbaton est : nam subaudiendum est Timeamus.

III,16-19. *Nam quidam cum audissent, exacerbaverunt : at non omnes qui profecti fuerant ex Ægypto ductore Mose. Quibus autem infensus fuit quadraginta annis? Nonne iis qui peccaverunt, quorum membra conciderunt in deserto? Quibus autem juravit non ingressuros esse in requiem suam, nisi iis qui non obedierant? Et videmus quod non potuerint ingredi propter incredulitatem.*

Nam quidam cum tunc etiam audissent Dei promissiones quemadmodum et nos nunc audimus, incredulitate irritaverunt sive acerbaverunt Deum. Vult ostendere illos quoque sicut et hos audisse, nihilque accepisse utilitatis ex eo solo quod promissionem audierint. Itaque et vos inquit, non quia audistis prædicationem, omne negotium explestis, nisi etiam credatis. Quod autem fides necessaria sit, ex his qui olim audierant, sed quia non crediderant perierunt, sermonem confirmat. Quemadmodum, illis non satis fuit Dei vocem accepisse, sed cum non credidissent, perierunt, ita neque vobis satis erit auditores esse fidei, nisi sincere credatis. Aut potius hi sufficere sibi credebant quod solum prædicationem audissent, nam hoc etiam in progressu significat cum ait : Etenim nobis annuntiatum est quemadmodum et illis. « At non omnes qui profecti fuerant ex Ægypto. » Si quidem Chaleb **339** et Jesus non fuerant increduli, ideo quoque ingressi sunt in terram promissionis. « Quibus autem infensus fuit? » Per interrogationem hoc legendum est. Adversus quos, inquit, infenso animo se habuit? « Quibus autem juravit. » Etiam hoc similiter per interrogationem. Et videmus quod non potuerint ingredi. Ecce, inquit, ante oculos nostros posita est incredulitatis pœna. Illi enim cum increduli fuissent, non sunt ingressi in promissam terram.

CAPUT V.

Exhortatio ut conentur ingredi requiem quæ præmonstrata est.

Metuamus igitur ne quando derelicta promissione introeundi in requiem ejus, videatur aliquis ex vobis esse frustratus. Etenim nobis annuntiatum est, quemadmodum et illis. At non profuit illis auditus sermo quod non essent commisti fide iis qui audierant.

Cum dicitur, inquit, Hodie si vocem ejus audieritis, ne obduretis corda vestra sicut in exacerbatione, timeamus. In transcursu autem posuit οὖν, id est, igitur. Nam quia longior æquo erat oratio, ne videretur ordinatio orationis conjunctione carere, addit οὖν, id est, igitur. Timeamus, inquit, ne quando privemur ea quæ relinquitur promissione ad ingrediendum in requiem ejus. Siquidem volentibus relinquitur promissio ingrediendi in veram ipsius requiem : hæc autem est regnum cœlorum. « Videatur aliquis ex vobis esse frustratus. » Frustratus esse ad ingrediendum. Ne autem sermo gravis videatur, non dixit : Frustrabitur, sed Frustrari videatur. « At non profuit illis auditus sermo. » Vides quod hoc dicat : Nihil vobis proderit auditores fuisse prædicationis, nisi etiam quæ a vobis ipsis sunt afferatis, hoc est, fidem ; quoniam neque antiquis profuit auditus sermo ex seipso. « Quod non essent commisti fide. » **340** Hoc est, admisti ad ipsam. Per hoc autem designat indubitato credere. Eos vero qui audierant dicit eos qui crediderant. Illi namque vere audierant qui etiam crediderant. Ait autem de Jesu et Chaleb. Hoc vero est quod dicit : Non juvit auditus sermo populum, non commistum et veluti contemperatum, admistum et unitum per fidem his qui audierant, nempe Jesu et Chaleb qui crediderant.—Non commistos, inquit, his qui audierant, hoc est, his qui crediderant. Quomodo autem poterant his permisceri ? In fide, inquit, sive per fidem. Si enim credidissent hi sicut et illi, in unum utique pariter provecti fuissent, fide veluti conglutinante ipsos et commiscente.

IV, 3-5. *Introimus enim in requiem nos qui credidimus, quemadmodum dixit : Sicut juravi in ira mea, Si introibunt in requiem meam, licet operibus a constitutione mundi perfectis. Dixit enim quodam in loco de septimo die sic : Et requievit Deus die septimo ab omnibus operibus suis. Et in hoc rursum : Si introibunt in requiem meam.*

Testimonium quoque induxit ex quo id manifestum faciat. Et vide quomodo id astruat. Omnino, inquit, necesse est ut aliqui ingrediantur in requiem Dei, ne vane ac temere sit promissa. Quoniam ergo illi non sunt ingressi (juravit enim ipsos non ingressuros) necesse est ut nos, dummodo velimus, ingrediamur, at non jam in figurativam requiem, sed in verum regnum cœlorum. Quanquam enim filii illorum ingressi sint in terram promissam, at at nunc aliam definit requiem per David. Quid

A

ΚΕΦΑΛ. Ε'.

Προτροπὴ σπουδάσαι εἰς τὴν προδηλουμένην κατάπαυσιν.

Φοβηθῶμεν οὖν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι. Καὶ γάρ ἐσμεν εὐηγγελισμένοι καθάπερ κἀκεῖνοι. Ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκραμένους τῇ πίστει τοῖς ἀκούσασιν.

Ἐν τῷ λέγεσθαι, φησὶ, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, φοβηθῶμεν λοιπόν. Τὸ δὲ, Οὖν, παρέδραμε. Διὰ γὰρ τὸ εἶναι μακροπόδοτον, ἵνα μὴ δόξῃ ἀσυνάρτητος εἶναι ἡ σύνταξις, τὸ, Οὖν, τέθεικε. Φοβηθῶμεν, φησὶ, μήποτε καταλιμπανομένης ἐπαγγελίας εἰς τὸ εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ ὑστερήσωμεν. Καὶ γὰρ ὑπολείπεται ἡ ἐπαγγελία τοῦ εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ τὴν ἀληθινὴν τοὺς βουλομένους. Αὕτη δέ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. « Δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι. » Ὑστερηκέναι εἰς τὸ εἰσελθεῖν. Ἀνεπαχθῇ δὲ τὸν λόγον ποιῶν οὐκ εἶπεν, Ὑστερήσει, ἀλλὰ, Δοκῇ ὑστερίζειν. « Ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος. » Ὁρᾷς ὅτι τοῦτο λέγει, ὅτι, Οὐδὲν ὑμᾶς ὠφελήσει τὸ ἀκροατὰς γενέσθαι τοῦ κηρύγματος, ἐὰν μὴ καὶ τὰ παρ' ἑαυτῶν εἰσενέγκητε, τουτέστι, πίστιν · ἐπεὶ μηδὲ τοὺς πάλαι ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς καθ' ἑαυτόν. « Μὴ συγκεκραμένους τῇ πίστει. » Τουτέστι, μὴ ἀνακεκραμένους πρὸς αὐτήν. Ἐκ δὲ τούτου, τὸ ἀνενδοιάστως πιστεῦσαι αἰνίττεται. Ἀκούσαντας δέ φησι τοὺς πιστεύσαντας. Ἐκεῖνοι γὰρ ὄντως ἤκουσαν, οἱ καὶ πιστεύσαντες. Λέγει δὲ περὶ Ἰησοῦ καὶ Χαλέβ. Τοῦτο δέ φησιν·Οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς τὸν λαὸν, μὴ συγκεκραμένον καὶ οἷον ἀνακεκραμένον καὶ μεμιγμένον καὶ ἡνωμένον ἐν τῇ πίστει τοῖς ἀκούσασιν, ἤγουν τοῖς ἁμφὶ τὸν Ἰησοῦν πιστεύσασι. — [ΦΩΤ.] Μὴ συγκεκραμένους, φησὶ, τοῖς ἀκούσασι, τουτέστι, τοῖς πεπιστευκόσι. Πῶς δὲ ἦν αὐτοῖς συγκραθῆναι; Ἐν τῇ πίστει, φησὶ, τουτέστι διὰ πίστεως. Εἰ γὰρ ἐπίστευσαν οὗτοι ὥσπερ κἀκεῖνοι, εἰς ἓν ἂν συνηλαύνοντο, τῆς πίστεως οἷον κολλώσης αὐτοὺς καὶ συγκιρνώσης.

Εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες, καθὼς εἴρηκεν, Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου, καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων. Εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης, οὕτως· Καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ. Καὶ ἐν τούτῳ πάλιν, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου·

Καὶ πόθεν δηλοῖ, ἐπήγαγε τὴν μαρτυρίαν. Ὅρα οἷον κατασκευάζει. Πᾶσα, φησὶν, ἀνάγκη τινὰς εἰσελθεῖν εἰς τὴν κατάπαυσιν τοῦ Θεοῦ, ἵνα μὴ μάτην καὶ ἁπλῶς ᾖ ἐπηγγελμένη. Ἐπεὶ οὖν ἐκεῖνοι οὐκ εἰσῆλθον, (ὤμοσε γὰρ μὴ εἰσελθεῖν αὐτοὺς,) ἀνάγκη ἡμᾶς, εἰ βουληθείημεν, εἰσελθεῖν, ἀλλ' οὐκ ἔτι εἰς τὴν τυπικὴν κατάπαυσιν, ἀλλ' εἰς τὴν ἀληθινὴν τὴν βασιλείαν τῶν οὐρανῶν. Εἰ γὰρ καὶ οἱ υἱοὶ ἐκείνων εἰσῆλθον εἰς τὴν ἐπηγγελμένην γῆν, ἀλλὰ καὶ νῦν ἑτέραν ὁρίζει διὰ τοῦ Δαυὶδ κατάπαυσιν.

Ἐπεὶ τί βούλεται αὐτῷ, τὸ, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε ; « Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου. » Καίτοι αὕτη μαρτυρία, οὐ τοῦ ἡμᾶς τοὺς πιστεύσαντας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν τοῦ Θεοῦ ἐστι σημαντική, ἀλλὰ τοῦ ἐκείνους μὴ εἰσελθεῖν. Ἀλλ' αὐτῷ, φησίν, ᾧ ἐκεῖνοι οὐκ εἰσῆλθον, ἡμᾶς χρὴ εἰσελθεῖν. Τοῦτο μὲν οὖν προϊὼν λέγει σαφέστερον. Νῦν δὲ πρὸς τούτῳ καὶ ἐκεῖνο θέλει δεῖξαι, ὅτι ὥσπερ ἡ τοῦ Σαββάτου κατάπαυσις οὐ κωλύει καὶ ἄλλην λέγεσθαι κατάπαυσιν τὴν τῆς ἐπηγγελμένης γῆς, οὕτως οὐδὲ ἡ τῆς ἐπηγγελμένης γῆς κωλύει τὴν βασιλείαν τῶν οὐρανῶν λέγεσθαι κατάπαυσιν. Ὅθεν καὶ προστίθησι· Καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενομένων ἐξ ὧν ἀνεπαύσατο ὁ Θεός. Οὐκ ἐκώλυσε, φησὶ, καὶ τὴν γῆν τῆς ἐπαγγελίας, κατάπαυσιν λεχθῆναι. « Καί τοι τῶν ἔργων. » Εἶτα ἐπειδὴ εἶπε Κατάπαυσιν, (ἐλέγετο δὲ ἡ τοῦ Σαββάτου κατάπαυσις,) αὐτὸς ἐπιλύει αὐτὸ καί φησιν· Ἤδη τῆς καταπαύσεως τῶν ἔργων γενομένης, καὶ ταύτην καλεῖ κατάπαυσιν, τὴν γῆν τῆς ἐπαγγελίας. « Καὶ κατέπαυσεν ὁ Θεός. » Ὁρᾷς, φησὶν, ὅτι δύο εἰσὶ καταπαύσεις ; μία ἡ τῆς ἑβδόμης, ἐν ᾗ κατέπαυσεν ὁ Θεὸς ἀπὸ τῶν ἔργων αὐτοῦ, καὶ μία ἡ τῆς γῆς, περὶ ἧς φησι νῦν ὁ Δαυίδ. Ὥσπερ οὖν, φησὶν, ἡ πρώτη κατάπαυσις οὐκ ἐκώλυσε δευτέραν κατάπαυσιν ὀνομασθῆναι, οὕτως οὐδὲ ἡ δευτέρα κωλύσει τὴν τρίτην βασιλείαν τῶν οὐρανῶν. Ταῦτα δὲ κατασκευάζει· ὅτι μέλλει λέγειν· Ἡμεῖς, φησὶν, ἐχομεν εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, ἵνα μὴ ἀκούσῃ. Καί τοι εἰσῆλθον ἐκεῖνοι, καὶ τέλος ἔχει τὸ εἶναι ἄλλην κατάπαυσιν. Ἔστι, φησὶ, τρίτη ἡ βασιλεία τῶν οὐρανῶν. Καὶ ἐν τούτῳ πάλιν, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. Ἰδοὺ οὖν, φησὶ, δύο καταπαύσεις. Μία μὲν ἔνθα κατέπαυσεν ὁ Θεὸς ἀπὸ τῶν ἔργων, ἑτέρα δὲ, ἡ ἀπὸ τοῦ Δαυὶδ εἰρημένη, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

namque aliud sibi vult : Hodie si vocem ejus audieritis ? « Sicut juravi in ira mea. » Atqui hoc testimonium non ejus est significativum quod nos qui credidimus ingredimur in requiem Dei, sed quod illi non ingrediantur : verum eo ipso, inquit, quo illi non sunt ingressi, oportet nos ingredi. Siquidem hoc in progressu dicit apertius. Nunc vero præter hoc vult quoque illud ostendere, quemadmodum Sabbati requies non vetat etiam dici aliam requiem promissæ terræ, **341** ita neque requies promissæ terræ vetat regnum cœlorum dici requiem. Unde etiam addit : Licet operibus a constitutione mundi perfectis, a quibus requievit Deus, nihil vetuit terram quoque promissionis appellari requiem. « Licet operibus. » Deinde quia vocaverat requiem (dicebatur autem Sabbati requies) ipse illud dissolvit et ait : Jam requie operum facta, etiam hanc vocat requiem, terram nempe promissionis. « Et requievit Deus. » Vides, inquit, quod duæ sint requies ? Una diei septimi, in quo requievit Deus ab operibus suis : et una terræ promissionis, de qua loquitur nunc David. Ait ergo: Quemadmodum prima requies non vetuit quin secunda vocaretur requies : ita neque secunda vetabit tertiam, nempe regnum cœlorum. Hæc autem astruit, quia dicturus est nos posse ingredi in requiem ipsius, ne audiat : Atqui illi sunt ingressi : et tandem dicit aliam esse requiem. Est, inquit, tertia requies, nempe regnum cœlorum. Et ibidem rursus, Si introibunt in requiem meam. Ecce igitur duæ requies, inquit, una quidem qua requievit Deus ab operibus, altera vero de qua dixit David : Si introibunt in requiem meam.

Ἐπεὶ οὖν ἀπολείπεταί τινας εἰσελθεῖν εἰς αὐτὴν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν, πάλιν τινὰ ὁρίζει ἡμέραν σήμερον ἐν Δαυὶδ λέγων μετὰ τοσοῦτον χρόνον, καθὼς εἴρηται, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

IV, 5-10. *Posteaquam igitur illud reliquum est, aliquos introire in eam, et quibus prius fuit annuntiatum non introierunt propter incredulitatem, rursum quemdam præfinit diem hodie in David, dicens post tantum temporis, quemadmodum dictum est : Hodie si vocem ejus audieritis, ne obduretis corda vestra. Nam si eis Jesus requiem præstitisset, nequaquam de alio posthac die locutus fuisset. Itaque relinquitur sabbatismus populo Dei. Nam qui ingressus est in requiem illius, et ipse requievit ab operibus suis, quemadmodum a suis Deus.*

Ἐπεὶ οὖν ὀφείλουσί τινες πάντως εἰσελθεῖν, ἐκεῖνοι δὲ οὐκ εἰσῆλθον εἰς τὴν τῆς ἐπηγγελμένης γῆς κατάπαυσιν, πάλιν ἄλλην τρίτην ὁρίζει κατάπαυσιν· Ἵνα, φησὶ, καὶ εἰς αὐτὴν εἰσέλθωσί τινες. Οὐ γὰρ ἂν εἰ μὴ τρίτην εἶχε κατάπαυσιν ὁ Θεὸς, ἔμελλε, φησὶ, λέγειν· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς πάντως οὔσης καταπαύσεως, οὗ δεῖ εἰσελθεῖν τοὺς μὴ σκληρύνοντας τὰς καρδίας αὐτῶν. Ἐπεί τοι γε ἀνωφελὴς ἂν ἦν ἡ ὑπακοὴ, μὴ οὔσης καταπαύσεως. Μηδὲ οὔσης ἀντιμισθίας. Εἶδες πῶς κατεσκεύασε ; Μὴ σκληρύνητε, ἵνα, φησὶν, εἰσέλθητε εἰς τὴν κατάπαυσιν. Ὁ γὰρ εἰπὼν, ὅτι ἐκεῖνοι

342 Quoniam igitur aliqui omnino debent ingredi, illi autem ingressi non sunt in promissæ terræ requiem, aliam rursum definit tertiam requiem, ut in ipsam, inquit, etiam aliqui ingrediantur. Nisi enim Deus tertiam haberet requiem, nequaquam dicturus erat : Hodie si vocem ejus audieritis, ne obduretis corda vestra : ita ut omnino sit requies in quam oporteat eos ingredi, qui non obdurant corda sua. Quandoquidem inutilis omnino esset obedientia, si non esset requies neque remuneratio. Vidisti quomodo confirmaverit ? Ne obduretis ut ingrediamini, inquit, in requiem. Siquidem dicendo quod qui obdurarunt non sunt ingressi in

requiem, innuit quod qui non obdurarint ingredientur. Omne namque Dei præceptum habet etiam futuram retributionem. « Nam si eis Jesus requiem præstitisset. » Nam si sola illa esset requies, nempe promissa terra in quam ductore Jesu ingressi sunt, nequaquam de alio per David loqueretur requietionis die, sed propterea, inquit, diei meminit dicens : Hodie, et præceptum dedit, dicens : Ne obduretis : tanquam existente tertia requie in quam oporteat eos qui obedientes sunt ingredi. Itaque relinquitur sabbatismus. » Sabbatismus sive requies. Nam sabbata interpretantur requies. Relinquitur ergo tertia quædam requies quæ est regni cœlorum. Ipsam autem vocavit sabbatismum, a primaria requie quæ erat sabbati. « Populo Dei. » Fidelibus, inquit. Et unde hoc manifestum est? Ex eo quod David præcipit, dicens : Ne obduretis corda vestra. Neque enim hæc præciperet, si non esset sabbatismus et requies. Quænam enim esset utilitas his qui obtemperarent? neque præciperetur nobis, ne eadem faceremus cum Judæis qui in deserto erant, ne similiter et nos requie privaremur. « Nam qui ingressus est. » Quoniam malis defatigati erant, nulla facta mentione de innumeris bonis quæ tunc futura sunt, ex hoc ipsos consolatur dicendo quod is qui in tertiam ingressus est requiem quæ est regni cœlorum, requiescit ex operibus suis, hoc est, persecutionibus, tentationibus, afflictionibus. **343** quemadmodum sane et Deus in prima requie ab operibus quæ fecerat requievit. *Alio modo.* Quoniam demonstravit tertiam esse requiem, et quod nonnulli in ipsam ingressuri sint, ad conclusionem venit et ait: Ex his quæ dicta sunt manifestum utique est, quod sit alia quædam requies præter supradictas, et hæc non quibuslibet, sed populo Dei dedicata. Vere autem Dei populus sunt hi qui in ipsum crediderunt, ejusque servant præcepta. « Et ipse requievit. » hoc est, cessavit.

CAPUT VI.

Terror judicii juxta sermonem qui per omnes disseminatus est, et utilitas gratiæ sacerdotalis, apud eum qui humano more affectus est una nobiscum naturali condolentia.

Studeamus igitur ingredi in illam requiem, ne quis per idem concidat incredulitatis exemplum, Vivens est enim sermo Dei et efficax, et penetrabilior quovis gladio utrinque incidente, ac pertingens usque ad divisionem animæ simul ac spiritus, compagumque et medullarum, et discretor cogitationum et intentionum cordis, nec est ulla creatura quæ non manifesta sit in conspectu illius sed omnia nuda et operta sunt oculis eius ad quem nobis est sermo.

Ubi demonstravit tertiam esse requiem, consequenter ipsos in eam ingredi adhortatur. Et bene ait : Studeamus. Neque enim sola sufficit fides ad ingrediendum in ipsam, nisi etiam adsit studiosa conversatio. « Ne quis per idem concidat exem-

σκληρύναντες οὐκ εἰσῆλθον εἰς τὴν κατάπαυσιν, αἰνίττεται ὅτι οἱ μὴ σκληρύναντες εἰσελεύσονται. Πᾶσα γὰρ ἐντολὴ Θεοῦ, ἔχει καὶ ἀντιμισθίαν ἑπομένην. « Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν. » Εἰ γὰρ ἐκείνη μόνον ἐστὶ κατάπαυσις ἡ ἐπηγγελμένη γῆ, εἰς ἣν διὰ Ἰησοῦ εἰσῆλθον, οὐκ ἄν, φησὶ, περὶ ἄλλης διὰ τοῦ Δαυὶδ ἐλάλει καταπαύσεως ἡμέρας. Ἀλλὰ διὰ τοῦτο, φησὶν, ἡμέρας ἐμνήσθη, Σήμερον λέγων, καὶ ἐντολὴν ἔδωκε, Μὴσκ ληρύνητε λέγων, ὡς οὔσης τρίτης καταπαύσεως, ἐν ᾗ δεῖ τοὺς ὑπακούοντας εἰσελθεῖν. Ἄρα ἀπολείπεται σαββατισμός. » Σαββατισμὸς, ἤγουν κατάπαυσις. Σάββατα γὰρ, ἡ κατάπαυσις ἑρμηνεύεται. Ὑπολέλειπται οὖν τρίτη τις κατάπαυσις, ἡ τῆς βασιλείας τῶν οὐρανῶν. Σαββατισμὸν δὲ αὐτὴν ἐκάλεσεν ἀπὸ τῆς ἀρχετύπου τῆς τοῦ Σαββατισμοῦ καταπαύσεως. « Τῷ λαῷ τοῦ Θεοῦ. » Τοῖς πιστοῖς, φησί. Καὶ πόθεν τοῦτο δῆλον ; ἐκ τοῦ παραγγέλλειν τὸν Δαυὶδ, Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. Οὐ γὰρ εἰ μὴ ἦν σαββατισμὸς καὶ κατάπαυσις, ταῦτα παρήγγειλε, (ποῖον γὰρ ἦν ὄφελος τοῖς πειθομένοις ;) οὐδὲ ἐκελευόμεθα τὰ αὐτὰ ποιεῖν τοῖς ἐν τῇ ἐρήμῳ Ἰουδαίοις, ἵνα μὴ ὁμοίως καὶ ἡμεῖς ἀποστερηθῶμεν τῆς καταπαύσεως. « Ὁ γὰρ εἰσελθών. » Ἐπειδὴ ἀπειρηκότες ἦσαν τοῖς κακοῖς, ἀφεὶς εἰπεῖν τὰ μυρία τότε ἐσόμενα ἀγαθὰ, ἐκ τούτου αὐτοὺς παραμυθεῖται ἐν τῷ λέγειν, ὅτι ὁ εἰσελθὼν εἰς τὴν τρίτην κατάπαυσιν, τὴν βασιλείαν τῶν οὐρανῶν, ἀναπαύεται ἐκ τῶν ἔργων αὐτοῦ, τουτέστι, τῶν διωγμῶν, τῶν πειρασμῶν, τῶν θλίψεων, ὥσπερ ἀμέλει καὶ ὁ Θεὸς ἐν τῇ πρώτῃ καταπαύσει ἀνεπαύσατο ἀπὸ τῶν ἔργων ὧν ἐποίησεν. — Ἄλλως. [ΦΩΤ.] Ἐπειδὴ ἀπέδειξεν ὡς ἐστι τρίτη κατάπαυσις, καὶ ὡς εἰσελεύσονταί τινες ἐν αὐτῇ, ἐπὶ τὸ συμπέρασμα ἦκε, καὶ φησιν · Ἐξ ὧν εἴρηται φανερὸν ἄρα, ὅτι ἔστι τις κατάπαυσις ἄλλη παρὰ τας εἰρημένας, καὶ αὕτη οὐ τοῖς τυχοῦσιν, ἀλλὰ τῷ λαῷ τοῦ Θεοῦ ἀφιερωμένη. Λαὸς δὲ ἀληθῶς τοῦ Θεοῦ, οἱ πιστεύσαντες εἰς αὐτὸν, καὶ φυλάττοντες τὰ προστάγματα αὐτοῦ. « Καὶ αὐτὸς κατέπαυσεν. » Οἱονεὶ ἀνεπαύσατο.

ΚΕΦΑΛ. Ϛ'.

Τὸ φοβερὸν τῆς κρίσεως παρὰ τῷ λόγῳ τῷ διὰ πάντων, καὶ τὸ χρηστὸν τῆς χάριτος τῆς ἱερατικῆς παρὰ τῷ ὁμοιοπαθήσαντι ἡμῖν ἀνθρωπίνως.

Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας. Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.

Ἀποδείξας εἶναι καὶ τρίτην κατάπαυσιν, λοιπὸν εἰσελθεῖν αὐτοὺς εἰς αὐτὴν προτρέπεται. Καλῶς δὲ τὸ, Σπουδάσωμεν. Οὐ γὰρ μόνον ἡ πίστις ἀρκεῖ εἰσαγαγεῖν εἰς αὐτὴν, ἂν μὴ καὶ πολιτεία χρηστὴ ᾖ. « Ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ. » Ἐν

τῷ αὐτῷ τοῖς Ἰσραηλίταις. Ὥσπερ γὰρ οὗτοι, φησὶ, τὸ πλέον ἀνύσαντες τῆς ἐν τῇ ἐρήμῳ ὁδοῦ, τοῦ παντὸς ἐξέπεσον διὰ τὴν ἀπιστίαν, μή τις ἐξ ὑμῶν, φησὶ, τῷ ἴσῳ τρόπῳ καὶ ὑποδείγματι, μετὰ τοσούτους οὓς ὑπέμεινεν ἀγῶνας, πέσῃ, μὴ ἄχρι τέλους ἀνδρισάμενος. « Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ. » Δείκνυσιν ἠρέμα καὶ τὰ κατὰ τὸν Ἰσραὴλ τὸν Χριστὸν πεποιηκότα, οὐκ ἄλλον. Ζῶν γάρ ἐστι, φησὶ, καὶ ζήσεται εἰς αἰῶνα. Ἵνα δὲ μὴ νομίσωσιν ἐκπίπτοντες καὶ παροργίζοντες τὸν Χριστὸν, γῆς ἀποτυγχάνειν ὥσπερ οἱ πάλαι, φοβερώτερον ποιεῖται τὸ πρᾶγμα. « Καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. » Ἵνα μὴ λόγον ἀκούσαντες, μηδὲν φοβερὸν ὑποπτεύσωσιν, ἐπεξηγεῖται τὸ εἰρημένον, τῶν παρ' ἡμῖν δεηθεὶς ὑποδειγμάτων. Οὐ γὰρ ἄλλως ἦν γνωσθῆναι τὸ λεγόμενον· Ὑπὲρ πᾶσαν, φησὶ, μάχαιραν δίστομον. « Καὶ δικνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος. » Ὁ ἐν ἁγίοις Κύριλλος ἐν προσφόρῳ χωρίῳ καὶ οὕτως ἐδέξατο τὸ, Διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος· Τὸ περὶ τοῦ Θεοῦ κήρυγμα διαιρεῖ, φησὶ, καὶ μερίζει τὰ τῆς ψυχῆς μέρη, δεκτικὴν ποιῶν καὶ χωρητικὴν τῶν ἀκουομένων. Ἢ ὅτι καὶ αὐτῶν καθικνεῖται, φησὶ, τῶν ἀσωμάτων, καὶ ψυχὴν κολάζει. Ἢ ὅτι μερισμὸν ἐργάζεται ψυχῆς καὶ πνεύματος. Ὅ ἐστι φοβερόν. — Ἄλλως. [ΟΙΚΟΥΜΕΝΙΟΥ.] Τὴν ἐν τοῖς Εὐαγγελίοις ἀπειλουμένην ἀχοτομίαν οἱ Πατέρες ἐξέδωκαν, τὴν τελείαν τοῦ ἁγίου Πνεύματος ἐγκατάλειψιν. Ἡγοῦμαι οὖν νῦν τοῦτο εἰρῆσθαι, ὅτι χωρισμὸν ἐργάζεται τοῦ ἁγίου Πνεύματος, καὶ ἀφαιρεῖται αὐτὸ ἀπὸ τῆς ψυχῆς. Οὗ γενομένου, πάντα λοιπὸν ἕψεται τὰ ἀγαθά. « Ἁρμῶν τε καὶ μυελῶν. » Εἰπὼν τὰ ἀσώματα, εἶπε καὶ τὰ σωματικά. « Καὶ κριτικὸς ἐνθυμήσεων. » Διακρῖναι καὶ ἀνακρῖναι ἰσχύων καὶ τὰς ἐνθυμήσεις, φησὶν, αὐτὰς καὶ τὰς ἀφανεῖς ἐννοίας τῆς καρδίας. « Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. » Τί δὲ λέγω, φησὶν, ἀνθρώπους; Οὐδὲ ἄλλη μὲν οὖν κτίσις διαλαθεῖν ἢ κρυβῆναι ἰσχύει ἀπὸ τοῦ ἀκοιμήτου ἐκείνου ὀφθαλμοῦ, κἂν ἀγγέλους, φησὶν, εἴπῃς, κἂν Χερουβεὶμ, κἂν Σεραφείμ. « Πάντα γυμνά. » Οὐδέν ἐστι, φησὶν, ὃ λαθεῖν δύναται τὴν ἐποπτικὴν δύναμιν τοῦ Χριστοῦ. Πάντα γυμνὰ παρ' αὐτῷ, καὶ οὐδενὶ προκαλύμματι ἢ προσωπείῳ τις ἑαυτὸν ὑποκλέψαι δύναται τῶν ὀφθαλμῶν ἐκείνων. *Τετραχηλισμένα* δέ φησι τὰ γυμνά, ἀπὸ μεταφορᾶς τῶν προβάτων τῶν ἐκ τοῦ τραχήλου ἠρτημένων καὶ γεγυμνωμένων τῆς δορᾶς. Ἢ τὸ Τετραχηλισμένα, ἀντὶ τοῦ Κάτω κύπτοντα, καὶ τὸν τράχηλον ἐπικλίνοντα, διὰ τὸ μὴ ἰσχύειν ἀτενίσαι τῇ δόξῃ ἐκείνῃ τοῦ Χριστοῦ καὶ Θεοῦ ὑμῶν Ἰησοῦ. « Πρὸς ὃν ὑμῖν ὁ λόγος. » Αὐτῷ, φησὶν, ἔχομεν δοῦναι εὐθύνας τῶν πεπραγμένων, καὶ πρὸς αὐτὸν ἔχομεν τὴν ἀπολογίαν πρὸς ὃν καὶ ὁ λόγος.

Ἔχοντες οὖν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χω-

A plum. » Per idem, cum Israelitis. Quemadmodum enim hi cum majorem viæ partem in eremo emensi essent, ab omni commodo exciderunt per incredulitatem, **344** ne quis ex vobis æquali modo vel exemplo post tanta quæ pertulit certamina concidat non agens usque ad finem viriliter. « Vivens est enim sermo Dei. » Ostendit sensim ea quoque Christum et non alium operatum fuisse quæ circa filios Israel contigerunt. Nam vivens est, inquit, et vivet in sæcula. Ne autem existiment delinquentes, et irritantes Christum, terra solum frustrari quemadmodum veteres, terribilius addit factum. « Et penetrabilior quovis gladio utrinque incidente. » Ut qui sermonem non audiebant, terribilius aliquid formidarent, exprimit quod dictum est,
B adaptans exempla quæ apud nos sunt : neque enim alio modo posset intelligi quod dicitur, Quovis gladio utrinque incidente. « Ac pertingens usque ad divisionem animæ simul ac spiritus. » Beatus Cyrillus certo quodam loco ita quoque accepit Pertingens usque ad divisionem animæ simul ac spiritus : Prædicatio, inquit, de Deo dividit ac separat animæ partes, amplam eam reddens et capacem eorum quæ audiuntur. Aut quod ad ipsa quoque incorporea pertingat, et animam puniat : aut quod divisionem operetur animæ ac spiritus, quod tremendum est, — *alio modo*. Divisionem quam Evangelia comminantur, intellexerunt Patres perfectam Spiritus sancti desertionem. Arbitror
C igitur hoc nunc dictum esse, quod separationem operetur Spiritus sancti, ipsumque ab anima auferat, quo facto omnia deinceps sequentur et auferentur bona. « Compagumque et medullarum. » Ubi incorporea dixisset, etiam corporea retulit. « Et discretor cogitationum. » Discernere ac dijudicare potens ipsas quoque cogitationes et invisibiles cordis notitias. « Nec est ulla creatura quæ non manifesta sit in conspectu illius. » Quid autem dico homines, inquit ? Nec alia quævis creatura latere aut occultari potest ab illo pervigili oculo, sive angelos dicas, sive Cherubim, sive Seraphim. « Omnia nuda. » Nihil est quod latere possit inspectivam Christi potentiam. Omnia nuda sunt apud ipsum, nulloque tegumento aut persona
D potest quispiam seipsum occultare ab illis oculis. τετραχηλισμένα autem dicit nuda, a metaphora **345** ovium quæ a collo excoriatæ sunt et pelle nudatæ. Aut τετραχηλισμένα hoc est, deorsum prospectantia et collo inclinata, eo quod non possint in illam intendere gloriam judicis et Dei nostri Jesu Christi. « Ad quem nobis est sermo, » Ipsi, inquit, debemus actorum reddere rationem, et apud ipsum respondere debemus, ad quem etiam sermo nobis est.

IV, 14-16. *Habentes igitur pontificem magnum, qui penetravit cœlos Jesum Filium Dei, teneamus professionem. Non enim habemus pontificem qui non possit compati infirmitatibus nostris, sed tentatum per omnia juxta similitudinem absque peccato.*

Accedamus igitur cum fiducia ad thronum gratiæ, ut consequamur misericordiam, et gratiam inveniamus ad opportunum auxilium.

Ne ergo subjiciamur tremendis illis pœnis, cum habeamus magnum pontificem, teneamus professionem, hoc est, ne relinquamus fidem quæ in ipsum est, sed semel acceptam astringamus ipsam apud nosipsos. Quid est autem, Qui penetravit cœlos? Non est, inquit, qualis Moses qui non potuit terram promissionis ingredi, neque populum introdúxit, sed Christus etiam cœlos penetravit, et in Paterno sedit throno : itaque potest nos quoque introducere. Pontificem autem vocat, eo quod seipsum victimam obtulerit Deo Patri. Nam pro populo offerre hostias, proprium est sacerdoti. « Non enim habemus pontificem. » Teneamus ergo professionem ac fidem in ipsum : neque enim talem habemus pontificem qui non noverit affici sensu infirmitatum nostrarum. Novit, inquit, quod propter multas afflictiones deficiatis et imbecilles sitis : potest ergo ignoscere. Tentatus est enim et afflictus per omnia sicut et nos. Persecutionem passus est et illusus ac consputus, tandemque etiam crucifixus est. Ipse vero cum hæc passus sit, peccatum non fecit. Hæc autem dicens significat eos in peccatum incidisse ex afflictionibus, eo quod nimium enervati sint et infirmati. Duplici autem medio probat **346** quod afficiatur sensu infirmitatum nostrarum. Uno quidem modo, quia magnus est et potens, tanquam Filius Dei et Deus : altero vero, quia et ipse tanquam homo passus est, et afflictionum habet experientiam, et ejus quæ carnem consequitur imbecillitatis. Et propter horum utrumque omninó afficietur sensu infirmitatum nostrarum. « Absque peccato. » Dicit quod cum hæc patitur, non pendat pœnas peccatorum. « Accedamus igitur cum fiducia. » Accedamus, inquit, ad Paternum ipsius thronum, in quo sedet. Cum fiducia, aut nihil in fide hæsitantes, aut quia vicit mundum. Manifestum ergo est quod etiam hos devincet qui nunc affligunt nos. Aut quia thronus nunc non est thronus judicii, sed gratiæ : accede ergo etiam si peccator sis. « Ad thronum gratiæ. » Thronum gratiæ dicit thronum regium, de quo ait David : « Dixit Dominus Domino meo. Sede a dextris meis [88]. » Thronus enim nunc thronus gratiæ est, non judicii. Propterea, Cum fiducia, inquit. « Ut consequamur misericordiam, et gratiam inveniamus ad opportunum auxilium. » Recte autem dicit : Opportunum auxilium. Si nunc, inquit, accedis, gratiam accipies et misericordiam : opportune enim accedis ; si vero tunc accesseris, non ita; erit enim intempestivus accessus. Ubi enim fuerit consummatio, tunc exsurget in judicium. « Ad opportunum auxilium. » Nam qui nunc accedit, misericordiam accipit et gratiam, quia opportunus et conveniens est nunc accessus et petitio auxilii : quemadmodum in judicio accessus ad auxilium, importunus. Tunc enim non præstabit auxilium ex gratia sicut nunc, sed judicium.

ρὶς ἁμαρτίας. Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

Ἵνα οὖν μὴ ὑποπέσωμεν ταῖς φοβεραῖς ἐκείναις εὐθύναις, ἔχοντες μέγαν ἀρχιερέα, κρατῶμεν τῆς ὁμολογίας, τουτέστι, μὴ ἐάσωμεν τὴν εἰς αὐτὸν πίστιν, ἀλλὰ ἅπαξ λαβόντες, ἀποσφίγξωμεν αὐτὴν παρ' ἑαυτοῖς. Τί δέ ἐστι, Διεληλυθότα τοὺς οὐρανούς; Οὐχ ὥσπερ, φησὶ, μὴ ἰσχύσας Μωσῆς εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, οὐδὲ τὸν λαὸν εἰσήγαγεν, ἀλλ' ὁ Χριστὸς καὶ διῆλθε τοὺς οὐρανοὺς, καὶ ἐκάθισεν ἐπὶ τὸν Πατρικὸν θρόνον. Τοιγαροῦν καὶ ἡμᾶς ἰσχύει εἰσαγαγεῖν. Ἀρχιερέα δὲ αὐτὸν καλεῖ, διὰ τὸ θυσίαν ἑαυτὸν προσενέγκαι ὑπὲρ ἡμῶν τῷ Πατρί. Τὸ γὰρ προσφέρειν ὑπὲρ λαοῦ θυσίας, ἴδιον ἱερέως. « Οὐ γὰρ ἔχομεν ἀρχιερέα. » Κρατῶμεν οὖν τὴν εἰς αὐτὸν ὁμολογίαν καὶ πίστιν. Οὐ γὰρ τοιοῦτον ἔχομεν, φησὶν, ἀρχιερέα, ὃς οὐκ οἶδε συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν. Οἶδε, φησὶν, ὅτι διὰ τοὺς πολλοὺς πειρασμοὺς ἐκλέλυσθε καὶ ἠσθενήκατε, δύναται οὖν συγγινώσκειν. Πεπείραται γὰρ, φησὶ, κατὰ πάντα ὥσπερ ἡμεῖς, καὶ ἐδιώχθη καὶ ἐσκώφθη καὶ ἐνεπτύσθη · τέλος δὲ καὶ ἐσταυρώθη. Αὐτὸς δὲ ταῦτα παθὼν, φησὶν, ἁμαρτίαν οὐκ εἰργάσατο. Τοῦτο δὲ εἰπὼν δηλοῖ, αὐτοὺς εἰς ἁμαρτίαν ἐμπίπτοντας ἐκ τῶν πειρασμῶν τῷ ἄγαν ἐκλελύσθαι καὶ ἠσθενηκέναι. Διχόθεν δὲ κατασκευάζει ὅτι συμπαθήσει ταῖς ἀσθενείαις ἡμῶν· καθ' ἕνα μὲν τρόπον, ὅτι μέγας ἐστὶ καὶ δυνατὸς, ὡς Υἱὸς Θεοῦ καὶ Θεός · καθ' ἕτερον δὲ, ὅτι καὶ αὐτὸς ὡς ἄνθρωπος ἔπαθε, καὶ πεῖραν ἔχει τῶν θλίψεων καὶ τῆς κατὰ σάρκα ἀσθενείας, καὶ δι' ἄμφω ταῦτα πάντως συμπαθὴς ἔσται ταῖς ἀσθενείαις ἡμῶν. « Χωρὶς ἁμαρτίας. » Ὅτι οὐχ ἁμαρτιῶν ἐτίννυε δίκην ταῦτα, φησὶ, πάσχων. « Προσερχώμεθα οὖν μετὰ παῤῥησίας. « Προσέλθωμεν, φησὶ, τῷ Πατρὶ αὐτοῦ θρόνῳ, ἔνθα κεκάθικε. « Μετὰ παῤῥησίας. » Μετὰ παῤῥησίας δὲ, ἢ μηδὲν πρὸς τὴν πίστιν διστάζοντες, ἢ ὅτι νενίκηκε τὸν κόσμον. Δῆλον οὖν ὅτι νικήσει καὶ τοὺς νῦν ἡμᾶς θλίβοντας. Ἢ ὅτι οὐκ ἔστι νῦν ὁ θρόνος, θρόνος κρίσεως, ἀλλὰ χάριτος. Πρόσελθε οὖν, κἂν ἁμαρτωλὸς ᾖς. « Τῷ θρόνῳ τῆς χάριτος. » Θρόνον χάριτος, τὸν θρόνον τὸν βασιλικόν φησιν. Περὶ οὗ φησιν ὁ Δαυὶδ· « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου. » Θρόνος γὰρ χάριτός ἐστιν, οὐ θρόνος κρίσεως νῦν. Διὰ τοῦτο, Μετὰ παῤῥησίας. « Ἵνα λάβωμεν ἔλεον καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν. » Καλῶς δὲ εἶπεν, Εὔκαιρον βοήθειαν. Ἂν νῦν προσέρχῃ, φησὶ, λήψῃ χάριν καὶ ἔλεον. Εὐκαίρως γὰρ προσέρχῃ. Ἂν δὲ τότε προσέλθῃς, οὐκ ἔτι. Ἄκαιρος γὰρ ἡ πρόσοδος. Ὅταν γὰρ ἡ συντέλεια, τότε ἐγείρεται εἰς κρίσιν. « Εἰς εὔκαιρον βοήθειαν. » Νῦν γὰρ ὁ προσιὼν λαμβάνει ἔλεον καὶ χάριν. Εὔκαιρος γὰρ νῦν καὶ ἐπιτηδεία ἡ πρόσοδος, καὶ ἡ τῆς βοηθείας αἴτησις. Ὡς ἥ γε ἐν τῇ κρίσει ἐπὶ βοηθείᾳ πρόσοδος, ἄκαιρος. Ἐκεῖ γὰρ οὐκ ἔτι κατὰ χάριν παρέξει τὴν βοήθειαν ὥσπερ νῦν, ἀλλὰ κατὰ κρίσιν.

Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις. Ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν. Καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτως καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ Ἀαρών. Οὕτως καὶ ὁ Χριστὸς, οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτὸν, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. Καθὼς καὶ ἐν ἑτέρῳ λέγει· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Θέλει ἐνταῦθα δεῖξαι, ὅτι μείζων ἡ Νέα Διαθήκη τῆς Παλαιᾶς. Καὶ τοῦτο ποιεῖ τέως, ὡς ἀπὸ τῶν ἱερέων τὴν σύκρισιν εἰσάγων. Ὅτι ἐκείνη μὲν, ἀνθρώπους εἶχεν ἱερέας, αὕτη δὲ τὸν Χριστόν. « Ἐξ ἀνθρώπων λαμβανόμενον. » Τουτέστι, προβαλλόμενον. Εἰ δὲ ὁ ἐξ ἀνθρώπων λαμβανόμενος μετριοπαθεῖ τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, πόσῳ μᾶλλον ὁ μετὰ τοῦ ἄνθρωπος εἶναι καὶ Θεὸς ὢν μετριοπαθήσει καὶ χεῖρα ὀρέξει τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις; Εἰ δ' οὕτως νοηθείη, καὶ τὸ, Λαμβανόμενος, ἑτοιμότερον ἐκληφθήσεται ἀντὶ τοῦ, Ἀφοριζόμενος. Εἷς ὢν τῶν ἀνθρώπων, καὶ ἐξ αὐτῶν εἰς ἱερέα λαμβανόμενος, φησίν. « Ὑπὲρ ἀνθρώπων καθίσταται εἰς τὰ πρὸς τὸν Θεόν. » Ἐξ ἀνθρώπων, φησὶ, προβαλλόμενος ὑπὲρ τῶν προβαλλομένων ἀνθρώπων γίνεται ἐν τοῖς εἰς Θεὸν ἀνήκουσι πράγμασι. Ποῖα δὲ τὰ εἰς Θεὸν ἀνήκοντα πράγματα, αὐτὸς φησὶν, Ἵνα προσφέρῃ δῶρα καὶ θυσίας ὑπὲρ τῶν τοῦ λαοῦ ἁμαρτημάτων. « Μετριοπαθεῖν. » Ἡγουν συμπαθεῖν. « Καὶ πλανωμένοις, » ἐκ τοῦ λαοῦ. « Περίκειται ἀσθένειαν. » Μόνον γὰρ τούτῳ διαφέρει τοῦ λαοῦ ὁ ἱερεὺς ἐν τῷ μετριοπαθεῖν καὶ συγγινώσκειν τοῖς πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς, φησὶ, περίκειται ἀσθένειαν, τουτέστιν, ἁμαρτίας, ἢ θλίψεις καὶ πειρασμούς. Ἀλλὰ τὸ, Περὶ ἁμαρτιῶν, εἰπὼν, σαφῶς ἐδήλωσεν ὅτι ἀσθένειαν τὴν ἁμαρτίαν ἐκάλεσεν. « Καὶ διὰ ταύτην ὀφείλει. » Ἐπειδὴ καὶ αὐτὸς, φησὶν, ὑπὸ ἁμαρτίας ἐστὶ, καὶ ὀφείλει τὴν προσφορὰν καινὴν ποιεῖσθαι ὑπέρ τε τῶν ἰδίων καὶ τῶν τοῦ λαοῦ ἁμαρτημάτων. « Προσφέρειν ὑπὲρ ἁμαρτιῶν. » Τὴν περὶ ἁμαρτιῶν, φησὶ, θυσίαν. « Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει. » Ἕτερον λέγει γνώρισμα ἱερέως, τὸ μὴ ἑαυτῷ ἐκπηδᾶν πρὸς τὴν τῆς ἱερωσύνης τιμήν. Ὅπερ καὶ αἰνιττόμενος εἶπε τοὺς ἱερέας τοὺς τότε τῶν Ἰουδαίων, μὴ ὄντας τῇ δυνάμει ἱερέας, διὰ τὸ αὐτοὺς ἐπιπηδᾶν καὶ ὤνιον πεποιηκέναι τὴν ἱερωσύνην. « Καθάπερ καὶ Ἀαρών. » Πολλαχοῦ γὰρ ὁ Ἀαρὼν ἐχειροτονήθη ὑπὸ Θεοῦ, ἐπί τε τῆς βλαστησάσης ῥάβδου, καὶ ἐπὶ τοῦ πυρὸς τοῦ ἀναλώσαντος τοὺς ἐπιπηδῶντας τῇ ἱερωσύνῃ. « Οὕτως καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα. » Τέως καὶ τοῦτό φησιν· Πρῶτος ἀρχιερεὺς ὁ Χριστὸς, ὅτι μὴ ἀφ' ἑαυτοῦ εἰς τὴν ἱερωσύνην εἰσῆλθεν, ἀλλ' ἀπὸ τοῦ Πατρὸς κεχειροτονημένος. Δεικνύων οὖν ἐν φανεροῖς ἰδιώμασιν ὄντα αὐτὸν ἱερέα κατὰ τὴν

A V, 1-6. *Omnis enim pontifex qui ex hominibus assumitur, pro hominibus constituitur in his quæ ad Deum sunt, ut offerat donaria et victimas pro peccatis, qui placabilis esse possit ignorantibus et errantibus, quandoquidem et ipse circumdatus est infirmitate. Et propter hanc debet, quemadmodum pro populo, ita et pro seipso offerre pro peccatis. Et nemo sibiipsi usurpat honorem, sed qui vocatur a Deo, sicut et Aaron. Ita et Christus non semetipsum glorificavit ut pontifex fieret : sed is qui dixerat illi :* **347** *Filius meus es tu, ego hodie genui te. Sicut et alibi dicit : Tu es sacerdos in æternum secundum ordinem Melchisedec.*

Vult hic ostendere, Novum Testamentum præstan-
B tius esse Veteri : et hoc interim facit, velut inducta a sacerdotibus comparatione, quod illud quidem homines habuit sacerdotes, hoc autem Christum. « Qui ex hominibus assumitur. » Hoc est, designatur et creatur. Si autem is qui ex hominibus assumitur, placabilis est ignorantibus et errantibus : quanto magis is qui et homo simul est et Deus, placabilis erit, manumque porriget ignorantibus et errantibus? Quod si ita intelligatur, promptius erit ut, Assumi capiatur pro Segregari. Cum unus esset hominum, ex ipsis in sacerdotem assumptus est. « Pro hominibus constituitur in his quæ ad Deum sunt. » Ex hominibus, inquit, creatus, pro iis qui ipsum crearunt hominibus statuitur, in iis quæ ad
C Deum pertinent. Quænam sint autem res ad Deum pertinentes, ipse dicit : Ut offerat donaria et victimas pro peccatis populi. « Placabilis esse. » Sive sensu affici. « Et errantibus, » sive seductis ex populo. « Circumdatus est infirmitate. » In hoc enim solo differt ac præstantior est sacerdos populo, quod placabilis sit et ignoscat errantibus : quandoquidem et ipse, inquit, circumdatus est infirmitate, hoc est, peccatis aut afflictionibus. Sed quod subditur + Pro peccatis, manifeste significavit quod infirmitatem vocaverit peccatum. « Et propter hanc debet. » Quoniam et ipse, inquit, peccato est obnoxius, debet omnem facere oblationem et pro suis et pro populi peccatis. « Offerre pro peccatis. » Hostiam, inquit, pro peccatis. « Et nemo sibiipsi
D usurpat. » Aliud ponit sacerdotis indicium, quod non per seipsum assiliat quis ad sacerdotii honorem. Quod dicens, innuit quoque sacerdotes Judæorum qui tunc erant, non esse virtute sacerdotes, eo quod assilirent et venale haberent sacerdotium. « Sicut et Aaron. » Frequenter enim Aaron electus est a Deo, et per virgam quæ fronduit, et per ignem qui consumpsit eos qui assiliebant ad sacerdotium. « Ita et Christus non semetipsum glorificavit ut pontifex fieret. » Interim hoc etiam ait : Christus summus pontifex est, **348** quia non a seipso ad sacerdotium accessit, sed a Patre electus est. Manifestis itaque verbis ostendens ipsum esse sacerdotem juxta sacerdotum consuetudinem, in reliquis præponit illum, quantum Deus hominibus

excelsior esse debuit. « Sed is qui dixerat illi: » Cum hoc, inquit, illi diceret Deus, creavit ipsum sacerdotem. « Sicut et alibi dicit. » Conjunctio *καί*, id est, *et*, interponitur tanquam ad enarrationis consecutionem. « Secundum ordinem Melchisedec. » Hic primus hostiam sine sanguine Deo obtulit, nempe panem et vinum. — Aut quia etiam Christus sine sanguine hostiam obtulit, deinde postmodum suum ipsius etiam corpus : propterea ergo apte dictum est Christum esse sacerdotem secundum ordinem Melchisedec. — Quia non oleo unctus est Melchisedec ad sacerdotium, quemadmodum Aaron, et quia non obtulit hostias per sanguinem, et quia gentium sacerdos erat, et quia per panem et vinum benedixit Abraham. — Significat sermo, quod licet Christus non obtulerit incruentam hostiam (siquidem suum ipsius corpus obtulit), attamen qui ab ipso fungentur sacerdotio, quorum Deus pontifex esse dignatus est, sine sanguine offerent : nam hoc significat : *In æternum*. Neque enim de ea quæ semel a Deo facta est oblatio et hostia dixisset : *In æternum* ; sed respiciens ad præsentes sacrificos, per quos medios Christus sacrificat et sacrificatur : qui etiam in mystica cœna modum illis tradidit hujusmodi sacrificii.

V, 7-10. *Qui in diebus carnis suæ, cum et precationes et supplicationes apud illum qui poterat ipsum a morte servare cum clamore valido et lacrymis obtulisset, et exauditus esset pro sua reverentia, tametsi Filius erat, didicit ex his quæ passus est obedientiam : ac perfectus redditus, fuit omnibus qui sibi obedierunt causa salutis æternæ, cognominatus a Deo pontifex secundum ordinem Melchisedec.*

« Qui in diebus carnis suæ. » Non propterea dixit dies carnis, quibus Dominus super terram visibiliter vivebat, quasi nunc carnem ipsam reliquisset; Absit! habet enim eam quanquam incorruptibilem : **349** sed dies dicit carnis, hoc est, dies quibus vita sua quæ erat in carne vixit.

Precationes et supplicationes. » Non solum precationes et supplicationes, verumetiam cum clamore et lacrymis obtulit. Hoc autem dixit Paulus sese ad captum illorum demittendo. « Et exauditus esset. » In tantum exauditus est, ut etiam resurrexerit : hoc autem dixit propter imbecillitatem auditorum, qui magnificam de Christo opinionem nondum conceperant. « Pro sua reverentia. » Non tantum, inquit, ex gratia Patris auditus est quantum ob propriam reverentiam. Tanta enim erat ipsius reverentia, inquit, ut Pater quoque ipsum fuerit reveritus. Horum autem verborum humilium duplex est causa, caro nempe et imbecillitas auditorum. « Tametsi Filius erat, didicit ex his quæ passus est. » Adeo, inquit, obediens fuit (obedivit autem sicut decet Filium Patri), ut postquam incarnatus est, etiam crucem ac mortem sustinuerit. « Didicit *autem* ex his quæ passus est. »

A τῶν ἱερέων συνήθειαν, ἐν τοῖς ἄλλοις ὑπερτίθησι καθόσον ὑπερίχειν ὤφειλε Θεὸς ἀνθρώπων. « Ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν. » Ὁ τοῦτο, φησὶν, εἰρηκὼς πρὸς αὐτὸν Θεὸς, ἐχειροτόνησεν αὐτὸν ἱερέα. « Καθὼς καὶ ἐν ἑτέρῳ λέγει. » Τὸ, Καί, ὡς πρὸς τὴν ἀκολουθίαν τῆς Ἑρμηνείας παρέλκεται. « Κατὰ τὴν τάξιν Μελχισεδέκ. » Οὗτος πρῶτος ἀναίμακτον θυσίαν προσήνεγκε τῷ Θεῷ, ἄρτον καὶ οἶνον. — [ΦΩΤ.] Ἢ ὅτι καὶ ὁ Χριστὸς ἀναίμακτον θυσίαν προσήνεγκεν, εἶθ' ὕστερον καὶ τὸ ἑαυτοῦ σῶμα. Διὰ τοῦτο οὖν ἀναλόγως εἴρηται ἱερέα εἶναι τὸν Χριστὸν, κατὰ τὴν τάξιν Μελχισεδέκ. — [ΑΘΑΝ.] Ὅτι οὐ δι' ἐλαίου εἰς ἱερωσύνην ἐχρίσθη ὁ Μελχισεδέκ, ὡς Ἀαρὼν, καὶ ὅτι οὐ τὰς δι' αἱμάτων προσήγαγε θυσίας, καὶ ὅτι τῶν ἐθνῶν ἦν ἀρχιερεὺς, καὶ ὅτι δι' ἄρτου καὶ οἴνου ηὐ-
B λόγησε τὸν Ἀβράαμ. — [ΟΙΚΟΥΜΕΝΙΟΥ.] Δηλοῦντος τοῦ λόγου, ὅτι εἰ μὴ αὐτὸς ὁ Χριστὸς ἀναίμακτον προσήγαγε θυσίαν, (προσήγαγε γὰρ τὸ ἑαυτοῦ σῶμα,) ἀλλ' οἵ γε ἀπ' αὐτοῦ ἱερεῖς ὢν Θεὸς καὶ ἀρχιερεὺς ἀξιοῖ εἶναι, ἀναίμακτον προσοίσουσι. Τοῦτο γὰρ δηλοῖ, τὸ, Εἰς τὸν αἰῶνα. Οὐ γὰρ τὴν πρὸς ἅπαξ γενομένην ὑπὸ Θεοῦ θυσίαν καὶ προσφορὰν εἶπεν ἂν, εἰς τὸν αἰῶνα, ἀλλ' ἀφορῶν εἰς τοὺς νῦν ἱερουργοὺς, δι' ὧν μέσων Χριστὸς ἱερουργεῖ καὶ ἱερουργεῖται, ὁ καὶ παραδοὺς αὐτοῖς ἐν τῷ μυστικῷ δείπνῳ τὸν τρόπον τῆς τοιαύτης ἱερουργίας.

Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δα-
C *κρύων προσενέγκας καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν Υἱὸς, ἔμαθεν ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοήν. Καὶ τελειωθεὶς, ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου, προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς, κατὰ τὴν τάξιν Μελχισεδέκ.*

« Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ. » Οὐ διὰ τοῦτο εἶπεν ἡμέρας σαρκὸς, τὰς ὅταν ἦν ὁ Κύριος ἐπὶ γῆς αἰσθητῶς, ὡς νῦν ἀποθεμένου αὐτοῦ τὴν σάρκα. Ἅπαγε! ἔχει γὰρ αὐτὴν, εἰ καὶ ἄφθαρτον. Ἀλλ' ἡμέρας φησὶ σαρκὸς, οἷον τὰς ἐν τῇ σαρκικῇ
D ζωῇ αὐτοῦ ἡμέρας.

« Δεήσεις καὶ ἱκετηρίας. » Οὐ μόνον αἰτήσεις καὶ ἱκετηρίας, ἀλλὰ καὶ μετὰ κραυγῆς καὶ δακρύων προσέφερε. Τοῦτο δὲ συγκαταβαίνων αὐτοῖς ὁ Παῦλος εἶπε. « Καὶ εἰσακουσθείς. » Τοσοῦτον, φησὶν, εἰσηκούσθη, ὅτι καὶ ἀνέστη. Τοῦτο δὲ εἶπε διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων, οὕπω μεγάλας ἐχόντων περὶ Χριστοῦ δόξας. « Ἀπὸ τῆς εὐλαβείας. » Οὐ τοσοῦτον, φησὶ, χάριτι τοῦ Πατρὸς, ὅσον ἀπὸ τῆς οἰκείας εὐλαβείας ἠκούσθη. Τοσαύτη γὰρ ἦν αὐτοῦ, φησὶν, ἡ εὐλάβεια, ὅτι καὶ ᾐδέσθη αὐτὸν ὁ Πατήρ. Τῶν δὲ ταπεινῶν τούτων ῥημάτων δύο αἴτια· ἥ τε σὰρξ, καὶ ἡ ἀσθένεια τῶν ἀκουόντων. « Καίπερ ὢν Υἱὸς, ἔμαθεν ἀφ' ὧν ἔπαθε. » Τοσοῦτον, φησὶν, ὑπήκουσεν, (ὑπήκουσε δὲ, ὡς πρέπει Υἱὸν Πατρὶ,) ὅτι μετὰ τὸ ἐνανθρωπῆσαι, καὶ σταυρὸν καὶ θάνατον ὑπέμεινεν. « Ἔμαθεν δὲ ἀφ' ὧν ἔπαθεν. » Ἤδει μὲν, φησὶ, τίς ὁ θάνατος, Θεὸς ὤν. Τί γὰρ λέληθε Θεόν; Ἀλλὰ καὶ ἐξ ὧν ἔπαθεν, ἔμαθεν. Οὐ μόνον, φησὶ, καθὸ ἦν Θεὸς, ἀλλὰ

καὶ καθὸ ἦν ἄνθρωπος, πεῖρᾳ μαθὼν τὸν θάνατον. — Ἄλλο. [ΦΩΤ.] Δύο ζητεῖται μάλιστα ἐνταῦθα, ἓν μὲν, πῶς φησιν, ὅτι εἰσηκούσθη, καίτοι αὐτὸς μὲν παρελθεῖν ἐδεῖτο τὸν θάνατον, ὁ δὲ οὐ παρῆλθε. Καὶ γὰρ ἐσταυρώθη καὶ ἀπέθανε. Δεύτερον δὲ, ἀπὸ ποίας εὐλαβείας εἰσακουσθῆναι αὐτόν φησι. Καὶ τρίτον, τὸ, Καίπερ ὢν Υἱὸς, τίνι συναπτέον; τῷ Εἰσηκούσθη ἀπὸ τῆς εὐλαβείας, ἢ τοῖς ἑφεξῆς, ἵνα ᾖ, Καίπερ ὢν Υἱὸς, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν. Διαφορὰ γὰρ τούτων οὐκ ὀλίγη. Ἀλλὰ πρὸς μὲν τὸ πρῶτόν φαμεν, ὅτι οὐκ ἦν ἡ δέησις μία, ἀλλὰ διπλῆ τις· ἡ μὲν παραιτουμένη τὸν θάνατον, ἡ δὲ αἰτουμένη. Καὶ γάρ φησιν ἐν τῇ αὐτῇ εὐχῇ καὶ δεήσει· « Πλὴν μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γενέσθω. » Καὶ τοῦτο σαφέστερον δηλῶν ὁ Ἰωάννης, φησὶν αἰτεῖσθαι τὸν Υἱὸν λέγοντα, « Πάτερ, δόξασόν σου τὸν Υἱὸν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε, » δόξαν τὸν σταυρὸν καὶ τὸν θάνατον ὡς δηλῶν ὀνομάζοντα. Ὥστε καλῶς φησιν ὁ θεῖος Παῦλος, Εἰσηκούσθη. Τὸ δὲ, Ἀπὸ τῆς εὐλαβείας, ἐγγὺς γέγονεν ἐκ τῶν εἰρημένων τοῦ σεσαφηνίσθαι. Δύο γὰρ ἔφημεν αἰτήσεις, τὴν μὲν παραιτήσεως τοῦ θανάτου, τὴν δὲ συγκατανεύσεως· ὅπερ ἦν ὡς ἀληθῶς πολλῆς εὐλαβείας· Πλὴν μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σόν. Εἰσηκούσθη τοίνυν ὁ Χριστὸς, οὐκ ἀπὸ τῆς παραιτήσεως, ἀλλ' ἀπὸ τῆς εὐλαβείας, τουτέστιν, ἐκείνη ἡ αἴτησις αὐτοῦ ἐξέβη, οὐχὶ ἡ κατὰ τὴν παραίτησιν, ἀλλ' ἡ κατὰ τὴν εὐλάβειαν. Διό φησι, Καὶ τελειωθεὶς, τουτέστι, διὰ παθημάτων καὶ σταυροῦ καὶ θανάτου τέλειος ἡμῖν ἐπιγνωσθείς, καὶ ὑπὲρ λόγον ἀγαθὸς καὶ φιλάνθρωπος. Τοῦτο δὲ καὶ ἄνωθεν ὑπεδήλου· δεήσεις λέγων καὶ ἱκετηρίας, τὸ διπλοῦν τῆς αἰτήσεως αἰνιττόμενος. Εἶτα καὶ δεήσεις εἰπὼν καὶ ἱκετηρίας, οὐκ ἐπήγαγεν Ὑπὲρ τοῦ παρελθεῖν τὸν θάνατον, ἀλλὰ, Πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, καλῶς καὶ πανσόφως τοῦτο προσθείς, ἵνα ὅταν ἐννοῇς αὐτὸν σταυρούμενον καὶ θαπτόμενον, μὴ ἀδυναμίᾳ τοῦ Πατρὸς αὐτὸν τοῦτο νομίσῃς ὑπομεμενηκέναι, ἀλλ' ὅτι κοινὸν θέλημα ἦν τὸ ταῦτα παθεῖν τὸν Χριστὸν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας. Δύναται δὲ τοῦτο εἰρῆσθαι καὶ διὰ τὴν ἀνάστασιν. Πολλαχοῦ γὰρ ταπεινότερα ὁ θεῖος Παῦλος φθεγγόμενος, τὸν Πατέρα φησὶν ἀναστῆσαι τὸν Χριστόν. Ἀναστήσας οὖν αὐτὸν, ἐρρύσατο αὐτὸν ἐκ τοῦ θανάτου καὶ διέσωσεν. Ἀλλ' οὕτως μὲν κατ' ἐμὴν γνώμην ταῦτα. Τὸ δὲ, Καίπερ ὢν Υἱὸς, εἴ τις καθ' ὑπερβατὸν ἐκλάβοι, (ἄπειρος δὲ ἡ τούτου χρῆσις τῷ θεσπεσίῳ Παύλῳ,) ἀβίαστος ἂν ἡ ἔννοια προαχθείη, οἷον· Ὅς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, καίπερ ὢν Υἱὸς, δεήσεις καὶ ἱκετηρίας, καὶ ἑξῆς, τουτέστι, καίπερ πρόνομιον μέγιστον ἔχων ὡς Υἱὸς, τὸ χωρὶς δεήσεως καὶ αἰτήσεως αὐτοδεσπότῳ γνώμῃ πάντα ποιεῖν ἃ καὶ ὁ Πατὴρ ποιεῖ, ὅμως ἐπειδὴ ἐν ἡμέραις ἦν τῆς σαρκὸς, δεήσεις καὶ ἱκετηρίας προσέφερε. Δύναται δὲ καὶ κατὰ ἀκολουθίαν ὡς ἔχει τάξεως συναφθῆναι τῷ, Καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, οἷον, Εἰσηκούσθη, φησὶ, καίπερ ὢν Υἱὸς, καὶ μὴ δεόμενος εἰσ-

A Noverat quidem quid esset mors, cum Deus esset : quid enim Deum latere potest? Attamen didicit ex his quæ passus est. Non solum quatenus Deus erat, verumetiam quatenus erat homo, experientia didicit mortem. — *Alio modo.* Duo quidem hic maxime quæruntur : unum quidem, quomodo dicat quod exauditus sit. Atqui orabat ut mortem evaderet : ipse autem non evasit, nam crucifixus est et mortuus. Alterum vero, pro qua reverentia dicat eum exauditum. Et tertium, cui conjungendum est, Tametsi Filius erat : an præcedentibus, puta, Exauditus est pro sua reverentia : an sequentibus, ut sit sensus : Tametsi Filius erat, didicit ex his quæ passus est obedientiam : est enim diversitas inter ista non parva. Verum ad primum quidem dicimus precationem non simplicem fuisse, sed quodammodo duplicem : una quidem devitando mortem, altera vero expetendo mortem. Ait enim in ipsa oratione et precatione : « Attamen non mea voluntas, sed tua fiat [26]. » Et hoc manifestius significans Joannes, ait Filium petiisse : « Pater glorifica Filium tuum, ut et Filius tuus glorificet te [27], » tanquam significans nominasse crucem ac mortem gloriam. Recte itaque ait divus Paulus : Exauditus est. Quod autem dicitur, Pro sua reverentia, propemodum ex his quæ jam dicta sunt declaratum est. **350** Duas enim diximus petitiones : unam quidem qua devitaret mortem, alteram vero qua acceptaret. Hæc quidem magnæ revera erant reverentiæ, qua dicebat : Attamen non mea voluntas, sed tua fiat. Exauditus est ergo Christus non ex ea parte qua refugiebat, sed qua reverebatur : hoc est, illa petitio ipsius contigit non quæ devitationem, sed quæ reverentiam concernebat. Ideo ait : Ac perfectus redditus : hoc est, per afflictiones et crucem ac mortem perfectus a nobis cognitus et supra modum bonus ac humanus. Hoc autem superius quoque indicavit, dicens : Precationes et supplicationes, petitionem geminam designans. Præterea etiam cum dixisset : Precationes et supplicationes, non addit : Ad evadendum mortem, sed, Apud illum qui poterat ipsum a morte servare. Idque recte admodum et sapienter addit : ut quando intellexeris ipsum crucifixum ac sepultum, ne Patris impotentia idipsum existimes eum pertulisse, sed quod communis erat voluntas, ut Christus hæc pro mundi salute pateretur. Potest autem et hoc dictum esse propter resurrectionem. Frequenter enim humiliora loquens divus Paulus, ait Patrem resurrexisse Christum. Resuscitans itaque ipsum, a morte liberavit ac servavit. Et hæc quidem meo judicio ita se habet. Quod autem dicitur : Tametsi Filius erat, si quis per hyperbaton accipiat (porro hujus usus divo Paulo frequens est), hujus intellectus absque ulla violentia deducetur : hoc est : Qui in diebus carnis suæ, tametsi erat Filius, precationes ac supplicationes, etc., hoc est, Quan-

[26] Matth. xxvi, 39; Luc. xvi, 42. [27] Joan. xvii, 1.

quam auctoritatem maximam haberet tanquam Filius, ut absque precatione ac postulatione, sua ipsius voluntate et auctoritate omnia faceret quæcunque Pater facit, tamen quoniam in diebus erat carnis, precationes ac supplicationes obtulit. Potest quoque et juxta sermonis consequentiam prout se habet, ei conjungi quod dicitur : Et exauditus est pro sua reverentia, ut sit sensus : Exauditus est tametsi esset Filius, nec opus illi esset ut exaudiretur, ut qui voluntatem haberet una cum Paterna voluntate concurrentem, et quæ absque omni petitione completur. Quod si etiam sequentibus illud conjunxeris, intellectus facile procedet. Sed prius considerandum quid significet: **351** Didicit ex his quæ passus est obedientiam. Utrum enim significat quod didicit ipse ex his quæ passus est Patri obedire, et per experientiam habuit cognitionem obtemperandi illi? an potius, quia per experientiam didicit quanta esset obedientiæ magnitudo, obedivit ipsi Pater, nempe ut ipse crucifigeretur et moreretur ac resurgeret, et in dextera Patris humanam massam collocaret, salvaretque genus nostrum? Nam hæc illius sunt obedientiæ quæ facta est in eo quod dixit : Pater, glorifica Filium tuum. Siquidem etiam antequam Pater obsecutus esset, noverat sane Christus qualis et quanta esset hæc obedientia, tanquam Filius ac Deus, sicut et Pater. Cum autem exauditus esset, didicit eam per ea quæ passus fuerat et per experientiam. Poterit igitur quisque accipere ut voluerit : meo autem judicio, secunda intelligentia magis quadrare videtur. Nullam itaque obscuritatem jam habet quod dicitur, Tametsi Filius erat. « Et perfectus redditus, fuit omnibus qui sibi obedierunt. » Id sane perfectio est in hominibus, ut per afflictiones apprehendant perfectionem. Omnia autem dixit tanquam humano more. « Causa salutis æternæ. » Ecce etiam quod divinitati respondeat.

A ἀκουσθῆναι, ἅτε σύνδρομον ἔχων τὸ θέλημα τῷ Πατρικῷ βουλήματι, καὶ χωρὶς πάσης ἐκπληρούμενον αἰτήσεως. Εἰ δὲ καὶ τοῖς ἑφεξῆς αὐτὸ συνάψεις, ὁ νοῦς εὐοδωθήσεται. Ἀλλὰ πρότερον τί δηλοῖ σκεπτέον τὸ, Ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν. Ἆρα γὰρ ὅτι ἔμαθεν αὐτὸς ἀφ' ὧν ἔπαθε τῷ Πατρὶ ὑπακούειν, καὶ πείρᾳ τὴν γνῶσιν ἔσχε τοῦ πειθαρχεῖν αὐτῷ ; ἢ μᾶλλον ὅτι πείρᾳ ἔμαθε τὸ μέγεθος τῆς ὑπακοῆς ἡλίκον ἦν, ὑπήκουσεν αὐτῷ ὁ Πατήρ, οἷον τὸ σταυρωθῆναι αὐτὸν καὶ ἀποθανεῖν, καὶ ἀναστῆναι, καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς τὸ ἀνθρώπινον φύραμα ἀνυψῶσαι, καὶ σῶσαι τὸ γένος ἡμῶν; Ταῦτα γὰρ ἐκείνης ἐστὶ τῆς ὑπακοῆς τῆς γεγενημένης ἐν τῷ λέγειν, Πάτερ, δόξασόν σου τὸν Υἱόν. Ταύτην γὰρ τὴν ὑπακοὴν ἡλίκη καὶ δση, καὶ πρὸ τοῦ ὑπακοῦσαι τὸν Πατέρα, B ᾔδει μὲν ὁ Χριστὸς ὡς Υἱὸς καὶ Θεός, καθάπερ καὶ ὁ Πατήρ· εἰσακουσθεὶς δὲ, ἔμαθεν αὐτὴν δι' ὧν ἔπαθε καὶ πείρᾳ. Ὧ; ἂν οὖν τις ἐκλάβοι, ἐμὴ δὲ μᾶλλον ἡ δευτέρα ἔννοια συμβαίνειν δοκεῖ. Οὐδεμίαν οὖν ἔτι ἀσάφειαν ἔχει τὸ, Καίπερ ὢν Υἱός. « Καὶ τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσι. » Τοῦτο ἄρα τελείωσι; ἐν ἀνθρώποις, τὸ, διὰ παθημάτων ἐπιλαβέσθαι τελειότητος. Ἀνθρωποπρεπῆ δὲ πάντα εἴρηκεν. « Αἴτιος σωτηρίας αἰωνίου. » Ἰδοὺ καὶ θεοπρεπές.

CAPUT VI.

Objuratio adversus illos quibus opus est prima elementorum institutione.

V, 11-14. *De quo nobis multa forent dicenda, eaque explicatu difficilia, quandoquidem segnes facti estis auribus. Etenim cum deberetis pro temporis ratione doctores esse, rursum vobis opus est ut doceamus vos quæ sint elementa initii eloquiorum Dei : factique estis ii quibus opus sit lacte et non solido cibo. Nam quisquis lactis est particeps, is rudis est sermonis justitiæ : infans enim est. Porro perfectorum est solidus cibus, nempe horum qui propter habitum habent sensus exercitatos ad discretionem boni pariter ac mali.*

352 « De quo, Christo, multa forent dicenda, eaque explicatu difficilia. » Propter vestram, inquit, C causam, quia segnes estis, et quæ perfectiora de ipso sunt non capitis. Cum enim tam multa humilia dixisset quæ incarnationem concernebant, voluit ad ea quoque transire quæ divinitatem decebant : sed cum imbecilles adhuc essent ad quos erat sermo, non poterant, perfectiora audire dogmata. « Quoniam segnes facti estis auribus. » Tentationes, inquit, et afflictiones reddiderunt vos segnes, nec potestis perfectos audire sermones. « Etenim cum deberetis doctores esse. » Cum laude profert objurgationem. Segnes enim et ignavi estis, inquit ;

ΚΕΦΑΛ. Ϛ'.

Ἐπιτίμησις τοῖς δεομένοις τῆς στοιχειώδους εἰσαγωγῆς.

Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος, καὶ δυσερμήνευτος λέγειν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ. Καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς. Πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης. Νήπιος γάρ ἐστι. Τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

« Περὶ οὗ Χριστοῦ, πολύς ἐστιν ὁ λόγος καὶ δυσερμήνευτος. » Διὰ τὴν ὑμῶν, φησὶν, αἰτίαν, ὅτι νωθροί ἐστε, καὶ τὰ τελειότερα περὶ αὐτοῦ οὐ χωρεῖτε. Εἰπὼν γὰρ τὰ τοσαῦτα ταπεινὰ τῆς ἀνθρωπήσεως, ἠβούλετο μεταβῆναι καὶ ἐπὶ τὰ θεοπρεπῆ, ἀλλ' ἀσθενεῖς ἔτι ὄντες πρὸς οὓς ὁ λόγος, οὐκ ἴσχυον τελειοτέρων ἀκούειν δογμάτων. « Ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. » Οἱ πειρασμοὶ, φησὶ, καὶ αἱ θλίψεις, νωθροὺς ὑμᾶς ἐποίησαν, καὶ οὐ δύνασθε τελείων ἀκούειν λόγων. « Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι. » Μετὰ ἐγκωμίου προσάγει τὴν κατηγορίαν. Νωθροὶ γὰρ καὶ ῥᾴθυμοι, φησὶν, ἐστὲ, καίτοι ὀφείλοντες καὶ ἑτέρους διδάσκειν διὰ τὸν χρόνον. Οὕτω

δὲ δείκνυσιν ἐκ πολλοῦ πεπιστευκότας αὐτούς. Καὶ γὰρ ὀφείλοντες διδάσκαλοι εἶναι, οὐ μόνον οὐκ ἐστὲ διδάσκαλοι, ἀλλ' οὐδὲ μανθάνειν δύνασθε, εἰ μὴ τὰ στοιχειωδέστερα καὶ ταπεινὰ καὶ ἁπλούστερα. Καὶ ταῦτα οὐχ ἁπλῶς, ἀλλ' ὃ ἔτι ἀσθενέστερον, τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ. Οὐ τῶν λογίων δέ φησι, τὰ στοιχεῖα, ἀλλὰ, τῆς ἀρχῆς τῶν λογίων. Εἰ δ' ἂν στοιχεῖα μὲν εἰκότως τῶν τοῦ Θεοῦ λογίων, οἱ περὶ ἐνανθρωπήσεως λόγοι. Ἀρχῆς δὲ λογίων στοιχεῖα, ἃ προῖὼν λέγει, Μὴ πάλιν θεμέλιον, καὶ ἑξῆς. « Πάλιν χρείαν ἔχετε. » Πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τινά. Τί δὲ διδάσκειν; τὰ στοιχεῖα, φησί. « Τὰ στοιχεῖα τῆς ἀρχῆς. » Στοιχεῖα ἀρχῆς, τὴν ἐνανθρώπησιν λέγει. Ὥσπερ γὰρ ἐπὶ τῶν γραμμάτων πρῶτον τὰ στοιχεῖα μανθάνομεν, οὕτως καὶ ἐπὶ τῶν θείων λογίων ἔδει πρῶτον τὰ περὶ τῆς ἐνανθρωπήσεως διδάσκεσθαι. Ταῦτα γὰρ ταῖς ἀπίστοις ἔτι καὶ νηπίαις ἀκοαῖς χωρητά. Ὡς τό γε περὶ τῆς θεότητος τοῦ Χριστοῦ φιλοσοφεῖν, τελείων ἦν λοιπόν. Ὁρᾷς τὴν αἰτίαν δι' ἣν τοῖς ταπεινοῖς ἐμφιλοχωρεῖ; διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν, οὐκ ἰσχυόντων τὰ τέλεια δέξασθαι. Διὸ καὶ παρὰ τὰς ἀρχὰς τῆς Ἐπιστολῆς βραχέα φιλοσοφήσας περὶ τῆς θεότητος τοῦ Χριστοῦ, εὐθὺς κατέπαυσε τὸν λόγον. Τῶν μέν τοι ταπεινῶν ἡ Ἐπιστολὴ γέμει.—*Ἄλλο* [ΘΕΟΔΩΡ.] Στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ, τοὺς ταπεινοτέρους περὶ Χριστοῦ λόγους ἐκάλεσε. Τοῖς γὰρ μηδέπω τὴν πίστιν ἐσχηκόσι τελείαν, τὰ περὶ τῆς ἀνθρωπότητος προσέφερον μόνα, τῆς ἀληθείας οἱ κήρυκες. Οὕτως ὁ μακάριος Πέτρος Ἰουδαίοις δημηγορῶν ἐμέτρησε τὴν διδασκαλίαν τῇ ἀσθενείᾳ τῶν ἀκουόντων. « Ἰησοῦν γὰρ, ἔφη, τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς. « Καὶ γεγόνατε χρείαν ἔχοντες. » Αὐτοὶ γεγόνατε, φησὶν, ἐκ ῥᾳθυμίας, οὐκ ὄντες τοιοῦτοι. « Γάλακτος καὶ οὐ στερεᾶς τροφῆς. » Γάλα λέγει τοὺς ταπεινοὺς περὶ Χριστοῦ λόγους, τοὺς περὶ τῆς σαρκός· στερεὰν δὲ τροφὴν, τοὺς τελείους τοὺς περὶ τῆς θεότητος αὐτοῦ. Τοῖς οὔπω νηπίοις τὴν πίστιν, ἔδει λόγων ταπεινῶν, (κατάλληλον γὰρ τοῖς νηπίοις τὸ γάλα,) τοῖς δὲ τελείοις τὴν πίστιν, τῆς στερεᾶς τροφῆς καὶ τῆς ὑψηλῆς περὶ Χριστοῦ φιλοσοφίας. « Πᾶς γὰρ ὁ μετέχων γάλακτος. » Πᾶς γὰρ, φησὶν, ὁ μετέχων λόγων ταπεινῶν, τῶν περὶ τῆς ἀνθρωπότητος τοῦ Κύριου, (οὗτοι γὰρ τὸ γάλα,) ἄπειρός ἐστι καὶ ἀμέτοχος λόγου δικαιοσύνης. Λόγον δὲ δικαιοσύνης λέγει, τὸν περὶ τῆς θεότητος τοῦ Κυρίου. « Ἡ στερεὰ τροφή. » Ὁ ὑψηλὸς λόγος, καὶ τὰ ὑψηλὰ περὶ Χριστοῦ δόγματα. « Τῶν διὰ τὴν ἕξιν. » Τὴν ἕξιν φησὶ, τὴν τελειότητα, τὸ καλῶς ἀνῆχθαι, γεγυμνασμένων τὰ αἰσθητήρια, οἷον, ἀκοὴν, γλῶσσαν, ὀφθαλμούς. Ἢ γοῦν τὰ τῆς ψυχῆς αἰσθητήρια λέγει. Πρὸς τὸ διακρίνειν, φησὶ, ποῖα τὰ χρηστὰ, καὶ ὑψηλὰ δόγματα, καὶ ποῖα τὰ νόθα καὶ διεφθαρμένα. Αἰνίττεται δὲ τοὺς πᾶσι τοῖς ὁτιδήποτε διδάσκουσιν ἐκδιδόντας ἑαυτοὺς καὶ πειθομένους. Ὁ γὰρ πάντα ἁπλῶς δεχόμενος, ἀδιακρίτως ἔχει καλοῦ καὶ κακοῦ.

A atqui deberetis alios quoque docere pro temporis ratione. Ita autem ostendit quod ante longum tempus crediderant. Etenim cum deberetis doctores esse, non solum non estis doctores, sed neque discere potestis nisi prima elementa et humilia ac simpliciora : et hæc quoque non utcunque, sed quod adhuc imbecillius est, elementa initii eloquiorum Dei. Non dicit autem : Elementa eloquiorum, sed, initii eloquiorum. Esse autem merito possunt elementa eloquiorum Dei, sermones de incarnatione ; initii autem eloquiorum, elementa quæ in progressu dicit : Non rursum fundamentum jacientes, etc. « Rursum vobis opus est. » Rursum necesse vobis est, ut doceamus vos. Quænam autem doceamus? Elementa, inquit. « Elementa initii. »

B Elementa initii dicit : Incarnationem. Nam quemadmodum in litteris primum elementa discimus, ita et in divinis eloquiis primum oportet doceri ea quæ de incarnatione sunt. Horum enim capaces sunt incredulæ adhuc et infantiles aures : sicut de Christi divinitate philosophari, perfectorum consequenter esset. Vides causam cur humilibus sermonibus diutius immoretur? Propter auditorum imbecillitatem, qui non poterant perfecta suscipere. Ideo quoque ubi circa Epistolæ exordia breviter de Christi divinitate disseruisset, protinus sermonem continuit. Itaque Epistolam humilibus replet sermonibus. — *Alio modo.* Elementa initii eloquiorum Dei, vocavit humiliores de Christo sermones. Siquidem veritatis præcones, his qui

C nondum perfectam habebant fidem sola ea proponebant, quæ de humanitate erant. **353** Ita beatus Petrus, cum apud Judæos concionaretur, doctrinam metiebatur juxta audientium imbecillitatem. « Jesum, inquit, Nazarenum virum a Deo designatum ad vos. »—« Factique estis ii quibus opus sit. » Ipsi, inquit, ex segnitie facti estis, cum tales non essetis. « Lacte et non solido cibo. » Lac dicit humiles de Christo sermones, nempe qui sunt de carne. Solidum vero cibum, perfectos de ipsius divinitate sermones. Iis igitur qui fide adhuc erant infantes opus erat humilibus sermonibus, lac enim infantibus conveniens est : perfectis autem fide, solido cibo et perfecta de Christo doctrina. « Nam quisquis

D lactis est particeps. » Omnis enim qui particeps est humilium de humanitate Domini sermonum (nam hi lac dicuntur), is rudis est et non particeps sermonum justitiæ. Sermonem autem justitiæ dicit eum qui de divinitate est. « Solidus cibus. » Sublimis sermo ac sublimia de Christo dogmata. « Nempe horum qui propter habitum. » Habitum dicit perfectionem, recte educatos esse, sicut sensus habeant exercitatos, nempe aures, linguam, oculos. Aut sensus dicit animæ. Ad discernendum, inquit, quænam utilia sint ac sublimia dogmata, et quæ adulterina ac corrumpentia. Illos autem latenter insinuat qui omnibus quæcunque et undecunque docentibus seipsos tradunt ac obsequuntur. Nam qui omnia temere recipit, nullum habet judicium boni ac mali.

VI, 1-3. *Quapropter omisso sermone initii ad Christum, ad perfectionem feramur : non rursum jacientes fundamentum pœnitentiæ ab operibus mortuis et fidei in Deum, baptismatum, doctrinæ ac manum impositionis et resurrectionis mortuorum ac judicii æterni. Atque id faciemus si quidem permiserit Deus.*

Cum in superioribus vocasset initium sermones de Christi humanitate, perfectionem vero eos qui de divinitate essent, ne hi impatienter dolerent quasi indigni perfectioribus sermonibus, aggreditur etiam eloqui perfectiores. Eloquitur autem non eo modo quo prius vocavit perfectos : neque enim audire poterant, sed alio modo astute aggreditur sermonem, vocans quidem principium baptisma, **354** et manuum impositionem ac signaculum, quæ in eo sunt : perfectionem vero, doctrinam per opera. In progressu autem manifestius dicit quod sit initium in his qui modo credunt, et quæ perfectio. Consecutio ordinationis litteræ:—Quapropter omisso sermone sive dogmate initii ad Christum, ad perfectionem feramur ; atque id faciemus si quidem permiserit Deus.— « Sermonem initii ad Christum. » Quem sermonem ? Sermonem doctrinæ, quod oporteat fundamentum jacere pœnitentiæ ab operibus mortuis : sermonem doctrinæ quod oporteat credere in Deum : sermonem doctrinæ quod oporteat baptizari : sermonem doctrinæ quod oporteat dignum se gerere Spiritu sancto ; sermonem doctrinæ quod futura sit resurrectio ac judicium. A communi enim intellectu sumuntur ad singula et Sermo et Doctrina. — « Ad perfectionem. » Cum dixisset se relinquere elementarem de Christo sermonem, et qui initii ordinem continet, ferrique ad perfectionem, non simpliciter ac proprie dicit perfectionem, sed veluti mediam inter crassiorem informationem eloquiorum Dei et supremam perfectionem. Siquidem elementa initii eloquiorum Dei sunt abrenuntiare Satanæ omnibusque ejus operibus, credere in Deum, baptizari, accipere Spiritum sanctum, scire mortuorum resurrectionem, ac credere futurum esse judicium. Hæc quidem elementa sunt initii eloquiorum Dei. Porro elementa eloquiorum Dei et non initii eloquiorum Dei sunt, scire quod pro nobis passus sit Christus, quod susceperit peccata nostra, quod salutem nobis operatus sit, quod pontifex nobis factus sit, quod seipsum obtulerit pro nobis, et si quid his affine est. Perfectio vero ejus quod est renuntiasse Satanæ ejusque consortibus, est promotio in virtutibus, tolerantia afflictionum et persecutionum ac tentationum. Suprema autem perfectio est exacta comprehensio, et quanta homini possibilis est, de Christi theologia. Primum igitur credentes baptizamur, deinde agnoscimus quanta pro nobis passus sit Christus ac fecerit juxta humanitatem, postmodum virtutibus perficimur, exinde etiam cognitione, quæ secundum divinam est scientiam digni reddimur. « Non rursum jacientes fundamentum. » Non rursum aliud jacientes fundamentum, veluti

Α *Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ Θεόν, βαπτισμῶν, διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου. Καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπει ὁ Θεός.*

Ἄνω εἰπὼν ἀρχὴν τοὺς περὶ ἀνθρωπότητος τοῦ Κυρίου λόγους, τελειότητα δὲ τοὺς περὶ θεότητος, ἵνα μὴ ἀδημονῶσιν οὗτοι, ὡς μὴ ἀξιούμενοι τῶν τελειοτέρων λόγων, λέγειν τοὺς τελείους πειρᾶται. Λέγει δὲ, οὐχ ὡς ἄνω τελείους ἐκάλεσεν, (οὐ γὰρ ἴσχυον ἀκοῦσαι)· ἀλλ' ἑτέρως μεθοδεύει τὸν λόγον, ἀρχὴν μὲν τὸ βάπτισμα καλῶν, καὶ τὴν ἐν αὐτῷ τῶν χειρῶν ἐπίθεσιν καὶ σφραγῖδα· τελειότητα δὲ, τὴν δι' ἔργων Β φιλοσοφίαν. Παρακατιὼν δὲ σαφέστερον λέγει τίς ἡ ἀρχὴ ἐπὶ τῶν ἄρτι πιστευόντων, καὶ τίς ἡ τελειότης. Τὸ ἀκόλουθον τῆς συντάξεως. — [ΦΩΤ.] Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ δογμάτων, ἐπὶ τὴν τελειότητα φερώμεθα. Καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ Θεός. — [ΤΟΥ ΑΥΤΟΥ.] « Τοῦ Χριστοῦ λόγον. » Ποῖον λόγον ; Τὸν λόγον τῆς διδαχῆς, τοῦ δεῖν καταβάλλειν θεμέλιον μετανοίας ἀπὸ νεκρῶν ἔργων· τὸν λόγον τῆς διδαχῆς, τοῦ δεῖν πιστεύειν ἐπὶ Θεόν· τὸν λόγον τῆς διδαχῆς, τοῦ δεῖν βαπτισθῆναι· τὸν λόγον τῆς διδαχῆς, τοῦ δεῖν ἀξιωθῆναι Πνεύματος ἁγίου· τὸν λόγον τῆς διδαχῆς, ὅτι ἀνάστασις, ὅτι ἔσται κρίσις. Ἀπὸ κοινοῦ γὰρ κατὰ πάντων, καὶ ὁ λόγος καὶ ἡ διδαχή. — [ΤΟΥ ΑΥΤΟΥ.] « Ἐπὶ τὴν τελειότητα. » Εἰπὼν ἀφεῖναι τὸν περὶ Χριστοῦ στοι- C χειώδη καὶ ἀρχῆς ἐπέχοντα τάξιν λόγον, καὶ ἐπὶ τὴν τελειότητα φέρεσθαι, οὐχ ἁπλῶς φησι τὴν κυρίως τελειότητα, ἀλλ' ὡσανεὶ τὴν μεταξὺ τῆς στοιχειώσεώς τε τῶν λογίων τοῦ Θεοῦ, καὶ μεταξὺ τῆς ἀνωτάτω τελειότητος. Ἔστι μὲν γὰρ στοιχεῖα ἀρχῆς λογίων Θεοῦ, τὸ ἀποτάξασθαι τῷ Σατανᾷ καὶ τοῖς ἔργοις αὐτοῦ, τὸ πιστεῦσαι ἐπὶ Θεὸν, τὸ βαπτισθῆναι, τὸ λαβεῖν Πνεῦμα ἅγιον, τὸ εἰδέναι νεκρῶν ἀνάστασιν, τὸ πιστεύειν ὅτι ἔσται κρίσις. Ταῦτα μὲν στοιχεῖα ἀρχῆς λογίων Θεοῦ. Στοιχεῖα δὲ λογίων Θεοῦ, καὶ οὐκ ἀρχῆς λογίων Θεοῦ, τὸ εἰδέναι ὅτι ἔπαθεν ὑπὲρ ἡμῶν ὁ Χριστὸς, ὅτι ἀνέλαβε τὰς ἁμαρτίας ἡμῶν, ὅτι σωτηρίαν ἡμῖν εἰργάσατο, ὅτι ἀρχιερεὺς ἡμῶν γέγονεν, ὅτι ἑαυτὸν προσήνεγκεν ὑπὲρ ἡμῶν, καὶ εἴ τι παρα- D πλήσιον. Τελειότης δὲ τοῦ μὲν ἀποτάξα θαι τῷ Σατανᾷ, καὶ τοῖς τούτου συστοίχοις, ἡ ἐν ταῖς ἀρεταῖς προκοπὴ, ἡ τῶν θλίψεων καὶ διωγμῶν καὶ πειρασμῶν ὑπομονή. Τελειότης δὲ ἡ ἀνωτάτω ἡ περὶ τῆς θεολογίας Χριστοῦ, καθόσον ἐστὶν ἀνθρώπῳ δυνατὸν, ἀκριβὴς κατάληψις. Πρῶτον οὖν πιστεύοντες βαπτιζόμεθα, εἶτα ἐπιγινώσκομεν ὅσα ὑπὲρ ἡμῶν ὁ Χριστὸς ἔπαθέ τε καὶ ἐποίησε κατὰ τὸ ἀνθρώπινον, εἶτα ταῖς ἀρεταῖς τελειούμεθα, ἔπειτα καὶ τῆς γνώσεως τῆς κατὰ τὴν θεολογίαν ἀξιούμεθα. « Μὴ πάλιν θεμέλιον. » Μὴ πάλιν ἕτερον θεμέλιον καταβαλλόμενοι, οἷον, φησὶ, καταβαλλόμεθα ἐν τῷ βαπτίζεσθαι, τουτέστιν, ἀποταγῆς τῶν ἔργων τοῦ Σατανᾶ. Ἅπαξ γὰρ, φησὶ, μετανοήσαντες ἐπ' αὐτοῖς ἐβαπτίσθημεν, καὶ οὐκ ἔτι δεῖ ταῦτα ἐξ ὑπαρχῆς ποιεῖν.

jacimus dum baptizamur, **355** hoc est, renuntiationis operum Satanæ. Semel enim, inquit, resipiscendo ab ipsis baptizati et abluti sumus, nec amplius oportet hæc ab exordio facere.

[ΓΕΝΝΑΔ.] « Μεθ' ὑπερβατοῦ δὲ ἡ ῥῆσίς ἐστι. Τὸ γὰρ *διδαχῆς*, πρὸς ἅπαν διὰ μέσου τὸ παρεγκείμενον ἀποδίδοται. Καὶ ἔστι κατὰ τὸν νοῦν αὐτῆς, αὕτη συνθήκη· Μὴ πάλιν θεμέλιον καταβαλλόμενοι διδαχῆς, εἶθ' οὕτως τὰ καθ' ἑξῆς ἐν ἀπαριθμήσει δηλούμενα, περὶ ὧν τῆς διδαχῆς οἱ θεμέλιοι. Βούλεται δὲ εἰπεῖν, ὅτι Τοῖς νῦν πρῶτον προσιοῦσι τῇ πίστει, τὴν περὶ τούτων διδασκαλίαν οἱονεὶ θεμέλιον προκαταβαλλόμεθα, μετανοεῖν μὲν ἀπὸ τῶν νεκροποιῶν ἔργων εἰκότως πρῶτον αὐτοὺς προτρεπόμενοι, μετανοοῦντας δὲ πιστεύειν ἐπὶ τὸν Θεὸν, πιστεύοντας δὲ βαπτίζεσθαι, βαπτιζομένους δὲ τῇ τῶν ἱερατικῶν χειρῶν ὑπάγειν ἑαυτοὺς ἐπιθέσει πρὸς μετουσίαν τοῦ Πνεύματος· τούτου δὲ μετασχόντας, περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως μηκέτι διαπιστεῖν, ἀναστησομένους δὲ καὶ αὖθις ἀναβιωσομένους ἕσεσθαι κρίσιν εἰδέναι, καὶ διηνεκῆ καὶ δικαίαν ὧν ἐνταῦθα βεβιώκαμεν, τὴν ἀντίδοσιν περιμένειν. « Καὶ πίστεως ἐπὶ Θεόν. « Οὐ γὰρ δεῖ νῦν ὥσπερ ἐξ ὑπαρχῆς πιστεύειν ἐπὶ Θεόν. Ἤδη γὰρ ἐπιστεύσατε διδαχῇ. Ἡ σύνταξις οὕτως ἐστί. Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Θεοῦ λόγον. Ποῖον δὴ τοῦτον; Τὸν τῶν βαπτισμῶν, καὶ διδαχῆς, καὶ ἐπιθέσεως τῶν χειρῶν (δι' ὧν, τὸ Πνεῦμα, φησὶν, ἐλάβετε), καὶ τῆς τῶν νεκρῶν ἀναστάσεως, καὶ τοῦ κρίματος τοῦ αἰωνίου, ἐπὶ τὴν τελειότητα φερώμεθα. Οὐ δεῖ γὰρ, φησὶν, ἀεὶ τὰ αὐτὰ λέγεσθαι· εἴρηται γὰρ ἅπαξ καὶ γεγένηται· ἀλλὰ δεῖ, φησὶ, καὶ τὰ παρ' ὑμῶν συνεισφέρεσθαι, τουτέστι, χρηστὴν πολιτείαν, καὶ τῆς πίστεως ἀξίαν. Αὕτη γὰρ ἡ τελειότης, τὸ ἀμφιδέξιον εἶναι τὴν ἀρετὴν, ὡσεὶ ἔλεγε· Νήψατε· οὐκ ἐνὶ γὰρ ζῆσαι ῥᾳθύμως, καὶ πάλιν βαπτισθῆναι, καὶ δι' ἐπιθέσεως χειρῶν λαβεῖν Πνεύματος ἁγίου ἐπιφοίτησιν. » Ἄλλο. — [ΟΙΚΟΥΜΕΝΙΟΥ.] Μᾶλλον οὗτοι Ἰουδαϊκώτερον φρονοῦντες, διὰ τὸ διαφόρους καὶ πολλοὺς ἐν τῷ νόμῳ εἶναι βαπτισμοὺς, ἠβούλοντο καὶ τὸ τῆς νέας βάπτισμα, τὸ τὴν παλιγγενεσίαν δωρούμενον, πολλάκις βαπτίζεσθαι, διὰ τὸ ἀφέσεως ἁμαρτιῶν πολλάκις θέλειν ἀξιοῦσθαι. « Ἐπιθέσεως τῶν χειρῶν. » Τῶν ἐν τῷ βαπτίσματι γινομένων. Ἢ ἔνθα ἐπιτιθέντες χεῖρας οἱ ἀπόστολοι τὸ Πνεῦμα ἐδίδοσαν, ὅπερ καὶ ὁ Σίμων ὤνιον ἐζήτει. « Καὶ τοῦτο ποιήσομεν. « Ποῖον; τὸ ἐπὶ τελειότητα φέρεσθαι. « Ἐάνπερ ἐπιτρέπῃ ὁ Θεός. » Τὸ, *ἐάν περ*, οὐ πρὸς τοῦτό ἐστιν ὡς τοῦ Θεοῦ οὐ πάντως ἐπιτρέποντος, (ἐπιτρέπει γὰρ ἀεὶ ὁ Θεὸς τὰ καλὰ καὶ τέλεια,) ἀλλ' ὡς ἔθος ἡμῖν λέγειν, Θεοῦ θέλοντος τόδε ποιήσομεν.

A Cum hyperbato autem est sermo. Nam ad omne id quod in medio interpositum est refertur *doctrinæ*, et est juxta ipsius intellectum hæc ordinatio: Non rursum jacientes fundamentum doctrinæ, et ita de cæteris quæ consequenter enumerando manifestantur, de quorum doctrina sunt fundamenta. Vult autem dicere quod nunc primum ad fidem accedentibus, harum rerum doctrinam tanquam fundamentum proponimus: merito ipsos primum adhortantes, ut a mortiferis operibus resipiscant, resipiscentes autem in Deum credant, credentes vero baptizentur, baptizati autem seipsos subjiciant impositioni manuum sacerdotum ad participationem Spiritus: porro hujus facti participes, de resurrectione ex mortuis deinceps non vacillent, B ubi autem resurrexerint rursumque ad vitam redierint, sciant futurum esse judicium, et continuam justamque permanere eorum quæ in hac vita egimus retributionem. « Et fidei in Deum. » Non enim opus est doctrina credendi in Deum quemadmodum ab exordio, jam enim doctrinæ credidistis. Ordinatio talis est: Quapropter omisso sermone initii ad Deum, quis autem est ille? Qui de baptismatis est et de doctrina ac impositione manuum (per quas Spiritum, inquit, accepistis) et resurrectione ex mortuis ac æterno judicio, ad perfectionem feramur. Neque enim semper eadem dicere oportet, nam semel dicta ac facta sunt: sed oportet etiam ea quæ a vobis sunt simul adferri, nempe C bonam conversationem, fideique dignitatem. Hæc namque perfectio est, quod virtus ambidextra sit: ac si diceret: Vigilate, neque enim licitum est ut si segniter vivas, rursum baptizeris, et per manuum impositionem accipias Spiritus sancti superventionem. — *Aliud.* Hi cum judaice plusquam æquum erat curiosi essent, quoniam varia erant in lege baptismata, volebant novæ quoque legis baptismate quod regenerationem confert, frequenter baptizari, eo quod frequenter vellent remissionem peccatorum accipere. « Ac manuum impositionis. » **356** Qualia in baptismate fiebant. Aut quia impositis manibus apostoli Spiritum sanctum dabant, quod etiam Simon venale sibi esse volebat. « Et hoc faciemus. » Quidnam? Nempe ferri ad perfec- D tionem. « Siquidem permiserit Deus. » Quod ait, Siquidem, non idcirco dicitur quasi non omnino Deus permitteret: semper enim permittit Deus bona ac perfecta: sed quod nobis moris sit ita loqui: Deo volente ita faciemus.

Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας Πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ παραδειγματίζοντας.

VII. 4-6. *Nam fieri non potest, ut, qui semel fuerint illuminati, gustaverintque donum cæleste et participes facti fuerint Spiritus sancti, gustaverintque bonum Dei verbum, ac virtutes futuri sæculi, si prolabantur, denuo renoventur per pœnitentiam: rursum crucifigentes sibimetipsis Filium Dei et ostentui exponentes.*

« Ἀδύνατον γάρ. » Οὐκ εἶπε Δυσχερὲς, ἀλλ' Ἀδύνατον. « Γευσαμένους τε τῆς δωρεᾶς. » Τῆς ἀφέσεως « Impossibile enim est. » Non dixit Difficile, sed, Impossibile. « Gustaverintque donum. » Remissio-

nis peccatorum quæ fit in baptismate. Siquidem hoc donum cœleste est. « Et participes facti fuerint Spiritus sancti. » Per manuum impositionem, sicut dixit superius. « Gustaverintque bonum Dei verbum. » Doctrinam de Christo. « Ac potestates futuri sæculi. » Quod omnes rationem reddemus eorum quæ egimus : quodque tum supplicium tum requies sine fine durabit. Nam hæc sunt potestas, et in his est potestas futuri sæculi. Aut arrhabonem futuri sæculi, hoc est, fidem in Christum. — « Ac potestates futuri sæculi. » Hoc est, qui didicerint quæ possit futurum sæculum : a communi enim intellectu supplendum est, Gustaverint, quod tropice accipitur et significat, Qui didicerint, qui instructi fuerint. Quid autem potest futurum seculum? et quæ est ejus necessitas et opus? Quod in eo invenit quisque omnium quæ fecit retributionem : quod in eo finem non habeat neque supplicium neque felicitas, quod tunc magis manifestabitur quod nihil judicem lateat, ejusque justitia, multaque alia. Ecs ergo qui hæc cum cæteris enumeratis rebus didicerunt, inquit, deinde prolapsi sunt, impossibile est, etc. « Et prolapsi sunt. » Qui omnia hæc perdiderunt et exciderunt, ut denuo renoventur per pœnitentiam? hoc impossibile est. Quid igitur! abjecitne pœnitentiam? Absit quemadmodum habet divus **357** Cyrillus sexto volumine secundæ partis *Latriæ quæ est in spiritu et veritate :* sed pœnitentiam quæ est per baptismum. Oportet enim primum præcedere pœnitentiam ac renuntiationem pravarum actionum, et ita baptizari. Illam itaque pœnitentiam ait quæ in baptismate est : unde et renovari dixit, quod proprium est baptismatis, et, Rursum crucifigentes, quod et hoc proprium est baptismatis. Qui enim baptizantur, una cum Domino crucifiguntur.

A τῶν ἁμαρτιῶν, τῆς ἐν τῷ βαπτίσματι· αὕτη γὰρ δωρεὰ ἐπουράνιος. « Καὶ μετόχους γενηθέντας Πνεύματος ἁγίου. » Τῇ ἐπιθέσει τῶν χειρῶν, καθὼς ἄνω φησί. « Καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα. » Τὴν περὶ τοῦ Χριστοῦ διδασκαλίαν. « Δυνάμεις τε μέλλοντος αἰῶνος. Ὅτι πάντες δώσομεν λόγον τῶν βεβιωμένων, καὶ ὅτι ἥ τε κόλασις καὶ ἡ ἀνάπαυσις ἀτελεύτητος. Ταῦτα γὰρ καὶ ἐν τούτοις ἡ δύναμις τοῦ μέλλοντος αἰῶνος. Ἢ ὅτι τὸν ἀῤῥαβῶνα τοῦ μελλόντος αἰῶνος, τουτέστι, τὴν εἰς Χριστὸν πίστιν. — « Δυνάμεις τε μέλλοντος αἰῶνος. » — [ΦΩΤ.] Ἀντὶ τοῦ, ἃ δύναται ὁ μέλλων αἰὼν ἐκμαθόντας. Τὸ γὰρ *γευσαμένους*, ἀπὸ κοινοῦ, ὅπερ τροπικῶς εἴληπται, σημαῖνον τὸ, Μαθόντας, κατηχηθέντας. Τί δὲ δύναται ὁ μέλλων αἰὼν, καὶ τί ἐστιν αὐτοῦ ἡ χρεία καὶ τὸ ἔργον; Ὅτι ἐν B αὐτῷ ἕκαστος ὧν ἔπραξε τὴν ἀμοιβὴν εὑρίσκει, ὅτι οὐκ ἔχει τέλος οὔτε ἡ τιμωρία ἡ ἐν αὐτῷ, οὔτε ἡ εὐδαιμονία, ὅτι τότε μᾶλλον τό τε ἀλάθητον τοῦ κριτοῦ καὶ τὸ δίκαιον φανερωθήσεται, καὶ πολλὰ ἕτερα. Τοὺς οὖν μετὰ τῶν ἄλλων καὶ ταῦτα μαθόντας, φησὶν, εἶτα παραπεσόντας, ἀδύνατον, καὶ ἐξῆς. « Καὶ παραπεσόντας. » Ἅπαντα ταῦτα ἀπολέσαντας καὶ ἐκπεσόντας πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀδύνατον τοῦτο. Τί οὖν; ἐξέβαλε τὴν μετάνοιαν; Μὴ γένοιτο, (οὕτως ὁ ἐν ἁγίοις Κύριλλος ἐν βιβλίῳ ἕκτῳ τῆς β. τῆς *ἐν πνεύματι καὶ ἀληθείᾳ λατρείας*) ἀλλὰ τὴν διὰ βαπτίσματος μετάνοιαν. Δεῖ γὰρ πρῶτον ἡγήσασθαι μετάνοιαν καὶ ἀπόταξιν τῶν πονηρῶν πράξεων, καὶ οὕτως βαπτισθῆναι. Ἐκείνην οὖν φησὶ, τὴν ἐν τῷ βαπτί- C σματι μετάνοιαν, ὅθεν καὶ εἶπεν, Ἀνακαινίζειν, ὅπερ ἴδιον βαπτίσματος, καὶ, Ἀνασταυροῦντας, ὅπερ καὶ τοῦτο βαπτίσματος ἴδιον. Οἱ γὰρ βαπτιζόμενοι, συσταυροῦνται τῷ Κυρίῳ. Ὁ οὖν πάλιν διὰ βαπτίσματος δευτέρου μετανοεῖν θέλων, ἀνασταυροῖ τὸν Χριστὸν τῷ συσταυροῦσθαι αὐτῷ.

Qui igitur rursum vult per alterum baptisma pœnitere, Christum rursum crucifigit, eo quod una cum ipso crucifigatur.

« Rursum crucifigentes sibimetipsis Filium Dei. » Quid est : Rursum crucifigentes sibimetipsis Filium Dei et ostentui exponentes? Ab integro sibimetipsis crucifigentes et pudefacientes. Quod autem dicit tale quippiam est : Semel crucifixus est Christus, et nos semel una cum ipso crucifixi sumus per baptisma : qui ergo opinatur alterum esse D baptisma, quantum in ipso est, ab integro Dominum crucifigit. Quid enim aliud facit qui secundo arbitratur per baptisma cum eo crucifigi posse, quam quod ipsum quoque existimat secundo crucifigi per ea quæ facit? Secundo autem crucifigere Christum quantum in eo est, nihil aliud est quam ostentui exponere ipsum et pudefacere ipsum. Nam postquam semel crucifixus est, immortalis deinceps effectus est : qui vero rursum crucifigit, mendacium facit ipsum, quod pudorem ipsi adfert tanquam mentito quod semel tantum moreretur. *Alio modo.* Quid est : Rursum crucifigentes? Ad secundam crucifixionem et secundam passionem ipsum vocantes : siquidem talis pœnitentia et pe-

« Ἀνασταυροῦντας ἑαυτοῖς τὸν Υἱὸν τοῦ Θεοῦ. » Τί ἐστιν, Ἀνασταυροῦντας ἑαυτοῖς τὸν Υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας; Ἄνωθεν, φησὶ, σταυροῦντας ἑαυτοῖς καὶ καταισχύνοντας. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Ἅπαξ ἐσταυρώθη ὁ Χριστὸς, καὶ ἡμεῖς ἅπαξ αὐτῷ συσταυρωθῶμεν διὰ τοῦ βαπτίσματος. Ὁ τοίνυν, φησὶν, οἰόμενος εἶναι δεύτερον βάπτισμα, ὅσον τὸ κατ' αὐτὸν, ἄνωθεν σταυροῖ τὸν Κύριον. Τί γὰρ ἕτερον ποιεῖ ὁ δεύτερον αὐτῷ διὰ τοῦ βαπτίσματος συσταυροῦσθαι νομίζων, ἢ ὅτι καὶ αὐτὸν ἡγεῖται δεύτερον ἐσταυρῶσθαι, δι' ὧν ποιεῖ; τὸ δὲ δεύτερον σταυροῦν, φησὶ, τὸν Χριστὸν, τὸ ὅσον ἧκεν εἰς αὐτὸν, οὐδὲν ἕτερόν ἐστιν ἢ παραδειγματίσαι αὐτὸν καὶ καταισχῦναι. Ἅπαξ γὰρ σταυρωθεὶς, ἀθάνατός ἐστι λοιπόν. Ὁ δὲ ἀνασταυρῶν, ψεῦδος τοῦτο ποιεῖ, ὅπερ αἰσχύνην αὐτῷ φέρει ὡς ψευσαμένῳ τὸ ἅπαξ ἀποθανεῖν μόνον. Ἄλλως. [ΦΩΤ.] Τί ἐστιν *ἀνασταυροῦντας;* ἐπὶ δευτέραν σταύρωσιν καὶ δεύτερον πάθος καλοῦντας αὐτὸν, εἴπερ ἡ τοιαύτη μετάνοια, καὶ τὸ ἀξιωθῆναι τῆς διὰ τοῦ βαπτίσματος ἀφέσεως, τῷ σταυρῷ τοῦ Χριστοῦ μό-

νῳ κατωρθώθη. Οἱ τοῦτο οὖν, φησὶν, ἐννοούμενοι, A ἐπιθυμοῦσι πάλιν τὸν Χριστὸν σταυρούμενον καὶ χλευαζόμενον καὶ παραδειγματιζόμενον ἰδεῖν. Ὦ τόλμης καὶ ἀπονοίας! εἴ τις ἐννοεῖ τοιαῦτα. Λίαν δὲ διὰ τούτων κατασείει αὐτῶν τὰς διανοίας, ἵνα ἀνέλπιστοι γεγονότες τοῦ δύνασθαι τυχεῖν τοιαύτης μετανοίας, ἐπὶ πλέον ἀντιποιῶνται ἀρετῆς.

Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ. Ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγὺς, ἧς τὸ τέλος εἰς καῦσιν.

Ἐν τῇ παραβολῇ γῆν τοὺς ἀνθρώπους λέγει, τοὺς πολλάκις μὲν ἀκούσαντας, καὶ οἷον νοητῶς ἀρδευθέντας τῷ σωτηρίῳ λόγῳ τῆς πίστεως, καὶ ἢ ὠφεληθέντας, ἢ μηδὲν ἐκ τούτου ὠφεληθέντας. « Βοτάνην εὔθετον. » Τίς ἡ εὔθετος βοτάνη; ἡ ὀρθὴ πολιτεία. « Ἐκείνοις δι' οὓς καὶ γεωργεῖται. » Ἐπειδὴ περὶ γῆς εἶπε καὶ καρπῶν, ἐνέμεινε τῇ τροπῇ. Ἢ ὅτι τοῖς διδασκάλοις (οὗτοι γὰρ οἱ γεωργοῦντες), τίκτεται ὁ χρηστὸς βίος, ὡς καὶ ἐκείνων μετεχόντων τῆς ἀρετῆς τῶν μαθητῶν. Γεωργεῖται δὲ δηλονότι εἰς σωτηρίαν καὶ κέρδος αὐτῶν ἐκείνων τῶν καρποφορούντων. Εἰ δέ ἐστι, καθὼς φησὶν ὁ Κύριος, γεωργὸς ὁ Πατὴρ, πάλιν δὲ σπορεὺς ὁ Υἱὸς, ὁ τὸ καλὸν σπέρμα σπείρων, ἐὰν ἐπιτήδειος αὐτοῖς ἡ βοτάνη, τουτέστι, τὸ γεώργιον ὀφθῇ (καὶ γὰρ τῷ Θεῷ ὀφείλομεν καρποφορεῖν, ὥς που φησί· Νυνὶ δὲ δουλωθέντες τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν). Εἰ οὖν τοῦτο, δηλονότι διὰ τὸν Θεὸν γεωργοῦμεν, ἵνα αὐτῷ ἀρέσωμεν τὸν ἐνάρετον βίον· διὸ καὶ ἀξιούμεθα τῆς παρ' αὐτοῦ εὐλογίας. « Μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ. » Ἡ γὰρ εὔφορος γῆ εὐλόγηται παρὰ Θεοῦ. Τίς ἐστιν ἡ εὔφορος γῆ; ὁ ἐνάρετος ἄνθρωπος. « Ἐκφέρουσα δὲ ἀκάνθας. » Οὐκ ἔτι εἶπε· Τίκτουσα, ἀλλ' *ἐκφέρουσα*, τὸ παρὰ φύσιν τῆς ἐκβολῆς αἰνιττόμενος, ὡσεὶ εἶπεν, ἐκβράσσουσα. Τὸ δὲ *ἐκφέρουσα*, τὴν ἄχρι τέλους καὶ θανάτου ἐκφορὰν δηλοῖ. Οὐ γὰρ εἶπεν, Ἐξενεγκοῦσα, ἀλλ' *ἐκφέρουσα*· σημείωσαι τοῦτο. Ἀκάνθας δὲ καὶ τριβόλους τὴν ἁμαρτίαν λέγει, διὰ τὸ πάντοθεν αὐτὴν πλήττειν καὶ λυμαίνεσθαι τὸν κρατοῦντα. « Καὶ κατάρας ἐγγύς. » Μεγίστην εἶπε παραμυθίαν. Οὐ γὰρ εἶπεν, Αὐτοκατάρα ἐστὶν, ἀλλ', Ἐγγὺς κατάρας. Ὁ δὲ ἐγγὺς κατάρας γενόμενος καὶ μακρὰν γενέσθαι δύναται διὰ μετανοίας. Εἰ μὲν γὰρ εἰρήκει Καὶ κατάρα ἐστὶν, ἔδει καὶ ἀπογνῶναι. Νῦν δὲ, Ἐγγὺς κατάρας, φησὶ, φοβῶν καὶ μονονουχὶ λέγων· Ἰδοὺ ἐγγὺς γεγένησθε τῆς κατάρας· φοβήθητε μὴ ἐκπέσητε εἰς αὐτὴν, καὶ φύγετε αὐτήν. Ὁ γὰρ ἐγγὺς ὢν, καὶ φυγεῖν δύναται, οὔπω γὰρ ἑάλω. « Ἧς τὸ τέλος εἰς καῦσιν. » Ὅρα πάλιν πῶς ἀσφαλῶς λαλεῖ, ἵνα μὴ δόξῃ τὸ μέγιστον ἐν ἀνθρώποις φάρμακον τὴν μετάνοιαν ἐκβάλλειν. Οὐ γὰρ εἶπεν· Αὐτὸ ὃ ἤνεγκεν ἀκάνθας καὶ τριβόλους καίεται, ἀλλὰ, Ἧς τὸ τέλος εἰς καῦσιν.

tilio remissionis per baptismum, sola Christi morte attingitur. Qui hoc igitur existimant, cupiunt rursum Christum crucifixum et subsannatum ac ostentui expositum intueri. O audaciam et insaniam! si quis hæc intelligat. Illis autem mentes ipsorum vehementer concutit, ut desperantes de assequenda hujusmodi pœnitentia, magis annitantur ad virtutem.

VI, 7, 8. *Siquidem terra quæ imbrem sæpius in se venientem combiberit et progenerat herbam accommodam eis quorum opera excolitur, recipit benedictionem a Deo.* **358** *At quæ producit spinas ac tribulos, reproba est et maledictioni confinis, cujus exitus tendit ad exustionem.*

Per parabolam, terram dicit homines, qui frequenter quidem audierunt et veluti spiritualiter irrigati sunt salutari fidei sermone : et vel adjuti sunt, vel nihil ex hoc profecerunt. « Herbam accommodam. » Quænam est commoda herba? Recta conversatio. « Illis quorum opera excolitur. » Quoniam de terra dixerat et fructibus, permansit in tropo. Aut quod a præceptoribus (nam hi sunt qui excolunt) bona vita gignitur, quod illi quoque participes sint virtutis discipulorum. Excolitur autem, ad salutem videlicet et lucrum eorum ipsorum qui fructum proferunt. Quod si Pater agricola est, ut ait Dominus [39] : rursum autem seminator est Filius, qui bonum semen seminat [39] : si conveniens illis herba sive agricolatio visa fuerit (Siquidem Deo fructificare debemus, quemadmodum alibi dicit : Nunc autem servi facti Deo habetis fructum vestrum in sanctificationem [40]). Si hoc igitur, videlicet propter Deum excolamus, ut ipsi placeamus proba vita : tunc etiam accipimus ab ipso benedictionem. « Recipit benedictionem a Deo. » Fertilis namque terra benedicitur a Deo. Quænam est fertilis terra? homo virtuti deditus ac probus. « At quæ producit spinas. » Jam non dixit: Progenerat, sed *producit*, innuens ejectionem esse præter naturam : tanquam diceret : Et mittens velut abortum. Quod autem ait : Producit, significat productionem usque ad finem ac mortem. Neque enim ait : Quæ produxit, sed, quæ producit : animadverte hoc. Spinas vero ac tribulos dicit peccatum, eo quod ipsum undique feriat ac lædat tenentem. « Et maledictioni confinis. » Maximam posuit consolationem. Non enim dixit : Ex se maledicta est, sed, Confinis maledictioni. Quod autem confine maledicto est, etiam longe fieri potest per pœnitentiam. Etenim si dixisset : Et maledicta est, oportuisset desperare. Nunc autem ait : Maledicto confinis, terrens ac propemodum dicens : Ecce maledictioni propinqui estis, timete ne in illam decidatis, et fugite ipsam : nam qui prope est adhuc fugere potest, nondum enim captus est. « Cujus exitus tendit ad exustionem. » Vide rursum quomodo periculum loquendo devitet, **359** ne pœ-

[39] Joan. xv, 1. [40] Matth. viii, 3. [40] Rom. vi, 22.

nitentiam maximum inter homines remedium videatur abjicere : neque enim dixit : Illud quod spinas producit et tribulos, exuritur, sed Cujus exitus tendit ad exustionem. Si usque ad finem permanserit, inquit, et usque ad mortem spinas proferat, tunc exuretur : ex opposito significans spinas proferentes, sed resipiscamus, non exuremur.

A Ἐὰν μέχρι τέλους ἐπιμείνῃ, φησί, καὶ μέχρι τελευτῆς ἀκάνθας ἐκφέρων, τότε καυθήσεται, ἐκ τῆς ἀντιδιαστολῆς δηλῶν, ὡς εἴ γε μὴ ἄχρι τέλους ἐπιμείνωμεν τὰς ἀκάνθας ἐκβάλλοντες, ἀλλὰ μεταγνῶμεν, οὐ καυθησόμεθα.

quod si non ad finem usque permanserimus,

VI, 9-12. *Cæterum persuasimus nobis de vobis, dilecti, quæ his sint meliora et saluti adhærentia, tametsi sic loquamur. Non enim injustus est Deus, ut obliviscatur operis vestri et laboris ex charitate suscepti quam exhibuistis erga nomen illius, qui ministrastis sanctis et ministratis. Cupimus autem, ut unusquisque vestrum idem præstet studium ad plenam spei certitudinem usque ad finem, ne segnes efficiamini, sed imitatores eorum qui per fidem ac* B *longanimitatem accipiunt hæreditatem promissionis.*

Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί, τὰ κρείσσονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτως λαλοῦμεν. Οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ τοῦ κόπου τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες. Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν, τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους, B *ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.*

Postquam satis illos feriit vocando segnes aliaque dicendo, nunc consolatur eos : idcirco non ait : Existimo, sed Persuasi mihi. « Saluti, adhærentia. » Hoc est, proxima vel confinia. « Tametsi sic loquamur. » Novi, inquit, quod non producetis spinas ac tribulos, sed verbis tantum ferio, ut efficiam firmiores. « Non enim injustus est Deus. » Propterea autem persuasimus nobis bona de vobis, scientes Deum non esse injustum : quod si injustus non sit, non obliviscetur boni operis vestri, et charitatis quam exhibuistis erga nomen illius, qui omnia propter ipsum perpessi estis. « Qui ministrastis sanctis. » Illis qui jam crediderant. Nam hi præbebant eis necessaria. Hujus, inquit, charitatis quam ad hoc usque tempus exhibetis. « Cupimus autem. » Non dixit, Volumus, sed quod amantius erat, Cupimus aut desideramus. « Idem præstet studium. » Deinde posset quispiam dicere : Si persuasisti tibi meliora de nobis, et nosti opera nostra ac ministerium in sanctos, cur igitur nos terres vocans segnes, ac spinarum faciens mentionem ? Quare ? Quia cupimus, ut unusquisque vestrum idem studium quod habetis, in finem usque præstet ad plenam spei certitudinem, **360** hoc est, ut sitis immobiles circa fidem quæ est in Christum et spem quæ inde procedit. « Ne segnes efficiamini. » Atqui superius dixit : Segnes facti estis ; D sed ibi addidit, Auribus : nunc autem. Ne toti et per omnia segnes efficiamini. « Sed imitatores eorum qui per fidem. » Deinde consequenter recenset eos qui per fidem acceperunt hæreditatem promissionis, nempe Abraham. Quid est autem : Per longanimitatem ? hoc est, Per tolerantiam. Pertulit enim promissionem ad tam multos annos prolongatam, et tamen permansit semper in credendo. Nam si simul ut promisit Deus, subsequeretur donatio, jam apud eum qui promissionem suscepit, nullus esset usus fidei aut tolerantiæ, quod omnino verax esset Deus. Si vero ubi promisit differat, et tamen is qui promissionem accepit, tolerans ad dilationem, tunc pure credit, tunc viriliter tolerat.

Πλήξας αὐτοὺς ἱκανῶς τῷ νωθροὺς καλέσαι, καὶ τ' ἄλλα εἰπεῖν, νῦν παραμυθεῖται· διὸ οὐκ εἶπε, Νομίζω, ἀλλὰ, Πέπεισμαι. « Καὶ ἐχόμενα σωτηρίας. » Ἐγγὺς ὄντα. « Εἰ καὶ οὕτως λαλοῦμεν. » Οἶδα, φησὶν, ὅτι οὐ φύσετε ἀκάνθας καὶ τριβόλους, ἀλλ' ἄχρι λόγων πλήττω, ἵνα ἀσφαλεστέρους ποιήσω. « Οὐ γὰρ ἄδικος ὁ Θεός. » Διὰ τοῦτο δὲ τὰ χρηστὰ περὶ ὑμῶν πεπείσμεθα, εἰδότες μὴ ὄντα ἄδικον τὸν Θεόν. Εἰ δὲ οὐκ ἄδικος, οὐκ ἐπιλήσεται τοῦ ἔργου ὑμῶν τοῦ χρηστοῦ, καὶ τῆς ἀγάπης ἣν ἐπεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, πάντα δι' αὐτὸν ὑπομείναντες. « Διακονήσαντες τοῖς ἁγίοις. » Τοῖς ἤδη πεπιστευκόσιν. C Οὗτοι γὰρ παρεῖχον τὰ πρὸς τὴν χρείαν. Ταύτην τὴν ἀγάπην ἣν ἄχρι τοῦ νῦν ποιεῖτε, φησίν. « Ἐπιθυμοῦμεν δέ. » Οὐκ εἶπε, Βουλόμεθα, ἀλλ' ὃ φιλοστοργότερον ἦν, Ἐπιθυμοῦμεν, φησίν. « Τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδήν. » Εἶτα εἴποι τις, Εἰ πεπεισμένος εἶ περὶ ἡμῶν τὰ κρείττονα, καὶ οἶδας ἡμῶν τὰ ἔργα καὶ τὴν εἰς τοὺς ἁγίους διακονίαν, τί δήποτε ἐφόβησας ἡμᾶς νωθροὺς καλέσας, καὶ ἀκανθῶν μεμνημένος ; Διὰ τί ; Ὅτι ἐπιθυμοῦμεν ἕκαστον ὑμῶν, φησὶ, τὴν αὐτὴν ἣν ἔχετε ἄχρι τέλους ἐπιδείξασθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος, τουτέστι, πρὸς τὸ εἶναι ὑμᾶς ἀδιστάκτους περὶ τὴν εἰς Χριστὸν πίστιν, καὶ τὴν ἔνθεν ἐλπίδα. « Ἵνα μὴ νωθροὶ γένησθε. » Καίτοι εἶπεν ἄνω καὶ τὸ, Νωθροὶ γεγένησθε· ἀλλ' ἐκεῖ εἶπε *ταῖς ἀκοαῖς*, νῦν δὲ, ὅλοι δι' ὅλων νωθροὶ γεγένησθε. « Μιμηταὶ δὲ τῶν διὰ πίστεως. » Εἶτα λοιπὸν καταλέγει τοὺς διὰ πίστεως κληρονομήσαντας τὰς ἐπαγγελίας, οἷον τὸν Ἀβραάμ. Τί δέ ἐστι τὸ, Διὰ μακροθυμίας ; τουτέστι, δι' ὑπομονῆς. Ὑπέμεινε γὰρ τὴν ἐπαγγελίαν ὑπερτιθεμένην τοσαῦτα ἔτη, καὶ ἔτι ἔμεινε πιστεύων. Εἰ γὰρ ἅμα τῷ ἐπαγγείλασθαι Θεὸν ἡ δόσις ἀκολουθήσει, οὐκ ἔτι πίστεώς ἐστιν ἡ ὑπομονῆς τοῦ τὴν ἐπαγγελίαν δεξαμένου χρεία, τῷ ὅλως ἀληθεύειν τὸν Θεόν. Εἰ δὲ ἐπαγγειλάμενος ὑπέρθηται, καὶ ὁ τὴν ἐπαγγελίαν δεξάμενος μακροθυμήσει ἐπὶ τῇ ὑπερθέσει, τότε πιστεύει καθαρῶς, τότε ὑπομένει ἐγκρατῶς.

ΚΕΦΑΛ. Η'.

Ὅτι βεβαία ἡ ἐπαγγελία τοῦ Θεοῦ, καὶ ταῦτα σὺν ὅρκῳ.

Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέγων· Ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε. Καὶ οὕτως μακροθυμήσας, ἐπέτυχε τῆς ἐπαγγελίας. Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος.

Ὅταν οὖν ὁρᾷς καὶ τὸν Χριστὸν λέγοντα· Ἀμὴν ἀμὴν λέγω σοι, ἐννόει ὅτι κατ' οὐδενὸς ἔχων μείζονα ὀμόσαι, τὸ Ἀμὴν ὄμνυσι, καὶ ὅτι καὶ νῦν ὁ Υἱὸς ὄμνυσι τῷ Ἀβραάμ. Ὁ Λόγος γὰρ ὄμνυσιν, « Ἦ μὴν εὐλογῶν εὐλογήσω σε. » Ὤμοσεν εἰπών, « Ζῶ ἐγὼ, λέγει Κύριος, » φησίν. « Ἦ μήν. » Τουτέστιν, ὄντως μὴν εὐλογῶν εὐλογήσω σε. « Καὶ οὕτως μακροθυμήσας. » Ὁρᾷς ὅτι ἡ μακροθυμία τοῦ Ἀβραὰμ ἐποίησέ τι; « Ἐπέτυχε τῆς ἐπαγγελίας. » Καίτοι ἐν τῷ τέλει λέγει, ὅτι οὗτοι πάντες πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι, οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. Πῶς οὖν ὧδε φησὶν, Ἐπέτυχε τῆς ἐπαγγελίας; Καὶ φαμεν, μὴ περὶ τῶν αὐτῶν εἰρηκέναι αὐτόν. Τὰ μὲν γὰρ ἐνταῦθα αὐτῷ δέδωκε, περὶ ὧν νῦν εἶπε· τὰ δὲ ἐκεῖ φυλάττει, περὶ ὧν ἐν τῷ τέλει τῆς Ἐπιστολῆς λέγει. « Καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας. » Καὶ πέρας πάσης ἀντιλογίας καὶ ἀμφισβητήσεως εἰς τὸ βεβαιῶσαι τὰ λεγόμενα παρ' αὐτοῦ, ἐστὶν ὁ ὅρκος.

Ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ, ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεὸν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος, ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς, ἀσφαλῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

Ἔδει μὲν οὖν, φησὶ, καὶ χωρὶς ὅρκου πιστευθῆναι ἐπαγγειλάμενον τὸν Θεὸν, ἐν ᾧ δὲ περισσότερον βουλόμενος ὁ Θεὸς τόδε τι ποιῆσαι, ἐμεσίτευσεν ὅρκῳ τὴν ὑπόσχεσιν. « Ἐπιδεῖξαι τοῖς κληρονόμοις. » Ἦλθε καὶ εἰς ἡμᾶς. Ἡμεῖς γὰρ οἱ κληρονόμοι τῆς ἐπαγγελίας οἱ κατ' ἐπαγγελίαν σπέρμα ὄντες τῷ Ἀβραάμ· εἰ δὲ σπέρμα, καὶ κληρονόμοι. « Ἐμεσίτευσεν ὅρκῳ. » Ὅρα τί κατασκευάζει. Ὅτι ὁ Υἱὸς ἔκτοτε μεσίτης ἦν Θεοῦ καὶ ἀνθρώπων (καὶ γὰρ καὶ νῦν μεσίτης γέγονεν ἐν τῇ ἐνανθρωπήσει)· καὶ, τότε ἐμεσίτευσε τῷ Πατρὶ καὶ τῷ Ἀβραὰμ ὅρκῳ αὐτὸν πληροφορήσας· ὁ Λόγος γὰρ ἦν ὁ καὶ ἐπὶ Ἀβραὰμ καὶ λαλῶν καὶ ὀμνύς. Καλῶς δὲ ἔχει ἡ ἔννοια τῆς ἑρμηνείας, ἵνα οὕτως ᾖ· Ὁ Θεὸς, τουτέστιν, ὁ Λόγος ἐπιδεῖξαι βουλόμενος

A

CAPUT VIII.

Quod firma sit Dei promissio, idque cum juramento.

VI, 13-16. *Deus enim pollicitus Abrahæ, cum non posset per quemquam majorem jurare, juravit per seipsum, dicens : Nisi benedicens benedixero tibi, et multiplicans multiplicavero te ; atque ita cum patienter exspectasset, consecutus est promissum. Nam homines quidem per eum jurant qui sit major : atque iisdem omnis controversiæ finis ad confirmationem est jusjurandum.*

Cum igitur vides Christum dicentem : Amen amen dico tibi, intellige quod cum per nullum majorem jurare possit, jurat Amen ; non quin etiam nunc Filius juret ipsi Abrahæ : Verbum enim jurat. « Nisi benedicens benedixero tibi. » Juravit, dicens : « Vivo ego dicit Dominus [81], » inquit : *Nisi*: Hoc est, Vere benedicens benedicam tibi. « Atque ita cum patienter exspectasset. » Vides quid longanimitas Abraham effecerit ? « Consecutus est promissum. » **361** Atqui in fine dicit, quod hi omnes procul viderunt et salutarunt promissiones; at non acceperunt, ne sine nobis consummarentur : quomodo ergo ait hoc loco Consecutus est promissionem ? Dicimus quod non de illis dixerit: Siquidem præsentia ipsi dedit, de quibus hic loquitur, futura vero servat de quibus in fine Epistolæ loquitur. « Atque iisdem omnis controversiæ finis. » Finisque omnis controversiæ ac contentionis, ut confirmationem accipiant quæ ab aliquo dicuntur, est jusjurandum.

B

C

VI, 17-20. *Qua in re Deus cum eximie vellet hæredibus promissionis ostendere firmitatem consilii sui, mediator fuit jurejurando : ut per duas res immutabiles, in quibus fieri non posset ut mentiretur Deus, validam consolationem habeamus, qui confugimus ut teneamus propositam spem : quam velut anchoram tenemus animæ tum tutam tum firmam, et introeuntem usque ad id quod est intra velum, ubi præcursor pro nobis ingressus est Jesus, juxta ordinem Melchisedech pontifex factus in æternum.*

Oportuit sane etiam absque juramento fidem adhiberi Deo ; verum in hac re vehementius volens hoc efficere, mediator fuit jurejurando ad promissionem. « Hæredibus ostendere. » Etiam ad nos descendit. Nos enim sumus hæredes promissionis, qui per evangelium semen Abrahæ sumus: quod si semen, etiam hæredes. « Mediator fuit jurejurando. » Vide quid astruat. Quod Filius etiam tunc mediator erat Dei et hominum : (Siquidem nunc quoque mediator factus est in incarnatione,) et tunc mediator fuit inter Patrem et Abraham jurejurando, ipsum reddens certiorem : Verbum enim erat is qui ad Abraham et loquebatur et jurabat. Recte autem habet intellectus interpreta-

D

[81] Gen. XXII, 16.

lionis, ut ita sit sensus : Deus, hoc est Verbum, immutabilitatem ostendere volens eorum quæ Patri visa sunt, mediator fuit inter Deum et Abraham jurejurando : hoc est mediator in jurejurando factus est. Per ipsum enim tanquam per Verbum juravit Deus et Pater. « Ut per duas res. » Duo enim maxima quædam erant, tunc promisisse Deum, **362** et jusjurandum promissioni fuisse additum. « In quibus fieri non posset. » In quibus et per quas res. « Validam consolationem habeamus. » Hoc est per exhortationem. « Qui confugimus, » nempe ad ipsum. « Ut teneamus. » Validam exhortationem habeamus ad tenendum propositam spem. Ab illis, inquit, quæ ad Abraham dicta sunt confirmemur etiam ad ea quæ futura sunt et ad regnum cœlorum. Nam hæc est spes nostra, quæ nunc quidem in spe proposita est, tunc autem re ipsa continget, tanquam diceret ; Ab illis hæc confirmabantur, ibi quæ dixerat præstitit, ut in istis fides ipsi adhiberetur. Aut quod per hoc tunc juravit ut nunc de futuris crederemus : nihil enim, inquit, tunc aliud erant quæ cum juramentis promittebantur quam futura spes fidelium. « Quam velut ancoram tenemus, » quæ nutantes sistit naves : et ita spes, eos qui vacillant in tentationibus et afflictionibus, fortes et firmos ac patientes efficit. « Tum tutam tum firmam. » Non qualemcunque ancoram, sed et tutam et firmam. Contingit enim ut ancora non servet navem a tempestate maris, si minor fuerit quam oporteat. « Et introeuntem. » Ut dum nos, inquit, adhuc hic sumus, spes introeat in regnum cœlorum : hoc est, ut spe jam ibi simus. Vide quid faciat spes. Præoccupat id quod futurum est. « Usque ad id quod est intra velum. » Id quod est intra velum dicit ipsum cœlum. « Ubi præcursor pro nobis. » Non solum enim ingressus est, sed pro nobis ingressus est. Ubi autem præcursor noster est ingressus, eo nos quoque ingredi necesse est. Aut præpositio ὑπὲρ, id est *pro*, abundat, ut sit sensus, Præcursor noster. Aut quod una cum carne ingressus sit, pro nobis est, ut et nos qui carnem habemus, ingressum habeamus. «Pontifex factus.» ubi est pontifex, ibi est et populus.

A τὸ ἀμετάθετον τῶν τῷ Πατρὶ δοξάντων, ἐμεσίτευσε τῷ Πατρὶ καὶ τὸ Ἀβραὰμ ὅρκῳ, τουτέστι, μεσίτης ἐν τῷ ὅρκῳ γέγονε. Δι' αὐτοῦ γὰρ ὡς Λόγου, ὤμνυεν ὁ Θεὸς καὶ Πατήρ. « Ἵνα διὰ δύο πραγμάτων. » Δύο γὰρ ἦν μέγιστα, τότε ἐπαγγείλασθαι τὸν Θεὸν, καὶ τὸ τὸν ὅρκον προσθεῖναι τῇ ἐπαγγελίᾳ. « Ἐν οἷς ἀδύνατον. » Ἐν οἷς, καὶ δι' ὧν πραγμάτων. « Ἰσχυρὰν παράκλησιν ἔχωμεν, » προτροπήν. « Οἱ καταφυγόντες. » Εἰς αὐτὸν, φησί. « Κρατῆσαι, » ἰσχυρὰν παράκλησιν ἔχωμεν εἰς τὸ κρατῆσαι τῆς προκειμένης ἐλπίδος. Ἀπ' ἐκείνων, φησὶ, τῶν πρὸς Ἀβραὰμ εἰρημένων, πιστωθῶμεν καὶ πρὸς τὰ μέλλοντα, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν. Αὕτη γὰρ ἡ ἐλπὶς ἡμῶν, ἡ νῦν μὲν ἐν ἐλπίδι προκειμένη, τότε δὲ ἐκβησομένη, ὡσεὶ ἔλεγεν· Ἐξ ἐκείνων ταῦτα B ἐπιστοῦτο. Ἐκεῖ ἠλήθευσεν, ἵνα ἐν τούτοις πιστευθῇ. Ἢ ὅτι διὰ τοῦτο ὤμοσε τότε, ἵνα νῦν περὶ τῶν μελλόντων πιστεύσωμεν. Οὐδὲν γὰρ ἦν ἕτερον, φησὶ, καὶ τὰ τότε μεθ' ὅρκων ἐπαγγελλόμενα, ἢ ἡ μέλλουσα ἐλπὶς τῶν πιστῶν. « Ἣν ὡς ἄγκυραν ἔχομεν, » ἥτις τὰ σαλευόμενα ἵστησι πλοῖα, καὶ ἡ ἐλπὶς τοὺς σαλευομένους τοῖς πειρασμοῖς, ἀνδρείους καὶ ἑδραίους καὶ ὑπομονητικοὺς ποιεῖ. « Ἀσφαλῆ τε καὶ βεβαίαν. » Οὐχ ἁπλῶς ἄγκυραν, ἀλλὰ καὶ ἀσφαλῆ καὶ βεβαίαν. Ἔνι γὰρ ἄγκυρα μὴ διαφυλάττουσα τὸ σκάφος ἀκλυδώνιστον, ὅταν ᾖ μικροτέρα τοῦ δέοντος. « Καὶ εἰσερχομένην. » Ἵνα ἡμῶν, φησὶν, ἔτι ἐνταῦθα ὑπαρχόντων, ἡ ἐλπὶς εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, τουτέστιν, ἵνα ταῖς ἐλπίσιν ἤδη ἐκεῖ ὦμεν. Ὅρα τί ποιεῖ ἡ ἐλπίς. Προλαμβάνει τὸ C ἐσόμενον. « Εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος. » Ἐσώτερον τοῦ καταπετάσματος, τὸν οὐρανὸν καλεῖ. « Ὅπου πρόδρομος ὑπὲρ ἡμῶν. » Οὐ γὰρ μόνον εἰσῆλθεν, ἀλλ' ὑπὲρ ἡμῶν εἰσῆλθεν. Ὅπου δὲ ὁ πρόδρομος ἡμῶν εἰσῆλθεν, ἐκεῖ καὶ ἡμᾶς, φησὶν, ἀνάγκη εἰσελθεῖν. Ἢ τὸ, ὑπὲρ, παρέλκεται, ἵνα ᾖ, Πρόδρομος ἡμῶν. Ἢ τὸ μετὰ σαρκὸς αὐτὸν εἰσελθεῖν, ὑπὲρ ἡμῶν ἐστιν, ὅπως καὶ ἡμεῖς οἱ σάρκα ἔχοντες, εἰσοῦον σχοίημεν. « Ἀρχιερεὺς γενόμενος. » Καλῶς τὸ, Γενόμενος, διὰ τὴν σάρκα. Ἔνθα οὖν ὁ ἀρχιερεὺς, ἐκεῖ καὶ ὁ λαός.

Recte dictum est : Factus, propter carnem. Porro

363 CAPUT IX.

De Melchisedec qui Christi figura fuit, et a nomine, et a civitate, et a vita, et a sacerdotio.

Nam hic erat Melchisedec, rex Salem, pontifex Dei altissimi, qui occurrit Abraham revertenti a cæde regum, et benedixit illi : cui et decimas ex omnibus impartitus est Abraham : qui primum quidem ex interpretatione dicitur rex justitiæ : deinde vero etiam rex Salem, quod est rex pacis : sine patre, sine matre, sine genealogia, neque initium dierum neque vitæ finem habens, sed assimilatus Filio Dei manet sacerdos in perpetuum. Considerate vero quantus hic fuerit, cui etiam decimas dedit Abraham patriarcha de spoliis.

D

ΚΕΦΑΛ. Θ'.

Περὶ τοῦ Μελχισεδὲκ τοῦ εἰς Χριστὸν τύπου κατὰ τὸ ὄνομα, καὶ τὴν πόλιν, καὶ τὴν ζωὴν, καὶ τὴν ἱερωσύνην.

Οὗτος γὰρ ὁ Μελχισεδὲκ βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτὸν, ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραὰμ, πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλὴμ, ὅ ἐστι βασιλεὺς εἰρήνης, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές. Θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης.

Θέλει δεῖξαι καὶ νῦν πολὺ τὸ διάφορον τῆς νέας διαθήκης πρὸς τὴν παλαιάν, καὶ τοῦτο δείκνυσιν ἐκ τῶν ἱερέων. Εἰπὼν δὲ, Κατὰ τὴν τάξιν Μελχισεδὲκ, δείκνυσιν ὅτι καὶ αὐτὸς ὁ τύπος τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, (τύπον γὰρ αὐτὸν λέγει τοῦ Χριστοῦ,) πολὺ διέφερε τῶν κατὰ νόμον ἱερέων τῶν παρὰ Ἰουδαίοις, τοῦτο κατασκευάζων, Εἰ ὁ τύπος, φησὶ, τοῦ Χριστοῦ τῶν παρὰ Ἰουδαίοις διέφερε, πόσῳ μᾶλλον ἡ ἀλήθεια; τουτέστιν, αὐτὸς ὁ Χριστός. « Βασιλεὺς Σαλήμ. » Ὄνομα πόλεως. « Ἀπὸ τῆς κοπῆς τῶν βασιλέων. » Ὅταν τοὺς βασιλεῖς τοὺς τὸν Λὼτ αἰχμαλωτίσαντας κατακόψας, ὑπέστρεφεν. Οἶδας τὴν ἱστορίαν. « Καὶ εὐλογήσας αὐτόν. » Ἀντὶ τοῦ *εὐλόγησεν* αὐτόν. « Ὧ καὶ δεκάτην. » Ὧ, τουτέστι τῷ Μελχισεδὲκ, δεκάτην ἔδωκεν ὁ Ἀβραὰμ, φησίν. « Πρῶτον μὲν ἑρμηνευόμενος. » Λοιπὸν θέλει δεῖξαι πῶς τύπος ἐστὶ τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, καὶ τέως ἐκ τοῦ ὀνόματος τοῦτο ποιεῖ. Τέως γὰρ, φησὶ, τὸ ὄνομα αὐτοῦ ἑρμηνεύεται, Βασιλεὺς δικαιοσύνης· Μελχὶ, βασιλεύς· Σεδὲκ, δικαιοσύνης. Τίνος δὲ ἑτέρου ὤφειλεν εἶναι τύπος, ἢ τοῦ Χριστοῦ τοῦ ἀληθῶς βασιλέως δικαιοσύνης; Ἔπειτα καὶ τὴν ἄλλην λέγει ἑρμηνείαν, τὴν ἀπὸ τῆς πόλεως. Σαλὴμ, εἰρήνη ἐστίν. Οὐκοῦν, οὐ μόνον βασιλεὺς δικαιοσύνης, ἀλλὰ καὶ εἰρήνης, ὡς ἀπὸ τῆς πόλεως ἧς ἐβασίλευεν· ἀμφότερα δὲ ὁ Χριστὸς, βασιλεύς τε δικαιοσύνης καὶ βασιλεὺς εἰρήνης. « Ἀπάτωρ, ἀμήτωρ. » Καὶ ἐνεχώρει τοῦτον τὸν Μελχισεδὲκ ἄνθρωπον ὄντα, ἀπάτορα εἶναι καὶ ἀμήτορα, καὶ μήτε ἀρχὴν μήτε τέλος ἔχειν ἡμερῶν; Οὔ. Πῶς οὖν εἶπεν; Ὅρα. Ἐπειδὴ ἀντέπιπτεν αὐτῷ, Πῶς κατὰ τὴν τάξιν τοῦ Μελχισεδὲκ ὁ Χριστός ἐστι, τοῦ τελευτήσαντος καὶ μὴ γενομένου ἀρχιερέως εἰς τὸν αἰῶνα; Βλέπετε τί λέγει· Οὐκ ἴσμεν, φησὶ, τίνα ἔχει πατέρα ἢ μητέρα, ἢ ποῖον γένος ὁ Μελχισεδὲκ, οὔτε πότε γεγέννηται, ἢ τετελεύτηκε. Καὶ τί τοῦτο; φήσειεν ἄν τις· εἰ γὰρ μὴ ἴσμεν ταῦτα διὰ τὸ μὴ ἐμφέρεσθαι τῇ Γραφῇ, ἀλλ' ὅμως καὶ πατέρα καὶ γένος ἔσχε, καὶ γέννησιν, καὶ τελευτήν. Πῶς οὖν ὁ τοιοῦτος ἀπάτωρ, καὶ οὐκ ἔχων ἀρχὴν ἢ τέλος ζωῆς; Καί φησιν· Ὥσπερ ὁ Μελχισεδὲκ τῷ μὴ γενεαλογεῖσθαι ὑπὸ τῆς Γραφῆς, ἡμῖν τοῖς ἀγνοοῦσιν οὐ δοκεῖ ἔχειν γονέας, ἢ ἀρχὴν ζωῆς καὶ τέλος, οὕτως ὁ Χριστὸς τῇ ἀληθείᾳ. Ὥσπερ γὰρ, φησὶ, τούτου οὐκ ἴσμεν τὴν ἀρχὴν καὶ τὸ τέλος, οὕτως οὐδὲ τοῦ Χριστοῦ τῇ ἀληθείᾳ. Ἀλλὰ τοῦ μὲν, διὰ τὸ μὴ ἐγγεγράφθαι, τοῦ δὲ Χριστοῦ, διὰ τὴν ἀλήθειαν Ὁ γὰρ τύπος οὐ κατὰ πάντα ἴσος ἐστὶ τῇ ἀληθείᾳ, (ἐπεὶ καὶ αὐτὸς ἀλήθεια εὑρίσκεται, καὶ ταυτότης μᾶλλον, ἢ τύπος), ἀλλ' εἰκόνας ἔχει τινὰς καὶ ἐνδάλματα. Οἷον, Ἀπάτωρ ὁ Μελχισεδὲκ τῇ ἀγνοίᾳ ἡμῶν, ἀπάτωρ ὁ Χριστὸς τὴν κάτω γέννησιν. Ἀμήτωρ ὁ Μελχισεδὲκ, ἀμήτωρ ὁ Χριστὸς τὴν ἄνω γέννησιν, ἐν ᾗ οὔτε ἀρχὴν ἔσχεν ἡμερῶν. Πῶς γὰρ ὁ ποιητὴς τῶν χρόνων; Καὶ οὕτως ἅπαντα νοήσεις ὅσα εἶχεν ὁ Μελχισεδὲκ ἡμῶν ἀγνοούντων τὰ κατ' αὐτὸν, ταῦτα ὁ Χριστὸς ἔχει τῇ ἀληθείᾳ. Καὶ γὰρ

A Vult nunc quoque magnam ostendere excellentiam novi testamenti supra vetus : et hoc ostendit ex sacerdotibus. Dicens autem : Secundum ordinem Melchisedec, ostendit quod ipsa quoque Christi figura, nempe Melchisedec (ait enim fuisse illum Christi typum), multum præcellebat legalibus sacerdotibus qui apud Judæos erant : hoc astruens, Quod si Christi typus, inquit, præstantior erat his quæ apud Judæos erant, quanto magis veritas, hoc est ipse Christus. « Rex Salem. » Nomen est civitatis. « A cæde regum. » Quando regibus qui Lot captivum duxerant, cæsis, reversus est[35]. Nosti historiam. « Et benedixit illi. » Nam εὐλογήσας capitur pro εὐλόγησεν, id est participium pro verbo. « Cui et decimas. » Cui nempe Melchisedec decimas de-
B dit Abraham. « Primum quidem ex interpretatione. » Vult deinceps ostendere quomodo Christi figura erat Melchisedec, et interim ex nomine primum hoc facit. Nam ipsius, inquit, nomen interpretatur Rex justitiæ : **364** Melchi, rex : Sedec, justitiæ, Cujus autem alterius debuit esse typus quam ipsius Christi qui vere rex erat justitiæ ? Deinde aliam quoque ponit interpretationem quæ a civitate sumitur. Salem pax est. Itaque non solum rex justitiæ sed et pacis, tanquam a civitate in qua regnavit. Est autem utrumque Christus et rex pacis et rex justitiæ. « Sine patre, sine matre. » An igitur fieri potest ut hic Melchisedec cum homo esset, sine patre ac sine matre fuerit, et neque
C initium neque finem dierum habuerit ? Nequaquam. Quomodo ergo hæc dixit ? Animadverte. Quoniam ipsi objici poterat : Quonam modo Christus est secundum ordinem Melchisedec qui mortuus est et non factus pontifex in æternum ? Videte quid dicat : Ignoramus, inquit, quem habuerit patrem aut matrem, aut quod fuerit genus Melchisedec, neque quando natus sit aut mortuus. Et quid hoc refert ? dicet aliquis : quanquam enim ignoremus hæc, eo quod non referantur in Scriptura, attamen et patrem habuit et genus, et nativitatem et mortem · quo modo igitur talis est sine patre, nec principium vitæ habens nec finem ? Et respondet : Quemadmodum Melchisedec eo quod ipsius genealogia non recensetur a Scriptura, nobis qui ignoramus
D non videtur parentes habere, aut principium aut finem vitæ : ita Christus in rei veritate. Quemadmodum enim hujus ignoramus principium ac finem, ita Christi re ipsa. Sed hujus quidem, eo quod scriptum non sit, Christi vero eo quod vere non habuerit. Typus namque non per omnia conformis est veritati (siquidem ipse quoque veritas esse invenitur, et major identitas quam fuerit in figura), sed imagines quasdam habet et simulacra. Puta : Melchisedec propter nostram ignorantiam dicitur esse sine patre, Christus inferiore nativitate vero sine patre. Sine matre Melchisedec, sine matre Christus superna nativitate, in

[35] Gen. XIV, 1 seqq.

qua neque initium habuit dierum. Quomodo enim haberet qui factor est temporum? Et ita universa quæ habuisse dicitur Melchisedec eo quod ignoremus quæ circa ipsum fuerunt, hæc Christus in veritate habuit. Siquidem Melchisedec rex fuit pacis et justitiæ nudis duntaxat nominibus, Christus vero ipsa veritate. « Sine genealogia. » Sine genealogia fuisse dicitur Melchisedec, **365** eo quod non fuerit ex semine Abraham, neque a Mose genus acceperit, sed a Chananæis, et ab execrando illo semine prodierit : justus tamen suis operibus apparuerit, cum a justis progenitoribus ortus non esset, neque ab aliquo justo semine. Non erat itaque fas ejus genealogiam retexere, qui hoc modo justitiæ verticem attigisset. Quod autem Melchisedec genere Chananæus fuerit, ostenditur. Licet sane conjectari, et ab illis ipsis in quibus dominabatur ac regnabat regionibus, et ab eis quæ proximæ erant. Siquidem vicinus erat Sodomorum, vicinior autem Abrahæ qui habitabat ad quercum Mambre. Existimare autem oportet quod illius quoque Salem rex erat quæ est Jerusalem. « Sed assimilatus Filio Dei. » In quo autem est similitudo? quod et hujus et Christi finis ignoretur et initium : sed hujus quidem eo quod scripta non sint, Christi vero eo quod non fuerint. « Manet sacerdos in perpetuum. » Eo modo perpetuitatem accipito quo et cætera : quoniam quod ad nos attinet qui ignoramus quando moriens reliquerit sacerdotium, in perpetuum sacerdos est. Figura enim obscuras servat prototypi imagines. Aut quod etiam modus sacerdotii Melchisedec (nosti autem quid dicam) in perpetuum maneat. « Considerate vero quantus hic fuerit. » Quoniam adaptavit veritati figuram, vult deinceps ostendere quod ipsa quoque figura Christi, hoc est Melchisedec, major erat ipsis Judæorum sacerdotibus. Et quid dico sacerdotibus? ipso sane patriarcha Abraham major erat. Quod si Christi typus major erat ipso quoque patriarcha, quidnam dicet quispiam de Christo? Alio quidem modo major erat Abraham quam Melchisedec : sed typus in isto vincebat. Ita habet divus Cyrillus, secundo volumine decimæ partis in Residua latriæ quæ est in spiritu et veritate. « Cui etiam decimas dedit Abraham. » Non potest, inquit, dici quod ipsi decimas dederit tanquam ei qui belli particeps fuerat. Propterea enim antea dixerat quod revertenti a cæde occurrit : sed ex reverentia et honore veluti primitias dedit. « De spoliis. » De exuviis et præda. Quod si ipso patriarcha major erat : **366** et hoc significat decimarum traditio : multo magis patriarcha adducitur : sed ut ostendat quod si patriarcha, sacerdotibus Judæorum. Non enim temere patriarcha, inquit, dedit, quid de sacerdotibus dicendum est?

A βασιλεὺς εἰρήνης καὶ δικαιοσύνης ὁ Μελχισεδὲκ ἄχρι ψιλῶν ὀνομάτων, ὁ δὲ Χριστὸς τῇ ἀληθείᾳ. « Ἀγενεαλόγητος. » Ἀγενεαλόγητον τὸν Μελχισεδὲκ, τῷ μὴ εἶναι μὲν ἐκ τοῦ σπέρματος Ἀβραὰμ, μηδὲ ὑπὸ Μωσέως γενεαλογεῖσθαι, εἶναι δὲ Χαναναῖον τὸ γένος, καὶ ἐκ τῆς ἐπαράτου ἐκείνης σπορᾶς ὁρμᾶσθαι. Δίκαιον δὲ τῶν καθ' αὑτὸν ἀποφανθέντα, καὶ οὐκ ἐκ προγόνων ὁρμώμενον δικαίων, οὐδὲ ἀπό τινος δικαίας σπορᾶς. Οὐ θέμις ἦν γενεαλογεῖν, τὸν εἰς ἄκρον δικαιοσύνης νεύοντα. Ὅτι δὲ Χαναναῖος ἦν τὸ γένος ὁ Μελχισεδὲκ, δείκνυται. Καὶ ἔστι δή που τεκμήρασθαι καὶ ἀπ' αὐτῶν ἐκείνων ὧν ἐκράτει καὶ ἐβασίλευε κλιμάτων, καὶ οἷς ἐπλησίαζε. Γείτων μὲν γὰρ ἦν Σοδόμων, πλησιαίτερος δὲ τῷ Ἀβραὰμ οἰκοῦντι πρὸς τῇ δρυῖ τῇ Μαμβρῇ. B Οἴεσθαι δὲ χρὴ, ὅτι καὶ Σαλὴμ ἐκείνης ἐτύγχανε βασιλεὺς; ἥ τις ἐστὶν Ἱερουσαλήμ. « Ἀφωμοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ. » Καὶ ποῦ ἡ ὁμοιότης; ὅτι καὶ τούτου καὶ τοῦ Χριστοῦ, τὸ τέλος ἀγνοεῖται καὶ ἡ ἀρχή. Ἀλλὰ τούτου μὲν, παρὰ τὸ μὴ γεγράφθαι, τοῦ δὲ Χριστοῦ, παρὰ τὸ μὴ εἶναι. « Μένει ἱερεὺς εἰς τὸ διηνεκές. » Τούτῳ τῷ τρόπῳ δέξαι τὸ διηνεκὲς, ᾧ καὶ τὰ ἄλλα. Ὅτι, φησὶν, ὅσον ἦκεν εἰς ἡμᾶς τοὺς ἀγνοοῦντας πότε τελευτήσας ἀπέθετο τὴν ἱερωσύνην, εἰς τὸ διηνεκές ἐστιν ἱερεύς. Ὁ γὰρ τύπος εἰκόνας ἀμυδρὰς σώζει τοῦ πρωτοτύπου· ἢ ὅτι καὶ τρόπος τῆς τοῦ Μελχισεδὲκ ἱερωσύνης, (οἶδας δὲ τί λέγω,) διηνεκὲς μένει. « Θεωρεῖτε δὲ πηλίκος οὗτος. » Ἐπειδὴ ἐφήρμοσε τῇ ἀληθείᾳ τὸν C τύπον, λοιπὸν βούλεται δεῖξαι ὅτι καὶ αὐτὸς ὁ τύπος τοῦ Χριστοῦ, τουτέστιν, ὁ Μελχισεδὲκ, μείζων ἦν αὐτῶν τῶν παρὰ Ἰουδαίοις ἱερέων. Καὶ τί λέγω ἱερέων; αὐτοῦ μὲν οὖν τοῦ πατριάρχου Ἀβραὰμ μείζων ἦν. Εἰ δὲ ὁ τύπος τοῦ Χριστοῦ, φησὶ, μείζων καὶ αὐτοῦ τοῦ πατριάρχου, τί ἂν τις εἴποι περὶ τοῦ Χριστοῦ; ἄλλως μὲν, κρειττων ἦν ὁ Ἀβραὰμ τοῦ Μελχισεδὲκ, ἀλλ' ὁ τύπος ἦν ὁ νικῶν. Οὕτως ὁ ἐν ἁγίοις Κύριλλος ἐν βιβλίῳ δευτέρῳ τῆς δεκάτης εἰς τὰ παραλειπόμενα τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ λατρείας. « ὯΙ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν. » Οὐκ ἔστιν εἰπεῖν, φησὶν, ὅτι δέδωκεν αὐτῷ δεκάτας, ὡς κεκοινωνηκότι τοῦ πολέμου· (διὰ τοῦτο γὰρ εἶπεν ἄνω, Ὑποστρέφοντι τῆς κοπῆς ὑπήντησεν), ἀλλὰ κατὰ σέβας καὶ τιμὴν, ὥσπερ ἀπαρχὰς δι- D δούς. « Ἐκ τῶν ἀκροθινίων. » Ἐκ τῶν σκύλων καὶ λαφύρων. Εἰ δὲ τοῦ πατριάρχου μείζων (καὶ' τοῦτο δηλοῖ ἡ τῶν δεκατῶν δόσις), πολλῷ μᾶλλον τῶν παρὰ Ἰουδαίοις ἱερέων. Οὐ γὰρ ἁπλῶς ὁ πατριάρχης πρόσκειται, ἀλλ' ἵνα δείξῃ, εἰ ὁ πατριάρχης, φησὶν, ἔδωκε, τί δεῖ περὶ ἱερέων λέγειν;

VII, 5-7. *Atque ii qui e filiis Levi sacerdotii functionem sumunt, præceptum habent ut decimas accipiant a populo juxta legem, hoc est, a fratribus suis, licet egressis ex lumbis Abraham. At is cujus genus non recenseatur ex illis, decimas accepit ab Abraham, et habenti promissionem benedixit. Porro*

Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστι, τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ. Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν Ἀβραὰμ, καὶ τὸν ἔχοντα

τὰς ἐπαγγελίας, εὐλόγηκε. Χωρὶς δὲ πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.

A *nemo negat quin id quod minus est ab eo quod majus est benedictionem accipiat.*

Ἔτι ἡ κατασκευὴ ὅτι ὁ τύπος τοῦ Χριστοῦ μείζων τῶν παρὰ Ἰουδαίοις ἱερέων. Οἱ Λευῖται, φησὶν, ὡς τιμιώτεροι ὄντες τοῦ λοιποῦ λαοῦ, τὰς δεκάτας ἀπολαμβάνουσιν. Ἐπεὶ τί δήποτε παρὰ ἀδελφῶν, τὸν αὐτὸν ἐχόντων πατέρα λαμβάνουσιν; δῆλον οὖν ὡς τιμῆς καὶ τοῦ ἱερωτέρους εἶναι, συμβολόν εἰσιν αἱ δεκάται. Τοιγαροῦν καὶ ὁ Μελχισεδὲκ, καὶ ταῦτα ἀλλόφυλος ὢν καὶ ἀγενεαλόγητος, οὐκ ἂν παρ' αὐτοῦ τοῦ πατριάρχου εἴληφε δεκάτας, εἰ μὴ μείζων ἦν αὐτοῦ. Τῷ γὰρ μὴ ὄντι μείζονι οὐκ ἂν ἔδωκεν ὁ Ἀβραάμ. Εἰ δὲ τοῦ πατριάρχου μείζων, δῆλον ὡς πολλῷ μείζων τῶν παρὰ Ἰουδαίοις ἱερέων. « Ἀποδεκατοῦν τὸν λαόν. » Δεκάτας οἷον λαμβάνειν παρ' αὐτῶν. Ἐλάμβανον γὰρ οἱ Λευῖται δεκάτας ἀπὸ τοῦ λαοῦ. « Καίπερ ἐξεληλυθότας. » Τοῦτό φησι· Καίπερ ὁμοτίμων ὄντων κατὰ τὰ ἄλλα πάντα, ὅμως ἐκ τοῦ, τοὺς μὲν διδόναι δεκάτας, τοὺς δὲ λαμβάνειν, πολλὴ ἡ ὑπεροχὴ ἐπιδείκνυται. Εἰ δὲ ἐνταῦθα τοῦτο, δῆλον ὅτι καὶ ἐπὶ τοῦ Ἀβραὰμ καὶ Μελχισεδὲκ, τοῦ μὴ δέοντος, τοῦ δὲ λαβόντος. Ὥστε ὁ τοῦ Χριστοῦ τύπος, μείζων τοῦ πατριάρχου Ἀβραάμ. Εἰ δὲ τοῦ Ἀβραὰμ, πολλῷ μᾶλλον τῶν ἱερέων. Εἰ δ' ὁ τύπος, τί ἂν τις εἴποι περὶ αὐτοῦ τοῦ Χριστοῦ; « Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν. » Ἐξ αὐτῶν, τουτέστιν, εἰς αὐτούς. Ὁ τοίνυν μὴ γενεαλογούμενος εἰς αὐτοὺς καὶ ἐγκαταλεγόμενος τῷ γένει αὐτῶν, Μελχισεδὲκ εἴληφε τὰς δεκάτας. « Καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας. » Ἐξῆρε τὸν Ἀβραὰμ, ἵνα πλεῖον ἐξάρῃ τὸν Μελχισεδέκ. « Τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. » Οὐκοῦν κρείττων ὁ τύπος τοῦ Χριστοῦ, καὶ αὐτοῦ τοῦ πατριάρχου.

Confirmat quod is qui Christi figura erat major fuit sacerdotibus Judæorum. Levitæ, inquit, tanquam honoratiores in populo decimas accipiunt : siquidem quam ob causam alioqui a fratribus eumdem patrem habentibus eas acciperent ? manifestum itaque est quod honoris signum essent decimæ, quodque illi sacratiores erant cæteris. Itaque Melchisedec quoque cum et alienigena esset ig otque generis, nequaquam ab ipso patriarcha decimas accepisset, nisi eo major fuisset : neque enim dedisset Abraham nisi ei qui major esset. Quod si ipso patriarcha major erat, manifestum est quod B multo magis sacerdotibus Judæorum. « Ut decimas accipiant a populo. » Nam ἀποδεκατοῦν significat accipere decimas. Accipiebant enim Levitæ decimas a populo. « Licet egressis. » Hoc est quod ait : Licet in cæteris omnibus paris essent conditionis ac honoris : ex eo tamen quod hi quidem decimas darent, illi vero acciperent, magna excellentia ostenditur. Quod si hic ita est, manifestum est quod etiam in Abraham et Melchisedec, cum ille decimas dederit, iste vero acceperit. Itaque is qui Christi typus et figura erat, major fuit patriarcha Abraham : quod si ipso Abraham, multo magis sacerdotibus. Si vero typus major fuit, quidnam poterit quispiam dicere de Christo ? « At is cujus genus non recensetur ex illis. » Ex illis, hoc est ad C illos. Is igitur cujus genus non refertur ad illos, neque reducitur in numerum cum genere illorum, nempe Melchisedec, accepit decimas. « Et habenti promissiones benedixit. » Extulit Abraham ut magis extolleret **367** Melchisedec. « Id quod minus est ab eo quod majus est benedictionem accipit. » Itaque potior fuit et melior Christi typus ipso quoque patriarcha.

Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν. Ἐκεῖ δὲ μαρτυρούμενος ὅτι ζῇ, καὶ, ὡς ἔπος εἰπεῖν, διὰ Ἀβραὰμ καὶ Λευὶ ὁ δεκάτας λαμβάνων, δεδεκάτωται. Ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ.

Atque hic quidem homines qui moriuntur decimas accipiunt. Illic autem is de quo testatum est quod vivat : et ut ita loquar, in Abraham decimatus est etiam ipse Levi qui decimas solet accipere. Adhuc enim in lumbis patris erat quum occurreret Abrahæ Melchisedec.

VII, 7-9.

Δεῖξαι θέλει, ὅτι πολὺ ἦν τὸ ὑπερέχον τοῦ Μελχισεδὲκ, καὶ διὰ τοῦτο ἔλαβε τὰς δεκάτας, καί φησι· Καὶ οἱ Λευῖται μὲν οὖν λαμβάνουσιν, ἀλλ' οὐδὲν D μέγα· ἀποθνήσκουσι γάρ. Τίς δὲ φθονήσει τιμῆς τῷ ἀποθνήσκειν μέλλοντι; Ὁ δὲ Μελχισεδὲκ, καὶ ταῦτα μαρτυρούμενος ζῇ, ἔλαβε τὰς δεκάτας. Τὸ δὲ, Μαρτυρούμενος ζῇν, δέξαι κατὰ τὴν ἄνω ἔννοιαν, διότι, φησὶ, οὐκ εἶπεν ἡ Γραφὴ τὴν τελευτὴν αὐτοῦ, ἀλλὰ τὴν ζωὴν μόνον, τὸ ζῇν αὐτῷ μόνον ἔδοξε μαρτυρεῖν, ὡς εἰ εἶπεν· Προῄδει ὁ Ἀβραὰμ ὅτι οὐκ ἔσται δῆλη ἡ τελευτὴ τοῦ Μελχισεδέκ. Καὶ οὐδὲ τοῦτο ἐποίησεν αὐτὸν φθονῆσαι αὐτῷ τῆς τιμῆς τῶν δεκατῶν. Ἤδει γὰρ αὐτοῦ τὸ ὑπερέχον. Ἢ ἁπλούστερον δέξαι τὸ εἰρημένον, ὅτι ὁ τρόπος τῆς ἱερωσύνης, τῶν μὲν Λευϊτῶν, ἀποθνήσκει. Καὶ γὰρ ἐπαύσατο, τῆς ἀληθείας φανείσης· ὁ δὲ τοῦ Μελχισεδὲκ ζῇ. « Ζῇ γάρ. » Πῶς δὲ ἐμαρτυρήθη;

Ostendere vult quod magna esset excellentia Melchisedec, et propterea acciperet decimas, et ait : Etiam Levitæ accipiunt ; at nihil hoc magnum est, nam moriuntur ; quis autem invidet honorem ei qui moriturus est ? Melchisedec autem etiam si testimonium acceperit quod vivat, decimas accepit. Quod autem ait testimonium accepisse illum quod vivat, accipe juxta datum prius intellectum, ideo videlicet quod cum non dixerit Scriptura finem illius, sed solam vitam, solum de eo testari visa est quod viveret ; ac si diceret : Præviderat Abraham quod manifestanda non esset mors ipsius Melchisedec, neque tamen motus ex eo est ut invideret illi honorem decimarum, noverat enim ipsius dignitatem. Aut simpliciori modo accipe quod dictum est, quod modus quidem sacerdotii Levitarum moritur, siquidem cessavit apparente veri-

tate, ipsius autem Melchisedec vivit. « Quod vivat. » Quomodo autem de ipso testatum est? In eo quod dixerit Deus : « Tu es sacerdos in æternum secundum ordinem Melchisedec [22]. » Et hinc ergo est præminentia Melchisedec supra Judaicos sacerdotes. « Homines qui moriuntur. » Neque enim suspicio haberi potest ne quo modo fuerit aliquo tempore major, postmodum vero ad inferiorem sortem redactus sit : quando quidem in lege quidem decimas accipiunt Levitæ, qui dum moriuntur dignitatem transmittunt ad alios, ita ut non semper iidem sint qui decimas accipiant, ibi vero nihil tale didicimus. Semper itaque videtur excelsior esse si semper maneat in sua dignitate. Quod enim maneat idem sacerdos in æternum, ut dixi, ex Scriptura testimonium accepit, nempe cum dixit : « Tu es sacerdos in æternum secundum ordinem Melchisedec. » **368** quæ hoc manifestat, puta illum quoque talem esse ac perpetuum sacerdotem. « Et ut ita loquar. » Ne dicant : Et quid ad sacerdotes nostros si Abraham decimas dederit? Multum profecto, ait. Siquidem in Abraham erat Levi quando decimas dabat, quanquam nondum genitus esset. Si igitur potestate erat Levi in Abraham, manifestum est quod ipse quoque Levi progenitor sacerdotum, decimas dedit cum daret Abraham. — *Aliud.* Ex eo quod Abraham dedit decimas, etiam Levi qui decimas accipit decimatus est, hoc est, decimas dedit. Ad verba ergo illa, In Abraham, ponenda est distinctio ut sensus nullam habeat violentam detorsionem. Propter decimatum enim Abraham, quodammodo et Levi qui adhuc in lumbis ipsius erat, decimatus est. « Adhuc enim in lumbis. » Semen quod fuit principium vitæ Levi, intus in lumbis Abrahæ erat. Siquidem Isaac fuit causa et origo Levi.

Ἐν τῷ εἰπεῖν τὸν Θεὸν, « Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. » Καὶ ἔνθεν οὖν τὸ διάφορον τοῦ Μελχισεδὲκ, καὶ τῶν παρὰ Ἰουδαίοις ἱερέων. « Ἀποθνήσκοντες ἄνθρωποι. » Οὐδὲ γάρ ἐστιν ὑπολαβεῖν, φησὶ, μή ποτε πρὸς μέν τινα καιρὸν ἐγένετο μείζων, μετὰ δὲ τοῦτο εἰς ἐλάττονα κατέστη μοῖραν. Ἐπείπερ ἐν μὲν τῷ νόμῳ λαμβάνουσι δεκάτας οἱ Λευῖται, οἱ καὶ τελευτῶντες, τὴν ἀξίαν παραπέμπουσιν εἰς ἑτέρους. Ὥστε μὴ τοὺς αὐτοὺς εἶναι ἀεὶ τοὺς τὴν δεκάτην δεχομένους. Ἐκεῖ δὲ, οὐδὲν τοιοῦτον μεμαθήκαμεν. Ὥστε ἀεὶ φαίνεσθαι αὐτὸν ὑπερέχοντα, εἴπερ μένει πάντοτε ἐπὶ τῆς οἰκείας ἀξίας. Τὸ γὰρ μένειν αὐτὸν, ὡς ἔφην, ἱερέα διηνεκῆ, ἀπὸ τῆς Γραφῆς ἔλαβεν, ὡς ἐν τῷ λέγειν, « Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, » τοῦτο ἐμφαινούσης, ὅτι κἀκεῖνος τοιοῦτος ἱερεὺς διηνεκής. « Καὶ ὡς ἔπος εἰπεῖν. » Ἵνα μὴ λέγωσι, Καὶ τί, φησὶ, πρὸς τοὺς ἱερέας ἡμῶν εἰ ὁ Ἀβραὰμ δεκάτας ἔδωκε; Ναί φησιν. Ἐν γὰρ ἐν τῷ Ἀβραὰμ ἦν ὁ Λευῖ, ὅταν τὰς δεκάτας ἐδίδου, εἰ καὶ μήπω ἦν τεχθείς. Εἰ τοίνυν τῇ δυνάμει τῷ Ἀβραὰμ ἦν ὁ Λευῖ, δῆλον ὡς καὶ αὐτὸς ὁ Λευῖ ὁ προπάτωρ τῶν ἱερέων δέδωκε δεκάτας, τοῦ Ἀβραὰμ δεδωκότος. — Ἄλλο. [ΦΩΤ.] Διότι ὁ Ἀβραὰμ δέδωκε δεκάτας, διὰ τοῦτο, φησὶ, καὶ Λευῖ ὁ τὰς δεκάτας λαμβάνων, δεδεκάτωται, τουτέστι, δέδωκε δεκάτας. Ἐν γοῦν τῷ, διὰ Ἀβραὰμ, δεῖ ὑποστίζειν, ἵνα τὸ νόημα παντελῶς ἀβίαστον γένηται. Διὰ γὰρ τὸν δεκατωθέντα Ἀβραὰμ, φησὶ, τρόπον τινὰ καὶ ὁ ἐν τῇ ὀσφύϊ αὐτοῦ ἔτι ὢν Λευῖ δεδεκάτωται. « Ἔτι γὰρ ἐν τῇ ὀσφύϊ. » Τὸ γὰρ σπέρμα τὸ τῆς ζωῆς αἴτιον τοῦ Λευῖ, ἔνδον ἦν ἐν τῇ ὀσφύϊ τοῦ Ἀβραάμ. Ἦν γὰρ ὁ Ἰσαὰκ ὁ αἴτιος τοῦ Λευῖ.

CAPUT X.

Quod cessare debet terrenum Aaron sacerdotium, firmum sit autem cæleste Christi sacerdotium, alterius generis, non juxta carnem, neque per legem carnalem.

VII, 11-14. *Proinde si consummatio per Leviticum sacerdotium erat, siquidem per hoc populus legem acceperat, quid præterea fuit opus alium exoriri sacerdotem, qui secundum ordinem Melchisedec, et non secundum ordinem Aaron diceretur? quandoquidem translato sacerdotio necesse est ut legis quoque translatio fiat. Nam is de quo hæc dicuntur ad aliam tribum pertinet, de qua nullus altari astitit. Palam est enim quod ex Juda exortus sit Dominus noster : ad quam tribum nihil circa sacerdotium retulit Moses.*

369 Cum ostendisset Melchisedec præstantiorem esse Levi ac sacerdotibus, imo et ipso patriarcha Abraham, ostendit post hæc quod hoc sacerdotium novi testamenti præstantius sit veteri, ac testamentum perfectius sit testamento. Si perfectionem, in-

ΚΕΦΑΛ. Ι'.

Ὅτι παύσεται ἡ τοῦ Ἀαρὼν ἱερωσύνη ἐπὶ γῆς οὖσα. Ἱσταται δὲ ἡ οὐράνιος ἡ Χριστοῦ ἐξ ἑτέρου γένους, οὐ κατὰ σάρκα, οὐ διὰ νόμου σαρκίνου.

Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν, (ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο,) τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ. Πρόδηλον γὰρ, ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν, οὐδὲν περὶ ἱερωσύνης Μωσῆς ἐλάλησε.

Δείξας τὸν Μελχισεδὲκ βελτίονα ὄντα τοῦ Λευῖ καὶ τῶν ἱερέων, καὶ αὐτοῦ τοῦ πατριάρχου Ἀβραὰμ, λοιπὸν δείκνυσιν ὅτι αὕτη ἡ ἱερωσύνη ἡ τῆς νέας, βελτίων τῆς παλαιᾶς, καὶ ἡ διαθήκη τῆς διαθήκης τελειοτέρα. Εἰ τὸ τέλειον εἶχε, φησὶν, ἡ Λευϊτικὴ

[22] * Psal. cix, 4.

ἱερωσύνη ἐν τοῖς δόγμασι, τίς ἦν χρεία μὴ κατὰ A quit, habuisset, Leviticum sacerdotium in dogmatis, quæ esset necessitas ut non secundum ordinem Aaron qui et ipse Levitici sacerdotii erat, Christus exsurgeret, sed oporteret secundum ordinem Melchisedec suscitari ? An non facile cuivis patere potest quod hoc propter imperfectionem Levitici sacerdotii factum sit ?

τὴν τάξιν Ἀαρών, ὃς καὶ αὐτὸς τῆς Λευϊτικῆς ἱερωσύνης ἦν, τὸν Χριστὸν ἀναστῆναι ; Ἀλλ' ἐδεήθη κατὰ τὴν τάξιν ἀναστῆναι τοῦ Μελχισεδέκ; Οὐκ εὔδηλον ὅτι διὰ τὸ ἀτελὲς, φησὶ, τῆς Λευϊτικῆς ἱερωσύνης τοῦτο γέγονεν ;

« Ὁ λαὸς γὰρ ἐπ' αὐτὴν νενομοθέτητο. » Εἰ γὰρ ἦν τελεία Λευϊτικὴ, ἔδει κατὰ τὴν τάξιν Ἀαρὼν ἀναστῆναι τὸν Χριστὸν, μάλιστα, φησὶν, ὅτι ὁ λαὸς ἐπὶ ταύτῃ τῇ Λευϊτικῇ ἱερωσύνῃ νενομοθέτηται, τουτέστι, ταύτῃ κεχρῆσθαι, ταύτῃ στοιχεῖν, ὑπὸ ταύτης ἄγεσθαι. « Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης. » Ὅρα πῶς εὐφυῶς εἰσάγει τὴν νέαν διαθήκην. Ὁπότε γάρ, φησὶ, μετάθεσις τῆς ἱερωσύνης γέγονε, τῷ μηκέτι κατὰ τὴν τάξιν Ἀαρὼν, ἀλλὰ τοῦ B Μελχισεδὲκ ἀνίστασθαι ἱερέα, καὶ τῷ μηκέτι ἐκ γένους Λευΐ, ἀλλὰ ἐκ γένους Ἰούδα (ἔνθεν γὰρ ὁ Χριστὸς τὸ κατὰ σάρκα γενέσθαι ἱερέα), ἀνάγκη πᾶσα, φησὶ, καὶ τὸν νόμον καὶ τὴν διαθήκην μετατεθῆναι, τουτέστιν, ἀλλαγῆναι, καὶ ἄλλην νεαρὰν ἀντεισαχθῆναι. « Ἐφ' ὃν γὰρ λέγεται ταῦτα. » Ἐπὶ τὸν Χριστὸν δηλονότι εἴρηται, τὸ, « Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. » — « Φυλῆς ἑτέρας μετέσχηκεν. » Καὶ τοσοῦτον, φησὶ, γίνεται μετάθεσις καὶ ἀλλαγὴ τοῦ τε νόμου καὶ τῆς παλαιᾶς διαθήκης, ὅτι καὶ τῆς φυλῆς αὐτῆς, ἧτις τὴν παλαιὰν ἱερωσύνην μετεχειρίζετο, γέγονεν ἀλλαγή. Ὁ γὰρ Χριστὸς ἑτέρας ἐστὶ φυλῆς, καὶ οὐ τῆς τοῦ Λευΐ, ἀλλὰ τοῦ Ἰούδα, ἧτις Ἰούδα φυλὴ, οὐδέ ποτε ὡς C ἱερεύουσα παρέστη ἐν τῷ θυσιαστηρίῳ. Τὸ γάρ, *προσέσχηκεν*, ἢ προέστη νοήσεις ἢ προσέσχεν. Ὅσον γὰρ, φησὶν, εἰς τὸ ἱερατεῦσαι, οὐδὲ προσέσχε τῷ θυσιαστηρίῳ ἡ τοῦ Ἰούδα φυλή. « Ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν. » Πεποιημένη λέξις τῇ κατὰ σάρκα γεννήσει τοῦ Σωτῆρος ἡμῶν Θεοῦ τὸ, *ἀνατέταλκεν*. « Εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωσῆς ἐλάλησε. » Ἦν γὰρ εἰς τὴν τοῦ Λευΐ διαλεχθεὶς ; ὁ Μωσῆς.

« Siquidem per hoc populus legemaccepit. » Nam si perfectum, inquit, erat Leviticum sacerdotium, oportuit secundum ordinem Aaron exsurgere Christum, maxime, inquit, quia populus sub hoc Levitico sacerdotio legem accepit, id est, hoc usus est ut per ipsum erudiretur, et hoc duce viveret. « Quandoquidem translato sacerdotio. » Vide quam apte novum testamentum inducat. Quando enim translatio facta est, inquit, sacerdotii, ex eo quod jam non secundum ordinem Aaron, sed Melchisedec exsurgat sacerdos, et ex eo quod jam non ex genere Levi, sed ex genere Juda (hinc enim Christus secundum carnem factus est sacerdos) omnino, inquit, necessarium est et legem et testamentum transferri, hoc est immutari, aliamque recentiorem ejus loco substitui. « Nam is de quo hæc dicuntur. » De Christo videlicet dictum est illud : « Tu es sacerdos in æternum secundum ordinem Melchisedec. » — « Ad aliam tribum pertinet. » Et adeo, inquit, fit translatio et immutatio legis ac veteris testamenti, quod ipsius quoque tribus quæ vetus sortita erat sacerdotium facta sit immutatio. Christus namque alterius est tribus, et non Levi sed Juda, quæ tribus Juda nunquam, veluti sacerdotio fungens, altari astitit. Siquidem προσέσχηκεν significat, Astitit, aut Accessit ; nam quantum ad sacrificandum, inquit, nunquam ad altare accessit tribus Juda. « Quod ex Juda exortus sit Dominus. » Dictionem ἀνατέταλκεν, id est, Exortus est, apte formatam habemus ad nativitatem Salvatoris nostri Dei. « Ad quam tribum nihil circa sacerdotium retulit Moses. » Siquidem ad tribum Levi retulit universa.

Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. Μαρτυρεῖ γάρ, Ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

VII, 15-17. *Idque magis etiam liquet, siquidem* **370** *ad similitudinem Melchisedec exoritur alius sacerdos, qui non juxta legem præcepti carnalis factus sit, sed juxta potentiam vitæ indissolubilis. Testificatur enim ad hunc modum : Tu es sacerdos in æternum secundum ordinem Melchisedec.*

Καὶ οὐ μόνον, φησὶν, ἔνθεν δῆλόν ἐστιν ὅτι ἐνηλλάγη ἥ τε λατρεία καὶ ἡ διαθήκη ἐκ τοῦ ἐξ ἑτέρας φυλῆς καὶ οὐ τῆς τοῦ Λευΐ εἶναι τὸν ἀναστάντα ἱερέα, ἀλλὰ καὶ ἐξ ἐκείνου περισσῶς δῆλόν ἐστι. Ποίου τούτου ; Ἐκ τοῦ κατὰ τὴν τάξιν Μελχισεδὲκ, καὶ οὐ κατὰ τὴν τοῦ πάλαι ἱερέως Ἀαρὼν γενέσθαι ἱερέα τὸν Χριστόν. « Εἰ κατὰ τὴν ὁμοιότητα. » Τὸ *εἰ*, ἀντὶ τοῦ, *ὅτι*, νοήσεις, ἤγουν *ἐπειδή*· ὡσεὶ εἶπε· Καὶ ἐκ τούτου κατάδηλός ἐστιν ἥ τε ἐναλλαγὴ, καὶ ἡ μετάθεσις τῆς παλαιᾶς διαθήκης. Εἶτα κατὰ τὴν ὁμοιότητα. Ἐπειδὴ, φησὶ, κατὰ τὴν ὁμοιότητα τοῦ Μελχισεδὲκ ἀνίσταται ἱερεὺς, καὶ οὐ κατὰ τὴν ὁμοιότητα Ἀαρών. « Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς

Neque hinc solum liquet immutatum esse cultum et testamentum, quod ex alia tribu quam Levi exortus fuerit sacerdos, sed ex illo quoque abunde manifestum est. Ex quo illo ? Quod secundum ordinem Melchisedec, et non secundum ordinem veteris sacerdotis Aaron factus sit Christus sacerdos. « Siquidem ad similitudinem. » Nam *si*, id est, si, pro ὅτι id est *quoniam* vel *quandoquidem* accipiendum est ; tanquam diceret : Etiam ex hoc manifesta est immutatio et translatio veteris testamenti, quoniam juxta similitudinem Melchisedec exsurgit sacerdos, et non juxta similitudinem Aaron. « Qui non juxta legem præcepti carnalis factus sit. »

Christus enim pontifex factus est non juxta legem præcepti carnalis, sed juxta potentiam vitæ indissolubilis. Quid est juxta legem præcepti carnalis? Quia lex carnalia habebat præcepta, puta circumcisionem, Sabbata, ut hoc ederent, illud vero non ederent, quæ carnis erant et non animæ purificatio. non ergo factus est sacerdos a lege quæ præcepta carnalia præcipiebat. Nam illa Leviticos noverat sacerdotes: sed factus est, inquit, Christus sacerdos, et per propriam et per Patris potestatem, et per vitam interminabilem. « Testificatur enim. » Et quod non juxta legem præcepti carnalis factus sit Christus sacerdos, manifestat Patris testimonium. Testificatur enim illi Pater, dicens, secundum ordinem Melchisedec esse sacerdotem. Nam si juxta legem fuisset, oportuisset ipsum secundum ordinem Aaron factum fuisse.

A γέγονεν. » Γέγονε γὰρ ὁ Χριστὸς ἀρχιερεὺς, οὐ κατὰ νόμον ἐντολῆς σαρκίνης, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. Τί ἐστι κατὰ νόμον ἐντολῆς σαρκίνης, Ὅτι ὁ νόμος τὰς ἐντολὰς σαρκικὰς εἶχεν, οἷον περιτομὴν, ἀργίαν, τόδε φαγεῖν, καὶ τόδε μὴ φαγεῖν, ἅπερ σαρκὸς ἦν καὶ οὐ ψυχῆς καθάρσια· οὐ γέγονεν οὖν, φησὶν, ἱερεὺς ἀπὸ τοῦ νόμου τοῦ τὰς σαρκικὰς ἐντολὰς ἐντελλομένου. Ἐκεῖνος γὰρ τοὺς Λευΐτας οἶδεν ἱερέας. Ἀλλὰ γέγονε, φησὶν, ὁ Χριστὸς ἱερεὺς, διά τε δυνάμεως ἰδίας, καὶ τῆς τοῦ Πατρὸς, καὶ διὰ ζωῆς ἀπεράντου. « Μαρτυρεῖ γάρ. » Καὶ ὅτι, φησὶν, οὐ κατὰ νόμον ἐντολῆς σαρκίνης γέγονεν ἱερεὺς ὁ Χριστὸς, ἡ μαρτυρία δηλοῖ τοῦ Πατρός. Μαρτυρεῖ γὰρ αὐτὸν ὁ Πατὴρ λέγων, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἱερέα. Εἰ γὰρ, φησὶ, κατὰ τὸν νόμον ἐγίνετο, B ἔδει αὐτὸν κατὰ τὴν τάξιν Ἀαρὼν γενέσθαι.

VII, 18-25. *Abrogatio enim fit præcedentis præcepti propter imbecillitatem et inutilitatem: nam nihil ad perfectum adduxit lex, verum introductio quædam est ad spem potiorem, per quam appropinquamus Deo: atque* **371** *hoc potiorem, quod non absque jurejurando res acta sit. Nam illi quidem citra jusjurandum sacerdotes facti sunt, hic vero cum jurejurando per eum qui dixit ad illum: Juravit Dominus et non pœnitebit eum, tu es sacerdos in æternum secundum ordinem Melchisedec. Tanto melioris testamenti sponsor factus est Jesus. Et illi quidem plures facti fuerunt sacerdotes, propterea quod per mortem non sinerentur permanere: at hic* C *quod idem permaneat in æternum, sempiternum habet sacerdotium: unde et salvos facere ad plenum potest eos qui per ipsum adeunt Deum, semper vivens, ad hoc ut interpellet pro illis.*

Dixit præstantius esse novum testamentum; et hoc manifestat, inquit, excellens diversitas sacerdotum. Dixit quod etiam immutata sint omnia. Deinceps causam immutationis dicit, et ait: « Abrogatio fit, » hoc est repulsio et ejectio. Abrogatio igitur fit præcedentis præcepti: hoc est, veteris legis, non temere, sed tunc id fit quando imbecillis et inutilis inventa est. Si enim nulla fuisset reprehensio, quid necesse fuisset immutare? Propterea igitur et lex, inquit, immutata est. Hoc enim præceptum rejectum est propter imbecillitatem ac D inutilitatem suam. Siquidem non potuit lex perfectum quemquam in virtute reddere. Solum enim dicebat: Hoc facito, illud vero ne feceris; non autem pariter roborabat et adjuvabat ad faciendum quæ dicta erant. « Verum introductio quædam est. » A communi enim intellectu suppletur verbum γίγνεται, id est efficitur. « Ad spem potiorem. » Habuit namque et lex spem, at non talem qualis est quæ ipsius loco subsequitur. Siquidem qui legem implebant, sperabant terram possidere: « Bona, inquit, terræ comedetis[33]. » Spes vero quæ in Christum est, regnum dat cœlorum, Deoque proxi-

Ἀθέτησις μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς, διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές. Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος. Ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ, καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας. Οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες, ὁ δὲ μετὰ ὁρκωμοσίας διὰ τοῦ λέγοντος πρὸς αὐτὸν, Ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. Κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς. Καὶ οἱ μὲν πλείονες εἰσὶ γεγονότες ἱερεῖς, διὰ τὸ, θανάτῳ κωλύεσθαι παραμένειν· ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην. Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν, εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν.

Εἶπεν ὅτι βελτίων ἡ νέα διαθήκη. Καὶ τοῦτο δηλοῖ, φησὶ, τὸ τῶν ἱερέων διάφορον. Εἶπεν ὅτι καὶ ἐνηλλάγη πάντα. Λοιπὸν τὴν αἰτίαν τῆς ἐναλλαγῆς λέγει, καί φησιν· « Ἀθέτησις γίνεται, » τουτέστιν, ἄμειψις καὶ ἐκβολή. Ἀθέτησις τοιγαροῦν γίνεται προαγούσης ἐντολῆς, τουτέστι, παλαιοτέρου νόμου, οὐχ ἁπλῶς, ἀλλὰ τότε ἡνίκα ἀσθενὴς καὶ ἀνωφελὴς εὑρέθη. Ἐπεὶ μὴ ὄντος μώμου τινὸς, τίς χρεία τῆς ἐναλλαγῆς; Τοιγαροῦν, φησὶ, διὰ τοῦτο καὶ ὁ νόμος. Οὗτος γὰρ, ἡ προάγουσα, ἐντολὴ, ἐκβέβληται διὰ τὸ ἀσθενὲς αὐτοῦ καὶ ἀνωφελές. Οὐδὲ γὰρ ἴσχυεν ὁ νόμος τέλειόν τινα ἐν ἀρετῇ ποιῆσαι. Ἔλεγε γὰρ μόνον, τόδε ποιῆσαι, καὶ τόδε μὴ ποιῆσαι· οὐκ ἔτι δὲ καὶ ἐνεδυνάμου καὶ συνυπούργει πρὸς τὸ γίνεσθαι τὰ λεχθέντα. « Ἐπεισαγωγὴ δέ. » Ἀπὸ κοινοῦ τὸ γίνεται. « Κρείττονος ἐλπίδος. » Εἶχε μὲν γὰρ καὶ ὁ νόμος ἐλπίδα, ἀλλ' οὐ τοιαύτην, οἵα ἡ ἀντεισαχθεῖσα. Οἱ μὲν γὰρ πληροῦντες τὸν νόμον, ἤλπιζον ἕξειν τὴν γῆν. « Τὰ ἀγαθὰ γὰρ, φησὶ, τῆς γῆς φάγεσθε. » Ἡ δὲ διὰ Χριστοῦ ἐλπὶς τὴν βασιλείαν δίδωσι τῶν οὐρανῶν, καὶ τὸ ἐγγὺς στήσεσθαι Θεοῦ, καὶ λειτουργήσειν αὐτῷ μετὰ ἀγγέλων. « Καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας εἰσίν. » Καὶ τοσοῦτον, φησὶ, κρεῖττον ἀντεισήχθη

[33] Isa. I, 19.

ἐλπὶς, καθ' ὅσον ὁ Χριστὸς οὐ χωρὶς ὁρκωμοσίας γέγονεν ἱερεύς. Ἡ γὰρ ὁρκωμοσία τὸ ἀμετάθετον δηλοῖ τοῦ ἔσεσθαι αὐτὸν ἀρχιερέα εἰς τὸν αἰῶνα. « Οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας. » Εἶτα ἐκ τοῦ ἐλάττονος αἱ συγκρίσεις τῶν παρὰ Ἰουδαίοις ἱερέων καὶ τοῦ ἡμῶν ἀρχιερέως. « Διὰ τοῦ λέγοντος πρὸς αὐτόν. » Οἷον διὰ τοῦ Θεοῦ. Διὰ τοῦ Δαυὶδ γὰρ ὁ Θεὸς ἐλάλει. « Κατὰ τοσοῦτον κρείττονος. » Καθὸ, φησὶν, οἱ μὲν παρὰ Ἰουδαίοις ἱερεῖς δίχα ὅρκου, ὁ δὲ Χριστὸς μετὰ ὅρκου γέγονεν ἀρχιερεύς. Οὐκ ἂν δὲ τοῦτο γέγονε, φησὶν, εἰ μὴ μεγίστη ἦν ἡ διαφορά. Τοιγαροῦν καὶ τῆς νέας μεγίστη ἡ διαφορὰ πρὸς τὴν παλαιάν. « Ἔγγυος. » Οἷον ἐγγυητὴς, μεσίτης. « Καὶ οἱ μὲν πλείονες. » Καὶ κατὰ ἄλλον, φησὶ, τρόπον μείζων ἡμῶν ὁ ἀρχιερεὺς, οὐ μόνον διὰ τὸν ὅρκον, ἀλλὰ καὶ διὰ τὸ εἶναι αὐτὸν ἀτελεύτητον. « Διὰ τὸ, θανάτῳ κωλύεσθαι. » Κατὰ γὰρ θάνατον καὶ ἐναλλαγὴ, ἱερέως δηλονότι. « Παραμένειν. » Ἐν τῇ ἱερωσύνῃ δηλονότι. « Ἀπαράβατον. » Ἀδιάδοχον, ἀτελεύτητον. « Ὅθεν. » Ἐπειδὴ, φησὶν, ἀεὶ ζῇ. « Εἰς τὸ παντελές » Οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐκεῖ. Τοῦτο γὰρ τὸ *παντελὲς* καὶ *παντέλειον*. « Τοὺς προσερχομένους δι' αὐτοῦ. » Διὰ τῆς εἰς αὐτὸν πίστεως. « Πάντοτε ζῶν. » Διὰ τοῦτο, φησὶν, εἰς τὸ παντελὲς σώζει, διὰ τὸ πάντοτε ζῆν· σώζει δὲ, φησὶ, διὰ τοῦ ἐντυγχάνειν ὑπὲρ τῶν προσερχομένων τῷ Θεῷ καὶ Πατρί. « Εἰ; τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν. » Περὶ τοῦ κατὰ σάρκα Χριστοῦ εἴρηται τὸ ταπεινὸν τοῦτο. Ὅταν δὲ εἴπω κατὰ σάρκα, οὐ διαίρεσιν δηλῶ. Μὴ γένοιτο! ἀλλ' οἶδα αὐτὸν ἀδιαιρέτως, ἀσυγχύτως, ἐν μιᾷ ὑποστάσει προσκυνούμενον μετὰ τῆς ἰδίας αὐτοῦ σαρκός. Τί δὲ τὸ, Ἐντυγχάνειν; Οἷον, δέεται τοῦ Πατρὸς αὐτοῦ ὑπὲρ ἡμῶν. Ἐπειδὴ γὰρ εἶπεν αὐτὸν ἱερέα, ἴδιον δὲ ἱερέως τὸ δεῖσθαι ὑπὲρ τοῦ λαοῦ· διὰ τοῦτο εἶπε. Τὸ ἐντυγχάνειν. Ὅτι γὰρ τοῦτό ἐστιν, ὁ οἰκείᾳ αὐθεντίᾳ νεκροὺς ἐγείρων, καὶ ἁμαρτίας ἀφιείς, οὐκ ἂν εἰς τὸ σῶσαι ἐδεήθη τοῦ Πατρὸς, ὡς αὐτὸς ἀδύνατος ὢν οἰκείᾳ σῶσαι δυνάμει. — [OIKOYM.] Ἢ τὸ, ἐντυγχάνειν δέξαι, καθὼς τὸ, « Ἔχομεν αὐτὸν παράκλητον πρὸς τὸν Πατέρα. » Ἐξ αὐτῆς, φησὶ, τῆς ἐνανθρωπήσεως παρακαλεῖ καὶ προτρέπεται τὸν Πατέρα ἐλεεῖν ἡμᾶς.

A mum fieri, et ipsi una cum angelis ministrare ac sacrificare. « Atque hoc potiorem, quod non absque jurejurando res acta sit. » Tanto, inquit, meliorem quod non sine jurejurando factus sit Christus sacerdos. Jusjurandum enim immutabilitatem indicat, quod futurus sit pontifex in æternum. « Nam illi quidem citra jurejurandum. » **372** Deinde a minori comparationes facit sacerdotum qui apud Judæos erant, et nostri pontificis. « Per eum qui dixit ad illum. » Hoc est per Deum : nam per David locutus est Deus. « Tanto potioris testamenti. » Quatenus, inquit, sacerdotes Judæorum absque jurejurando, Christus vero cum jurejurando factus est pontifex. Id autem nequaquam factum fuisset, nisi maxima esset dissidentia et præcellentia. Itaque B novi ad vetus maxima est eminentia. « Sponsor. » Hoc est fidejussor, mediator. « Et illi quidem plures. » Alio quoque modo potior est noster pontifex, nempe non solum propter jusjurandum, verum etiam eo quod semper idem sit immortalis. « Ideo quod per mortem non sinerentur. » Ex morte et immutatione, sacerdotis videlicet. « Permanere, » Puta in sacerdotio. « Sempiternum. » Successione ac fine carens. « Unde. » Quandoquidem semper vivit. « Ad plenum. » Non in hoc tantum sæculo, sed etiam in futuro. Nam hoc sibi volunt παντελὲς et παντέλειον. « Qui per ipsum adeunt. » Per fidem quæ in ipsum est. « Semper vivens. » Propterea, inquit, ad plenum salvat, quia semper vivit. Per hoc autem C salvat quod pro his postulat qui ad Deum et Patrem accedunt. « Ut interpellet pro illis. » De Christo, ut est secundum carnem, dictum est verbum hoc humile. Cum autem secundum carnem dico, non divisionem significo. Absit ; sed scio ipsum indivise, inconfuse in una hypostasi adorari una cum carne sua. Quid est autem, Ut interpellet ? nempe ut Patrem suum precetur pro nobis. Quandoquidem enim ipsum dixit esse sacerdotem, proprium vero sacerdotis est precari pro populo propterea dixit : Ut interpellet. Quod autem idcirco dictum sit, manifestum est. Nam qui propria auctoritate mortuos excitat, peccata remittit, nequaquam Patre opus habet ut salvet, quasi ipse impotens esset qui sua ipsius potentia salvaret. — Quod ait : Ut interpellet, accipe velut id quod dicitur : « Habemus ipsum advocatum apud Patrem [84]. » Ex ipsa, inquit, incarnatione precatur et interpellat Patrem ut misereatur nobis.

Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος. Ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων θυσίας ἀναφέρειν, ἔπειτα ὑπὲρ τῶν τοῦ λαοῦ. Τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν. Ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, Υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.

D VII, 25-28. *Talis enim decebat ut esset nobis pontifex, pius, innocens, impollutus, segregatus a peccatoribus, et sublimior cœlis effectus, cui non sit quotidie necesse.* **373** *quemadmodum pontificibus, prius pro propriis peccatis victimas offerre, deinde pro peccatis populi. Nam id fecit semel cum semetipsum obtulit. Siquidem lex homines constituit pontifices habentes infirmitatem. Porro sermo jurisjurandi quod post legem fuit, Filium constituit in æternum consummatum.*

Ὁρᾷς ὅτι περὶ τοῦ κατὰ σάρκα ταῦτα λέγει Χρι-

Vides quod de Christo secundum carnem loqua-

[84] I Joan. II, 1

tur? Quomodo enim de divinitate diceret, Innocens ; hoc est, absque dolo ? Ait enim et alibi de Christo : « Neque dolus inventus est in ore ejus [11]. » — « Sublimior cœlis effectus. » Siquidem ad ipsum ascendit Paternum thronum. Quod autem ait, Effectus, an non clamat quod de carne ipsius hæc loquatur ? Deus namque Verbum semper fuit cœlis sublimior. « Cui non sit quotidie necesse. » Non ideo solum præcellit Judæorum sacerdotes quod sine peccato sit, verum etiam a modo sacrificii : quia non pro seipso primum offert, deinde pro peccatis populi, et quod unicam victimam semel obtulerit pro solius populi peccatis. « Quemadmodum pontificibus ; » Judæorum videlicet. « Nam id fecit semel. » Id, quidnam ? Ut pro populi peccatis semetipsum offerret victimam : nam pro seipso ne semel quidem fecit. Neque enim opus illi fuit, cum peccare non posset, ut pro seipso offerret. Ne igitur cum pontificem eum audis, existimes ipsum semper sacrificare. Siquidem ubi semel hoc fecisset, ad Paternum ascendit thronum ; ministri namque et sacerdotis est stare : sedere vero significat quod semel hostiam adduxerit, nempe proprium corpus, ac postmodum sederit, ut sibi ministretur ab incorporeis potestatibus. « Siquidem lex homines constituit. » Et quare non fuit illi necesse pro seipso hostias offerre, neque sæpius pro populo quemadmodum pontifices, sed satis fuit semel obtulisse ? Quare ? Quia sacerdotes quidem a lege designati peccato obnoxii sunt, ideo semper illis opus est et pro suis et pro populi peccatis offerre hostias. Deus autem per jusjurandum post legem factum, Christum filium suum creatum pontificem, constituit sacerdotem consummatum, neque similem iis qui juxta legem creantur sacerdotibus, **374** nempe imbecillitati ac peccato obnoxium, sed semel tanquam Filium Dei ac Deum . « Filium constituit in æternum consummatum. » Nam a communi intellectu Constituit supplendum est. Constituit, inquit, sacerdotem in æternum consummatum : hoc est, non qui nunc tantum sit sine peccato, sed et talis in perpetuum futurus est. Si ergo et Filius est et in æternum consummatus, quam ob causam futurum esset ut illi opus esset multis sacrificiis ?

στοῦ ; Πῶς γὰρ ἂν ἔλεγε περὶ τῆς θεότητος, Ἄκακος, τουτέστιν ἄδολος ; « Καὶ δόλος γάρ, φησὶν, οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. » — « Ὑψηλότερος τῶν οὐρανῶν γενόμενος. » Εἰς αὐτὸν γὰρ τὸν Πατρικὸν ἐκάθισε θρόνον. Τὸ δὲ, Γενόμενος, οὐ βοᾷ ὅτι περὶ τῆς σαρκὸς αὐτοῦ ταῦτα λέγει; ὁ γὰρ Θεὸς Λόγος, ἦν ἀεὶ ὑψηλότερος τῶν οὐρανῶν. « Ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην. » Οὐ μόνον, φησὶν, ἀπὸ τοῦ ἁμαρτητον αὐτὸν εἶναί ἐστιν ἡ διαφορὰ πρὸς τοὺς Ἰουδαίων ἱερέας, ἀλλὰ καὶ ἀπὸ τοῦ τρόπου τῆς θυσίας, ὅτι οὐχ ὑπὲρ ἑαυτοῦ προσφέρειν πρῶτον, ἔπειτα ὑπὲρ τοῦ λαοῦ, καὶ ὅτι ἅπαξ ἐποίησε τὴν θυσίαν ὑπὲρ τοῦ λαοῦ μόνον. « Ὥσπερ οἱ ἀρχιερεῖς. » Τῶν Ἰουδαίων δηλαδή. « Τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ. » Τοῦτο. Ποῖον ; τὸ ὑπὲρ τοῦ λαοῦ ἀνενέγκαι αὐτὸν θυσίαν. Ὑπὲρ γὰρ ἑαυτοῦ, οὔτε ἅπαξ πεποίηκεν. Οὐ γὰρ ἐδεῖτο, ἁναμάρτητος ὢν, ὑπὲρ ἑαυτοῦ ἀναγαγεῖν. Μὴ τοίνυν ἀρχιερέα αὐτὸν ἀκούων, νόμιζε αὐτὸν ἀεὶ ἱεράσθαι. Καὶ γὰρ τοῦτο ποιήσας ἅπαξ, λοιπὸν εἰς τὸν Πατρικὸν ἐκάθισε θρόνον. Λειτουργοῦ μὲν γὰρ καὶ ἱερέως, τὸ ἑστάναι. Τὸ δὲ καθῆσθαι δηλοῖ ὅτι ἅπαξ τὴν θυσίαν προσαγαγὼν, τουτέστι, τὸ ἴδιον σῶμα, λοιπὸν κεκάθικε· λειτουργούμενος ὑπὸ τῶν ἀσωμάτων δυνάμεων. « Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν. » Καὶ τίνος ἕνεκεν οὐκ ἐδεήθη, φησὶν, ὑπὲρ ἑαυτοῦ θυσίαν ἀναγαγεῖν, οὐδὲ ὑπὲρ τοῦ λαοῦ πολλάκις ὥσπερ οἱ ἀρχιερεῖς, ἀλλὰ ἅπαξ ἀνενέγκας ἠρκέσθη ; Διὰ τί ; Ὅτι οἱ μὲν ἀπὸ τοῦ νόμου προβαλλόμενοι ἱερεῖς, ὑπὸ ἁμαρτίας εἰσί. Διὸ δέονται ἀεὶ ὑπέρ τε ἑαυτῶν καὶ τοῦ λαοῦ ἀναφέρειν θυσίαν. Ὁ δὲ Θεὸς διὰ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον γενομένης προβαλλόμενος ἀρχιερέα τὸν Χριστὸν Υἱὸν ὄντα, αὐτὸν κατέστησεν ἱερέα τετελειωμένον, καὶ μὴ τὴν ἴσην τοῖς κατὰ τὸν νόμον ἱερεῦσι περικείμενον ἀσθένειαν καὶ ἁμαρτίαν, ἅπαξ ὡς Υἱὸν Θεοῦ καὶ Θεόν. « Εἰς τὸν αἰῶνα τετελειωμένον. » Ἀπὸ κοινοῦ, *Καθίστησιν ἱερέα*, φησὶν, εἰς τὸν αἰῶνα τετελειωμένον, τουτέστιν, οὐ νῦν ὄντα μόνον ἀναμάρτητον, ἀλλὰ καὶ εἰς τὸν αἰῶνα τοιοῦτον ἐσόμενον. Εἰ τοίνυν Υἱός τέ ἐστι καὶ εἰς τὸν αἰῶνα παντέλειος, τίνος ἕνεκεν ἤμελλε δεῖσθαι πολλῶν θυσιῶν.

VIII, 1-6. *Cæterum eorum quæ dicimus illud est caput, quod talem habemus pontificem, qui consedit ad dexteram throni majestatis in cœlis, sanctorum administrator ac veri tabernaculi, quod fixit Dominus et non homo. Omnis enim pontifex ad offerendum donaria et victimas constituitur : unde necesse est ut hic etiam habeat aliquid quod offerat. Nam si esset in terra, ne sacerdos quidem esset, ubi sunt sacerdotes qui offerant juxta legem donaria, qui quidem exemplari et umbræ deserviunt cœlestium : quemadmodum oraculo accepit Moses, cum esset absoluturus tabernaculum. Vide, inquit, ut facias omnia secundum exemplar quod ostensum est tibi in monte. Nunc*

Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις τοιοῦτον, ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης, ἐν τοῖς οὐρανοῖς τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς· ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος. Πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται. Ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ. Εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, οὐδ' ἂν ἦν ἱερεὺς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα, οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωϋσῆς μέλλων ἐπιτελεῖν τὴν σκηνήν. Ὅρα γὰρ, φησὶ, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν

[11] Isa. LIII, 9.

δειχθέντα σοι ἐν τῷ ὄρει. Νυνὶ δὲ διαφορωτέρας τέτυχε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.

« Κεφάλαιον δέ. » Ἀεὶ τὸ μέγιστον λέγει κεφάλαιον. « Τοιοῦτον ἔχομεν ἀρχιερέα. « Ἀναμίγνυσιν ἐνταῦθα τὰ ταπεινὰ τοῖς ὑψηλοῖς, ἵνα διὰ τῶν ταπεινῶν ὁδοποιήσῃ τοῖς ὑψηλοῖς. Ταπεινά, τὸ, ἀρχιερέα καὶ λειτουργόν. Ὑψηλά, τὸ, Ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ ἐν τοῖς οὐρανοῖς. « Τῶν ἁγίων λειτουργός. » Ἀρχιερεὺς, φησὶ, τῶν ἡγιασμένων παρ' αὐτοῦ ἀνθρώπων. Ἡμῶν γάρ ἐστιν ἀρχιερεύς. Εἰ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Πατρὸς, πῶς ἐστι λειτουργός; Λειτουργοῦ γὰρ ἴδιον, τὸ ἑστάναι καὶ λειτουργεῖν· τὸ δὲ καθῆσθαι, Θεοῦ, ᾧ ἡ λειτουργία ἀναφέρεται. Ἀλλ', ὡς εἴρηται, τὰ ταπεινὰ τοῖς ὑψηλοῖς μίγνυσιν, ἵνα διὰ μὲν τοῦ καθῆσθαι τὴν θεότητα δείξῃ, διὰ δὲ τοῦ λειτουργεῖν τὴν περὶ ἡμᾶς κηδεμονίαν καὶ ἀνθρωπότητα. Ἢ τοῦτο Λειτουργῶν καὶ τοῦτο Ἱερατεύων, τὸ τοὺς ἀνθρώπους ἀποκαθαίρειν τῶν ἁμαρτιῶν καὶ ἁγίους ποιεῖν. Τῷ γὰρ τοιούτῳ λειτουργῷ καὶ αὐτουργῷ τῶν ἁγίων, πρέπει ὡς Θεῷ ἀληθινῷ καὶ Υἱῷ, ἐκ δεξιῶν τοῦ Πατρὸς καθῆσθαι. « Καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς. » Σκηνὴν ἐνταῦθα τὸν οὐρανόν φησιν. Ἐπειδὴ γὰρ ἔλεγον ἴσως οἱ ἐξ Ἰουδαίων πιστοί· Εἰ ἀρχιερεύς ἐστι, ποῦ ἡ σκηνὴ ἐν ᾗ ἱερουργεῖ; δείκνυσιν εἶναι καὶ σκηνὴν, καὶ τὸ διάφορον αὐτῆς· ὡς πρὸς τὴν Ἰουδαϊκὴν σκηνὴν, δεῖξαι θέλων, φησὶν, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος. « Πᾶς γὰρ ἀρχιερεύς. » Ἐπειδὴ γάρ, φησὶν, ἴδιον ἱερέων τὸ προσφέρειν δῶρα καὶ θυσίας (ἐπὶ τούτῳ γὰρ καθίστανται), ἀναγκαῖον ἔχειν τι καὶ τὸν Χριστὸν ὃ προσενέγκῃ, θυσίας λέγω. Διὸ ἔσχε τὴν σάρκα τὴν ἰδίαν, ἣν καὶ προσήνεγκε. Τοῦτο δὲ εἶπεν, ἵνα μή τις λέγῃ, Εἰ ἀρχιερεύς ἐστιν εἰς τὸν αἰῶνα, διὰ τί ἀπέθανε; Διὰ τί; Ἵνα προσενέγκῃ θυσίαν ἑαυτόν. Δίχα γὰρ θυσίας, οὐδὲ ἀρχιερεὺς ἂν ἦν. « Ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ. » Οἷον τὸν Χριστόν.

« Εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς. » Τοῦτο δὲ ἦν, εἰ μὴ ἐτεθνήκει, μηδὲ ἐγερθεὶς ἀνελήφθη. Οὐδ' ἂν ἦν ἱερεύς. Ἦσαν γὰρ ἕτεροι, καὶ λοιπὸν ἦν στάσις ἐν τῷ πράγματι. Νῦν δὲ ἀπέθανε μὲν, ἵνα τὴν θυσίαν προσενέγκῃ. Ἀναστὰς δὲ ἐκ νεκρῶν ἀνελήφθη, ἵνα σχοίῃ τόπον τὸν οὐρανὸν, ἔνθα αὐτὸν ἱεράσθαι δεῖ. Ἱεράσθαι δὲ νόει, τὸ ἐντυγχάνειν ὑπὲρ ἡμῶν. Ταῦτα δὲ πάντα τὰ ταπεινὰ ῥήματα, διά τε τὴν ἀνθρωπότητα εἴρηκε, καὶ διὰ τὸ νηπιώδες τῶν ἀκουόντων. « Οἵτινες ὑποδείγματι. » Οἵτινες, ἱερεῖς τῶν Ἰουδαίων, φησί. Καὶ πῶς ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων; Προϊὼν λέγει· Ὅρα γάρ, φησὶ, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. Τὰ δὲ δειχθέντα αὐτῷ, οὐράνια ἦν. Ἦσαν δὲ καὶ λατρεῖαι, καὶ εὐχαὶ, καὶ θυσίαι, καὶ ἡ τῆς σκηνῆς κατασκευή. « Καθὼς κεχρημάτισται Μωϋσῆς. » Ἀκήκοεν, οἶδεν. « Κατὰ τὸν τύπον τὸν δειχθέντα σοι. » Εὐμαθεστέρα ἡ ὄψις τῆς ἀκοῆς. « Νυνὶ δὲ διαφορωτέρας. » Νυνὶ

vero hoc excellentius sortitus est ministerium, quo præstantioris est testamenti mediator, quod in præstantioribus promissis sancitum est.

« Illud est caput. » Semper id quod maximum est vocat caput. « Talem habemus pontificem. » Permiscet hoc loco humilia sublimibus, ut per humilia viam præstruat sublimibus. Humilia sunt pontificem esse et administratorem : sublimia, sedere ad dexteram Dei et in cœlis. « Sanctorum administrator. » Pontifex, inquit, hominum qui ab ipso sanctificati sunt ; noster enim est pontifex. Verum si ad dexteram Patris sedit, quomodo est administrator? Ministri namque proprium est stare ac ministrare ; sedere vero Dei cui ministerium exhibetur. Sed quemadmodum dictum est, humilia sublimibus permiscet, ut per sessionem quidem ostendat divinitatem, per ministerium vero providentiam erga nos et humanitatem. **375** Aut quod ait, Administrans et sacrificans, est homines a peccatis emundare et sanctos efficere ; hujusmodi enim ministerio sanctorum, ac formatione decet ut tanquam Deus verus ac Filius ad dexteram Patris sedeat. « Ac veri tabernaculi. » Tabernaculum hoc loco dicit cœlum. Quoniam enim dicerent fortassis credentes ex Judæis : Si pontifex, ubinam est tabernaculum in quo sacrificat? Ostendit etiam esse tabernaculum : et ipsius excellentiam supra Judaicum tabernaculum volens ostendere, ait ; Quod fixit Dominus, et non homo. « Omnis enim pontifex. » Quoniam proprium est, inquit, sacerdotibus offerre donaria et victimas, ad hoc enim constituuntur : necesse est Christo aliquid habere quod offerat, hostias dico ; ideo habuit propriam carnem, quam etiam obtulit. Hoc autem dixit, ne quis diceret : Si pontifex est in æternum, quare etiam mortuus est? Quare? Ut seipsum victimam offerret. Nam sine victima ne pontifex quidem fuisset. « Necesse est ut etiam hic habeat aliquid quod offerat. » Hic videlicet Christus.

« Nam si esset in terra. » Hoc autem esset, si mortuus non fuisset, neque resuscitatus assumptus fuisset. « Ne sacerdos quidem esset. » Essent enim alii, etiam seditio esset in hac re. Nunc vero mortuus quidem est ut victimam offerret, resurgens autem ex mortuis assumptus est, ut haberet locum ipsum cœlum, ubi illum sacrificare oportet. Sacrificare vero intellige, pro nobis interpellare. Porro hæc omnia verba humilia et propter humanitatem dixit et propter infantiam audientium. « Qui quidem exemplari. » Qui sacerdotes Judæorum. Et quomodo exemplari et umbræ deserviunt cœlestium? In progressu dicit. Vide, inquit, ut facias omnia secundum exemplar quod ostensum est tibi in monte ; quæ vero ipsi ostensa erant, fuerunt cœlestia, nempe et cultus et vota, et victimæ et exstructio tabernaculi. « Quemadmodum oraculo accepit Moses. » Sicut audivit vel intellexit. « Secundum exemplar quod ostensum est tibi. » Facilius docetur aspectus

quam auditus. « Nunc vero hoc excellentius. » Nunc autem quoniam non est in terra, inquit, sed in cœlo, præstantius sortitus est ministerium : hoc est ad excellentius ministerium est pontifex. Vide autem quomodo versatur, in humilibus propter imbecillitatem auditorum : **376** quod si alicubi dicat aliquid sublime, protinus ab illo discedit, veritus ne non recipiatur. « Quo præstantioris. » Tanto, inquit, præstantius est ministerium veteri, quanto etiam præstantius est novum testamentum cujus mediator est Christus; novum dicens testamentum fidem in ipsum, per quam fidem mediator fuit inter seipsum et Patrem. « Quod in præstantioribus promissis sancitum est. » Siquidem vetus testamentum bona terræ promittebat: novum vero, regnum cœlorum. Et ita præstantiores sunt ex isto promissiones : quia novum quidem inductum est, vetus autem ejectum. Propterea enim novum vincit, quia præstantius et de præstantioribus promissis datum est : manifestum est autem ubique præstantius esse quod præstantiora habeat promissa.

A δὲ, φησὶν, ἐπειδὴ μὴ ἔστιν ἐν τῇ γῇ, ἀλλ' ἐν τῷ οὐρανῷ, βελτίονος ἐπέτυχε λειτουργίας, τουτέστιν, ἐπὶ βελτίονα λειτουργίαν ἐστὶν ἀρχιερεύς. Ὅρα δὲ πῶς ἐνδιατρίβει τοῖς ταπεινοῖς διὰ τὸ τῶν ἀκουόντων ἀσθενές. Ὑψηλὸν δὲ εἶπου εἶπῃ, εὐθὺς ἀπαλλάττεται, δεδοικὼς μὴ οὐ παραδεχθῇ. « Ὅσῳ καὶ κρείττονός ἐστι. » Τοσούτῳ, φησὶν, ἐστὶν ἡ λειτουργία βελτίων τῆς παλαιᾶς, ὅσῳ καὶ ἡ διαθήκη ἡ νέα, ἧς μεσίτης ἐστὶν ὁ Χριστὸς, νέαν λέγων διαθήκην, τὴν εἰς αὐτὸν πίστιν, ἐν ᾗ πίστει ἑαυτῷ ἐμεσίτευσε καὶ τῷ Πατρί. « Ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. » Ἥτις διαθήκη, φησὶ, ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. Ἡ μὲν γὰρ παλαιὰ, τὰ ἀγαθὰ τῆς γῆς ἐπήγγελτο· ἡ δὲ νέα, βασιλείαν οὐρανῶν. Καὶ οὕτως κρείττονες αἱ ἐκ ταύτης B ἐπαγγελίαι, ὅτι ἡ μὲν εἰσηνέχθη, ἐκβέβληται δὲ ἡ παλαιά. Διὰ τοῦτο γὰρ ἡ νέα κρατεῖ, ὅτι βελτίων, καὶ ἐπὶ βελτίοσιν ἐπαγγελίαις δέδοται. Ἡ δὲ βελτίους ἔχουσα τὰς ἐπαγγελίας, ὅτι βελτίων ἐστὶ, παντί που δῆλον.

CAPUT X'.

Excellentia novi testamenti supra vetus propter propitiationem et sanctimoniam.

VIII, 7-9. *Et enim si prius illud tale fuisset ut nihil in eo possit reprehendi, haud quaquam fuisset secundo quæsitus locus. Nam incusans eos loquitur illis : Ecce dies veniunt, dicit Dominus, et consummabo super domum Israel et super domum Juda testamentum novum, non juxta testamentum quod* D *disposui patribus illorum in die cum apprehenderem manum illorum, ut educerem eos de terra Ægypti : quoniam ipsi non perstiterunt in testamento meo, et neglectui eos habui, dicit Dominus.*

Si nihil, inquit, illi defuit, si inculpatos habuit homines, quomodo ita abrogatum est? « Nam incusans eos. » Eos. Quos? Judæos qui in veteri testamento leges suscipiebant et gubernabantur. « Ecce dies veniunt. » Postquam per multa quæ promissa sunt astruxit novum **377** testamentum præstantius esse veteri, nunc apertius quoque veteris ejectionem suggillat : verum hoc non suis verbis agit, ne molestus sit, sed Jeremiam profert in medium : « In die cum apprehenderem. » In illo, inquit, die quo apprehendi manum ipsorum ut edu- C cerem eos de terra Ægypti. Ne suspicarentur testamenti ejectionem esse quod pactus est Deus cum Abraham: Nam hoc ad Christum factum erat : « Et semini tuo, inquit, qui est Christus[38]; » subjungit cujus testamenti rejectio fuerit. Ejus ait quod in Exodo per Mosen sancitum est. Dicendo enim : Non juxta testamentum illud, ostendit rejectum esse, tanquam diceret; Aliud dabo testamentum, non quale jam dedi; illud enim propter suam imbecillitatem a me rejectum est. « Quoniam ipsi non perstiterunt. » Quod hic dictum est veluti causa et responsio est, cur à Deo neglectui habiti

ΚΕΦΑΛ. ΙΑ'.

Ὑπεροχὴ τῆς δευτέρας διαθήκης ὑπὲρ τὴν προτέραν, ἐν ἁγιασμῷ καὶ ἁγιασμῷ.

Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. Μεμφόμενος γὰρ αὐτοῖς λέγει· Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθή- D *κην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. Ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος.*

Εἰ οὐδὲν εἶχε, φησὶν, ἐλλειπὲς, εἰ ἀμέμπτους ἐποίει τοὺς ἀνθρώπους, πῶς οὕτως διερρύη; « Μεμφόμενος γὰρ αὐτοῖς. » Αὐτοῖς. Τίσι; Τοῖς ἐν τῇ παλαιᾷ νομοθετουμένοις καὶ διευθυνομένοις Ἰουδαίοις. « Ἰδοὺ ἡμέραι ἔρχονται. « Μετὰ τὸ διὰ πολλῶν ἐν τοῖς ἄνω κατασκευάσαι τὴν νέαν τῆς παλαιᾶς ἀμείνω, νῦν φανερῶς καὶ τὴν ἐκβολὴν τῆς παλαιᾶς κωμῳδεῖ, ἀλλ' οὐκ ἀφ' ἑαυτοῦ τοῦτο ποιεῖ, ἵνα μὴ γένηται φορτικὸς, τὸν δὲ Ἱερεμίαν παραφέρει λέγοντα· « Ἐν ἡμέρᾳ ἐπιλαβομένου μου. » Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, φησὶν, ἐν ᾗ ἐπελαβόμην τῆς χειρὸς αὐτῶν C ἐπὶ τῷ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. Ἵνα μὴ ὑπονοήσωσι τῆς πρὸς τὸν Ἀβραὰμ διαθήκης εἶναι τὴν ἐκβολήν· εἰς Χριστὸν γὰρ ἐκείνη ἐγεγόνει· « Καὶ τῷ σπέρματί σου γὰρ, φησὶν, ὅς ἐστι Χριστός· » ἐπάγει ποίας διαθήκης γέγονεν ἐκβολή. Τῆς ἐν τῇ ἐξόδῳ, φησὶ, διὰ Μωσέως γενομένης. Τῷ γὰρ εἰπεῖν, Οὐ κατὰ τὴν διαθήκην ἐκείνην, δείκνυσιν ἐκβεβλημένην, ὡσεὶ ἔλεγεν· Ἄλλην δώσω διαθήκην, οὐχ οἵαν ἔδωκα ἤδη. Ἐκείνη γὰρ διὰ τὸ ἀσθενὲς αὐτῆς, ἐκβέβληται παρ' ἐμοῦ. « Ὅτι αὐτοὶ οὐκ ἐνέμειναν. » Ὥσπερ ἀπολογία ἐστὶ τῆς ἀμελείας τοῦ Θεοῦ τὸ εἰρημένον. Ὅτι, φησὶν, αὐτοὶ οὐκ ἐνέμειναν ἐν

[38] Galat. III, 6

τῇ διαθήκῃ μου. Ἤρξατο γὰρ ἐξ αὐτῶν ἡ παρακοή, καὶ οὕτως ἡ τοῦ Θεοῦ ἀμέλεια ἐπηκολούθησεν.

sint. Quoniam ipsi, inquit, non perstiterunt in testamento meo. Ab ipsis namque cœpta est inobedientia, et ita consecutum est ut a Deo neglectui haberentur.

Ὅτι αὕτη ἡ διαθήκη μου ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς. Καὶ ἔσομαι αὐτοῖς εἰς Θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, Γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν, ἕως μεγάλου αὐτῶν, ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. Ἐν τῷ λέγειν καινὴν, πεπαλαίωκε τὴν πρώτην. Τὸ δὲ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ.

VIII, 10-13. *Nam hoc est testamentum quod disponam domui Israel post dies illos, dicit Dominus, dans leges meas in mentem illorum, et in corde eorum inscribam illas : et ero ipsis Deus, et ipsi erunt mihi populus. Et non docebunt, quisque proximum suum et unusquisque fratrem suum, dicens: Cognosce Dominum, quia omnes cognoscent me a pusillo inter illos usque ad maximum inter illos ; quoniam placatus ero super injustitiis ipsorum, et peccatis eorum, et iniquitatum eorum non recordabor amplius. Per hoc quod dicit novum, antiquavit prius. Porro quod antiquatur ac senescit, in propinquo est ut evanescat.*

« Ὅτι αὕτη ἡ διαθήκη. » Αὕτη. Ποία; Ἡ νέα δηλαδή. « Μετὰ τὰς ἡμέρας ἐκείνας. » Ποίας ἡμέρας; Τὰς τῆς ἐξόδου, ἐν αἷς ἔλαβον τὸν νόμον. « Διδοὺς νόμους μου. » Ἣν διαθήσομαι, διδοὺς νόμους μου. « Καὶ ἐπὶ καρδίας αὐτῶν. » Οὐδὲ γὰρ ἐν γράμμασι νομοθετηθεῖσαν τὴν νέαν παρελάβομεν, ἀλλὰ διὰ Πνεύματος ἁγίου. Καὶ τοῦτο δηλοῖ ὁ Χριστὸς λέγων τοῖς ἀποστόλοις, « Ἐκεῖνος (τουτέστιν, ὁ Παράκλητος) ἐλθὼν, ἀναμνήσει ὑμᾶς καὶ διδάξει ὑμᾶς πάντα. » Ὁρᾷς ὅτι οὐκ ἐν γράμμασιν ἡ νέα, ἀλλὰ διὰ Πνεύματος ἁγίου; Λογίζου οὖν ὅση καὶ ἡ ὑπεροχὴ τῆς νέας. « Καὶ ἔσομαι αὐτοῖς εἰς Θεόν. » Ὅτι γὰρ τοῦτο ἔστιν, ἔνθεν δῆλον. Τίς μετέπεισθεν εὐχερῶς τινα ἐν τῇ παλαιᾷ ἀποστῆναι τῆς ἰδίας δεισιδαιμονίας; τοὐναντίον μὲν οὖν ἀπὸ τῆς θεογνωσίας ὁ Ἰσραὴλ, εἰς τὴν πλάνην μετετίθετο. « Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ. » Διδαχὴν ἐνταῦθα, τὴν ἐπιπονωτέραν διδασκαλίαν λέγει. Ἰδοὺ γὰρ ὁρῶμεν ὅτι οὔτε πλειόνων λόγων χρεία πρὸς τοὺς ὑγιαίνοντας τὸν νοῦν, εἰς τὸ πεῖσαι πιστεύειν Χριστῷ. Θεοδίδακτοι γὰρ ἅπαντές εἰσιν ἄνθρωποι. Ἐπὶ γὰρ ταῖς καρδίαις ἡμῶν, τοὺς νόμους αὐτοῦ ἔγραψεν ὁ Χριστός. « Ὅτι πάντες εἰδήσουσί με. » Ἡ μὲν γὰρ Ἰουδαϊκὴ γνῶσις καὶ πίστις, εἰς μίαν τῆς οἰκουμένης γωνίαν ἀποκέκλειστο, τὴν Παλαιστίνην. Ἡ δὲ τῶν Χριστιανῶν, ἅπασαν ἐπελάβετο τὴν γῆν. « Ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν. » Ταῖς προγενομέναις. Ἵλεως δὲ γίνεται, ἀφεὶς ἡμῖν αὐτὰς ἐν τῷ βαπτίσματι. « Καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. » Τῶν γὰρ ἐν τῷ βαπτίσματι ἀφεθεισῶν, οὐκ ἔτι μεμνήσεται. « Ἐν τῷ λέγειν καινήν. » Αὐτὸ γὰρ τὸ ὅλως ὀνομάσαι καινὴν, τὴν πρώτην παλαιὰν ἐποίησεν. « Τὸ δὲ παλαιούμενον καὶ γηράσκον. » Νῦν λαβὼν παῤῥησίαν παρὰ τοῦ προφήτου, καὶ αὐτὸς ἀποφαίνεται. Αὕτη μὲν, φησὶ, καινὴ, παλαιὰ δὲ ἐκείνη. Τὸ δὲ παλαιούμενον ἠφάνισται, φησί. Τοιγαροῦν καὶ ἐκβέβληται, καὶ καταλέλυται ἐκ τοῦ γήρως· ὡς εἰ ἔλεγεν· Οὐκ ἀκαίρως κατέπαυσεν ἡ νέα τὴν παλαιὰν, ἀλλὰ διὰ τὸ γῆρας καὶ τὴν παλαιότητα αὐτῆς, τουτέστι διὰ τὸ ἀσθενὲς καὶ ἀνωφελές. « Τὸ

« Nam hoc est testamentum. » Hoc. Quodnam? novum videlicet. « Post dies illos. » Quos dies? Dies egressionis quibus legem acceperunt. « Dans leges meas. » Quod disponam dans leges meas. « Et in corde eorum. » Neque enim litteris sanctum novum testamentum accepimus, sed per Spiritum sanctum. Et hoc manifestat Christus dicens Apostolis : « Ille, nempe Paracletus, cum venerit, suggeret vobis et docebit vos omnia[36]. » Vides novum non dari in litteris, **378** sed per Spiritum sanctum? Considera igitur quanta sit præstantia novi testamenti. « Et ero ipsis Deus. » Nam quod ita sit, hinc manifestum est. Quis unquam facile persuasit in veteri testamento, ut discederet quispiam a sua superstitione? quin potius e diverso a Dei cognitione transmutatus est Israel ad errorem. « Et non docebunt, quisque proximum suum. » Doctrinam appellat hoc loco plenam laboris exhortationem. Ecce enim videmus ne multis quidem opus esse sermonibus apud illos qui sani sunt mente, ad persuadendum ut credant in Christum. Siquidem omnes homines sunt a Deo edocti ; nam Christus in cordibus nostris scripsit leges suas. « Quia omnes cognoscent me. » Judaica namque cognitio et fides in unum orbis angulum conclusa erat, nempe Palæstinam : Christianorum vero universam apprehendit terram. « Quoniam placatus ero super injustitiis ipsorum. » Quæ præcesserunt. Placatus autem efficitur, cum illas nobis ignoscit in baptismate. « Et iniquitatum eorum non recordabor amplius. » Siquidem earum quæ in baptismate remissæ sunt, non reminiscitur amplius. « Per hoc quod dicit novum. » Illud namque omnino in causa fuit, cur hoc vocaretur novum, primum autem vetus. « Porro quod antiquatur ac senescit. » Accepta nunc loquendi libertate a propheta, etiam ipse enuntiat suamque fert sententiam. Hoc, inquit, novum est, illud autem vetus : porro quod veterascit, jam emarcuit : itaque etiam rejectum est, et præ senectute dissolutum. Tan-

[36] Joan. XIV, 26.

quam diceret : Non intempestive novum testamentum cessare fecit vetus, sed propter illius senectutem ac vetustatem, hoc est propter imbecillitatem ac inutilitatem. « Quod impossibile erat legi, » ait alibi, ea parte qua imbecillis erat per carnem [37]. »

A γαρ ἀδύνατον, φησὶν ἀλλαχοῦ, τοῦ νόμου, » ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός.

IX, 1-5. *Habebat itaque etiam prius illud tabernaculum justificationes cultus ac sanctum mundanum. Siquidem tabernaculum exstructum fuit primum, in quo erat et lucerna et mensa et propositio panum, quæ vocant sancta. Post secundum autem velum erat tabernaculum, quod vocatur Sanctum sanctorum, aureum habens thuribulum, et arcam testamenti undique circumtectam auro, in qua erat urna aurea habens manna, et virga Aaron quæ germinaverat,* **379** *et tabulæ testamenti. Supra hanc autem Cherubim gloriæ obumbrantia propitiatorium : de quibus non est nunc dicendum singulatim.*

Εἶχε μὲν οὖν καὶ ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό τε ἅγιον κοσμικόν. Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται ἁγία. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα, σκηνὴ ἡ λεγομένη, Ἅγια ἁγίων χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης. Ὑπεράνω δὲ αὐτῆς, Χερουβὶμ δόξης B *κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος.*

Ostendit in superioribus ex mutatione sacerdotis, sacrificii et testamenti, quod finem acceperit vetus, quodque novum multis nominibus sit illo melius ; nunc ostendere vult ex ipsa dispositione tabernaculi quod illa fuerint figura verorum : porro figura finem sumit ubi veritas accedit. Quod ait : « Habebat, » significat quod nunc non habeat. Itaque quanquam non omnino cessaverit, eo quod nonnulli adhuc ipsi hæreant, attamen justificationes non habet. — *Alio modo.* Quod ait : Habebat quidem prius justificationes cultus, non de tabernaculo dictum esse arbitror, sed de ipso veteri testamento. Neque enim tabernaculum conferebat C cum novo testamento, sed totum vetus testamentum cum novo, et supra totum illud ostendebat hujus excellentiam. Nam, « Ecce (inquit) dies veniunt, et consummabo super domum Israel et super domum Juda testamentum novum, non juxta testamentum quod disposui patribus illorum. » Et rursum: « Per hoc quod dicit, novum, antiquavit prius. » Et his dictis subjungit; « Habebat itaque etiam prius. » Manifestum ergo quod de testamento adhuc ipsi sermo est. Quoniam enim depresserat ipsum comparatione ad novum, ne quis diceret, quod non semper abjectum fuerit, prævenit dicens quod habebat etiam illud justificationes cultus, leges et ordinem, ac ea quæ decentem Dei cultum consequuntur. Ubi autem in genere dixit quod habebat D justificationes cultus, recenset etiam particulatim, incipiens a tabernaculo. « Habebat, inquit, sanctum mundanum ; » deinde post sanctum mundanum et quod patebat omnibus, habebat rursum aliud tabernaculum, præordinatum ad secretius adhuc et sanctius tabernaculum. Et in priori quidem erat lucerna ac propositio panum : quod tabernaculum non dicitur sanctum mundanum, sicut illud quod primum erat omnium tabernaculorum, sed simpliciter sancta. Post illud autem tabernaculum. Primum dixit, veluti conferendo ad sanctum sanctorum, quoniam non erat primum sed medium. Primum

Ἔδειξεν ἄνω ἀπὸ τῆς ἐναλλαγῆς τοῦ ἱερέως, τῆς ἱερωσύνης, τῆς διαθήκης, ὅτι τέλος εἴληφεν ἡ παλαιὰ, καὶ ὅτι ἀμείνων ἐκείνης ἡ νέα πολλοῖς τρόποις· νῦν δεῖξαι θέλει ἐξ αὐτοῦ τοῦ σχήματος τῆς σκηνῆς, ὅτι τύπος ἦν ἐκεῖνα τῶν ἀληθινῶν. Ὁ δὲ τύπος, τῆς ἀληθείας ἐπιστάσης, τέλος λαμβάνει. Τὸ, « Εἶχε, » δηλοῖ, ὅτι νῦν οὐκ ἔχει. Ὥστε εἰ καὶ μὴ παντελῶς ἐπαύσατο διὰ τὸ, τινὰς αὐτῇ ἔτι στοιχεῖν, τὰ μέντοι δικαιώματα οὐκ ἔχει. — Ἄλλως. [ΦΩΤ.] Τὸ, Εἶχε μὲν ἡ πρώτη δικαιώματα λατρείας, οὐ περὶ τῆς σκηνῆς εἰρῆσθαι νομίζω, ἀλλὰ περὶ αὐτῆς τῆς παλαιᾶς διαθήκης. Οὐ γὰρ τὴν σκηνὴν τῇ νέᾳ συνέκρινε διαθήκῃ, ἀλλ' ὅλην τὴν παλαιὰν διαθήκην τῇ νέᾳ, καὶ πρὸς ὅλην ἐκείνην ταύτης ἐδείκνυ τὴν ὑπεροχήν. « Ἰδοὺ γὰρ, φησὶν, ἡμέραι ἔρχονται, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν. » Καὶ πάλιν· « Ἐν τῷ λέγειν καινὴν, πεπαλαίωκε τὴν πρώτην. » Καὶ ταῦτα εἰπὼν, ἐπάγει· « Εἶχε μὲν οὖν καὶ ἡ πρώτη. » Ὥστε δῆλον, ὅτι περὶ τῆς διαθήκης αὐτῷ ἔτι ὁ λόγος. Ἐπεὶ γὰρ κατέβαλεν αὐτὴν τῇ πρὸς τὴν νέαν παραθέσει, ἵνα μή τις εἴπῃ, ὅτι Οὐκοῦν ἀεὶ ἀπόβλητος ἦν, προλαβὼν, φησὶ, ὅτι εἶχε κἀκείνη δικαιώματα λατρείας, νόμους, φησὶ, καὶ τάξιν καὶ ἀκολουθίαν ἐμπρέπουσαν λατρείᾳ Θεοῦ. Εἰπὼν δὲ κατὰ γένος ὅτι εἶχε δικαιώματα λατρείας, ἐπεξέρχεται καὶ κατὰ μέρος ἀρξάμενος ἀπὸ τῆς σκηνῆς. « Εἶχε, φησὶ, τὸ ἅγιον κοσμικόν. » Εἶτα μετὰ τὸ ἅγιον τὸ κοσμικὸν καὶ πᾶσι βατὸν, εἶχε πάλιν ἑτέραν σκηνὴν, προτεταγμένην τῆς μυστικωτέρας ἔτι καὶ ἁγιωτέρας σκηνῆς. Καὶ ἐν μὲν τῇ προτεταγμένῃ, ἥ τε λυχνία καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις σκηνὴ, οὐ λέγεται κοσμικὸν ἅγιον, ὥσπερ ἡ πασῶν σκηνὴ πρώτη, ἀλλ' ἁπλῶς ἁγία. Μετ' ἐκείνην δὲ σκηνή.—[ΟΙΚΟΥΜ.] Ἡ πρώτη, εἶπεν, ὡς πρὸς τὰ ἅγια τῶν ἁγίων, ἐπεὶ οὐκ ἦν πρώτη, ἀλλὰ μέση. Πρώτη γὰρ ἦν, ἔνθα τὸ χαλκοῦν θυσιαστήριον τῶν θυσιῶν καὶ τῶν ὁλοκαυτωμάτων. Δευτέρα αὕτη, περὶ ἧς φησιν, Ἐν ᾗ ἡ λυχνία, καὶ ἡ πρόθεσις τῶν ἄρτων ἐν τῇ τραπέζῃ. Τρίτη, ἐν ᾗ τὸ

[37] Rom. VIII, 3.

χρυσοῦν θυμιατήριον καὶ ἡ κιβωτὸς τῆς διαθήκης. « Δικαιώματα λατρείας. » Σύμβολα, θεσμοὺς λατρειῶν καὶ εὐχῶν. « Τό τε ἅγιον κοσμικόν. » Κοσμικὸν αὐτὸ λέγει, διὰ τὸ πᾶσιν ἐξεῖναι εἰσιέναι. Ἅγιον δὲ ἐνταῦθα καλεῖ τὸν ναὸν εἰκότως, ἐν ᾧ τὴν λειτουργίαν ἀποδίδοσθαι τῷ Θεῷ συνέβαινεν, εἴτε καὶ τὴν σκηνήν, ἐπειδὴ ταύτην ἐν τάξει τοῦ ναοῦ πρότερον εἶχον, οὕτως αὐτὴν καλοῦντες. Καὶ τοῦτο μαθεῖν ἔστιν ἀπὸ τῆς πρώτης τῶν Βασιλειῶν σαφῶς λεγούσης· « Καὶ Σαμουὴλ ἐκάθευδεν ἐν τῷ ναῷ Κυρίου, οὗ ἦν ἡ κιβωτὸς τοῦ Θεοῦ. » Τὸ οὖν ἅγιον, φησὶν, ἐπὶ τῆς παλαιᾶς διαθήκης ἦν κοσμικὸν, ἵνα εἴπῃ ὅτι κατεσκεύαστο ὁ ναὸς εἰς τύπον τοῦ κόσμου. Πεπλήκε μὲν οὖν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ὡς ὁ Μωϋσῆς φησιν, ἐν ἀρχῇ, οὐρανὸν τὸν ἀνώτερον λέγων, τῇ δευτέρᾳ ἡμέρᾳ, τὸν ὁρώμενον τοῦτον οὐρανὸν ἐν μέσῳ τῶν ὑδάτων ὑποστῆναι παρασκευάσας· ὥστε καὶ ὑψωθέντα ἔχειν ἐπὶ νότου τὰ ὕδατα. Ὥσπερ οὖν σύμβολον τοῦ κόσμου κατασκευάσαι κατά τινα τύπον Μωσεῖ κελεύων ὁ Θεὸς, τὴν σκηνὴν προστέταξεν αὐτῷ· « Περίβολον ποιήσεις ἀπὸ τῶν καταπετασμάτων, μέσῳ διειλημμένον ἑτέρῳ. » Οὕτω δὴ καὶ ὁ ναὸς κατὰ τὸν αὐτὸν ὕστερον ἐγένετο τύπον. Καὶ ἦν ὁ πᾶς οἶκος μέσῳ διειλημμένος τοίχῳ, ὥστε τὸν μὲν ἐκτὸς οἶκον, ἐν ᾧ δεῖ τοὺς ἱερεῖς τὴν διὰ τῶν θυσιῶν θεραπείαν καὶ τῶν λοιπῶν δὴ πάντων ἀποδιδόναι τῷ Θεῷ, συνέβαινε σύμβολον εἶναι τούτου δὴ τοῦ περὶ γῆν τόπου, ἐφ' οὗ διάγειν νῦν ἡμᾶς συμβέβηκε· τὸν δὲ ἐνδότερον, ἐν ᾧ τὸν ἀρχιερέα ἅπαξ μόνον τοῦ ἐνιαυτοῦ εἰσιέναι ἐχρῆν, σύμβολον τῶν ὑπερουρανίων, ἐν οἷς τὸν Θεὸν ἐδόξαζον οἰκεῖν οἱ Ἰουδαῖοι.— « Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη. » [ΟΙΚΟΥΜ.] Τρεῖς ἐσημειωσάμην εἰς τὴν Ὀκτάτευχον σκηνὰς οὔσας· μίαν μὲν, περὶ ἧς φησι τὸ ἅγιον κοσμικὸν, ἔνθα ἦν τὸ χαλκοῦν θυσιαστήριον τῶν ὁλοκαυτωμάτων, καὶ παντὶ ἐξῆν τῷ λαῷ εἰσιέναι, καὶ τὰς θυσίας ἐπιτελεῖν· δευτέραν δὲ, ἔνθα τοῖς ἱερεῦσιν ἐξῆν ἀεὶ τὰς λατρείας ἐπιτελεῖν, ἔνθα ἦν ἡ λυχνία καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων· τρίτην, ἔνθα ἦν τὸ θυμιατήριον καὶ ἡ κιβωτὸς, ἐν ᾗ ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσῄει μόνος ὁ ἀρχιερεύς. « Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα. » Ἄρα οὐκ ἦν ἓν μόνον καταπέτασμα. *Σκηνὴν* δὲ πανταχοῦ καλεῖ, παρὰ τὸ σκηνοῦν ἐκεῖ. « Τὴν κιβωτὸν τῆς διαθήκης. » Τὴν φέρουσαν τὰ τῆς διαθήκης σύμβολα, οἷον τὰς πλάκας τοῦ νόμου, καὶ τὰ ἄλλα. « Ἐν ᾗ στάμνος χρυσῆ. » Πάντα ταῦτα ἦν ἐν τῇ κιβωτῷ, τὴν ἀγνωμοσύνην τῶν Ἰουδαίων ἐλέγχοντα. Ἡ μὲν ῥάβδος, διὰ τὴν τοῦ Ἀαρὼν ἐπανάστασιν· αἱ δὲ πλάκες, διὰ τὸ πρόφασιν γενέσθαι τοὺς Ἰουδαίους κατεαγῆναι τὰς πρώτας· τὸ δὲ μάννα, διὰ τὸ τρώγοντας ἀπογογγύζειν. Ἔδει οὖν καὶ εἰς ἐκγόνους ταῦτα τὰ σύμβολα παραπεμφθῆναι πρὸς φόβον αὐτῶν. « Ὑπεράνω δὲ αὐτῆς. » Τῆς κιβωτοῦ. « Χερουβὶμ δόξης, » ἤ τὰ ἔνδοξα, ἤ τὰ ὄντα τῆς δόξης, τουτέστιν, τοῦ Θεοῦ. « Κατασκιάζοντα τὸ ἱλαστήριον. » Ἦν γὰρ ἐπάνω τῆς κιβωτοῦ, ὡσανεὶ τράπεζά τις τετράγω-

namque erat illud ubi situm erat æneum altare victimarum et holocautomatum; secundum hoc, de quo ait: **380** In quo erat lucerna et propositio panum in mensa. Tertium in quo aureum thuribulum et arca testamenti. « Justificationes cultus; » hoc est symbola sacrosque cultus rituum et votorum. « Ac sanctum mundanum. » Mundanum dicit ipsum eo quod omnibus liceret illud ingredi. Hic autem templum merito vocat sanctum in quo Deo sacrificia offerebantur, sive etiam tabernaculum, quoniam hoc habebant primum in ordine templi, ita illud appellantes. Idque discere licet ex primo Regum qui aperte dicit: « Et Samuel dormiebat in templo Domini in quo erat arca Dei [88]. » Sanctum igitur in veteri testamento erat mundanum; veluti dicendo quod exstructum erat templum in figuram mundi. Fecit itaque Deus cœlum et terram, quemadmodum Moses dicit [89], in initio: cœlum dicens superius, secundo die visibile hoc cœlum conditum constituisse in medio aquarum, atque ita habere elevatas aquas ad austrum. Tanquam symbolum igitur mundi jubens Deus Mosi ut exstrueret juxta typum quemdam tabernaculum, præcepit ei dicens: « Facies porticum quæ dividatur ab altera media per vela sive cortinas [90]. » Ita sane templum juxta eumdem sequentem typum factum est. Eratque universum ædificium medio pariete divisum, ut exterior quidem exstructio, in qua oportebat sacerdotes cultum sacrificiorum cæterorumque omnium exhibere Deo, symbolum sane esset hujus loci qui circa terram est, qui nobis nunc contigit ut in eo viveremus: interior vero in qua pontificem semel in anno ingredi oportebat, symbolum cœlestium, in quibus Deum habitare existimabant Judæi. — « Siquidem tabernaculum exstructum fuit primum. » Tria annotavi in Octateuchum fuisse tabernacula: unum quidem de quo ait Sanctum mundanum, ubi erat æneum altare holocautomatum; et universo populo licitum erat illud ingredi ac offerre victimas; secundum autem, in quo sacerdotibus licebat semper cultus perficere, ubi erat lucerna et mensa ac propositio panum. Tertium, ubi erat thuribulum et arca; in quod ingrediebatur semel in anno solus pontifex. « Post secundum autem velum. » Sane non unicum erat velum. Vocat autem ubique σκηνήν, id est, tentorium sive tabernaculum, ἀπὸ τοῦ σκηνοῦν, id est, ab inhabitando in illis. **381** « Arcam testamenti. » Quæ symbola servabat testamenti, nempe tabulas legis et alia. « In qua erat urna aurea. » Omnia hæc erant in arca, quæ ingratitudinem convincerent Judæorum: virga quidem, propter seditionem in ordinatione Aaron; tabulæ vero, eo quod Judæi occasio fuissent cur priores confringerentur; manna autem ideo quod edentes illud murmurassent. Oportuit igitur ut hæc ad nepotes quoque pro terrore transmitterentur. « Supra hanc

[88] I Reg. II, 3. [89] Gen. I, 1 seqq. [90] Exod. XXVI, 4.

autem, » nempe arcam. « Cherubim gloriæ, » aut gloriosa, aut quæ erant gloriæ, nempe Dei. « Obumbrantia propitiatorium. » Erat enim super arcam velut quadrangularis quædam mensa aurea, quod propitiatorium dicebatur, figurans Christum qui dicitur nobis propitiatio [41] et redemptio [42]. Vide in Exodo præscriptionem in his locis. « De quibus non est nunc dicendum. » Vult ostendere quod A νος χρυσῆ, ὅπερ ἱλαστήριον ἐκαλεῖτο, τυποῦσα τὸν Χριστὸν, τὸν λεγόμενον ἡμῖν ἱλασμὸν καὶ ἀπολύτρωσιν. Ὅρα τὴν ἐν τῇ Ἐξόδῳ παραγραφὴν, ἐν τοῖς περὶ τούτων τόποις. « Περὶ ὧν οὐκ ἔστι νῦν λέγειν. » Θέλει δεῖξαι ὅτι αἰνίγματά τινα ἦν τὰ ὁρώμενα, καὶ τύποι τῶν ἀληθινῶν. Οὐκ ἔστιν οὖν νῦν, φησὶ, κατὰ μέρος λέγειν περὶ αὐτῶν. Πλειόνων γὰρ δέονται λόγων, ἢ κατὰ τὴν παροῦσαν ὁρμήν.

enigmata quædam erant ea quæ videbantur ac figuræ verorum. Non datur igitur nunc inquit, ut singulatim de ipsis loquamur : pluribus enim opus habent sermonibus quam præsenti expediat proposito.

IX, 6, 7. *His autem ad hunc modum ordinatis, in prius quidem tabernaculum semper ingrediuntur sacerdotes, qui sacrorum ritus peragant : in secundum autem semel quotannis solus pontifex non sine sanguine, quem offert pro seipso et pro populi ignorantiis.*

Et ita fiebat ut ne viderent quidem Judæi quæ fierent, prohibente id velo. Itaque non magis ipsis serviebant quam illis quibus præfigurabatur, hoc est nobis. « Semel quotannis solus pontifex. » Quoniam offendebat ipsos cum infantes adhuc essent, quod unica Christi victima potuerit solvere mundi peccata, ostendit quod in veteri quoque testamento id fuerit, quod erat figura novi. In Exodo ubi habentur hæc loca, dicitur [43] quod bis singulis diebus ingrediebatur pontifex Sancta sanctorum, oblaturus incensum. Scriptum est autem hoc modo : « Et adolebit super illud » (nempe super altare aureum incensi quod erat in Sanctis sanctorum) Aaron incensum compositionis comminutæ : summo diluculo, quando adaptaverit lucernas adolebit super illud, et quando accenderit Aaron **382** lucernas vesperi adolebit incensum perpetuum. Quomodo ergo ait hoc loco divus Paulus, « Semel quotannis solus pontifex? » Et dicimus quod cum sanguine quidem ingrediebatur semel quotannis : quemadmodum etiam prædicto Exodi loco dicitur : ad adolendum vero, bis diebus singulis. Etenim etiam hic addit : « Non sine sanguine, » id est cum sanguine; ut sit iste sensus : Semel quotannis pontifex cum sanguine non cum incenso. « Non sine sanguine. » Cum victimis, inquit. Itaque id etiam quod de sanguine dicit, Christi figura erat : « Quem offert pro seipso. » Ubique addit, Pro seipso, ostendens Christi excellentiam supra pontificem Judæorum. « Et pro populi ignorantiis. » Etiam hinc excellentiam ostendit quod victimæ quidem secundum legem oblatæ, pro ignorantiis offerebantur : condonabant enim peccata quæ per ignorantiam commissa erant : Christi vero victima, etiam quæ scientes commisimus.

IX, 8-10. *Illud significante Spiritu sancto nondum manifestatam esse sanctorum viam, adhuc priore tabernaculo consistente : quæ erat similitudo ad tempus quod instabat, secundum quam dona et sacrificia offerebantur, quæ non poterant juxta conscientiam perfectum reddere cultorem, in cibis duntaxat et potionibus, et diversis ablutionibus*

Τούτων δὲ οὕτως κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἰσιασιν οἱ ἱερεῖς B *τὰς λατρείας ἐπιτελοῦντες, εἰς δὲ τὴν δευτέραν, ἅπαξ τοῦ ἐνιαυτοῦ, μόνος ὁ ἀρχιερεὺς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.*

Καὶ συνέβαινε τοὺς Ἰουδαίους μήτε ὁρᾷν τὰ γινόμενα, διείργοντος τοῦ καταπετάσματος. Ὥστε οὐκ ἐκείνοις μᾶλλον ἦν, ἢ οἷς προετυποῦτο, τουτέστιν ἡμῖν. « Ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς. » Ἐπειδὴ προσίστατο αὐτοῖς ἔτι νηπίοις οὖσι, πῶς ἴσχυσε μία θυσία ἡ τοῦ Χριστοῦ, ῥύσασθαι τὰς τοῦ κόσμου ἁμαρτίας; Δείκνυσι καὶ ἐν τῇ παλαιᾷ τοῦτο ὄν, ἥτις ἦν τύπος τῆς νέας. Ἐν τῇ Ἐξόδῳ ἐν τοῖς περὶ τούτων τόποις φησὶ, ὅτι δὶς τῆς ἡμέρας εἰσῄει ὁ ἀρχιερεὺς τοῖς Ἁγίοις τῶν ἁγίων θυμιάσων. Γέ- C γραπται δὲ οὕτως· « Καὶ θυμιάσει ἐπ' αὐτοῦ, (τουτέστιν, ἐπὶ τοῦ χρυσοῦ θυμιατηρίου ὃ ἦν ἐν τοῖς Ἁγίοις τῶν ἁγίων) ὁ Ἀαρὼν θυμίαμα συνθέσεως λεπτῆς τὸ πρωῒ πρωΐ, ὅταν ἐπισκευάζῃ τοὺς λύχνους, θυμιάσει ἐπ' αὐτοῦ. Καὶ ὅταν ἅπτῃ Ἀαρὼν τοὺς λύχνους τὸ ὀψὲ θυμιάσει θυμίαμα ἐνδελεχισμοῦ. » Πῶς οὖν ὧδέ φησιν ὁ ἅγιος Παῦλος, « Ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς; » Καὶ φαμεν, ὅτι μετὰ αἵματος μὲν ἅπαξ εἰσῄει τοῦ ἐνιαυτοῦ, ὡς καὶ ἐν αὐτῷ τῷ τόπῳ τῆς Ἐξόδου φησὶ, Θυμιάσων δὲ, δὶς τῆς ἡμέρας. Καὶ γὰρ καὶ ὧδέ φησιν, « Οὐ χωρὶς αἵματος, » τουτέστι, μετὰ αἵματος, ἵνα ᾖ οὕτως· Ἅπαξ τοῦ ἐνιαυτοῦ ὁ ἀρχιερεὺς μετὰ αἵματος, οὐ μετὰ θυμιάματος. « Οὐ χωρὶς αἵματος. » Μετὰ θυσιῶν, φησίν. Ὥστε καὶ τὸ τοῦ αἵματος, τύπος ἦν τοῦ D Χριστοῦ. « Ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ. » Πανταχοῦ τὸ, Ὑπὲρ ἑαυτοῦ, τίθησι, δεικνὺς τὸ διάφορον τοῦ Χριστοῦ καὶ τοῦ παρὰ Ἰουδαίοις ἀρχιερέως. « Καὶ τῶν τοῦ λαοῦ, φησὶν, ἀγνοημάτων. » Καὶ ἔνθεν τὸ διάφορον δείκνυσιν, ὅτι αἱ μὲν κατὰ νόμον θυσίαι, ὑπὲρ ἀγνοημάτων προσφέροντο. Τὰ γὰρ ἐν ἀγνοίᾳ συνεχώρουν ἁμαρτήματα, ἡ δὲ Χριστοῦ θυσία, καὶ τὰ ἐν γνώσει.

Τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ ἁγίου, μὴ πω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν. Ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα καθ' ἣν δῶρά τε καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα, μόνον ἐπὶ βρώμασι καὶ πόμασι καὶ διαφόροις

[41] Joan II, 2. [42] I Cor. I, 30. [43] Exod. XXX, 10.

βαπτισμοῖς, καὶ δικαιώμασι σαρκὸς, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα.

Διὰ τοῦτο δὲ, φησὶν, οὕτως κατεσκεύαστο ἡ σκηνὴ, ἵνα τῆς πρώτης ἑστώσης ἔνθα ἡ λυχνία καὶ ἡ πρόθεσις τῶν ἄρτων, καὶ εἰργούσης ἐπιβαίνειν τοὺς λοιποὺς ἱερέας εἰς τὰ Ἅγια τῶν ἁγίων, δῆλον γένηται ἄδατον ἔτι εἶναι τὸν οὐρανόν. Τύπος γὰρ τοῦ οὐρανοῦ, τὰ Ἅγια τῶν ἁγίων. Τὸ δὲ μόνον τὸν ἀρχιερέα εἰσιέναι ἐν αὐτοῖς, τύπος ἦν καὶ τοῦτο τοῦ τὸν Χριστὸν μόνον τὸν ἀληθινὸν ἀρχιερέα ἀνεληλυθέναι ἐν τῷ οὐρανῷ. Ἀλλὰ λοιπὸν ἀνελθὼν, συνεισήγαγε τὸ γένος τῶν ἀνθρώπων. Ἦν μὲν γὰρ πρὸ τούτου ἄδατος. Νῦν δὲ διὰ τοῦ Χριστοῦ βατὸς γέγονεν. « Μήπω πεφανερῶσθαι. » Μήπω εἶναι βατὴν καὶ ληπτὴν τὴν εἰς οὐρανοὺς ὁδὸν, ἣν πρῶτος ἐνεκαίνισεν ὁ Χριστός. « Ἐχούσης στάσιν. » Ἑστώσης, φησὶ, καὶ εἰργούσης τρόπον τινὰ τὴν εἰς τὰ Ἅγια τῶν ἁγίων πάροδον. « Ἥτις παραβολή. » Ὅστις, φησὶ, τύπος τῶν ἐν τῇ σκηνῇ, εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα, ἐξ ὧν πεπλήρωται, φησὶ, καὶ τέλος εἴληφε. Καὶ δικαίως. Εἰ γὰρ τοῦ Χριστοῦ ἦν ἐκεῖνα τύπος, εἰκότως τοῦ Χριστοῦ φανέντος, καὶ οἱ τύποι πεπλήρωνται, καὶ τέλος ἔχουσι. « Καθ' ἣν δῶρά τε καὶ θυσίαι προσφέρονται. » Καθ' ἣν παραβολὴν καὶ καθ' ὃν τύπον αἱ προσφοραὶ τῶν δώρων τε καὶ θυσιῶν ἐγίνοντο. « Τῶν μὴ δυναμένων τελειῶσαι κατὰ συνείδησιν. » Ὡς εἰ εἶπεν, Ἐν ᾧ τύπῳ, τουτέστιν, ἐν τῇ κατὰ νόμον ἱερουργίᾳ, προσεφέροντο μὲν αἱ θυσίαι, οὐ μὴν ἰσχύουσαι ψυχὴν καὶ συνείδησιν καθαρίσαι. Σωματικαὶ γὰρ οὖσαι, σῶμα ἐκάθαιρον. « Κατὰ συνείδησιν. » Οἷον ψυχικῶς. « Τελειῶσαι τὸν λατρεύοντα. » Οὐδὲ αὐτὸν τὸν τὰς θυσίας προσφέροντα, φησὶν, ἐδύναντο καθαρίσαι. « Μόνον. » Τὸ ὑπερβατόν· Ἐπικείμενα. « Ἐπὶ βρώμασι καὶ πόμασι. » Αἱ θυσίαι αἱ προσφερόμεναι, φησὶ, καὶ αἱ λατρεῖαι οὐκ ἴσχυον ψυχικῶς τινα τελειῶσαι, ἀλλὰ περὶ τὴν σάρκα εἶχον τὴν ἐνέργειαν καὶ τὰ σαρκικὰ, καὶ εἰς τοῦτο διελύοντο τοῖς προσφέρουσι, φησὶ, εἰς τὸ, τόδε φαγεῖν ἢ μὴ φαγεῖν, καὶ ὅδατι λούεσθαι τοὺς κεκοινωμένους. Ἅπερ, φησὶ, δικαιώματα σαρκός ἐστι, τουτέστι, σάρκα καθαίροντα, καὶ οὐδαμοῦ ψυχὴν, οὐδαμοῦ νοῦν, οὐδὲ τὸν ἔσω ἄνθρωπον, ἀλλὰ περὶ τὸν ἔξω ἠσχολοῦντο. « Καὶ δικαιώμασι σαρκός. » Εἰς δικαιώματα σαρκὸς, κάτω τὸ, Ἐπικείμενα. « Μέχρι καιροῦ διορθώσεως. » Δύο φησὶν, ὅτι τε σωματικὸν μόνον καθαρισμὸν ἐποίουν, καὶ αὐτὸν τοῦτον οὐκ ἀεὶ, ἀλλ' ἄχρι καιροῦ διορθώσεως. Ποῖος δὲ ὁ τῆς διορθώσεως καιρός; Ὁ τῆς τοῦ Σωτῆρος ἐπιδημίας δηλονότι· ὡσεὶ εἶπεν· Ἐπέκειτο ἐξ αὐτῶν βάρος τοῖς ἀνθρώποις, ἄχρις οὗ φανῇ Χριστός. Αὐτοῦ δὲ φανέντος, ἐπαύσατο. « Ἐπικείμενα. » Καλῶς τὸ, Ἐπέκειτο· βάρος γὰρ ἦν μόνον τὰ ἐν τῷ νόμῳ, καθὼς φασιν οἱ ἀπόστολοι· « Ὃν οὔτε ἡμεῖς, φησὶν, οὔτε οἱ πατέρες ἡμῶν ἰσχύσαμεν βαστάσαι. »

ac justificationibus carnis usque ad tempus correctionis imposita.

Propterea, inquit, ita fabricatum fuit tabernaculum, ut primo consistente in quo erat lucerna et propositio panum, et quod arcebat ne cæteri sacerdotes ad Sancta sanctorum ascenderent, manifestaretur inaccessum adhuc esse cœlum. Siquidem cœli typus erant Sancta sanctorum. Quod autem solus pontifex illa ingrederetur, figura erat et hoc, quod Christus solus verus pontifex ascendisset in cœlum; sed ex consequenti ubi ascendisset, induxit una genus hominum : erat namque antea inaccessum, nunc vero per Christum accessibile factum est. « Nondum manifestatam esse. » Inaccessam adhuc esse et non permissam viam ad cœlos, quam primus innovavit Christus. « Consistente. » Stante, inquit, et quodammodo prohibente transitum ad Sancta sanctorum. « Quæ erat similitudo. » **383** Qui typus, inquit, eorum quæ erant in tabernaculo fuit typus ad tempus quod instabat : propter quod completum est et finem accepit; idque merito. Nam si illa Christi typus erant, merito Christo apparente etiam figuræ completæ sunt ac finem habent. « Secundum quam dona et sacrificia offerebantur. » Secundum quam similitudinem, et juxta quem typum, oblationes donorum et sacrificiorum factæ sunt. « Quæ non poterant juxta conscientiam perfectum reddere. » Ac si diceret : In quo typo, hoc est, in quo legali sacerdotio, offerebantur quidem sacrificia et victimæ, atqui non poterant animam et conscientiam purificare; cum enim corporalia essent, corpus purificabant. « Juxta conscientiam; » sive secundum animam. « Perfectum reddere cultorem. » Ne eum quidem qui ipsa sacrificia offerebat purificare poterant. « Duntaxat. » Per hyperbaton adjungenda est dictio Imposita : « In cibis et potionibus. » Oblata, inquit, sacrificia et cultus non poterant quoad animam perfectum reddere quemquam, sed circa carnem et carnalia duntaxat vim habebant : et in hoc satisfaciebant offerentibus ut hoc ederent, illud vero non ederent, et aqua abluerentur hi qui communicati essent, seu communes et immundi redditi; quæ sunt justificationes carnis, hoc est, carnem purificantes, et neqnaquam animam; nequaquam interiorem hominem, sed circa exteriorem exercebantur. « Et justificationibus carnis. » Ad justificationes carnis respondet inferius dictio, Imposita. « Usque ad tempus correctionis. » Duo dicit : et quod corporalem duntaxat purgationem faciebant, et quod hanc ipsam non semper, sed solum usque ad tempus correctionis. Quod est autem tempus correctionis? Nempe tempus adventus Salvatoris. Ac si diceret : Per hujusmodi imponebatur pondus hominibus quousque manifestaretur Christus; cum autem manifestatus esset, cessarunt. « Imposita. » Recte imposita dicuntur; nam pondus erant quæ in lege tradebantur, quemadmodum dicunt apostoli, « Quod neque nos neque patres nostri portare potuimus [44]. »

[44] Act. xv, 10.

384 CAPUT XII. A ΚΕΦΑΛ. ΙΒ'.

De sanguine Christi in quo condebatur novum testamentum, qui veram inducit purificationem, non frequentia sacrificia quæ fiebant per sanguinem animalium.

Περὶ τοῦ αἵματος τοῦ Χριστοῦ ἐν ᾧ ἦν ἡ νέα διαθήκη, ὅτι τοῦτο ἀληθὲς καθάρσιον εἰσάγει, οὐ τὰ ἐν αἵμασι ζώων πολλάκις προσφερόμενα.

IX, 11, 12. *At Christus cum accessisset pontifex futurorum bonorum per majus et perfectius tabernaculum non manufactum, hoc est non hujus creationis : neque per sanguinem hircorum ac vitulorum, sed per proprium sanguinem ingressus est semel in Sancta, æterna redemptione inventa.*

Cum ob hoc, inquit, accessisset, ob hoc factus est pontifex ut etiam victimam offerret. At non dixit, Victimam, sed in medium proferre volens salutem quæ ex victima consequi solet, ait : « Futurorum bonorum; » in nos videlicet, « Per majus B et perfectius tabernaculum. » Christi corpus vocat tabernaculum, eo quod in ipso inhabitet omnis plenitudo divinitatis corporaliter [46]. Majus autem, eo quod Deus sit : perfectius vero eo quod ad se accedentes perficiat. « Non manufactum. » Non ad imitationem, inquit, Judaici tabernaculi. Nam hoc loco tabernaculum non manufactum appellavit naturam humanam, quam suscepit Christus Dominus. Neque enim nuptiarum modo paratus est thalamus nuptialis, sed sanctissimus Spiritus tabernaculum exstruxit. Quod autem ait : « Non hujus creationis, » hoc est non juxta legem naturæ quæ in creatura versatur. « Non hujus creationis. » Corpus Christi et hujus erat creationis, et non C hujus. Hujus quidem, eo quod æquale esset et per omnia simile nostro corpori : non hujus vero, eo quod non confuse nec separabiliter adjunctam habuerit divinitatem. **385** Quod igitur ab Apostolo dictum est, Non hujus creationis, ad hoc referas quod divinitatem habuerit, quanquam ipsum sane corpus in se ejusdem esset substantiæ cum nostro corpore. Aut quod non esset ejus creaturæ sive materiæ, cujus erat tabernaculum Judæorum. Quoniam enim tabernaculum vocaverat Christi corpus, opus fuit hujusmodi verborum præscriptione. « Neque per sanguinem hircorum ac vitulorum. » Quæ Judaica erant et per quæ ingrediebatur pontifex in Sancta sanctorum. « Æterna redemptione inventa. » Hoc est : Cum effecisset D æternam redemptionem, invenit eam, non sibi ipsi; nam quonam modo id fieri potuisset cum ipse peccare nequiverit? sed suo populo. Aut quoniam humanitatis caput esse dignatus est, quæ nobis acquisita sunt, ipsi acquiri dicit Apostolus.

Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς οὐ χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων. Διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ Ἅγια, αἰωνίαν λύτρωσιν εὑρόμενος.

Ἐπὶ τούτῳ, φησὶ, παραγενόμενος, ἐπὶ τῷ γενέσθαι ἀρχιερεὺς καὶ προσενέγκαι τὸ θῦμα. Ἀλλ' οὐκ εἶπε, Τὸ θῦμα. Τὴν ἐκ τοῦ θύματος δὲ παραστῆσαι σωτηρίαν βουλόμενος, φησί· « Τῶν γενομένων ἀγαθῶν· » εἰς ἡμᾶς δηλονότι. « Διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς. » Σκηνὴν τὸ σῶμα Χριστοῦ λέγει, διὰ τὸ ἐν αὐτῷ κατῳκηκέναι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. Μείζονα δὲ, διὰ τὸ Θεὸν εἶναι· τελειοτέραν δὲ, διὰ τὸ τελειοῦν τοὺς προσερχομένους αὐτῷ. « Οὐ χειροποιήτου. » Οὐ κατὰ μίμησιν, φησὶ, τῆς παρὰ Ἰουδαίοις σκηνῆς. Ἐνταῦθα γὰρ σκηνὴν ἀχειροποίητον, τὴν ἀνθρωπείαν φύσιν ἐκάλεσεν, ἣν ἀνέλαβεν ὁ Δεσπότης Χριστός. Οὐ γὰρ κατὰ γαμικὸν γεγένηται γάμον, ἀλλὰ τὸ πανάγιον Πνεῦμα τὴν σκηνὴν κατεσκεύασε. Τὸ δὲ, « Οὐ ταύτης τῆς κτίσεως, » ἀντὶ τοῦ, Οὐ κατὰ νόμον φύσεως τῆς ἐν τῇ κτίσει πολιτευομένης. « Οὐ ταύτης τῆς κτίσεως. » Τὸ σῶμα Χριστοῦ, καὶ ταύτης ἦν τῆς κτίσεως, καὶ οὐ ταύτης. Ταύτης μὲν, κατὰ τὸ ἴσον εἶναι καὶ διὰ πάντων ὅμοιον τῷ ἡμετέρῳ σώματι. οὐ ταύτης δὲ, κατὰ τὸ ἔχειν ἀσυγχύτως καὶ ἀδιαιρέτως τὴν θεότητα. Τὸ οὖν εἰρημένον τῷ Ἀποστόλῳ, Οὐ ταύτης τῆς κτίσεως, δέξαι ὡς πρὸς τὸ ἔχειν τὴν θεότητα. Ὡς τό γε σῶμα αὐτὸ καθ' αὐτὸ, ὁμοούσιον ἦν τῷ ἡμετέρῳ. Ἢ ὅτι οὐκ ἦν ταύτης τῆς κτίσεως, φησὶν, ἐξ ἧς ἡ Ἰουδαίων σκηνή. Ἐπειδὴ γὰρ σκηνὴν τὸ σῶμα ἐκάλεσε τοῦ Χριστοῦ, ἐδεήθη τούτου τοῦ προδιορισμοῦ. « Οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων. » Ἅπερ ἦν Ἰουδαϊκὰ, καὶ δι' ὧν εἰσῄει ὁ ἀρχιερεὺς εἰς τὰ Ἅγια τῶν ἁγίων. « Αἰωνίαν λύτρωσιν εὑρόμενος. » Τουτέστι, κατορθώσας, αἰωνίαν λύτρωσιν εὗρατο. Οὐχ ἑαυτῷ, (πῶς γὰρ ὁ ἁναμάρτητος;) ἀλλὰ τῷ λαῷ αὐτοῦ. Ἢ ἐπειδὴ κεφαλὴ τῆς ἀνθρωπότητος ἠξίωσεν εἶναι, τὰ ἡμῖν κατορθωθέντα αὐτῷ κατορθῶσθαι λέγει ὁ Ἀπόστολος.

IX, 13, 14. *Nam si sanguis taurorum et hircorum, cinisque juvencæ aspergens inquinatos sanctificat ad carnis purificationem, quanto magis sanguis Christi, qui per Spiritum æternum seipsum obtulit immaculatum Deo, purgabit conscientiam vestram ab operibus mortuis ad serviendum Deo viventi.*

Deinde quoniam incredibile videbatur quod per unam victimam unumque sanguinem æternam parasset retributionem, confirmat hoc et ostendit cre-

Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου, ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ ζῶντι;

Εἶτα, ἐπειδὴ ἀπίθανον εἶναι ἐδόκει τὸ διὰ μιᾶς θυσίας καὶ αἵματος ἑνὸς λύτρωσιν αἰωνίαν παρασχεῖν, κατασκευάζει αὐτὸ, καὶ δείκνυσι πιθανὸν καὶ

[46] Coloss. II, 9.

μὴ ἀπᾷδον ὑπάρχον. « Καὶ σποδὸς δαμάλεως. » Τὸ αἷμα ἐῤῥαντίζετο, ἡ σποδὸς τῆς δαμάλεως ὕδατι μιγνύμενον, ἐπίνετο πρὸς καθαρισμὸν ἐν τῇ παλαιᾷ. « Ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα. » Ἁγιάζει δὲ, οὐ ψυχικῶς, ἀλλὰ πρὸς καθαρισμὸν τῆς σαρκός. Ὅρα αὐτὸν ἀκριβῶς λαλοῦντα. « Ὃς διὰ Πνεύματος. » Οὐ διὰ πυρὸς καύσας, ὡς τὰς δαμάλεις ἐν τῇ παλαιᾷ, ἀλλὰ διὰ Πνεύματος ἁγίου προσενέγκας. « Ἄμωμον τῷ Θεῷ. » Καὶ τὸ ἐν τῇ παλαιᾷ προσαγόμενον ἱερεῖον, ἄμωμον εἶναι ἐπεζητεῖτο. Τύπος δὲ ἦν τοῦ σώματος τοῦ Χριστοῦ τοῦ ἀμώμου καὶ πάντοθεν καθαροῦ. « Ἁμαρτίαν γὰρ, φησὶν ὁ Ἡσαΐας, οὐκ ἐποίησε, καὶ δόλος οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. » — « Καθαριεῖ τὴν συνείδησιν ὑμῶν. » Ἐπὶ μὲν τοῦ αἵματος τῶν ταύρων, καὶ τῆς σποδοῦ τῆς δαμάλεως εἶπε, Πρὸς τὴν τῆς σαρκὸς καθαρότητα· ἐπὶ δὲ τοῦ αἵματος τοῦ Χριστοῦ φησι, Τὴν συνείδησιν ὑμῶν. Ὅρα διαφορὰν καθαρισμοῦ. Τί ἐστι, Τὴν συνείδησιν; Τουτέστι, καὶ τὴν ψυχὴν ὑμῶν καθαίρει, ὡς μηδὲ συνειδέναι τι ἑαυτοῖς τοῦ λοιποῦ παράπτωμα. « Ἀπὸ νεκρῶν ἔργων. » Τῶν φαύλων, τῶν μιαινόντων τὴν ψυχήν. Ὁ νεκροῦ γὰρ ἁψάμενος, παρὰ Ἰουδαίοις, ἐμολύνετο, παρ' ἡμῖν δὲ τὰ ἄτοπα ἔργα μολύνει. « Εἰς τὸ λατρεύειν Θεῷ ζῶντι. » Δηλοῖ ἄλλως μὴ δύνασθαι λατρεύειν Θεῷ, εἰ μὴ καθαρὸν ὄντα ἀπὸ νεκρῶν ἔργων. Ὡς οἵ γε μετ' ἐκείνων λατρεύοντες, οὐ λατρεύουσιν, ἀλλὰ κατακρίνονται.

Καὶ διὰ τοῦτο, διαθήκης καινῆς μεσίτης ἐστὶν, ὅπως θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας. Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου. Διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία. Ἐπεὶ, μή ποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος, ὅθεν οὐδὲ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται.

Ἠβούλετο ὁ Πατὴρ, κληρονόμους ἡμᾶς γενέσθαι τῶν ἐπαγγελιῶν, ἀλλ' οὐκ ἠδυνάμεθα ἐχθροὶ ὄντες καὶ ἐκπεπολεμωμένοι πρὸς αὐτόν. Τί οὖν; Ὁ Υἱὸς ἐμεσίτευσε, καὶ κατήλλαξεν ἡμᾶς τῷ οἰκείῳ Πατρί. Ἀλλ' ἐπειδὴ ἔδει καὶ τιμωρίαν δοῦναι τοὺς ἐπὶ τῆς γῆς δ.' ἃ ἐπλημμελήσαμεν (σὺν τῷ φιλανθρώπῳ γὰρ καὶ δίκαιος ὁ Θεὸς) καὶ ταύτην αὐτὴν ὑπὲρ ἡμῶν ὑπέμεινεν ὁ Υἱὸς σταυρωθείς. « Ὅπως θανάτου γενομένου. » Θανάτῳ γὰρ βεβαιοῦται ἡ διαθήκη. Διὰ τοῦτο ἀπέθανεν ὁ Χριστὸς, ἵνα ἡ εἰς ἡμᾶς αὐτοῦ διαθήκη βεβαιωθῇ. Τοῦτο δὲ τίθησιν, ἐπειδὴ μάλιστα τοὺς ἀσθενεῖς ὁ θάνατος τοῦ Χριστοῦ ἐτάραττεν. « Εἰς ἀπολύτρωσιν. » Γέγονε γὰρ ὁ θάνατος τοῦ Χριστοῦ πρὸς τὸ ἀπολυτρώσασθαι καὶ παῦσαι τὰς ἐν τῇ πρώτῃ διαθήκῃ παραβάσεις, ἵνα τούτῳ τῷ τρόπῳ τὴν ἐπαγγελίαν λάβωμεν τῆς αἰωνίου κληρονομίας οἱ κεκλημένοι. Ἀλλ' ἡμεῖς ἑαυτοὺς ἀπεστερήσαμεν ἁμαρτήσαντες. Τοῦτο οὖν διορθοῦται ἐπιφανεὶς ὁ Χριστός. « Θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου. » Τοῦτο τὸ ταράσσον αὐτοὺς, τὸ, τοῦ θανάτου τοῦ Χριστοῦ. Ὅτι πῶς, φησὶν, ἔχει ἡμῖν

A dibile esse ac nihil absurdi habere. « Cinisque juvencæ. » Sanguis aspergebatur, cinis juvencæ mistus aquæ potabatur ad purificationem in veteri testamento. « Sanctificat ad carnis purificationem. » Sanctificat autem non quoad animam, sed ad carnis purificationem. Considera vero quam exacte loquatur. « Qui per Spiritum. » Non per ignem exustus ut juvencæ carnes in veteri testamento, sed qui per Spiritum sanctum obtulit. « Immaculatum Deo. » Etiam in veteri testamento requirebatur ut adducta hostia esset immaculata : sed figura erat corporis Christi immaculati et undique puri. Siquidem « peccatum non fecit, ait Isaias, nec dolus inventus est in ore ejus [46]. » — « Purgabit conscientiam vestram. » De taurorum quidem sanguine et cinere juvencæ dixit : Ad B carnis purificationem; de Christi vero sanguine ait : Conscientiam vestram. Animadverte purificationis præcellentiam. **386** Quid est Conscientiam? Hoc est animam vestram purificat, ita ut deinceps nullius delicti sibi conscii sint. « Ab operibus mortuis. » Id est, pravis, animam inquinantibus. Qui enim apud Judæos mortuum tetigerat, inquinabatur, apud nos vero absurda inquinant. « Ad serviendum Deo viventi. » Manifestat alio modo non posse quemquam colere Deum, nisi purus sit ab operibus mortuis : ita ut qui in his eum colunt, non colunt, sed sese condemnant.

IX, 15-18. *Et ob id novi testamenti conciliator est : ut morte intercedente ad redemptionem earum* C *prævaricationum quæ fuerant sub priori testamento, ii qui vocati sunt promissionem accipiant æternæ hæreditatis. Siquidem ubi testamentum est, mors necesse est intercedat testatoris. Nam testamentum in mortuis ratum est : quoniam num quandoque valet cum vivit testator? Unde ne prius quidem illud absque sanguine dedicatum fuit.*

Volebat Pater hæredes nos fieri promissionum : at non poteramus cum inimici essemus, factique ipsi inimici. Quid ergo? Filius mediator factus est, suoque Patri nos reconciliavit. Sed quoniam oportuit nos qui in terra degebamus pœnas dare ob peccata quibus deliquimus (si quidem Deus non tantum benignus est et humanus, verum etiam justus), etiam has ipsas pro nobis sustinuit Filius, ipse crucifixus. D « Ut morte intercedente. » Morte enim confirmatur testamentum. Propter hoc mortuus est Christus, ut ipsius testamentum in nos confirmaretur. Hoc autem ponit quoniam imbecilles maxime turbabat mors Christi. « Ad redemptionem. » Facta est mors Christi ut redimerentur ac solverentur transgressiones quæ fuerant in priori testamento, ut hoc modo promissionem acciperemus æternæ hæreditatis qui vocati eramus : at ipsi nosipsos peccando privaveramus illa. Hoc igitur præstat Christus nobis manifestatus. « Mors necesse est intercedat testatoris. » Hoc erat quod ipsos turbabat, nempe quod ait de Christi morte. Siquidem quomodo potest,

[46] Isa. LIII, 9.

inquiunt, nobis dare promissiones is qui mortuus est? **387** Retorquet igitur et ostendit quod alio modo non potuissemus hæreditatem et promissionem accipere, nisi mortuus fuisset Christus. « Quoniam num quandoque valet quando vivit testator? Per interrogationem legito. « Unde ne prius quidem illud. » Et adeo morte, inquit, confirmatur testamentum, quod prius quoque illud pro morte sanguinem habuerit mortis symbolum, in novo autem vere mortem habet : eo quod illa quidem figuræ erant, quæ vero in novo, veritas. « Absque sanguine dedicatum fuit. » Ac si diceret : Non cessavit aut intermissus est sanguis vel ad tempus modicum, sed protinus ut testamentum dedicatum est, etiam sanguinem habuit subsequentem.

A δοῦναι τὰς ἐπαγγελίας ὁ ἀποθανών; Περιστρέφει οὖν καὶ δείκνυσιν, οὐκ ἄλλως ἡμᾶς δυναμένους λαβεῖν τὴν κληρονομίαν καὶ τὴν ἐπαγγελίαν, εἰ μὴ ἐτετελευτήκει ὁ Χριστός. « Ἐπεὶ μή ποτε ἰσχύσει ὅτι ζῇ ὁ διατιθέμενος. » Κατ' ἐρώτησιν ἀνάγνωθι. « Ὅθεν οὐδὲ ἡ πρώτη. » Καὶ οὕτω, φησὶ, θανάτῳ βεβαιοῦται ἡ διαθήκη, ὅτι καὶ ἡ πρώτη ἀντὶ θανάτου, αἷμα εἶχε τὸ τοῦ θανάτου σύμβολον· ἐπὶ δὲ τῆς νέας, τὸν ὄντως θάνατον ἔχει. Καθὰ ἐκεῖνα μὲν τύποι ἦσαν, ἀλήθεια δὲ, τὰ ἐν τῇ νέᾳ. « Χωρὶς αἵματος ἐγκεκαίνισται. » Ὡς εἰ εἶπεν· Οὐ διέλειπε βραχὺ γοῦν χρόνον τὸ αἷμα, ἀλλ' ἅμα τὸ ἐγκαινισθῆναι τὴν διαθήκην, καὶ τὸ αἷμα ἔσχε συνακόλουθον.

IX, 19-22. *Cum enim Moses omne præceptum juxta legem exposuisset omni populo, sumpto sanguine vitulorum et hircorum cum aqua et lana coccina ac hyssopo, simul et ipsum librum et totum populum aspersit, dicens : Hic est sanguis testamenti quod mandavit vobis Deus. Insuper autem et tabernaculum et omnia vasa ministerii sanguine similiter aspergebat. Et omnia fere secundum legem sanguine purificantur, et absque sanguinis effusione non fit remissio. Itaque necesse est ut exemplaria quidem eorum quæ sunt in cœlis, hisce rebus purificentur; cæterum ipsa cœlestia melioribus quam hæ sint victimis, mundentur.*

B *Λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ νόμον ὑπὸ Μωσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐράντισε, λέγων· Τοῦτο τὸ αἷμα τῆς διαθήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός. Καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐράντισε. Καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον. Καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις. Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς, τούτοις καθαρίζεσθαι, αὐτὰ δὲ τὰ ἐπουράνια, κρείττοσι θυσίαις παρὰ ταύτας.*

Siquidem ubi Moses locutus esset præceptum, tunc sanguine aspersit. « Juxta legem. » Quemadmodum, inquit, statuit Deus, juxta Dei legem. « Sumpto sanguine vitulorum. » Hic sanguis figura erat sanguinis Dei ac Salvatoris nostri qui nos purgavit ab omni macula. « Cum aqua. » Aqua figura erat baptismi. « Et lana coccina ac hyssopo. » Lana et hyssopus sumebantur propter earum retentionem. Siquidem hyssopus cum densa sit ac tenera sanguinem retinebat ac aspergebat, lanaque similiter. Coccina vero erat lana ut ipso colore typum ferret sanguinis Christi. « Simul et ipsum librum. » Liber typus erat credentium, qui in scipsis habent Dei legem. « Insuper autem et tabernaculum. » **388** Etiam tabernaculum figura erat credentium, propter id quod scriptum est : « Inhabitabo in illis et inambulabo [47]. » —« Et omnia fere. » Ob id dixit, Fere, quoniam non pure neque sincere tunc purificabantur, siquidem corporales tunc erant purificationes, cum typi essent eorum quæ nunc et animas et corpora purificant : « Et absque sanguinis effusione non sit remissio. » Videbantur enim etiam tunc hujusmodi purificationes præbere remissionem. « Itaque necesse est ut exemplaria quidem eorum quæ sunt in cœlis. » Cœlestia vocat ea quæ sunt in Novo Testamento: quoniam sacrorum initiatio quæ in ipso fit cœlestis est, ac cœlestes cives sunt fideles, quanquam interim versentur in terra : quæ enim in Veteri erant, exemplaria fuerunt, ut quæ

C Μετὰ γὰρ τὸ λαλῆσαι τὴν ἐντολὴν, τότε τῷ αἵματι ἐράντισεν ὁ Μωσῆς. « Κατὰ τὸν νόμον. » Καθὼς, φησὶν, ὁ Θεὸς ἐνομοθέτησε, κατὰ τὸν τοῦ Θεοῦ νόμον. « Λαβὼν γὰρ τὸ αἷμα τῶν μόσχων. » Τύπος ἦν τοῦτο τὸ αἷμα τοῦ αἵματος τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, τοῦ καθάραντος ἡμᾶς ἀπὸ πάσης κηλῖδος. « Μετὰ ὕδατος. » Τὸ ὕδωρ, τύπος ἦν τοῦ βαπτίσματος. « Καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου. » Ἔριον καὶ ὕσσωπον ἐλαμβάνετο, διὰ τὸ κρατητικὸν αὐτῶν. Τὸ γὰρ ὕσσωπον πυκνὸν ὑπάρχον καὶ ἁπαλὸν, ἐκράτει τὸ αἷμα καὶ ἐράντιζεν, καὶ τὸ ἔριον ὁμοίως. Κόκκινον δὲ ἦν τὸ ἔριον, ἵνα ἐκ τῆς χροιᾶς τύπον φέρῃ τοῦ αἵματος τοῦ Χριστοῦ. « Αὐτό τε τὸ βιβλίον. » Τύπος ἦν τῶν πιστῶν τὸ βιβλίον, τῶν ἐν ἑαυτοῖς ἐχόντων τὸν νόμον τοῦ Θεοῦ. « Καὶ τὴν σκηνήν δέ. » Καὶ ἡ σκηνὴ τύπος ἦν τῶν πιστῶν, διὰ τὸ, « Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω. » — « Καὶ πάντα σχεδόν. » Σχεδὸν, διὰ τοῦτο εἶπεν, ἐπειδὴ μὴ καθαρῶς καὶ εἰλικρινῶς τότε ἐκαθαρίζετο. Τότε γὰρ σωματικοὶ ἦσαν οἱ καθαρισμοὶ, τύποι ὄντες τῶν νῦν ψυχὰς καὶ σώματα καθαιρόντων. « Καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις. » Ἐδόκουν γὰρ καὶ τότε οἱ τοιοῦτοι καθαρμοὶ ἄφεσιν παρέχειν. « Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς. » Οὐράνια τὰ ἐν τῇ καινῇ λέγει, ἐπειδὴ ἡ ἐν αὐτῇ μυσταγωγία οὐρανία ἐστὶ, καὶ οὐρανοπολῖται εἰσὶν οἱ πιστοὶ, εἰ καὶ ἐπὶ γῆς τέως πολιτεύονται. Ὑποδείγματα γὰρ τὰ τῆς παλαιᾶς, ὡς τύποι ὄντα τῆς νέας. « Τούτοις καθαρίζεσθαι. » Τοῖς εἰρημένοις.

[47] Levit. xxvi, 12 ; II Cor. vi, 16.

« Αὐτὰ δὲ τὰ ἐπουράνια. » Τὰ τῆς νέας. « Κρείττοσι θυσίαις. » Ἐπεὶ οὖν ἔχρηζε κατὰ τὰς ἀξίας αὐτῶν κρείττονος θυσίας, αὐτὸς ὁ τοῦ Θεοῦ Υἱὸς ἐτύθη, ὥστε ὁ θάνατος τοῦ Κυρίου, οὐ μόνον πρὸς τὸ βεβαιῶσαι τὴν διαθήκην ὠφέλησε καὶ ἐνήργησεν, ἀλλὰ καὶ πρὸς τὸ καθαρισμὸν ἀληθῆ καὶ ψυχικὸν ἀπεργάσασθαι. Ἄνω δὲ καὶ κάτω τὸν θάνατον ἀποδείκνυσι τοῦ Κυρίου, τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐργασάμενον, διὰ τό τινας τῶν ἀσθενεστέρων σκανδαλίζεσθαι ἐπὶ τῷ σταυρῷ.

Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν, οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ. Ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου. Νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται. Καὶ καθόσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις· οὕτως καὶ ὁ Χριστὸς, ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

Ἐπειδὴ μέγα ἐφρόνουν ἐπὶ τῷ ναῷ οἱ Ἰουδαῖοι, ὅρα πῶς καθαιρεῖ αὐτὸ τῇ παραθέσει τοῦ οὐρανοῦ. « Ἀντίτυπα τῶν ἀληθινῶν. » Ὁ γὰρ ναὸς χειροποίητός τε ἦν, καὶ ἀντίτυπος τοῦ οὐρανοῦ κατεσκεύαστο. « Ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν. » Τὸ, Εἰς αὐτὸν εἰσῆλθεν τὸν οὐρανὸν, ἀπὸ κοινοῦ ληπτέον, οἷον, Οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, εἰσῆλθεν εἰς τὸν οὐρανόν. Τὸ γὰρ πολλάκις θυσίας ἐν αἵματι προσφέρειν, τῶν εἰσερχομένων εἰς τὰ ἀντίτυπα τῶν ἀληθινῶν ἐστιν, ἀλλ' οὐχὶ τοῦ εἰσελθόντος εἰς τὸν οὐρανὸν αὐτόν. « Νῦν ἐμφανισθῆναι. » Μετὰ τῆς σαρκός φησιν ἐμφανισθῆναι. « Τῷ προσώπῳ τοῦ θεοῦ. » Τί λέγεις; Ἐὰν μὴ εἰσέλθῃ εἰς τὸν οὐρανὸν, οὐκ ἐμφανίζεται τῷ προσώπῳ τοῦ Πατρὸς, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν; Ὁρᾷς ὅτι τῆς οἰκονομίας ἐστὶ τὰ ταπεινά; « Ὑπὲρ ἡμῶν. » Μετὰ θυσίας ἀνῆλθε τῆς τοῦ ἰδίου σώματος, ἵνα ὀφθῇ τῷ Πατρὶ ὑπὲρ ἡμῶν, τουτέστι, καταλλάσσων ἡμᾶς αὐτῷ. Τῆς γὰρ σαρκὸς ἐπιλαβόμενος ὁ μακάριος Παῦλος, πάντα τὰ ταπεινὰ ἀδεῶς λαλεῖ. « Οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, » τοῦτο ἐποίησε, φησὶ, τὸ ἀνελθεῖν εἰς τὸν οὐρανόν. « Ὥσπερ ὁ ἀρχιερεύς. » Ὁρᾷς διαφοράν; Οὗτος κατ' ἐνιαυτὸν, ὁ δὲ Χριστὸς ἅπαξ. « Ἐν αἵματι ἀλλοτρίῳ. » Οὗτος ἐν αἵματι ἀλλοτρίῳ, ταύρων καὶ τράγων, ὁ δὲ Χριστὸς ἐν τῷ ἰδίῳ. « Ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν. » Εἰ γὰρ ἐχρῆν αὐτὸν πολλάκις προσφέρειν θυσίαν, ἔδει αὐτὸν ἐξ οὗ κατεβλήθη εἰς κτίσιν ὁ κόσμος, πολλάκις ἀποθανεῖν, ὡς οἰκεῖον αἷμα προσφέροντα. « Νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων. » Ἐπὶ συντελείᾳ τῶν αἰώνων, τουτέστιν, ἐπ' αὐτῇ τῇ πληρώσει τῶν αἰώνων, καὶ ἐπ' αὐτῷ τῷ τέλει. Τὸ ὑπερβατὸν πεφανέ-

typi erant novi. « Hisce rebus purificentur. » Quæ dictæ sunt. « Cæterum ipsa cœlestia. » Quæ in Novo sunt Testamento. « Melioribus victimis. » Quoniam igitur opus fuit juxta ipsorum dignitates meliori victima et sacrificio, ipse Dei Filius sacrificatus est. Mors itaque Domini non ad confirmandum duntaxat testamentum profuit ac vim habuit, verum etiam ad hoc ut veram animæ purificationem efficeret. Et in præcedentibus autem et in sequentibus demonstrat Domini mortem humano generi operatam esse salutem, eo quod nonnulli imbecilliores offenderentur propter crucem.

IX, 23-28. *Non enim in manufacta sancta ingressus est Christus exemplaria verorum, sed in ipsum cœlum, ut nunc appareat conspectui Dei pro nobis : non ut sæpius offerat semetipsum, quemadmodum pontifex ingreditur in sancta singulis annis per sanguinem alienum. Alioqui oportuisset illum sæpius passum fuisse a condito mundo. Nunc autem semel sub consommationem sæculorum ad profligationem peccati per victimam suam apparuit. Et quatenus illud manet homines ut semel moriantur, post hoc autem judicium : ita Christus semel oblatus ut multorum perferret peccata, rursus absque peccato conspicietur, iis qui illum exspectant in salutem.*

Quoniam Judæi cristas erigebant propter templum, vide quomodo illud deprimat **389** comparatione ad cœlum. « Exemplaria verorum. » Nam templum manu factum erat, et in exemplar cœli fabricatum. « Sed in ipsum cœlum. » Hæc particula in ipsum ingressus est cœlum, intelligenda est per figuram quæ dicitur ἀπὸ κοινοῦ, id est, a communi sententia acceptio sive zeugma; nempe hoc modo : Neque ut frequenter semetipsum offerat ingressus est in cœlum. Siquidem frequenter victimas per sanguinem offerre, eorum est qui in exemplaria verorum ingrediuntur, at non illius qui in ipsum ingressus est cœlum. « Ut nunc appareat. » Cum carne, inquit, appareat. « Conspectui Dei. » Quid ais? Nisi ingressus esset in cœlum, non appareret conspectui Patris, qui ubique præsens est omniaque replet? Vides quod dispensationis sint ista humilia? « Pro nobis. » Cum victima proprii corporis ascendit ut appareret apud Patrem pro nobis, hoc est ut nos ipsi reconciliaret. Siquidem facta de carne mentione beatus Paulus omnia humilia intrepide loquitur. « Non ut sæpius offerat semetipsum » hoc fecit, inquit, nempe quod ascendit in cœlum. « Quemadmodum pontifex. » Vides præcellentiam? Hic singulis annis, Christus vero semel. « Per sanguinem alienum. » Hic per sanguinem alienum, taurorum nempe et hircorum, Christus vero per proprium. « Alioqui oportuisset illum sæpius passum fuisse. » Si enim oportuisset illum sæpius offerre victimam, oportuisset eum ex eo tempore, quo jacta sunt mundi fundamenta frequenter mortuum fuisse, ut qui proprium offerret sanguinem. « Nunc autem semel

sub consummatione sæculorum. » Hoc est, sub ipsam completionem sæculorum et sub ipsum finem. Et per hyperbaton jungendum est, Apparuit. Apparuit autem ut profligaret et exstingueret peccatum mundi per victimam suam, quam pro nobis obtulit. « Per victimam suam apparuit, » hoc est, cum carne in mundo. « Et quatenus illud homines » Semel, inquit, omne genus humanum oportebat mori : hoc ut semel fieret, pro nobis mortuus est Christus. Nunc itaque etiam si moriamur, non detinemur a morte : imo in virtute hoc non est mori. « Ita et Christus. » Quoniam homo erat, quanquam simul esset Deus, etiam ipse quod hominibus commune erat sustinuit. Quemadmodum enim homines semel moriuntur, ita et Christus semel oblatus, ipse seipsum obtulit. **390** Siquidem non tantum est pontifex, sed et victima. « Perferret peccata. » Pertulit ac retulit hominum peccata Patri, ut ille condonaret, ipsaque deleret. Quamobrem vero dixit, Multorum, et non, Omnium ? Quia non omnes crediderunt; eorum namque qui credunt aufert peccata. Mortuus enim est ut omnes salvos faceret, quod ad ipsum pertinet, verum peccata solis remittit credentibus. Aut, Ut multorum perferret peccata in cruce dicit ; ut ipsa etiam exstingueret, dans pœnas pro ipsis. « Rursus absque peccato. » Aut hoc dicit quod Ubi rursus venerit, non veniet ut iterum debeat pro peccatis vestris mori, aut quod, Non amplius liberabit vos tunc a peccatis, sicut ipsa nunc aufert ; aut quod Non peccabit, reos et peccatis obnoxios puniens, eo quod pro nobis crucifixus sit. — Nunc enim Pater misit ipsum factum peccatum. Etenim Christus vehementer peccator erat, ut qui totius mundi peccata assumpserat, sibique propria fecerat : sed datis per crucem pœnis quæ nobis peccatoribus conveniebant ac debebantur, postmodum cum Paterna venturus est gloria, non jam tanquam peccator et cum iniquis reputatus. Quod enim Christus peccator fuerit, audi : Eum qui peccatum non noverat, inquit, pro nobis peccatum fecit, tanquam rem ipsam quæ peccatum est.

X, 1-4. ***Nam lex umbram habens futurorum bonorum, non ipsam imaginem rerum, his hostiis quas singulis annis eadem continenter offerunt, nunquam potest accedentes perfectos reddere. Alioqui nonne desiissent offerri propterea quod jam nullam habuissent conscientiam peccatorum qui sacrificassent ac semel purgati essent ? Atqui in istis commemoratio fit peccatorum quotannis. Non enim potest sanguis taurorum et hircorum auferre peccata.***

« Umbram habens lex. » Typum duntaxat futurorum bonorum, novi videlicet testamenti. Potes et hoc modo intelligere. A divo Gregorio in *Apologetico* et in *Oratione ad subditos*, dicta sunt ea quæ nunc aguntur ac tractantur mysteria, exemplaria esse majorum **391** mysteriorum. Rursumque in libro *De resurrectione :* Participes, inquit, sumus Paschæ : nunc quidem adhuc typice, postmodum

A ρωται· πεφανέρωται δὲ εἰς τὸ ἀθετῆσαι καὶ σβέσαι τὴν ἁμαρτίαν τοῦ κόσμου διὰ τῆς θυσίας αὐτοῦ, ἣν ὑπὲρ ἡμῶν προσήνεγκε. « Διὰ τῆς θυσίας πεφανέρωται· » τουτέστι μετὰ τῆς σαρκὸς ἐν τῷ κόσμῳ. « Καὶ καθόσον ἀπόκειται τοῖς ἀνθρώποις. » Ἅπαξ, φησὶ, τὴν ἀνθρωπότητα πᾶσαν ἐχρῆν ἀποθανεῖν. Τοῦτο τὸ ἅπαξ ὑπὲρ ἡμῶν ἀπέθανεν ὁ Χριστός. Ὥστε καὶ ἀποθνήσκοντες νῦν, οὐ κρατούμεθα ὑπὸ τοῦ θανάτου, ὃ τῇ δυνάμει, οὐδὲ ἀποθανεῖν ἔστι. « Οὕτως καὶ ὁ Χριστός. » Ἐπειδὴ ἄνθρωπος ἦν μετὰ τοῦ εἶναι Θεὸς, καὶ αὐτὸς, φησὶ, τὸ κοινὸν τῶν ἀνθρώπων ὑπέμεινεν. Ὥσπερ γὰρ οἱ ἄνθρωποι ἅπαξ ἀποθνήσκουσιν, οὕτως καὶ ὁ Χριστὸς, ἅπαξ προσενεχθεὶς, αὐτὸς ἑαυτὸν προσενέγκας. Οὐ γάρ ἐστι μόνον ἀρχιερεὺς, ἀλλὰ καὶ θῦμα. « Ἀνενεγκεῖν ἁμαρτίας. » Ἀνήνεγκε

B τὰς ἁμαρτίας τῶν ἀνθρώπων τῷ Πατρὶ, ἵνα αὐτὸς συγχωρήσῃ καὶ ἐξαλείψῃ αὐτάς. Διὰ τί δὲ εἶπε, Πολλῶν, καὶ μὴ, Πάντων ; Ὅτι μὴ πάντες ἐπίστευσαν. Τῶν γὰρ πιστευόντων ἀφαιρεῖται τὰς ἁμαρτίας. Ἀπέθανε γὰρ, εἰς τὸ πάντας σῶσαι, τό γε ἧκον εἰς αὐτὸν, τὰς δὲ ἁμαρτίας ἀφίησι τοῖς πιστοῖς μόνοις. Ἢ τὸ, Εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐν τῷ σταυρῷ, φησὶν, ἵνα αὐτὰς καὶ σβέσῃ, διδοὺς τὴν ὑπὲρ αὐτῶν δίκην. « Ἐκ δευτέρου χωρὶς ἁμαρτίας. » Ἢ τοῦτο λέγει, ὅτι Ἐκ δευτέρου ἐρχόμενος, οὐχ ἥξει πάλιν διὰ τὰς ὑμῶν ἁμαρτίας ὀφείλων ἀποθανεῖν· ἢ, ὅτι Οὐκέτι ῥύσεται ὑμᾶς τότε ἁμαρτιῶν ὥσπερ καὶ νῦν ἀφαιρῶν αὐτάς· ἢ, ὅτι Οὐχ ἁμαρτήσει κολάζων τοὺς αἰτίους καὶ ἐνόχους, διὰ τὸ σταυρωθῆναι ὑπὲρ ἡμῶν. [ΟΙΚΟΥΜ.] Νῦν γὰρ ἁμαρτίαν

C ποιήσας αὐτὸν ὁ Πατὴρ ἔπεμψε. Καὶ γὰρ ἦν σφόδρα ἁμαρτωλὸς ὁ Χριστὸς, ὡς τὰς τοῦ παντὸς κόσμου ἀναλαβὼν καὶ οἰκειωσάμενος ἁμαρτίας. Ἀλλὰ τὴν ἡμῖν τοῖς ἁμαρτωλοῖς προσήκουσαν καὶ ὀφειλομένην δίκην διδοὺς διὰ τοῦ σταυροῦ, λοιπὸν μετὰ τῆς Πατρῴας ἥξει δόξης, οὐκέτι ὡς ἁμαρτωλὸς καὶ μετὰ ἀνόμων καταλογιζόμενος. Ὅτι γὰρ ἁμαρτωλὸς ὁ Χριστὸς, ἄκουε. Τὸν γὰρ μὴ γνόντα, φησὶν, ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, οἷον αὐτόχρημα

D ἁμαρτίαν.

Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς, οὐδέποτε δύνανται τοὺς προσερχομένους τελειῶσαι. Ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας ἅπαξ κεκαθαρμένους ; Ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν, κατ' ἐνιαυτόν. Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας.

« Σκιὰν γὰρ ἔχων ὁ νόμος. » Τύπον μόνον τῶν μελλόντων ἀγαθῶν, τῆς νέας διαθήκης δηλονότι. Δύνῃ καὶ οὕτως νοῆσαι. — [ΟΙΚΟΥΜ.] Εἴρηται τῷ ἐν ἁγίοις Γρηγορίῳ ἐν τῷ Ἀπολογητικῷ, καὶ ἐν τῷ *Πρὸς τοὺς πολιτευομένους*, τὸ νῦν θεῖα μυστήρια, ἀντίτυπα εἶναι μειζόνων μυστηρίων. Καὶ πάλιν ἐν τῷ *Περὶ ἀναστάσεως*· Μεταλῃψόμεθα τοῦ Πάσχα, φησὶ, νῦν μὲν τυπικῶς ἔτι, εἰς

ὕστερον δὲ τελειότερον. Τὸ γὰρ νομικὸν Πάσχα τολμῶ καὶ λέγω, τύπου τύπος ἦν.

Τούτων οὕτως εἰρημένων, οἶδεν ἐν τούτοις ὁ Ἀπόστολος σκιὰν καὶ εἰκόνα, καὶ μέλλοντα ἀγαθά, ἃ καὶ πράγματα καλεῖ, τουτέστιν ἀληθῆ. Ὡς γὰρ πρὸς παράθεσιν σκιᾶς καὶ εἰκόνος, τὰ πράγματα ἀλήθειαν δηλοῖ, καὶ γάρ ἐστιν ἀλήθεια. Σκιὰν μὲν οὖν οἶδε τὰ ἐν νόμῳ, εἰκόνα δὲ τὰ ἡμέτερα τῶν Χριστιανῶν, μέλλοντα δὲ καὶ ἀγαθὰ καὶ πράγματα ἀληθῆ, τὰ ἐν τῷ μέλλοντι αἰῶνι. Καὶ γὰρ ὅσον ἀπέχει εἰκὼν ἀληθείας, τοσοῦτον εἰκόνος σκιά. Ἡ μὲν γὰρ εἰκὼν, εἰ καὶ μὴ αὐτὴν ἔχει τὴν ἀλήθειαν, πλὴν μίμημα ἐναργές ἐστιν ἀληθείας, τὸ σχῆμα σώζουσα διὰ τῶν χρωμάτων, καὶ τὴν ἀναλογίαν τῶν μελῶν, καὶ τὸ χρῶμα τοῦ ὑποκειμένου. Ἡ δὲ σκιὰ, ἴνδαλμά ἐστιν ἀμυδρὸν τῆς εἰκόνος, οὐδὲν τούτων ὧν ἡ εἰκὼν ὑποφαίνουσα. Καὶ ἡγοῦμαι τὸν θεολόγον ἐκ τούτων τῶν ἀποστολικῶν ῥητῶν προαχθῆναι εἰπεῖν τὰ προκείμενα. Ὅμοια δὲ τούτων, καὶ ἄλλοι πλείους εἶπον Πατέρες. « Οὐκ αὐτὴν τὴν εἰκόνα. » Τὴν ἀλήθειαν. « Τῶν πραγμάτων. » Πράγματα καλεῖ, τὸν μέλλοντα βίον· εἰκόνα δὲ πραγμάτων, τὴν εὐαγγελικὴν πολιτείαν· σκιὰν δὲ τῆς τῶν πραγμάτων εἰκόνος, τὴν παλαιὰν διαθήκην. Ἡ γὰρ εἰκὼν ἐναργέστερα δείκνυσι τὰ ἀρχέτυπα. Ἡ δὲ σκιαγραφία τῆς εἰκόνος ἀμυδρότερον ταῦτα παραδηλοῖ. Ταύτῃ γὰρ τῆς παλαιᾶς διαθήκης ἀπείκασε τὴν ἀσθένειαν. Πολλὰς γὰρ, φησὶ, θυσίας καὶ τὰς αὐτὰς κατ' ἐνιαυτὸν προσφέροντες, τελειῶσαι τοὺς κατὰ νόμον πολιτευομένους οὐ δύνανται. « Κατ' ἐνιαυτόν. » Τί οὖν; Καὶ ἡμεῖς οὐκ ἀεὶ θυσίας ἀναιμάκτους προσφέρομεν; Ἀλλὰ καὶ ἑνὸς θανάτου Χριστοῦ ἀναμνήσεις ποιοῦμεν καὶ ἓν δὲ σῶμα Χριστοῦ πάντοτε ἐσθίομεν. Οὐ γὰρ νῦν μὲν ἄλλου Χριστοῦ, ἄλλοτε δὲ ἄλλου, ἀλλ' ἀεὶ τοῦ αὐτοῦ. Αἱ δὲ τῶν Ἰουδαίων θυσίαι, διάφορα εἶχον θύματα, οἷον πρόβατα, βόας, αἶγας. Διὸ πολλαὶ θυσίαι. Αἱ γὰρ ἡμῶν, εἰ καὶ τῇ ἐνεργείᾳ πολλαὶ, τῇ μέντοι δυνάμει μία. « Ταῖς αὐταῖς θυσίαις. » Ταῖς αὐταῖς τῷ τρόπῳ. Τοῖς γὰρ θύμασι διαφόροις. « Εἰς τὸ διηνεκές. » Κατ' ἐνιαυτὸν γὰρ προσεφέροντο εἰς ἀπέραντον. « Οὐδέποτε δύναται. » Ὁ νόμος, τουτέστιν. « Τοὺς προσερχομένους τελειῶσαι. » Διὰ τί; Ἐπειδὴ τύπος ἐστίν. Ἡ γὰρ ἀλήθεια, τουτέστιν ὁ Χριστὸς, τοῦτο ἐποίησε, διὰ μιᾶς θυσίας καθαρισμὸν ἐργασάμενος. « Ἐπεὶ οὐκ ἂν ἐπαύσατο. » Κατὰ ἐρώτησιν ἀνάγνωθι. Εἰ γὰρ ἔπαυον, φησὶν, ἁμαρτίας ἐκεῖναι αἱ θυσίαι πάντως οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μηκέτι περιελῆφθαι συνείδησιν ἁμαρτιῶν, διὰ τὸ ἅπαξ κεκαθαρίσθαι; « Ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν. » Ἐν αὐταῖς, φησὶ, ταῖς θυσίαις, ἀνάμνησις μόνον καὶ ἔλεγχος ἁμαρτιῶν, ἄφεσις δὲ οὐκ ἔτι. Καὶ δεῖγμα τοῦ μὴ εἶναι ἄφεσιν, τὸ ἀεὶ εἶναι θυσίας. Οὐ γὰρ μόνον, φησὶν, ἐπὶ ταῖς ἐπιγινομέναις ἁμαρτίαις αἱ θυσίαι προσφέρονται, ἀλλὰ μᾶλλον ἐπὶ πάσαις, ὡς μὴ ἀφεθείσαις, ταῖς ἤδη γενομέναις θυσίαις. « Ἀδύνατον γὰρ αἷμα ταύρων. » Λοιπὸν δείκνυσιν ἀληθῆ τὰ εἰρημένα, ἐκ τῆς εὐτελείας τοῦ αἵματος.

vera esse quæ dicta sum ex abjectione et utilitate sanguinis.

A vero perfectius. Nam Pascha legale, audeo et dico, figuræ figura erat.

Iis ita dictis, novit Apostolus in his et umbram et imaginem et futura bona quæ etiam res appellat, nempe veras. Veluti enim ad umbræ ac imaginis comparationem, res significant veritatem : siquidem sunt veritas. Umbram itaque scit ea esse quæ fuerunt in lege, imaginem autem, nostra qui Christiani sumus, futura vero et bona et res veras, quæ in futuro erunt sæculo. Etenim quantum differt imago a veritate, tantum umbra ab imagine. Siquidem quanquam imago non ipsam contineat veritatem, est tamen manifesta imitatio veritatis, habitum servans per colores ac membrorum proportiones, reique propositæ colorem. Umbra vero tenue et obB scurum est imaginis simulacrum, nihil eorum ostendens quæ imago demonstrat. Atque Gregorium existimo ex his apostolicis verbis adductum fuisse ut diceret quæ proposita sunt. Iis autem similia dixerunt et alii plures ex patribus. « Non ipsam imaginem. » Hoc est veritatem. « Rerum. » Res appellat futuram vitam : imaginem autem rerum, evangelicam politiam ; umbram vero imaginis rerum, vetus testamentum. Imago enim manifestiora ostendit exemplaria : adumbratio autem imaginis obscurius hæc manifestat. Nam hæc veteris testamenti exprimit imbecillitatem. Qui enim multas, inquit, et easdem singulis annis offerunt hostias, perficere nequeunt illos, qui secundum legem conC versantur. « Singulis annis. » Quid ergo? anne nos semper offerimus hostias sanguine carentes? Sed unius ejusdemque mortis Christi memoriam facimus, et unum Christi corpus semper edimus. Non enim nunc quidem unius Christi, alias vero alterius, sed semper ejusdem. Judæorum vero hostiæ varias habebant victimas, nempe oves, boves, capras : ideo multæ sunt hostiæ : nostræ vero quanquam actione multæ sint, unica tamen est potestate. « Easdem hostias. » Easdem in modo offerendi, variis tamen victimis : « Continenter. » Singulis enim annis sine ullo termino offerebantur. « Nunquam potest, » lex videlicet. « Accedentes perfectos reddere. » **392** Quamobrem? Quoniam figura erat : nam veritas, puta Christus hoc fecit, D per unam hostiam facta purificatione. « Alioqui nonne desiissent? » Per interrogationem legito. Nam si cessare peccata fecissent illæ hostiæ, annon omnino cessassent offerri, propterea quod amplius nulla involuti fuissent peccatorum conscientia semel purificati? « Atqui in ipsis fit commemoratio peccatorum. » In ipsis, inquit, hostiis fit duntaxat commemoratio et redargutio peccatorum, non autem etiam remissio : porro quod non sit remissio signum est quod semper durent hostiæ. Neque enim ob sequentia tantum peccata offeruntur, inquit, hostiæ, sed potius propter omnia, tanquam nondum remissa sint hostiis quæ factæ sunt. « Non enim potest sanguis taurorum. » Ostendit consequenter

CAP. XIII.

Testimonium de sola purificatione et accessu ad Deum.

X, 5-10. *Quapropter ingrediens mundum dicit : Sacrificium et oblationem noluisti, corpus autem aptasti mihi. Holocautomata et pro peccato non placuerunt tibi : tunc dixi ; Ecce adsum. In capite libri scriptum est de me ut faciam, Deus, voluntatem tuam. Superius cum dicit : Sacrificium et oblationem et holocautomata et pro peccato noluisti, neque placuerunt tibi quæ juxta legem offeruntur ; tunc dixit : Ecce adsum ut faciam, Deus, voluntatem tuam. Tollit prius ut posterius statuat ; per quam voluntatem sanctificati sumus, qui illam per oblationem corporis Jesu semel peractam consecuti sumus.*

Christus, inquit, corpore mundum ingrediens dicit per medium David. Si inutiles, inquit, sunt hostiæ, quare omnino fuerunt institutæ ? Quare ? Propter pervicaciam Judæorum, et **393** quia Deo semper adversati sunt. Deinde ostendit quod etiam ante Domini incarnationem odio habitæ fuerint a Deo. Neque enim dixit, Ingressus in mundum, sed, Ingrediens : ostendendo quod priusquam ingressus esset, odio habitæ erant.

Alio modo. Ingrediens in mundum dixit Christus, sed non *ingressus :* videlicet ingrediebatur quando promittebat ipsi David et asseverabat quod de fructu ventris sui sedere faceret super thronum suum usque in sæculum [48]. Ingrediens igitur mundum per pacta ad David facta, etiam hoc dicit per eumdem David : « Quia sacrificium et oblationem noluisti [49], » neque placuerunt tibi quæ in lege peragebantur : et non dixit, Non placent neque vis, sed, Noluisti, neque placuerunt tibi ; tantum non dicens : Ab ipsa illarum constitutione et principio non erant tibi gratæ neque placentes hostiæ. Quod si quid etiam horum a te susceptum est, propter accedentium imbecillitatem susceptum est : quandoquidem ergo hæc repulisti et corpus aptasti mihi, tunc venio ut faciam Deus voluntatem tuam. Nam et hoc de me dictum est, non utcunque, neque in transcursu, sed in scopo et argumento libri qui vaticinationem de me facit. Librum autem dixit totum vetus instrumentum. Præcipuum enim et dignissimum veteris instrumenti argumentum vaticinia sunt de Christo. « Sacrificium et oblationem noluisti. » Hic affertur Christi persona loquens ad Patrem. Quandoquidem, inquit, o Pater, sacrificium et oblationem noluisti, quæ videlicet juxta legem offeruntur, neque fuit tibi beneplacitum in holocautomatis legalibus, hoc est, neque holocautomata placuerunt tibi aut ea voluisti. « Et pro peccato. » Hoc est, oblatio pro peccato : a communi intellectu sumitur Placuit tibi. Recte autem ait, Pro peccato. Nam inter sacrificia, quædam pro salute, quædam vero pro peccato offerebantur. Ac si diceret : Quoniam nequaquam oblationes neque sacrificia

[48] Psal. cxxxi, 11. [49] Psal. xxxix, 7.

ΚΕΦΑΛ. ΙΓ'.

Μαρτυρία περὶ τῆς μόνης καθάρσεως καὶ προσαγωγῆς πρὸς Θεόν.

Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει· Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι. Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας, τότε εἶπον, Ἰδοὺ ἥκω. Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι ὁ Θεός, τὸ θέλημά σου, ἀνώτερον λέγων ὅτι θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας οὐδὲ εὐδόκησας, αἵτινες κατὰ τὸν νόμον προσφέρονται· τότε εἴρηκεν· Ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου. Ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ. Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν, οἱ διὰ τῆς προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ, ἐφάπαξ.

Ὁ Χριστὸς, φησὶν, ἐν σώματι εἰς τὸν κόσμον εἰσερχόμενος, λέγει διὰ μέσου τοῦ Δαυὶδ. Εἰ ἀνωφελεῖς, φησὶν, αἱ θυσίαι, διὰ τί ὅλως ἐγίνοντο ; Διὰ τί ; Διὰ τὴν φιλονεικίαν τῶν Ἰουδαίων, καὶ διὰ τὸ ἀεὶ ἐναντιοῦσθαι τῷ Θεῷ. Καὶ λοιπὸν δείκνυσιν αὐτὰς, καὶ πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου, μεμισημένας Θεῷ· οὐ γὰρ εἶπεν, Εἰσελθὼν ὁ Χριστὸς, ἀλλ', Εἰσερχόμενος, δεικνὺς ὅτι πρὶν εἰσέλθῃ ἐμεμίσητο.

Ἄλλως. Εἰσερχόμενος εἰς τὸν κόσμον, εἶπεν, ὁ Χριστὸς, ἀλλ' οὐχὶ *εἰσελθών*. Εἰστήρχετο δὲ δηλονότι, ὅτε τῷ Δαυὶδ ὑπισχνεῖτο, καὶ διετείνετο, ἐκ καρποῦ τῆς κοιλίας αὐτοῦ, καθίσαι αὐτὸν ἐπὶ τοῦ θρόνου αὐτοῦ ἕως τοῦ αἰῶνος. Εἰσερχόμενος οὖν εἰς τὸν κόσμον διὰ τῶν πρὸς τὸν Δαυὶδ συνθηκῶν, καὶ τοῦτο λέγει δι' αὐτοῦ, ὅτι « Ἐπεὶ θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, » οὐδὲ ηὐδόκησας τὰ ἐν τῷ νόμῳ τελούμενα. Καὶ οὐκ εἶπεν, ὅτι Οὐκ εὐδοκεῖς οὐδὲ θέλεις, ἀλλ', Οὐκ ἠθέλησας, οὐδὲ ηὐδόκησας, μονονουχὶ λέγων, ὡς Ἀπ' αὐτῆς τῆς καταβολῆς αὐτῶν καὶ τῆς εἰσαγωγῆς οὐκ ἦσάν σοι τὸ ὅλον καταθύμιοι καὶ εὐάρεστοι αἱ θυσίαι. Ἀλλὰ καὶ εἴ τι αὐτῶν ἀποδέδεκταί σοι, διὰ τὴν ἀσθένειαν ἀποδέδεκται τῶν προσαγόντων. Ἐπεὶ οὖν καὶ ταῦτα ἀπώσω, καὶ σῶμα κατηρτίσω μοι, τότε ἥκω ἐπὶ τῷ ποιῆσαι τὸ θέλημά σου. Τοῦτο γὰρ καὶ εἴρηται περὶ ἐμοῦ οὐχὶ ἁπλῶς καὶ κατὰ πάροδον, ἀλλὰ κεφάλαιον καὶ ὑπόθεσιν τοῦ βιβλίου τὴν περὶ ἐμοῦ προρρήσιν ποιουμένου. Βιβλίον δὲ, ὅλην λέγει τὴν παλαιάν. Τὸ γὰρ κεφάλαιον καὶ ἡ ἀξιολογωτάτη ὑπόθεσις τῆς παλαιᾶς, αἱ περὶ Χριστοῦ προρρήσεις εἰσίν. « Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας. » Ἐντεῦθεν εἰσφέρεται τὸ τοῦ Χριστοῦ πρόσωπον, λέγον πρὸς τὸν Πατέρα. Ἐπειδὴ, φησὶν, ὦ Πάτερ, θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, τὴν κατὰ νόμον δηλονότι προσφερομένην, οὔτε μὴν ηὐδόκησας ἐν ὁλοκαυτώμασι τοῖς κατὰ τὸν νόμον, τουτέστιν, οὐδὲ ὁλοκαυτώματα ηὐδόκησας, ἤγουν ἠθέλησας. « Καὶ περὶ ἁμαρτίας. » Τουτέστι, προσφορὰν περὶ ἁμαρτίας. Ἀπὸ κοινοῦ τὸ, Εὐδόκησας. Καλῶς δέ φησι Περὶ ἁμαρτίας. Τῶν γὰρ θυσιῶν, αἱ μὲν

ὑπὲρ σωτηρίας, αἱ δὲ ὑπὲρ ἁμαρτίας προσεφέροντο· ὡς εἰ εἶπεν· Ἐπεὶ οὐδένα τρόπον προσφορᾶς οὐδὲ θυσίας ἠβουλήθης, οὐδὲ ὁλοκαυτώματα, οὐ περὶ σωτηρίας, οὐ περὶ ἁμαρτίας, ἦκω σῶμα λαβών, τὸ ὀφεῖλον γενέσθαι θυσία εὐάρεστός σοι, ὅπερ αὐτός μοι κατηρτίσω. Τὸ Πνεῦμα γὰρ ἅγιον καὶ Ὑψίστου δύναμις, ἐπεσκίασε τῇ Παρθένῳ. Ἦκω δὲ, ἵνα τὸ σὸν ποιήσω θέλημα τοῦ Πατρός· ἵνα οὓς δέδωκάς μοι, μὴ ἀπολέσω ἐξ αὐτῶν. Κεφαλίδα δὲ βιβλίου Ἑβραῖοι τὸν Νόμον φασίν. Ἡσαΐας δὲ τὸ περὶ τῆς ἐνανθρωπήσεως μυστήριον τοῦ Μονογενοῦς διδασκόμενος, ἤκουε· « Γράψόν μοι εἰς αὐτὸν γραφίδι ἀνθρώπου. » Ὅτι θυσίαν καὶ προσφορὰν. Ὁρᾷς ὅτι αἱ θυσίαι ἐξεβέβληντο καὶ πρὸ τῆς ἐνανθρωπήσεως; Μετὰ γὰρ τὸ μὴ θελῆσαί σε, φησὶ, τὰς θυσίας καὶ τὰ ὁλοκαυτώματα, τότε εἶπον, Ἰδοὺ ἦκω. Τίς εἶπεν, Ἰδοὺ ἦκω; Ὁ Χριστὸς δηλονότι. Ἦκω δὲ, ἐπὶ τῷ τὸ θέλημά σου ποιῆσαι. Τί δὲ τὸ θέλημα τοῦ Πατρὸς, ἢ τὸν Υἱὸν σταυρωθῆναι; Ὅτι δὲ καὶ ἥξω, φησὶ, καὶ τὸ θέλημά σου ποιήσω, ἐν κεφαλίδι βιβλίου γέγραπται, φησὶ, περὶ ἐμοῦ ταῦτα. Οὕτως χρὴ συντάξαι. Προφητικὰ γὰρ ὄντα, σκολιά ἐστιν. « Οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας. » Αὐτὸς αὐτὸ ἑρμηνεύει σαφέστερον. « Οἵτινες κατὰ τὸν νόμον. » τὸν Ἰουδαϊκὸν δηλονότι, καὶ ὑπὸ τῶν Ἰουδαίων δὲ προσφέρονται. Ὁρᾷς ὅτι πρὸ τῆς καταβάσεως, ἐμεμίσηντο αἱ θυσίαι; « Τοῦ ποιῆσαι ὁ Θεὸς τὸ θέλημά σου. » Τί οὖν; Αἱ κατὰ νόμον θυσίαι οὐκ ἦσαν θελήματι Θεοῦ; Ἦσαν μὲν, ἀλλ' ἀναγκαστῶς. Μόνον γὰρ οὐ τοῦτο εἶπεν αὐτοῖς, ὅτι Καθόλου μὲν αἱ ἔνυλοι θυσίαι ἐμοὶ τῷ ἀΰλῳ, βδελυκταί εἰσιν. Ἀλλ' ἐπειδὴ ἐπιθυμεῖτε θύειν, ἐμοὶ γοῦν καὶ μὴ τοῖς εἰδώλοις θύετε, ὅπερ οὐκ ἦν καθαροῦ καὶ πρωτοτύπου θελήματος. « Ἀναιρεῖ τὸ πρῶτον. » Ποῖόν ἐστι τὸ πρῶτον; Αἱ θυσίαι. Ποῖον δὲ τὸ δεύτερον; Ὁ σταυρός. Αἱ θυσίαι οὖν ἐκβάλλονται, καὶ ὁ σταυρὸς, τουτέστιν, ἡ τοῦ Χριστοῦ θυσία, ἀντεισάγεται. « Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν. » Δι' οὗ θελήματος, φησὶν, ἡγιασμένοι ἐστέ. Ποίου τούτου; Τοῦ σταυροῦ, τῆς προσφορᾶς τοῦ σώματος τοῦ Χριστοῦ. Οὐ γὰρ μόνον ἀφέσεως τετυχήκαμεν, ἀλλὰ καὶ ἡγιάσθημεν. « Οἱ διὰ τῆς προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ. » Ἰδοὺ ἡρμήνευσε, τί ἐστιν τὸ θέλημα τοῦ Πατρός· ἡ προσφορὰ τοῦ σώματος τοῦ Χριστοῦ. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω περὶ θελήματος ἔλεγεν, εἶπε λοιπὸν, τί ἐστι τὸ θέλημα. « Ἐφάπαξ, » φησὶ, τουτέστιν, οὐ κατὰ τὸν τρόπον τῶν Ἰουδαϊκῶν θυσιῶν, ἀλλ' ἐφάπαξ. « Ἐφ' ἅπαξ. » Οἱ διὰ τῆς ἐφάπαξ προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ.

A voluisti, neque holocautomata nec pro salute nec pro peccato, venio aptato corpore quod debeat effici hostia tibi beneplacens, quod ipse mihi aptasti. Nam Spiritus sanctus et Altissimi virtus obumbravit Virgini [50]. Venio autem ut tuam faciam voluntatem, Pater [51], puta ut nullum ex his perdam quos dedisti mihi [52]. **394** Caput vero libri dicunt Hebræi esse legem. Isaias vero mysterium de unigeniti incarnatione edoctus, audivit : « Scribe mihi in isto stilo hominis [53]. » « Sacrificium et oblationem. » Vides quod sacrificia etiam ante incarnationem abjecta essent? Cum enim nolles sacrificia et holocautomata, tunc dixi : Ecce venio. Quis dixit : Ecce venio? Christus videlicet. Venio autem ut faciam voluntatem tuam. Et quæ fuit Patris voluntas, nisi ut Filius crucifigeretur? Quod autem et venturus sim et voluntatem tuam facturus, hæc in capite libri de me scripta sunt. Ita sunt ista ordinanda : nam cum prophetica sint, obliqua et contorta sunt. « Noluisti, neque placuerunt tibi. » Ipse idem apertius interpretatur. « Quæ juxta legem. » Judaicam videlicet, et quæ a Judæis offeruntur. Vides quod ante Christi descensum odio haberentur sacrificia? « Ut faciam, Deus, voluntatem tuam. » Quid ergo? Sacrificia juxta legem non erant ex Dei voluntate? Erant quidem, sed veluti coacte. Propemodum enim dixit illis : Mihi in universum sanguinolentæ victimæ suo cruore abominandæ sunt; sed quoniam immolare cupitis, mihi sane et non idolis immolate : quod non erat B puræ ac primariæ voluntatis. « Tollit prius. » Quodnam est prius? Sacrificia. Quodnam autem est posterius? Crux et mors Christi. Ejiciuntur itaque sacrificia : et crux, hoc est Christi sacrificium, eorum loco introducitur. « Per quam voluntatem sanctificati sumus. » Per quam, inquit, voluntatem sanctificati estis. Quænam est hæc? Crux, oblatio, corpus Christi. Neque enim remissionem tantum consecuti sumus, sed et sanctificati sumus. « Qui illam per oblationem corporis Jesu Christi. » Ecce interpretatus est quænam sit voluntas Patris, nempe oblatio corporis Christi. Cum enim in præcedentibus et sequentibus de voluntate dixerit, consequenter expressit quæ sit voluntas. « Semel C peractam. » Hoc est, non in modum Judaicorum sacrificiorum, sed semel id factum est. « Semel peractam. » Qui illam per oblationem corporis Jesu Christi semel peractam consecuti sumus.

Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας. Αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν

X, 11-18. *Et omnis quidem sacerdos assistit quotidie sacra peragens, et easdem sæpius offerens hostias, quæ nunquam possint auferre peccata. Hic vero una* **395** *pro peccatis oblata victima, perpetuo sedet ad dexteram Dei, id quod superest exspectans donec positi sint inimici ipsius scabellum pedum suorum. Unica enim oblatione perfectos effecit in*

[50] Luc. I 35. [51] Joan. VI, 38. [52] Joan. XVIII, 9. [53] Isa. VIII, 1.

perpetuum eos qui sanctificantur. Testificatur autem nobis et ipse spiritus sanctus, nimirum cum prædixerit : Hoc est testamentum quod condam erga illos post dies illos, dicit Dominus, dans leges meas in corde eorum, et in mentibus ipsorum inscribam eas : et peccatorum eorum atque iniquitatum ipsorum non recordabor amplius. Porro ubi horum est remissio, non est amplius oblatio pro peccato.

« Et omnis quidem sacerdos assistit. » Sane assistere et astare ministerii est signum : sedere vero quemadmodum Christus sedit ad dexteram Patris, signum est quod sibi ministretur, ut qui Deus sit. « Quotidie sacra peragens, et easdem. » Easdem, inquit, quia pro eisdem semper offerebantur, cum non possent vel præteritæ vel præsentes victimæ et oblationes, vel unum peccatum pure ac integre auferre. « Hic vero, » Christus videlicet. « Pro peccatis, » nostris, pro quibus passus est. « Perpetuo. » Cum una perpetuo sufficiat. « Quod superest exspectans. » Et quare non statim positi sunt inimici ejus sub pedibus ipsius? Propter futuros ac nascituros fideles. Neque enim soli dæmones inimici sunt, sed etiam increduli. « Donec positi sint. » Non dixit, Subjiciantur : sed maximam designans subjectionem, ait : Positi sint scabellum pedum suorum. Quod autem ipsi ponantur scabellum, evidens probatio est, quod ipse sedeat ad dexteram Patris. « Unica enim oblatione, » quam obtulit Christus, perfecit sive perfectos reddidit, perfecte a peccatis liberavit. « Eos qui sanctificantur : » hoc est, fideles : nam hi ex dicta oblatione sanctificantur. « Testificatur autem nobis et ipse Spiritus sanctus. » Quid testificatur? Quod remissa sint nostra peccata. « Et peccatorum eorum. » Addidit, inquit, Et peccatorum eorum non recordabor amplius. Vides ergo quod testificatus sit remissionem fieri peccatorum? **396** Tunc autem remisit quando novum condebat testamentum : novum vero testamentum condidit per victimam Filii sui Jesu Christi Domini nostri. « Porro ubi horum est remissio. » Peccatorum videlicet. « Non est amplius oblatio pro peccato. » Quæ enim necessitas est multarum oblationum, cum unica illa quam exhibuit Christus fuerit sufficiens ad auferenda peccata?

X, 19-23. *Cum igitur, fratres, habeamus libertatem ad aditum in sancta per sanguinem Jesu, quem innovavit nobis recentem ac viventem, per velamentum, hoc est per carnem suam, et sacerdotem magnum præfectum domui Dei, accedamus cum vero corde in certitudine fidei, aspersis cordibus, ac depulsa conscientia mala, et abluti corpore aqua pura, teneamus confessionem spei non vacillantem : fidelis enim est qui promisit.*

Quoniam demonstravit multum interesse inter novum et vetus testamentum, accedit ad sermonem

A αὐτοῦ. Μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Μετὰ γὰρ τὸ προειρηκέναι, Αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς, μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, δώσω νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς, καὶ τῶν ἁμαρτιῶν αὐτῶν, καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. Ὅπου δὲ ἄφεσις τούτων, οὐκ ἔτι προσφορὰ περὶ ἁμαρτίας,

« Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε. » Ἆρα τὸ ἑστάναι, σημεῖόν ἐστι τοῦ λειτουργεῖν. Τὸ δὲ καθῆσθαι, ὥσπερ ὁ Χριστὸς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Πατρὸς, σημεῖόν ἐστι τοῦ λειτουργεῖσθαι, οἷα Θεὸν ὄντα. « Καθ' ἡμέραν λειτουργῶν. » [ΦΩΤ.] Τὰς αὐτὰς, φησὶν, ὅτι ὑπὲρ τῶν αὐτῶν προσεφέροντο ἀεὶ, μὴ ἰσχυουσῶν τῶν γεγονυιῶν καὶ γινομένων θυσιῶν B καὶ προσφορῶν μηδεμίαν ἁμαρτίαν καθαρῶς περιελεῖν καὶ ὁλοκλήρως. « Αὐτὸς δὲ μίαν » ὁ Χριστὸς δηλονότι. « Ὑπὲρ ἁμαρτιῶν. » Τῶν ἡμετέρων, ὑπὲρ ὧν πέπονθεν. « Εἰς τὸ διηνεκές. » Μίαν, εἰς τὸ διηνεκὲς ἀρκοῦσαν. « Τὸ λοιπὸν ἐκδεχόμενος. » Καὶ τίνος ἕνεκεν οὐκ εὐθέως ἐτέθησαν ὑπὸ τοὺς πόδας αὐτοῦ οἱ ἐχθροὶ αὐτοῦ; Διὰ τοὺς μέλλοντας γίνεσθαι καὶ τίκτεσθαι πιστούς. Οὐ γὰρ δαίμονες μόνον εἰσὶν ἐχθροὶ, ἀλλὰ καὶ ἄπιστοι. « Ἕως τεθῶσιν. » Οὐκ εἶπεν Ὑποταγῶσιν, ἀλλὰ τὸ μέγιστον τῆς ὑποταγῆς σημαίνων, Τεθῶσιν, εἶπεν, ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. Τοῦ δὲ τεθῆναι αὐτοὺς ὑποπόδιον, ἀπόδειξις τὸ καθῆσθαι αὐτὸν ἐν δεξιᾷ τοῦ C Πατρός. « Μιᾷ γὰρ προσφορᾷ, » ἣν προσήνεγκεν ὁ Χριστὸς, τετελείωκεν, τελείους ἀπειργάσατο, τελείως ἀπήλλαξε τῶν ἁμαρτιῶν. « Τοὺς ἁγιαζομένους. » Τουτέστι, τοὺς πιστούς. Οὗτοι γὰρ ἐκ τῆς εἰρημένης προσφορᾶς ἁγιάζονται. « Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα. » Τί μαρτυρεῖ; Ὅτι ἀφέθησαν ἡμῶν αἱ ἁμαρτίαι. « Καὶ τῶν ἁμαρτιῶν αὐτῶν. » Προσέθηκε, φησὶ, Καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. Ὁρᾷς ὅτι ἐμαρτύρησεν ἄφεσιν ἁμαρτιῶν; Τότε δὲ ἄφῆκεν, ὅτε τὴν νέαν ἐδίδου διαθήκην. Τὴν δὲ νέαν διαθήκην, διὰ τῆς θυσίας ἔδωκε τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. « Ὅπου δὲ ἄφεσις τούτων. » Τῶν ἁμαρτιῶν δηλονότι. « Οὐκ ἔτι προσφορὰ περὶ D ἁμαρτίας. » Τίς γὰρ, φησὶ, χρεία πολλῶν προσφορῶν, τῆς μιᾶς ἣν Χριστὸς προσήγαγεν, ἰσχυσάσης περιελεῖν τὰς ἁμαρτίας;

Ἔχοντες οὖν, ἀδελφοὶ, παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος, τουτέστι, τῆς σαρκὸς αὐτοῦ, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ. Πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος.

Ἐπειδὴ ἀπέδειξε πολὺ τὸ μέσον τῆς νέας ὡς πρὸς τὴν παλαιὰν, ἦλθεν εἰς τὸν περὶ πίστεως καὶ βίου

λόγον. « Παῤῥησίαν εἰς τὴν εἴσοδον. » Ὥσπερ, φησὶν, ἠσχυνόμεθα πρότερον ἁμαρτιῶν γέμοντες, οὕτως νῦν ἔχομεν παῤῥησίαν εἰσιέναι ἐν τῷ οὐρανῷ, διὰ τὴν δωρηθεῖσαν ἡμῖν ἄφεσιν. « Εἴσοδον γὰρ ἁγίων. » Τὸν οὐρανόν φησι, καὶ τὴν πρόοδον τὴν εἰς τὰ πνευματικά. Ἐν τῷ αἵματι Ἰησοῦ. « Διὰ τοῦ αἵματος. » Διὰ γὰρ τοῦ αἵματος τοῦ σταυροῦ τοῦ Χριστοῦ, τὴν ἄφεσιν ἔχομεν καὶ τὴν παῤῥησίαν. « Ἣν ἐνεκαίνισεν ἡμῖν. » Ἣν εἴσοδον τῶν ἁγίων, καὶ ὁδὸν ἀπάγουσαν εἰς αὐτὴν, νῦν νεωστὶ ἔτεμε. Τοῦτο γὰρ τὸ, ἐνεκαίνισε. « Πρόσφατον. » Ἐκ τῶν ἡμετέρων, φησὶν, ἀρξαμένην χρόνων. Καύχημα δὲ ἡμῖν τοῦτο, ὅτι ἐπὶ τῶν χρόνων τῶν ἀμφὶ τὸν Ἀβραὰμ, οὐκ ἦν αὕτη ἡ ὁδὸς, ἀλλ' ἐφ' ἡμῶν. « Καὶ ζῶσαν. » Ἡ γὰρ πρώτη ὁδὸς ἐπὶ θάνατον ἦγε καὶ εἰς ἀπιστίαν· αὕτη δὲ καὶ εἰς ζωὴν ὄντως φέρει, ὅτι καὶ αὐτὴ ζῇ καὶ διαιωνίζει· πρόσφατον εἰπὼν, ἵνα μή τις εἴπῃ· Οὐκοῦν εἰ πρόσφατος καὶ παυθήσεται· γηράσκουσα γὰρ καὶ παλαιουμένη καὶ αὕτη ὥσπερ καὶ ἡ τῆς παλαιᾶς διαθήκης καταλυθήσεται. Οὐμενοῦν, φησίν. Ἀλλὰ πρόσφατος οὖσα, ἀεὶ νεάζουσα καὶ ζῶσα ἔσται, οὐδέποτε ἐπιδεχομένη θάνατον καὶ κατάλυσιν. « Διὰ τοῦ καταπετάσματος. » Ταῦτα γὰρ πάντα τὰ ἀγαθὰ, διὰ τῆς τοῦ Χριστοῦ σαρκὸς καὶ τῆς σφαγῆς αὐτῆς, γέγονεν ἡμῖν. Αὕτη καὶ κατεσκεύασε προσφάτως τὴν εἰς οὐρανοὺς ὁδὸν, πρώτη βαδίσασα αὐτήν. Καλῶς δὲ τὴν τοῦ Χριστοῦ σάρκα καταπέτασμα καλεῖ. Ὅτε γὰρ ἐπῄρθη εἰς ὕψος, τουτέστιν, ἐν τῷ σταυρῷ, τότε ἐφάνη τὰ ἐν οὐρανοῖς, ὅπερ οἰκεῖον καταπετάσματος, καὶ ὅτι ἔκρυπτεν ἐν ἑαυτῇ τὴν Θεότητα. Καὶ τοῦτο γὰρ ἴδιον καταπετάσματος.

« Καὶ ἱερέα μέγαν. » Τὸ, ἔχοντες, ἀπὸ κοινοῦ. Ἱερέα δέ φησι τὸν Κύριον. « Ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ. » Οἶκον Θεοῦ τοὺς πιστοὺς λέγει, κατὰ τὸ, « Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω. »—« Προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας. » Τῇ πίστει τοῦ Χριστοῦ μετὰ ἀληθείας, μηδὲν νόθον ἢ ὑπουλον ἔχοντες. « Ἐν πληροφορίᾳ πίστεως. » Ἐπειδὴ γὰρ λοιπὸν οὐκ ἔστιν ὁρατὸν οὐδὲν, οὔτε ὁ ναὸς, τουτέστιν, ὁ οὐρανὸς, οὔτε ὁ ἀρχιερεὺς, τουτέστι, Χριστὸς, οὔτε ἡ θυσία, τουτέστι, τὸ σῶμα αὐτοῦ, χρεία λοιπὸν πίστεως. Καὶ ἐπειδὴ ἔνι καὶ πιστεύειν καὶ διστάζειν, φησὶν, Ἐν πληροφορίᾳ πίστεως, τουτέστιν, ἵνα πεπληροφορημένοι ὦμεν περὶ τούτων. « Ἐῤῥαντισμένοι τὰς καρδίας. » Δείκνυσιν ὅτι οὐ πίστεως μόνης χρεία, ἀλλὰ καὶ ὀρθοῦ βίου. « Ἐῤῥαντισμένοι. » Οἱ Ἰουδαῖοι, φησὶν, ῥαντίζονται τὰ σώματα αὐτῶν, ἡμεῖς δὲ ῥαντίσωμεν καὶ ἀποκαθάρωμεν τὰς συνειδήσεις ἡμῶν, εἰς τὸ μηδὲν ἡμᾶς ἑαυτοῖς συνειδέναι πονηρόν. « Ὕδατι καθαρῷ, » τουτέστι, τῷ βαπτίσματι. Ἰουδαῖοι μὲν γὰρ λουόμενοι, τὸ σῶμα μόνον ἐκάθαιρον, ἡμεῖς δὲ ψυχὴν καθαίρωμεν τῷ βαπτίσματι. Καθαρὸν γάρ ἐστι τὸ παρ' ἡμῖν ὕδωρ, τουτέστι, καθαροποιόν. « Κατέχωμεν τὴν ὁμολογίαν. » Κατάσχωμεν, φησὶ, τὴν περὶ

A de fide et vita. « Libertatem ad auditum. » Quemadmodum, inquit, antea pudore suffundebamur quod essemus pleni peccatis, ita nunc libertatem habemus ingrediendi in cœlum propter donatam nobis remissionem. « Aditum in sancta. » Cœlum dicit, et progressum ad spiritualia. « Per sanguinem. » Ut ἐν, id est *in*, capiatur pro διά, id est *per*. Nam per crucis Christi sanguinem habemus remissionem ac libertatem. « Quem innovavit nobis. » Quem aditum in sancta et viam ad illum ducentem, nunc nuper incidit; hoc enim significat ἐνεκαίνισε, id est innovavit. « Recentem. » Qui nostris, inquit, temporibus sumpsit initium. Id autem ad nostram cedit gloriationem, quod Abrahæ temporibus non fuerit hæc via, sed nostris. « Ac viventem. » Prima namque via ad mortem ducebat et incredulitatem : hæc autem et ad veram fert vitam, quia ipsa quoque vita est, et perpetuos efficit. Cum recentem dixisset, ne quis subjungeret, Igitur si recens est, etiam cessabit; ipsa quoque senescens ac veterascens, quemadmodum et ea quæ veteris erat instrumenti, dissolvetur. Nequaquam, inquit, sed cum recens sit, semper juvenescens ac viva permanebit, nunquam excipiens mortem ac dissolutionem. « Per velamentum. » Nam hæc universa bona per Christi **397** carnem et carnis immolationem contigerunt nobis. Hæc caro etiam recenter viam præparavit ad cœlos, cum prima per eam ingressa sit. Recte autem velamentum appellat : quando enim in sublime elevatus est, nempe in cruce, tunc apparuerunt quæ in cœlis erant : siquidem id proprium est veli, sive velamenti; sive etiam quia Divinitatem in se occultabat.

« Et sacerdotem magnum. » A communi sensu supplendum est : Cum habeamus. Porro sacerdotem dicit Dominum. « Præfectum domui Dei. » Domum Dei vocat ipsos fideles, propter id quod scriptum est: «Inhabitabo in illis et inambulabo[84]. » « Accedamus cum vero corde, » ad fidem Christi cum veritate, nihil adulterinum aut subdolum habentes. « In certitudine fidei. » Quoniam enim nihil est posthac visibile : neque templum, id enim est cœlum; neque pontifex, is est Christus; neque victima, hæc corpus est ipsius : necessaria in posterum est fides. Verum quia contingit credere simul et hæsitare, ait : In certitudine fidei, hoc est, ut certi simus de his. « Aspersis cordibus. » Ostendit quod non sola fide opus sit, sed et recta vita. « Aspersis cordibus. » Judæi, inquit, aspergunter corporibus suis, nos vero aspergamus ac purificemus conscientias nostras, ut nullius mali simus nobis conscii. « Aqua pura. » Hoc est, baptismate. Judæi namque loti, corpus tantum purificabant, nos autem animam purificemus baptismate. Pura est enim aqua quæ apud nos est, hoc est purificans. « Teneamus confessionem. » Servemus, inquit, confessionem quæ est circa hanc

[84] Levit. xxvi, 12; II Cor. vi, 16.

apud me est, ut ulciscar : « Ego rependam, dicit Dominus [67]. » Sensim autem hoc dicendo consolatur eos ob mala quæ passi erant a propriis contribulibus. Ac si diceret: Quid mœretis? cum habeatis ultorem et cum qui pœnas rependit iis qui vos affligunt?

A νεῖτε; ἔχετε τὸν ἐκδικοῦντα καὶ ἀνταποδιδόντα τοῖς ἐπηρεάζουσιν ὑμᾶς δίκην.

CAPUT XV.

Quod bonum initium ad bonum finem deducit.

X, 32-36. *Redeant autem vobis in memoriam superiores dies, in quibus illuminati, ingens certamen sustinuistis afflictionum : partim quidem dum et probris et contumeliis affecti spectaculo fuistis, partim vero dum consortes ita conversantium facti estis. Siquidem et afflictionum quæ ex vinculis meis contigerunt participes fuistis,* **401** *et direptionem facultatum vestrarum cum gaudio accepistis, scientes vos habere in vobis potiorem substantiam* B *in cœlo ac manentem. Ne abjeceritis igitur fiduciam vestram, quæ magnam habet præmii retributionem. Nam patientia vobis est opus, ut ubi voluntatem Dei peregeritis, reportetis promissionem.*

Ab exordio, inquit, fidei vestræ statim decertastis ; hoc certamen in mente habetote, ne quo modo per segnitiem perdatis priorum certaminum præmia. Considera ingenii dexteritatem. Ubi ipsorum animas facta illius ignis mentione commovit, nunc per encomia ipsos adhortatur. « In quibus illuminati. » Aut circa baptisma, inquit, illuminati, aut circa Christi cognitionem. « Partim quidem dum et probris. » Robusta opus est anima ad ferenda probra et injurias, etiam si privatim et occulte fiant : quoniam autem manifeste et coram C omnibus fiebant (nam hoc significat : Spectaculo afluistis), robustior est necessaria. « Partim vero dum consortes. » Non solum, inquit, proprias injurias virili animo tulistis, sed et consortes fuistis eorum qui injuria afficiebantur, apostolos significans, versatos videlicet in contumeliis et afflictionibus. « Siquidem et afflictionum quæ ex vinculis meis contigerunt, participes fuistis. » Non solum, inquit, non opus fuit vobis consolatione, sed aliis quoque vinctis manus auxiliatrices porrexistis. « Et direptionem. » Magnum est ferre direptionem facultatum. Quod autem etiam cum gaudio feratur, apostolicum est. « Cum gaudio accepistis. » Voluntariam ipsorum patientiam collaudat. « Scientes vos habere. » Ecce fidem quo- D que illos habere testatur. « Ac manentem. » Hoc est firmam, non quasi pereuntem, et ab aliis ad alios transeuntem. — « Ne abjeceritis igitur. » Ostendit ipsos adhuc his affici. « Fiduciam vestram. » Habent enim a Deo fiduciam qui talia propter ipsum patiuntur. « Ne abjeceritis igitur fiduciam vestram. » Quæ opera vestra consequitur, quæ fidem, quæ afflictiones, quæ pœnitentiam: nam hæc magna sunt ad præstandam nobis fiduciam quod promissa consecuturi simus. « Quæ magnam habet præmii retributionem. » Et unde

[67] I Thess. II, 14.

ΚΕΦΑΛ. ΙΕ'.

Περὶ τοῦ καλὴν ἀρχὴν εἰς καλὸν τέλος προαγαγεῖν.

Ἀναμιμήσκετε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων, τοῦτο μὲν ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. Καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν. Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην. Ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν.

Παρὰ τὴν ἀρχὴν, φησὶ, τῆς πίστεως ὑμῶν ἠγωνίσασθε. Τοῦτον ἐν νῷ ἔχετε τὸν ἀγῶνα, μή πως διὰ ῥᾳθυμίας ἀπολέσητε τὰ προηγωνισμένα. Ὅρα εὐφυΐαν. Κατασείσας αὐτῶν τὰς ψυχὰς τῇ μνήμῃ τοῦ πυρὸς ἐκείνου, νῦν δι' ἐγκωμίων αὐτοὺς προτρέπεται. « Ἐν αἷς φωτισθέντες. » Ἢ περὶ τοῦ βαπτίσματός φησι τὸ, φωτισθέντες, ἢ περὶ τῆς ἐπιγνώσεως τοῦ Χριστοῦ. « Τοῦτο μὲν, ὀνειδισμοῖς. » Γενναίας δεῖται ψυχῆς τὸ ἐνεγκεῖν ὀνειδισμοὺς καὶ ὕβρεις, εἰ καὶ κατ' ἰδίαν γίνωνται. Ἐπειδὴ δὲ φανερῶς καὶ ἐπὶ πάντων, (τοῦτο γὰρ τὸ, θεατριζόμενοι), γενναιοτέρας χρῄζει. « Τοῦτο δὲ κοινωνοί. » Οὐ μόνον, φησὶ, τὰς εἰς ὑμᾶς ὕβρεις γενναίως ἠνέγκατε, ἀλλὰ καὶ κοινωνοὶ τῶν ὑβριζομένων ἐγένεσθε, τοὺς ἀποστόλους δηλῶν, ἀναστρεφομένων δὲ, ἐν ὀνειδισμοῖς καὶ θλίψεσι. « Καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε. » Οὐ μόνον, φησὶν, ὑμεῖς οὐκ ἐδεήθητε παρακλήσεως, ἀλλὰ καὶ ἄλλοις δεδεμένοις χεῖρας ὠρέγετε. « Καὶ γὰρ τὴν ἁρπαγήν. » Μέγα τὸ ἐνεγκεῖν τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων, τὸ δὲ καὶ μετὰ χαρᾶς, ἀποστολικόν. « Μετὰ χαρᾶς προσεδέξασθε. » Τὴν ἑκούσιον αὐτῶν ὑπομονὴν ἐπαινεῖ. « Γινώσκοντες ἔχειν. » Ἰδοὺ καὶ πίστιν αὐτοῖς μαρτυρεῖ. « Καὶ μένουσαν. » Τουτέστι βεβαίαν, οὐχ ὡς τὴν ἐνταῦθα, τὴν ἀπολλυμένην, καὶ μεταβαίνουσαν ἀπ' ἄλλων εἰς ἄλλους. — « Μὴ ἀποβάλητε οὖν. » [ΦΩΤ.] Δείκνουσιν ἔτι αὐτοὺς ἐχομένους τῶν αὐτῶν. « Τὴν παῤῥησίαν ὑμῶν. » Ἔχουσι γὰρ παῤῥησίαν παρὰ Θεῷ οἱ τοιαῦτα δι' αὐτὸν ὑπομένοντες. « Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, » τὴν ἀπὸ τῶν ἔργων ὑμῶν, τὴν ἀπὸ τῆς πίστεως, τὴν ἀπὸ τῶν πειρασμῶν, τὴν ἀπὸ τῆς ὑπομονῆς. Ταῦτα γάρ ἐστι τὰ μεγάλα ἡμῖν τὴν παῤῥησίαν, ὅτι τευξόμεθα τῆς ἐπαγγελίας, χαριζόμενα. « Ἥτις ἔχει μισθαποδοσίαν. » Καὶ πόθεν τοῦτο δῆλον ; Ὑμεῖς, φησὶ, μάρτυρες, οἱ γινώσκοντες ἔχειν κρείττονα ὕπαρξιν ἐν οὐρανῷ καὶ μένουσαν. « Ὑπομονῆς γὰρ ἔχετε χρείαν. » Οὐχὶ προσθή-

κην, ἀλλ' ὑπομονὴν ζητῶ, ἵνα τοῖς αὐτοῖς ἐπιμείνητε. « Ἵνα τὸ θέλημα τοῦ Θεοῦ. » Θέλημα τοῦ Θεοῦ, τὸ ἄχρι τέλους ἐπιμεῖναι τοῖς αὐτοῖς, καὶ τὸ ὑπομεῖναι τὴν ἀναβολὴν τῆς ἀνταποδόσεως καὶ τῆς ἐπαγγελίας. — [ΦΩΤ.] Θέλημα τοῦ Θεοῦ, τὸ πιστεύειν εἰλικρινῶς εἰς αὐτὸν, καὶ πράττειν τὰς ἀρετὰς, καὶ ἔτι τὸ ὑπὲρ αὐτῶν καιροῦ καλοῦντος μέχρις αἵματος ἀγωνίζεσθαι. Οἱ γὰρ τοιοῦτοι κομίζονται τὴν ἐπαγγελίαν.

A hoc manifestum est ? Vos, inquit, **402** testes estis, qui cognoscitis vos habere potiorem substantiam in cœlo ac manentem. « Nam patientia vobis est opus. » Non augmentum, sed patientiam expeto, ut in iisdem perseveretis. « Ut, ubi voluntatem Dei peregeritis. » Voluntas Dei est ut in eisdem usque ad finem perseveretis, et dilationem retributionis ac promissionis sustineatis. — Voluntas Dei est ut in eum sincere credatis ac virtutes operemini, et pro ipsis insuper ubi tempus expetierit ad sanguinem usque decertetis : tales enim referunt promissionem.

Ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ. Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται, καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.

X, 37-39. *Adhuc enim perpusillum temporis, et qui venturus est veniet et non tardabit. Justus autem ex fide vivet, et si se subduxerit non probabitur animo meo. At nos non sumus qui subducamus nos in perditionem, sed ad fidem pertinemus in acquisitionem animæ.* B

Καὶ πότε, φησὶν, ἔχομεν κομίσασθαι τὴν ἐπαγγελίαν ; Μὴ ἀποκνήσητε, φησίν. Ἐγγύς ἐστιν ὁ παρέχων. « Ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ. » Τὸ δὲ, ὅσον ὅσον, τὸ πάνυ μικρὸν δηλοῖ. « Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. » Δεῖ οὖν πιστεύειν ὅτι ἥξει· ὁ γὰρ δίκαιος ἐκ πίστεως ζήσεται. Ἐὰν δὲ, φησὶ, ῥαθυμήσας ὑποσταλῇ, ἢ ἐκ τῆς πίστεως, ἢ ἐκ τῶν πειρασμῶν, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. Ὡς ἀπὸ τοῦ Χριστοῦ δέξαι τοῦτο ὅλον. Τὸ δὲ, Οὐκ εὐδοκεῖ, τουτέστιν, οὐδὲν ἀγαθὸν βουληθῇ ἢ θελήσει ἡ ψυχή μου. « Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν. » Ἐπειδὴ κατέπληξεν αὐτοὺς εἰρηκὼς, Ἐὰν ὑποστείληται, φησὶν, Οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. Διορθοῦται αὐτὸ, καὶ φησὶν· C Ἡμεῖς οὐκ ἐσμὲν τῆς ὑποστολῆς καὶ τῆς ῥαθυμίας, ἅπερ εἰς ἀπώλειαν ἄγει, ἀλλὰ τῆς πίστεως, φησὶν, εἰς τὸ περιποιῆσαι ἑαυτῶν τὰς ψυχὰς καὶ σωθῆναι.

Et quando possumus, inquit, accipere promissionem ? Ne segnes efficiamini, ait : in proximo est is qui rependit. « Adhuc enim perpusillum temporis, et qui venturus est veniet et non tardabit. » Nam quod ait ὅσον ὅσον significat valde breve tempus. « Justus autem ex fide vivet. » Oportet igitur credere quod veniet, nam justus ex fide vivet. Si autem segnior, inquit, effectus se subduxerit, aut ex fide, aut ex afflictionibus, non probabitur animo meo : ut a Christo accipiatur in solidum : Quod autem ait Οὐκ εὐδοκεῖ ἡ ψυχή μου, hoc est nullum ipsius bonum gratum habebit aut volet anima mea. « At nos non sumus qui subducamus nos in perditionem. » Quoniam terruerat eos dicendo. Si se subduxerit, non probabitur animo meo ; corrigit illud et ait : Non sumus qui subducamus nos vel segnes simus, quod in perditionem ducit : sed ad fidem pertinemus, ad possidendum et salvandum nostras animas.

ΚΕΦΑΛ. ΙϚ'.

Περὶ πίστεως ἧς καὶ τοὺς παλαιοὺς δοξασίσης.

Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων. Ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι. Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι. Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ, καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται.

CAPUT XVI.

De fide quæ veteres quoque glorificavit.

XI, 1-4. *Est autem fides earum rerum quæ sperantur substantia, argumentum eorum quæ non videntur : per hanc enim testimonium acceperunt seniores. Per fidem intelligimus perfecta fuisse sæcula verbo Dei, ut ex his quæ non apparebant, ea quæ videntur fierint. Per fidem, hostiam uberiorem* D *Abel obtulit Deo quam Cain, per quam testimonium meruit quod esset justus, testimonium perhibente de donariis illius Deo, et per ipsam mortuus adhuc loquitur.*

Λοιπὸν ἐκφράζει τί ἐστὶ πίστις, καὶ φησι, Πίστις ἐστὶν αὐτὴ ἡ ὑπόστασις καὶ οὐσία τῶν ἐλπιζομένων πραγμάτων. Ἐπειδὴ γὰρ τὰ ἐν ἐλπίσιν ἀνυπόστατά ἐστιν, ὡς τέως μὴ παρόντα, ἡ πίστις οὐσία τις αὐτῶν καὶ ἡ ὑπόστασις γίνεται, εἶναι αὐτὰ καὶ παρεῖναι τρόπον τινὰ παρασκευάζουσα, διὰ τοῦ πιστεύειν εἶναι. Ἔστι δὲ ἡ πίστις ἔλεγχος καὶ ἀπόδειξις τῶν οὐ βλεπομένων. Ἀποδείκνυσι δὲ ὁρατὰ τὰ ἀόρατα. Ἡ πίστις πῶς ; τῷ νῷ καὶ ταῖς ἐλπίσιν ὁρῶσα τὰ μὴ φαινόμενα. « Ἐν ταύτῃ γὰρ ἐμαρτυ-

Exprimit consequenter quid sit fides, et ait : Fides est substantia ac essentia earum rerum quæ sperantur. Nam quoniam ea quæ spei subsistunt sentiri nequeunt, ut quæ interim præsentia non sunt, fides essentia quædam ipsorum est et substantia, efficiens ut sint et quodammodo præsentia fiant, eo quod credat ea esse. Est autem fides argumentum ac demonstratio eorum quæ non videntur. Exhibet namque fides visibilia ea quæ sunt invisibilia. Quomodo ? mente et ipse videns

ea quæ non apparent. « Per hanc enim testimonium acceperunt. » Per fidem testimonium a Deo acceperunt quod placuissent ipsi. « Seniores. » Quinam? hi quos recensebit: « Per fidem intelligimus perfecta fuisse sæcula. » Nam quæ ratio posset id demonstrare? oportet itaque sibi fide persuadere: « Ut ex his quæ non apparebant. » Quis enim sermo demonstrabit illa fuisse deducta ad esse ex eo quod non erat? « Uberiorem hostiam Abel. » Cujus enim alterius exemplo Deum honorabat, nisi quod fide credebat horum fieri retributionem? « Per quam testimonium meruit quod esset justus. » Cum enim dixerit Deus ad Cain, Num si recte obtuleris, non recte autem diviseris: testificatus est de Abel quod et recte obtulerit et recte diviserit. Dicitur quoque ignis e cœlo delapsus fuisse super ipsius holocaustum. **404** « Et per ipsam mortuus. » Videlicet hostiam. Nam hostia fuit ipsi cædis occasio. Quod ait: Per ipsam mortuus adhuc loquitur, aut intelligitur quod ipsa hostia fratri fuit invidiæ ac æmulationis occasio: porro hæc peperit homicidium. Aut quod per ipsam loquitur, tametsi mortuus: nam hæc causa est cur Abel in perpetua sit memoria, nec unquam oblivioni tradatur. Aut si quis exactius utrumque consideret, a communi sententia accipiatur. Per ipsam, ut referatur et ad Mortuus et ad Loquitur: ut sit sensus: Per ipsam vel propter ipsam hostiam mortuus, adhuc loquitur per ipsam. Aut per ipsam fidem; loquitur autem fama, gloria, memoria. « Adhuc loquitur. » In perpetua memoria est. Non sinit ipsum, opus suum quod ex fide processit, in oblivionem venire.

A ρήθησαν. » Ἐν τῇ πίστει ἐμαρτυρήθησαν ὑπὸ Θεοῦ, εὐηρεστηκέναι αὐτῷ. « Οἱ πρεσβύτεροι. » Ποῖοι; περὶ ὧν μέλλει λέγειν· « Πίστει νοοῦμεν κατηρτίσθαι. » Τίς γὰρ ἰσχύει λογισμὸς τοῦτο παραστῆσαι; δεῖ οὖν αὐτῷ πίστει εἰδέναι. Εἰς τὸ, « Μὴ ἐκ φαινομένων. » Τὰ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθέντα, τίς παραστήσει λόγος; « Πλείονα θυσίαν Ἄβελ. » Τίνα γὰρ ἑωρακὼς ἕτερον, ἐτίμα τὸν Θεὸν, ἢ ὅτι πιστεύσας εἶναι τούτων ἀντίδοσιν; « Δι' ης ἐμαρτυρήθη εἶναι δίκαιος. » Ὁ γὰρ πρὸς τὸν Κάϊν εἰρηκὼς Θεὸς, Οὐκ ἂν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἐμαρτύρησε τῷ Ἄβελ καὶ ὀρθῶς προσενεγκόντι, καὶ ὀρθῶς διελόντι· λέγεται καὶ πῦρ κατενηνέχθαι ἐπὶ τῇ ὁλοκαυτώσει αὐτοῦ, ἀπὸ τοῦ οὐρανοῦ. « Καὶ δι' αὐτῆς ἀποθανών. » Τῆς θυσίας τουτέστι. Πρόφασις γὰρ αὐτῷ γέγονεν ἡ θυσία σφαγῆς. Τὸ, δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται, ἢ ὅτι αὐτὴ ἡ θυσία κατέστη τῷ ἀδελφῷ εἰς βασκανίας πρόφασιν καὶ φθόνου, ὁ δὲ ἔτεκε τὸν φόνον. Ἢ ὅτι δι' αὐτῆς λαλεῖται, καίτοι ἀποθανών. Αὕτη γὰρ γέγονεν αἰτία τοῦ ἀείμνηστον καὶ ἀλάθητον εἶναι τὸν Ἄβελ. Ἢ, εἴ τις ἀκριβέστερον ἐπισκοπήσει ἀμφότερα, ἀπὸ κοινοῦ λαμβανομένου τοῦ, Δι' αὐτῆς, οἷον κατά τε τοῦ Ἀποθανὼν, καὶ τοῦ Λαλεῖται. — [OIKOYM.] Ἢ δι' αὐτῆς τῆς πίστεως. Λαλεῖ δὲ, τῇ φήμῃ, τῇ δόξῃ, τῇ μνήμῃ. — [ΦΩΤ.] « Ἔτι λαλεῖται. » Ἀείμνηστός ἐστιν. Οὐκ ἐᾷ αὐτὸν ἡ πρᾶξις αὐτοῦ, ἡ ἐκ πίστεως, εἰς λήθην, φησὶν, ἐλθεῖν.

B

C *Πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον, καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός. Πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ, μεμαρτύρηται εὐηρεστηκέναι Θεῷ. Χωρὶς δὲ πίστεως, ἀδύνατον εὐαρεστῆσαι. Πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἔστι. Καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν, μισθαποδότης γίνεται. Πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν, εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ. Δι' ἧς κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος.*

Xl, 5-7. *Per fidem Enoch fuit translatus ne videret mortem, nec fuit inventus, propterea quod transtulerat ipsum Deus: priusquam enim transferretur testimonium meruerat quod placuisset Deo. Atque sine fide fieri non potest ut quis illi placeat. Nam qui accedit ad Deum hunc credere oportet esse Deum, et esse remuneratorem quærentibus se. Per fidem admonitus oraculo Noe ea quæ nondum videbantur veritus, apparavit arcam ad salutem domus suæ, per quam condemnavit mundum: et ejus quæ secundum fidem est justitiæ factus est hæres.*

« Per fidem Enoch. » Ex illo præfigurabatur mortis abolitio. Siquidem per Abel ostensa fuit sententiæ confirmatio, per Enoch vero illius abolitio. Credidit autem Enoch Deum esse præmii remuneratorem: ideo etiam placuit: atque in tantum fidei erant quæ videbantur, ut etiam contrarium appareret. Abel enim cum Deo placuisset, jugulatus tamen est, nec voluit Deus cum eo connivere ne moreretur; ideo per solam fidem Enoch placebat Deo, credens esse bonorum retributionem. Propter fidem igitur placebat, et quia placebat translatus est. « Ne videret mortem. » Vivens enim translatus est, et adhuc vivit: porro ubi et quomodo, incertum est. « Atqui sine fide fieri non potest ut quis illi placeat. » Siquidem nisi quis crederet bonorum et malorum fieri remunerationem, nequaquam placere posset. Quis enim per laboriosam

D «Πίστει Ἐνώχ.» Ἐξ ἐκείνου προετυποῦτο ἡ ἀναίρεσις τοῦ θανάτου. Διὰ μὲν γὰρ τοῦ Ἄβελ ἐδείχθη τῆς ἀποφάνσεως τὸ βέβαιον. Διὰ δὲ τοῦ Ἐνὼχ, ἡ ἀναίρεσις αὐτῆς. Ἐπίστευσε δὲ Ἐνὼχ, ὅτι μισθαποδότης ὁ Θεός. Διὸ καὶ εὐηρέστησε. Καὶ τοσοῦτον πίστεως ἦν τὰ ὁρώμενα, ὅτι καὶ τὸ ἐναντίον παρέθετο. Ὁ γὰρ Ἄβελ εὐαρεστήσας Θεῷ, καὶ ἐσφάγη, καὶ οὐκ ἐπήμυνεν αὐτῷ ὁ Θεὸς πρὸς τὸ μὴ ἀποθανεῖν. Διὸ πίστει μόνῃ ὁ Ἐνὼχ εὐηρέστει Θεῷ, πιστεύων εἶναι τῶν ἀγαθῶν ἀντίδοσιν. Διὰ οὖν τὴν πίστιν εὐηρέστει, καὶ διὰ τὴν εὐαρέστησιν μετετέθη. « Τοῦ μὴ ἰδεῖν θάνατον. » Ζῶν γὰρ μετετέθη, καὶ ἔτι ζῇ. Ποῦ δὲ, ἢ πῶς, ἄδηλον. « Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι. » Εἰ γάρ τις μὴ πιστεύσειεν ἀντίδοσιν εἶναι καλῶν ἔργων καὶ κακῶν, οὐκ ἂν εὐαρεστήσῃ. Τίς γὰρ ἂν τὴν ἐπίπονον τῆς ἀρετῆς ὁδεύσῃ τρίβον, μὴ πεπεισμένος εἶναί τινας ἀμοιβάς; « Πιστεῦσαι

γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ. » Οὐ τί ἐστιν, οὐδὲ τὴν οὐσίαν περιεργάσασθαι, ἀλλὰ δεῖ πιστεῦσαι μόνον ὅτι ἔστι, καὶ ὅτι ἀποδίδωσι μισθὸν τοῖς ἐκζητοῦσιν αὐτόν. « Πίστει χρηματισθεὶς Νῶε. » Τὸ, πίστει, τῷ, εὐλαβηθεὶς, σύνταξον, ἵνα ᾖ οὕτως· Χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, πίστει εὐλαβηθεὶς κατεσκεύασε κιβωτόν. Πίστεως γὰρ ἦν τὸ ἀκούσαντα ὅτι ἔσται κατακλυσμὸς, εὐλαβηθῆναι καὶ πτοηθῆναι. « Χρηματισθείς. » Ἀκούσας ὑπὸ τοῦ Θεοῦ. Ἀλλαχοῦ φησιν, Ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος. Ὁρᾷς ἰσοτιμίαν; Ὥσπερ ὁ Πατὴρ χρᾷ, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον. « Περὶ τῶν μηδέπω βλεπομένων. » Τοῦ κατακλυσμοῦ φησιν. « Δι' ἧς κατέκρινε τὸν κόσμον. » Ἔδειξεν αὐτοὺς ἀξίους ὄντας κολάσεως, ὅτι μηδὲ, κατασκευαζομένην ὁρῶντες τὴν κιβωτὸν, ἐπίστευσαν ἔσεσθαι κατακλυσμόν. « Καὶ τῆς κατὰ πίστιν δικαιοσύνης. » Τῆς διὰ πίστεως συστάσης. Ἐκείνη γὰρ αὐτὸν ἡ πίστις ἐδικαίωσεν, ἣν ἐπίστευσε τῷ Θεῷ.

A **405** virtutis semitam graderetur, nisi sibi persuasum esset aliquid fore remunerationis? « Nam qui accedit ad Deum, hunc credere oportet. » Non quid sit, neque essentiam curiose scrutari, sed tantum credere oportet quod sit, et quod rependit mercedem quærentibus se. « Per fidem admonitus Noe. » Per fidem, adjunge ei quod sequitur : Veritus, ut sit hic sensus : Admonitus oraculo Noe, ea quæ nondum videbantur per fidem veritus, apparavit arcam. Fidei namque erat quod audiens futurum diluvium vereretur, et pavore consternaretur « Admonitus oraculo. » Hoc est, cum a Deo audisset. Alibi dicitur : Responsum acceperat, sive admonitus erat a Spiritu sancto [87]. Vides honoris æqualitatem? Quemadmodum Pater oraculo respondet,

B ita, et Spiritus sanctus. « Ea quæ nondum videbantur. » Diluvium dicit. « Per quam condemnavit mundum. » Ostendit ipsos fuisse dignos supplicio, quod neque intuentes parari arcam, crediderunt fore diluvium. « Et ejus quæ secundum fidem est justitiæ. » Quæ per fidem constituitur. Nam illa fides eum justificavit qua credidit Deo.

Πίστει καλούμενος Ἀβραὰμ, ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον, ὃν ἤμελλε λαμβάνειν εἰς κληρονομίαν. Καὶ ἐξῆλθε μὴ ἐπιστάμενος ποῦ ἔρχεται. Πίστει παρῴκησεν εἰς γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς. Ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. Πίστει καὶ αὐτὴ Σάρρα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν, ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον. Διὸ καὶ ἀφ' ἑνὸς ἐγεννήθησαν, καὶ ταῦτα νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, ὡς καὶ ἡ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος.

C *XI, 8-12. Per fidem vocatus Abraham obedivit ut exiret in locum quem acceperat erat in hæreditatem : et exivit nesciens quo esset venturus. Per fidem commigravit in terram promissionis veluti peregrinam, cum in tabernaculis habitasset cum Isaac et Jacob, cohæredibus ejusdem promissionis. Exspectabat enim habentem fundamenta civitatem, cujus opifex et conditor est Deus. Per fidem et ipsa Saru vim ad concipiendum ac retinendum semen accepit, et præter ætatis rationem peperit, quod fidelem judicaret eum qui promiserat. Quapropter et ex uno nati sunt, eoque jam effœto, tanto numero quanto sunt stellæ cœli, et velut arena quæ est juxta marginem maris innumerabilis.*

« Πίστει καλούμενος Ἀβραάμ. » Οὐ γὰρ ἂν ὑπερῆκουσεν, εἰ μὴ ἐπίστευσεν ἀληθεύειν τὸν Θεὸν, εἰς τὸ παροικεῖν τὴν γῆν ἐκείνην. Καὶ αὐτὸ δὲ τὸ ἐξελθεῖν πίστεως ἦν. Θεοῦ γὰρ καλοῦντος ὑπήκουσε, πιστεύσας ὅτι ἐπ' ἀγαθῷ καλεῖ. « Μὴ ἐπιστάμενος ποῦ ἔρχεται. » Καὶ τὸ μεῖζον τῆς πίστεως, ὅτι οὐδὲ ἠπίστατο ποῦ καλεῖται. « Πίστει παρῴκησεν εἰς γῆν τῆς ἐπαγγελίας. » Ὅρα τί φησιν· Εἰς τὴν γῆν ἣν ἐπηγγείλατο ὁ Θεὸς, λέγων· Σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου, κατῴκει ὡς ἐν ἀλλοτρίᾳ, καὶ ὁρῶν μὴ ἐκβαίνουσαν τοῦ Θεοῦ τὴν ἐπαγγελίαν. Ὁ μὲν γὰρ Θεὸς εἰρήκει δοῦναι αὐτήν. Αὐτὸς δὲ, ὡς πάροικος, ἐν γῇ ξένῃ ᾤκει, καὶ οὐδὲ οὕτως ἠσθένησε τῇ πίστει, ἀλλὰ καὶ ταῦτα μετὰ τῶν ἐκγόνων οἰκῶν εἰς αὐτὴν ὡς ἀλλοτρίαν, ὅμως ἔτι ἐπίστευεν, αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ δοθήσεσθαι αὐτήν. « Ἐν σκηναῖς κατοικήσας. » Τὸ γὰρ σκηνὰς πήξασθαι, ξένων ἐστὶ καὶ ἀλλοτρίων τῆς γῆς. « Μετὰ Ἰσαὰκ καὶ Ἰακώβ. Καὶ τούτων πίστιν δείκνυσιν, ὅτι καὶ αὐτοὶ συγκληρονόμοι ὄντες, ὡς ξένοι ᾤκουν εἰς τὴν γῆν ἐκείνην. Καὶ ὁ μὲν Ἰσαὰκ, ἐλαυνόμενος ὑπὸ τοῦ

« Per fidem vocatus Abraham. » Non enim obedisset, nisi credidisset vera dicere Deum, quod illam daturus esset terram. Et hoc ipsum quod exierit, fidei erat. Deo namque vocante obedivit, credens quod propter bonum vocaret. « Nesciens quo esset venturus. » Et hoc majoris **406** erat fidei, quod obtemperaret quocunque vocaretur. « Per fidem commigravit in terram promissionis. » Considera quid dicat : In terram quam promiserat Deus, dicens : Tibi dabo ipsam et semini tuo,

D commoratus est tanquam in aliena, etiam videns non contingere Dei promissionem. Siquidem dixerat Deus sedaturum ipsam, ipse tamen veluti advena in terra peregrina habitabat : et ne ita quidem infirmior in fide factus est : sed licet etiam cum nepotibus in ea habitaret tanquam aliena, adhuc tamen credebat sibi et semini suo ipsam dandam esse. « Cum in tabernaculis habitasset. » Siquidem tabernacula figere, peregrinorum est et alienigenarum in terra. « Cum Isaac et Jacob. » Etiam horum fidem ostendit, quod cum ipsi

[87] Luc. II, 26.

hæredes essent terræ promissionis, tanquam peregrini habitabant in illa. Et Isaac quidem abjectus ab Ismael, Jacob autem fugatus ab Esau : neque tamen ita desperarunt, quin daretur illis terra illa. « Exspectabat enim. » Et quo modo, inquit, non reddebantur hi fide imbecilliores, cum promissam terram tanquam alienam inhabitarent ? Quia nullam terræ curam habebant, sed quanquam terram promissionis suscepissent, majora quærebant, et cœlestem civitatem exspectabant. Nam si cor terræ affixum habuissent, utique commoti fuissent quod eam non acciperent. Sic et nos, inquit, superna quærere oportet, et præsentium rationem non habere. « Habentem fundamenta civitatem. » Aut propter ipsius stabilitatem ac firmitatem dicit eam habere fundamenta : aut quod illa sola habeat fundamenta : nam terrenæ civitates ad illius comparationem ea non habent. « Cujus opifex et conditor est Deus. » Maximum est hoc cœlestis civitatis encomium. « Per fidem et ipsa Sara. » Exhortativum est quod ait, Et ipsa Sara, tanquam diceret : Si mulier credidit, pudendum foret si etiam muliere inveniremur magis pusillanimes. Verum quomodo credidit? Atqui risit : verum postmodum objurgata, timore correpta est, quod fidei erat. « Ad concipiendum ac retinendum semen. » Εἰς ὑποδοχὴν σπέρματος, hoc est, confirmata fuit ut susciperet generativum semen. « Et præter ætatis rationem peperit. » Quod ait, Et, tantum sibi vult hoc loco : Non solum, inquit, sterilis erat, verum etiam præter ætatis rationem fuit : hoc est, in ipsa extrema senectute, quod confirmata sit ad seminis susceptionem. **407** « Quod fidelem judicaret. » Fidelem, id est, veracem. Ubi autem promisit? Secundum hoc tempus, inquit, veniam, et erit Saræ filius. « Quapropter et ex uno. » Propterea ab uno semine, eoque propter ætatem elanguido, nati sunt omnes qui sunt de semine Abraham, numero æquantes astra cœli et arenam maris.

XI. 13 16. *Juxta fidem mortui sunt hi omnes, non acceptis repromissionibus, sed ipsis procul visis et creditis, cum amplexi fuissent et confessi se hospites atque advenas esse in terra. Nam hæc qui dicunt, declarant se patriam inquirere. Et si illius quidem memores fuissent unde fuerant profecti, habebant utique opportunitatem revertendi. Nunc autem meliorem expetunt, hoc est, cœlestem. Quapropter non erubescit ipse Deus vocari Deus illorum. Paravit enim illis civitatem.*

Duo hoc loco quæruntur : quomodo, cum superius dixerit quod transtulit Enoch Deus ne videret mortem, dicat nunc, Juxta fidem mortui sunt hi omnes ? Rursumque dicit, Non acceptis promissionibus : atqui dixit in superioribus, quod acceperint præmium fidei. Siquidem Noe servatus est cum domo sua, et Enoch translatus est et non vidit mortem, et Abel adhuc loquitur per gloriam ac celebrem famam, et Abraham suscepit promissam terram, et filium progenuit ex Sara. — *Solutio.* Quod ait, Mortui sunt hi omnes, accipe excepto

A Ἰσμαὴλ, ὁ δὲ Ἰακὼβ φυγαδευόμενος ὑπὸ τοῦ Ἡσαῦ. Οὐδὲ οὕτως ἠπίστησαν μὴ αὐτοῖς δοθήσεσθαι τὴν γῆν ἐκείνην. « Ἐξεδέχετο γάρ. » Καὶ ποίῳ λόγῳ, φησὶν, οὐκ ἠσθένησαν οὗτοι τῇ πίστει, ὡς ἀλλοτρίαν οἰκοῦντες τὴν ἐπηγγελμένην γῆν ; Ὅτι, φησὶν, οὐδὲν ἐφρόντιζον γῆς, ἀλλὰ καί τοι γῆν ἐπαγγελίας δεξάμενοι, τὰ μείζονα ἐζήτουν καὶ ἐξεδέχοντο τὴν οὐράνιον πόλιν. Εἰ γὰρ ἦσαν προσηλωμένοι τῇ γῇ, ἐσαλεύθησαν ἂν τῷ μὴ λαβεῖν αὐτήν. Οὕτω δεῖ καὶ ἡμᾶς, φησὶ, τὰ ἄνω ζητεῖν, καὶ τῶν ἐνταῦθα λόγον μὴ ἔχειν. « Τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν. » Ἢ διὰ τὸ μόνιμον καὶ βέβαιον ἐκείνης λέγει αὐτὴν ἔχουσαν θεμελίους, ἢ ὅτι ἐκείνη μόνη θεμελίους ἔχει. Αἱ γὰρ ἐπὶ γῆς, ὡς εἰς σύγκρισιν ἐκείνης, οὐκ ἔχουσιν. « Ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. » Μέγιστον τῆς ἐν οὐρανῷ πόλεως τὸ ἐγκώμιον. « Πίστει καὶ αὐτὴ Σάρρα. » Ἐντρεπτικόν ἐστι τὸ, Καὶ αὐτὴ Σάρρα, ὡσεὶ ἔλεγεν· Εἰ γυνὴ ἐπίστευσεν, αἰσχύνη εἰ καὶ γυναικὸς ὀλιγοψυχότεροι εὑρεθῶμεν. Πῶς δὲ ἐπίστευσε ; Καίτοι ἐγέλασεν. Ἀλλ' ὕστερον ἐφοβήθη ἐλεγχθεῖσα, ὅπερ πίστεώς ἐστι. « Εἰς καταβολὴν σπέρματος ἔλαβε. » Εἰς ὑποδοχὴν σπέρματος, τουτέστιν, ἐνεδυναμώθη εἰς τὸ ὑποδέξασθαι παιδοποιὸν σπέρμα. « Καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκε. » Τὸ, καὶ, ἐνταῦθα τοῦτο βούλεται οὐ μόνον, φησὶν, ὅτι στεῖρα ἦν, ἀλλὰ καὶ παρὰ καιρὸν ἡλικίας, τουτέστιν, ἐν αὐτῷ τῷ ἐσχάτῳ γήρᾳ ἐνεδυναμώθη εἰς ὑποδοχὴν σπέρματος. « Ἐπεὶ πιστὸν ἡγήσατο. » Πιστὸν, ἀληθῆ. Ποῦ δὲ ἐπηγγείλατο; Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, φησὶ, καὶ ἔσται τῇ Σάρρᾳ υἱός. « Διὸ καὶ ἀφ' ἑνός. » Τούτου χάριν, φησὶν, ἀφ' ἑνὸς σπέρματος, καὶ ταῦτα νεκροῦ ὄντος διὰ τὸν χρόνον, ἐγεννήθησαν πάντες οἱ τοῦ σπέρματος Ἀβραὰμ, οἱ κατὰ τὰ ἄστρα καὶ τὴν ψάμμον τῷ πλήθει.

Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες, ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. Οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι. Καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι. Νῦν δὲ κρείττονος ὀρέγονται, τουτέστιν, ἐπουρανίου. Διὸ, οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεὸς, Θεὸς ἐπικαλεῖσθαι αὐτῶν. Ἡτοίμασε γὰρ αὐτοῖς πόλιν.

Δύο ἐνταῦθα ζητεῖται. Πῶς, εἰπὼν ἄνω ὅτι μετέθηκε τὸν Ἐνὼχ ὁ Θεὸς τοῦ μὴ ἰδεῖν θάνατον, νῦν εἶπε, Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες ; Καὶ πάλιν εἶπε, Μὴ λαβόντες τὰς ἐπαγγελίας, καίτοι εἰπὼν ἀνωτέρω εἰληφότας αὐτοὺς τοὺς τῆς πίστεως μισθούς. Ὁ μὲν γὰρ Νῶε διεσώθη μετὰ τοῦ οἴκου αὐτοῦ. Καὶ ὁ Ἐνὼχ μετετέθη, καὶ οὐκ εἶδε θάνατον. Καὶ ὁ Ἄβελ ἔτι λαλεῖ διὰ τῆς δόξης. Καὶ ὁ Ἀβραὰμ ἐπελάβετό τε τῆς ἐπηγγελμένης γῆς, καὶ ἐπαιδοποίησεν ἐκ τῆς Σάρρας. — *Λύσις.* Τὸ μὲν, Ἀπέθανον οὗτοι πάντες, δέξαι, ὑπεξῃρημένου τοῦ

Ἐνώχ. Τὸ δὲ, Μὴ λαβόντες τὰς ἐπαγγελίας, περὶ πάντων λέγει, δεικνὺς ὅτι τοῖς περὶ τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ οὐ γῆ ἦν ἐπηγγελμένη μόνον, ἀλλὰ, διὰ τῆς ἀρετῆς αὐτῶν, καὶ τὰ οὐράνια. Τοῦτο δὲ καὶ περὶ τῶν ἄλλων νόει. Οὐδὲ γὰρ, φησὶν, ὁ μεγαλόδωρος Θεὸς διελύσατο ἂν τῷ μὲν Ἄβελ εἰς τὸ δοξασθῆναι, τῷ δὲ Ἐνὼχ εἰς τὸ μετατεθῆναι, τῷ δὲ Νῶε εἰς τὸ ἐκφυγεῖν τὸν παραυτίκα θάνατον, τῷ δὲ Ἀβραὰμ εἰς τὸ παιδοποιῆσαι, ἢ τῆς γῆς ὡς ἐν παροικίᾳ ἐπιλαβέσθαι. Ἀλλὰ ταῦτα μὲν ἐν προσθήκης μέρει αὐτοῖς ἐδωρήθη. Γεῦσις δέ τις ἦν τῶν ὄντως ἐπαγγελιῶν. Δηλοῖ γὰρ ὅτι περὶ βασιλείας οὐρανῶν προμεμαθήκεισαν, εἰπὼν, Πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι. — « Ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες. » Οὕτω, φησὶν, αὐταῖς ἐπίστευον πόρρωθεν δι' ἐλπίδος, ὅτι καὶ ἥχαιρον ἐπ' αὐταῖς, καὶ μονονουχὶ περιπλεκόμενοι κατησπάζοντο. Τὸ, Πόρρωθεν ἰδόντες, φασί τινες, ὅτι προεῖδον οἱ ἀμφὶ τὸν Ἀβραὰμ τὴν ἐξ Αἰγύπτου ὑποστροφὴν τοῦ σπέρματος αὐτῶν. Ἀλλ' ἄτοπον. Φαμὲν δὲ, ὅτι περὶ βασιλείας οὐρανῶν ἦσαν εὐαγγελισθέντες, καὶ ὅσα ὁ Χριστὸς ἐκήρυξεν. Εἰ γὰρ μὴ ταῦτα ἠκηκόεισαν, τί δήποτε ξένους ἑαυτοὺς καὶ παρεπιδήμους ἐκάλουν; Οὐ γὰρ πατρίδος ἐπιγείου ὀρεγόμενοι ταῦτα ἔλεγον, ἐπεὶ καὶ ὑποστρέψαι αὐτοῖς εἰς τὴν ἑαυτῶν ἐξῆν, ἀλλὰ τὸν οὐρανὸν ἐζήτουν. Ἄλλως τε, εἰ μὴ τοῦτο ἦν, εὑρίσκονται ὅ τε Ἄβελ καὶ Ἐνὼχ καὶ Νῶε, μηδὲ ἐσχηκότες παρὰ Θεοῦ ἐπαγγελίας. Οὐδὲν γὰρ αὐτοῖς γήϊνον ἐπηγγείλατο. Οὐδὲ γὰρ οὔτε τὸ σωθῆναι ἐν ἐπαγγελίᾳ εἰρήκει τῷ Νῶε. « Καὶ ἀσπασάμενοι. » Πεισθέντες. « Παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. » Οὐ τῆς ἐπηγγελμένης (οὐ γὰρ μέγα τοῦτο), ἀλλὰ παντὸς τοῦ κόσμου. « Ἐμφανίζουσι. » Δεικνύουσιν. « Ὅτι πατρίδα ἐπιζητοῦσι. » Τὴν ἐν οὐρανῷ δηλονότι. « Καὶ εἰ μὲν ἐκείνης. » Ὅτι γὰρ τὴν ἐν οὐρανῷ ἐζήτουν, ἔνθεν δῆλον. Εἰ μὲν γὰρ τὴν ἰδίαν ἐζήτουν ἐξ ἧς ἐξέβαλεν αὐτοὺς ὁ Θεὸς, ἴσχυον ὑποστρέψαι. Εἶχον γὰρ πρὸς τοῦτο καιρὸν ἵνα εἰς τὴν ἑαυτῶν ἐπανέλθωσι. Νῦν δὲ τῷ πατρίδα μὲν ζητεῖν, μὴ ὑποστρέφειν δὲ ἐξ ἧς ἐξῆλθον, δῆλον ὅτι κρείττονος καὶ οὐρανίου ἐπιθυμοῦσι. « Διὸ οὐκ ἐπαισχύνεται. » Ὥσπερ γὰρ καλεῖται Θεὸς τοῦ κόσμου, οὕτως καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ἀντιῤῥόπους αὐτοὺς τῆς κτίσεως πεποιηκώς. Μέγιστόν δὲ τοῦτο ἀξίωμα, τὸ καταξιῶσαι τὸν Θεὸν ἐπικαλεῖσθαι αὐτῶν Θεόν. Ὥσπερ γὰρ ἐγκαλλωπιζόμενον ὁ Θεὸς τοῖς πατριάρχαις, οὕτως καλεῖται Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. « Ἡτοίμασε γὰρ αὐτοῖς πόλιν. » Οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεὸς εἰς τὸ Θεὸς ἐπικαλεῖσθαι αὐτῶν. Καὶ οὕτως, φησὶν, οὐκ ἐπαισχύνεται, ὅτι καὶ τὸ θέλημα αὐτῶν ἐπλήρωσε. Πόλιν ἐπεθύμουν ἐν οὐρανῷ, καὶ ἡτοίμασεν αὐτοῖς ἐν αὐτῷ πόλιν.

Enoch. Porro quod dicit, Non acceptis promissionibus, de omnibus loquitur, ostendens quod Abrahæ, Isaac et Jacob non sola terra promissa erat, sed ob ipsorum virtutem etiam cœlestia. Hoc autem et de cæteris intellige. Neque enim Deus magnificus per hoc satisfecit Abel, inquit, quod gloriosum reddiderit : aut Enochi, quod transtulerit : aut Noe, quod subitam mortem effugerit : aut Abrahæ, quod prolem ei dederit, aut quod ille terram in peregrinationem acceperit. Sed hæc sane in modum auctarii ipsis data sunt : et erant veluti gustus quidam vere promissorum. Significant enim quod de regno cœlorum prius edocti sint, cum ait : **408** Ipsis procul visis ac salutatis. — « Sed ipsis procul visis. » Adeo, inquit, ipsis per spem eminus visis credebant, ut etiam propter eas gauderent, et propemodum amplexantes, avellebantur. Quod ait, Procul visis, asserunt quidam dictum esse, quod præviderent Abraham et cæteri reversionem seminis ipsorum ex Ægypto : verum id absurdum est. Dicimus autem quod de regno cœlorum ipsis annuntiatum erat, et quæcunque postmodum Christus prædicavit. Nam si hæc non audivissent, quam ob causam seipsos advenas et peregrinos vocassent? neque enim patriam terrenam appetentes hæc dicebant, cum etiam in suam reverti ipsis liceret, sed cœlum quærebant. Præterea quoque si hæc non placent, inveniuntur et Abel et Enoch ac Noe a Deo non accepisse promissiones. Nihil enim terrenum ipsis promiserat. Siquidem nunquam dixerat in promissione Noe quod servaretur. « Cum amplexi fuissent. » Hoc est, credidissent ac persuasi essent. « Advenas esse in terra. » Non quæ promissa erat : nam hoc nihil magnum fuisset; sed in toto mundo. « Declarant. » Manifestant. « Se patriam inquirere. » Quæ in cœlis est videliçet. « Et si illius quidem. » Nam quod cœlestem quærerent hinc manifestum est. Si enim propriam quæsivissent ex qua ejecerat eos Deus, poterant reverti ; habebant namque ad hoc opportunitatem ut ad suam reverterentur. Nunc autem, cum patriam inquirant, nec ad eam reversi sint ex qua exierant, manifestum est quod meliorem ac cœlestem concupiscant. « Quapropter non erubescit. » Quemadmodum enim vocatur Deus mundi, ita et Deus Abraham et Isaac et Jacob, æqualis ponderis ac roboris eos cum tota reliqua creatura efficiens. Id autem loco maximæ dignitatis est, quod velit Deus appellari Deus ipsorum. Siquidem ac si glorietur Deus in patriarchis, ita vocatur Deus Abraham et Isaac et Jacob. « Paravit enim illis civitatem. » Non pudefit Deus propter ipsos, quod vocetur eorum Deus : et adeo non pudefit, inquit, ut etiam voluntatem eorum impleverit. Civitatem cupiebant in cœlo, et paravit eis in ipso civitatem.

Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ, πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος, πρὸς ὃν ἐλαλήθη ὅτι Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, λογισάμενος, ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ

XI, 17-22. *Per fidem obtulit Abraham Isaac cum tentaretur, et unigenitum obtulit in quo promissiones acceperat,* **409** *ad quem dictum fuerat : In Isaac vocabitur tibi semen, cum illud secum perpendisset, Deum vel a mortuis excitare posse, unde ip-*

sumetiam per parabolam recepit. Per fidem de futuris Isaac benedixit Jacob et Esau. Per fidem Jacob morieus singulis filiis Joseph benedixit, et adoravit fastigium virgæ illius. Per fidem Joseph moriens de egressione filiorum Israel meminit, et de ossibus suis mandavit.

« Per fidem obtulit Abraham Isaac. » Quam fidem? Quod etiam a mortuis Deus excitare posset. « Cum tentaretur. » Tentabat autem : non quod opus esset ipsi discere quæ in Abraham essent : quomodo enim hoc esset, cum singillatim ipse scrutetur corda nostra[58]? Sed ut illud nobis faceret manifestum. « Et unigenitum. » Ne quis enim dicat quod alium adhuc habebat filium, et sperans quod per illum promissio sortiretur effectum, propter Isaac obtulit. Non, inquit, unigenitus erat. Unigenitus autem quoad promissionis sermonem, quandoquidem habebat etiam Ismael. « Ad quem dictum fuerat. » Itaque quantum ad id quod apparet, inquit, etiam contraria jubere videbatur Deus his quæ promiserat : nec tamen propterea Abraham perdidit fidem. Quomodo namque in Isaac vocandum erat ipsi semen, cum juberetur immolare Isaac? Sed tamen ne ita quidem hæsitavit. « Cum illud secum perpendisset, Deum vel a mortuis excitare posse. » Vides quod per fidem omnia faceret Abraham? Credebat enim quod ipsum quoque jugulatum posset Deus suscitare. « Unde ipsum etiam per parabolam recepit. » Et ipsum Abraham et ipsum Isaac. Nam hoc in utroque locum habet. Et vide quod ait, Per parabolam. Abraham typus erat Dei et Patris, Isaac vero Filii Dei. Siquidem quia magnum quiddam erat nobis Deus præstiturus, nempe immolationem Filii sui, cum esset vehementer humanus, ne sola gratia nos salvare videretur, fecit esse debitum ut traderetur Christus: debitum autem hoc modo : Quemadmodum, inquit, Abraham sustinuit ut unigenitum suum in mortem traderet propter me, ita et ego debeo Unigenitum tradere in mortem pro hominibus. Possumus tamen quod ait, Per parabolam, hoc etiam modo intelligere, aptantes illud ad personam Isaac : Recepit **410** Isaac et fecit eum esse parabolam, typum et exemplum Christi, ut quemadmodum Isaac jugulatus est, quantum est ex prompta Abrahæ voluntate, ita et Christus trucidetur, sed hoc secundum veritatem ipsam. Aut hoc quoque modo intellige, Per parabolam : Recepit, inquit, Isaac per parabolam, hoc est, loco ejus quod collatum est et pro eo ostensum. Ostendit enim arietem, et eo pro filio dato recepit Isaac. Porro prima interpretatio meo judicio multo melior est. *Alio modo.* Quod ait, « Unde ipsum etiam per parabolam recepit, » potest hoc etiam modo intelligi : Unde etiam Abraham recepit Isaac per parabolam sive cum parabola. Quoniam enim exuberantem

[58] Psal. VII, 10.

Θεός. Ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. Πίστει περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ. Πίστει Ἰακὼβ ἀποθνήσκων, ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησε, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. Πίστει Ἰωσὴφ τελευτῶν, περὶ τῆς ἐξόδου τῶν ὀστέων αὐτοῦ ἐνετείλατο.

« Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαάκ. » Ποίᾳ πίστει; ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δύναται ὁ Θεός. « Πειραζόμενον. » Ἐπείραζε δὲ, οὐκ αὐτὸς δεόμενον μαθεῖν τὰ κατὰ τὸν Ἀβραὰμ (πῶς γὰρ ὁ ἐρευνῶν καταμόνας τὰς καρδίας ἡμῶν;), ἀλλ' ἵνα ἡμῖν αὐτὸν ποιήσῃ κατάδηλον. « Καὶ τὸν μονογενῆ. » Ἵνα γὰρ μή τις εἴπῃ ὅτι εἶχεν ἔτι παῖδα, καὶ δι' αὐτοῦ τὴν ἐπαγγελίαν ἐκδήσεσθαι προσδοκῶν, προθύμως τὸν Ἰσαὰκ προσέφερεν, οὐ, φησὶ, μονογενὴς ἦν· μονογενὴς δὲ, ὅσον εἰς τὸν τῆς ἐπαγγελίας λόγον, ἐπεὶ εἶχε καὶ τὸν Ἰσμαήλ. « Πρὸς ὃν ἐλαλήθη. » Ὥστε, φησὶν, ὡς πρὸς τὸ φαινόμενον καὶ ἐναντία δοκεῖ ἐπιτάσσειν ὁ Θεὸς ὧν ἐπηγγείλατο. Καὶ ὅμως οὐκ ἠπίστησεν Ἀβραάμ. Πῶς γὰρ ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, τὸν Ἰσαὰκ κελεύσαντος σφάξαι; ἀλλ' ὅμως οὐδὲ οὕτως ἐδίστασεν. « Λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρει. » Ὁρᾷς ὅτι πίστει πάντα ἔπραττεν ὁ Ἀβραάμ; ἐπίστευσε γὰρ ὅτι καὶ σφαγέντα δύναται αὐτὸν ἀναστῆσαι ὁ Θεός. « Ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. » Καὶ τὸν Ἀβραὰμ καὶ τὸν Ἰσαάκ. Ἁρμόζει γὰρ ἐπὶ τῶν δύο. Ὅρα δὲ τὸ, Ἐν παραβολῇ. Ὁ Ἀβραὰμ τύπος ἦν τοῦ Θεοῦ καὶ Πατρὸς, ὁ δὲ Ἰσαὰκ, τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ἐπειδὴ γὰρ μέγα τι ἔμελλεν ὁ Θεὸς ἡμῖν παρέχειν, τὴν σφαγὴν τοῦ Υἱοῦ αὐτοῦ, σφόδρα φιλάνθρωπος ὤν, ἵνα μὴ δόξῃ ἡμᾶς χάριτι σώζειν μόνῃ, ἐποίησεν ὀφειλὴν τοῦ παραδοῦναι τὸν Χριστόν. Ὀφειλὴν δὲ οὕτως· Ὥσπερ, φησὶν, ὁ Ἀβραὰμ ἠνέσχετο παραδοῦναι δι' ἐμὲ τὸν μονογενῆ αὐτοῦ εἰς θάνατον, οὕτως καὶ ἐγὼ, φησὶν, ὀφείλω μου παραδοῦναι τὸν Μονογενῆ εἰς θάνατον ὑπὲρ τῶν ἀνθρώπων. Τὸ δὲ Ἐν παραβολῇ, δυνάμεθα καὶ οὕτως νοῆσαι, ἁρμόζοντες αὐτὸ, εἰς τὸ τοῦ Ἰσαὰκ πρόσωπον· Ἐκομίσατο τὸν Ἰσαάκ, καὶ ἐποίησεν αὐτὸν ἐν παραβολῇ καὶ ἐν τύπῳ καὶ ἐν ὑποδείγματι τοῦ Χριστοῦ, ἵνα ὥσπερ ὁ Ἰσαὰκ ἐσφάγη ὅσον πρὸς τὴν προαίρεσιν τοῦ Ἀβραὰμ, οὕτω καὶ ὁ Χριστὸς σφαγῇ, κατὰ ἀλήθειαν δέ. Ἢ καὶ οὕτως τὸ Ἐν παραβολῇ, νόησον· Ὅτι, φησὶ, ἐκομίσατο τὸν Ἰσαὰκ ἐν παραβολῇ, τουτέστιν, ἀντὶ τῆς παραβολῆς καὶ τοῦ ὑποδείγματος. Ὑπέδειξε γὰρ τὸν κριὸν, καὶ δεδωκὼς αὐτὸν ἀντ' αὐτοῦ, ἔλαβε τὸν Ἰσαάκ. Ἡ δὲ πρώτη ἑρμηνεία, ὡς νομίζω, πολὺ βελτίων. Ἄλλως. [ΦΩΤ.] Τὸ, « Ὅθεν αὐτὸν ἐν παραβολῇ ἐκομίσατο, » δυνατὸν καὶ οὕτως νοῆσαι· Ὅθεν καὶ τὸν Ἰσαὰκ ὁ Ἀβραὰμ ἐν παραβολῇ ἐκομίσατο. Ἐπεὶ γὰρ, φησὶν, ἄφατόν τινα τὴν ὑπακοὴν ἐπεδείξατο, καὶ πίστιν νικῶσαν καὶ αὐτῆς τοὺς νόμους τῆς φύσεως, ἀπολαμβάνει πάλιν τὸν υἱὸν, οὐχ οἷον προσήνεγκεν, ἀλλὰ μετὰ μεγάλης προσθήκης καὶ ἀξίας τῆς αὐτοῦ πίστεως.

Ἐκομίσατο γὰρ αὐτὸν φέροντα παραβολὴν καὶ ὁμοίωσιν τὴν πρὸς τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Θεόν. Τοιαῦτα γὰρ ἡ πίστις δύναται κατορθοῦν. Εἰ δὲ τὸ, Ἐν παραβολῇ, κοινὸν ἐκλάβοις τοῦ τε Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ, ὅτι ὁ μὲν εἰς τύπον τοῦ Πατρὸς καὶ εἰς παραβολὴν καὶ ὁμοίωσιν διὰ τῆς προσαγωγῆς τοῦ παιδὸς ἐχρημάτισεν, ὁ δὲ Ἰσαὰκ εἰς τύπον τοῦ Υἱοῦ, καὶ οὕτως ἡ προειρημένη εὐοδοῦται διάνοια. Τοσοῦτον κέρδος, φησὶ, προεξένησε τῷ Ἀβραὰμ ἡ πίστις αὐτοῦ, ὅτι τὸν υἱὸν προσενέγκας, μετὰ μεγίστης προσθήκης ἐκομίσατο. Ποίας ταύτης; τὸ ἐν παραβολῇ αὐτὸν καὶ ὁμοιώσει τῇ τε πρὸς τὸν Πατέρα καὶ τῇ πρὸς τὸν υἱὸν ἀνακομίσασθαι. Τουτέστιν, ἐκομίσατο τὸν Υἱὸν ἐπὶ τηλικούτῳ κέρδει, ἐφ' ᾧ τύπον ἀμφοτέρους γενέσθαι τῆς προσαγωγῆς ἣν εὐδόκησεν ὁ Πατὴρ τελεσθῆναι ἐπὶ τῷ Υἱῷ. Ἢ, ἐν παραβολῇ ἐκομίσατο ὁ Θεὸς τὸν Ἰσαάκ· τουτέστι, διὰ τὴν πίστιν καὶ τὸ πρόθυμον τοῦ Ἀβραὰμ, καίτοι κριοῦ προσαχθέντος, καὶ τότε οὐ παρὰ τοῦ Ἀβραὰμ κομισθέντος, ἀλλὰ παρ' αὐτοῦ τοῦ Θεοῦ, τοῦ καὶ κομισαμένου. Ὅμως οὖν οὕτως ὁ Θεὸς ἐδέξατο τὴν θυσίαν, ὡς τὸν Ἰσαὰκ αὐτὸν κομισάμενος διὰ τῆς παραβολῆς καὶ παρενθήκης τοῦ κριοῦ. Διό φησιν, Ὅθεν αὐτὸν, οἷον τὸν Ἰσαὰκ, ἐκομίσατο ἐν τῇ παραβολῇ καὶ παρενθήκῃ τοῦ κριοῦ, τουτέστιν ὡς τελειωθεῖσαν τὴν πρόθεσιν, καὶ τῆς πίστεως αὐτοῦ τὸ πρόθυμον, οὕτως ἐδέξατο τὴν θυσίαν τοῦ Ἀβραὰμ ὁ Θεός. « Πίστει περὶ μελλόντων. » Πόθεν ἐπήγγελτο τοῖς υἱοῖς αὐτοῦ τοσαῦτα ἀγαθὰ, εἰ μὴ ἐπίστευσεν ὅτι ὁ Θεὸς δώσει τὰς ἐπαγγελίας; Τί δέ ἐστι, περὶ μελλόντων; ἢ περὶ τῶν μελλόντων αὐτοῖς ἔσεσθαι, ἢ περὶ τῶν μελλόντων τῷ σπέρματι αὐτῶν δοθήσεσθαι. Οὐδὲ γὰρ οὐδὲ αὐτοὶ ἀπήλαυσαν τῆς ἐπαγγελίας. Τὸν Ἰακὼβ δὲ διὰ τὴν ἀρετὴν πρῶτον ὀνομάζει.

[ΦΩΤ.] « Πίστει Ἰακὼβ ἀποθνήσκων. »— Ἐνταῦθα, φησὶν, οὐ μόνον εἶπεν, ἀλλὰ καὶ οὕτως ἐθάρρει τοῖς ἐσομένοις, ὡς καὶ ἐν τῷ ἔργῳ αὐτὸ ἐπιδείξαι. Ἐπειδὴ γὰρ ἔμελλεν ἀπὸ τοῦ Ἐφραὶμ ἀνίστασθαι βασιλεὺς ἕτερος, διὰ τοῦτό φησι, Καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ, τουτέστι, καὶ γέρων ὢν ἤδη, προσκυνεῖ τῷ Ἰωσὴφ, τὴν παντὸς προσκύνησιν δηλῶν, τὴν ἐσομένην αὐτῷ. Καὶ τοῦτο [ὅτι] ἐξέβη αὐτῷ ἤδει, ὅτε αὐτῷ οἱ ἀδελφοὶ προσεκύνησαν. Ἐκβήσεσθαι δὲ ἔμελλεν ὕστερον, διὰ τῶν δέκα φυλῶν. « Καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου. » Τὴν γὰρ τοῦ Ἐφραὶμ προεσήμανε βασιλείαν, καὶ τῶν δέκα φυλῶν τὴν ὑποταγήν. Οὗ δὴ χάριν αὐτὸς προτυποῖ τὴν ἐκείνων προσκύνησιν. Τοσοῦτον γὰρ, φησὶν, ἐπίστευσε τοῖς ἐσομένοις, ὅτι καὶ προσεκύνησε τῇ ῥάβδῳ, δοκῶν ὁρᾷν τὰ ἐσόμενα. Τῶν γὰρ δύο υἱῶν τοῦ Ἰωσὴφ, τοῦ Ἐφραὶμ καὶ τοῦ Μανασσῆ, ἐκ τοῦ Ἐφραὶμ σπέρματος βασιλεῖς εἶχον ἀναστῆναι. Προδηλῶν οὖν τὴν βασιλείαν τῷ σπέρματι αὐτοῦ, προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου τῆς Μανασσῆ. Γέγραπται ἐν βίβλῳ Γενέσεως οὕτως· « Ἐπέζησε δὲ Ἰακὼβ ἐν γῇ Αἰγύπτῳ δέκα καὶ ἑπτὰ ἔτη. » Ἐγένοντο δὲ αἱ ἡμέραι Ἰακὼβ ἐνιαυτῶν τῆς ζωῆς αὐτοῦ

A quamdam præstitit obedientiam et fidem quæ ipsius quoque naturæ jus vinceret, recipit rursus filium : non sicut obtulit, sed cum magno augmento ac suæ fidei dignitate. Recepit enim ipsum ferentem parabolam et similitudinem ad Dei Filium ac Deum. Nam talia fides præstare potest. Quod si accipias per parabolam, ut sit commune ad Abraham et ad Isaac : quod ille quidem in typum Patris et in parabolam ac similitudinem per accessionem filii appellatus est : Isaac vero in typum Filii : etiam hoc modo prædicta interpretatio commode suum habet intellectum. Tantum, inquit, lucrum concilliavit Abrahæ fides sua, quod oblatum filium cum magno fœnore recepit. Quodnam fuit illud fœnus? Ut ipsum cum parabola ac similitudine ad Patrem B et Filium referret, hoc est, recepit Filium cum tanto lucro, ut uterque fieret typus ejus proventus quem beneplacuit Patri perfici in Filio. — Aut per parabolam recepit Deus Isaac, hoc est, propter fidem et promptum Abrahæ animum, tametsi aries ablatus fuisset : qui etiam tunc non ab Abraham, sed ab ipso Deo receptus erat, qui illum quoque eo deduxerat : ita tamen suscepit Deus sacrificium, tanquam recipiendo ipsum Isaac per parabolam et auctarium arietis. Ideo dicit : Unde ipsum, nempe Isaac, recepit per parabolam et accessum arietis, hoc est, tanquam perfectum esset propositum ac promptus fidei animus, ita suscepit sacrificium Abrahæ Deus. **411** « Per fidem de futuris. » Quomodo filiis suis C tanta bona promisisset, nisi credidisset quod Deus promissa præstaret? Quid est autem e futuris? Aut de his quæ erant ipsis eventura, aut de his quæ semini eorum danda erant ; siquidem neque ipsi promisso fruebantur. Primum autem nominat Jacob, propter virtutem ac probitatem.

« Per fidem Jacob moriens. » Non solum, inquit, hoc loco dixit, verum etiam de futuris adeo confidebat, ut etiam opere illud demonstraret. Quoniam enim futurum erat, ut ab Ephraim exsurgeret alius rex, propterea dixit : Et adoravit fastigium virgæ ejus : hoc est, cum jam senex esset, adorabat Joseph, designans totius populi adorationem, sive obsequium quod ipsi tribuendum erat. Atqui noverat hoc ipsum sortitum esse effectum, dum D fratres eum adorarent; tamen postmodum futurum erat, ut etiam accideret per decem tribus. « Et adoravit fastigium virgæ. » Regnum namque Ephraim significavit et decem tribuum subjectionem : propterea enim ipse præfigurat illorum adorationem. Nam adeo, inquit, credidit futuris, ut etiam adoraret virgam, sive sceptrum, indicans se futura prospicere. Cum duo essent filii Joseph, nempe Ephraim et Manasse, ex semine Ephraim reges erant orituri. Præsignans igitur regnum semini suo, adoravit fastigium virgæ, sive regni Manasse. Siquidem hoc modo scriptum est in libro Genesos :« Supervixit autem Jacob in terra Ægypti decem et septem annis [59]. » Fuerunt autem dies

[59] Gen. xlvii, 8.

annorum vitæ Jacob centum quadraginta septem, et appropinquaverunt dies Israel ut moreretur : vocavitque filium suum Joseph, ac dixit ei : « Si inveni gratiam coram te, pone manum tuam ad femur meum, et facies mecum misericordiam ac veritatem, ut non sepelias me in Ægypto, sed deferas cum patribus meis, tollasque me ex Ægypto, ac sepelias me in sepulcro ipsorum. At ille dixit; Ego faciam juxta verbum tuum. Ait autem : Jura mihi. Et juravit ei adoravitque Israel fastigium virgæ illius [60]. »—« Per fidem Joseph moriens. » In tantum, inquit, credidit quod Israel egressurus esset ex Ægypto, ut etiam de transferendis ossibus suis fratres adjuraret. **412** Quamobrem? Ut semper memores adjurationis Josephi, scirent etiam quæ de egressu erant. Quis enim adjurasset de transferendis suis ossibus, nisi vehementer confideret quod essent egressuri?

A ρμζ' ἔτη, ἤγγισαν δὲ αἱ ἡμέραι Ἰσραὴλ τοῦ ἀποθανεῖν, καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ Ἰωσὴφ, καὶ εἶπεν αὐτῷ· « Εἰ εὕρηκα χάριν ἐναντίον σου, ὑπόθες τὴν χεῖρά σου ἐπὶ τὸν μηρόν μου. Καὶ ποιήσεις ἐπ' ἐμὲ ἐλεημοσύνην καὶ ἀλήθειαν, τοῦ μή με θάψαι ἐν Αἰγύπτῳ, ἀλλὰ κοιμηθήσομαι μετὰ τῶν πατέρων μου, καὶ ἄρῃς με ἐξ Αἰγύπτου καὶ θάψῃς με ἐν τῷ τάφῳ αὐτῶν. Ὁ δὲ εἶπεν, Ἐγὼ ποιήσω κατὰ τὸ ῥῆμά σου. Εἶπε δὲ, Ὄμοσόν μοι. Καὶ ὤμοσεν αὐτῷ. Καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. » — « Πίστει Ἰωσὴφ τελευτῶν. » Τοσοῦτον, φησὶν, ἐπίστευσεν ὅτι ἐξελεύσεται ὁ Ἰσραὴλ ἐξ Αἰγύπτου, ὅτι καὶ τὰ ὀστᾶ αὐτοῦ μετενεχθῆναι ἐνώρκωσε. Τί δήποτε; Ἵνα ἀεὶ μεμνημένοι τῶν ὅρκων τοῦ Ἰωσὴφ, B εἰδεῖεν καὶ τὰ περὶ τῆς ἐξόδου. Τίς γὰρ ἂν ὤρκωσε τὰ ὀστᾶ αὐτοῦ μετενεχθῆναι, εἰ μὴ σφόδρα ἐθάῤῥει ὡς ἐξελεύσονται;

XI, 23-26. *Per fidem, cum natus esset Moses, occultatus est menses tres a parentibus suis, propterea quod viderent elegantem puellum, nec veriti sunt edictum regis. Per fidem Moses jam grandis, renuit vocari filius filiæ Pharaonis, potius eligens simul ærumnas pati cum populo Dei quam temporariis peccati commodis frui, majores arbitratus divitias probrum Christi, quam Ægyptiorum thesauros. Respectum enim habebat remunerationis.*

Πίστει Μωϋσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον, καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως. Πίστει Μωϋσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ, μᾶλλον ἐλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ. Ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν.

Ubi viros probos ac virtuti editos recensuisset, qui omnia per fidem effecerant, dicit etiam de Mosi parentibus obscuris quibusdam hominibus, exhortans eos, ac propemodum dicens : Illi adeo obscuri fidem habuerunt, vos autem fluctuatis? Quare autem occultarunt eum menses tres, idque cum regium esset edictum, ut masculi protinus interimerentur? Manifestum est quod crediderunt ipsum servandum esse. Unde autem hæc ipsorum fides? Ex eo quod elegans puellus esset. Nequaquam enim absque divina gratia, inquit, statim a cunis ita factum fuisset. « Per fidem Moses jam grandis. » Hæc enim faciebat confidens potiora se percepturum bona quam essent præsentia. Quod autem ait, Renuit, manifestat quod studio seipsum alienaverit. « Quam temporariis peccati commodis frui. » Peccatum vocavit, non collaborare aut simul ærumnas pati cum populo Dei : non est ergo D fruitus hujus peccati commodis. Cujus? ut non una cum populo Dei ærumnis afficeretur. « Majores arbitratus divitias. » Non dixit : Majores duxit divitias quam thesauros Ægyptiorum bona quæ in cœlis reposita sunt, sed magis demonstrans ipsius virtutem, ait : « Probrum Christi, » hoc est, probro affici sicut Christus. « Quis autem te constituit principem, inquiunt, super nos [61]? » Nam et hoc Christus audivit : « Per quam potestatem hæc facis [62]? » Aut probro affici propter Christum. « Nam petra erat Christus [63]; » hic autem pro petra illa, et quod dederit ex ea aquam [64],

Καταλέξας ἄνδρας ἐναρέτους πάντα πίστει πεC ποιηκότας, λέγει καὶ περὶ τῶν γονέων τοῦ Μωϋσέως ἀσήμων τινῶν, ἐντρέπων αὐτοὺς, ὅτι Καὶ οἱ οὕτως ἄσημοι πίστιν ἔσχον, ὑμεῖς δὲ σαλεύεσθε; Τίνος γὰρ ἕνεκεν ἔκρυψαν αὐτὸν τρίμηνον, καὶ ταῦτα προστάγματος ὄντος βασιλικοῦ τὰ ἄῤῥενα εὐθέως ἀναιρεῖσθαι; Δῆλον ὅτι ἐπίστευσαν σώζεσθαι αὐτόν. Ἡ δὲ πίστις αὐτῶν πόθεν; Ἐκ τοῦ εἶναι ἀστεῖον τὸ παιδίον. Οὐκ ἂν γὰρ, φησὶν, ἄνευ θείας χάριτος εὐθὺς ἐκ σπαργάνων οὕτως ἤμελλεν εἶναι. « Πίστει Μωϋσῆς μέγας γενόμενος. » Ταῦτα γὰρ ἐποίει, μείζονα τῶν παρόντων ἀγαθῶν λήψεσθαι θαῤῥῶν. Τὸ δὲ, Ἠρνήσατο, τὸ μετὰ σπουδῆς ἀλλοτριῶσαι ἑαυτὸν δηλοῖ. « Ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν. » Ἁμαρτίαν ἐκάλεσε, τὸ μὴ συγκακουχεῖσθαι τῷ λαῷ· οὐκ ἀπήλαυσεν οὖν τῆς ἁμαρτίας D ταύτης. Ποίας; τοῦ μὴ συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ. « Μείζονα πλοῦτον ἡγησάμενος. » Οὐκ εἶπε· Μείζονα πλοῦτον ἡγήσατο τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὰ ἐν οὐρανοῖς ἀποκείμενα ἀγαθὰ, ἀλλὰ πλέον δεικνύων αὐτοῦ τὴν ἀρετὴν, εἶπε, « Τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, » τουτέστι, τὸ ὀνειδίζεσθαι ὡς ὁ Χριστός. « Τίς σε κατέστησε, φησὶν, ἄρχοντα ἐφ' ἡμᾶς; » Τοῦτο γὰρ καὶ ὁ Χριστὸς ἤκουσεν, « Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; » Ἢ τὸ ὀνειδίζεσθαι διὰ τὸν Χριστόν. « Ἦν γὰρ πέτρα ἦν ὁ Χριστός. » Οὗτος δὲ ὑπὲρ τῆς πέτρας ἐκείνης καὶ τοῦ δοῦναι ἐξ αὐτῆς τὸ ὕδωρ, πολλὰ ἐλοιδορήθη ὑπὸ τῶν Ἰουδαίων. « Τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ. » Τί ἐστι, Τὸν

[60] Gen. XLVII, 29, 31. [61] Exod. II, 14. [62] Matth. XXI, 23. [63] I Cor. X, 4. [64] Exod. XVII, 1 seqq.

ὀνειδισμὸν τοῦ Χριστοῦ; Τουτέστι, τὸ ὀνειδίζεσθαι τοιαῦτα, δεικνὺς τὸν ὀνειδισμὸν, ὃν ὁ Χριστὸς ὑπέμεινεν. Ἢ ὅτι διὰ τὸν Χριστὸν ὑπέμεινεν. Ἢ γὰρ πέτρα ἦν ὁ Χριστός. Εἰκὸς γὰρ ἦν κἀκεῖνον ὀνειδίζεσθαι ὅτε ἤκουσε, Μὴ ἀνελεῖν με σὺ θέλεις ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; τουτέστιν ὀνειδισμὸς τοῦ Χριστοῦ, μέχρι τέλους καὶ ἐσχάτης ἀναπνοῆς πάσχειν κακῶς, ὥσπερ αὐτὸς ὠνειδίζετο καὶ ἤκουεν, « Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. » Ἀμφότεροι γὰρ ὑπὸ τῶν ἰδίων συμφυλετῶν, ὑπὲρ ὧν εὐηργέτουν, ὠνειδίζοντο. Ἀπέβλεπε γάρ. Ὁρᾷς τὴν πίστιν;

Πίστει κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως (τὸν γὰρ ἀόρατον ὡς ὁρῶν, ἐκαρτέρησε). Πίστει πεποίηκε τὸ πάσχα, καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν. Πίστει διέβησαν τὴν Ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς, ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν. Πίστει τὰ τείχη Ἰεριχὼ κατέπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας. Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης.

« Πίστει κατέλιπεν Αἴγυπτον. » Πίστει ἐξῆλθε, διὰ τὸ μὴ πειράσαι τὸν Θεὸν εἰ σώζει. Καὶ τὸ μὴ πειράσαι, διὰ πίστεως ἦν. Ἢ πιστεύσας ἤξειν καὶ ἐξοίσειν τὸν λαόν. « Μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως. » Καίτοι Ἐν τῇ Ἐξόδῳ κεῖται τὸ ἐφοβήθη. Ἀλλ' οὐδὲν ἐναντίον. Τοσοῦτον γὰρ οὐκ ἐφοβεῖτο, ὅτι πάλιν ἦλθε. Φοβουμένου γὰρ ἦν τὸ μηκέτι ὑποστρέψαι εἰς Αἴγυπτον. Τὸ οὖν Οὐ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως, ὡς πρὸς τὸ πάλιν ἐλθεῖν νόει. Τὸ δὲ πρῶτον ἐφοβήθη, οὐ τὸν βασιλέα, ἀλλὰ μὴ βουλόμενος εἰς προῦπτον κίνδυνον ἑαυτὸν ἐμβρίψαι. Τοῦτο γὰρ πειράζοντος ἦν τὸν Θεόν. Ἢ ὅτι οὐκ ἐφοβήθη μὴ τοσοῦτος γένηται ὁ θυμὸς ὡς καὶ ἀναζητῆσαι αὐτὸν φυγόντα. Ὅθεν οὐ μακρὰν, ἀλλ' ἐκ γειτόνων ἀπέδρα. Τοῦτο δὲ πίστεως ἦν. « Τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε. » Τὸν ἀόρατον Θεὸν ὥσπερ ὀφθαλμοῖς σαρκικοῖς ὁρῶν. Ἐώρα δὲ αὐτὸν διανοίας ὀφθαλμοῖς, καὶ πάντα ὑπέμεινε καρτερῶς, τὴν μετὰ τοῦ λαοῦ κακουχίαν, τὴν φυγὴν, τὰ ἄλλα πάντα. Μεγάλης γὰρ ὑπομονῆς ποιητικὸν τὸ ἔχειν ἐν νῷ τὸν Θεόν. « Πίστει πεποίηκε τὸ πάσχα. » Εἶπε γὰρ Μωσῆς, Χρίσατε, ἵνα σωθῆτε, καὶ ἐπίστευσαν σώζεσθαι. Ἐκεῖνοι μὲν, φησὶν, αἵματι ἀρνοῦ ἐπίστευσαν σωθήσεσθαι, καὶ ἐπέτυχον. Ὑμεῖς δὲ, φησὶ, τῷ αἵματι τοῦ Χριστοῦ πῶς οὐ μᾶλλον πιστεύσετε καὶ σωθήσεσθε ἀπὸ τῶν ἐπιβουλευόντων ὑμῖν; « Καὶ τὴν πρόσχυσιν τοῦ αἵματος. » Πρόσχυσιν αἵματος ἐκάλεσε τὴν κατὰ τῶν φλιῶν τῶν θυρῶν χρίσιν, ἵνα μὴ θίγῃ αὐτῶν ὁ ὀλοθρεύων. Τοῦτο δὲ τύπος ἦν τοῦ αἵματος τοῦ Ἀμνοῦ τοῦ Θεοῦ. Διὰ γὰρ τοῦ αἵματος αὐτοῦ τὸν ὀλοθρευτὴν Σατανᾶν ἀποσοβοῦμεν. *Πίστει διέβησαν τὴν Ἐρυθράν.* Ἐπίστευσαν γὰρ διαβήσεσθαι, καὶ διέβησαν. Τοσοῦτον οἶδεν ἡ πίστις καὶ τὰ ἀδύνατα δυνατὰ ποιεῖν. « Ἧς πεῖραν λαβόντες οἱ

A multa passus est a Judæis convitia. **413** « Probrum Christi? » Quidnam, Ad probrum Christi? hoc est, talia sustinere opprobria, ostendens opprobrium quod passus est Christus, aut quod propter Christum sustinuit. Nam petra erat Christus. Consentaneum est etiam illum probro fuisse affectum. Cum audivit: Num occidere me tu vis quemadmodum heri occidisti Ægyptium? hoc est Christi opprobrium, malis ac injuriis affici usque ad finem extremumque spiritum: quemadmodum ille convitia sustinuit et audivit, « Si Filius Dei es, descende de cruce: » uterque enim probris et conviciis petebatur a suis contribulibus, loco beneficiorum quibus eos affecerat. Respectum enim habebat. Vides fidem?

B XI, 27-31. *Per fidem reliquit Ægyptum haud veritus ferocitatem regis. Perinde non quasi vidisset eum qui est invisibilis ita toleravit. Per fidem fecit pascha et effusionem sanguinis, ne is qui perimebat primogenita, tangeret ipsos. Per fidem transierunt mare Rubrum veluti per siccam terram, quod cum tentassent Ægyptii, absorpti sunt. Per fidem mœnia Jericho conciderunt circumdata ad dies septem. Per fidem Rahab meretrix non periit una cum his qui non obedierant, cum excepisset hospitio exploratores pacifice.*

« Per fidem reliquit Ægyptum. » Per fidem egressus est, ne Deum tentaret, num ipsum servaturus esset: idipsum autem non tentare, fidei erat. Aut cum credidisset se esse venturum et educturum populum. « Haud veritus ferociam regis. » Atqui in C Exodo habetur quod timuerit: sed nihil ex hoc habetur contrarium. Neque non adeo timuit quin rursum rediret: timentis non fuisset non amplius reverti in Ægyptum. Quod ergo ait, Non veritus ferociam regis, intellige ad secundo redeundum. Primo autem timuit non regem, sed nolens se in manifestum conjicere periculum. Nam hoc fuisset tentantis Deum. Aut quod non timuerit ne adeo increscceret ejus ferocia, ut eum inquireret fugientem. Unde non longe, sed ad vicina loca aufugit: hoc autem fidei erat. « Perinde enim quasi vidisset eum qui est invisibilis, ita toleravit. » Perinde quasi oculis carneis Deum vidisset qui est invisibilis. Vidit autem eum oculis mentis, et omnia viriliter D toleravit, nempe ærumnas una cum populo Dei, fugam, cæteraque omnia. Magnæ etenim patientiæ causa est habere in mente Deum. **414** « Per fidem fecit pascha. » Dixit enim Moses: Linite postes ut servemini, et crediderunt quod servandi essent. Illi quidem crediderunt se per sanguinem agni servandos, inquit, idque consecuti sunt. Vos ergo quomodo non magis credetis per sanguinem Christi vos esse servandos, et servabimini ab omnibus qui vobis insidiantur? « Et effusionem sanguinis. » Effusionem sanguinis vocavit unctionem liminum ostriorum, ne tangeret ipsos exterminator angelus. Id autem typus erat sanguinis Agni Dei. Nam per ipsius sanguinem abigimus exterminatorem Satanam. Per fidem transierunt mare Rubrum. Siquidem

crediderunt se transituros, ac transierunt. Tantum valet fides, ut quæ etiam impossibilia sunt faciat possibilia. « Quod cum tentassent Ægyptii. » Fortassis enim suspicabantur mare esse terram, et tentaverunt ipsi quoque pertransire, sed interitus ipsorum ostendit quod vere esset mare, et non phantasia quædam. Diffissum namque præter suam naturam pro Israel, id præstabat ut pedibus incederent : Ægyptios vero conclusit juxta suam naturam. Scopus autem ipsi erat ut ipsos induceret ad credendum, sperandumque futura, atque ob id omnem hunc movit sermonem. « Per fidem mœnia Jericho. » Crediderunt enim futurum ut conciderent, et certe fides etiam ea quæ supra naturam erant direxit. « Per fidem Rabab meretrix. » Siquidem cum audisset referentes viros, credidit ac suscepit eos, tametsi reliqui manerent increduli.

A Αἰγύπτιοι. » Ἴσως γὰρ ὑπενόουν αὐτὴν γῆν εἶναι καὶ ἐπείρασαν καὶ αὐτοὶ παρελθεῖν, ἀλλ' ἡ αὐτῶν ἀπώλεια, ἔδειξεν οὖσαν θάλασσαν ἀληθῶς, καὶ οὐ φαντασίαν τινά. Τῷ μὲν γὰρ Ἰσραὴλ παρὰ τὴν οἰκείαν φύσιν σχισθεῖσα, τὸ πεζεύειν ἐδίδου, τοὺς δὲ Αἰγυπτίους κατὰ τὴν οἰκείαν ἐπέκλυζε φύσιν. Σκοπὸς δὲ αὐτῷ ἦν ἐναγαγεῖν αὐτοὺς εἰς τὸ πιστεύειν ταῖς μελλούσαις ἐλπίσι, καὶ διὰ τοῦτο πάντα τὸν λόγον τοῦτον ἐκίνησε. « Πίστει τὰ τείχη Ἰεριχώ. » Ἐπίστευσαν γὰρ αὐτὰ καταβάλλεσθαι, καὶ δὴ ἡ πίστις καὶ τὰ παρὰ φύσιν κατώρθωσεν. « Πίστει Ῥαὰβ ἡ πόρνη. » Ἐκείνη γὰρ ἀκούσασα τῶν ἀνδρῶν ἀπαγγελλόντων ἐπίστευσε καὶ ὑπεδέξατο αὐτούς, καίτοι τῶν λοιπῶν ἀπιστησάντων.

XI, 32 40. *Et quid præterea loquor ? Deficiet enim me tempus commemorantem de Gedeone, de Barac et Samsone et Jephthe, nec non David et Samuele ac prophetis, qui per fidem expugnaverunt regna, operati sunt justitiam, assecuti sunt promissiones, occluserunt ora leonum, exstinxerunt vim ignis, effugerunt acies gladii, validi facti sunt ex imbecillitate, effecti sunt robusti in bello, incursiones averterunt exterorum. Mulieres acceperunt ex resurrectione mortuos suos. Alii vero cæsi sunt, aspernati redemptionem, ut potiorem sortirentur resurrectionem. Alii rursus ludibriis et flagris explorati sunt, insuper et vinculis et carcere :* **415** *lapidati sunt, dissecti sunt, tentati sunt, occisione gladii occubuerunt ; oberraverunt in ovillis et caprinis pellibus, destituti, pressi, afflicti, quibus indignus erat mundus ; in desertis errantes et montibus ac speluncis et cavernis terræ. Atque omnes hi testimonium promeriti per fidem, non acceperunt promissionem, quod Deus de nobis melius quiddam providit, ne sine nobis consummarentur.*

B *Καὶ τί ἔτι λέγω; Ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ τε καὶ Σαμψὼν καὶ Ἰεφθάε, Δαυὶδ τε καὶ Σαμουὴλ καὶ τῶν προφητῶν, οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγερθέντες ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων. Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν. Ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν. Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν*

C *φόνῳ μαχαίρας ἀπέθανον · περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν · ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος ἐν ἐρημίαις πλανώμενοι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.*

Cum sermonem in meretrice terminasset, ipsosque exhortatus esset a personæ qualitate, posthac compendii gratia, non omnium quidem nomina enumerat : nec tamen remittit sermonem. « Deficiet enim me tempus. » Tempus dicit epistolæ conveniens et veluti proportionatum. « De Gedeone. » Qualis fuerit Gedeon. « Necnon David. » Qualis fuerit David, eo quod constituerit in throno suo, juxta litteralem quidem Solomonem, juxta spiritualem vero intellectum, Solomonem, spiritualem DominumJesum. « Qui per fidem. » Omnes hi per fidem fecerunt ea quæ fecerunt : Abraham, Moses, Jesus. « Expugnaverunt. » Devicerunt, perdiderunt. Quosnam ? Abraham devicit reges qui Lot nepotem suum captivum abduxerant, et regem Geraræ. Moses regem Ægypti, aliosque multos. Jesus, plures [68]. « Operati sunt justitiam. » Abraham, Phinees. Hoc loco de David, opinor, dicit. Justitiam

Καταλύσας τὸν λόγον εἰς τὴν πόρνην, καὶ ἐντρέψας αὐτοὺς ἀπὸ τῆς τοῦ προσώπου ποιότητος, λοιπὸν συντομίας χάριν, τὰ μὲν ὀνόματα οὐκ ὀνομάζει πάντων, οὐ μὴν ἐᾷ τὸν λόγον. « Διηγούμενον ὁ χρόνος. » Ὁ τῇ ἐπιστολῇ, φησὶν, ἁρμόδιος, καὶ οἷον ἡ συμμετρία. « Περὶ Γεδεών. » Οἷος ὁ Γεδεών. « Δαυὶδ τε. »

D Οἷος ὁ Δαυὶδ, διὰ τὸ καθίσαι ἐπὶ θρόνου αὐτοῦ, αἰσθητῶς μὲν, τὸν αἰσθητὸν Σολομῶντα, νοητῶς δὲ, τὸν νοητὸν Σολομῶντα Ἰησοῦν τὸν Κύριον. « Οἳ διὰ πίστεως. » Πάντες οὗτοι διὰ πίστεως ἐποίησαν ἅπερ ἐποίησαν · Ἀβραὰμ, Μωσῆς, Ἰησοῦς. « Κατηγωνίσαντο. » Ἐνίκησαν, κατέβαλον. Τίνας; Ἀβραὰμ ἐνίκησε τοὺς αἰχμαλωτεύσαντας τὸν ἀνεψιὸν αὐτοῦ Λὼτ βασιλεῖς, καὶ τὸν Γεράρων. Μωσῆς, τὸν Αἰγύπτου, καὶ ἄλλους πολλούς. Ἰησοῦς, πλείους. « Εἰργάσαντο δικαιοσύνην. » Ἀβραὰμ, Φινεές. Ἐνταῦθα περὶ τοῦ Δαυὶδ, οἶμαι, λέγει. Δικαιοσύνην δὲ, τὴν φιλανθρωπίαν ἐκάλεσεν. « Ἐπέτυχον ἐπαγγε-

[68] Gen. xiv, 20; Gen. xv; Num. xxv.

λιῶν. » Οἱ πατριάρχαι. Ὁ Ἠλίας, ὁ Δαυΐδ, Ἰησοῦς, Χάλεβ, καὶ ἕτεροι πλείους. « Ἔφραξαν στόματα λεόντων. » Ὁ Δανιήλ, ὁ Σαμψών. « Ἔσβεσαν δύναμιν πυρός. » Οἱ τρεῖς παῖδες, Ἀνανίας, Ἀζαρίας, Μισαήλ. « Ἔφυγον στόματα μαχαίρας. » Οἷον ὁ Ἠλίας. « Ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας. » Καὶ περὶ τῶν ἐπανελθόντων ἐκ Βαβυλῶνος λέγει, καὶ περὶ Ἐζεκίου. « Ἐγενήθησαν ἰσχυροί. » Ἀβραάμ, Μωσῆς, Ἰησοῦς, Σαμψὼν καὶ Δαυΐδ. Ἢ ὅτι οὐ μόνον, φησὶν, ὑπέστρεψαν ἀπὸ τῆς αἰχμαλωσίας διὰ τῆς πίστεως, ἀλλὰ καὶ τὰ πρόσοικα ἔθνη ἐνίκησαν. « Ἔλαβον γυναῖκας. » Ἡ Σωμανῖτις δι' Ἐλισσαίου, καὶ πρώην ἡ Σαραφθία διὰ τοῦ Ἠλίου. « Ἐτυμπανίσθησαν. » Ἢ ἀπετμήθησαν, ὡς ὁ Ἰάκωβος καὶ Ἰωάννης, καὶ ὅσοι ἀπεκεφαλίσθησαν, ἢ διὰ ῥοπάλων ἀπέθανον. Ἄλλοι δὲ τὸ, τυμπανίζεσθαι, τὸ, ἐκδέρεσθαι φασίν. Εἴρηται δὲ καὶ περὶ τῶν Μακκαβαίων. « Οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν. » Οἷον μὴ δεξάμενοι λυτρωθῆναι τῆς ἐπαγομένης αὐτοῖς τιμωρίας. Ἐξὸν ἦν αὐτοῖς, φησὶ, ζῆν, οἱ δὲ οὐκ ἠβουλήθησαν. Καὶ τοῦτο δὲ πίστεως ἦν, ὅθεν φησὶν, « Ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· » ἢ οἱ λοιποὶ ἄνθρωποι. Ἡ μὲν γὰρ ἀνάστασις πᾶσι κοινὴ, ἀλλ' οὗτοι ἀναστήσονται, φησὶν, εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς κόλασιν αἰώνιον. « Ἕτεροι δὲ ἐμπαιγμῶν. » Οἷον ὁ Ἐλισσαῖος, οἱ ἀμφὶ τὸν Πέτρον ὕστερον καὶ τὸν Ἰωάννην. « Ἔτι δὲ δεσμῶν καὶ φυλακῆς. » Ἱερεμίας, καὶ Μιχαίας. « Ἐλιθάσθησαν. » Περὶ τοῦ Στεφάνου λέγει καὶ τοῦ Ναβουδέ. « Ἐπρίσθησαν. » Περὶ τοῦ Ἡσαΐου λέγει, ὃν, ὥς φασι, καὶ ξυλίνῳ πρίονι ἔπρισαν, ἵνα ἐπὶ πολὺ διαρκέσῃ ἡ τιμωρία. « Ἐπειράσθησαν. » Οἷον ὁ Ἰώβ. « Ἐν φόνῳ μαχαίρας ἀπέθανον. » Μιχαίας, Ἰωάννης, Ἰάκωβος καὶ Ζαχαρίας. « Περιῆλθον ἐν μηλωταῖς. » Οἷον ὁ Ἠλίας, ὁ Ἐλισσαῖος. Τοῦτο δὲ ἀπὸ ἀκτημοσύνης ἔπασχον. « Ὑστερούμενοι. » Κακῶς πάσχοντες. « Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. » Τοῦτο καὶ αὐτοὺς παραθαῤῥύνει. Εἰ γὰρ τῶν κακῶς πασχόντων διὰ τὸν Θεὸν οὐκ ἦν ἄξιος ὁ κόσμος οὗτος, τουτέστιν, οἱ πάντες ἄνθρωποι καὶ ἡ κτίσις αὕτη, διὰ τί ὑμεῖς, φησὶ, βούλεσθε ἐνταῦθα τὰς ἀμοιβὰς κομίσασθαι τῶν διὰ τὸν Χριστὸν θλίψεων; Κρείττονες γὰρ ὄντες τοῦ κόσμου, μὴ ζητεῖτέ τι ἐν τῷ κόσμῳ τούτῳ. « Ἐν ἐρημίαις πλανώμενοι. » Ὁ Ἠλίας, οἱ προφῆται, οὓς ἔτρεφεν Ἀβδιού. Ὅρα δὲ, ὅτι οὐδὲ, Τὴν ἔρημον, φησὶ, καταλαβόντες, ἡσυχίας ἐπέτυχον, ἀλλὰ κἀκεῖ ἐπλανῶντο, δέει τῶν διωκόντων. « Καὶ οὗτοι πάντες. » Τί, φησὶν, ἀδημονεῖτε καὶ ἀγαναχτεῖτε, ἔτι ἐν τῷ ἀγῶνι ὄντες, εἰ μὴ τὰς ἀμοιβὰς δέξησθε; Καίτοι οἱ εἰρημένοι πάντες ἅγιοι μαρτυρηθέντες εὑρεστηκέναι διὰ τῆς προσούσης αὐτοῖς πίστεως, οὔπω τετυχήκασι τῶν ἐπηγγελμένων τοῖς δικαίοις ἀγαθῶν. « Τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου. » Πῶς κρεῖττόν τι; Ἵνα γὰρ, φησὶ, μὴ πλέον ἡμῶν σχῶσιν ἐκεῖνοι ἐν τῷ πρώτοι στεφανωθῆναι, ἕνα καιρὸν ὥρισεν ἀνταποδόσεως, ἵνα καὶ ἡμεῖς σὺν αὐ-

A autem appellavit humanitatem. « Assecuti sunt promissiones. » Patriarchæ videlicet, Elias, David, Jesus, Chaleb, aliique plures. « Occluserunt ora leonum. » Daniel, Samson. « Exstinxerunt vim ignis. » Tres pueri, Ananias, Azarias, Mizael. « Effugerunt acies gladii. » Quemadmodum Elias. « Validi facti sunt ex imbecillitate. » Et de iis loquitur qui redierant ex captivitate Babylonica, et de Ezechia. « Effecti sunt robusti. » Abraham, Moses, Jesus, Samson et David. Aut quod non solum ex captivitate per fidem reversi sunt, sed et vicinas nationes devicerunt. « Mulieres acceperunt. » Sunamitis per Elizæum, et antea Sarephthana per Eliam. « Alii vero cæsi sunt. » Aut capite cæsi sunt, ut Jacobus et Joannes et quotquot decollati

B sunt : aut fustibus interierunt. **416** Alii vero τυμπανίζεσθαι dicunt excoriare. Dictum est autem de Machabæis [66]. « Aspernari redemptionem. » Hoc est, contemnentes redimi ab inducto ipsis supplicio. Liberum, inquit, fuisset eis vivere, verum ipsi noluerunt : hoc autem fidei erat. Unde ait : « Ut potiorem sortirentur resurrectionem : » quam cæteri homines. Siquidem resurrectio omnibus communis est : sed hi resurgent ad vitam æternam, illi vero ad supplicium æternum. « Alii rursus ludibriis. » Quemadmodum Elizæus [67], et postmodum Petrus et Joannes cum cæteris. « Insuper et vinculis et carcere. » Jeremias et Michæas [68]. « Lapidati sunt. » De Stephano dicit et Naboth [69]. « Dissecti sunt. » De Isaia dicit, quem, ut aiunt, lignea

C serra secuerunt, ut longo tempore duraret supplicium. « Tentati sunt. » Ut Job [70]. « Occisione gladii occubuerunt. » Michæas, Joannes, Jacobus et Zacharias. « Circuierunt in ovillis. » Sicut Elias et Elizæus [71]. Hoc autem ob inopiam illis contigit. « Destituti. » Veluti prophetæ quos aluit Abdias [72]. « Afflicti. » Malis affecti. « Quibus indignus erat mundus. » Hoc autem etiam animat illos. Nam si hic, inquit, mundus, imo tota creatura indigna erat his qui propter Deum malis afficiebantur, quare vos in hoc mundo mercedem vultis referre eorum quæ propter Christum toleratis? Cum enim meliores mundo sitis, ne quæratis quidquam in hoc mundo. « In desertis errantes. » Ut Elias, et pro-

D phetæ quos alebat Abdias [72]. Vide autem quod non ait, Occupato deserto quietem assecuti sunt; sed ibi quoque errabant timore persecutorum. « Atque hi homines. » Quid, inquit, mœretis et indignamini, qui adhuc in certamine estis, si præmia non recipiatis? Atqui omnes prædicti sancti testimonium promeriti quod per fidem accedentem Deo placuerint, nondum consecuti sunt bona justis promissa. « Quod Deus de nobis quiddam melius providit. » Quomodo melius quidam? Siquidem ne illi aliquid amplius quam nos haberent in eo quod priores coronati essent, unum definivit tempus, ut

[66] Matth. VII, 1 seqq. [67] IV Reg. II, 1 seqq. [68] Jerem. XXXII, 38 ; III Reg. XXII. [69] Act. VII, 1 seqq.; III Reg. XXI, 1 seqq. [70] Job I, 2. [71] II Psal. XXIV, 1 seqq. [72] III Reg. XVIII, 1 seqq. [73] III Reg. XXIII, 19.

et nos cum ipsis coronemur. Hoc autem pro nobis est : illi namque sedent irremunerati, **417** nostram exspectantes administrationem. « Ne sine nobis consummarentur. » Non dixit, Coronarentur, sed quod majorem habet emphasim, Consummarentur, sive Perficerentur, hoc est, acciperent terminum bonorum, pro quo laborat omnis conatus et fatigatio ejus qui virtute præditus est.

A τοῖς στεφανωθῶμεν. Τοῦτο δὲ, ὑπὲρ ἡμῶν ἐστιν· Ἐκεῖνοι γὰρ, φησὶ, κάθηνται ἀγέραστοι, τὴν ἡμῶν περιμένοντες ἐπιστασίαν. « Ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν. » Οὐκ εἶπε, Στεφανωθῶσιν, ἀλλ' ὃ μείζονα ἔμφασιν ἔχει, Τελειωθῶσι, φησὶ, τουτέστι, τὸ πέρας τῶν ἀγαθῶν καὶ ὑπὲρ οὗ κάμνει πᾶσα σπουδαίου κίνησις, ἀπολάβωσι.

CAPUT XVII.

De patientia ex imitatione Christi.

XII, 1, 2. *Proinde nos quoque cum tanta septi simus nube testium, deposito omni onere, et tenaciter adhærente peccato, per tolerantiam curramus in proposito nobis certamine, respicientes ad fidei ducem et consummatorem Jesum, qui pro gaudio sibi proposito pertulit crucem, ignominia contempta, et ad dexteram throni Dei consedit.*

ΚΕΦΑΛ. ΙΖ'.

Περὶ ὑπομονῆς ἐν ἀκολουθήσει Χριστοῦ.

Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν, καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν.

Non dixit imminere nobis aut supra nos attolli, sed, quod majus est, sepire nos. « Nube testium. » Siquidem memoria testium sive martyrum excitat ipsos ad similem zelum ad certamina. Nubem autem ipsos appellavit, aut a metaphora eorum qui exuruntur ab æstu, et in roridam nubem ingressi consolationem accipiunt. Memoria namque martyrum consolatur eos qui ab æstu tentationum dissoluti sunt : aut quia spiritualem nobis rorem distribuunt, Deum pro nobis obsecrantes. « Deposito omni onere. » Deposita gravitate rerum sæcularium, omnique simul negligentia et segnitie. « Et tenaciter adhærentem peccato. » Aut quia facile adhæret nobis, aut quia facile potest casum et dejectionem suscipere. Ideo dicitur εὐπερίστατος ἁμαρτία. « Per tolerantiam curramus. » Neque enim alio modo abjicit quispiam pondus rerum sæcularium, quam per tolerantiam. Porro tolerantiæ meminit tanquam rei ipsis aptissimæ. Considera vero quod non dixerit, Pugnis decertemus, aut, Bellemus, sed, quod levius erat, Curramus in certamine. Præsens namque vita **418** certamen est : certamen, inquam, adversus peccata et concupiscentias, aut eos qui spiritualiter nobis adversantur. In hoc igitur certamine curramus ac viriliter agamus. « Respicientes ad fidei ducem. » Deinde ad caput ipsum venit adhortationis et consolationis, nempe Christum, et ait : Si volumus et tolerantiam habere et recte currere, ad Christum respiciamus, discamusque et recte currere et sustinere : vocatque ipsum ducem ac consummatorem, hoc ostendens quod et credendi nobis causa fuerit, et terminum impositurus sit fidei, ut ipsam firmam habeamus et inconcussam. « Qui pro gaudio sibi proposito. » Ipsi, inquit, licuisset cum gaudio et gloria degere in hoc mundo : ait enim : « Potestatem habeo ponendi animam meam, et recipiendi ipsam[74] : » sed non voluit, imo voluntarie crucem sustinuit. « Ignominia contempta. »

Οὐκ εἶπεν, ἐπαιωρούμενον, ἀλλ' ὃ πλέον ἦν, περικείμενον. « Νέφος μαρτύρων. » Ἡ μὲν γὰρ μνήμη τῶν μαρτύρων κεῖται εἰς τὸ ἐρεθίσαι αὐτοὺς ἐπὶ τὸν ὅμοιον τῶν ἀγώνων ζῆλον. Νέφος δὲ ἐκάλεσεν αὐτοὺς, ἢ ἀπὸ μεταφορᾶς τῶν ὑπὸ καύματος καταφλεγομένων καὶ ὑπεισελθόντων εἰς νεφέλην δροσίζουσαν καὶ παραμυθηθέντων. Καὶ γὰρ ἡ τῶν ἁγίων μνήμη τοὺς ὑπὸ τοῦ καύσωνος τῶν πειρασμῶν ἐκλελυμένους παραμυθεῖται. Ἢ ὅτι νοητὴν ἡμῖν, φησὶ, δρόσον νέμουσιν, ὑπὲρ ἡμῶν τὸν Θεὸν ἱκετεύοντες. « Ἀποθέμενοι πάντα. » Ἀποθέμενοι, φησὶ, τὸ βάρος τῶν βιωτικῶν πραγμάτων, καὶ μετ' αὐτῶν τὴν ὀλιγωρίαν, καὶ τὴν ῥᾳθυμίαν. « Καὶ τὴν εὐπερίστατον ἁμαρτίαν. » Ἤτοι τὴν εὐκόλως περιΐσταμένην ἡμᾶς, ἢ τὴν εὐκόλως περίστασιν παθεῖν δυναμένην. « Δι' ὑπομονῆς τρέχωμεν. » Οὐ γὰρ ἄλλως τις τὸ βάρος ἀπωθεῖται τῶν βιωτικῶν, ἢ δι' ὑπομονῆς. Τῆς δὲ ὑπομονῆς ἐμνήσθη, ὡς μάλιστα ἁρμοδίου ἐκείνοις. Ὅρα δὲ οὐκ εἶπε, Πυτεύωμεν, ἢ Πολεμῶμεν, ἀλλ' ὃ κοῦφον ἦν, Τρέχωμεν, φησὶ, τὸν ἀγῶνα. Ὁ γὰρ παρὼν βίος, ἀγών ἐστιν. Ἀγὼν δὲ κατὰ τῶν ἁμαρτιῶν καὶ ἐπιθυμιῶν καὶ τῶν νοητῶς ἀντιπαλαιόντων ἡμῖν. Τοῦτον οὖν τρέχωμεν καὶ κατορθῶμεν τὸν ἀγῶνα. « Ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγόν. » Εἶτα εἰς τὸ κεφάλαιον τῆς παρακλήσεως ἦλθε, τὸν Χριστὸν, καί φησιν, Εἰ βουλόμεθα ὑπομονήν τε ἔχειν καὶ τρέχειν καλῶς, πρὸς τὸν Χριστὸν ἀπίδωμεν, καὶ μανθάνωμεν καὶ τρέχειν καλῶς καὶ ὑπομένειν. Ἀρχηγὸν δὲ αὐτὸν καὶ τελειωτὴν καλεῖ, τοῦτο δεικνὺς, ὅτι αὐτὸς καὶ τοῦ ὅλως πιστεῦσαι ἡμῖν αἴτιος γίνεται, καὶ αὐτὸς πέρας ἐπιθήσει τῇ πίστει, ὥστε ἔχειν αὐτὴν βεβαίαν ἡμᾶς καὶ ἀσάλευτον. « Ὃς ἀντὶ τῆς προκειμένης. » Ἐξὸν αὐτῷ, φησὶ, μετὰ δόξης καὶ χαρᾶς διάγειν ἐν αὐτῷ κόσμῳ· « Ἐξουσίαν γὰρ, » φησὶν, « ἔχω θεῖναι τὴν ψυχήν μου καὶ λαβεῖν αὐτήν· » ἀλλ' οὐκ ἠβουλήθη, ἀλλ' ἑκουσίως ὑπέμεινε σταυρόν. « Αἰσχύνης καταφρονήσας. » Καὶ γὰρ ἦν ἐπονείδιστος καὶ ἐπικατάρατος ὁ διὰ σταυροῦ θάνατος. Ἂν

[74] Joan. x, 18.

εἰς τοῦτον οὖν ἀπίδωμεν, καὶ ἡμεῖς ὑπομενοῦμεν ὡς καὶ αὐτὸς ὑπέμεινεν. — [OIKOYMENIOY.] Ἤ τὸ, Ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, οὕτως δέξαι, ὡς καὶ Γρηγόριός φησιν. ὯΙ ἔξον, φησὶν, μένειν ἐπὶ τῆς ἰδίας δόξης τε καὶ θεότητος, οὐ μόνον ἑαυτὸν ἐκένωσεν ἄχρι τῆς δούλου μορφῆς, ἀλλὰ καὶ σταυρὸν ὑπέμεινεν, αἰσχύνης καταφρονήσας. « Ἐν δεξιᾷ τε τοῦ θρόνου. » Ἱκανὸς οὖν, φησὶ, καὶ ἀμείψασθαι ὑμᾶς ὑπὲρ τῶν δι' αὐτὸν θλίψεων. Οὐ γὰρ μόνον ἐσταυρώθη, ἀλλὰ καὶ ἐν δεξιᾷ κάθηται τοῦ Θεοῦ, τῆς δεξιᾶς καὶ τῆς καθέδρας τὸ ἰσότιμον παριστώσης.

A Erat namque probrosa ac exsecranda mors per crucem illata. Si igitur in hunc inspexerimus, et nos quoque tolerabimus, quemadmodum et ipse toleravit. Aut quod dicitur, Pro gaudio sibi proposito, ita accipe, sicut et Gregorius ait. Cui cum liberum, inquit, fuisset manere in propria gloria et divinitate, non solum exinanivit semetipsum usque ad formam servi, sed et crucem sustinuit ignominia contempta. « Et ad dexteram throni. » Idoneus igitur est qui vos etiam remuneret pro afflictionibus quas propter eum patimini. Neque enim solum crucifixus est, verum etiam in dextera Dei sedet. Dextera autem et cathedra demonstrat honoris æqualitatem.

Ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι, καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· μὴ ὀλιγώρει παιδείας Κυρίου, τέκνον μου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. Τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; Εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί. Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐνετρεπόμεθα, οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ Πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν;

XII, 3-9. *Recogitate enim eum qui talem sustinuit a peccatoribus adversus semetipsum contradictionem, ne defatigemini animis vestris dissoluti. Nondum usque ad sanguinem restitistis, adversus peccatum repugnantes, et obliti estis exhortationis quæ vobis tanquam filiis loquitur : Fili mi, ne neglexeris correptionem Domini, neque deficias cum ab eo argueris. Quem enim diligit Deus, corripit : flagellat autem omnem filium quem recipit. Si castigationem sustinetis, veluti filiis offert se vobis Deus. Quis enim est filius quem non castigat pater?* 419 *Quod si alieni estis a castigatione cujus participes sunt omnes, igitur spurii estis, non filii. Itaque cum carnis nostræ patres habuerimus castigatores, et reveriti simus illos, annon multo magis subjiciemur Patri spirituum, et vivemus?*

B C

« Ἀναλογίσασθε γάρ. » Εἰ γὰρ ὁ τὰ τῶν ὁμοδούλων λογιζόμενος πάθη, ἔχει παραμυθίαν ἐν τοῖς οἰκείοις πάθεσι, πόσῳ μᾶλλον ὁ τὰ τοῦ Δεσπότου; « Ὑπὸ τῶν ἁμαρτωλῶν. » Τὸ δὲ μεῖζον, ὅτι καὶ ὑπὸ ἁμαρτωλῶν ταῦτα ὑπομεμένηκεν. Ἀντιλογίαν δέ φησι τὸν γέλωτα, τὰς πληγὰς, τὰς χλευασίας, καὶ ὅσα ἀντέλεγον τοῖς αὐτοῦ δόγμασι καὶ διδάγμασι, καὶ τὰς ἐπὶ τοῦ Πιλάτου κραυγάς. « Ἵνα μὴ κάμητε ταῖς ψυχαῖς ὑμῶν. » Εἰ γὰρ ταῦτα λογιεῖσθε, φησὶ, στομωθήσεσθε πρὸς τοὺς πειρασμοὺς, εἰδότες μιμητὰς ἑαυτοὺς γινομένους Θεοῦ. « Οὔπω μέχρις αἵματος. » Ἐμαρτύρησεν αὐτοῖς ἀνωτέρω, πολλὰ ἠθληκέναι, ἐν οἷς φησι, Πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων. Ἵνα οὖν μὴ ἐπαρθῶσιν ἐκ τούτου, λέγει νῦν, ὅτι Οὔπω τελείως ἠγωνίσασθε, δεῖ ὑμῖν καὶ ἑτέρου τινός· ὅπερ καὶ τοῦτο εἶδός ἐστι παρακλήσεως. Φησὶ γάρ· Ἄχρι διωγμῶν, [ἄχρι τῆς τῶν ὑπαρχόντων ἁρπαγῆς ἤλθετε, οὐκ] ἄχρι θανάτου. Ὁ δὲ Ἰησοῦς Χριστὸς ἄχρι θανάτου ἦλθε. « Πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. » Δείκνυσι καὶ τὴν ἁμαρτίαν σφοδρὸν πνέουσαν, καὶ τούτους ἀγωνιζομένους. Τὸ γὰρ, « Ἀντικατέστητε, » οἷον εἰς παράταξιν, εἰς πόλεμον, ὡς καὶ τῆς ἁμαρτίας ἀνθεστώσης. « Καὶ ἐκλέλησθε τῆς παρακλήσεως. » Τοσοῦτον, φησὶν, ἠθυμήσατε καὶ ἐξελύθητε, ὥστε καὶ τῶν εἰς ἀνδρείαν λόγων ἐπιλέλησθε. Τοῦτο δὲ δῆλοι αὐτοὺς ἄγαν ἀπωκνηκότας. Οἱ γὰρ τοιοῦτοι καὶ τῶν ἐν χερσὶν ἐπιλανθάνονται. « Ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται. » Οὐ γὰρ υἱοῖς ἴδιοις ἐλάλει Σολομών, ἀλλὰ κοινὴν διδασκαλίαν ἐξετί-

« Recogitate enim. » Nam si is qui considerat conservorum afflictiones, consolationem habet in suis afflictionibus, quanto magis qui Domini afflictiones animo perpendit. « A peccatoribus. » Majus enim est, quod etiam a peccatoribus hæc sustinuerit. Contradictiones autem vocat irrisionem, verbera, subsannationes, et quæcunque contradicebant doginatis et doctrinis ipsius : similiter et clamores quibus sub Pilato vociferabantur. « Ne defatigemini animis vestris. » Nam si hæc, inquit, animo perpenderitis, obdurabimini ad afflictiones, scientes vos factos esse Dei imitatores. « Nondum usque ad sanguinem. » In superioribus testificatus est eis quod plurimum certaverint, ubi ait : Ingens certamen sustinuistis afflictionum : ne igitur ex hoc extollerentur, dicit nunc : Nondum perfecte decertastis, opus est vobis et alio quodam : quod et hoc est genus exhortationis. Ait enim : Usque ad persecutiones, usque ad facultatum direptionem pervenistis, non usque ad mortem : at Jesus Christus ad mortem usque devenit. « Adversus peccatum repugnantes. » Ostendit et peccatum vehementer spirare, et ipsos ediverso certare. Ait enim, « Restitistis, » tanquam in acie, tanquam in bello, veluti etiam resistente peccato. « Et obliti estis exhortationis. » Adeo, inquit, contristati estis animoque dejecto, ut etiam obliti sitis sermonum qui ad fortitudinem faciunt. Hoc autem significat eos vehementer segnes effectos : nam qui tales sunt obli-

viscuntur etiam eorum quæ sunt in manibus. « Quæ vobis tanquam filiis loquitur. » Non enim propriis filiis loquebatur Salomo, sed communem doctrinam in medium promebat : propterea ait Tanquam. « Cum ab eo argueris. » Maxima est exhortatio et consolatio, scire quod ex Dei promissione ad nostram utilitatem superveniant afflictiones, siquidem ad philosophandum inducant nos afflictiones : quod si ex Dei permissione superveniant, ab ipso videntur supervenire et immitti. « Quem enim diligit Deus corripit. » Siquidem nullus potest quemquam ostendere justum absque afflictione : **420** quoniam « angusta et arcta est via quæ ducit ad vitam[75]. » Itaque et vos quoad correctionem vocat Deus, non ad supplicium. Eo ipso igitur quo se existimabant a Deo derelictos esse, nempe propter afflictiones, per id suadet eis quod Deo curæ sint; imo oppositio modo : Derelicti essetis, inquit, si absque afflictionibus ageretis. « Quem recipit. » Quem ad se suscipit, quem accipit ut suus filius sit. « Veluti filiis offert se vobis Deus. » Quoniam igitur indicium filiorum est corripi, tolerate, inquit, afflictionem. Filii autem Dei sunt justi. « Quod si alieni estis a castigatione. » Ubi a rebus ipsis suasisset, nempe tot sanctis in medium adductis qui per afflictiones decertaverant, nunc ab humanis rationibus nititur ipsis persuadere. « Igitur spurii estis, et non filii. » Si ergo signum spuriorum est non castigari, legitimorum autem filiorum castigari, oportet, inquit, de castigatione gaudere. « Et reverebamur illos. » Audiebamus, inquit, ac reverebamur illos. « Patri spirituum. » Sive spiritualium donorum sive animarum aut incorporearum virtutum. « Et vivemus. » Nam hæc est vita, subjici Deo.

θετο. Διὰ τοῦτο τὸ, Ὡς. « Ἀπ' αὐτοῦ ἐλεγχόμενος. » Μεγίστη παράκλησις, τὸ εἰδέναι ὅτι κατὰ συγχώρησιν Θεοῦ πρὸς ἡμέτερον ὄφελος οἱ πειρασμοὶ ἐπέρχονται. Αἱ γὰρ θλίψεις φιλοσοφεῖν πείθουσιν. Εἰ δὲ κατὰ συγχώρησιν ἐπέρχονται Θεοῦ, παρ' αὐτοῦ δοκοῦσιν ἐπιέναι. « Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει. » Οὐδεὶς γὰρ δύναται δεῖξαι δίκαιον χωρὶς θλίψεως, ἐπειδὴ « στενὴ ἐστι καὶ τεθλιμμένη ἡ εἰς τὴν ζωὴν ὁδός. » Τοιγαροῦν καὶ ὑμᾶς εἰς παιδείαν καλεῖ ὁ Θεὸς, οὐκ εἰς κόλασιν. Αὐτῷ οὖν ᾧ ἐνόμιζον ἐγκαταλελεῖφθαι διὰ τοὺς πειρασμοὺς, δι' αὐτοῦ πείθει αὐτοὺς ὡς ἐν φροντίδι εἰσὶ παρὰ τῷ Θεῷ. Τὸ γὰρ ἐναντίον, φησὶν, ἦν ἂν ἐγκατάλειψις, εἰ ἄνευ θλίψεως διήγετε. « Ὃν παραδέχεται. » Ὃν παραδέχεται παρ' ἑαυτῷ, ὃν προσλαμβάνει εἰς τὸ εἶναι αὐτοῦ υἱόν. « Ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. » Ἐπεὶ οὖν δεῖγμα υἱῶν τὸ παιδεύεσθαι, ὑπομένετε, φησὶ, τὴν παιδείαν. Υἱοὶ δὲ τοῦ Θεοῦ οἱ δίκαιοι. « Εἰ δὲ χωρίς ἐστε παιδείας. » Πείσας πρῶτον ἀπὸ πραγμάτων τῷ παραγαγεῖν τοὺς τοσούτους ἁγίους διὰ θλίψεως ἀγωνισαμένους, νῦν καὶ ἀπὸ λογισμῶν ἀνθρωπίνων πεῖσαι αὐτοὺς ἐπιχειρεῖ. « Ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί. » Εἰ οὖν νόθων μὲν σημεῖον τὸ μὴ παιδεύεσθαι, γνησίων δὲ τὸ παιδεύεσθαι, δεῖ, φησὶ, χαίρειν ἐπὶ τῇ παιδείᾳ. « Καὶ ἐνετρεπόμεθα. » Ἠκούομεν αὐτῶν, φησὶ, καὶ ἠρυθριῶμεν αὐτούς. « Τῷ Πατρὶ τῶν πνευμάτων. » Ἤτοι τῶν χαρισμάτων, ἢ τῶν ψυχῶν, ἢ τῶν ἀσωμάτων δυνάμεων. « Καὶ ζήσομεν. » Τοῦτο γὰρ ζωὴ, τὸ ὑποτετάχθαι Θεῷ.

XII, 10, 11. *Atque illi quidem ad paucos dies pro arbitratu suo nos erudiebant : hic autem ad commodum nostrum, in hoc ut impartiat nobis sanctimoniam suam. Omnis autem castigatio in præsens quidem non videtur esse gaudii, sed mœroris. At postea fructum tranquillum justitiæ reddit his qui per illam fuerint exercitati.*

Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον, ὁ δὲ ἐπὶ τὸ συμφέρον εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. Πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν, οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ, καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμασμένοις ἀποδίδωσι δικαιοσύνης.

« Atque illi quidem ad paucos dies. » Neque enim possunt nos semper instruere ut perfectos reddant : Deus autem qui semper erudit et castigat, perfectos reddit. Patris namque mors aut filii incrementum, sistit castigationem. « Pro arbitratu suo. » Quod autem patri videtur, non semper filio prodest : siquidem frequenter docent turpes etiam artes. « Hic autem ad commodum nostrum. » Porro Deus semper nostram venatur utilitatem. Non enim ut aliquid a nobis accipiat, quemadmodum patres secundum carnem, nostra dispensat : sed ut det potius, et det non mediocre quidpiam, sed sanctimoniam, hoc est, puritatem : ut quantum possibile est, digni eo efficiamur. « Omnis autem eruditio. » **421** Rursum a communi intelligentia sumit occasiones exhortationis, et ait : « Omnis eruditio, » non spiritualis solum, sed et carnalis, » non videtur esse gaudii » Recte autem dicit, Videtur : neque enim

« Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας. » Οὐδὲ γὰρ ἰσχύουσι διόλου παιδεύειν ἡμᾶς, ἵνα τελείους ἐργάσωνται· ὁ δὲ Θεὸς ἀεὶ παιδεύων, τελείους ποιεῖ. Ἡ γὰρ θάνατος τοῦ πατρὸς, ἢ αὔξησις τοῦ παιδὸς, ἵστησι τὴν παιδείαν. « Κατὰ τὸ δοκοῦν αὐτοῖς. » Τὸ δὲ δοκοῦν τῷ πατρὶ, οὐ πάντως λυσιτελεῖ τῷ υἱῷ. Καὶ γὰρ πολλάκις καὶ αἰσχρὰς διδάσκουσι τέχνας. « Ὁ δὲ ἐπὶ τὸ συμφέρον. » Ὁ δὲ Θεὸς, τὸ συμφέρον ἡμῖν ἀεὶ θηρᾶται. Οὐ γὰρ ἵνα λάβῃ τι παρ' ἡμῶν ὥσπερ οἱ κατὰ σάρκα πατέρες, τὰ καθ' ἡμᾶς οἰκονομεῖ, ἀλλ' ἵνα δῷ, καὶ δῷ οὐ μικρόν τι, ἀλλὰ τῆς ἁγιότητος, τουτέστι, τῆς καθαρότητος, ὥστε ἀξίους αὐτοῦ, ὅσον ἐφικτὸν, γενέσθαι. « Πᾶσα δὲ παιδεία. » Πάλιν ἀπὸ τῆς κοινῆς ἐννοίας τὰς ἀφορμὰς λαμβάνει τῆς παραινέσεως, καί φησι· « Πᾶσα παιδεία » οὐ μόνον ἡ πνευματικὴ, ἀλλὰ καὶ ἡ σαρκικὴ, « οὐ δοκεῖ χαρᾶς εἶναι. » Καλῶς τὸ, Δοκεῖ. Οὐ γὰρ ἀληθῶς ἐστι λύπη. Πῶς γὰρ ἂν εἴη κυρίως λύπη, εὐφροσύνης

[75] Matth. VII, 14.

ὡσαμήτηρ; Ἀλλ' ὡς πρὸς ἡμᾶς τοὺς δυσχερῶς φέροντας τὰς παιδείας, τὸ, Δοκεῖ, εἴρηται αὐτῷ. « Ὕστερον δέ. » Μετὰ γὰρ τὴν ἐνταῦθα παιδείαν, ἐκεῖ λοιπὸν εἰρήνη, εὐφροσύνη, δικαιοσύνη, καὶ ὅσα τοιαῦτα. « Τοῖς δι' αὐτῆς γεγυμνασμένοις. » Γυμνάζει ἄρα ἡ παιδεία πρὸς ἀρετὴν καὶ ἀλείφει. Γεγυμνασμένους δέ φησι τοὺς μετὰ μακροθυμίας καὶ ὑπομονῆς ἐνεγκόντας τὴν παιδείαν.

A vere mœror est : quomodo enim proprie mœror esse posset, cum sit mater lætitiæ? sed tanquam ad nos loquens, dixit : Videtur, qui eruditionem ac castigationem graviter ferimus. « At postea. » Post præsentem enim eruditionem, pax erit in futuro, lætitia ac justitia et quæcunque sunt hujusmodi. « His qui per illam fuerint exercitati. » Exercet sane et inungit castigatio ad virtutem. Exercitatos autem dicit eos qui per longanimitatem et tolerantiam tulerunt castigationem.

ΚΕΦΑΛ. ΙΗ'.

Περὶ σωφροσύνης, ἕως καιρὸς κατορθώσεως, μὴ ἀποτύχωμεν αὐτῆς ὡς Ἡσαῦ, μὴ εὑρὼν τόπον μετανοίας.

Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε, καὶ τροχιὰς ὀρθὰς B ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον. Εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. Ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ, μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ διὰ ταύτης μιανθῶσι πολλοί, μήτις πόρνος ἢ βέβηλος ὡς Ἡσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ. Ἴστε γὰρ ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν, ἀπεδοκιμάσθη. Μετανοίας γὰρ τόπον οὐχ εὗρε, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.

CAPUT XVIII.

De temperantia, dum occasio datur correctionis : ne careamus ea in modum Esau, qui postmodum non invenit pœnitentiæ locum.

XII, 12-17. *Quapropter manus remissas et genua soluta subrigite, et facite ut recti sint gressus pedibus vestris, ne claudicatio aberret a via, imo sanetur potius. Pacem sectemini cum omnibus, et sanctimoniam sine qua nemo videbit Deum : curam agentes, ne quis sit qui deficiat a gratia Dei, ne qua radix amarulentiæ suppullulans obturbet, et per hanc inquinentur multi : ne quis scortator aut impurus, veluti Esau qui unico edulio permutavit jus primogenituræ. Scitis enim quod et postea cum vellet hæreditario jure benedictionem assequi, reprobatus sit. Non enim invenit pœnitentiæ locum, tametsi cum lacrymis quæsivisset eam.*

« Διὸ τὰς παρειμένας χεῖρας. » Παρειμένας, παραλελυμένας. Ἀπὸ μέρους τὸ πᾶν εἶπεν. Οὐ γὰρ αἱ χεῖρες μόνον καὶ τὰ γόνατα τοῖς πειρασμοῖς παρελέ- C λυντο, ἀλλὰ μετὰ τοῦ παντὸς σώματος, καὶ ἡ ψυχὴ καὶ ἡ διάνοια. Καὶ γὰρ τοῦτο ἡ ἀθυμία ποιεῖ καὶ ἡ πολλὴ λύπη. — [ΦΩΤ.] Οὐ περὶ γονάτων δὲ καὶ χειρῶν λέγει, ἀλλὰ περὶ λογισμῶν χωλευόντων τῷ πλήθει τῶν πειρασμῶν καὶ ἐκλυομένων. « Καὶ τροχιὰς ὀρθάς. » Οἷον βήματα, δρόμους. Ὡς δρομεῦσι καὶ ἀγωνισταῖς αὐτοῖς διαλέγεται. Πολλὰ δὲ αὐτοὺς αἰνίττεται δεῖν ὀρθῶσαι τοὺς λογισμούς (ὅτι οὐκ ἀπὸ μίσους, ἀλλ' ἀπὸ κηδεμονίας Θεοῦ αἱ παιδεῖαι καὶ οἱ πειρασμοὶ καὶ τὰς περὶ πίστεως καὶ δογμάτων δόξας. Ἔτι γὰρ νήπιοι ὄντες, ἐν τισιν εἶχοντο τοῦ ἰουδαϊσμοῦ, καὶ τὸν βίον καὶ τὴν πολιτείαν. Ἵνα, φησὶ, μὴ τὸ ἐναρχθὲν κακὸν (τοῦτο γὰρ τὸ χωλὸν) εἰς ἀνήκεστον ἔλθῃ, μᾶλλον δὲ διορθωθῇ. Ἰδοὺ φανερῶς οἶδε μετάνοιαν, καὶ σημείωσαι διὰ τοὺς Ναυατιανούς. « Εἰρήνην διώκετε μετὰ πάντων. » Μεθ' ἑαυτῶν, καὶ τῶν ἐπηρεαζόντων. Πολὺ γὰρ τὸ πλάτος τοῦ, Μετὰ πάντων. « Μετὰ γὰρ τῶν μισούντων τὴν εἰρήνην, φησὶν, ἤμην εἰρηνικός. » Ἐὰν γὰρ ὁ μὲν ἀδικῇ, σὺ δὲ οὐκ ἀμύνῃ, ταχέως ἔσται εἰρήνη. « Καὶ τὸν ἁγιασμόν. » Ἁγιασμὸν λέγει τὴν καθαρότητα, οἷον τὴν παρθενίαν, ἤγουν τὴν σωφροσύνην. Ὁ γὰρ καὶ ἐν γάμῳ σωφρονῶν, εἰ καὶ μὴ κυρίως, ἁγιασμὸν ἐπιτελεῖ. Οὐ γὰρ ἅγιος, ἀλλὰ τίμιος ὁ γάμος εἴρηται. Ὅμως καὶ οὕτως ἁγιασμὸν ἐπιτελεῖ. « Οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. » Εἰ γὰρ οὕτε πόρνοι,

422 « Quapropter manus remissas. » Remissas, dissolutas. A parte dixit totum. Neque enim solæ manus et genua afflictionibus dissolvebantur, sed una cum toto corpore et mens et anima. Siquidem id facit tristitia mœrorque vehemens. Non dixit autem de genibus et manibus, sed de cogitationibus quæ claudicant et dissolvuntur ad multitudinem afflictionum ac tentationum. « Ut recti sint gressus. » Sive vestigia, cursus : tanquam cum cursoribus ac pugilibus loquitur ipsis. Innuit autem plurimum necesse esse, ut cogitationes confirment (quod non ex odio, sed Dei gubernatione correptiones et afflictiones proveniant) ac opiniones de fide et dogmatis. Cum enim adhuc infantes essent, quibusdam hærebant rebus Judaicis in vita et conversatione. Ne inceptum, inquit, malum (nam hoc vocat claudicationem) fiat incurabile, sed potius corrigatur. Ecce quod manifeste admiserit pœnitentiam, idque animadverte propter Novatianos. « Pacem sectemini cum omnibus. » Et inter vos mutuo et inter calumniatores. Magna est enim latitudo cum dicitur, Cum omnibus. Etenim, « Cum his, inquit, qui oderant pacem eram pacificus[76]. » Nam si ille quidem afficit injuria, tu vero non ulciscere, cito erit pax. « Et sanctimoniam. » Sanctimoniam dicit puritatem, hoc est, virginitatem sive temperantiam. Nam qui etiam in conjugio temperans est, sanctimoniam complet, quanquam non proprie. Neque enim sanctum, sed honorabile

[76] Psal. CXIX, 7.

dictum est esse conjugium. « Sine qua nemo videbit Deum. » Nam si neque scortatores, neque adulteri, aut his similes regnum Dei hæreditate possidebunt [77], quomodo Dominum viderent qui non sunt temperantes, ut videre oportet, sine sanctimonia ? « Curam agentes ne quis sit qui deficiat. » Quemadmodum longa via gradientes in comitatu, considerantes, inquit, hoc est, diligenter prospicientes et perscrutantes, ne quis desertus esset a gratia Dei. Oportet namque et pro vobisipsis et pro fratribus curam habere, ne quis ea careat. Gratiam autem Dei vocat futura bona, sive fidem aut commodam conversationem. Nam hæc omnia sunt gratia Dei. « Ne qua radix amarulentiæ. » Radicem amarulentiæ dicit peccatum. Ait ergo : **423** Si etiam fuerit quispiam inter vos non recte affectus, amputetur talis, ne peccatum in opus educat, (nam hoc est quod ait Suppullulans), ne reliquis quoque fiat occasio peccati.

Ait enim : « Et per hanc inquinentur multi. » Siquidem videns quisque proximum peccantem, ad æmulationem veniet, ut et ipse peccet. Recte autem vocavit radicem amarulentiæ, peccatum. Amara namque radix potest fructus proferre dulces, at radix amarulentiæ et sibi ipsi amara est et his quibus est radix : amarulentiæ enim radix est substantia et veluti essentia. « Ne quis scortator. » Non dixit, Scortator, referendo ad Esau, sed ponitur ad oppositum ejus quod præcessit, Sanctimoniam sectemini. *Impurus* vero ponitur quasi ad Esau referatur. Impurum autem dixit gastrimargum, eo quod unico edulio distraxerit Dei donum, nempe jus primogenituræ. Scriptum est enim in libro Geneseos [78] : « Creverunt autem pueri ; et erat Esau homo venandi peritus, in agro degens : Jacob vero homo sincerus, domi habitans. Dilexitque Isaac Esau, eo quod venatione ipsius vesceretur : Rebecca autem diligebat Jacob. Et coxit Jacob quoddam edulium. Venit autem Esau ex agro viribus destitutus, et ait Esau ad Jacob : Da mihi ut gustem de hoc fulvo edulio, quia viribus destituor. Propterea vocatum est nomen ejus Edom. Dixit autem Jacob ad Esau : Vende mihi hodie jus primogenituræ. Dixitque Esau : Ecce ego ad mortem accedo, et quorsum mihi jus hoc primogenituræ ? Et ait illi Jacob : Jura mihi hodie. Juravitque illi. Vendit itaque Esau jus primogenituræ suæ Jacob [79]. » Ex eo itaque tempore nostrum est jus primogenituræ, et non Judæorum. Nam ex Isaac et Jacob deducimur. « Reprobatus sit. » A Deo reprobatus sit. Nam Deus causa fuit, quod falsus Isaac benedixerit Jacob [79]. « Tametsi cum lacrymis. » Quidam ita interpretantur : Quanquam cum lacrymis quæsivisset ipsam, nempe benedictionem : et quod dicitur : Pœnitentiæ locum non invenit, per interpositionem poni. « Quæsivisset eam. » Num igitur pœnitentiam rejicit ? Minime. Quomodo ergo si cum lacrymis pœnitentiam quæsivit, non asse-

οὔτε μοιχοὶ καὶ οἱ τούτοις ὅμοιοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι, πῶς οἱ μὴ σωφρονοῦντες ἴδοιεν τὸν Κύριον, ὡς ἰδεῖν χρὴ ἄνευ ἁγιασμοῦ ; « Ἐπισκοποῦντες μή τις ὑστερῶν. » Καθάπερ ὁδὸν μακρὰν βαδίζόντων αὐτῶν ἐν συνοδίᾳ, φησὶν, ἐπισκοποῦντες, τουτέστιν, ἀκριβῶς προσέχοντες καὶ ἐρευνῶντες μή τις εἴη ἀπολελειμμένος τῆς χάριτος τοῦ Θεοῦ. Δεῖ γὰρ καὶ ὑπὲρ ἑαυτῶν καὶ τῶν ἀδελφῶν φροντίζειν μή τι ὑστερήσῃ. Χάριν δὲ Θεοῦ λέγει τὰ μέλλοντα ἀγαθὰ, ἤγουν τὴν πίστιν, ἢ τὴν χρηστὴν πολιτείαν. Πάντα γὰρ ταῦτα χάρις Θεοῦ εἰσι. « Μή τις ῥίζα πικρίας. » Ῥίζαν πικρίας, τὴν ἁμαρτίαν φησί. Λέγει οὖν· Κἂν τις ᾖ εἰς ὑμᾶς οὐκ ἀγαθὰ φρονῶν, ἐκκοπτέτω ὁ τοιοῦτος εἰς ἔργον ἐξάγειν τὴν ἁμαρτίαν (τοῦτο γὰρ τὸ, Ἄνω φύουσα), ἵνα μὴ καὶ τοῖς λοιποῖς πρόφασις γένηται ἁμαρτίας.

« Καὶ δι' αὐτῆς γάρ, φησὶ, μιανθῶσι πολλοί. » Ὁρῶν γὰρ ἕκαστος τὸν πλησίον ἁμαρτάνοντα, εἰς ζῆλον ἥξει τοῦ καὶ αὐτὸς ἁμαρτάνειν. Καλῶς δὲ εἶπε ῥίζαν πικρίας τὴν ἁμαρτίαν. Ἡ μὲν γὰρ πικρὰ ῥίζα δύναται καρποὺς ἐνεγκεῖν γλυκεῖς. Ἡ δὲ τῆς πικρίας ῥίζα ἑαυτῇ τέ ἐστι πικρὰ, καὶ ὧν ἐστι ῥίζα. Πικρία; γάρ ἐστι ῥίζα καὶ ὑπόστασις, καὶ οἷον οὐσία. « Μή τις πόρνος. » Τὸ, Πόρνος, οὐκ εἶπεν ὡς πρὸς τὸν Ἡσαῦ, ἀλλὰ πρὸς ἀντιδιαστολὴν κεῖται τοῦ, Τὸν ἁγιασμὸν διώκετε. Τὸ δὲ, Βέβηλος, ὡς πρὸς τὸν Ἡσαῦ κεῖται. Βέβηλον δέ φησι, τὸν γαστρίμαργον, διὰ τὸ ὑπὲρ βρώσεως μιᾶς ἀπεμπολῆσαι αὐτὸν τὴν τοῦ Θεοῦ δωρεὰν, τουτέστι, τὰ πρωτοτόκια. Γέγραπται γὰρ ἐν βίβλῳ Γενέσεως· « Ηὐξήθησαν δὲ οἱ νεανίσκοι. Καὶ ἦν Ἡσαῦ ἄνθρωπος εἰδὼς κυνηγεῖν, ἀγροῖκος, Ἰακὼβ δὲ, ἄνθρωπος ἁπλαστος, οἰκῶν οἰκίαν. Ἠγάπησε δὲ Ἰσαὰκ τὸν Ἡσαῦ, ὅτι ἡ θήρα αὐτοῦ, βρῶσις αὐτῷ· Ῥεβέκκα δὲ ἠγάπα τὸν Ἰακώβ. Ἕψησε δὲ Ἰακὼβ ἔψημα, ἦλθε δὲ Ἡσαῦ ἐκ τοῦ πεδίου ἐκλείπων. Καὶ εἶπεν Ἡσαῦ τῷ Ἰακώβ· Γεῦσόν με ἀπὸ τοῦ ἐψήματος τοῦ πυῤῥοῦ τούτου, ὅτι ἐκλείπω. Διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἐδώμ. Εἶπε δὲ Ἰακὼβ τῷ Ἡσαῦ, Ἀπόδου σήμερον τὰ πρωτοτόκιά σου ἐμοί. Εἶπε δὲ Ἡσαῦ, Ἰδοὺ ἐγὼ πορεύομαι τελευτᾶν, καὶ ἵνα τί μοι ταῦτα τὰ πρωτοτόκια ; Καὶ εἶπεν αὐτῷ Ἰακὼβ, Ὄμοσόν μοι σήμερον. Καὶ ὤμοσεν αὐτῷ. Ἀπέδοτο δὲ Ἡσαῦ τὰ πρωτοτόκια αὐτοῦ τῷ Ἰακώβ. » Λοιπὸν οὖν ἡμῶν, καὶ οὐκ Ἰουδαίων τὰ πρωτοτόκια. Ἐκ γὰρ Ἰσαὰκ καὶ Ἰακὼβ καταγόμεθα. « Ἀπεδοκιμάσθη. » Ἀπεδοκιμάσθη παρὰ Θεοῦ. Ὁ γὰρ Θεὸς αἴτιος τοῦ, τὸν Ἰσαὰκ ἀπατηθέντα, εὐλογῆσαι τὸν Ἰακώβ, « Καίπερ μετὰ δακρύων. » Τινὲς οὕτως ἑρμηνεύουσι· Καίτοι μετὰ δακρύων ἐκζητήσας αὐτὴν, τὴν εὐλογίαν, τουτέστι· καὶ τὸ, Μετανοίας τόπον οὐχ εὗρε, διὰ μέσου. « Ἐκζητήσας αὐτήν. » Ἆρα μὴ ἐκβάλλει τὴν μετάνοιαν ; Μὴ γένοιτο. Ἐπεὶ οὖν εἰ μετὰ δακρύων ἐζήτησεν αὐτὴν, οὐκ ἐπέτυχεν αὐτῆς ; Ἐζήτησε μὲν, πλὴν οὐχ εὗρε, οὐ γὰρ καλῶς ἐζήτησε.

[77] Ephes. v, 5. [78] Gen. xxv, 26-33. [79] Gen. xxvii, 31 seqq.

Πῶς; Ὅτι οὐ μετενόησεν ὃν ἐχρῆν τρόπον. Ποίας γὰρ ἂν ἦν μετανοίας τὰ ῥήματα ἃ ἐφθέγξατο; « Ἐγγίσουσι, φησίν, αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, καὶ ἀποκτενῶ Ἰακὼβ τὸν ἀδελφόν μου. » Ὥστε διὰ τοῦτο οὐχ εὗρε τὴν μετάνοιαν, ἐπειδὴ μὴ ὡς ἐχρῆν αὐτὴν ἐζήτησεν. Ἢ οὖν τοῦτό ἐστιν, ἢ ὅτι τοὺς μηδέπω πεσόντας τούτῳ τῷ τρόπῳ φοβεῖ, μὴ πεσεῖν, τῷ μὴ εἶναι ἐπὶ τοῖς μεγίστοις ἁμαρτήμασιν ἀξίαν μετάνοιαν. Καὶ πρὸς μὲν τοὺς μήπω ἁμαρτήσαντας οὕτως λέγει, τῷ φόβῳ συντηρῶν αὐτοὺς μὴ πεσεῖν. Ὅταν δὲ ἴδῃ τινὰς τέλεον πεσόντας, ὅρα πῶς; μεταβάλλεται. Φησὶ γάρ · « Τεκνία, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. » Ὅτι γὰρ πρὸς ἤδη πεσόντας ταῦτα γράφει, δῆλον. Φησὶ γάρ · « Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε. » Ὁρᾷς ὅτι μαρτυρῶν αὐτοῖς τὸ πεπτωκέναι, πρὸς τὸ μὴ εἰς ἀπόγνωσιν ἐλθεῖν, εἶπε τὸ, « Οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν ; » Εἶδες μὴ ἐκβεβλημένην τὴν μετάνοιαν, ἀλλ' οἰκονομικῶς πάντα φθεγγόμενον τὸν ἅγιον τοῦτον ;

A cutus est eam? Quæsivit quidem, attamen non invenit : neque enim recte quæsivit. Quomodo? Quia non illum debito modo pœnituit. **424** Qualis enim pœnitentiæ verba erant quæ locutus est? « Appropinquabunt dies luctus patris mei, et occidam Jacob fratrem meum. » Itaque propterea non invenit pœnitentiam, quia non eam quæsivit ut oportuit. Aut ergo hoc est, aut quod eos qui nondum ceciderant, rursum terret ne cadant, quod maximis peccatis non sit digna pœnitentia : et ad eos qui nondum peccaverant ita loquitur, terrore conservans eos ne cadant. Cum autem videt aliquos omnino cecidisse, considera quomodo commutat sermonem. Ait enim : « Filioli mei, quos iterum parturio, donec formetur Christus in vobis [80]. »

B Nam quod hæc ad eos scribat qui jam ceciderant, manifestum est. Ait enim : « Qui per legem justificamini, a gratia excidistis [81]. » Vides quod cum ipsis testetur quod ceciderant, ne in desperationem veniant, dicat : « Quos iterum parturio, donec formetur Christus in vobis? » Agnoscis ne sanctum hunc non abjicere pœnitentiam, sed hæc dispensatorie loqui?

ΚΕΦΑΛ. ΙΘ'.

Ὅτι φοβερώτερα τῶν ἐπὶ Μωϋσέως τὰ μέλλοντα, καὶ πλείονος ἀξία σπουδῆς τὰ νῦν.

Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει καὶ κεκαυμένῳ πυρὶ καὶ γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ, καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρητήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον. Οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον. Κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται, ἢ βολίδι κατατοξευθήσεται. Καὶ οὕτως φοβερὸν ἦν τὸ φανταζόμενον, ὡς Μωϋσῆς εἶπεν, Ἔκφοβός εἰμι καὶ ἔντρομος.

Τὸ πῦρ διὰ τοῦτο, ἵνα φοβερώτερος φανῇ νομοθετῶν ὁ Θεός. « Καὶ γνόφῳ καὶ σκότῳ. » Ὁ γνόφος καὶ τὸ σκότος, τὸ συνεσκιασμένον τῆς Παλαιᾶς δηλοῖ. Εἰ γὰρ ἐκεῖνα τύποι ἦσαν, δῆλον ὅτι ἕως οὗ ἦλθεν ἡ ἀλήθεια, ἀσαφεῖς ἦσαν οἱ τύποι, μὴ γινωσκόμενοι τί δηλοῦσι. Καὶ τὸ ἀόρατον δὲ τοῦ Θεοῦ ὁ γνόφος δηλοῖ. « Καὶ γνόφος γάρ, φησὶν, ὑπὸ τοὺς πόδας αὐτοῦ. » — « Καὶ θυέλλῃ. » Ἡ θύελλα ῥᾳθύμους ὄντας διανίστησιν. Ἔστι δὲ θύελλα, ἀνέμου συστροφή. Αἱ δὲ σάλπιγγες, ὡς βασιλέως παρόντος. Τοῦτο γὰρ καὶ ἐν τῇ δευτέρᾳ παρουσίᾳ ἔσται. « Καὶ φωνῇ ῥημάτων. » Ὁ γὰρ Μωσῆς ἐλάλει, ἀπεκρίνατο δὲ ὁ Θεός. « Ἔδει γὰρ τοῦ Θεοῦ φέρεσθαι τὴν φωνὴν, ἵνα ἀξιόπιστος ἡ νομοθεσία γένηται, καὶ μὴ νομισθῇ Μωσέως εἶναι, δι' οὗ νομοθετεῖν ἔμελλεν ὁ Θεός. « Οὐκ ἔφερον γάρ. » Εἶπε τὴν αἰτίαν τῆς παραιτήσεως, ὅτι οὐκ ἔφερον τὸ διαστελλόμενον οἷον, τὸ ἐντελλόμενον καὶ λαλούμενον. Καὶ γὰρ εἶπον Μωσεῖ· « Λάλησον ἡμῖν σὺ, καὶ μὴ λαλείτω ἡμῖν ὁ Θεός. » — « Κἂν θηρίον θίγῃ. » Τοσοῦτος ἦν ὁ φόβος, ὅτι κἂν θηρίον ἅψηται τοῦ ὄρους, ἐλιθοβολεῖτο. « Καὶ οὕτως φοβερὸν ἦν τὸ φανταζόμενον. » Θέλει δεῖξαι καὶ

CAPUT XIX.

Quod formidabiliores sint futuræ pœnæ illis quæ sub Mose infligebantur, dignumque sit ut circa præsentia majus adhibeatur studium.

Xii, 18-21. *Non enim accessistis ad contactum montem et incensum ignem ac caliginem et tenebras ac turbinem, tubæque sonitum et vocem verborum, quam qui audierant deprecati sunt, ne ipsis fieret sermo. Non enim ferebant quod edicebatur. Etiam si bestia tetigerit montem, lapidabitur aut jaculo confodietur; et adeo terribile erat visum quod apparebat, ut Moses diceret : Exterrefactus sum ac tremebundus.*

425 Propterea ignis, ut majori terrori esset Deus qui legem ferebat. « Ac caliginem et tenebras. » Caligo et tenebræ significant Veteris Testamenti obumbrationem. Nam si illa figuræ erant, manifestum est quod donec veniret veritas, obscuræ erant figuræ, dum non cognosceretur quid significarent. Significat autem caligo etiam Dei invisibilitatem. « Et caligo, inquit, sub pedibus ejus [82]. » — « Ac turbinem. » Per dictionem, Turbo, excitat eos cum segnes essent. Est autem turbo venti contorsio. Tubæ vero, tanquam præsente rege; nam et hoc in secundo erit adventu. « Et vocem verborum. » Moses enim loquebatur, et Deus respondebat [83]. Oportuit namque Dei vocem formari, ut fide digna fieret legislatio, et non existimaretur esse Mosi, per quem erat Deus legem laturus. « Non enim ferebant. » Causam dixit excusationis, quia non ferebant id quod definiebatur, hoc est, quod præcipiebatur sive dicebatur. Siquidem dixerunt Mosi : « Loquere tu nobis, et non loquatur nobis Deus [84]. » — « Etiam si bestia tetigerit. » Tantus erat terror, quod et bestia si tangebat montem, lapidabatur. « Et adeo

[80] Galat. iv, 19. [81] Galat. v, 4. [82] Psal. xvii, 10. [83] Exod. xix, 19. [84] Exod. xx, 19.

terribile erat visum quod apparebat. » Vult ostendere in hoc quoque excellere Novum Testamentum in ordine ad Vetus. Siquidem Vetus etiam si hujusmodi nihil haberet quale Novum, timendum quodammodo erat : Novum vero, cum perfectionem habeat, clemens est et absque terrore. « Ut Moses diceret : Expavefactus sum et tremefactus. » Hic etiam qui in caliginem ingressurus erat, hoc dicebat.

A ἐν τούτῳ διαφορὰν τῆς Νέας, ὡς πρὸς τὴν Παλαιαν. Ἡ γὰρ παλαιὰ καίτοι μηδὲν ἔχουσα τοιοῦτον οἷον ἡ Νέα, φοβερά τις ἦν. Ἡ δὲ Νέα, φησὶν, ἔχουσα τὸ τέλειον, ἠπία ἐστὶ καὶ χωρὶς φόβου. « Μωϋσῆς εἶπεν · Ἔκφοβός εἰμι καὶ ἔντρομος. » Οὗτός φησιν, ὁ εἰς τὸν γνόφον εἰσελθών.

XII, 22-24. *Sed accessistis ad montem Sion et ad civitatem Dei viventis, Jerusalem cœlestem, et ad innumerabilium angelorum cœtum, et ad concionem primogenitorum qui conscripti sunt in cœlis, et ad judicem universorum Deum, et ad spiritus justorum perfectorum, et ad novi testamenti conciliatorem, Jesum, et ad sanguinem aspersionis melius loquentem quam sanguis Abel.*

B *Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων, πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων, καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ.*

« Sed accessistis. » Pro monte, inquit, Sion est hic cœlum. Nam hoc dicit hic montem Sion et Jerusalem : unde subjungit Cœlestem. « Et innumerabilium angelorum cœtum. » Pro Judaico populo, adsunt angeli. **426** Et solemnem, inquit, cœtum, qui ex innumerabilibus constat angelis. Primogenitos autem dicit fideles, quorum nomina sunt in libro vitæ. Nam hoc etiam dicit Dominus discipulis : « Gaudete, quod nomina vestra scripta sint in cœlis [65]. » — *Aliud.* Primogenitos dicit sanctos, qui habent aliquid excellens præter alios fideles qui adoptionem acceperunt a primogenitis qui apud nos sunt, qui ex jure primogenituræ habent aliqua præcipua legata. « Et ad judicem universorum Deum. » Tanquam diceret : Illi ne verba quidem ausi sunt audire ; vos autem ad ipsum judicem accessistis, hoc est, ad Christum. « Nam Pater, inquit, non judicat quemquam, sed judicium dedit Filio [66]. » — « Et ad spiritus justorum. » Cum ipsis enim futuri estis, qui ad novum testamentum accessistis. Vocat autem ipsos, ut qui suam tunc perfectionem sint habituri, quemadmodum etiam superius ait : Ne sine nobis consummarentur. « Et ad novi testamenti conciliatorem. » Pro Mose hic est Christus. Sanguinem vero aspersionis dicit pretiosum Christi sanguinem. « Melius loquentem quam sanguis Abel. » Quid enim sanguis Abel ? an locutus est ? Utique. Nam per ipsum, inquit, mortuus adhuc loquitur, in gloria videlicet et fama. De Christi vero sanguine perspicuum est quod magis per gloriam loquatur, cum idoneum sit ad purificandum universum mundum. Semper autem a minimis trahit comparationem, propter ruditatem auditorum. — Siquidem sanguis Abel clamabat adversus homicidam, Christi vero sanguis pro nobis loquitur ad Patrem : propterea dicit : « Melius loquentem quam sanguis Abel. »

C « Ἀλλὰ προσεληλύθατε. » Ἀντὶ τοῦ Σιὼν ὄρους, φησὶν, ἐνταῦθά ἐστιν ὁ οὐρανός. Τοῦτον γὰρ καλεῖ Σιὼν ὄρος καὶ Ἱερουσαλήμ. Ὅθεν ἐπάγει, Ἐπουρανίῳ. « Καὶ μυριάσιν ἀγγέλων. » Ἀντὶ τοῦ Ἰουδαϊκοῦ λαοῦ, ἄγγελοι πάρεισι. Καὶ πανηγύρει, φησὶν, ἐν μυριάσιν ἀγγέλων ὑπαρχούσῃ. Πρωτοτόκους δέ φησι, τοὺς πιστοὺς, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. Τοῦτο γὰρ φησι καὶ ὁ Κύριος τοῖς μαθηταῖς · « Χαίρετε ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς. » — Ἄλλο. Πρωτοτόκους δὲ, τοὺς ἁγίους λέγει, τοὺς τὸ ἐξαίρετον ἔχοντας παρὰ τοὺς λοιποὺς πιστοὺς, τοὺς τῆς υἱοθεσίας ἠξιωμένους, ἀπὸ τῶν παρ' ἡμῖν πρωτοτόκων, οἳ ἐκ τῶν πρωτοτοκίων ἔχουσί τινα πρεσβεῖα. « Καὶ κριτῇ Θεῷ πάντων. » Ὡσεὶ εἶπεν · Ἐκεῖνοι, φησὶν, οὐδὲ ῥημάτων ἐτόλμησαν ἀκοῦσαι, ὑμεῖς δὲ αὐτῷ τῷ κριτῇ προσεληλύθατε, τουτέστι, τῷ Χριστῷ. « Ὁ γὰρ Πατὴρ, φησὶ, κρίνει οὐδένα, τὴν δὲ κρίσιν ἔδωκε τῷ Υἱῷ. » — « Καὶ πνεύμασι δικαίων. » Μετ' αὐτῶν γὰρ εἶναι μέλλετε, φησὶν, οἱ τῇ Νέᾳ προσελθόντες. Τετελειωμένους δὲ αὐτοὺς καλεῖ, ὡς μελλόντων αὐτῶν τότε τὸ τέλειον ἕξειν, καθὼς καὶ ἄνω φησὶν, Ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν. « Καὶ διαθήκης νέας μεσίτῃ. » Ἀντὶ Μωϋσέως, ὁ Χριστὸς ἐνταῦθα. Αἷμα δὲ ῥαντισμοῦ, τουτέστι, καθαρισμοῦ, τὸ τίμιον αἷμα λέγει τοῦ Χριστοῦ. « Κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ. » Τί γὰρ τὸ τοῦ Ἄβελ; ἐλάλησε; Ναί. Δι' αὐτοῦ γάρ, φησὶν, ἀποθανὼν ἔτι λαλεῖ, τῇ δόξῃ, τῇ φήμῃ δηλονότι. Τὸ δὲ τοῦ Χριστοῦ αἷμα εὔδηλον ὅτι τῇ δόξῃ πλέον λαλεῖ, τὸ παντὸς τοῦ κόσμου καθαριστικόν. Ἀεὶ δὲ ἐκ τῶν ἐλαχιστοτάτων τὰς συγκρίσεις ποιεῖται, διὰ τὸ νηπιώδες τῶν ἀκουόντων. — [ΚΥΡΙΛ.] Τὸ μὲν γὰρ Ἄβελ αἷμα κατεκεκράγει τοῦ φονευτοῦ. Τὸ δὲ Χριστοῦ, ὑπὲρ ἡμῶν λαλεῖ πρὸς τὸν Πατέρα. Διὰ τοῦτό φησι, « Κρεῖττον λαλοῦντι παρὰ τὸ Ἄβελ. »

XII, 25-26. *Videte ne aspernemini eum qui loquitur. Nam si illi non effugerunt, aspernati eum qui supra terram jus dicebat, multo magis nos si eum qui de cœlis est aversemur : cujus vox tum concussit*

Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. Εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον, τὸν ἐπὶ γῆς παραιτησάμενοι χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι, οὗ ἡ φωνὴ τὴν

[65] Luc. x, 20. [66] Joan. v, 22.

terram, at nunc denuntiavit, dicens : Adhuc semel ego concutio, non modo terram, verum etiam cœlum. Porro illud quod dicit : Adhuc semel, significat eorum quæ concutiuntur translationem, utpote quæ facta sunt, ut maneant ea quæ non concutiuntur.

« Ne aspernemini eum qui loquitur. » Aut **427** per incredulitatem, aut per desperationem. Quis est autem is qui loquitur, et ad suum vocat regnum? Christus videlicet. Nam si sanguis ejus loquitur, multo magis ipse vivit. « Nam si illi non effugerunt. » Videlicet periculum, hoc est, perditionem. « Eum qui supra terram jus dicebat aspernati. » Aut eum qui supra terram jus dicebat, hoc est, terrena ac transitoria promittebat, nempe terram fluentem lac et mel, victoriam adversus inimicos, fertilitatem in procreandis liberis, vitamque longævam. De cœlis autem loquitur qui ipsum cœlum in hæreditatem promittit, qui ineffabilis perpetuæque illius gloriæ fruitionem largitur. Aut potest dictum esse, supra terram jus dicere, quoniam omnia propemodum quæ ad Mosis legislationem pertinebant, corporales erant purificationes : at nova et per Christum nobis data legislatio, animæ purificatio est et illuminatio. Supra terram igitur sunt illa sancita, quoniam humilia et circa materiale tabernaculum versantia : hæc autem a cœlo sunt, quia divina et sublimia, divinoque modo animam emundantia et in cœlos reducentia. Supra terram jus dicentem ait Mosen. Quod igitur ait, hujusmodi est, si Judæi recusantes obtemperare Mosi non effugerunt exitium, quomodo nos effugiemus, recusantes obtemperare ei qui de cœlo loquitur, hoc est, Christo? Non quod olim alius dederit legem, nunc vero alius loquatur, et ad suum vocet regnum ac fidem : sed quod magis tremendus sit nunc qui de cœlo et per seipsum loquitur, quam qui olim de terra et per medium Mosen : unde justum est magis ut audiatur. Quod autem non alius fuerit qui olim legem tulerit, quam is qui nunc loquitur, ipse significat, dicens : « Cujus vox tum concussit terram. » Quando? Quando legem ferebat in monte Sina. « At nunc denuntiavit dicens. » Vides eumdem esse qui tunc loquebatur et qui nunc? Sed differentia est in modo promulgationis : tunc enim a terra et per Mosen promulgabat, nunc vero a cœlo et per seipsum. « Si eum qui de cœlis est aversemur. » A communi intelligentia subauditur, Jus dicentem, sive Loquentem, aut Promulgantem. « Adhuc semel et ego concutio. » Quod ait « Adhuc semel, » significat quod præter secundum, sit additum aliud Semel. Prius namque concussus est mundus in legislatione facta in monte Sina. « Terra enim commota est, » ait David [87]. **428** Rursum in adventu in carne commotus est mundus; nam « Commota est omnis Jerusalem [88]. » — « Et concutientur omnia manufacta simulacra Ægypti [89]. » Concussionem autem sive commotionem dicit veluti

A *γῆν ἐσάλευσε τότε, νῦν δὲ ἐπήγγελται λέγων· Ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. Τὸ δέ, Ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν ὡς πεποιημένων, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα.*

« Μὴ παραιτήσησθε τὸν λαλοῦντα. » Ἢ διὰ ἀπιστίας, ἢ διὰ ἀπογνώσεως. Τίς δὲ ὁ λαλῶν καὶ εἰς τὴν οἰκείαν καλῶν βασιλείαν; Ὁ Χριστὸς δηλονότι. Εἰ γὰρ τὸ αἷμα αὐτοῦ λαλεῖ, πολλῷ μᾶλλον αὐτὸς ζῇ. « Εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον. » Τὸν κίνδυνον, τουτέστι, τὴν ἀπώλειαν. « Τὸν ἐπὶ γῆς παραιτησάμενοι. » Ἢ τὸν ἐπὶ γῆς χρηματίζοντα, τὸν τὰ γήϊνα καὶ παρερχόμενα ὑπισχνούμενον, γῆν ῥέουσαν γάλα καὶ μέλι, ἐχθρῶν ἐπικράτειαν, εὐπαιδίαν, καὶ βίον μακροχρόνιον. Ἀπ' οὐρανῶν δὲ λαλεῖ, ὁ αὐτὸν τὸν οὐρανὸν εἰς κληρονομίαν ἐπαγγελλόμενος, ὁ τῆς ἀφράστου δόξης ἐκείνης καὶ ἀπεράντου τὴν ἀπόλαυσιν χαριζόμενος. Ἢ δύναται τά· Ἐπὶ γῆς, εἰρῆσθαι, χρηματίζειν, ὅτι σχεδὸν πάντα τῆς διὰ Μωσέως νομοθεσίας, σωματικοὶ καθαρμοὶ ἐτύγχανον. Ἡ δὲ νέα καὶ διὰ Χριστοῦ δοθεῖσα ἡμῖν νομοθεσία, ψυχῆς ἐστι καθάρσιον καὶ φωτισμός. Ἐπὶ γῆς οὖν ἐστιν ἐκεῖνα κεχρηματισμένα, ὅτι ταπεινὰ καὶ περὶ τὸ ὑλῶδες σκήνωμα στρεφόμενα. Ἀπ' οὐρανοῦ δὲ ταῦτα, ὅτι θεῖα καὶ ὑψηλὰ, καὶ τὸ θεοειδὲς τὴν ψυχὴν ἐκκαθαίροντα, καὶ εἰς οὐρανοὺς ἀναφέροντα. Ἐπὶ γῆς γὰρ χρηματίζοντα, τὸν Μωσῆν φησιν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Εἰ οἱ Ἰουδαῖοι παραιτησάμενοι πεισθῆναι Μωσεῖ, οὐκ ἐξέφυγον τὸν ὄλεθρον, πῶς ἡμεῖς ἐκφεύξόμεθα παραιτησάμενοι πεισθῆναι τῷ ἐξ οὐρανῷ λαλοῦντι, τουτέστι, Χριστῷ; Οὐκ ἐπειδὴ πάλαι μὲν ἄλλος ἔδωκε τὸν νόμον, νῦν δὲ ἄλλος λαλεῖ, καὶ εἰς τὴν αὐτοῦ καλεῖ βασιλείαν καὶ πίστιν, ἀλλ' ὅτι φοβερώτερός ἐστι νῦν ἐκ τοῦ οὐρανοῦ καὶ δι' ἑαυτοῦ λαλῶν, ἢπερ πάλαι ἀπὸ γῆς καὶ διὰ μέσου Μωϋσέως, ὅθεν καὶ δίκαιός ἐστι μᾶλλον ἀκουσθῆναι. Ὅτι δὲ οὐκ ἄλλος ὁ πάλαι νομοθετῶν παρὰ τὸν νῦν λαλοῦντα, αὐτὸς δηλοῖ εἰπών· « Οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε. » Πότε; Ὅτε, φησὶν, ἐνομοθέτει ἐν τῷ ὄρει τῷ Σινᾷ. « Νῦν δὲ, φησὶν, ἐπαγγέλλεται λέγων. » Ὁρᾷς ὅτι ὁ αὐτός ἐστιν ὁ τότε καὶ νῦν; Ἀλλ' ἡ διαφορὰ ἐν τῷ τρόπῳ τοῦ κηρύγματος. Τότε μὲν γὰρ ἀπὸ γῆς καὶ διὰ Μωϋσέως ἐκήρυσσε, νῦν δὲ ἀπ' οὐρανοῦ καὶ δι' ἑαυτοῦ. « Οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι. » Ἀπὸ κοινοῦ τὸ, Χρηματίζοντα, οἷον Λαλοῦντα, Κηρύσσοντα. « Ἔτι ἅπαξ ἐγὼ σείω. » Τὸ, « Ἔτι ἅπαξ, » δηλοῖ, τὸ μετὰ τὸ δεύτερον, προσθεῖναι ἄλλο Ἅπαξ. Πρότερον μὲν γὰρ ἐσείσθη ὁ κόσμος ἐπὶ τῆς ἐν Σινᾷ νομοθεσίας. « Γῇ γὰρ ἐσείσθη, » φησὶν ὁ Δαυίδ. Πάλιν ἐπὶ τῆς ἐν σαρκὶ ἐπιδημίας ἐσείσθη ὁ κόσμος· καὶ γὰρ « Ἐσείσθη πᾶσα Ἱερουσαλήμ. » — « Καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου. » Σεισμὸν δὲ λέγει τὸ εἶναι ἐξάκουστον τοῦ κηρύγματος, δι' οὗ ἐσείσθησαν ἀπὸ τῆς πάλαι ἐν τῇ πλάνῃ στάσεως καὶ μετηνέχθησαν οἱ ἄνθρωποι. Οὕτως ὁ ἅγιος Κύριλλος· Τὸ δὲ, Ἔτι ἅπαξ, λέγει, ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ τῇ μετὰ δόξης

[87] Psal. xcv, 9. [88] Matth. II, 3. [89] Isai XIX, 1.

sonoritatem prædicationis, per quam commoti et translati sunt, puta a veteri statu qui in errore agebatur. Ita habet divus Cyrillus : Quod ait, Adhuc semel, dicit in secundo suo adventu qui fiet cum gloria, quando transmutabit et variabit creaturam : tunc enim maxime commovebitur creatura : aut verum terræ motum et concussionem : aut transmutationem a malo ad bonum hominum, qui ad tempus illud pertingent. Animadverte quoque adnotationem beati Cyrilli in Aggæum [99] : « Eorum quæ concutiuntur translationem : » nempe cœli et terræ, quæ tunc concutientur ex præsenti statu in quo facta sunt, per variationem et commutationem. « Utpote quæ facta sunt. » Tanquam diceret : Quod naturale est sustinebunt. Quandoquidem enim id quod initium habuit, etiam terminum accipiet, ait : Utpote quæ facta sunt. Nam quia facta sunt, et cœperunt ex mutatione a non esse ad esse (ut ita loqui liceat), merito rursum concutientur et commovebuntur per mutationem. « Ut maneant ea quæ non concutiuntur. » Tunc autem concutiet et immutabit creaturam, ut maneant ea quæ non concutiuntur, hoc est, quæ jam non amplius concutienda sunt aut immutanda. Tanquam diceret : Propterea concutit et immutat creaturam, ut deinceps suo persistant loco quæ non amplius concutienda aut immutanda sunt. Quæ vero non immutantur, merito non amplius sunt agitanda : nam ubi semel primam immutationem susceperint, incompatibilia erunt.

A γενησομένη, ὅταν μεταποιῇ καὶ ἐναλλάσσῃ τὴν κτίσιν. Τότε γὰρ μάλιστα σεισθήσεται ἡ κτίσις, ἢ τὸν ὄντως σεισμὸν καὶ πάταγον ἢ τὴν μετάθεσιν τὴν ἀπὸ τοῦ κακοῦ εἰς τὸ ἀγαθὸν, τῶν τότε φθανομένων ἀνθρώπων. Πρόσχες καὶ τῇ παραγραφῇ τοῦ μακαρίου Κυρίλλου εἰς τὸν Ἀγγαῖον · « Τῶν σαλευομένων τὴν μετάθεσιν, » τουτέστι, τῆς γῆς, τοῦ οὐρανοῦ, τῶν τότε μελλόντων σαλεύεσθαι ἐκ τῆς νῦν καταστάσεως ἐν τῇ ἀλλαγῇ καὶ μεταποιήσει. « Ὡς πεποιημένων, » τουτέστι, τὸ κατὰ φύσιν πασχόντων. Ἐπειδὴ γὰρ τὸ ἀρξάμενον καὶ πέρας λαμβάνει, φησὶν, Ὡς πεποιημένων. Ἐπειδὴ γὰρ πεποίηται, καὶ ἀπὸ κινήσεως ἤρξατο, τῆς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, εἰκότως πάλιν σαλευθήσεται καὶ μετακινηθήσεται ἐν τῇ ἀλλαγῇ. « Ἵνα μείνῃ τὰ μὴ σαλευόμενα. » Σαλεύει δὲ B τὴν κτίσιν τότε καὶ ἐναλλάσσει, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα, τουτέστι, τὰ μηκέτι μέλλοντα σαλεύεσθαι καὶ ἀμείβεσθαι · ὡς εἰ ἔλεγε · Διὰ τοῦτο σείει καὶ ἐναλλάσσει τὴν κτίσιν, ἵνα λοιπὸν μείνῃ κατὰ χώραν μηκέτι μέλλοντα σαλεύεσθαι ἢ ἐναλλάσσεσθαι. Μὴ ἐναλλασσόμενα δὲ, εἰκότως οὐκ ἔτι μέλλει σαλεύεσθαι. Ἅπαξ γὰρ τὴν πρώτην ἐναλλαγὴν δεξάμενα, ἄφθαρτα ἔσται.

XII, 28-29. *Quapropter regnum assumentes quod concuti non potest, habeamus gratiam per quam ita Deo servimus ut illi placeamus cum pudore et reverentia. Etenim Deus noster ignis consumens est.*

Si creatura inconcussa manebit, multo magis regnum cœlorum quod recepturi estis in præmium afflictionum quas hic pro Christo toleratis. Quoniam igitur afflictiones regnum concillant, gratiam habeamus pro illis Deo. « Per quam servimus Deo. » 429 Nam per hoc quod pro adversitatibus et afflictionibus Deo gratiæ aguntur, contingit ipsi servire ita ut quis illi placeat. Nec satis est, inquit, solum illi gratias agere, nisi et pudor erga omnes, et reverentia erga Deum simul adsint. « Etenim Deus noster ignis consumens est. » Aut ipsos terrere vult, ne ingrati sint aut ob afflictiones murmurent : ne quo modo, inquit, Deum assequamini iratum aut supplicia inferentem. Aut vult consolari, tanquam diceret : Nos in afflictionibus gratias agamus : siquidem Dominum habemus qui possit consumere adversarios.

Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν χάριν, δι' ἧς λατρεύομεν εὐαρέστως τῷ Θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας · καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον. C

Εἰ ἡ κτίσις ἀσάλευτος, πολλῷ μᾶλλον ἡ βασιλεία τῶν οὐρανῶν ἣν παραλαβεῖν μέλλετε ἔπαθλον τῶν ἐνταῦθα ὑπὲρ Χριστοῦ θλίψεων. Ἐπεὶ οὖν αἱ θλίψεις πρόξενοι τῆς βασιλείας, χάριν ἔχωμεν ὑπὲρ αὐτῶν τῷ Θεῷ. « Δι' ἧς λατρεύομεν. » Διὰ γὰρ τοῦ καὶ ὑπὲρ τῶν θλίψεων καὶ πειρασμῶν εὐχαριστεῖν τῷ Θεῷ, ἔστιν αὐτῷ εὐαρέστως λατρεύειν. Καὶ οὐκ ἀρκεῖ, φησὶ, μόνον εὐχαρίστους εἶναι, εἰ μὴ καὶ αἰδῶς ἡ πρὸς πάντας, καὶ ἡ πρὸς Θεὸν εὐλάβεια συμπαρῇ. « Καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον. » Ἢ αὐτοὺς πτοῆσαι θέλει μὴ ἀχαριστεῖν μηδὲ γογγύζειν ἐπὶ ταῖς θλίψεσι, μήπως, φησὶν, ὀργιζομένου καὶ τιμωρουμένου τύχητε τοῦ Θεοῦ · ἢ παραμυθήσασθαι, ὡς εἰ ἔλεγεν · Ἡμεῖς ἐπὶ ταῖς θλίψεσιν εὐχαριστήσωμεν· ἔχομεν γὰρ Δεσπότην ἐξαναλῶσαι τοὺς ὑπεναντίους δυνάμενον. D

CAPUT XX.

De fraterno amore ac hospitalitate.

XIII, 1-6. *Fraterna charitas maneat : hospitalitatis ne sitis immemores. Per hanc enim quidam inscientes exceperunt angelos hospitio. Memores estote vinctorum tanquam una vincti : eorum qui afflinguntur, veluti ipsi quoque versantes in corpore. Honorabile est conjugium in omnibus et cubile impollutum. Scortatores autem et adulteros judicabit Deus. Sint mores alieni ab avaritia, contenti his quæ*

ΚΕΦΑΛ. Κ'.

Περὶ φιλαδελφίας καὶ φιλοξενίας.

Ἡ φιλαδελφία μενέτω. Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε. Διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. Μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι · τῶν κακουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι. Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος. Πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. Ἀφιλάργυρος ὁ τρόπος. Ἀρκούμενοι τοῖς παροῦσιν. Αὐτὸς γὰρ εἴρηκεν· Οὐ μή σε ἀνῶ,

[99] Agg. II, 1 seqq.

οὐδ' οὐ μή σε ἐγκαταλίπω. Ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν· Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.

« Ἡ φιλαδελφία μενέτω. » Δείκνυσιν ὅτι τούτων εἶχοντο πάλαι, ἀλλὰ νῦν ἐκ τῶν θλίψεων ῥᾳθυμήσαντες ἦσαν. Πάλιν οὖν αὐτοὺς εἰς ταῦτα προτρέπεται. « Διὰ ταύτης γὰρ ἔλαθόν τινες. » Οὕτω, φησὶ, μεγάλη ἡ φιλοξενία, ὅτι πρόφασις τοῖς ἀμφὶ τὸν Ἀβραὰμ καὶ τὸν Λὼτ γέγονεν ἀγγέλους ὑποδέξασθαι. Ἔλαθον, φησὶν, ἀγνοοῦντες ὅτι ἄγγελοι ἦσαν, ἐξένιζον οὕτω φιλοφρόνως. Διὸ καὶ μέγας οὗτος ὁ μισθὸς αὐτοῖς, ὡς εἴ γε ᾔδεισαν, οὐδὲν μέγα ἐπάλουν. « Ὡς συνδεδεμένοι. » Ὁ δὲ συνδεδεμένος πῶς ἂν ἐπιλάθοιτο ; « Τῶν κακουχουμένων. » Ἢ ἐν φυλακαῖς, ἢ ἐν λιμῷ, ἢ ἐν ἑτέρᾳ θλίψει. Εἰ γάρ τις ἀναλογίσαιτο ὅτι καὶ αὐτὸς περίκειται ὁμοιοπαθὴς ἐκείνοις σῶμα, ἐλεήσει μᾶλλον αὐτοὺς διά τε τὴν συμπάθειαν, καὶ διὰ τὸν φόβον, μὴ τὰ ὅμοια ἐκ τῆς ἀπανθρωπίας πάθῃ. « Τίμιος ὁ γάμος ἐν πᾶσιν. » Οὐκ ἐν τούτῳ μὲν τῷ μέρει τίμιος, ἐν ἑτέρῳ δὲ οὐκ ἔτι· ἀλλ' ὅλον δι' ὅλου πᾶσι τρόποις τίμιος καὶ ἀμίαντος. « Πόρνους καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. » Καὶ εἰκότως. Εἰ γὰρ ὁ γάμος ἐπιτέτραπται, καὶ ἔξεστιν ἀναμαρτήτως τὴν ἐπιθυμίαν πληροῦν, τίς ἔσται τοῖς μοιχοῖς καὶ τοῖς πόρνοις ἀπολογία ; « Ἀφιλάργυρος ὁ τρόπος. » Οὐκ εἶπε, μηδὲν κεκτῆσθαι (καὶ δῆλον ἐξ ὧν ἐπάγει, Ἀρκούμενοι τοῖς παροῦσιν, ὅσα ἂν ᾖ), ἀλλὰ γνώμην ἔχειν φιλόσοφον καὶ ἀφυλάργυρον. « Οὐ μή σε ἀνῶ. » Ἐπειδὴ ἁρπαγέντες ἦσαν (λέγει γάρ, Καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε), παραινεῖ αὐτοῖς ἀρκεῖσθαι τοῖς παροῦσιν· ἵνα μὴ εἴπωσιν, Ποίοις παροῦσιν ; Ἡρπάγημεν γάρ· φησίν· Ἀλλὰ κἂν ἡρπάγητε, δύνασθε, τοῖς ὑπομείνασι βραχυτάτους οὕτω ἀρκεῖσθαι διὰ τὸν εἰπόντα Θεόν, Οὐ μή σε ἀνῶ, τουτέστιν, Οὐ μή σε ἐάσω, οὐδ' οὐ μή σε ἐγκαταλίπω. « Ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν· » Εἰ οὐκ ἐᾷ, οὐδὲ ἐγκαταλιμπάνει ὁ Θεὸς, θαῤῥοῦντας, φησὶ, λέγειν χρὴ τὸ τοῦ Δαυίδ. Εἰ γὰρ ὁ Θεὸς βοηθεῖ, οὐ δεῖ ὑπὲρ τῶν ἁρπαζόντων ἢ ἐπηρεαζόντων δεδοικέναι.

Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ. Ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.

« Μνημονεύετε τῶν ἡγουμένων. » Τῶν διδασκάλων. « Ὧν ἀναθεωροῦντες. » Ἀναλογιζόμενοι, ἐξετάζοντες. Δύναται τοῦτο καὶ περὶ τετελευτηκότων εἰρῆσθαι, καὶ περὶ ζώντων. Τετελευτηκότων μέν· Θεωροῦντες, φησὶ, πῶς ἐξέβησαν τὸν βίον, ποίᾳ ἀναστροφῇ ἐχρήσαντο ἐν τῷ κόσμῳ, μέμεῖσθε τὴν πίστιν. Εἰ γὰρ μὴ ἐπίστευσαν ἐκεῖνοι τοῖς μέλλουσιν, οὐκ ἂν ἀρίστην ἐπεδείξαντο πολιτείαν. Περὶ ζώντων δέ· Θεωροῦντες, φησὶ, πῶς διεξέρχονται καλῶς τὴν ἐν

adsunt. Siquidem ipse dixit : Non te desero neque derelinquo : ut confidentes dicamus : Dominus mihi auxiliator nec timebo quid faciat mihi homo.

« Fraterna charitas maneat. » Ostendit quod his antea adhærebant, sed nunc ob afflictiones segniores facti erant. Itaque ipsos ad eadem exhortatur. « Per hanc enim quidam inscientes. » Adeo, inquit, magna est hospitalitas, ut Abrahæ et Lot fuerit occasio quod angelos excíperent [91]. Latebat enim eos, attamen ignorantes quod angeli essent, ita benigne exceperunt hospitio. Ideo quoque ipsis magna fuit hæc merces : quod si novissent, jam nihil magni fecissent. « Tanquam una vincti. » **430** Nam qui una vinctus est, quonam modo poterit oblivisci ? « Eorum qui afflíguntur. » Sive in carceribus, sive per famem aut aliam afflictionem. Si quis enim secum reputet quod et ipse circumdatus sit corpore affecto malis similibus, magis miserebitur : partim ex naturali condolentia, partim ob timorem, ne similia ob suam inhumanitatem patiatur. « Honorabile est conjugium in omnibus. » Non in hoc quidem honorabile, in alio vero non : sed integre, perfecte, et omnibus modis honorabile et impollutum. « Scortatores autem et adulteros judicabit Deus. » Et merito. Nam si conjugium permissum est et sine peccato licet ad explendam concupiscentiam, quis erit excusationis prætextus scortatoribus et adulteris ? « Sint mores alieni ab avaritia. » Non dixit nihil acquirendum esse, idque manifestum est ex eo quod subjungit : Contenti his quæ adsunt, quæcunque illa fuerint : sed ut animum habeamus philosophicum, et a pecuniarum amore alienum. « Non desero neque derelinquo. » Quoniam direptionem passi erant (nam ait, Direptionem facultatum vestrarum cum gaudio accepistis), adhortatur eos ut his quæ adsunt contenti sint. Ne autem dicere possint, Quænam adsunt nobis, cum direptionem passi simus ? ait : Sed etsi passi estis, paucissimis his quæ remanserunt potestis esse contenti, propter Deum qui dixit : Non te desero, hoc est, non te deseram neque te derelinquam. « Ut confidentes dicamus. » Si non deserit nos Deus, neque derelinquit, confidenses dicere oportet illud quod ait David. Nam si Deus auxilio est, non oportet raptores aut calumniatores metuere.

XIII, 7-8. *Memores estote eorum qui præsunt vobis, qui locuti sunt vobis sermonem Dei, quorum imitemini fidem, considerantes quis fuerit exitus conversationis illorum. Jesus Christus heri et hodie, idem etiam in sæcula.*

« Memores estote eorum qui præsunt vobis. » Præceptorum. « Quorum exitum conversationis considerantes. » Id est, expendentes, examinantes. Potest hoc et de mortuis dictum esse et de vivis. De mortuis quidem : Considerantes quomodo transegerint vitam, qua conversatione usi sint in mundo, imitemini fidem. Nisi enim illi futuris credidissent, **431** optimam conversationem non exhibuissent. De vivis autem : Considerantes quo

[91] Gen. XVIII, 1 seqq.

modo conversationem in vita recte transigant, imitatores estote fidei illorum. « Quis fuerit exitus conversationis. » Quæ vivendi norma usque ad finem. « Jesus Christus heri et hodie. » Erant nonnulli apud eos qui dicerent: Is qui crucifixus est, non est is qui annuntiatus est et qui exspectatur Christus : alius veniet. Ideo ait: « Jesus Christus heri et hodie, idem etiam in sæcula : » per id quod ait, Heri, significans præterita sæcula ; per Hodie, præsentia ; per id quod sequitur : « Idem etiam in sæcula, » futura. Tanquam diceret: Non veniet alius Christus. Nam qui venit, idem hic est qui prius erat, et est, et erit in sæcula.

τῷ βίῳ ἀναστροφὴν, μιμηταὶ γίνεσθε τῆς πίστεως αὐτῶν. « Τὴν ἔκβασιν τῆς ἀναστροφῆς. » Τὴν ἄχρι τέλους πολιτείαν. « Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον. » Ἦσάν τινες παρ' αὐτοῖς λέγοντες, Οὐκ ἔστιν ὁ σταυρωθεὶς, ὁ κατηγγελμένος καὶ προσδοκώμενος Χριστός. Ἄλλος, φασὶν, ἥξει. Διό φησιν, « Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας. » Διὰ τοῦ Χθὲς, τοὺς παρεληλυθότας αἰῶνας δηλῶν· διὰ τοῦ, Σήμερον, τοὺς ἐνεστῶτας· διὰ τοῦ, « Ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας, » τοὺς μέλλοντας. Ὡς εἰ εἶπεν· Οὐχ ἥξει ἕτερος Χριστός. Ὁ γὰρ ἐλθὼν, οὗτός ἐστιν ὃς προῆν, καὶ ἔστι καὶ ἔσται εἰς τοὺς αἰῶνας.

CAPUT XXI.

ΚΕΦΑΛ. ΚΑ'.

De non vivendo carnaliter juxta legem, sed spiritualiter secundum Christum in virtute.

Περὶ τοῦ μὴ σωματικῶς ζῆν κατὰ νόμον, ἀλλὰ πνευματικῶς κατὰ Χριστὸν ἐν ἀρετῇ.

XIII, 9-11. *Doctrinis variis ac peregrinis, ne circumferamini. Bonum est enim gratia constabiliri cor, non escis, quæ non profuerunt iis qui versati sunt in illis. Habemus altare, de qua non est fas edere iis qui tabernaculo serviunt. Animalium enim quorum sanguis infertur pro peccato in sancta per pontificem, horum corpora cremantur extra castra.*

Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παρασφέρεσθε. Καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες. Ἔχομεν θυσιαστήριον ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς.

« Doctrinis variis. » Doctrinis, inquit, quæ sunt de dogmatis diversis aut peregrinis, ne attrahamini. Unum enim est idemque præclarum et insigne dogma. Circumferri autem dictum est, a metaphora eorum qui insaniunt, qui huc et illuc circumferuntur. « Bonum est enim gratia. » Siquidem cor Dei, gratia confirmatum ad fidem, neque varia neque peregrina circumferri potest doctrina, sed quod rectum est semper tenebit. « Non escis. » Fide igitur quæ per Dei gratiam operatur, **432** opus est constabiliri cor, non constabiliri ad observationem ciborum. Nam qui in istis observationibus versantur, hoc est, qui eas custodiunt, nihil ab ipsis juvantur. Innuit autem quosdam apud ipsos esse, qui more Judaico ciborum delectum observarent. « Habemus altare. » Quoniam dixerat quod non oporteat observare cibos, ne existimarent contemptibilia esse nostra, eo quod nihil observationis haberent, ait : Annon et nos observationes habemus? Utique : at non ciborum, sed altaris nostri. Nam eorum quæ super illud ponuntur, neque ipsis Judæorum pontificibus liceret esse participes. Hi enim tabernaculo, hoc est, figuræ ac umbræ, et non veritati serviunt. « De quo non est fas edere. » Non qualia, inquit, sunt Judaica, talia sunt et nostra : adeo ut ne ipsi quidem summo sacerdoti fas sit horum esse participem. « Animalium enim quorum sanguis infertur. » Deinde ostendit veneranda quæ apud Judæos erant, nostrorum fuisse figuras, et ait : Quemadmodum in victimis quæ pro peccato offerebantur, sanguis quidem in sancta inferebatur per pontificem, corpus vero extra castra cremabatur : ita et Christi sanguis pro

« Διδαχαῖς ποικίλαις. » Διδασκαλίαις, φησὶ, ταῖς ὑπὲρ δογμάτων, μήτε διαφόροις μήτε ξέναις παρασύρεσθε. Ἓν γάρ ἐστι καὶ αὐτὸ γνώριμον τὸ δόγμα· τὸ δὲ παρασφέρεσθαι, ἀπὸ μεταφορᾶς τῶν μαινομένων, τῶν τῇδε κἀκεῖσε παραφερομένων, εἴρηται. « Καλὸν γὰρ χάριτι. » Ἡ γὰρ χάριτι Θεοῦ βεβαιουμένη πρὸς τὴν πίστιν καρδία, οὔτε ξένῃ οὔτε ποικίλῃ παρενεχθείη διδασκαλίᾳ, ἀλλὰ τὴν ὀρθὴν τηρήσει. « Οὐ βρώμασιν. » Ἐν τῇ πίστει οὖν τῇ διὰ χάριτος Θεοῦ ἐνεργουμένῃ δεῖ βεβαιοῦσθαι τὴν καρδίαν, οὐ μὴν βεβαιοῦσθαι πρὸς παρατήρησιν βρωμάτων. Οἱ γὰρ εἰς τὰς παρατηρήσεις ταύτας περιπατοῦντες, τουτέστιν, οἱ ταῦτας φυλάττοντες, οὐδὲν ἐξ αὐτῶν ὠφελήθησαν. Αἰνίττεται δέ τινας παρ' αὐτοῖς ἔθει Ἰουδαϊκῷ παρατηρουμένους τὰ βρώματα. « Ἔχομεν θυσιαστήριον. » Ἐπειδὴ εἶπεν ὅτι οὐ χρὴ παρατηρεῖσθαι βρώματα, ἵνα μὴ νομίσωσιν εὐκαταφρόνητα εἶναι τὰ ἡμέτερα τῷ εἶναι ἀπαρατήρητα, φησὶ, Μὴ γὰρ καὶ ἡμεῖς οὐκ ἔχομεν παρατηρήσεις ; Ἀλλ' οὐ βρωμάτων, ἀλλὰ τοῦ θυσιαστηρίου ἡμῶν. Τῶν γὰρ ἐκεῖ κειμένων οὐδὲ αὐτοῖς τοῖς τῶν Ἰουδαίων ἀρχιερεῦσιν ἔξεστι μετασχεῖν. Οὗτοι γὰρ οἱ τῇ σκηνῇ, οἷον τῷ τύπῳ καὶ τῇ σκιᾷ καὶ οὐκ ἀληθείᾳ δουλεύοντες. « Ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν. » Οὐχ οἷα, φησὶ, τὰ Ἰουδαϊκὰ, τοιαῦτα καὶ τὰ ἡμέτερα, ὡς μηδὲ τῷ ἀρχιερεῖ θέμις εἶναι μετασχεῖν αὐτῶν. « Ὧν γὰρ εἰσφέρεται ζώων. » Εἶτα δείκνυσι τὰ παρὰ Ἰουδαίοις σεμνὰ, τύπους ὄντα τῶν ἡμετέρων, καὶ φησιν, Ὥσπερ ἐπὶ τῶν θυσιῶν τῶν ὑπὲρ ἁμαρτίας εἰσφερομένων, τὸ μὲν αἷμα εἰς τὰ ἅγια εἰσεφέρετο διὰ τοῦ ἀρχιερέως, τὸ δὲ σῶμα ἔξω τῆς παρεμβολῆς ἐκαίετο· οὕτω καὶ τὸ τοῦ Χριστοῦ αἷμα ἐκχυθὲν ὑπὲρ τῶν τοῦ κόσμου ἁμαρτιῶν, πάντα τὸν κόσμον ἐκάθαρε, καὶ τὸ σῶμα δὲ

αὐτοῦ ἔξω τῆς πόλεως Ἱερουσαλὴμ ἀνεσκολοπίσθη, διὰ τὸ, καὶ τὰ σώματα τῶν ὑπὲρ ἁμαρτίας θυσιῶν, ἔξω τῆς παρεμβολῆς καίεσθαι. Τοῦτο δὴ οὖν τὸ αἷμα διὰ τοῦ παρ' ἡμῖν ἀρχιερέως εἰσφέρεται εἰς τὸ παρ' ἡμῖν θυσιαστήριον. Διὸ οὐκ ἔξεστι τοῖς Ἰουδαίων ἀρχιερεῦσιν ἐξ αὐτοῦ τοῦ θυσιαστηρίου φαγεῖν.

A mundi peccatis effusus omnem mundum purgavit: corpus vero ipsius extra civitatem Jerusalem in cruce suspensum est: eo quod etiam corpora victimarum pro peccato extra castra cremabantur. Illic itaque sanguis per pontificem nostrum infertur super altare quod apud nos est: idcirco non est fas Judæorum pontificibus ex ipso altari edere.

Διὸ καὶ Ἰησοῦς ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθε. Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. Δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τουτέστι, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ.

XIII, 12-15. *Quapropter et Jesus ut sanctificaret per proprium sanguinem populum, extra portam passus est. Exeamus igitur ad eum extra castra, opprobrium ejus portantes. Non enim habemus hic manentem civitatem, sed futuram inquirimus. Per ipsum igitur offerimus hostiam laudis semper Deo: hoc est fructum labiorum confitentium nomini ejus.*

B

« Διὸ καὶ Ἰησοῦς. » Τοῦτο πρὸς τοὺς ἐπαπορήσαντας ἂν, Πῶς λέγεις ἔχειν θυσιαστήριον; Τί γὰρ ἐτύθη ἐν αὐτῷ; Καὶ γὰρ καὶ αὐτὸς ὁ Χριστὸς, ὃν ἄνω καὶ κάτω περιάγεις ὅτι ἐτύθη, ὅτι θυσία γέγονεν ὑπὲρ τοῦ κόσμου καὶ προσφορὰ, οὐδ' αὐτὸς οὖν ἐν τῷ θυσιαστηρίῳ που τέθυται. Φανερὸν γὰρ, ὅτι ἔξω τῆς πόλεως Ἱερουσαλὴμ ἔπαθε. Πρὸς οὖν τούτους, Ναὶ, φησὶν, ἔξω μὲν ἔπαθεν, ἀλλὰ διὰ τούτου μᾶλλον κατασκευάζεται, ὅτι ἔχομεν θυσιαστήριον. Καὶ γὰρ καὶ παρ' ἡμῖν, οὐκ ἐν αὐτοῖς τοῖς θυσιαστηρίοις καταλαίεται τῶν θυομένων τὰ σώματα, ἀλλ' ἔξω τῆς παρεμβολῆς. Καὶ ἔτι διὰ τοῦτο ἔξω τῆς πύλης ἔπαθεν, ἵνα πάντας, καὶ μὴ μόνον τοὺς ἱερεῖς, ἁγιάσῃ. Εἰ δὲ θυσία γέγονεν ὑπὲρ πάντων, πῶς οὐχὶ καὶ θυσιαστήριόν ἐστιν; Τὸ δὲ, « Ἵνα ἁγιάσῃ τὸν λαὸν, » καὶ ἄλλην ἔννοιαν δίδωσιν. Εἶπον, φησὶν, ὅτι οἱ τῇ σκηνῇ λατρεύοντες οὐκ ἔχουσιν ἐξουσίαν φαγεῖν ἐκ τοῦ θυσιαστηρίου ἡμῶν, οὐχ ὅτι ἀδύνατον αὐτοῖς τοῦτο, ἀλλ' ὅτι κατὰ γνώμην ἑαυτῶν, ἀναξίους ἑαυτοὺς ἀποφαίνουσιν. Ἐπεὶ, τό γε ἀπὸ τῆς φιλανθρωπίας τοῦ Χριστοῦ, οὐ μόνον οὐ κεκώλυται, ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο πέπονθεν. Ἵνα γὰρ ἁγιάσῃ, φησὶν, οὐχὶ τόνδε, ἢ τόνδε, ἀλλὰ σύμπαντα τὸν λαὸν, καὶ ποιήσῃ αὐτοὺς ἐξουσίαν ἔχειν καὶ ἐκ τοῦ θυσιαστηρίου αὐτοῦ ἐσθίειν, « ἔξω τῆς πύλης ἔπαθε. » — « Τοίνυν ἐξερχώμεθα. » Ἐπεὶ οὖν ὁ Χριστὸς ἔξω τῆς παρεμβολῆς ἔπαθεν, ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τουτέστιν, ἔξω τοῦ κόσμου, μηδὲν, φησὶ, κοσμικὸν μήτε γήϊνον μήτε τῆς κάτω ὕλης ἐπιφερόμενοι. Ἢ, ἔξω τοῦ κόσμου· Εἰ δέοι, φησὶ, καὶ ἀποθανεῖν ὑπὲρ αὐτοῦ, τουτέστι, τὰ ὅμοια αὐτῷ πάσχοντας εἰ δεήσαι. Τοῦτο γὰρ δηλοῖ καὶ τὸ, Τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες, ὃν αὐτὸς ὑπέμεινε, διά τε τῶν σκωμμάτων καὶ τοῦ σταυροῦ. — Ἄλλο. [ΟΙΚΟΥΜΕΝΙΟΥ.] Ἔοικεν ὁ θεσπέσιος Παῦλος Ἔξω τῆς παρεμβολῆς, ἔξω τοῦ κόσμου λέγειν. Ζωῆς γὰρ ἡμᾶς ἐξίστησι κοσμικῆς. « Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν. » Δεῖ οὖν μετὰ προθυμίας αἱρεῖσθαι τὸν ὑπὲρ Χριστοῦ θάνατον, μάλιστα, φησὶν, ὅτι οὐκ εἰσὶν ἡμῶν πόλεις αἱ ὧδε πόλεις, ἀλλὰ δεῖ ἑτέραν ζητεῖν τὴν μένουσαν· αὗται γὰρ ἀπόλλυνται. « Δι' αὐτοῦ οὖν. » Ὡς δι' ἀρχιερέως τὸ κατὰ σάρκα. « Διὰ παντὸς τῷ Θεῷ. » Ἢ τὸ Πατρὶ, ἢ γοῦν αὐτῷ δι' ἑαυτοῦ. « Καρπὸν χειλέων. » Τί δέ ἐστι καρπὸς χειλέων; εὐχαὶ, ὕμνοι, δεήσεις

« Quapropter et Jesus. » Hoc ad eos dicit qui hæsitantes dicere possent: Quomodo ais nos habere altare? quid super ipsum oblatum est? Etenim ipse quoque Christus de quo toties asseris quod immolatus sit, **433** quod hostia fuerit pro mundo et oblatio, ne ipse quidem super altare immolatus est: manifestum enim est quod extra civitatem Jerusalem passus sit. Ad hos igitur loquens: Profecto, inquit, extra civitatem passus est: sed ex hoc magis confirmatur quod habeamus altare. Siquidem etiam apud Judæos non super ipsa altaria crematur oblatorum corpora, sed extra castra; et præterea ob id extra portam passus est, ut omnes et non solos sacerdotes sanctificaret: quodsi victima factus est pro omnibus, quomodo non etiam altare est? Quod autem ait: « Ut sanctificaret populum, » aliquam quoque tribuit intelligentiam. Dixit, inquit, quod iis qui tabernaculo serviunt, non sit fas edere ex altari nostro: non quod hoc eis contingere nequeat ullo modo, sed quod ex mente sua indignos sese exhibeant: quoniam quod ad Christi benignitatem pertinet, non solum non est prohibitum, verum etiam propter hoc ipsum passus est. Ut enim sanctificaret, inquit, non hunc aut illum, sed universum populum, et faceret ut eis fas esset ex ipso altari vivere, « extra portam passus est. » « Exeamus igitur. » Quoniam igitur Christus passus est extra castra, exeamus ad eum extra castra, hoc est, extra mundum. Nihil, inquit, mundanum aut terrenum, nihil quod sub sole sit prosequamur. Aut, extra mundum, hoc modo: Si etiam opus sit mortem pro ipso obire: hoc est, similia cum ipso patiamur, si opus fuerit. Nam hoc significat: Opprobrium ejus portantes, id est, quod ipse passus est, tum per scommata, tum per crucem. — *Aliud.* Videtur divus Paulus dicere, Extra castra: extra mundum. Nam a mundana vita nos alienat. « Non enim habemus hic manentem civitatem. » Oportet igitur ad mortem pro Christo tolerandam prompto ferri animo, maxime, inquit, quod non sint nostræ civitates quæ hic sunt civitates, sed aliam oportet quærere manentem, hæ enim pereunt. « Per ipsum igitur. » Tanquam per pontificem, secundum carnem ipsius. « Semper Deo. » Aut Patri, aut ipsi

per seipsum. « Fructum labiorum. » Quid est autem fructus labiorum ? Vota, hymni, obsecrationes ad Deum. Quoniam enim dixit : Hostia, ne existimarent eum dicere de animalibus, seipsum interpretatus est. Hostias, inquit, dico sanguine carentes. **434** quæ labiis offeruntur, consistentes in votis, hymnis ac precibus. « Confitentium nomini ejus. » Labiorum confitentium nomini ejus, hoc est, gratiam agnoscentium quod pro nostris peccatis mortuus sit. Aut : Confitentium nomini ejus, nempe labiorum nostrorum confitentium nomini ejus.

πρὸς τὸν Θεόν. Ἐπειδὴ γὰρ εἶπε θυσίας, ἵνα μὴ νομίσωσι τὰς διὰ ζώων αὐτὸν λέγειν, ἡρμήνευσεν ἑαυτόν. Θυσίας, φησὶ, λέγω, τὰς ἀναιμάκτους, τὰς διὰ χειλέων, τὰς ἐν εὐχαῖς καὶ ὕμνοις καὶ δεήσεσιν. « Ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. » Ὁμολογούντων τῶν χειλέων τῷ ὀνόματι αὐτοῦ, τουτέστι, χάριν εἰδότων, ὅτι ὑπὲρ τῶν ἡμετέρων ἀπέθανεν ἁμαρτιῶν. Ἢ ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ, τουτέστιν, ὁμολογούντων τῶν χειλέων ἡμῶν τῷ ὀνόματι αὐτοῦ.

XIII, 16-19. *Cæterum beneficentiæ et communicationis ne obliviscamini. Talibus enim victimis placetur Deo. Parete his qui præsunt vobis et subjacete: siquidem illi pervigilant pro animabus vestris, tanquam rationem reddituri : ut cum gaudio hoc faciant, et non gementes. Nam id est vobis inutile. Orate pro nobis. Confidimus enim quod bonam habeamus conscientiam inter omnes, cupientes honeste conversari. Magis autem obsecro ut hoc faciatis, quo celerius restituar vobis.*

Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε. Τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός. Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. Αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες. Ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν. Πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν ἐν πᾶσι, καλῶς θέλοντες ἀναστρέφεσθαι. Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν.

« Cæterum beneficentiæ. » Pro eadem accipit virtute beneficentiam et communicationem. « Placetur Deo. » Nam εὐαρεστοῦμαι (quod proprie significat, hilariter affectus sum, aut placide me habeo) etiam placere significare potest. Itaque non oportet solum fructum labiorum offerre, verum etiam hujusmodi hostias. « Parete his qui præsunt. » Cum prius eos dixerit fideles ac imitatione dignos, dicens : Quorum imitemini fidem, considerantes quis fuerit exitus conversationis illorum, nunc subjungit : Parete eis. Etenim prave credenti non oportet parere : cæterum male quidem viventi, recte tamen credenti parere oportet. « Nam omnia, inquit, quæcunque dixerint vobis, servate et facite, juxta opera vero eorum ne feceritis [91]. » Porro de his qui corrupti sunt in fide, ait : Doctrinis variis ac peregrinis ne circumferamini. Quamobrem ? Quia is qui male vivit, nequaquam suadebit aliis ut male vivant. Etenim ipse quoque, dum hæc agit, rubore suffunditur, idque aperte significat, cum ea occultare enitatur ; at qui pravus est in fide, prave etiam populo concionabitur. « His qui præsunt vobis. » De episcopis loquitur. « Et subjacete. » Exactam significat obedientiam in verbo, Subjacete. « Siquidem ipsi pervigilant. » Audiant hi qui præsunt, quod, quemadmodum populum oportet esse obedientem, ita sacerdotem pro peccatis populi excubantem et sollicitum. **435** Nam qui præsunt, subjacent supplicio pro populo. « Ut cum gaudio hoc faciant. » Siquidem ipsi excubias servabunt pro animabus vestris : cæterum vestra obedientia aut inobedientia efficiet, ut id cum gaudio aut gemitibus faciant, quod « inutile vobis erit, » hoc est, damno, incommodo. Deus enim rependet, et eos ob injuriam ulciscetur. « Orate pro nobis. » Quoniam nonnulli

« Τῆς δὲ εὐποιΐας. » Εὐποιΐαν καὶ κοινωνίαν τὴν αὐτὴν λέγει. « Εὐαρεστεῖται ὁ Θεός. » Οἷον ἀρέσκεται. Τὸ γὰρ εὐαρεστεῖται, καλῶς ἀρέσκεται δηλοῖ. Ὥστε οὐ χρὴ μόνον καρπὸν χειλέων προσφέρειν, ἀλλὰ καὶ τὰς τοιαύτας θυσίας. « Πείθεσθε τοῖς ἡγουμένοις. » Πρότερον αὐτοὺς εἰπὼν πιστοὺς καὶ τοῦ ζηλοῦσθαι ἀξίους, ἐν τῷ λέγειν, Ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, ζηλοῦτε τὴν πίστιν, τότε ἐπάγει, Πείθεσθε· τῷ γὰρ κακῶς πιστεύοντι οὐ δεῖ πείθεσθαι, τῷ δὲ κακῶς μὲν βιοῦντι, καλῶς δὲ πιστεύοντι πείθεσθαι χρή. « Πάντα γάρ, φησὶν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε · κατὰ δὲ τὰ ἔργα αὐτῶν, μὴ ποιεῖτε. » Ἐπὶ δὲ τῶν περὶ τὴν πίστιν διεφθαρμένων, φησί · Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε. Τί δήποτε ; ὅτι ὁ μὲν κακῶς βιῶν οὐκ ἂν κακῶς βιοῦν συμβουλεύσειε τοῖς ἄλλοις. Καὶ γὰρ καὶ αὐτὸς ταῦτα πράττων αἰσχύνεται, καὶ δηλοῖ τὸ κρύπτειν μηχανᾶσθαι. Ὁ δὲ περὶ τὴν πίστιν κακὸς, κακῶς καὶ τῷ λαῷ κηρύξει. « Τοῖς ἡγουμένοις ἡμῶν. » Περὶ ἐπισκόπων λέγει. « Καὶ ὑπείκετε. » Τὴν ἐπιτεταμένην πειθὼ διὰ τοῦ, Ὑπείκετε, δηλοῖ. « Αὐτοὶ γὰρ ἀγρυπνοῦσιν. » Ἀκουέτωσαν οἱ ἡγούμενοι, ὅτι ὥσπερ τὸν λαὸν πειθήνιον εἶναι χρὴ, οὕτως τὸν ἱερέα ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ ἄγρυπνον. Οἱ γὰρ ἡγούμενοι ὑπὲρ τῶν τοῦ λαοῦ ἁμαρτιῶν ὑπόκεινται τιμωρίᾳ. « Ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι. » Αὐτοὶ μὲν οὖν πάντως ἀγρυπνήσουσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, τὸ δὲ ὑμῶν πειθήνιον ἢ μὴ, ἐκείνους ἢ μετὰ χαρᾶς ἢ μετὰ στεναγμῶν τοῦτο ποιεῖν παρασκευάσει. « Ὅπερ ἀλυσιτελὲς ὑμῖν ἔσται, » φησὶ, τουτέστι, [οὐ] συμφέρον, [οὐδὲ] ὠφέλιμον · ὁ Θεὸς γὰρ ἐπαμυνεῖ. « Προσεύχεσθε περὶ ἡμῶν. » Ἐπειδή τινες διέβαλλον τὸν Ἀπόστολον ὡς ἀποστασίαν τοῦ νόμου διδάσκοντα, ἀπεχθῶς εἶχον πρὸς αὐτόν. Διὸ οὐδὲ τὸ ὄνομα αὐτοῦ ἐν ἀρχῇ τῆς Ἐπιστολῆς τέθεικεν, ἵνα

[91] Matth. XXIII, 3.

μὴ Παύλου τὸ ὄνομα εὑρίσκοντες, μηδὲ ἀναγνῶσι τὴν Ἐπιστολήν. Ὅθεν νῦν ἀπολογεῖται αὐτοῖς· Εὔχεσθε, φησὶν, ὑπὲρ ἡμῶν. Πεποίθαμεν γὰρ, φησὶν, ὅτι καλὴν συνείδησιν ἔχομεν ἐν πᾶσι, καὶ ἐν τοῖς ἔθνεσι καὶ πρὸς ὑμᾶς· μηδὲν σφαλλόμενοι ὧν λέγουσιν. « Ὅτι καλὴν συνείδησιν ἔχομεν. » Οὐκ ἀποστασίαν τοῦ νόμου κηρύσσοντες, καθώς τινες διαβάλλουσιν, ἀλλ' ἀπὸ τοῦ γράμματος καὶ τῆς σκιᾶς, ἐπὶ τὸ πνεῦμα καὶ τὴν ἀλήθειαν μετάγοντες· ὅπερ οὐκ ἔστιν ἀποστασία, ἀλλὰ πλήρωσις καὶ συνηγορία τοῦ νόμου. Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι. Ποῖον τοῦτο; Τὸ εὔχεσθαι ὑπὲρ ἡμῶν. « Ἵνα τάχιον ἀποκατασταθῶ. » Τοῦτο θαρροῦντος ἦν ὅτι ἀγαθὴν συνείδησιν εἶχε, τὸ θέλειν καὶ αὐτοπροσώπως αὐτοὺς πεῖσαι.

A calumniabantur Apostolum, quod discessionem a lege doceret, inimico affecti erant erga ipsum animo : idcirco neque nomen suum in initio posuit Epistolæ, ne Pauli nomine reperto, Epistolam ne legere quidem dignarentur. Unde nunc ipsis respondens : Orate, inquit, pro nobis ; nam confidimus quod bonam habeamus conscientiam inter omnes, et inter gentes et erga vos, nihil errantes in his quæ de nobis obloquuntur. « Quod bonam habeamus conscientiam. » Non discessionem a lege prædicantes, sicut nonnulli calumniantur : sed a littera et umbra ad spiritum et veritatem transferentes : quod non est apostasia sive discessio, sed complementum et patrocinium legis. « Magis autem obsecro ut hoc faciaB lis. » Quidnam hoc ? Nempe orare pro nobis. « Quo celerius restituar vobis. » Hoc confidentis erat quod bonam haberet conscientiam, cum vellet in propria quoque persona ipsos exhortari.

ΚΕΦΑΛ. ΚΒ'.

Εὐχὴ πρὸς τὸν Θεὸν περὶ τῆς εἰς ἀρετὴν ἀγωγῆς καὶ οἰκονομίας.

Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ἡμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως. Καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν. Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς. Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν, καὶ πάντας τοὺς ἁγίους. Ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας. Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.

CAPUT XXII.

Precatio ad Deum ut ad virtutem instituantur et occulte gubernentur.

XIII, 20- 25. *Deus autem pacis qui reduxit a mortuis pastorem magnum ovium in sanguine testamenti æterni Dominum nostrum Jesum, absolutos vos reddat in omni opere bono, ad faciendum voluntatem ipsius, efficiens ut quod agimus acceptum sit in conspectu suo per Jesum Christum, cui gloria in sæcula sæculorum. Amen.* 436 *Obsecro vos, fratres, sufferte sermonem consolationis. Etenim paucis scripsi vobis. Scitis fratrem Timotheum dimissum esse, cum quo, si celerius venerit, visam vos. Salutate omnes qui præsunt vobis, et omnes sanctos. Salutant vos* C *Itali. Gratia cum omnibus vobis. Amen.*

Εἰ δὲ ὁ Θεὸς, Θεὸς εἰρήνης ἐστὶν, οὐ δεῖ ὑμᾶς ἀπὸ μόνης ἀκοῆς ψευδοῦς, διαστασιάζειν πρὸς ἐμὲ καὶ πολεμίως ἔχειν. « Τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν. » Ποῖον; Τὸν Κύριον ἡμῶν, φησὶν, Ἰησοῦν. « Ἐν αἵματι διαθήκης. » Ἤγειρεν αὐτὸν, φησὶν, ἐκ νεκρῶν, ἵνα εἴῃ τὸ αἷμα αὐτοῦ εἰς διαθήκην ἡμῖν αἰώνιον. Ἢ οὕτως· Ἤγειρεν αὐτὸν ἐκ νεκρῶν σὺν αἵματι διαθήκης αἰωνίου, τουτέστι, σὺν τῇ ἐγέρσει αὐτοῦ, καὶ τὸ αἷμα αὐτοῦ κεχάρισται ἡμῖν εἰς διαθήκην αἰώνιον. Εἰ γὰρ μὴ ἐγήγερτο, οὐκ ἂν ἦν ἡμῖν τὸ αἷμα αὐτοῦ εἰς διαθήκην. « Καταρτίσαι ὑμᾶς. » Οἷον, πληρώσαι, τελειώσαι. Ἡμᾶς οὖν δεῖ ἐνάρξασθαι, τὸν δὲ πληροῦντα ἱκετεύειν. « Εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ. » Ὁ γὰρ εἰς πᾶν ἔργον ἀγαθὸν κατηρτισμένος καὶ πεπληρωμένος ἰσχύει ποιῆσαι τὸ θέλημα τοῦ Θεοῦ. Πᾶν δὲ ἔργον λέγει, ἔργον καὶ πίστιν. « Ποιῶν ἐν ἡμῖν τὸ εὐάρεστον. » Ὅταν δὲ ἡμᾶς κατηρτίσῃ εἰς πᾶν ἔργον ἀγαθὸν εἰς τὸ ποιεῖν τὸ θέλημα αὐτοῦ, τότε ἐμποιεῖ ἐν ἡμῖν τὸ εὐάρεστον αὐτῷ. Τί δέ ἐστιν αὐτῷ εὐάρεστον; Τὸ ποιεῖν ἡμᾶς τὸ θέλημα αὐτοῦ. « Διὰ Ἰησοῦ Χριστοῦ. » Αὐτὸς, φησὶ, ποιεῖ τὸ εὐάρεστον αὐτῷ, δι' ἡμῶν μέσων. Ὁρᾷς ὅτι τὸ πᾶν τοῦ Θεοῦ ἐστι; Τοῦτο δὲ ποιήσει καὶ ἐπιτελέσει εἰς ἡμᾶς

Quod si Deus est Deus pacis, non oportet vos ab uno solo auditu mendaci seditionem agere, ac inimicum gerere animum erga me. « Pastorem magnum ovium. » Quemnam ? Dominum nostrum Jesum, inquit. « In sanguine testamenti. » Excitavit eum a mortuis, ut sanguis ejus esset nobis ad testamentum æternum. Aut hoc modo : Excitavit ipsum a mortuis cum sanguine testamenti æterni, hoc est, per excitationem ipsius sanguis quoque ejus donatus est nobis ad testamentum æternum : nisi enim excitatus fuisset, nequaquam fuisset nobis sanguis ipsius ad testamentum. « Absolutos vos reddat. » Hoc est, perficiat et consummet. Nos igitur oportet inchoare, et eum qui perficit obsecrare. B « Ad faciendum voluntatem ipsius. » Nam is qui ad omne opus bonum absolutus est et completus, potest facere Dei voluntatem. Omne autem opus vocat opus et fidem. « Efficiens ut quod agimus acceptum sit. » Ubi autem nos absolutos reddiderit ad omne opus bonum ad faciendam suam voluntatem, tunc inducet in nobis quod sibi acceptum est. Quid autem ipsi acceptum est ? Ut faciamus ipsius voluntatem. « Per Jesum Christum. » Ipse, inquit, efficit quod sibi acceptum est per nos medios. Vides quod to-

ΙΑΚΩΒΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΚΑΘΟΛΙΚΗ ΕΠΙΣΤΟΛΗ.

JACOBI APOSTOLI

EPISTOLA CATHOLICA.

441 CAPUT I. A

De patientia et fide nihil hæsitante aut dijudicante, et de animi modestia ad divites : in quo etiam tractat de concupiscentia quæ in nobis est et afflictibus eam consequentibus, quod non sit causa ex Deo : si quid enim boni nobis est, id ab eo esse dicit.

1. 1, 2. *Jacobus Dei ac Domini nostri Jesu Christi servus, duodecim tribubus quæ sunt in dispersione, salutem. Pro summo gaudio ducite, fratres mei, quoties in tentationes varias incideritis.*

Dei quidem Patris, *Domini* vero Filii. Itaque si ex æquo Patris et Filii servus est, æqualis est Patri in honore Filius, et in essentia et in operatione. Supra omnem autem mundanam dignitatem gloriantes apostoli Domini quod sint servi Christi, hoc sui indicium haberi volunt, et loquendo et scribendo et docendo. « Pro summo gaudio. » Tristitiam quæ secundum Deum est et has tentationes laude ac gaudio dignas esse novit. 442 Hæc sunt enim robustum vinculum, et augmentum charitatis et compunctionis. Unde illud quoque dictum est : « Fili, si accedas ad serviendum Deo, præpara animam tuam ad tentationem[1]. » Et Christus : « In mundo, inquit, afflictionem habebitis, sed bono animo estote[2]; » et : « Angusta ac trita est via quæ ducit ad vitam[3]. » Neque enim absque luctu et exercitatione contingit aut mundanos aut divinos nancisci coronas. Modeste autem de se sentiens, fratres ipsos vocat, non filios. Cæterum probis ac studiosis summi gaudii causa sunt tentationes sive afflictiones, quamquam per ipsas manifesta sit eorum probatio. Probatio autem ad opus perfectum transmittit. Sed dicet aliquis : Si hoc efficiunt tentationes, quomodo docet nos Christus ut a Deo petamus in oratione non induci in tentationem[4] ? Dicimus ergo quod duplices sunt tentationes vel afflictiones. Quædam a nobis ipsis principium habentes ; aliæ vero quæ a Deo exercitii gratia et ad victoriæ declarationem nobis inducuntur. Rursum duplices sunt quæ a nobis habent initium. Nonnullæ siquidem, ob irrationabilem fortitudinem, quam nos temerariam audaciam vocamus, quam etiam ut observemus instruit

ΚΕΦΑΛ. Α'.

Περὶ ὑπομονῆς καὶ πίστεως ἀδιακρίτου. Καὶ περὶ ταπεινοφροσύνης, πρὸς πλουσίους. Ἐν ᾧ περὶ τῆς ἐν ἡμῖν πυρώσεως καὶ τῶν ἐξ αὐτῆς παθῶν, ὅτι οὐ παρὰ Θεοῦ τὸ αἴτιον. Εἴ τι γὰρ ἀγαθὸν ἡμῖν, παρ' αὐτοῦ.

Ἰάκωβος Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ, χαίρειν. Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις.

Θεοῦ μὲν τοῦ Πατρὸς, *Κυρίου* δὲ τοῦ Υἱοῦ. Ὥστε εἰ ἐξ ἴσου Πατρὸς καὶ Υἱοῦ δοῦλος, ὁμότιμός ἐστι τῷ Πατρὶ καὶ ὁ Υἱὸς, καὶ κατ' οὐσίαν καὶ κατ' ἐνέργειαν. Ὑπὲρ πᾶν δὲ κοσμικὸν ἀξίωμα οἱ τοῦ Κυρίου ἀπόστολοι τῷ δούλοι Χριστοῦ εἶναι καλλωπιζόμενοι, τοῦτο γνώρισμα ἑαυτῶν βούλονται ποιεῖσθαι, καὶ λέγοντες, καὶ ἐπιστέλλοντες, καὶ διδάσκοντες. « Πᾶσαν χαράν. » Τὴν κατὰ Θεὸν λύπην καὶ τοὺς πειρασμοὺς τούτους καὶ ἐπαινετοὺς οἶδε καὶ χαρᾶς ἀξίους· δεσμὸς γὰρ οὗτοί εἰσιν ἀῤῥαγής, καὶ αὔξησις ἀγάπης καὶ κατανύξεως. Ὅθεν κἀκεῖνο εἴρηται· « Τέκνον, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν. » Καὶ ὁ Χριστὸς, « Ἐν τῷ κόσμῳ, φησὶ, θλῖψιν ἕξετε, ἀλλὰ θαρσεῖτε. » Καὶ, « Στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. » Οὐ γάρ ἐστιν ἐκτὸς γυμνασίων, οὔτε κοσμικῶν, οὔτε τῶν κατὰ Θεὸν στεφάνων ἀξιωθῆναι. Μετριοφρονῶν δὲ ἀδελφοὺς αὐτοὺς, οὐχὶ τέκνα καλεῖ. Χαρᾶς δὲ πάσης οἱ πειρασμοὶ παραίτιοι τοῖς σπουδαίοις, ὅτι τὸ δοκίμιον αὐτῶν διὰ τούτων γίνεται φανερόν. Τὸ δὲ δοκίμιον εἰς ἔργον τέλειον παραπέμπει. Ἀλλ' ἐρεῖ τις· Εἰ τοῦτο τὸ τῶν πειρασμῶν ἔργον, πῶς εἰς πειρασμὸν ὁ Χριστὸς μὴ εἰσενεχθῆναι ἐν τῇ εὐχῇ διδάσκει ἡμᾶς τὸν Θεὸν παραιτεῖσθαι ; Φαμὲν οὖν ὅτι διττοί εἰσιν οἱ πειρασμοί. Οἱ μὲν ἀφ' ἡμῶν τὴν ἀρχὴν ἔχοντες, οἱ δὲ ἀπὸ Θεοῦ, γυμνασίας χάριν καὶ ἀναῤῥήσεως ἡμῖν ἐπαγόμενοι. Διττοὶ δὲ καὶ οἱ ἀφ' ἡμῶν τὴν ἀρχὴν ἔχοντες. Οἱ μὲν γὰρ δι' ἀλόγιστον ἀνδρείας, ὃ καὶ θράσος καλοῦμεν, ὃ καὶ φυλάττεσθαι εἰσηγεῖται ὁ Κύριος, ὡς τοῦ μὲν πνεύματος προθύμου ὄντος, μεταξὺ δὲ ἀγώνων τῆς

[1] Eccli. II, 1. [2] Joan. XVI, 33. [3] Matth. VII, 14. [4] Matth. VI, 13.

προθυμίας ἀποσβεσθείσης, καὶ οὐκ εἰς ἀγαθὸν τοῖς χρησαμένοις τελευτησάσης· οἱ δὲ δι' ἁμαρτίαν ἐπαγόμενοι ὡς τοῖς Σοδομίταις ὁ ὄλεθρος. Τούτους τοὺς πειρασμοὺς, ὅση δύναμις, φευκτέον, ἀναμαρτήτως βιοῦντας. Ἐπεὶ τούς γε ἀπὸ Θεοῦ, ὡς τῷ Ἰὼβ, ὡς τῷ Ἀβραὰμ, μὴ μόνον οὐ φευκτέον, ἀλλ' εἴ τι καὶ δυνατὸν, διὰ τῆς ὑπομονῆς καὶ τῆς εὐχαριστίας ἐπισπαστέον. Ὁ γὰρ Θεὸς πειράζων, ἐπ' ὠφελείᾳ καὶ ἀναῤῥήσει τοῦτο ποιεῖν οἶδεν. Πειρασμοῖς δὲ ποικίλοις εἶπε, διὰ τὸ τοὺς μὲν, ὡς ἔφημεν, ἀπὸ Θεοῦ, τοὺς δὲ ἀφ' ἡμῶν εἶναι.

A nos Dominus : quod promptus quidem sit spiritus : sed exstinguitur promptitudo illa inter certamina, nec ad bonum cedit utentibus : quædam vero propter peccatum inducuntur, ut Sodomitis interitus. Has tentationes quantum possumus, fugere debemus, absque peccato vivendo. Porro quæ a Deo sunt, ut quæ Job aut Abraham contigerunt, non fugiendæ sunt, quin potius, si quo modo fieri potest, per patientiam et gratiarum actionem asciscendæ. Deus enim qui tentat, ad utilitatem ac victoriæ declarationem hoc facere novit. Dixit autem : Tentationes varias, eo quod nullæ a Deo ut diximus, quædam vero a nobis procedunt.

Ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν. Ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι.

I, 3-4. *Scientes quod probatio vestræ fidei operatur patientiam : patientia vero opus perfectum habeat : ut sitis perfecti et integri, nulloque in parte diminuti.*

B

Δοκίμιον, τὸ κεκριμένον λέγει, τὸ δεδοκιμασμένον, τὸ καθαρόν. Ὡς καὶ τὸ, « Ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ. » Πῶς δὲ τὸ δοκίμιον ὑπομονὴν κατεργάζεται ; Ἐκείνη γὰρ ἡ πίστις καθαρὰ ἐλέγχεται, ἡ ἐν ὑπομονῇ καὶ καρτερίᾳ τῶν ἐπιφερομένων πειρασμῶν διατελοῦσα. Πιστοῦ γὰρ ὡς ἀληθῶς ἔργον, τὸ μετὰ μακροθυμίας τε καὶ εὐχαριστίας, τὰς τοιαύτας ἐπιφορὰς δέχεσθαι. Ὁποῖόν τι καὶ ὁ Ἰὼβ ἔπραττεν ἐν πᾶσιν εὐχαριστῶν. « Ἔργον τέλειον ἐχέτω. » Σκόπει· οὐκ εἶπε τὴν ὑπομονὴν ὁριστικῶς, ὅτι, Ἔργον τέλειον ἔχει, ἀλλὰ προστακτικῶς, Ἐχέτω. Οὐ γὰρ προϋποκειμένην ἀρετὴν ἐξαγγέλλει, ἀλλὰ νῦν ἐγγινομένην, ὡς χρὴ γίνεσθαι νομοθετεῖ.

Δοκίμιον dicit quod exploratum est et comprobatum : porro comprobatum dicitur purum : quemadmodum scriptum est : « Argentum igne exploratum, purgatum terra. » Quomodo autem probatio parit patientiam ? Quia fides illa pura esse probatur, quæ per patientiam ac tolerantiam 443 inductarum afflictionum perficitur. Nam vere fidelis opus est, per longanimitatem et gratiarum actionem hujusmodi impetus excipere : quemadmodum se habuit Job [a], qui in omnibus gratias agebat. « Opus perfectum habeat. » Animadverte quod non dixerit per indicativum, Opus perfectum habet, sed per imperativum, Habeat. Non enim prædicat eam quæ præfuit virtutem, sed quæ accedit, et quomodo fieri oporteat statuit.

C

Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ πᾶσιν ἁπλῶς, καὶ μὴ ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ. Αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος. Ὁ γὰρ διακρινόμενος ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ. Μὴ γὰρ οἰέσθω ἄνθρωπος ἐκεῖνος, ὅτι λήψεταί τι παρὰ τοῦ Κυρίου. Ἀνὴρ δίψυχος, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.

I, 5-8. *Quod si cui vestrum deest sapientia, postulet a Deo qui dat omnibus candide, nec exprobrat, et dabitur ei. Postulet autem cum fiducia qui nihil hæsitat. Nam qui hæsitat similis est fluctui maris qui ventis agitur et impetu rapitur. Neque enim existimet homo ille se aliquid accepturum a Domino. Vir duplici animo inconstans est in omnibus viis suis.*

Τὸ αἴτιον τοῦ τελείου ἔργου τὴν σοφίαν λέγει. « Αἰτείτω παρὰ Θεοῦ. » Ἐπειδὴ οἶδε τὸ τῆς πίστεως δοκίμιον, καὶ τὴν ὑπομονὴν τὴν ἐν τοῖς πειρασμοῖς, οὐ τῶν τυχόντων ἀνθρώπων κατόρθωμα, ἀλλὰ τῶν κατὰ Θεὸν σοφῶν, διὰ τοῦτο ἐπὶ σοφίας αἰτησιν παρορμᾷ τοὺς ταῦτα κατορθοῦν ἐπιποθοῦντας. « Μηδὲν διακρινόμενος. » Εἰ γὰρ πιστεύει αἰτείτω, εἰ δὲ διακρίνεται, μηδὲ αἰτείτω. Οὐδὲ γὰρ λήψεται ἀπιστῶν ὅτι λήψεται. « Ἔοικε κλύδωνι θαλάσσης. » Ὁ γὰρ διακρινόμενος ἀμφίβολος· ὧν περὶ τὰς ἑαυτοῦ αἰτήσεις, μικρὸν προσκαρτερήσας, εὐθὺς ἀναχωρεῖ. Πάσχει δὲ τοῦτο ἐξ ὑπερηφανίας, ἀπαγορεύων ταχέως, ὅτι μὴ παρὰ πόδας ἐπηκολούθησε τὰ αἰτούμενα, ὡς δὴ μεγάλα οἰόμενος περὶ ἑαυτοῦ, καὶ ὡς οὐκ ἀνάξιος ἀστοχεῖν ὧν ποιεῖται τὴν αἴτησιν. Τούτῳ δὲ ἀπεναντίας ὁ ταπεινόφρων. « Μὴ γὰρ οἰέσθω ἄνθρωπος ἐκεῖνος. » Ὁ μεθ' ὑπεροψίας αἰτῶν δηλαδὴ καὶ ὀλι-

Causam perfecti operis dicit sapientiam. « Postulet a Deo. » Quoniam novit fidei comprobationem ac tolerantiam in afflictionibus, non esse opus quorumvis hominum, sed eorum qui secundum Deum sapientes sunt, propterea ad sapientiæ postulationem impellit eos qui hæc præstare conantur. « Qui nihil hæsitat. » Si enim confidit, petat ; si vero hæsitat, ne petat quidem, quia non accipiet qui diffidit se accepturum. « Similis est fluctui maris. » Is enim qui hæsitat, dubius circa suas petitiones, ubi paulisper sustinuit, statim recedit. Accidit autem hoc illi ex superbia, quod cito desperet eo quod non e vestigio sequantur quæ petuntur : utpote magna de se concipiens et quod repelli mereatur in petitione quam facit. Porro contrario modo ad hunc se habet qui modesti est animi. « Neque enim existimet homo ille. » Nempe qui ex fastu et negligentia petit. Aufer

[a] Job 1, 1 seqq.

a teipso animi duplicitatem, neque omnino, cum aliquid a Deo petis animo vacilles, dicendo apud teipsum, Quomodo possum quidpiam a Domino petere et accipere, qui toties in ipsum peccaverim ? Ne hæc cogites, sed ex toto corde converterc ad Dominum, et pete ab ipso sine hæsitatione, et cognosces multitudinem misericordiæ ejus, quod nequaquam te deserat, sed petitionem animæ tuæ complebit. Non est enim Deus sicut homines, qui mutuarum injuriarum meminerunt : sed ipse obliviscitur injuriæ, et miseretur creaturæ suæ. 444 « Vir duplici animo. » Duplici animo virum appellat instabilem et non firmum, qui neque ad futura solide, neque ad præsentia secure firmatus est : sed huc atque illuc ducitur ac circumfertur : et interim quidem futura, quandoque vero præsentia amplectitur. Talem autem fluctui quoque maris comparavit, nec firmitatem nec stabilitatem habenti : et flori herbæ qui etiam non perseverat, sed simul ut oritur sol, defluit. Considera vero quod non dixerit talem assimilari herbæ, sed flori herbæ, breve omnino tempus significans per florem. Quoniam autem omnium obstetricem ac altricem novit esse animi modestiam, et sine hac nihil esse egregium in probis ac studiosis viris, ideo subjungit : Glorietur frater qui humilis est, etc. Quomodo autem et quare dictus est alius duplici animo ? Quod neque ad præsentem vitam neque ad futuram sit firmatus : nam vita dicitur etiam anima, ut cum dicitur : « Omnia quæ habet homo dabit pro anima sua[6]. » — « In omnibus viis suis. » Vias dicit animi motus quibus spes elevatur, sive quæ utilis est sive quæ inutilis, juxta id quod ait David : « Et omnes vias meas præcognovisti[7]. »

I, 9-11. *Glorietur autem frater qui humilis est in sublimitate sua : contra qui dives est, in humilitate sua : quoniam veluti flos herbæ præteribit. Exortus est enim sol cum æstu, et exaruit herba, et flos illius decidit, et decor aspectus illius periit. Sic et dives in viis suis marcescet.*

Quoniam vacillantem assimilat fluctui qui vento agitur, qui inflatus sublimatur una cum spiritibus maris, sed priusquam elevetur, prosternitur ac sedatur : hoc ipsum autem contingit vacillanti, qui præ fastu ac superbia in nullo eorum quæ oportet firmat suas petitiones ; propterea subjungit : Glorietur frater qui est humilis. Ac si diceret : Qui vult quippiam petere, primum quidem petat quæ oportet, in quibus nequaquam fraudabitur petitis : hæc autem sunt regnum Dei et justitia : deinde tolerans sit in talium petitione, neque ubi paululum precatus est, statim discedat, id enim arrogantis est : sed exspectet donec accipiat, per humilitatem tolerando. « Qui humilis est, in sublimitate sua. » Ex humiliatione secundum Deum, contingit nobis omne bonum.

[6] Job II, 4. [7] Psal. CXXXVIII, 4.

γωρίας. Ἆρον σεαυτοῦ τὴν διψυχίαν, καὶ μηδὲν ὅλως διψυχήσῃς αἰτήσασθαι παρὰ Θεοῦ λέγων ἐν σεαυτῷ, ὅτι, Πῶς δύναμαι αἰτῆσαί τι παρὰ τοῦ Κυρίου καὶ λαβεῖν, ἡμαρτηκὼς τοσαῦτα εἰς αὐτόν; Μὴ διαλογίζου ταῦτα, ἀλλ' ἐξ ὅλης καρδίας ἐπίστρεψον ἐπὶ Κύριον, καὶ αἰτοῦ παρ' αὐτοῦ ἀδιστάκτως· καὶ γνώσῃ τὴν πολυσπλαγχνίαν αὐτοῦ, ὅτι οὐ μή σε ἐγκαταλίπῃ, ἀλλὰ τὸ αἴτημα τῆς ψυχῆς σου πληροφορήσει. Οὐκ ἔστι γὰρ ὁ Θεὸς ὡς οἱ ἄνθρωποι, οἱ μνησικακοῦντες ἀλλήλοις, ἀλλ' αὐτὸς ἀμνησίκακός ἐστι, καὶ σπλαγχνίζεται ἐπὶ τὴν ποίησιν αὐτοῦ. « Ἀνὴρ δίψυχος. » Δίψυχον ἄνδρα τὸν ἀνεπέρειστον, τὸν ἀστήρικτον λέγει, τὸν μήτε πρὸς τὰ μέλλοντα παγίως, μήτε πρὸς τὰ παρόντα ἀσφαλῶς ἡδρασμένον, ἀλλὰ τῇδε κἀκεῖσε ἀγόμενον καὶ περιφερόμενον, καὶ ποτὲ μὲν τῶν μελλόντων, ποτὲ δὲ τῶν παρόντων ἀντεχόμενον. Τὸν δὲ τοιοῦτον καὶ κλύδωνι ἀπείκασε θαλάσσης οὐκ ἔχοντι τὸ ἑδραῖον καὶ στάσιμον, καὶ ἄνθει χόρτου οὐδὲ αὐτῷ παραμένοντι, ἀλλ' ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον, ἀπορυῆσκομένῳ. Σκόπει δὲ ὅτι οὐκ εἶπε, χόρτῳ ἐοικέναι τὸν τοιοῦτον, ἀλλ' ἄνθει χόρτου, τὸ τελέως ὀλιγοχρόνιον διὰ τοῦ ἄνθους δηλῶν. Ἐπειδὴ δὲ τῶν καλῶν ἁπάντων μαιεύτριαν οἶδε τὴν ταπεινοφροσύνην, καὶ ἄνευ ταύτης οὐδὲν κατορθούμενον τῶν σπουδαίων, διὰ τοῦτο ἐπιφέρει τὸ, Καυχάσθω ὁ ἀδελφὸς ὁ ταπεινὸς, καὶ τὰ ἑξῆς. Πῶς δὲ δίψυχος εἴρηται καὶ διὰ τί; Ὡς μήτε πρὸς τὴν παροῦσαν ζωὴν, μήτε πρὸς τὴν μέλλουσαν ἡδρασμένος. Ψυχὴ γὰρ καὶ ἡ ζωὴ λέγεται, ὡς ἐν τῷ, « Πάντα ὅσα ἔχει ἄνθρωπος δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ. » — « Ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. » Ὁδοὺς, τὰς ψυχικὰς λέγει κινήσεις, αἷς ἐλπίδες ἐπαιωροῦνται εἴτε χρηστὰι εἴτε καὶ μή, καθό φησι καὶ ὁ Δαυΐδ, « Καὶ πάσας τὰς ὁδούς μου προεῖδες. »

Καυχάσθω δὲ ὁ ἀδελφὸς, ὁ ταπεινὸς, ἐν τῷ ὕψει αὐτοῦ· ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ· ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται. Ἀνέτειλε γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι, καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο. Οὕτως καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται.

Ἐπειδὴ κλύδωνι ἀνέμου τὸν διακρινόμενον ἀπεικάζει, ὃς μετεωρίζεται μὲν τοῖς πνεύμασιν ἐξογκούμενος, θᾶττον δὲ ἢ ὑψωθῆναι καταστορέϊται τε καὶ κοιμίζεται, ταὐτὸ δὲ τοῦτο καὶ ὁ διακρινόμενος πάσχει, ἐξ ὑπερηφανίας καὶ ὑπεροψίας πρὸς οὐδὲν τῶν δεόντων ἐπιστηρίζων τὰς ἑαυτοῦ αἰτήσεις, διὰ τοῦτο ἐπιφέρει τὸ, Καυχάσθω ὁ ἀδελφὸς ὁ ταπεινός· τοιοῦτόν τι λέγων· Ὁ βουλόμενος αἰτεῖν τι, πρῶτον μὲν αἰτείτω τὰ δέοντα, ἐν οἷς οὐδὲ ἀστοχήσει τῶν αἰτουμένων. Ταῦτα δέ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ καὶ ἡ δικαιοσύνη. Ἔπειτα καρτερείτω περὶ τὴν τῶν τοιούτων αἴτησιν, ἀλλὰ μὴ ἐπ' ὀλίγον εὐξάμενος, εὐθὺς ἀναχωρείτω, (ἀλαζόνος γὰρ τοῦτο,) ἀλλὰ περιμενέτω τὴν λῆψιν ἐν ταπεινώσει προσκαρτερῶν. « Ὁ ταπεινὸς, ἐν τῷ ὕψει αὐτοῦ. » Ἐκ τοῦ κατὰ

Θεὸν ταπεινοῦσθαι πᾶν ἀγαθὸν ἡμῖν περιγίνεται. Πλούσιον δὲ τὸν κατοφρυωμένον λέγει, ὃν καὶ ταπεινὸν καλεῖ, ὡς ἐν τῷ ἐπαίρεσθαι καταβαλλόμενον. « Ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ. » Ἀκόλουθον ἦν εἰπεῖν, Ὁ δὲ πλούσιος αἰσχυνέσθω ἐν τῇ ταπεινώσει αὐτοῦ, ἀλλὰ τὸ ἀνεπαχθέστερον μεταδιώκων, παρῆκεν αὐτό· « Καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ. » *Πρόσωπον* καταχρηστικῶς εἴρηκε. Τοῦτο γὰρ ἐπὶ μόνου λέγεται ἀνθρώπου, ἐπὶ δὲ τῶν ἄλλων ζώων, οὔ. Ἀλλ' ἐπὶ μὲν τῶν τετραπόδων, *ῥύγχος* οὐ *πρόσωπον* λέγεται. Ἐπὶ δὲ τῶν πτηνῶν, *ῥάμφος*. « Ἐν ταῖς πορείαις αὐτοῦ. » Πορείας τοῦ πλουσίου, τὰς ἐν εὐπραγίᾳ διεξόδους καλεῖ, εἴτουν διοικήσεις, ὧν μεταξὺ ἀνελπίστως χωλίζεται τὴν ἐπὶ τὴν δυστυχίαν μεταβολήν.

A **445** Divitem autem dicit superciliosum ac fastuosum, quem etiam humilem vocat, quia eo ipso quo elevatur, deprimitur. « Contra qui dives est, in humilitate sua. » Magis consequens erat ut diceret, Dives autem pudefiat in humilitate sua, sed odiosum verbum fugiens, illud potius addidit : « Et decor aspectus. » Πρόσωπον, id est, faciem sive vultum, dixit improprie : nam hoc in solo homine dicitur et non in cæteris animalibus; sed in quadrupedibus quidem ῥύγχος, id est, rictus dicitur, non facies; in volucribus autem ῥάμφος, id est rostrum. « In viis suis. » Vias aut itinera divitis dicit decursus in prospero successu, sive administrationes et dispositiones : inter quas insperato accipit mutationem ad infelicitatem et infortunium.

Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν. Μηδεὶς πειραζόμενος λεγέτω, ὅτι Ἀπὸ Θεοῦ πειράζομαι. Ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα. Ἕκαστος δὲ πειράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος. Εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν. Ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον. Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί.

B I, 12-16. *Beatus vir qui suffert tentationem : quoniam cum probatus fuerit accipiet coronam vitæ quam promisit Dominus diligentibus se. Nullus qui tentatur dicat se a Deo tentari : Deus enim malis tentari nequit, et ipse neminem tentat. Unusquisque autem tentatur, dum a propria conscientia abstrahitur et inescatur. Deinde concupiscentia postquam concepit, parit peccatum : peccatum vero ubi perfectum est, progenerat mortem. Ne erretis, fratres mei dilecti.*

Ἔοικεν ὁ μακάριος οὗτος ἀσφαλέστερον χρησάμενος τῷ περὶ πειρασμῶν λόγῳ, ἐν οἷς φησι· Πᾶσαν χαρὰν ἡγεῖσθε ἐν πειρασμῶν περιπτώσει. Εἶτα τῆς τοῦ Κυρίου μνησθεὶς εὐχῆς, ἥτις μὴ εἰς πειρασμὸν ἐμπεσεῖν ἡμᾶς ἐξιλεουμένους τὸ κρεῖττον παρεγγυᾷ, ἐπαναλαμβάνει διὰ τῶν προκειμένων τὸν λόγον, σαφηνίζων τίς μὲν ὁ ἀπὸ Θεοῦ πειρασμός, ὅ; καὶ περιχαρείας πρόξενος, τίς δὲ ὁ παρ' ἡμῶν αὐθαίρετος. Ἦλθεν καλῶς ἔχει τὸν μὲν Κύριον καὶ Θεὸν Ἰησοῦν Χριστὸν πρὸς τὸ ἀσθενέστερον τῆς ἀνθρωπίνης ἀποσκοπήσαντα φύσεως, τὴν ἐπιφορὰν ἀπεύξασθαι τῶν πειρασμῶν ὑποθέσθαι, ἀτελέστερον ἔτι τῶν μαθητῶν διακειμένων. Ὃ καὶ ἐν ἄλλοις πεποίηκε πολλοῖς, τὰ τελεώτερα τέως ὑπερθέμενος. Ἐπεὶ δὲ τῇ διὰ τῆς ἀναστάσεως αὐτοῦ ἐπιγνώσει, καὶ τῇ εἰς οὐρανοὺς ἀναλήψει, ἐπερρώσθη ἡ ἀσθενὴς ἡμῶν φύσις, μηκέτι τοὺς πειρασμοὺς δεδοικέναι ὁ ἀδελφὸς αὐτοῦ κατὰ σάρκα εἰσηγεῖται, ἅτε οἷας τε οὔσης λοιπὸν τῆς τοῦ Κυρίου πάθεσιν ἐπιῤῥωσθείσης, καταπαλαίειν πᾶσαν ἐπερχομένην ἐπήρειαν. Διττῶν δὲ ὄντων, ὡς ἔφαμεν, τῶν πειρασμῶν, συμφέρει καθ' ἑκάτερον ἡ ὑπομονή. Ἐπὶ μὲν τῶν ἀπὸ τοῦ Θεοῦ, ὅτι ἀναῤῥήσεως μετὰ ταῦτα τυγχάνομεν, ὡς Ἀβραάμ. Ἐπὶ δὲ τῶν ἀφ' ἡμῶν, ὅτι ὑπομένοντες μετὰ εὐχαριστίας, οἱονεὶ ἀντιστήκωσιν ταύτην εἰσφέρομεν τῶν ἡμαρτημένων. Ὁ γὰρ ἐπιγνώμων τῶν ἑαυτοῦ, ἀρχὴν ἑαυτῷ κατεβάλετο σωτηρίας, καὶ εἰς χαρακτῆρα δικαίου ἑαυτὸν ἀφωμοίωσεν, εἴπερ ἀνὴρ δίκαιος, ἐν πρωτολογίᾳ ἑαυτοῦ κατήγορος. « Μηδεὶς πειραζόμενος λεγέτω. » Εἰ δίττοὶ οἱ πειρασμοί, τί νῦν πάντα πειρασμὸν ἐκβάλλει τῆς ἀπὸ τοῦ Θεοῦ αἰ-

Videtur beatus iste usus securius sermone de tentationibus, cum ait : Pro summo gaudio ducite incidere in tentationes. Deinde memor orationis dominicæ, quæ jubet id quod melius est, nempe C ut oremus ne incidamus in tentationem [a], repetit sermonem : per ea quæ hic proponuntur, manifestans quæ sit immissa a Deo tentatio, nempe quæ etiam gaudii conciliatrix est, et quæ a nostra voluntate. Recte tamen dici potest quod Dominus ac Deus Jesus Christus ad imbecillitatem humanæ naturæ respiciens, admoneat fugere tentationes, cum imperfectius adhuc affecti essent discipuli : quod aliis quoque fecit multis in locis, a perfectioribus interim abstinens. Postquam autem per cogitationem resurrectionis ipsius et ascensionem in cœlos confirmata est nostra infirma natura : jam frater ipsius secundum carnem instruit nos, ne deinceps tentationes metuamus, **446** cum D possimus posthac confirmati afflictionibus Domini, superare omnem supervenientem afflictionem et tentationem. Cum autem duplices sint tentationes, ut diximus, utilis est in utrisque patientia : in illis quidem quæ sunt a Deo, quoniam postmodum assequimur laudem de victoria, veluti Abraham : in illis vero quæ a nobis sunt, quoniam sustinentes cum gratiarum actione, hanc veluti compensationem referimus ad peccata quæ commisimus. Is enim qui sua facta explorat, suæ jacit initium salutis, et ad formam justi seipsum assimilat, cum vir justus in principio sermonis sui sit accusator [b]. « Nullus qui tentatur dicat. » Si duplices sunt

[a] Matth. VI, 12. [b] Prov. XVIII, 17.

tentationes, cur nunc omnis tentationis causam a Deo rejicit? Sed considera quod non dicit: Qui tentatus est, sed Qui tentatur: eum enim qui per peccatum et intemperantiam sibi ipsi tentationes accersit, ita ut in continuo sit salo, dicit a Deo non tentari, sed a propria concupiscentia. Siquidem is qui illatam vicit tentationem, cautius ac firmius seipsum constituit, sic ut non facile capiatur tentationibus, his maxime quæ a seipso moverentur. Cum enim ad sapientiorem declinaverit vitam, fontem occlusit qui tentationibus manat, et deinceps in requie degit a tentationibus. Deus autem malis tentari nequit: juxta eum qui dixit (quanquam externus sit a nobis et a fide alienus): Divina beataque natura neque molestias sustinet neque aliis præbet. Circa mortalem enim ac terrenam naturam in qua varietas ac mutatio conspicitur, contingunt hæc omnia quæ nostram præoccupant naturam. Concupiscentia vero ac peccatum, et quæ ex hoc imminet animæ mors, gradus quidam constituti sunt ad humanam perditionem. Concupiscentia enim locum diversorii tenens, inventa mansione operata est peccatum, quod parit mortem, nisi mente illud eradicantes, alterius vitæ nobis invenerimus initium. Quoniam igitur satis ostendit divinam naturam neque tentari posse, neque aliis id præbere, tentationes autem dicit hic cogitationes, animæ stabilitatem turbantes ac confundentes: **447** nam quæ a Deo sunt, animam maxime stabiliunt, eam illuminantes et ineffabilem ejus pulchritudinem multis ostendentes: ideo nunc subjungit:

I, 17, 18. *Omnis donatio bona et omne donum perfectum e supernis est, descendens a Patre luminum, apud quem non est transmutatio nec conversionis obumbratio. In destinata voluntate progenuit nos verbo veritatis, ut essemus primitiæ quædam suarum creaturarum.*

« E supernis est a Patre luminum. » Cum ea quæ a nobis inducuntur neque perfectionem habeant, sed multam potius imperfectionem, neque animam illustrent, quomodo enim perfectionem haberent quæ postea ex felici progressu sumunt perfectionem, vixque multo labore turpitudinem a nativitate contractam emundant, et deinde ad divinum splendorem pertingunt? « Apud quem non est transmutatio. » Ipse enim clamat per prophetam: « Ego sum et non mutor [10]. » Quod autem ait: « Conversionis obumbratio, » hoc est, ne suspicio quidem aut quippiam suspicionis umbram attingens. « Is destinata voluntate. » Destinata voluntate dixit, os illis opprimens qui mundum casu productum fuisse nugantur. Quoniam enim dixit superius: Apud quem non est transmutatio, et ex hoc ostendit immutabilem esse Deum, subjungit: Is destinata voluntate progenuit nos. Si enim nos nati sumus, manifestum est quod etiam

[10] Malach. III, 6.

τίας; Ἀλλὰ σκόπει· οὐκ εἶπε Πειρασθείς, ἀλλὰ Πειραζόμενος. Τὸν γὰρ ἑαυτῷ διὰ πλημμέλειαν καὶ ἀκολασίαν ἐκπορίζοντα τοὺς πειρασμούς, ὥστε ἐν διηνεκεῖ σάλῳ εἶναι, τοῦτον λέγει μὴ ἀπὸ Θεοῦ πειράζεσθαι, ἀλλ' ἀπὸ τῆς ἰδίας ἐπιθυμίας. Ὁ γάρ τοι τὸν ἐπενεχθέντα νικήσας πειρασμὸν, ἀσφαλέστερον ἑαυτὸν καταστήσας, δυσάλωτος ἔτι καθίσταται πειρασμοῖς, μάλιστα τοῖς ἀφ' ἑαυτοῦ κινουμένοις. Πρὸς γὰρ φιλοσοφωτέραν ἀποκλίνας ζωὴν, ἐνέφραξε τὴν τοὺς πειρασμοὺς νάουσαν πηγὴν, καὶ ἐν ἀνέσει λοιπὸν τῶν πειρασμῶν διατελεῖ. Ἀπείραστος δὲ ὁ Θεὸς κακῶν, κατὰ τὸν εἰρηκότα (κἂν τῶν θύραθέν ἐστιν ἡμῖν)· Τὸ θεῖόν τε καὶ μακάριον, οὔτε αὐτὸ πράγματα ἔχει, οὔτε ἑτέροις παρέχει. Περὶ τὴν θνητὴν γὰρ φύσιν καὶ περίγειον ταῦτα πάντα, περὶ ἣν ἀλλοίωσις ὁρᾶται καὶ μεταβολὴ, τὰ τῆς φύσεως ἡμῶν προκατάρχοντα. Ἐπιθυμία δὲ καὶ ἁμαρτία, καὶ ὁ ἐκ ταύτης ἐπιφυόμενος τῇ ψυχῇ θάνατος, βαθμοί τινες τῆς ἀνθρωπίνης καθεστήκασιν ἀπωλείας. Ἡ γὰρ ἐπιθυμία χώραν λαβοῦσα παραδοχῆς, καὶ μονὴν ἀνευροῦσα ἐνεργάσατο τὴν ἁμαρτίαν. Ἥτις ἀπέτεκε θάνατον, ἂν μὴ διανοίας αὐτὴν ἐκριζώσαντες, δευτέρας ἡμῖν ζωῆς ἀνευρήσομεν ἀρχήν. Ἐπεὶ οὖν ἀποχρώντως ἔδειξε τὴν θείαν φύσιν, μήτ' αὐτὴν οἴαντε οὖσαν πειράζεσθαι, μήτ' ἄλλοις τοῦτο παρέχουσαν, λέγει δὲ πειρασμοὺς ἐνταῦθα, τοὺς τὸ εὐσταθὲς τῆς ψυχῆς λογισμοὺς ταράσσοντας καὶ συγχέοντας. Οἱ γὰρ ἀπὸ Θεοῦ, μάλιστα καταστηματικοὶ τῆς ψυχῆς, λαμπρύνοντες ταύτην, καὶ τοῖς πολλοῖς τὸ ἀπόῤῥητον αὐτῆς ἐκπομπεύοντες κάλλος. Διὰ τοῦτο ἐπάγει τό·

Πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐκ τοῦ Πατρὸς τῶν φώτων ἐστὶν, παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα. Βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.

« Ἄνωθεν ἐκ τοῦ Πατρὸς τῶν φώτων. » Ὡς τῶν παρ' ἡμῶν ἐπαγομένων οὔτε τὸ τέλειον, εἰ μὴ καὶ πολὺ τὸ ἀτελὲς ἐχόντων, οὔτε τὴν ψυχὴν λαμπρυνόντων. Πῶς γὰρ τέλειον, τὸ ἀπὸ τῶν ἐκ προκοπῆς τὸ τέλειον λαμβανόντων, καὶ μόγις καμάτῳ πολλῷ τὸ ἐκ γενέσεως αἶσχος ἀποκαθαιρομένων, εἶτα πρὸς τὴν λαμπρότητα τὴν θείαν ἀφικνουμένων; « Παρ' ᾧ οὐκ ἔνι παραλλαγή. » Αὐτὸς γὰρ βοᾷ διὰ τοῦ προφήτου, « Ἐγώ εἰμι, καὶ οὐκ ἀλλοίωμαι. » Τὸ δὲ, Τροπῆς ἀποσκίασμα, ἀντὶ τοῦ, οὐδὲ μέχρις ὑπονοίας τινὸς ὑποβολή. « Βουληθεὶς ἀπεκύησεν. » Τὸ, Βουληθεὶς, εἶπεν, ἐπιστομίζων τοὺς αὐτομάτως ὑποστῆναι τόδε τὸ Πᾶν ληροῦντας. Ἐπειδὴ γὰρ ἀνωτέρω εἶπε, Παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ, καὶ ἔδειξεν ἐκ τούτου ἀναλλοίωτον τὸ Θεῖον, ἐπάγει τὸ, Βουληθεὶς ἀπεκύησεν ἡμᾶς. Εἰ γὰρ γεννητοὶ ἡμεῖς, δῆλον ὅτι καὶ ἀλλοιωτοί. Πῶς γὰρ ἀναλλοίωτον τὸ ἐκ τοῦ μὴ ὄντος ἐξ ἀλλοιώσεως εἰς τὸ εἶναι προῖόν; Εἶτα ἐπειδὴ εἶπεν, Ἀπεκύησεν ἡμᾶς, ἵνα μή τις

ὑπολάβῃ ὁμοίως ἡμῖν καὶ τὸν Υἱὸν ἀποτεκεῖν αὐτὸν, καὶ μεθ' ἡμῶν καὶ τὸν Υἱὸν γεγεννῆσθαι, ἐπάγει τὸ, Λόγῳ ἀληθείας. Πάντα γὰρ, κατὰ τὸν θεῖον Ἰωάννην, διὰ τοῦ Υἱοῦ ἐγένετο. Ὥστε εἰ διὰ τοῦ τῆς ἀληθείας Λόγου ἡ πρόοδος ἡμῖν, οἱ τὸ εἶναι ἔχοντες ἀπὸ τοῦ Λόγου, οὐχ ὁμογενεῖς τῷ ὑφ' οὗ γεγόναμεν. « Εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν. » Ἀντὶ τοῦ πρώτους καὶ τιμιωτάτους. *Κτίσματα* δὲ αὐτὴν τὴν ὁρωμένην κτίσιν φησί.

A mutati. Quomodo namque immutabile esset quod ex non esse per mutationem procedit ad esse? Deinde quia dixit: Progenuit nos, ne quis suspicaretur quod similiter ut et nos, ipsum quoque Filium progenuerit, et una nobiscum etiam Filium fuisse natum, subjungit: Verbo veritatis. Omnia enim, juxta beatum Joannem [11], per Filium facta sunt. Itaque si per Verbum veritatis progressus nobis contigit, qui a Verbo habemus esse, non essemus primitiæ. » Hoc est, primi et honoratissimi. Κτίσματα autem dicit ipsam visibilem creaturam.

Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν. Ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται.

I, 19-21. *Itaque, fratres mei dilecti, sit omnis homo velox ad audiendum, tardus ad loquendum, tardus ad iram. Ira enim viri justitiam Dei non efficit.*

Τὸ, Ταχὺς, οὐχὶ εἰς ψιλὴν ἀκρόασιν περιίστησιν, ἀλλ' εἰς μὲν ἐνεργὸν, καὶ τὸ ἀκοῦσαι πρὸς τὴν μεταχείρισιν τῶν ἠκουσμένων ἀφορμῶσαν. Ἐπίσταται γὰρ τὸν μετὰ σπουδῆς ὑπέχοντα τοῖς λεγομένοις τὴν ἀκοὴν, καὶ πρὸς τὴν ἐργασίαν τούτων, ἕτοιμον παρέξοντα ἑαυτόν· ὥσπερ ἀπ' ἐναντίας, τὸν μετὰ βραδυτῆτος πρός τι διατιθέμενον τῇ ἀναβολῇ, καὶ πάμπαν εἰργόμενον ἑαθ' ὅτε τῆς ἐγχειρήσεως. Διὸ ἐπὶ μὲν τῆς τῶν θείων διδασκαλίας ταχυτῆτα ἐντέλλεται, ἐπὶ δὲ τῶν ἐπισφαλῆ τὴν μεταχείρισιν ἐχόντων, τὴν βραδυτῆτα. Ταῦτα δέ ἐστι, τὸ λαλῆσαι, τὸ ὀργισθῆναι. Ἥ τε γὰρ ἀπρομηθὴς λαλιὰ, ἥτε ἀπερίσκεπτος ὀργὴ, οὐκ εἰς ἀγαθὸν ἑαθ' ὅτε οἶδεν ἀποτελευτᾷν. Δι' ὃ καί τις ἀνὴρ θεῖός φησιν· Ὁ λαλήσας μετέγνω πολλάκις, ὁ δὲ σιωπήσας οὐδέ ποτε. Καὶ ὁ μακάριος δὲ πάλιν Δαυὶδ· « Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε. » Τουτέστι, Μὴ ὀργιζόμενοι, εὐθέως καὶ τὴν ὑποβαλλομένην ἐκ τῆς ὀργῆς ἐπάγετε μανίαν. Σύμφωνα τούτοις καὶ τὰ παρόντα. Τό τε γὰρ περὶ τὸ λαλῆσαι ἀργὸν, τό τε περὶ τὸ ὀργισθῆναι νωθρὸν, τῇ περὶ ταῦτα μελλήσει ἐπανήγαγε τὸν μεταχειριούμενον πρὸς τὸ δέον καὶ τὸ εὐθές. Καὶ ἢ παντελῶς τὴν περὶ ταῦτα ἐξέλυσεν ὁρμὴν διὰ τῆς κεκριμένης ἐπισκέψεως, ἢ κατὰ τὸ προσῆκον τῶν πραγμάτων ποιήσασθαι τὴν διέξοδον τούτων εἰσηγήσατο, μάλιστα τῆς ὀργῆς. Ἥτις ἀλογίστως προενεχθεῖσα τῆς τοῦ Θεοῦ δικαιοσύνης ἀποστερεῖ. Διὸ καὶ τὴν αἰτίαν ἐπάγει ταύτην, τὸ, Ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται. Εἰ γὰρ δικαιοσύνη ἐστὶν ἕξις ἐν ψυχῇ τοῦ κατ' ἀξίαν ἑκάστῳ ἀπονεμητική, ὀργὴ δὲ, κατὰ τὸν εἰπόντα, ἀπόλλυσι καὶ φρονίμους, πῶς ἂ αὕτη ἡ διὰ τὴν ἄγαν ἐμπάθειαν σκοτοῦσα τὸν νοῦν, ὡς καὶ φρονίμους ἀπολλύναι, τὴν κεκριμένως ἀπονέμουσαν ἑκάστῳ τὸ κατ' ἀξίαν συστήκειεν; « Βραδὺς εἰς ὀργήν. » Τὴν βραδυτῆτα δικῶς βούλεται ἐνεργεῖσθαι παρ' ἡμῶν εἰς τε τὸ λαλῆσαι, καὶ τὸ ὀργισθῆναι. Οἶδε γὰρ ἡ μέλλησις καὶ ἀποχὴν ἐργάζεσθαι τῆς ὁρμῆς.

B **448** Quod ait Velox, non ad nudam auditionem refertur, sed ad strenuum in opere et eum qui postquam audivit, procedit ad ea præstanda quæ audivit. Novit enim eum qui subdit auditum cum studio ad ea quæ dicuntur, etiam præbiturum seipsum paratum ad eorum operationem: quemadmodum e diverso eum qui cum tarditate ad aliquid procrastinando afficitur, aliquando penitus separandum ab omni conatu operis. Ideo in doctrina quidem rerum divinarum velocitatem præcipit, in his autem quæ periculosam habent administrationem, tarditatem. Hæc autem sunt loqui et irasci. Nam et inconsulta locutio et incircumspecta ira non novit unquam in bonum desinere. Propter quod vir quidam divinus ait: Frequenter pœnituit esse locutum, tacuisse vero nunquam. Rursum autem beatus ille David: « Irascimini et ne peccetis [12]: » hoc est, ne facile irascendo, furorem quoque incitetis quem suggerit ira. His etiam conformia sunt quæ hic dicuntur. Siquidem tarditas in loquendo et tepiditas in irascendo, cunctatione in his servata, reducunt ad id quod decens est et rectum: et vel omnino impetum circa hæc dissolvunt per deliberatam considerationem, vel convenienti modo ad res quæ occurrunt horum decursum fieri docent, potissimum autem iræ; quæ si irrationabiliter inducta sit, privat divina justitia. Ideoque hanc subjungit causam: Ira enim viri justitiam Dei non efficit. Etenim si justitia habitus est in anima qui dividit unicuique juxta suam dignitatem, D ira vero, ut ait ille, perdit etiam sapientes, quo modo hæc ipsa quæ vehementi affectione mentem adeo obtenebrat ut perdat etiam sapientes, constitueret eam quæ dividit unicuique juxta suam dignitatem? « Tardus ad iram. » Tarditatem vult bifariam in nobis exerceri, puta ad loquendum et ad irascendum. Novit enim cunctatio abstinentiam a committendo efficere.

ΚΕΦΑΛ. Β'.

Περὶ πραότητος καὶ ἁγνείας καὶ πράξεως ἀγαθῆς μεταδοτικῆς ἐπὶ μακαρισμῷ· καὶ περὶ ἐπιστήμης καὶ συμμετρίας λόγου.

449 CAPUT II.

De mansuetudine ac innocentia et actione bona quæ conducit ad beatitudinem, et de scientia ac mediocritate sermonis.

Διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισ-

I, 21-22. *Quapropter deposita omni immunditia et*

[11] Joan. I, 3. [12] Psal. IV, 5.

redundantia malitiæ, per mansuetudinem recipite A *insitum sermonem, qui potest salvare animas vestras.*

Immunditiæ addit etiam redundantiam malitiæ, volens hoc demonstrare : Quanquam frequenter incidat quispiam in aliquam immunditiam, citius ab ea discedat, nec permanendo et cunctando in illa, per consuetudinem efficiat malum firmius, ac difficilius ad abluendum : cum nata sint quæ continue et abunde fiunt in nobis, ad reducendum jin naturam id quod efficitur, sive naturæ habitum ipsi acquirere. « Per mansuetudinem. » Siquidem per mansuetudinem et non per tumultum ac turbationem traditur disciplina. « Insitum sermonem. » Insitum nobis sive naturalem sermonem vocat eum qui discernit melius a pejori : a quo etiam natu- B rales sumus ac dicimur.

I, 23-25. *Sitis autem effectores sermonis et non tantum auditores, fallentes vosmetipsos : quoniam si quis audiat sermonem, nec eum factis exprimat, hic similis est viro consideranti faciem nativitatis suæ in speculo. Consideravit enim seipsum et abiit, statimque oblitus est qualis esset. At qui prospexerit in legem perfectam quæ est libertatis, et permanserit, hic cum non sit auditor obliviosus, sed effector operis, beatus facto suo erit.*

Quoniam novit aliquos sermonem cum diligentia audientes, etiam ipso tempore quo audiunt, fervorem frequenter exstinguere, ideo nunc hæc subjungit, id in effectu præcipiens : Ne solum in audiendo C diligentiam ostendatis, sed multo magis in faciendo. **450** « Fallentes autem vosmetipsos. » Hoc est, seducentes. Porro faciem nativitatis dicit cognoscere seipsum per legem. Ideo etiam post, Faciem, subjunxit, Nativitatis. Nam per legem discentes quales facti simus, consideramus quod tales factos lex spiritualis perficiat nos per lavacrum regenerationis. Deinde ne in tali consideratione per actionem permanentes, etiam gratiæ obliviscamur ac doni. Nam qui pravis actionibus seipsum exponit, ne meminit quidem quod a Deo sit beneficio affectus. Si enim meminisset quod in filium Dei adoptatus sit et justificatus ac sanctificatus, quæ dona sunt spiritualia, nequaquam seipsum traderet operibus gra- D tiam repellentibus. « In speculo. » Ab hoc noto speculo transfert sermonem ad intellectuale speculum, nihil subjungens eorum quæ id quod dictum est aptarent exemplo : puta ut hoc modo diceret : Si quis audiat sermonem, nec eum factis exprimat, hic similis est viro consideranti faciem nativitatis suæ in speculo. Quemadmodum enim ille consideravit seipsum et abiit, statimque oblitus est qualis esset : ita et hic qui per Mosi legem consideravit ad quid factus esset, nempe quod ad gloriam Dei et ad imaginem Dei creatoris factus fuisset, postquam consideravit, nihil eorum quæ considerata erant factis expressit, sed pari modo circa considerationem dispositus est sicut prius. Non ergo sermone

σεlαν κακίας, ἐν πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον, τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν.

Τῇ ῥυπαρίᾳ προστίθησι καὶ τὸ, Περισσείαν κακίας, τοῦτο βουλόμενος παραστῆσαι, τὸ, Εἰ καί τινι πολλάκις περιέπεσέ τις ῥυπαρίᾳ, ταχέως αὐτῆς ὑπεξίστασθαι, ἀλλὰ μὴ τῇ κατ' αὐτὴν ἐπιμονῇ τέ καὶ ἐγχρονίσει διὰ τῆς συνηθείας βεβαιότερον καὶ δυσεκνιπτότερον τὸ κακὸν ἀπεργάζεσθαι, πεφυκότων τῶν συνεχέστερον ἡμῖν καὶ περιττότερον ἐπιτελουμένων, εἰς φύσιν ἀποκαθιστᾶν τὸ τελούμενον, ἤτοι φύσεως ἕξιν αὐτῷ περιποιεῖν. « Ἐν πραΰτητι. » Ἐν πραΰτητι γὰρ, ἀλλ' οὐκ ἐν θορύβῳ καὶ ταραχῇ ἡ τῆς διδασκαλίας γίνεται παραδοχή. « Ἔμφυτον λόγον. » Ἔμφυτον λόγον καλεῖ, τὸν διακριτικὸν τοῦ βελτίονος καὶ τοῦ χείρονος. Καθ' ὃ καὶ λογικοὶ ἐσμεν καὶ λεγόμεθα.'

Γίνεσθε δὲ ποιηταὶ λόγου, καὶ μὴ μόνον ἀκροαταὶ, παραλογιζόμενοι ἑαυτούς. Ὅτι εἴ τις ἀκροατὴς λόγου ἐστὶ, καὶ οὐ ποιητὴς, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ. Κατενόησε γὰρ ἑαυτὸν καὶ ἀπελήλυθε, καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν. Ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας, καὶ παραμείνας, οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται.

Ἐπειδὴ οἶδε καὶ τοὺς σπουδῇ ἐπακούοντας τοῦ λόγου πολλάκις τὴν θερμότητα καὶ ἐν αὐτῷ τῷ ἀκροᾶσθαι ἀποσβεννύντας, διὰ τοῦτο νῦν ἐπιφέρει ταῦτα, δυνάμει ταῦτα παρακελευόμενος· Μὴ ἐν τῷ ἀκροᾶσθαι μόνον τὴν σπουδὴν ἐπιδείκνυσθε, ἀλλὰ πολὺ μᾶλλον ἐν τῷ ποιεῖν. Τὸ δὲ, Παραλογιζόμενοι ἑαυτοὺς, ἀντὶ τοῦ Ἐξαπατῶντες. « Παραλογιζόμενοι ἑαυτούς. » Πρόσωπον γενέσεως, τὸ διὰ τοῦ νόμου λέγει ἑαυτὸν ἐγνωκέναι. Διὸ καὶ τῷ Προσώπῳ, ἐπήγαγε τὸ, Γενέσεως. Διὰ γὰρ τοῦ νόμου μανθάνοντες οἷοι γεγόναμεν, κατανοοῦμεν οἵους γενομένους ὁ πνευματικὸς ἡμᾶς ἀποτελεῖ νόμος διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας. Εἶτα μὴ ἐμμένοντες τῇ τοιαύτῃ θέᾳ διὰ τῆς πράξεως, καὶ τοῦ χαρίσματος ἐπιλανθανόμεθα· ὁ γὰρ πράξεσιν ἑαυτὸν ἐκδοὺς πονηραῖς, οὐδὲ ὅτι εὐηργέτηται παρὰ τοῦ Θεοῦ μνημονεύει. Εἰ γὰρ ἐμνημόνευεν, ὅτι υἱοθετήθη καὶ ἐδικαιώθη καὶ ἡγιάσθη, ἃ πνευματικά ἐστι χαρίσματα, οὐκ ἂν ἑαυτὸν παρεδίδου τοῖς ἀθετοῦσιν ἔργοις τὴν χάριν. « Ἐν ἐσόπτρῳ. » Ἀπὸ τοῦ συνήθους τούτου ἐσόπτρου, ἐπὶ τὸ νοητὸν ἔσοπτρον διαβιβάζει τὸν λόγον, μηδὲν ἐπενέγκας τῶν εἰς παράδειγμα ἀφοριζόντων τὸ εἰρημένον, οἷον ἵνα εἴπῃ οὕτως· Εἴ τις ἀκροατὴς λόγου καὶ οὐ ποιητὴς, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ. Ὡς γὰρ ἐκεῖνος κατενόησεν ἑαυτὸν καὶ ἀπελήλυθε, καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν· οὕτω καὶ οὗτος ὁ διὰ τοῦ Μωσέως νόμου κατανοήσας τὸ, διὰ τί γέγονεν, ὅτι πρὸς δόξαν Θεοῦ, καὶ τὸ κατ' εἰκόνα γενέσθαι τοῦ πεποιηκότος Θεοῦ, μετὰ τὸ κατανοῆσαι, οὐδὲν τῶν κατανοηθέντων εἰργάσατο, ἀλλ' ὡσαύτως τῷ πρώτῳ περὶ τὴν κατανόησιν δι-

στέθη. Οὕτως οὖν ᾧ λόγῳ χρήσασθαι δέον, οὐ κέχρηται. Τοῦτο δὲ οὐ μάτην ποιεῖ ὁ τοῦ Κυρίου μαθητὴς Ἰάκωβος, ἀλλὰ συντόμως ἅπαντα φθέγγεται, ὡς τοῦ συντετμημένου μαθητὴς λόγου, καὶ ἅμα συνάγων τὸν ἀκροατὴν, καὶ συντείνων εἰς τὸ μὴ παρέργως τούτων ἀκούειν. « Ὁ δὲ παρακύψας. » Σκόπει ὅτι Παρακύψας εἶπεν, ἀλλ' οὐκ Εἰσελθών. Ὁ γὰρ πνευματικὸς νόμος τὸ ἐφετὸν πανταχοῦ καὶ μεγαλεῖον ἔχων, καὶ ἀπ' αὐτῆς τῆς βραχείας ἐντυχίας οἶδεν ἐφέλκεσθαί τε καὶ τελειοποιεῖν, καὶ ἅτε τὸ τέλειον ἔχων καὶ περὶ πάντα ἀνελλιπὲς, τοῦ ἐνδοιάζειν περί τι τῶν ἐν αὐτῷ ἀπαλλάξας τὸν ἐντυγχάνοντα, καὶ παραμένειν πέπεικε τοῖς τεθεαμένοις. « Εἰς νόμον τέλειον. » Ἐπειδὴ μέγα ἐφρόνουν Ἰουδαῖοι ἐν ταῖς τοῦ νόμου παρατηρήσεσι, καὶ ταύταις τὸ πᾶν τῆς περὶ Θεὸν εὐσεβείας κατορθοῦν ᾤοντο, καὶ περὶ ταύτας ἀσχολούμενοι μόνας, αὐτοὶ μὲν τὸ τέλειον ἑαυτοῖς περιπεποιηκέναι ἐλογίζοντο, πρὸς δὲ τοὺς ἄλλους ἀνθρώπους ὑπερηφάνως καὶ ὀνειδιστικῶς διέκειντο, ὡς δῆλον ἀπὸ τοῦ ἐν Εὐαγγελίῳ φαρισαίου καὶ ὧν κατὰ τοῦ τελώνου ἀπηυθαδίσατο· ταύτην τὴν οἴησιν καταστέλλων ὁ μακάριος Ἰάκωβος τὰ προκείμενά φησι. Μνησθεὶς γὰρ ποιητοῦ ἔργων καὶ μακαρίσας αὐτὸν, ἐπανορθοῦται εὐθὺς καὶ τὸ ἐν τῇ ποιήσει παρὰ τοῖς πολλοῖς ἐπιφυόμενον κακὸν, καί φησι· Μὴ ὑπολάμβανε, ὁ ἀπὸ τῆς ποιήσεως τοῦ νόμου λαχὼν τὸ μακάριον, ὡς μόνη ἡ ποίησις ἔχει καὶ τὸ ἀπόδεκτον παρὰ Θεῷ. Οὐ γάρ· ἀλλ' ἐκεῖνος ὁ μετὰ τοῦ ποιεῖν, μὴ ἐξονειδιστικῶς τῶν ἄλλων μηδὲ ἀφιλανθρώπως πρὸς τοὺς ὁμογενεῖς διακείμενος. « Τὸν τῆς ἐλευθερίας. » Εἰπὼν Νόμον τέλειον, ἐπήνεγκε, Τὸν τῆς ἐλευθερίας, τὴν ἐλευθερίαν ἐπίσημον αὐτοῦ ποιούμενος. Ὁ γὰρ κατὰ Χριστὸν νόμος, τῆς περὶ πᾶν τὸ σαρκικὸν ἀπηλλάξας δουλείας, σαββατισμῶν, καὶ περιτομῆς, καὶ τῆς περὶ τοὺς ἄλλους ἁγισμοὺς λατρείας, ἐν ἐλευθερίᾳ τούτων καὶ ἀνέσει τὸν προσιόντα καθίστησι. Καὶ διὰ τὸ ἐλεύθεριον, καὶ τὸ ἀπὸ τῆς ἐλευθερίας ἡδὺ, καὶ πρακτικὸν εἰργάσατο τοῦτον, καὶ τῆς λυμαινομένης ἅπασι τοῖς καλοῖς ἀπήλλαξεν ἐπιλησμονῆς. Οὐδὲν γὰρ οὕτω περιέχεσθαί τινος πείθει, ὡς τὸ περὶ τὸ πρᾶγμα ἐνθεωρούμενον ἄνετόν τε καὶ ἐλεύθεριον. Πρόσκειται καὶ μακάριον ἀπέφηνε τὸν τοιοῦτον. « Ἀκροατὴς ἐπιλησμονῆς. » Τῇ ἀκροάσει συνῆψε τὴν ἐπιλησμονὴν, ὡς εἰ ἐνδεῖ τῆς ποιήσεως ἡ ἀκρόασις, οὐδὲν πρᾶγμα μὴ καὶ τὴν ἐπιλησμονὴν ἐπακολουθῆσαι, ὡς κατὰ πάρεργον οὐκ ἐνεργῶς τῆς ἀκροάσεως γενομένης.

A usus est quomodo uti oporteret. Id autem non frustra ac temere facit Jacobus Domini discipulus, sed omnia breviter loquitur, tanquam abbreviati verbi discipulus, simulque auditorem colligens ac continens ne hæc otiose audiret. « At qui prospexerit. » Considera quod dixerit: Qui prospexerit, et non, Qui ingressus fuerit. Spiritualis namque lex magnificum quiddam et ubique desiderabile habet, unde etiam ex prava sui assecutione novit attrahere et perfectum reddere: cumque perfectionem habeat et in omnibus defectu careat, eum qui assecutus est, in nullo relinquit dubio circa aliquid quod in ea continetur: et eis qui vel inspexerunt persuadet ut in ea permaneant. « Legem perfectam. » Quoniam efferebantur Judæi propter legis observa- B tiones, et his summam pietatis in Deum se præstare putabant: hisque solis vacantes, sibi quidem perfectionem vindicabant, erga cæteros vero homines superbo et improperioso animo affecti erant: **451** quemadmodum manifestum est ex pharisæo, de quo in Evangelio [13], et ab his qui adversus Publicanum contumeliosi erant: hunc timorem reprimens beatus Jacobus dicit ea quæ proponuntur. Facta namque mentione operum ejus qui sermonem fac- ts exprimit, ubi eum beatum prædicavit, statim etiam corrigit malum quod multis ex operatione adnascitur, et ait: Ne existimes quod ex operibus legis sortiaris beatitudinem, quasi sola operatio habeat ut etiam apud Deum reddat acceptabilem: nequaquam ita C est, sed ille beatus est qui simul et facit, et erga cæteros sui generis homines non contumelioso nec inhumano animo affectus est. « Quæ est libertatis. » Ubi dixisset Legem perfectam, subjunxit: Quæ est libertatis, assignans ejus libertatem. Lex enim Christi a servitute liberans omnium carnalium, puta Sabbatorum et circumcisionis ac cultus circa cæteras purificationes, in libertate et requie ab his constituit accedentem: et propter libertatem ac suavitatem quæ a libertate procedit, etiam hunc attentum reddit, liberatque oblivione quæ bona omnia corrumpit. Nihil enim adeo persuadet adhærere alicui sicut illud, nempe quod requiem a negotiis et libertatem dare conspicitur. Insuper hunc quoque beatum demonstravit. « Auditor obliviosus. » Auditioni D conjunxit oblivionem, quod auditioni opus sit operatione, nullum autem opus oblivionem sequatur: quasi superflua sit auditio quæ operis efficaciam non habet.

Εἴ τις δοκεῖ θρῆσκος εἶναι ἐν ὑμῖν, μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ, ἀλλὰ ἀπατῶν καρδίαν αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία. Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ Θεῷ καὶ Πατρί, αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν· ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

I, 26-27. *Si quis videtur religiosus esse inter vos qui non frenat linguam suam, sed fallit cor suum, hujus vana est religio. Religio pura et immaculata apud Deum et Patrem hæc est, visitare* ορφανοὺς *pupillos ac viduas in afflictione ipsorum: immaculatum servare seipsum a mundo.*

Ἡ *θρησκεία*, πλέον τι δοκεῖ τῆς πίστεως ἔχειν. Κρυφίων γάρ τινων γνῶσιν τὸ ὄνομα ἐπαγγέλλεται,

Θρησκεία religio plus quiddam habere videtur quam fides. Quorumdam enim occultorum cognitio-

[13] Luc. XVIII, 10.

nem promittit ipsum nomen, et eorum quæ fide conspiciuntur firmitatem. Ideo hac etiam dictione usus est beatus Jacobus, dicens : Religio, ac si dixisset : Cognoscere te existimas et exacte observare arcana quæ sunt in lege. Quomodo hoc fieri potest cum linguam frenare nescias, detrahendo proximo : et fastuose vitam degens, nullius egeni miserearis : **452** cum lex neque detrahentem recipiat [15], et inimicorum quoque misereri jubeat, ac inimico occupato in sublevando suo jumento quod sub onere cecidit, jubeat ut sis auxilio [16]? Si ergo religiosus esse vis, ne te ex legis cognitione religiosum ostendas, sed ex operatione, id autem miserendo proximi : nam misericordia erga proximum similitudo quædam est ad Deum. Ait enim : « Estote misericordes sicut et Pater vester cœlestis misericors est [17]. Sed et misericordia non sit cum respectu personarum : quia neque Deus sua beneficia facit huic vel illi distribuendo, sed nullum discernendo omnes beneficio afficit [18], divites ac pauperes, malos ac bonos. Frenans autem, hoc est, cohibens, et non ex arrogantia quasi legem factis exprimeret, fallens suam conscientiam : nam hoc significat cor, sicut ibi : « Cor contritum et humiliatum non despicies [19]. » — « Religio pura. » Fortassis dicet aliquis : Si testamenti quod statuit Christus doctor est Jacobus, quomodo non abrogat nunc quæ legis sunt, sed potius extollit, suscipiens eos qui in ejus observantia versantur, nec hos reprehendens aut repellens ab observatione legis? Ad quod illud dicimus, quod per modum introducendi potius nunc cum ipsis disserit, et demittit se ad eorum imbecillitatem, ne statim ab exordio legem evertens, faciat eos retrocedere, fastidientes ob dogmatum novitatem, et ad incredulitatem declinantes. Convenientius autem rem tractans, et se demittens ad legem, quo ad illa in quibus novo testamento non afferebat nocumentum suis superstitionibus (quid enim nocet fidei quæ in Christum est, observatio sabbatorum aut jejunium aut abstinentia a quibusdam cibis), et his attentiores eos ad suum sermonem reddens, ita sensim ac paulatim discedere quidem hortatur a legis observationibus, tanquam laboriosis, et tamen inutilibus, et tanquam ad servitutem, non ad libertatem quæ in Christo est, vocantibus. Brevibus itaque commutationibus ac alternationibus sapienter usus, ubi jam habuit ipsos non graviter ferentes quæ dicerentur, tunc ea quæ Christianis conveniebant proponit. « Servare seipsum a mundo. » Mundum hic intelligere debemus popularem ac vulgarem turbam, quæ concupiscentiis sui erroris corrumpitur.

καὶ βεβαιότητα τῶν κατὰ τὴν πίστιν ἐνθεωρουμένων. Διά τοι τοῦτο καὶ νῦν ὁ μακάριος Ἰάκωβος τῇ λέξει ταύτῃ ἐχρήσατο, Θρῆσκος εἰπών, ὡσπερεὶ ἔλεγε, Γνώστην ἑαυτὸν οἴει τῶν ἐν τῷ νόμῳ ἀπορρήτων καὶ ἀκριβῆ φύλακα. Πῶς; Ὅσγε τὴν γλῶσαν μὴ ἐπιστάμενος χαλιναγωγεῖν, καταλαλεῖς τοῦ πλησίον, καὶ ὑπεροπτικῶς διαβιοὺς οὐδένα τῶν ἀπορούντων οἰκτείρεις, τοῦ νόμου μήτε τὸν καταλαλοῦντα προσιεμένου, ἀλλὰ καὶ τοὺς ἐχθροὺς οἰκτείρειν κελεύοντος, καὶ τῷ ὑπὲρ τὸν νόμον τὸ ἑαυτοῦ κτῆνος ἐμπεπτωκὸς ἔχοντι καταλαμβανομένῳ ἐχθρῷ συναντιλαμβάνειν τούτῳ κελεύοντος. Εἴπερ οὖν θρῆσκος εἶναι βούλει, μὴ ἐν τῇ γνώσει τοῦ νόμου ἐπιδείκνυσον τὸν θρῆσκον, ἀλλ' ἐν τῇ ποιήσει. Τοῦτο δέ ἐστι τὸ τοὺς πλησίον οἰκτείρειν. Ὁ γὰρ εἰς τὸν πλησίον οἰκτιρμὸς ἀφομοίωσίς ἐστι πρὸς τὸν Θεόν. « Γίνεσθε γάρ, φησὶν, οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστί. » Ἀλλὰ καὶ ὁ οἰκτιρμὸς μὴ ἐν προσωποληψίᾳ ἔστω. Ἐπεὶ μηδὲ ὁ Θεὸς ἀπομεμερισμένας τὰς ἑαυτοῦ ποιεῖται εὐεργεσίας, ἀλλὰ ἀδιαστάκτως πάντας, πλουσίους καὶ πένητας, πονηροὺς καὶ ἀγαθοὺς εὐεργετεῖ. Τὸ δὲ, χαλιναγωγῶν, οἱονεὶ κατάγχων, καὶ μὴ ἐξ οἰήσεως ὡς ποιητὴς νόμου ἀπατῶν τὴν συνείδησιν αὐτοῦ. Τοῦτο γὰρ ἡ καρδία βούλεται σημαίνειν. Ὡς ἐν τῷ, « Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην. » — « Θρησκεία καθαρά. » Ἴσως ἐρεῖ τις· Εἰ τῆς κατὰ Χριστὸν διαθήκης διδάσκαλος ὁ Ἰάκωβος, πῶς νῦν οὐχὶ καταργεῖ τὰ τοῦ νόμου, ἀλλὰ μᾶλλον ἐξαίρει, τοὺς ἐν τῇ τούτου θρησκείᾳ ἀποδεχόμενος, καὶ μὴ ἐπιτιμῶν τούτοις καὶ τῆς τοῦ νόμου ἀπανιστῶν παρατηρήσεως; Πρὸς ὃν ἐροῦμεν ἐκεῖνο, ὡς εἰσαγωγεικώτερον αὐτοῖς νῦν διαλέγεται, καὶ συγκαταβαίνει τῇ τούτων ἀσθενείᾳ. Ἵνα μὴ ἐκ προθύρων ἀνατρέπων τὸν νόμον, ὀπίσω χωρεῖν ποιήσῃ τῇ καινότητι τῶν διδαγμάτων ναυτιῶντας, καὶ πρὸς ἀπείθειαν ἀποκλίναντας. Οἰκονομικώτερον δὲ μεταχειρισάμενος τὸ πρᾶγμα, καὶ ὑπενδοὺς ὅσον αὐτὸν οὐκ ἔβλαπτεν εἰς τὴν καινὴν διαθήκην ταῖς νομικαῖς δεισιθείαις· (τί γὰρ σαββατισμὸς, ἢ νηστεία, ἢ ἀποχὴ βρωμάτων εἰς τὴν κατὰ Χριστὸν παραβλάψει πίστιν;) καὶ τούτοις προσεκτικωτέρους αὐτοὺς τοῦ ἑαυτοῦ λόγου λαβὼν, οὕτως ἠρέμα καὶ κατὰ μικρὸν τῶν μὲν ἀφίστασθαι παραινεῖ τῶν τοῦ νόμου, ὡς ἐγκόπων μὲν ἀνωφελῶν δέ, καὶ ὡς πρὸς δουλείαν οὐ πρὸς ἐλευθερίαν μεταχαλούντων τὴν ἐν Χριστῷ. Σοφῶς τοιγαροῦν ταῖς βραχείαις ὑπαλλαγαῖς χρησάμενος, ὅτε μὴ δυσανασχετοῦντας εἶχε τοῖς λεγομένοις, τότε τὰ προσήκοντα Χριστιανοῖς παρατίθεται. « Ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου. » Κόσμον ἐνταῦθα τὸν δημώδη καὶ συρφετὸν ὄχλον ἀκουστέον, τὸν κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης αὐτοῦ φθειρόμενον.

CAPUT III.

453 *De charitate erga unumquemque sine respectu personæ secundum legem.*

II, 1-4. *Fratres mei, ne respectu personarum ha-*

ΚΕΦΑΛ. Γ.

Περὶ τῆς πρὸς ἕκαστον ἀγάπης ἀπροσωπολήπτου κατὰ νόμον.

Ἀδελφοί μου, μὴ ἐν προσωποληψίαις ἔχετε

[15] Psal. c, 5. [16] Exod. xxiii, 5. [17] Luc. vi, 36. [18] Matth. v, 45. [19] Psal. l, 19.

τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης. Ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι, καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπράν, καὶ εἴπητε αὐτῷ, Σὺ κάθου ὧδε καλῶς, καὶ τῷ πτωχῷ εἴπητε, Σὺ στῆθι ἐκεῖ, ἢ κάθου ὧδε ὑπὸ τὸ ὑποπόδιόν μου. Καὶ οὐ διεκρίθητε ἐν ἑαυτοῖς. Καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν.

A *beatis fidem Domini nostri Jesu Christi ex opinione. Nam si ingrediatur in cœtum vestrum vir aureum gestans annulum, veste indutus splendida, ingrediatur autem et pauper in sordida veste, et respexeritis ad illum qui vestem gestat spendidam, ac dixeritis illi : Tu sede hic bene, pauperi vero dixeritis : Tu sta illic, aut sede hic subter scabellum meum : et non dijudicastis apud vos ipsos : et facti estis judices cogitationum malarum.*

« Μὴ ἐν προσωποληψίαις. » Ὁ γὰρ ἐν προσωποληψίᾳ τι ποιῶν, πολλοῦ σπίλου, πολλῆς κηλῖδος ἑαυτὸν ἀναπίμπλησι, τὸ ὁμογενὲς ἀτιμάζων, καὶ πρὸ ἐκείνου ἑαυτόν, εἴ γε ἡ πρὸς τὸ ὅμοιον ἐπίδειξις, καὶ πρὸς ἑαυτὸν παραπέμπεται τὸ πραττόμενον. « Καὶ οὐ διεκρίθητε. » Ὁ, Καὶ, σύνδεσμος παρέλκει. Ἀντὶ τοῦ, Τὸ διακριτικὸν ὑμῶν διεφθείρατε, μηδεμίαν συζήτησιν ποιήσαντες πότερον τιμητέον, τὸν πένητα μὲν, σπουδαῖον δὲ, ἢ τὸν πλούσιον μὲν, ῥᾳθυμον δὲ, ἀλλ' οὕτως ἀδιακρίτως καὶ ἐν προσωποληψίᾳ τὸν μὲν ἐτιμήσατε διὰ τὸν πλοῦτον, τὸν δὲ ἠτιμήσατε διὰ τὴν πενίαν. « Καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν. » Τουτέστιν, ἄδικοι κριταὶ, τῇ πονηρίᾳ ἐκ προσωποληψίας προσθέμενοι. Ὁ, Καὶ, σύνδεσμος, παρέλκει ἐνταῦθα ὡς εἴρηται, συνήθως ἀρχαϊζούσῃ φράσει. Ἐπεὶ ἀποδόσεως οὔσης ἐνταῦθα τοῦ ἀνωτέρω εἰρημένου, περιττὸς ὁ σύνδεσμος. Ἔστι γὰρ οὕτως. Ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν συναγωγὴν ὑμῶν, ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι, καὶ ἔξῃς, οὐ διεκρίθητε ἐν ἑαυτοῖς, καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν· τουτέστι, Τὸ διακριτικὸν ὑμῶν διαφθείραντες, γεγόνατε ἐν ἐκλογῇ τῶν πονηρῶν διαλογισμῶν, τὸν μὲν τιμήσαντες, τὸν δὲ ἀτιμήσαντες, καίτοι τῆς φύσεως τῆς αὐτῆς ἐνυπαρχούσης ἀμφοτέροις.

B « Ne cum respectu personarum. » Nam qui cum respectu personarum aliquid facit, multa macula, multo probro seipsum replet, proximum dedecore afficiens, ac seipsum etiam ante illum : nam exhibitio erga consortem transmittit id quod fit etiam ad seipsum. « Et non dijudicastis. » Conjunctio, Et, abundat : hoc est, Dijudicandi vim quæ in vobis erat corrupistis, nullam inquisitionem facientes uter sit honorandus, pauperne probus sive industrius, an dives segnis : sed ita sine judicio et cum personarum respectu, hunc quidem propter divitias honorastis, illum vero propter paupertatem contemptui habuistis. « Et facti estis judices cogitationum malarum. » Hoc est, injusti judices, malitia affecti ex personarum respectu. Hoc loco abundat conjunctio xal, id est, et, sicut dictum est, ex usu veteris phrasis. Cum enim sit hic sermonis responsio ad id quod præcessit, superflua est conjunctio. Est enim ita ordinanda sententia : Nam si ingrediatur C in cœtum vestrum vir aureum gestans annulum, veste indutus splendida, ingrediatur autem et pauper in sordida veste, etc., non dijudicastis in vobisipsis et facti estis judices cogitationum malarum : **454** hoc est, Dijudicandi vim corrumpentes, elegistis malas cogitationes, illum quidem honorantes, hunc autem contemptui habentes : cum tamen eadem esset in utroque natura.

Ἀκούσατε, ἀδελφοί μου ἀγαπητοί. Οὐχ ὁ Θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμου τούτου, πλουσίους ἐν πίστει, καὶ κληρονόμους τῆς βασιλείας, ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν; Ὑμεῖς δὲ ἠτιμήσατε τὸν πτωχόν. Οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια; Οὐκ αὐτοὶ βλασφημοῦσι τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ' ὑμᾶς; Εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν κατὰ τὴν Γραφήν, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν, καλῶς ποιεῖτε. Εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου, ὡς παραβάται.

II, 5-9. *Audite, fratres mei dilecti : nonne Deus elegit pauperes sæculi hujus, divites in fide et hæredes regni quod promisit diligentibus se? Vos autem contemptui habuistis pauperem. Nonne divites tyrannidem exercent in vos, et iidem trahunt vos ad tribunalia? Nonne ipsi blasphemant bonum nomen quod invocatum est super vos? Si tamen legem quidem expletis regiam juxta Scripturam : Diliges proximum tuum sicut teipsum, bene facitis. Si vero personam respicitis, peccatum committitis, convicti per legem quod sitis transgressores.*

Ἐπειδὴ ἡ πενία δυσχερές ἐστι τοῖς πολλοῖς καὶ μόνον ἀκουσθῆναι· διὰ τοῦτο εἰπὼν, τοὺς Πτωχοὺς τοῦ κόσμου, εὐθέως ἐπήγαγε, Πλουσίους. Περὶ τί δὲ πλουσίους; Περὶ τὴν πίστιν καὶ ἐν τῇ πίστει. Καὶ γὰρ οὕτως ἔχει. Τὸ γὰρ περὶ τὸν κόσμον ἀπερίσπαστον τῶν πενήτων, ἐνεργοτέρους αὐτοὺς καὶ πρακτικωτέρους τῶν πλουτούντων, ἐπειδὰν προσέλθωσι τῇ πίστει, ποιεῖ. Διὸ καὶ ὁ Κύριος τοιούτους τοὺς μαθητὰς ἐπελέξατο, οὓς καὶ κληρονόμους τῆς βασι-

Quoniam paupertas vel auditu gravis est multis, ideo cum dixisset, Pauperes mundi, statim subjunxit, Divites. In quo autem divites? in fide et circa fidem. Etenim ita se res habet. Nam cum pauperes non distrahantur circa res mundi, ubi accesserint ad fidem, magis strenui redduntur ac operi magis insistentes quam divites. Ideo etiam Dominus tales elegit discipulos, quos etiam regni hæredes declaravit. « Blasphemant bonum nomen. »

Bonum nomen est nomen novum juxta prophetam dicentem : « His qui mihi serviunt vocabitur nomen novum quod benedicetur super omnem faciem terræ [19]. » — « Juxta Scripturam. » Deuteronomium dicit.

A λείας ἀνέδειξεν. « Βλασφημοῦσι τὸ καλὸν ὄνομα. » Τὸ καλὸν ὄνομα. Ὄνομα καινὸν, τὸ κατὰ τὸν προφήτην τὸν φάσκοντα, « Τοῖς δὲ δουλεύουσί μοι κληθήσεταί ὄνομα καινὸν, ὃ εὐλογηθήσεται ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. » — « Κατὰ τὴν Γραφήν. » Τὸ Δευτερονόμιον λέγει.

I, 10-13. *Quisquis enim totam legem servaverit, offenderit autem in uno, factus est omnium reus. Nam qui dixit : Ne mœcheris, dixit etiam, Ne occidas. Quod si non fueris mœchatus, occideris tamen, factus es transgressor legis. Ita loquamini et ita faciatis, veluti per legem libertatis judicandi. Siquidem judicium absque misericordia erit ei qui non præstitit misericordiam. Gloriatur autem misericordia adversus judicium.*

« Offenderit autem in uno. » Hoc circa dilectionem dixit, propter quam etiam omnem præcedentem B sermonem latius disseruit demonstrationis gratia. **455** Dixit autem, Ne mœcheris, ne occidas, exempli causa. Considera tamen quod exempla sint ex lege, quatenus conferebat ad dilectionem. Nam qui perfecte diligit proximum, hic neque mœchabitur neque occidet. Hæc enim ejus sunt qui animo inimico affectus est erga proximum. Quandoquidem nisi ita diceretur, nullus hominum salvus fieret, cum nemo per omnia servet præceptorum integritatem. Qui enim castitatem verbi causa servavit, ira interdum superatus est : et qui eleemosyna ornatus est, invidia fortassis offuscatus est. Itaque non de quovis dictum est qui in virtutibus nullum habeat defectum, sed de dilectione, quod non oporC teat hanc cum defectu ex personarum respectu perficere, sed integre. Hoc autem de aliis quoque virtutibus dicimus. Nam qui non perfecte modestis aut justis rebus verbi gratia adhæsit, sed cum defectu usus fuerit, hic claudicando in tractandis virtutibus, universo virtutis corpore vitiatus est. Intelligenda est igitur lex quæ de dilectione agit, de qua præcipuus est ipsi scopus. Legem vero libertatis dicit quæ caret respectu personarum : quæ est lex Christi. Qui enim personam respicit, non liber est, sed servus ; Nam : « A quo quis superatus est ejus et servus est [20]. » — « Judicium absque misericordia erit ei. » Si proximis remiserimus peccata quibus in nos deliquerunt, et egenos qui inter nos sunt, eleemosynarum nostrarum participes fecerimus : in discussione eorum quæ in vita peracta sunt, Dei quoque misericordia nos excipiet. Siquidem id præclarum est facinus, quemadmodum e diverso gravis condemnatio illis erit qui non fuerunt bene ac pie affecti erga suæ sortis homines. Nam eos qui permanent nullo condolentiæ affectu moti erga proximos qui in se deliquerunt, mali servi condemnatio complectetur, una cum retributione quæ in oratione Dominica designatur. Ibi enim petimus a Deo ut nobis remittat sicut et nos remittimus eis qui in nos deliquerunt. Et eos qui duri sunt, nulloque misericordiæ affectu

Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσῃ, πταίσῃ δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος. Ὁ γὰρ εἰπών, Μὴ μοιχεύσῃς, εἶπε καί, Μὴ φονεύσῃς. Εἰ δὲ οὐ μοιχεύσῃς, φονεύσῃς δὲ, γέγονας παραβάτης νόμου. Οὕτως λαλεῖτε, καὶ οὕτως ποιεῖτε, ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι. Ἡ γὰρ κρίσις ἀνέλεος τῷ μὴ ποιήσαντι ἔλεος. Κατακαυχᾶται δὲ ἔλεον κρίσεως.

« Πταίσῃ δὲ ἐν ἑνί. » Τοῦτο περὶ ἀγάπης εἴρηκε, δι' ἣν καὶ πάντα τὸν πρὸ τούτου κατέτεινε λόγον εἰς κατασκευήν. Τὸ δὲ, Οὐ μοιχεύσεις, οὐ φονεύσεις, ὑποδείγματος εἵρηκε χάριν. Σκόπει δὲ ὅτι καὶ τὰ ὑποδείγματα ἐκ τοῦ εἰς ἀγάπην συντελοῦντός εἰσι νόμου. Ὁ γὰρ τέλεον ἀγαπῶν τὸν πλησίον, οὗτος οὐδὲ μοιχεύσει, οὐδὲ φονεύσει. Ἐχθροῦ γὰρ ταῦτα οὕτω διατιθέντος τὸν πλησίον. Ἐπεὶ εἰ μὴ τοῦτο, οὐδεὶς ἂν ἀνθρώπων σωθείη, οὐδενὸς ἔχοντος τὸ διὰ πασῶν τῶν ἐντολῶν ἀνελλιπές. Ὁ γὰρ ἁγνείαν, φέρε, κατωρθωκὼς, θυμοῦ ἔσθ' ὅτε ἡττᾶται. Καὶ ὁ ἐλεημοσύνῃ περιανθιζόμενος, βασκανίᾳ, εἰ τύχοι, ἡμαύρωται. Ὥστε οὐ περὶ παντὸς εἴρηται, τοῦ κατὰ τὰς ἀρετὰς ἀνελλιποῦς, ἀλλὰ περὶ ἀγάπης, ὡς οὐ χρὴ προσωποληπτοῦντας ἀνελλιπῶς ταύτην ἀνύειν, ἀλλ' ὁλοτελῶς. Τοῦτο δὲ καὶ περὶ τῶν ἄλλων ἀρετῶν φαμεν. Ὃς γὰρ μὴ διὰ τέλους τῶν σωφρονικῶν, φέρε, ἢ τῶν δικαίων ἀντίσχηται, ἀλλ' ἐλλιπέστερον χρήσηται, οὗτος χωλεύων περὶ τὴν μεταχείρισιν, τῷ παντὶ τῆς ἀρετῆς ἐλυμήνατο σώματι. Ὅλον οὖν τὸν νόμον τὸν περὶ τῆς ἀγάπης ἀκουστέον, περὶ οὗ προηγουμένως αὐτῷ ὁ σκοπός. Νόμον δὲ ἐλευθερίας, τὸν ἀπροσωπόληπτόν φησιν, ὅς ἐστιν ὁ τοῦ Χριστοῦ. Ὁ γὰρ προσωπολήπτης, οὐκ ἐλεύθερος, ἀλλὰ δοῦλος. « ὯΙ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. » — « Ἡ γὰρ κρίσις ἀνέλεος τῷ μὴ ποιήσαντι ἔλεος. » Τῶν εἰς ἑαυτοὺς ἁμαρτημάτων ἀφιέντας ἡμᾶς τοῖς πλησίον, καὶ τοῖς τῶν ὑπαρχόντων ἡμῖν μεταδόσεως κοινωνοῦντας τοῖς ἐνδεέσιν, ὁ ἀπὸ τοῦ Θεοῦ εἰς ἡμᾶς ἔλεος ἐν τῇ τῶν βεβαιωμένων ἀναλήψεται διαγνώσει. Μέγα γὰρ τὸ κατόρθωμα, ὥσπερ ἀπεναντίας βαρὺ τὸ κατάκριμα τοῖς μὴ πρὸς τὸ ὁμόφυλον εὐσυνειδότως διατεθεῖσιν. Ἐπί τε γὰρ τῶν εἰς ἑαυτοὺς ὑπὸ τῶν πλησίον πλημμεληθέντων ἀσυμπαθῶς διαγενομένων, τὸ τοῦ πονηροῦ δούλου κατάκριμα περιστοιχίσει, μετὰ καὶ τοῦ ἐν τῇ εὐχῇ ἀνταποδόματος. Καὶ γὰρ ἀφιέναι ἡμῖν ἐκεῖ ἡ αἴτησις πρὸς Θεὸν, καθὼς καὶ ἡμεῖς τοῖς εἰς ἡμᾶς πλημμελήσασιν ἀφίεμεν. Καὶ τοῖς ἀνηλεῶς ἤτοι ἀκοινωνήτως καὶ σκληρῶς πρὸς τοὺς χρῄζοντας σωματικῆς παραμυθίας διακειμένοις, ἀνίλεως καὶ ἡ κρίσις ἀπαντήσει κατὰ τὸν παρόντα λόγον. « Κατακαυχᾶται δὲ ἔλεον κρίσεως. » Οἱ γὰρ ἐλεήμονες ἐλεηθήσονται, κατὰ τὴν τοῦ Κυ-

[19] Isa. LXII, 2. [20] II Petr. II, 19.

ρίου ἀπόφανσιν. Ἄλλως τε καὶ εἰ εἰδωλολάτραις ὁ ἐν πένησιν οἰκτιρμὸς ἐξαλείφειν δύναται ἁμαρτίας (ὡς ἐν τῷ Δανιὴλ ἠκούσαμεν), τί οὐκ ἂν ἐργάσαιτο ἐπὶ πιστῶν ἀνθρώπων; Τοιοῦτο δέ τί μοι δοκεῖ οὗτος ὁ ἔλεος διαπράττεσθαι, ὅπερ ἐπὶ τῶν ἀθλητῶν τοῦτο δὴ τὸ ἀπὸ τῶν δένδρων ἐπαλειφόμενον ἔλαιον. Διολισθαίνειν γὰρ αὐτοὺς δίδωσι τὰς τῶν ἀντιπάλων λαβάς. Οὕτω καὶ ἐν τῇ παγκοσμίῳ κρίσει, τὰς παρὰ τῶν κατηγόρων ἡμῶν δαιμόνων ἐπιφορὰς διαδιδράσκειν παρέξεται ὁ εἰς τοὺς πλησίον ἡμῶν ἔλεος. — Ἄλλως. « Ἡ γὰρ κρίσις ἀνέλεος. » Ἡ αἰτιολογία πρὸς τοὺς ἐξ ἀπηνείας ἄγαν τὸ ὑπερόπτικὸν εἰς τοὺς εὐτελεστέρους ἐν προσωποληψίᾳ ἐπιδεικνυμένους. Μαλάσσει οὖν αὐτῶν τὸ ἀπηνὲς καὶ σκληρὸν τῇ ἀποφάνσει ταύτῃ φοβῶν, τοιοῦτόν τι λέγων· Ὁ νόμος ἀγαπᾷν τὸν πλησίον παρεγγυᾷ ὡς ἑαυτόν. Ὥσπερ οὖν πρὸς ἑαυτὸν οὐ προσωποληπτεῖ τις (μανία γὰρ τοῦτο), οὕτω μηδὲ σὺ προσωπολήπτει. Εἰ δὲ ἐξ ἀπονοίας καὶ σκληρότητος ἐπὶ προσωποληψίαν χωρεῖς, φοβοῦ μήπως καὶ αὐτὸς τῶν ὁμοίων τεύξῃ παρὰ τοῦ δικαίου κριτοῦ, καὶ ἀποκλείσῃς σεαυτῷ τὸν ἀπ' ἐκείνου ἔλεον. Ἡ γὰρ κρίσις ἀνέλεος. « Καταχαυχᾶται δέ, » ἀντὶ τοῦ, νικᾷ, καταγωνίζεται, ἀπαμβλύνει.

A moventur erga illos qui corporali egent consolatione, judicium quoque excipiet sine misericordia juxta præsentem sermonem. « Gloriatur autem misericordia adversus judicium. » Siquidem misericordes misericordiam consequentur juxta Domini sententiam [456]. Præterea quoque si in idololatris misericordia erga pauperes potest delere peccata, quemadmodum in Daniele didicimus [22], quid non efficeret in fidelibus hominibus? Tale autem quiddam videtur mihi hæc misericordia efficere, quale hoc oleum ab arboribus manans, in athletis illitum. Dat enim istud elabi, ne ab adversariis teneantur : et ita etiam in universali judicio misericordia nostra erga egenos dabit effugere impetus ac pericula quæ a dæmonibus accusatoribus nostris imminebunt. — *Alio modo.* « Judicium absque misericordia. » Causæ redditio est adversus eos qui fastum et arrogantiam magna sævitia demonstrarunt erga abjectiores cum respectu personarum. Lenit itaque eorum crudelitatem ac duritiam, hac sententia terrens, ac si diceret : Lex jubet proximum diligere sicut seipsum : quemadmodum igitur nemo erga seipsum personam respicit (nam id insanum esset), ita neque tu personam respicias. Quod si ex arrogantia et duritia ad personæ respectum deflectis, time ne quo modo ipse quoque similia a justo judice consequaris, ac excludas a teipso illius misericordiam : Siquidem judicium absque misericordia, etc. «Gloriatur autem misericordia adversus judicium. » Hoc est, vincit, expugnat, obtundit vel hebetat.

B

ΚΕΦΑΛ. Δ'.

Ὅτι οὐκ ἐκ πίστεως μόνον, ἀλλὰ καὶ ἐξ ἔργων, καὶ οὐκ ἐκ θατέρου ἰδικῶς, ἀλλ' ἐξ ἀμφοῖν ἅμα δικαιοῦται ἄνθρωπος.

Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; Μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν; Ἐὰν δὲ ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσι, καὶ λειπόμενοι ὦσι τῆς ἐφημέρου τροφῆς, εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν, Ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτάζεσθε· μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί τὸ ὄφελος; Οὕτω καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ' ἑαυτήν. Ἀλλ' ἐρεῖ τις· Σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω. Δεῖξόν μοι τὴν πίστιν σου, κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. Σὺ πιστεύεις ὅτι ὁ Θεὸς εἷς ἐστι; Καλῶς ποιεῖς. Καὶ τὰ δαιμόνια πιστεύουσι καὶ φρίσσουσι.

C

Σκόπει πνευματικὴν σύνεσιν. Οὐ γὰρ εἶπε μόνον, Ἐὰν πίστιν ἔχῃς, ἀλλά, Τί τὸ ὄφελος; Ὥσπερεὶ ἔλεγε· Δεῖξόν μοι τὸ πρᾶγμα, ἀφ' οὗ σοι τὴν προσηγορίαν ταύτην λογίσομαι. Τοῦτο γὰρ τὸ τῆς πίστεως ὄφελος. « Οὕτω καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ' ἑαυτήν. » Οὐκ ἀντιφάσκει ταῦτα τῷ μακαρίῳ Παύλῳ, κατὰ δύο σημαινομένων τοῦ τῆς πίστεως ὀνόματος φερομένου. Ἐπί τε γὰρ τῆς ἁπλῆς τοῦ φαινομένου συγκαταθέσεως, πίστιν εἰώθαμεν λέγειν. Καθὸ καὶ τοὺς δαίμονας ἔγνωμεν πιστεύειν ὅτι Θεοῦ Υἱός. Καὶ πάλιν τὴν ἐκ διαθέσεως ἐπακολούθησιν μετὰ βεβαίας συγκαταθέσεως τῷ τῆς πίστεως προσρήματι καλούντων ἡμῶν, Ἰάκωβος μὲν τὴν ἁπλῆν

D

CAPUT IV.

Quod non ex sola fide, sed etiam ex operibus, et non ex altero seorsim, sed simul ex utrisque justificatur homo.

II, 14-19. *Quæ utilitas, fratres mei, si fidem dicat aliquis habere se, opera vero non habeat? Num potest fides salvum facere illum? Quod si frater aut soror nudi fuerint, et egentes sint quotidiano victu, dicat autem aliquis vestrum illis : Abite cum pace, calescite et saturemini, nec tamen dederitis eis quæ necessaria sunt corpori, quæ erit utilitas?* [457] *Sic et fides si opera non habuerit, mortua est per se. Sed dicet aliquis : Tu fidem habes, et ego opera habeo : ostende mihi fidem tuam, et ego ostendam tibi ex factis meis fidem meam. Tu credis quod Deus unus est? Recte facis : et dæmonia credunt ac contremiscunt.*

Animadverte spiritualem intellectum. Neque enim solum dixit : Si fidem habeas, sed etiam : Quæ utilitas? Ac si diceret : Ostende mihi opus a quo existimare possim hanc appellationem tibi convenire : id enim fidei utilitas est. « Sic et fides, si opera non habuerit, mortua est per se. » Non adversantur hæc beato Paulo, cum nomen fidei ad duo significata feratur [23]. Nam et de simplici assensu fidem dicere solemus, juxta illud quod etiam dæmones credidisse novimus quod Dei Filius esset Christus [24]. Rursumque cum consecutionem ex affectu procedentem cum firmo assensu nomine fidei vocemus; Jacobus quidem simplicem assensum dicit fidem

[22] Matth. v, 7. [23] Dan. IV 24. [23] Rom. IV, 1 seqq. [24] Matth IV, 3 seqq; Luc. IV, 1 seqq.

mortuam et vivificantium operum expertem ; Paulus vero dicit eam quæ est ex affectu quæ facti nullo modo destituitur : neque enim hæc absque honestis factis innasci posset. Siquidem hanc Abraham nequaquam consecutus est, nisi prius certamine præmisso, quo paterna cognatione expelleretur, cui certamini fides in præmium declarabatur : sed hanc operibus præposuit Paulus, nempe sabbatorum observationibus juxta legem, circumcisione, cæterisque purificationibus. Siquidem duo quoque significata conspiciuntur in operibus. Nam et opera quædam fidem confirmare dicuntur, quorum expers si sit fides, mortua est. Rursumque opera dicuntur quæ legis sunt, sine quibus et Abraham et omnes qui sequuntur Christum justificantur. Quis enim negabit verum esse quod fides nequaquam ad impurum accederet ? dico autem veram fidem. Neque enim unguentum in capsula reconderetur quæ luto plena esset ; neque in homine impuro fides immitteretur a Deo. Non ergo dissoni sunt sancti apostoli, sed in diverso significato versantes, quisque ad sui significati usum quod sibi propositum est dirigit ac perducit.

A φησι συγκατάθησιν, νεκρὰν εἶναι πίστιν, καὶ ἀμοιροῦσαν τῶν ἀναζωπυρούντων ἔργων. Παῦλος δὲ τὴν ἐκδιαθέσεως λέγει, ἥτις οὐκ ἐστέρηται ἔργων μάλιστα. Οὐκ ἂν γὰρ αὕτη διακένῳ σεμνῶν ἔργων ἐγγένοιτο. Οὐδὲ γὰρ οὐδὲ Ἀβραὰμ ἔτυχε ταύτης μὴ πρότερον διηγωνισμένος τὴν πατρικὴν ἀπώσασθαι ἀθεΐαν. Ὅτινι ἀγωνίσματι ἡ πίστις ἐπαθλον ἐβραβεύετο. Ἀλλ' ἔργων ταύτην προέκρινεν ὁ Παῦλος, τῶν κατὰ νόμον σαββατισμῶν, καὶ περιτομῆς, καὶ τῶν λοιπῶν ἁγιασμῶν. Δύο γὰρ καὶ ἐπὶ τῶν ἔργων ὁρᾶται τὰ σημαινόμενα. Ἔργα γὰρ καὶ τὰ πίστιν βεβαιοῦντα λέγεται, ὧν ἀμοιροῦσα ἡ πίστις νεκρά. Ἔργα πάλιν καὶ τὰ τοῦ νόμου. Ὧν καὶ χωρὶς Ἀβραὰμ καὶ πάντες οἱ κατὰ Χριστὸν δικαιοῦνται. Ἐπεὶ ὅτι πίστις οὐκ ἂν ἀκαθάρτῳ προσγένοιτο B (λέγω δὲ τὴν ὄντι πίστιν), τίς ἀντερεῖ ; Οὔτε γὰρ βορβόρου πλήρει ἀγγείῳ μύρον ταμιευθείη, οὔτε ἀκαθάρτῳ ἀνθρώπῳ πίστις ἐγγένοιτο Θεοῦ. Οὐκ ἄρα διάφωνοι οἱ θεῖοι ἀπόστολοι, ἀλλὰ περὶ τὸ διάφορον τοῦ σημαινομένου στρεφόμενοι, πρὸς τὴν χρείαν ἕκαστος τοῦ σημαινομένου, τὸ προτεθὲν αὐτῷ διεξάγει καὶ ἐκπεραίνεται.

II, 20-26. *Vis autem cognoscere, o homo inanis,* **458** *quod fides absque operibus mortua sit ? Abraham pater noster nonne ex operibus justificatus est, cum obtulisset Isaac filium suum super altare ? Vides quod fides adjumento fuerit operibus illius, et ex operibus fides perfecta fuerit ? Et completa est Scriptura quæ dicit : Credidit Abraham Deo, et imputatum* C *est illi ad justitiam, et amicus Dei vocatus est. Videtis igitur quod ex operibus justificetur homo, et non ex fide tantum. Similiter autem et Rahab meretrix annon ex operibus justificata est, cum excepisset nuntios et alia via emisisset ? Nam quemadmodum corpus absque spiritu mortuum est, ita et fides absque operibus mortua est.*

Θέλεις δὲ γνῶναι, ὦ ἄνθρωπε κενέ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν ; Ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον ; Βλέπεις ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη ; Καὶ C *ἐπληρώθη ἡ Γραφὴ ἡ λέγουσα · Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος Θεοῦ ἐκλήθη. Ὁρᾶτε τοίνυν ὅτι ἐξ ἔργων δικαιοῦται ὁ ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον ; Ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη ὑποδεξαμένη τοὺς ἀγγέλους, καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα ; Ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι.*

Inanem appellavit hominem qui de nuda fide gloriatur, cum nihil subsistentiæ ad completionem per opera nactus sit. « Abraham pater noster. » Eumdem Abraham tam Paulus [88] quam hic Jacobus ad exemplum sermonis de fide assumit : ille quidem ut ostendat fidem operibus eminentiorem esse : hic vero rursum opera esse fide præstantiora per D eumdem Abraham. Et superius quidem dictum est quod circa duplex fidei significatum versantes, quisque id affert quod ad sui propositi demonstrationem conducit. Quidam tamen Patrum hoc etiam modo de hac re intellexerunt. Aiunt enim eumdem Abraham variis distinctum temporibus utriusque fidei gessisse imaginem, et ejus quæ ante baptisma est nec requirit opera, sed solam fidem et salutis confessionem ac verbum quo justificamur credentes in Christum, et ejus quæ sequitur baptisma et conjuncta est operibus : et ita non apparet diversus qui in apostolis locutus est spiritus : sed quod hæc

Κενὸν ἐκάλεσεν ἄνθρωπον τὸν ψιλῇ τῇ πίστει αὐχοῦντα, μηδὲν τῆς διὰ τῶν ἔργων ὑποστάσεως κεκτημένον εἰς πλήρωσιν. « Ἀβραὰμ ὁ πατὴρ ἡμῶν. » Τὸν αὐτὸν Ἀβραὰμ ἀμφότεροι, ὅτε Παῦλος καὶ ὁ Ἰάκωβος οὗτος εἰς ὑπόδειγμα τοῦ τῆς πίστεως λόγου λαμβάνουσιν · ὁ μὲν τὴν πίστιν τῶν ἔργων κρείττω δεικνὺς δι' ὑποδείγματος τοῦ κατὰ τὸν Ἀβραάμ· ὁ δὲ πάλιν τὰ ἔργα τῆς πίστεως διὰ τοῦ αὐτοῦ Ἀβραάμ. Καὶ εἴρηται μὲν ἄνω, ὡς περὶ τὸ διττὸν τοῦ σημαινομένου ἑκάτερος στρέφεται, τὸ συντελοῦν αὐτῷ πρὸς τὴν ἀπόδειξιν ἐπαγόμενος. Τινὲς μέντοι τῶν Πατέρων καὶ οὕτω περὶ τούτου ἔγνωσαν. Φασὶ γὰρ τὸν αὐτὸν Ἀβραὰμ τοῖς χρόνοις διαστελλόμενον, ἑκατέρας πίστεως εἶναι εἰκόνα, καὶ τῆς πρὸ τοῦ βαπτίσματος τῆς μὴ ἐπιζητούσης ἔργα, εἰ μὴ τὴν πίστιν μόνην καὶ τὴν ὁμολογίαν τῆς σωτηρίας καὶ τὸ ῥῆμα ᾧ δικαιούμεθα πιστεύοντες εἰς Χριστὸν, καὶ τῆς μετὰ τὸ βάπτισμα, τῆς συνεζευγμένης τοῖς ἔργοις. Οὕτως οὐκ ἐναντίον φαίνεται τὸ ἐν τοῖς

[88] Rom. IV, 12 seqq.

ἀποστόλοις λαλῆσαν πνεῦμα. Ἀλλὰ τῆς μὲν δι' ὁμολογίας μόνης δικαιούσης τὸν προσιόντα, εἰ παραχρῆμα ἀπέλθοι τοῦ βίου· (τούτῳ γὰρ οὐ πάρεισιν ἔργα, ἀλλ' ἐφόδιον αὐτῷ ἱκανὸν ἡ διὰ τοῦ βαπτίσματος κάθαρσις)· τῆς δὲ τὸν ἤδη βεβαπτισμένον ἀπαιτούσης καὶ ἀγαθῶν ἔργων ἐπίδειξιν. Τούτῳ καὶ ὁ Παῦλος συμφωνεῖ ἑτέρωθι λέγων οὕτως καὶ διδάσκων τὴν μετὰ τὸ βάπτισμα πίστιν, τὴν διὰ τῶν ἔργων τελείωσιν ἀπαιτεῖν, ἐν οἷς φησιν, « Οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη. » Ἡ δὲ ἀγάπη, πολλῆς φιλοσοφίας δεῖται εἰς τὸ πληρωθῆναι. A quidem fides sola confessione justificet accedentem, si statim a mala vita discedat (huic enim non adsunt opera, sed sufficiens ipsi remedium est purificatio per baptismum), illa vero ab eo qui jam baptizatus est requirit etiam bonorum operum exhibitionem. Cum hoc sensu Paulus quoque consentit alio in loco, ita dicens, ac docens fidem post baptisma perfectionem requirere per opera, cum ait : « Neque circumcisio quidquam valet neque præputium, **459** sed fides quæ per dilectionem operatur [26]. » Porro dilectio longo eget exercitio ut compleatur.

Ἄλλως. Τῆς μὲν ἐκ μόνης πίστεως δικαιώσεως εἰκὼν ἦν Ἀβραάμ, ὅτε πιστεύσας ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, τῆς δὲ ἐξ ἔργων, ὅτε τὸν υἱὸν ἀνενέγκας ἐπὶ τὸ θυσιαστήριον. Καὶ γὰρ οὐ μόνον τὸ ἔργον ἐποίει, ἀλλὰ καὶ τῆς πίστεως οὐκ ἀπέστη, ὅτι ἐν Ἰσαὰκ μέλλει τὸ σπέρμα αὐτοῦ πληθύνειν ὡς τὰ ἄστρα, λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δυνατὸς ὁ Θεός. Ὅμως καὶ τὸν Δαυὶδ ὁ Παῦλος προκομίζει μάρτυρα, σοφῶς διασκευάζων τὰ ἑαυτοῦ. Ἤδει γὰρ τῷ θείῳ Πνεύματι τὴν μέλλουσαν ἐν Χριστῷ παρέσεσθαι κατὰ καιροὺς πίστιν. Διό φησι· « Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν. » — « Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι. » Τὴν μετὰ τὸ βάπτισμα πίστιν λέγει. Οὐδὲν γὰρ πίστις ὠφελεῖ χηρεύουσα ἔργων, εἰ μὴ καὶ μείζονος ἡμᾶς ἁμαρτήματος ὑποδίκους καθίστησι, τὸ τάλαντον μὲν λαβόντας, μὴ ἐπιφερομένους δὲ τὴν ἐργασίαν. Ὅθεν καὶ ὁ Κύριος ὑπογραμμὸν διδοὺς, ὡς μετὰ τὸ βάπτισμα καὶ ἔργων ἡμῖν δεῖ, βαπτισθεὶς ὑπὸ Ἰωάννου, τὴν ἔρημον ἔφθασε, καὶ τοὺς κατὰ τοῦ διαβόλου ἀνεδέχετο ἀγῶνας. Καὶ Παῦλος δὲ τοῖς ἤδη τῶν μυστηρίων ἀξιωθεῖσι παραινεῖ, λέγων, « Σπουδάσωμεν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, » ὡς οὐκ ἀρκούσης τῆς πίστεως, ἀλλ' ὀφειλούσης προστεθῆναι καὶ τῆς καθαριότητος τοῦ βίου, καὶ πολλὴν περὶ τούτου γενέσθαι σπουδήν. *Alio modo.* Abraham imago quidem fuit justificationis quæ ex sola fide fit, quando imputatum fuit ipsi ad justitiam quod crediderit [27] : ejus vero quæ est ex operibus, quando filium obtulit super altare [28]. Siquidem non solum peragebat opus, sed etiam in fide permansit quod per Isaac multiplicandum esset semen suum sicut astra, existimans quod etiam ex mortuis posset Deus suscitare [29]. Tamen Paulus producit etiam David in testem [30], sapienter sua confirmans. Noverat enim ille per Spiritum eam fidem quæ futuris temporibus ventura erat per Christum : ideo ait : « Beatus vir cui non imputabit Dominus peccatum [31]. » — « Fides absque operibus mortua est. » Fidem dicit quæ est post baptisma. Nihil enim prodest fides destituta operibus, nisi quod nos majori adhuc peccato reddit obnoxios, qui talentum quidem accepimus, lucrum tamen non retulimus. Unde et Dominus velut adumbrando nobis tradit quod post baptisma necessaria nobis sint opera, cum a Joanne baptizatus ad desertum pervenit, et certamina adversus diabolum suscepit [32]. Paulus quoque eos qui mysteria jam acceperant adhortatur, dicens : « Studeamus ingredi in illam requiem [33] : » quasi non sufficiat fides, sed addi quoque debeat vitæ puritas, et circa hoc magnum adhiberi studium.

Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι μεῖζον κρῖμα ληψόμεθα. Πολλὰ γὰρ πταίομεν ἅπαντες.

III, 1, 2. *Nolite plures magistri fieri, fratres mei, scientes quod majus judicium sumpturi simus : in multis enim labimur omnes.*

Εἰπὼν ἀνωτέρω καὶ διδάξας τὴν πίστιν μὴ διάκενον ἔργων σπουδαίων κεκτῆσθαι τοὺς πιστοὺς, μετέβη καὶ ἐφ' ἕτερον ἀδελφὸν τούτου παράγγελμα. (Καὶ γάρ τινες διδάσκειν ἐπιχειροῦσιν ἃ μὴ κατώρθωσαν αὐτοί). Καί φησιν ὅτι μεῖζον τὸ κρῖμα τῶν τοιούτων μετὰ τοῦ μηδὲν κερδαίνειν. Ὁ γὰρ τὰ μὴ προσόντα διδάσκων ὡς ὄντα αὐτῷ, κατάκριτός ἐστιν ὡς διὰ τῆς αὐτοῦ γλώσσης ὀλισθαίνων. Καὶ βεβαιῶν τοῦτο ἐκ περιουσίας φησίν. Εἰ γὰρ καὶ ἄλλως ἡ γλῶσσα πέφυκεν ὀλισθαίνειν ἐξ ἀπροσεξίας ὧν καὶ τὸ κρῖμα οὐκ ἀποδιδράσκει ὁ ταύτην κεκτημένος, ὡς Σολομῶν φησι, λέγων, « Δι' ἁμαρτίαν χειλέων ἐμπίπτει εἰς παγίδα ἁμαρτωλός· » ἦπου ἀνὸ ἐκ προνοίας ἁμαρτάνων, διδάσκων τῇ γλώσσῃ ἃ μὴ Cum in superioribus dixisset ac docuisset fideles ut fidem possiderent non vacuam bonis operibus, ad aliud transiit præceptum huic germanum. Etenim quidam docere conantur quæ nec ipsi præstant : et ait quod majus erit eorum judicium, quandoquidem nihil lucri attulerunt. Nam qui ea docet quæ non prosunt tanquam illa habens, condemnatus est veluti sua lingua lapsus. Hoc autem abundantius confirmans dicit. Quanquam enim alio quoque modo ex negligentia prona est lingua ad labendum, in ea quorum judicium non effugiet qui hanc nactus est, quemadmodum habet Solomon, dicens : **460** « Propter peccatum labiorum incidit in laqueum peccator [34]; » multo tamen magis qui

[26] Galat. v, 6. [27] Gen. xv, 6. [28] Gen. xxii, 10 seqq. [29] Hebr. xi 17-19. [30] Rom. iv, 6 seqq. [31] Psal. xxxi, 2. [32] Matth. iv, 1 seqq. [33] Hebr. iv, 4. [34] Prov. xii, 13.

sciens ac advertens peccat, lingua docendo quæ experientia non didicit, nequaquam effugere poterit pœnam inevitabilem.

CAPUT V.

Quod præceps et incomposita lingua enecat eum qui ipsam nactus est : quam vincere necesse est ad laudem et gloriam Dei : in quo etiam tractat de bona conversatione et sine rixa unius adversus alium, ex gloriæ cupiditate, propter sapientiam humanam; et de divina sapientia : et quod ex socordia et voluptatum amore oriantur lites ac seditiones et inimicitia adversus Deum ; et de resipiscentia ad salutem, ac de non judicando proximum.

III, 2-4, *Si quis in sermone non labitur, hic perfectus est vir, qui possit freno moderari totum etiam corpus. Ecce autem in ora equorum frena immittimus ut pareant nobis, et totum corpus circum agimus. Ecce naves quoque cum tantæ sint et a ventis sævis agantur, a minimo gubernaculo circumaguntur quocumque impetus dirigentis voluerit.*

Quod inevitabiliter nullus hominum vitam absque peccato transigat, ex linguæ lubricitate confirmat. Ex eadem vero etiam demonstrat nulli perfectionem contingere. **461** Quis enim est qui non erraverit per linguam suam ? Quod si quis suæ linguæ lubricitatem superavit, annon hic idoneus est qui totum corpus circumagat? Nam is qui devicit illud quod facillimum est ad lapsum, nequaquam superari poterit ab eo quod longe tardius est. « Ecce autem in ora equorum. » Hoc modo est litteræ ordinatio : In ora equorum immittimus frena : nisi enim ita componatur, inintelligibilis est sermo (videlicet si Græca verba sumas eo ordine quo sita sunt). Hæc autem confirmat id quod de lingua dictum est, et majus etiam quiddam aggreditur : nempe quod is qui redigit in suam potestatem id quod facile est ut componatur, etiam superabit id quod difficulter tractari potest. Per hoc autem solvit objectionem. Verisimile enim erat quod quispiam hoc subjungeret : Quis labor est adeo parvum gubernare membrum? aut quod futurum est a minimo membro nocumentum? Et hæc ostendit a freno et gubernaculo et a scintilla quæ minuta quidem sunt, sed magna efficiunt. — *Alio modo.* Præterea quoque ostendunt hæc non oportere linguam temere movere, sed ad meliora transferre : quemadmodum equi ferocitatem freno, et navis impetum gubernaculo. Ita igitur et linguam ad id quod expedit recto sermone transferre debemus. Nam hoc significat quod ait : Ita et lingua, quod hoc modo debet lingua recto sermone circumagi, et non hoc facere quod facit : cum enim pusilla sit, magna facit, et magnum hustum nobis accendit, quandoquidem et ipsa ignis est. Et quænam sunt quæ illa facit ? Ornat iniquitatem per callidam rhetorum eloquentiam, contaminat corpus, persuadens mulieribus ut sui accessum patiantur : cædes

A τῇ πείρᾳ μεμάθηκεν, ἀποφύγοι τὴν ἀδιάδραστον δίκην.

ΚΕΦΑΛ. Ε'.

Ὅτι ἡ προπετὴς καὶ ἄτακτος γλῶττα θανατοῖ τὸν κεκτημένον, ἧς κρατεῖν ἀνάγκη εἰς εὐφημίαν καὶ δόξαν τοῦ Θεοῦ. Ἐν ᾧ περὶ ἀνιστροφῆς ἀγαθῆς καὶ ἀμάχου πρὸς ἀλλήλους ἐκ φιλοδοξίας τῆς ἐπὶ σοφίᾳ ἀνθρωπίνῃ, καὶ περὶ θείας σοφίας. καὶ ὅτι ἐκ ῥᾳθυμίας καὶ φιληδονίας, ἔρις καὶ ἀκαταστασία καὶ ἡ πρὸς Θεὸν ἔχθρα γίνεται, καὶ περὶ μετανοίας εἰς σωτηρίαν, καὶ περὶ τοῦ μὴ κρίνειν τὸν πλησίον.

Εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνὴρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα. Εἰ B *δὲ τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα ἐμβάλλομεν πρὸς τὸ πείθεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα μετάγομεν. Ἰδοὺ καὶ τὰ πλοῖα τηλικαῦτα ὄντα καὶ ὑπὸ σκληρῶν ἀνέμων ἐλαυνόμενα μετάγεται ὑπὸ ἐλαχίστου πηδαλίου ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούληται.*

Τὸ ἀδιάφευκτον τοῦ μή τινα ἐκτὸς ἁμαρτίας διαβιώσκειν ἀνθρώπων, ἀπὸ τοῦ τῆς γλώσσης εὐολίσθου πιστοῦται. Ἐκ τούτου δὲ καὶ τὸ μηδενὶ προσεῖναι τὸ τέλειον περίστησι. Τίς γὰρ ὃς οὐχ ἥμαρτεν ἐν τῇ γλώσσῃ αὐτοῦ ; Εἰ δὲ τοῦ εὐολίσθου περιεγένετο τῆς γλώσσης ἑαυτοῦ τις, πῶς οὐχὶ καὶ ὅλον οὗτος ἱκανὸς τὸ σῶμα περιάγειν καλῶς ; Ὁ γὰρ τοῦ C πρὸς τὸ πταίειν εὐκόλου κρατήσας σχολῇ γε ἂν εἰ τοῦ νωθεστέρου μὴ κυριεύοι. « Εἰ δὲ τῶν ἵππων τοὺς χαλινούς. » Ἡ σύνταξις οὕτως· Εἰς τὰ στόματα τῶν ἵππων ἐμβάλλομεν τοὺς χαλινούς. Εἰ γὰρ μὴ οὕτω συνταγείη, ἀδιανόητος ὁ λόγος. Κατασκευαστικὰ δὲ ταῦτα τοῦ περὶ τῆς γλώσσης εἰρημένου, καὶ ἐκ τοῦ μᾶλλον ἐπιχειροῦντος, ὅτι ὁ τοῦ πρὸς μεταγωγὴν εὐκόλου κυριεύων, καὶ τοῦ δυσμεταχειρίστου οὗτος κατακρατήσει. Ἀντιπίπτον δὲ ἐν ταὐτῷ λύει. Εἰκὸς γάρ τινα ἐπαγαγεῖν, ὅτι, Καὶ τίς κόπος μικρὸν οὕτω κυβερνῆσαι μέλος ; Ἢ τίς ἡ ἀπὸ τοῦ ἐλαχίστου γενησομένη βλάβη ; Καὶ δείκνυσι καὶ ταῦτα ἔκ τε τοῦ χαλινοῦ καὶ τοῦ πηδαλίου καὶ τοῦ σπινθῆρος, ἃ μικρὰ μέν ἐστι, μεγάλα δὲ ἀποτελεῖ. — Ἄλλως. D Ἔτι καὶ ταῦτα περὶ τοῦ μὴ δεῖν ὡς ἔτυχε τὴν γλῶσσαν κινεῖν, ἀλλ' ἐπὶ τὰ κρείττω μεταφέρειν, ὡς ἵππου θράσος τῷ χαλινῷ, καὶ πλοίου ὁρμὴν τῷ πηδαλίῳ. Οὕτως οὖν καὶ τὴν γλῶσσαν εἰς τὸ εὖ ἔχον τῷ ὀρθῷ λόγῳ μετάγειν ὀφείλομεν. Τὸ γὰρ, Οὕτω καὶ ἡ γλῶσσα, τοῦτο σημαίνει, ὅτι οὕτως ὀφείλει καὶ ἡ γλῶσσα μετάγεσθαι τῷ ὀρθῷ λόγῳ, ἀλλ' οὐ τοῦτο ποιεῖν ὃ ποιεῖ. Μικρὰ γάρ τις οὖσα μεγάλα ποιεῖ· διὸ καὶ μεγάλην ἡμῖν ἀνάπτει πυράν. Ἐπεὶ καὶ αὐτὴ πῦρ. Καὶ τίνα ἃ ποιεῖ ; Κοσμεῖ τὴν ἀδικίαν διὰ τῆς τῶν ῥητόρων εὐγλώττου δεινότητος. Σπιλοῖ τὸ σῶμα, πείθουσα ταῖς προσαγωγίαις τὰ γύναια. Φόνους δι' ἀπάτης ἐργάζεται. Ἐπιορκίαις τὰ ἀλλότρια καρποῦται. Καὶ ἐπὶ πᾶσι, φλογίζει τὸν τροχὸν τῆς γενέσεως. Τουτέστιν, ἐκκαίει καὶ ἐρεθίζει καθ' ἡμῶν τὴν γένεσιν, ὥσπερεὶ κατατρέχειν ἡμῶν

ποιοῦσα τὸ πῦρ. Ἀλλὰ καὶ αὐτὴ, φησὶ, φλογίζεται ὑπὸ τῆς γεέννης. Ὡς δῆλον ἀπὸ τοῦ τὴν γλῶσσαν ἀποτηγανιζομένου πλουσίου. Τὴν γλῶσσαν γὰρ οὐκ ἄλλο κολάζεται, διὰ τὸ πρὸς ἀπόλαυσιν καὶ φλυαρίαν εὐτρεπές. Εἰ μὲν οὖν Τῆς γεέννης ἔχει, ὥς τινα τῶν ἀντιγράφων ἔχει, οὕτω τὸ ῥητὸν ἀναπτυκτέον. Εἰ δὲ Τὸν τροχὸν τῆς γενέσεως ἔχει, τοιαύτης τυγχάνει τῆς λύσεως· Τροχὸν γενέσεως, τὴν ζωὴν ἡμῶν φησι. Φλογίζουσα οὖν τὸν τροχὸν τῆς γενέσεως, σπιλοῖ τὴν ζωήν. Καὶ πῶς; Προπετῶς κινουμένη. Ἀφ' οὗ ὁ βίος ἡμῶν ἐκτραχύνεται, ἤτοι ὁ χρόνος τῆς ζωῆς ἡμῶν. Τοῦτον γὰρ καὶ ὁ Μελῳδὸς, στέφανον εἰπὼν τοῦ ἐνιαυτοῦ. Στέφανος δὲ καὶ τροχὸς οὐ διενηνόχασι κατὰ τὸ κυκλικὸν καὶ τροχοειδές. Τροχὸς δὲ ὁ βίος ὡς εἰς ἑαυτὸν ἀνελιττόμενος. Πῶς δὲ σπιλοῖ τὸν βίον ἡμῶν; Οὕτω κινουμένη ὡς ἀνωτέρω εἰρήκαμεν. Ἀφ' ὧν καὶ ἐρρυπωμένος καὶ πολυστένακτος ὁ βίος ἀποτελεῖται. Οὕτως οὖν ἡ γλῶσσα μεταγέσθω τῷ ὀρθῷ λόγῳ. Κἂν γὰρ κόσμος ἐστὶ τῆς ἀδικίας, οἱονεὶ πρὸς τὸν συρφετώδη ὄχλον καὶ δημώδη ἐκφερομένη καὶ βλέπουσα. Κόσμον γὰρ ἐνταῦθα τὸ πλῆθος ἀκουστέον. Ἢ κόσμος ἐστὶν, ἤγουν κοσμοῦσα τὴν ἀνθρωπίνην φύσιν. Ταύτῃ γὰρ ἀλλήλοις κοινωνοῦμεν τῶν ἑαυτῶν νοημάτων. Ἐπεὶ καὶ οὕτω τινὲς βούλονται τὸν κόσμον λαμβάνειν πρὸς σημασίαν. Ἀλλ' οὖν πρὸς τὸν δημώδη ὄχλον φερόμενον ἀδικεῖ, καὶ σπιλοῖ ὅλον τὸ σῶμα, καὶ φλογίζει τὸν τροχὸν τῆς γενέσεως, καὶ φλογίζεται ὑπὸ τῆς γεέννης. Ὅμως οὐ χαλεπὸν μεταχειρίσασθαι ταύτην πρὸς τὸ εὐλόγως κινεῖσθαι, καὶ ὡς ἂν ὁ μεταχειριζόμενος βουληθείη. Εἰ γὰρ πᾶσα φύσις θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ, ἆρα τὴν γλῶσσαν ὅτι ἀκατάσχετον κακὸν, ὅτι μεστὴ ἰοῦ θανατηφόρου οὐδεὶς ἀνθρώπων δύναται δαμάσαι; Οὐκ ἂν εἴποιμι. Εἰ γὰρ ἀδάμαστος καὶ οὔποτε πρὸς τὸ κρεῖσσον ἀπονεύουσα, πῶς ἐν αὐτῇ εὐλογοῦμεν τὸν Θεὸν καὶ Πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους; Ἰδοὺ πρὸς τὸ βούλημα μετάγεται τοῦ χρωμένου. Ἀλλ' οὐ χρή, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι. Εἰ γὰρ δι' αὐτῆς εὐλογοῦμεν, ἆρα τοὺς καθ' ὁμοίωσιν Θεοῦ γεγονότας ἀνθρώπους οὐκ αἰσχύνη καταρᾶσθαι; Ἢ δίκαιον ἵνα ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχηται εὐλογία καὶ κατάρα; Οὐ χρή.

fraude operatur : perjuriis aliena carpit : et super omnia rotam gehennæ inflammat : hoc est incendit et excitat in nos gehennam, veluti grassari faciens adversum nos ignem. Sed et ipsa, inquit, incenditur a gehenna, quemadmodum manifestum est ex divite qui lingua cruciabatur [88]. Neque enim ob aliud lingua punitur, quam ideo quod prompta fuerit ad delicias et nugas. Itaque si legatur Rotam gehennæ, sicut nonnulla habent exemplaria, ita explicanda est sententia. Si vero habeat Rotam nativitatis, talem assequitur solutionem : Rotam nativitatis dicit vitam nostram. Inflammans ergo rotam nativitatis contaminat vitam : et quomodo ? **462** Dum temere ac petulanter movetur, unde exasperatur vita nostra, sive tempus vitæ nostræ. Hoc enim et Psalmographus coronam appellavit, dicens : Benedices coronæ anni. Rota vero et corona in eo conveniunt, quod utraque circularis est et orbicularis. Rota autem dicitur vita, tanquam in seipsam revoluta. Quomodo autem contaminat vitam nostram? Ita mota sicut antea diximus : propter quæ et sordidata et plena suspiriis vita nostra peragitur. Hoc modo igitur lingua recto sermone circumagatur. Etenim mundus est iniquitatis, veluti ad vilem ac popularem turbam devoluta et respiciens. Nam mundus hoc loco intelligitur multitudo. Aut mundus est, id est, ornamentum, sive ornans humanam naturam : per hanc enim communicamus invicem nostras cogitationes · quandoquidem in hac quoque significatione volunt nonnulli Mundum accipere. Itaque dum fertur ad vilem turbam, injuriam facit et nocet ac totum corpus contaminat, et inflammat rotam nativitatis, inflammaturque a gehenna. Nec tamen hanc difficile est dirigere ut recte moveatur, et eo modo quo velit is qui gubernat. Nam si omnis natura ferarum ac volucrum ac serpentium et marinorum domatur et domita est a natura humana, utrum linguam, quod sit incoercibile malum, quod plena veneno mortifero, nullus hominum domare potest? Nequaquam ita esse dicerem, Si enim domari non potest, nec unquam ad id quod melius est declinat, quomodo per eam benedicimus Deo et Patri, et per eam maledicimus hominibus? Ecce ad ejus qui utitur voluntatem circumagitur. Sed non oportet, fratres mei, hæc ita fieri. Si enim per ipsam benedicimus Deo, annon pudor est maledicere hominibus qui ad Dei similitudinem conditi sunt? an justum est ut ex eodem ore egrediatur benedictio et maledictio? non oportet ita fieri.

Οὕτω καὶ ἡ γλῶσσα μικρὸν μέλος ἐστὶ, καὶ μεγαλαυχεῖ. Ἰδοὺ ἡλίκον πῦρ ἡλίκην ὕλην ἀνάπτει. Καὶ ἡ γλῶσσα τὸ πῦρ. Ὁ κόσμος τῆς ἀδικίας. Οὕτως ἡ γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ σπιλοῦσα ὅλον τὸ σῶμα, καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως, καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης. Πᾶσα γὰρ φύσις θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ

III, 5-9. *Ita lingua pusillum membrum est, et magna jactat. Ecce exiguus ignis quam magnam materiam incendit. Et lingua ignis est, mundus iniquitatis. Sic lingua constituitur in membris nostris quæ maculat totum corpus, et inflammat rotam nativitatis, et inflammatur a gehenna.* **463** *Omnis enim natura et ferarum et volucrum, serpentiumque et marinorum domatur et domita est a natura humana : linguam autem nullus hominum domare potest ? in-*

[88] Luc. XVI, 24.

coercibile malum, plena veneno mortifero. Per ipsam benedicimus Deo et Patri, et per ipsam maledicimus hominibus qui ad similitudinem Dei conditi sunt.

περισπωμένου. Ἔστι γὰρ οὕτως· Καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν. Τίνες; Οἵτινες οὐκ ἐπίστασθε τὸ εἰσαύριον. Ποία γὰρ ἡ ζωὴ ὑμῶν; Καὶ ἐξῆς. Διὰ δὲ τοῦ, Ποία ἡ ζωὴ ὑμῶν; ἐξουδενώσας τὴν ζωὴν, καὶ προοδοποιήσας διὰ τούτου τῷ εἰς εὐτέλειαν παραδείγματι, οὕτως ἐπάγει καὶ τὸ ὑπόδειγμα, καιριώτατον τοῦτο ποιῶν. « Καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν. » Ἀλαζὼν καὶ ἀλαζονεία μὴ ὑφεστώτων πραγμάτων ἐστὶ σπουδή. Διὸ καὶ *ἀλαζὼν* λέγεται *ὁ μετὰ ἄλης ζῶν*, τουτέστι, μετὰ ἀστάτου καὶ μὴ ἐχοντος ὑπόστασιν πράγματος. « Πᾶσα καύχησις τοιαύτη πονηρά ἐστιν. » Ἐπαναλαμβάνει τὴν διάκενον καύχησιν, ἥ τις ἐξ ὑπερηφανίας φιλεῖ τίκτεσθαι. Καὶ οἱονεὶ συμπεραίνων τὸν ἑαυτοῦ λόγον, ἐπιφέρει, ὅτι πονηρά ἐστιν. Εἰ δὲ πονηρά, πάντως ὅτι καὶ ἀπὸ τοῦ Πονηροῦ ἐστι. Οὐ δεῖ δὲ τοὺς τῷ Κυρίῳ διὰ τοῦ ἁγίου βαπτίσματος ἀνατεθέντας τοῦ Πονηροῦ παραδέχεσθαι ἐπισποράς. Ἐπιφέρει δὲ καὶ τὸ, Εἰδότι οὖν καλὸν ποιεῖν καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστι· καὶ τοὺς ψευδοδιδασκάλους παιδεύει πάλιν. Μὴ ταῦτα παιδεύειν τολμᾷς, ἃ μὴ πρότερον κατώρθωσας; « Μακάριος γάρ, φησὶν, οὐχ ὃς διδάξει, ἀλλ' ὃς ποιήσει καὶ διδάξει. » Προηγεῖσθαι γὰρ δεῖ τὰ ἔργα τοῦ λόγου. Καθότι καὶ ἐπιδεικνυμένην πίστιν ἀπαγγέλλει δίκαιος. « Ὁ γὰρ λύων, φησὶ Κύριος, μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάσκων οὕτως τοὺς ἀνθρώπους, τουτέστι, διακένως, ἐφ' οἷς οὐκ ἐκοπίασεν, ἐλάχιστος κληθήσεται, μέγας δὲ ὃς μετὰ τοῦ πρᾶξαι διδάξει. » Ἐπεὶ καὶ αὐτὸς ὁ θεάνθρωπος, ὧν ἤρξατο ποιεῖν, τούτων καὶ διδασκαλίαν ἐποιεῖτο. Τοιοῦτό μοι δοκεῖ καὶ τὸ, « Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω, » ἀντὶ τοῦ, κατὰ Κύριον, ἐκείνῳ χρώμενος ὑποδείγματι πολὺ πρότερον, καὶ οὕτω ποιῶν, οὕτω διδάσκων. Ἐπεὶ καὶ ὅταν φησὶν ὁ Δαυὶδ· « Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεταί ἡ ψυχή μου, » οὐκ ἄλλο φησὶν, ἢ ὅτι κατὰ τὰς ἐντολὰς πορευόμενος τοῦ Κυρίου ἐπαινεθείη.

A brans ac convincens subesse vanitatem in eo quod nos distrahit circa hunc mundum. Est enim hoc modo intelligendum : Gloriamini in arrogantiis vestris. Quinam qui ignoratis quid postero die futurum sit. Quæ est enim vita vestra? etc. Per hoc autem quod ait : Quæ est enim vita vestra? contemnens vitam, et per hoc viam præstruens exemplo ad fragilitatem posito, ita subjungit et exemplum, reddens hoc firmissimum. « Gloriamini in arrogantiis vestris. » Arrogans et arrogantia affectus est de rebus non subsistentibus. Ideo etiam ἀλαζὼν dicitur ὁ μετὰ ἄλης ζῶν, id est cum mari vivens, hoc est cum re instabili nec habente subsistentiam. « Omnis exsultatio talis mala est. » Repetit vanam gloriationem quæ ex superbia oriri cupit, et tanquam suum concludens sermonem infert quod mala sit : quod si mala, utique etiam a Maligno est. Non oportet autem eos qui per baptisma Domino consecrati sunt, **473** ullas suscipere a Maligno inspersiones. Infert autem et hoc : Igitur qui novit recte facere nec facit, hic peccato tenetur : rursumque falsos doctores corripit. Num hæc audes corripere cum non prius in his recte te gesseris? « Beatus enim, inquit, non qui docuerit, sed qui fecerit et docuerit. » Oportet enim ut opera sermonem præcedant, quoniam justus exhibitam fidem annuntiat. « Nam qui solverit, inquit Dominus, unum de mandatis istis minimis, et docuerit sic homines, id est, inaniter, nempe ea in quibus non laboravit, minimus vocabitur : magnus autem is, qui simul et fecerit et docuerit [80]. » Quandoquidem et ipse Deus et homo horum doctrinam tradebat quæ primum facere cœperat [81]. Hujusmodi quoque videtur quod ait Paulus: « Qui gloriatur, in Domino glorietur [82] ; » hoc est, secundum Dominum, illius longe antea utens exemplo, et ita faciens et ita docens. Quoniam et David cum ait : « In Domino laudabitur anima mea [83], » non aliud dicit, quam quod gradiens juxta Domini præcepta laudetur.

B

C

D

Ἄγε νῦν, οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. Ὁ πλοῦτος ὑμῶν σέσηπε. Τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν. Ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται. Καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται, καὶ φάγεται τὰς σάρκας ὑμῶν ὡς πῦρ. Ἐθησαυρίσατε ὀργὴν ἐν ἐσχάταις ἡμέραις. Ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν, ὁ ἀπεστερημένος ἀφ' ὑμῶν κράζει. Καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ εἰσεληλύθασιν. Ἐτρυφήσατε ἐπὶ τῆς γῆς καὶ ἐσπαταλήσατε. Ἐτρέψατε τὰς καρδίας ὑμῶν, ὡς ἐν ἡμέρᾳ σφαγῆς. Κατεδικάσατε, ἐφονεύσατε τὸν δίκαιον. Οὐκ ἀντιτάσσεται ὑμῖν.

V, 1-6. *Agite nunc, diviles, plorate ejulantes super miseriis vestris quæ supervenient. Divitiæ vestræ putrefactæ sunt : vestimenta vestra tineis obnoxia facta sunt. Aurum et argentum vestrum erugine vitiatum est : et erugo eorum in testimonium vobis erit, et exedet carnes vestras sicut ignis. Pro thesauro recondidistis vobis iram in extremis diebus. Ecce merces operariorum qui messuerunt regiones vestras, quæ fraude non reddita est a vobis, clamat : et clamores qui messuerant, in aures Domini Sabaoth introierunt. In delictis vixistis super terram et lasciviistis, enutristis corda vestra tanquam, in diem occisionis. Condemnastis et occidistis justum, nec restitit vobis.*

« Ἄγε νῦν. » Τὸ φειδωλὸν καὶ γλίσχρον τῶν πλουσίων θρῆνον αὐτῶν ποιεῖται, ὀλολύζειν αὐτοὺς παρακελευόμενος, τουτέστι, θρηνεῖν, ὡς εἰς ἀνύπαρκτον καὶ φθορὰν ταμιευομένους τὸν πλοῦτον αὐτῶν, καὶ

« Agite nunc. » Divitum tenacitatem ac parcitatem facit lamentationem ipsorum, ejulare eos jubens, hoc est, lamentari, ut qui ad interitum et perditionem suas recondant divitias, nec ipsas usumant in egenos : sola

[80] Matth. v, 19. [81] Act. i, 1. [82] Jerem. ix, 23 ; II Cor. x, 17. [83] Psal. xxxiii, 3.

namque divitiarum in hos insumptio **474** non perit, sed insumenti integra servatur. Propterea etiam dicit Parœmiastes : Mitte panem tuum super faciem aquæ, hoc est, super apparentem quidem dissolutionem ac corruptionem (hoc enim consequi natum est panem in aquas projectum) : attamen nequaquam deperditur, sed sui corruptione refrigerium nobis conciliat, quando futurum esset ut lingua in flamma cruciata, egestate guttæ aquæ premeremur. « Divitiæ vestræ. » Sive opulentia vestra. Subaudiendum est, id est, quam opulentiam, ut fit sensus : Divitiæ vestræ quas tanquam ignem pro thesauro recondidistis exedent carnes vestras. « Putrefactæ sunt et vestimenta vestra. » Putrefactio, inquit, divitiarum et vestimentorum corrosio sive exesio a tineis, et erugo auri et argenti feret adversum vos testimonium, arguens tenacitatem vestram. Propter quod in extremis diebus (dicit autem Domini adventum) invenietis divitias vestras reconditas vobis tanquam ignem in perditionem : quod etiam diviti contigit, de quo in Evangelio. « In deliciis vixistis. » Discurrebant Judaici principes devorantes pauperes, et pinguescebant honoribus qui deferebantur ab omnibus, sed parabantur ad occisionem sub manibus Romanorum. Et maxime quia Dominum qui solus erat justus condemnarunt, et occiderunt non contendentem neque vociferantem. Ideo nunc dicit : « Occidistis justum. » Procul dubio hoc ad Christum refertur. Per illud tamen quod addit : Non restitit vobis, communem efficit sermonem etiam ad alios qui similia a Judæis passi sunt. Fortassis autem et prophetice suam designat passionem.

μὴ τοῖς δεομένοις δαπανῶντας αὐτόν. Μόνη γὰρ ἡ πρὸς τούτους πλούτου δαπάνη οὐκ ἀπόλλυται, ἀλλ' ἀχέραιος τῷ δαπανῶντι φυλάττεται. Διὰ τοῦτο καὶ ὁ Παροιμιαστὴς φησι· Ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον ὕδατος, τουτέστιν, ἐπὶ διακοσμῇ μὲν διαλύσει καὶ φθορᾷ (τοῦτο γὰρ τῷ ἴκαθ' ὕδατος ῥιπτουμένῳ ἄρτῳ πέφυκεν ἐπακολουθεῖν)· οὐ μέντοι καὶ ἀπολλυμένῳ, ἀλλὰ τῇ διαλύσει ἀναψυχὴν ἡμῖν προξενοῦντι, ὁπηνίκα μέλλοιμεν τὴν γλῶσσαν ἐν τῇ φλογὶ ἀποτηγανιζόμενοι ῥανίδος ὕδατος προσδεῖσθαι. « Ὁ πλοῦτος ὑμῶν. » Προσυπακουστέον τὸ Ὂν, ἵν' ᾖ οὕτως· Ὁ πλοῦτος ὑμῶν, ὃν ὡς πῦρ ἐθησαυρίσατε, καταφάγεται τὰς σάρκας ὑμῶν. « Σέσηπε καὶ τὰ ἱμάτια ὑμῶν. » Ἡ σῆψις, φησὶ, τοῦ πλούτου, καὶ τὸ θριπήδεστον ἤτοι σιτόβρωτον τῶν ἱματίων, καὶ ὁ ἰὸς τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου καταμαρτυρήσει ὑμῶν, ἐλέγχων τὸ ἀμετάδοτον ὑμῶν. Δι' ὃ καὶ ἐν ἐσχάταις ἡμέραις (λέγει δὲ τὴν τοῦ Κυρίου παρουσίαν), εὑρήσετε τὸν πλοῦτον ὑμῶν ὡς πῦρ τεμιευθέντα ὑμῖν εἰς ὄλεθρον. Ὅπερ καὶ ὁ ἐν Εὐαγγελίῳ πλούσιος πέπονθεν. « Ἐτρυφήσατε. » Καταδρομὴ τῶν Ἰουδαϊκῶν ἀρχόντων καταδοσκομένων τοὺς πένητας, καὶ πιαινομένων ταῖς παρὰ πάντων τιμαῖς, ἀλλ' εἰς σφαγὴν ταῖς Ῥωμαϊκαῖς χερσὶν εὐτρεπιζομένων. Καὶ μάλιστα ὅτι τὸν μόνον δίκαιον Κύριον κατεδίκασαν καὶ ἐφόνευσαν οὐκ ἐρίζοντα οὐδὲ κραυγάζοντα. Ἀναντιῤῥήτως τὸ, « Ἐφονεύσατε τὸν δίκαιον, » ἐπὶ τὸν Χριστὸν ἀναφέρεται. Τῇ μέντοι ἐπιφορᾷ τῇ, Οὐκ ἀντιτάσσεται ὑμῖν, ἐκοίνωσε τὸν λόγον καὶ πρὸς τοὺς ἄλλους τοὺς τὰ ὅμοια παρὰ τῶν Ἰουδαίων παθόντας. Ἴσως δὲ καὶ προφητικῶς τὸ περὶ ἑαυτὸν ὑπεμφαίνει πάθος.

475 CAPUT VII.

De patientia ac tolerantia afflictionum, et de veritate : in quo ponuntur speciales adhortationes cuique convenientes cum fide : et quod inserviendum est saluti proximi.

V, 7-11. *Longanimes igitur estote, fratres, usque ad adventum Domini. Ecce agricola exspectat pretiosum fructum terræ, longanimiter exspectans illum, donec accipiat pluviam matutinam et serotinam. Longanimes igitur estote et vos, et confirmate corda vestra, quoniam adventus Domini appropinquat. Nolite ingemiscere alius adversus alium, fratres, ut ne condemnemini. Ecce Judex ante januam assistit. Exemplum accipite, fratres mei, afflictionis ac patientiæ, prophetas qui locuti sunt in nomine Domini. Ecce beatos ducimus eos qui sustinent. Tolerantiam Job audistis, et finem Domini vidistis, quod valde misericors sit Dominus ac commiserans.*

Postquam Judaicorum principum delicias accusavit, et eorum sævitiam ac inhumanitatem erga pauperes, transit etiam ad fideles, et ait : Ne hæc videntes offendamini, fratres, neque animo dejiciamini, quasi aut non reposita sit in illos vindicta, aut sit quidem reposita, sed nimium tardet. Est enim certa ultio, eaque e vestigio ventura. Dicit au-

ΚΕΦΑΛ. Ζ'.

Περὶ μακροθυμίας καὶ ὑπομονῆς παθημάτων, καὶ περὶ ἀληθείας. Ἐν ᾧ παραινέσεις ἰδικαὶ ἑκάστῳ προσήκουσαι μετὰ πίστεως. Καὶ ὅτι διακονητέον τῇ τοῦ πλησίον σωτηρίᾳ.

Μακροθυμήσατε οὖν, ἀδελφοὶ, ἕως τῆς παρουσίας τοῦ Κυρίου. Ἰδοὺ ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον καρπὸν τῆς γῆς, μακροθυμῶν ἐπ' αὐτῷ, ἕως λάβῃ ὑετὸν πρώϊμον καὶ ὄψιμον. Μακροθυμήσατε καὶ ὑμεῖς. Στηρίξατε τὰς καρδίας ὑμῶν, ὅτι ἡ παρουσία τοῦ Κυρίου ἤγγικε. Μὴ στενάζετε κατ' ἀλλήλων, ἀδελφοὶ, ἵνα μὴ κατακριθῆτε. Ἰδοὺ ὁ κριτὴς πρὸ τῶν θυρῶν ἕστηκεν. Ὑπόδειγμα λάβετε τῆς κακοπαθείας, ἀδελφοί μου, καὶ τῆς μακροθυμίας, τοὺς προφήτας, οἳ ἐλάλησαν τῷ ὀνόματι Κυρίου. Ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας. Τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίου εἴδετε, ὅτι πολύσπλαγχνός ἐστιν ὁ Κύριος καὶ οἰκτίρμων.

Διαβαλὼν τὴν τῶν Ἰουδαϊκῶν ἀρχόντων σπαταλην, καὶ τὸ πρὸς τοὺς πένητας αὐτῶν σκληρὸν καὶ ἀπάνθρωπον, μεταβαίνει καὶ ἐπὶ τοὺς πιστοὺς, καί φησι· Μὴ ταῦτα ὁρῶντες, ἀδελφοὶ, σκανδαλίζεσθε, μηδὲ ἀθυμεῖτε, ὡς ἢ μὴ ἐκδικήσεως ἀποκειμένης, ἢ ἀποκειμένης μὲν, βραδυνούσης δέ. Ἔστι γὰρ ἐκδίκησις καὶ κατὰ πόδας. Λέγει δὲ τὴν Ῥωμαϊκὴν

ἔφοδον, καὶ τὴν ὑπὸ τούτων αἰχμαλωσίαν τῶν Ἰουδαίων. Ἦν καὶ παρουσίαν καλεῖ τοῦ Κυρίου, ὡς ὁ Ἰωάννης ὁ ἐπὶ τὸ στῆθος ἀναπεσὼν τοῦ Κυρίου, δι' ὧν, φησὶ, περὶ τῆς αὐτοῦ ἀποδιώσεως, τὸν αὐτὸν εἰσάγων Κύριον λέγοντα· « Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχωμαι. » Καὶ γὰρ παρετάθη καὶ τούτῳ ὁ τῆς ζωῆς ταύτης χρόνος, ἕως τῆς ἁλώσεως Ἱερουσαλὴμ, καὶ μικρὸν ἐπέκεινα. Καὶ ὅτι ἡ τοῦ Κυρίου παρουσία καὶ ἐνταῦθα καὶ ἐπὶ τοῦ Ἰωάννου ἡ τῆς Ἱερουσαλὴμ πανωλεθρία ἐστὶ, δῆλον καὶ ἀπὸ τοῦ προφήτου λέγοντος· « Ἰδοὺ Κύριος ἔρχεται, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ, » ὡς τῆς τοῦ Κυρίου παρουσίας τιμωρίαν φερούσης κατὰ τῶν ἀσεβῶν. Ἀλλὰ καὶ ὁ Χρυσοστόμος Ἰωάννης ἔν τινι τῶν ἐξηγητικῶν αὐτοῦ, τοῦτο αὐτὸ τὸ, Ἕως ἔρχομαι, ἀναπτύσσων, Τοῦτο δηλοῦν βούλεται τὸ ῥητὸν, τὴν πανωλεθρίαν τῆς Ἱερουσαλήμ. Καὶ πιστοῦται τοῦτο ἀπὸ τῆς εὐχῆς τῶν τριῶν παίδων, φασκόντων· « Οὕτω γενέσθω ἐνώπιόν σου ἡ θυσία ἡμῶν σήμερον, καὶ ἐκτελέσαι ὀπισθέν σου. » Φησὶ γάρ· Τί τὸ, Ὀπισθέν σου; Μετὰ τὸ παρελθεῖν τὸν θυμόν σου. Καὶ πότε παρεγένετο; Ὅτε Ναβουχοδονόσορ ἐδήου τὰ Ἱεροσόλυμα. Καὶ περὶ μὲν τῆς παρουσίας ταῦτα. Φασὶ δέ τινες τῶν Πατέρων καὶ τοῦτο, ὡς *μακροθυμίαν* μὲν ἐνταῦθα τὴν πρὸς ἀλλήλους φησὶν, *ὑπομονὴν* δὲ τὴν πρὸς τοὺς ἔξω. Μακροθυμεῖ γάρ τις πρὸς ἐκείνους, ὡς δυνατὸν καὶ ἀμύνασθαι. *Ὑπομένει* δὲ οὓς οὐ δύναται ἀμύνασθαι. Διὰ τοῦτο ἐπὶ μὲν Θεοῦ οὐδέποτε *ὑπομονὴ* λέγεται, ἀλλὰ *μακροθυμία*, ἐπ' ἀνθρώπων δὲ *ὑπομονή*. « Ἕως λάβῃ ὑετὸν πρώϊμον. » Πρώϊμος ὑετὸς, ἡ ἐν νεότητι μετὰ δακρύων μετάνοια, ὄψιμος, ἡ ἐν τῷ γήρᾳ. Πάντα δὲ τῆς τοῦ Θεοῦ ἠρτηται φιλανθρωπίας, δι' ὃ λέγει· Ἕως ἂν λάβῃ.

A tem Romanorum insultum et Judæorum sub his captivitatem, quam etiam adventum Domini vocat : quemadmodum et Joannes qui super pectus Domini recubuit, cum de suo loquitur interitu, ipsum Dominum inducit, dicentem : « Si eum velim manere donec veniam [54]. » Etenim **476** huic prorogatum est tempus hujus vitæ usque ad captivitatem Jerosolymorum, et paulo ultra illud tempus. Quodque Domini adventus et in hoc loco et in Joanne fit eversio Jerusalem, manifestum etiam est e propheta, qui ait : « Ecce Dominus veniet, et quis sustinebit diem ingressus ejus [55] ? » utpote Domini adventu ferente adversus impios supplicium. Sed et Joannes Chrysostomus in quadam enarratione sua, hoc idem, Donec veniam, explicans : Hoc dictum, inquit, significare vult omnimodam eversionem Jerusalem : idque confirmat ab oratione trium puerorum, dicentium : « Ita fiat coram te hostia nostra hodie, et perficiatur post te [56]. » Ait enim : Quid sibi vult, Post te ? Postquam transierit furor tuus. Et quando advenit ? Quando Nabuchodonosor excidit Jerosolyma. Et hæc quidem de adventu. Aiunt autem quidam Patrum quod μακροθυμίαν quidem hoc loco dicat longanimitatem, quæ ad eos est qui inter nos sunt ; ὑπομονὴν vero, patientiam ad extraneos. Longanimiter enim tolerat quis eos quos etiam ulcisci posset ; ὑπομένει vero, quos non potest ulcisci. Propterea in Deo quidem nunquam dicitur ὑπομονὴ sed μακροθυμία, in hominibus vero ὑπομονή. « Donec accipiat pluviam matutinam. » Pluvia matutina est pœnitentia peracta in juventute cum lacrymis, serotina vero quæ in senectute. Omnia vero pendent ex Dei benignitate, ideo dicit : Donec accipiat.

Πρὸ πάντων δὲ, ἀδελφοί μου, μὴ ὀμνύετε μήτε τὸν οὐρανὸν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον. Ἤτω δὲ ὑμῶν τὸ Ναὶ, Ναὶ, καὶ τὸ Οὒ, Οὒ, ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε.

V, 12. *Ante omnia autem, fratres mei, ne juretis. neque per cœlum, neque per terram, neque aliud quodcunque jusjurandum. Sit autem vestrum Certe Certe, Non Non, ut non in condemnationem cadatis.*

Ἀλλ' ἐρεῖ τις, Εἰ βιάζεταί τις ὀμνύναι, τί ποιητέον; Ἐροῦμεν, ὅτι ὁ φόβος τοῦ Θεοῦ ἰσχυρότερος ἔσται τῆς τοῦ βιαζομένου ἀνάγκης. Ἐπαπορήσειε δ' ἄν τις, Πῶς τοῦ παλαιοῦ νόμου τὸν κατὰ τοῦ ὀνόματος τοῦ Κυρίου ὀμνύοντα ἐπαίνου ἀξιοῦντος, ἡ χάρις μὴ τοῦτο ποιεῖν διαστέλλεται. Ἐροῦμεν οὖν, ὡς ὁ παλαιὸς νόμος, ἀπάγων Ἰουδαίους μὴ κατὰ τῶν εἰδώλων ὀμνύειν, προσέταττε κατὰ Θεοῦ ὀμνύειν, ὥσπερ καὶ θύειν ἐκέλευε τῷ Θεῷ, ἀποσπῶν αὐτοὺς τῆς πρὸς τοὺς δαίμονας θυσίας. Ὅτε δὲ ἱκανῶς αὐτοὺς θεοσεβεῖν ἐδιδάξατο, τότε καὶ τὰς θυσίας ὡς ἀνωφελεῖς ἀπώσατο, θυσίαν οὐ τὴν διὰ τῶν ζώων, ἀλλὰ τὴν συντετριμμένην ψυχὴν ἐπιζητῶν εἰς θυσίαν. Τίς δὲ αὕτη; Ἡ διὰ ταπεινώσεως τῷ τῆς ἀγάπης ὁλοκαυτουμένη πυρί. Οἷα καὶ ἡ Παύλου, ὃς διὰ τό τινας σκανδαλίζεσθαι τῶν πιστῶν, ὑπερβαλλόντως ἦν πυρούμενος. « Ἤτω δὲ ὑμῶν τὸ, Ναὶ, Ναί. » Ἀντὶ τοῦ, Ἡ κατάθεσις ὑμῶν βεβαία καὶ ἐπὶ

Sed dicet aliquis : Si quis jurare cogatur, quid faciendum est ? Dicimus quod timor Dei fortior erit necessitate vim inferente. Dubitare autem posset aliquis, cum vetus lex eum qui per nomen Domini jurat laude dignum ducat, quomodo gratia hoc facere vetet ? Dicimus ergo quod vetus lex abducens Judæos ne per idola jurarent, præcipiebat jurare per Deum : quemadmodum etiam Deo sacrificare præcipiebat, abstrahens eos **477** ne idolis sacrificarent : ubi autem sufficienter Dei cultum docuit, tunc et sacrificia tanquam inutilia repulit : non sacrificium animalium exquirens, sed animam contritam in sacrificium. Quæ est autem illa ? Quæ per animi modestiam tota incenditur igne charitatis ? qualis etiam fuit Pauli anima, qui eo quod nonnulli fidelium offenderentur, mirum in modum incendebatur. « Sit autem vestrum, Certe Certe. » Hoc est Depositio vestra firma sit et in re firma, et negatio

[54] Joan. xxi, 22. [55] Malach. iii, 1. [56] Dan. xxxix, 40.

tentationibus et afflictionibus, ac de salutari fide quæ prænuntiata est a prophetis.

2. *De spe et sanctificatione firmaque conversione, quæ necessaria est præter adoptionem.*

3 *Quod digne vivendum sit juxta adoptionem per Christum, ad utilitatem quoque eorum qui extranei sunt, ad gloriam Dei.*

4. *De subjectione erga præfectos, et fraterno amore ac divino cultu : in quo agit de servorum subjectione et toleranti patientia propter Christum. De obedientia mulierum et concordia erga viros, ac salute quæ est in spiritu, in figuram Sarræ : de virorum erga mulieres comportatione. De mansueta erga omnes clementia, cujus typus fuit Dei benignitas in Noe, in nobis autem Christi* **480** *per baptismum condolentia.*

5. *De rejectione pravarum actionum, et repetitione fructuum in spiritu juxta donorum diversitatem.*

6. *Quod ex consortio ad Christum necesse sit naturales vincere adversitates, et ex spe ad ipsum ferre damna ab aliis illata.*

7. *Admonitio presbyterorum de cura et visitatione gregis : in quo etiam agit de communi omnium modestia erga singulos, ad victoriam adversus diabolum*

8. *Precatio pro perfectione credentium.*

A ὑπομονῆς πειρασμῶν, καὶ περὶ σωτηριώδους πίστεως προκατηγγελμένης ὑπὸ τῶν προφητῶν.

β'. Περὶ ἐλπίδος καὶ ἁγιασμοῦ, τῆς τε ὀφειλομένης ἐπὶ τῇ υἱοθεσίᾳ ἀσφαλοῦς ἀναστροφῆς.

γ'. Περὶ τοῦ ἐπαξίως τῆς υἱοθεσίας ζῆν ἐν Χριστῷ, πρὸς ὠφέλειαν καὶ τῶν ἔξωθεν πρὸς δόξαν Θεοῦ.

δ'. Περὶ τῆς πρὸς ἄρχοντας ὑποταγῆς, καὶ φιλαδελφίας, καὶ θεοσεβείας. Ἐν ᾧ περὶ δούλων ὑποταγῆς καὶ ἀνεξικάκου ὑπομονῆς διὰ Χριστόν. Περὶ ὑπακοῆς γυναικῶν καὶ ὁμονοίας τῆς πρὸς τοὺς ἄνδρας καὶ σωτηρίας τῆς ἐν πνεύματι εἰς τύπον Σάρρας. Περὶ τῆς ἀνδρῶν πρὸς γυναῖκας συμπεριφορᾶς. Περὶ τῆς πρὸς ἅπαντας ἐπιεικοῦς ἀνεξικακίας, ἧς τύπος ἡ ἐπὶ Νῶε τοῦ Θεοῦ φιλανθρωπία, ἐφ' ἡμᾶς δὲ ἡ διὰ βαπτίσματος τοῦ Χριστοῦ συμπάθεια.

ε'. Περὶ ἀποθέσεως φαύλων πράξεων, καὶ ἐπαναλήψεως τῶν ἐν Πνεύματι καρπῶν κατὰ τὴν διαφορὰν τῶν χαρισμάτων.

ς'. Ὅτι κοινωνίᾳ τῇ πρὸς Χριστὸν κρατεῖν χρεὼν τῶν φυσικῶν παθῶν, ἐλπίδι τε τῇ εἰς αὐτὸν φέρειν τὰς παρ' ἑτέρων βλάβας.

ζ'. Παραίνεσις πρεσβυτέρων περὶ ἐπισκοπῆς τοῦ ποιμνίου. Ἐν ᾧ περὶ κοινῆς πάντων πρὸς ἕκαστον ταπεινοφροσύνης, εἰς νίκην τὴν κατὰ τοῦ διαβόλου.

η'. Εὐχὴ ὑπὲρ τελειώσεως τῶν πιστευόντων.

ΠΕΤΡΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΩΤΗ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ

—

PETRI APOSTOLI

PRIOR EPISTOLA CATHOLICA.

—

481 CAPUT I.

De regeneratione in Christo, et de patientia in tentationibus et afflictionibus, ac de salutari fide quæ prænuntiata est a prophetis.

1, 1, 2. *Petrus Apostolus Jesu Christi electis advenis sparsim incolentibus Ponti Galatiam, Cappadociam, Asiam et Bithyniam, juxta præscientiam Dei Patris, in sanctificationem Spiritus, in obedientiam et aspersionem sanguinis Jesu Christi, gratia vobis et pax multiplicetur.*

Series et ordo hoc modo colligitur : Petrus Apostolus Jesu Christi juxta præscientiam Dei Patris in sanctificationem Spiritus in obedientiam et aspersionem sanguinis Jesu Christi. Reliqua vero **482** per

C

ΚΕΦΑΛ. Α'.

Περὶ τῆς ἐν Χριστῷ ἀναγεννήσεως καὶ περὶ ὑπομονῆς πειρασμῶν, καὶ περὶ σωτηριώδους πίστεως προκατηγγελμένης ὑπὸ τῶν προφητῶν.

Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλεκτοῖς παρεπιδήμοις, διασπορᾶς Πόντου Γαλατίας, Καππαδοκίας, Ἀσίας καὶ Βιθυνίας, κατὰ πρόγνωσιν Θεοῦ Πατρὸς ἐν ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ.

Τὸ ἐφέξης, Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ κατὰ πρόγνωσιν Θεοῦ Πατρὸς, ἐν ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ. Τὰ δὲ λοιπὰ μεταξὺ τούτων κεῖσθω. Δηλοῖ

γὰρ τοὺς πρὸς οὓς ἡ Ἐπιστολή. Ἐχρήσατο δὲ τῷ, κατὰ πρόγνωσιν Θεοῦ, δηλῶν ὅτι μηδὲν ὑστερεῖ τῶν προφητῶν, οἱ καὶ αὐτοὶ ἀπεστάλησαν, εἰ μὴ τῷ χρόνῳ. Ὅτι δὲ ἀπεστάλησαν καὶ οἱ προφῆται, Ἡσαΐας φησὶν ἐν τῷ, « Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με. » Ἀλλ' εἰ καὶ τῷ χρόνῳ ὑστερεῖ, ἀλλ' οὐχὶ καὶ τῇ προγνώσει τοῦ Θεοῦ, ἀλλὰ κατὰ τοῦτο ἐνάμιλλον ἑαυτὸν Ἱερεμίᾳ ἀποφαίνει πρὸ τοῦ ἐν κοιλίᾳ πλασθῆναι ἐγνωσμένῳ τε καὶ ἡγιασμένῳ, καὶ προφήτην εἰς ἔθνη τεθειμένῳ. Καὶ ἐπειδὴ οἱ προφῆται μεθ' ἑτέρων καὶ τὴν Χριστοῦ προκατήγγειλαν παρουσίαν, (Ἀπεστάλησαν γὰρ, διὰ τοῦτο), οὗτος προστίθησι τὴν χρείαν τῆς ἀποστολῆς, καί φησιν ὅτι, Ἐν ἁγιασμῷ ἀπεστάλην Πνεύματος εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ, τοῦτο δηλῶν διὰ τῶν προκειμένων, ὅτι ὁ τρόπος τῆς ἐμῆς ἀποστολῆς οὗτος, ἀφορίσαι. Τοῦτο γὰρ διὰ τοῦ Ἁγιασμοῦ παριστᾷ, ὡς τὸ, « Καὶ ἔσεσθέ μοι λαὸς περιούσιος ἡγιασμένος. » Ἀντὶ γὰρ τοῦ ἀφωρισμένος ἐκ τῶν ἄλλων ἐθνῶν. Ὁ τρόπος οὖν τῆς αὐτοῦ ἀποστολῆς ἀφορίσαι διὰ πνευματικῶν χαρισμάτων ὑπήκοα ἔθνη τῷ σταυρῷ καὶ τῷ πάθει Χριστοῦ ῥαντιζόμενα, οὐ σποδῷ δαμάλεως, ὁπηνίκα δέοι τῆς ἀπὸ τῆς ἐθνικῆς κοινότητος λαβὴν ἀποκαθήρασθαι, ἀλλὰ τῷ ἀπὸ τοῦ πάθους Χριστοῦ αἵματι. Ἅμα δὲ καὶ προανακρούεται διὰ τοῦ αἵματος τὸ διὰ Χριστὸν τῶν εἰς αὐτὸν πιστευόντων μαρτύριον. Ὅθ γὰρ τοῖς τοῦ διδασκάλου ἐν ὑπακοῇ ἑπόμενος ἴχνεσι, πάντως δεῆσαν οὐδὲ αὐτὸς ἂν ἀπόσχηται τὸ ἴδιον αἷμα ἐκχέαι ὑπὲρ τοῦ ἐκχέαντος τὸ ἑαυτοῦ ὑπὲρ τοῦ κόσμου παντός. « Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ. » Τοῖς ἐκ περιτομῆς οὗτος ἐπιστέλλει, ὡς ὁ μακάριος Ἰάκωβος. Ἀλλ' ἐκεῖνος μὲν ἀορίστως πᾶσι τοῖς ὑπὸ τὴν οἰκουμένην κατοικοῦσιν Ἰουδαίοις ὁπουδήποτε οὖσιν. Οὗτος δὲ ἀφωρισμένως τοῖς κλίμασι Πόντου Γαλατίας. Τὸ, Πόντου, δὲ προστίθησι Γαλατίας. Ἔστι γὰρ καὶ ἄλλη κατὰ Κελτοὺς Γαλατία, ἥτις καὶ ὄντως Γαλατία, ἀφ' ἧς καὶ οὗτοι μετῳκίσθησαν ἐνταῦθα. Τούτοις οὖν καὶ τοῖς λοιποῖς ἔθνεσι τοῖς ἐγκειμένοις τῇ προγραφῇ ποιεῖται τὸν λόγον, ἐγκυκλίῳ ταύτῃ χρώμενος Ἐπιστολῇ. Τὸ ἐξῆς, μετὰ προσθήκης τῶν ἐλλιπῶς εἰρημένων. Τοῦτο δὲ σαφηνείας χάριν, ἔτι δὲ μεταλήψεως καὶ μεταποιήσεως τῶν κατὰ τὴν λέξιν τύπων.

Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ κατὰ πρόγνωσιν Θεοῦ Πατρὸς ἀπεσταλμένος εἰς τὸ ἀφορίζειν αὐτῷ ἐν πνεύματι, καὶ ὑπηκόους ποιεῖν τοὺς τὸν ῥαντισμὸν τοῦ αἵματος Ἰησοῦ Χριστοῦ καθάρσιον δεξαμένους, ὑμῖν τοῖς ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου Γαλατίας, Καππαδοκίας, Ἀσίας καὶ Βιθυνίας, χάρις καὶ εἰρήνη πληθυνθείη. Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ διὰ τὸν ἀνυπέρβλητον αὐτοῦ πλοῦτον καὶ ἔλεον διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἀναγεννήσας ἡμᾶς ἤτοι μεταποιήσας, καὶ μεταθέμενος εἰς ἐλπίδα ζῶσαν,

A interpositionem collocentur : nam significant ad quos scribatur Epistola. Usus est autem ea particula juxta præscientiam Dei, ad significandum quod in nullo sit prophetis posterior qui et ipsi missi fuerant, nisi tempore. Quod autem missi fuerint et prophetæ, dicit Isaias cum ait : « Ad annuntiandum pauperibus lætum nuntium misit me [1]. » Sed quanquam tempore posteriores tulerit, non tamen præscientia Dei, sed in hoc parem se demonstrat cum Jeremia, qui priusquam in utero formatus fuisset, cognitus fuerat et sanctificatus ac propheta ad gentes designatus. Et quoniam prophetæ inter cætera, Christi adventum designaverant (ob hoc enim missi fuerant) hic necessitatem sui addit apostolatus dicens : In sanctificationem Spiritus missus sum in
B obedientiam et aspersionem sanguinis Jesu Christi : hoc significans per ea quæ proponuntur : Hic est modus mei apostolatus, ad segregandum. Nam hoc designat per Sanctificationem : sicut cum dicitur, « Et eritis mihi populus peculiaris sanctificatus [2], » hoc est segregatus ex aliis gentibus. Modus igitur apostolatus ipsius fuit, ut separaret per dona spiritualia gentes obedientes, aspersas passione et sanguine Christi, non cinere juvencæ, cum purgari oportet, sumpta occasione a coinquinatione ethnicorum ; sed sanguine accepto a passione Christi. Simul autem et præludio quodam tangit martyrium sanguinis propter Christum susceptum ab his qui credunt in ipsum : nam qui per obedientiam vestigia sequitur præceptoris, cum omnino necesse fuerit
C nec ipse recusabit proprium fundere sanguinem, pro eo qui suum pro toto mundo effudit. « Petrus apostolus Jesu Christi. » Hic illis scribit qui erant ex circumcisione, sicut et beatus Jacobus, sed ille quidem indefinite omnibus Judæis qui orbem inhabitarent, ubicunque essent ; hic autem definite climatibus ponti Galatiæ. Addidit autem Ponti ad Galatiam. Est enim et alio juxta Celtas Galatia quæ etiam vere Galatia est, a qua et hi transmigraverant de quibus nunc agit. His ergo cæterisque gentibus quæ in præscriptione ponuntur sermonem dirigit, universali sive generali hac usus Epistola. Litteræ ergo series hæc est, cum additione eorum quæ per defectum dicta sunt manifestationes gratia, **483**
D propterea etiam cum transsumptione ac mutatione figurarum ad verbum.

Petrus apostolus Jesu Christi juxta præscientiam Dei Patris, missus ad segregandum ipsi in spiritu, et obedientes faciendum eos qui expiatricem susceperunt aspersionem sanguinis Jesu Christi, vobis electis advenis sparsim incolentibus Ponti Galatiam, Cappadociam, Asiam, ac Bithyniam, gratia et pax multiplicetur. Benedictus Deus et Pater Domini nostri Jesu Christi qui per incredibilem suam opulentiam et misericordiam per resurrectionem Jesu Christi ex mortuis regneravit nos, sive transmutavit et transposuit in spem vivam in hæreditatem

[1] Isa. LXI, 1. [2] Deut. XIV, 2.

in his quæ facto non respondent. « Ut non in condemnationem cadatis. » Ὑπόκρισιν dicit κατάκρισιν, id est condemnationem, quæ subsequitur eos qui incessanter et sine delectu jurant : et jurandi consuetudine ad perjurium feruntur. Aut etiam dictio ὑπόκρισιν hoc loco proprium habet significatum (puta simulationem) quod aliud est et aliud apparet. Quomodo ergo in hypocrisim cadit is qui jurat? cum juramento creditur quidem verax esse, at subsequenti transgressione mendax pro veraci deprehenditur. Aut etiam quia val, id est certe, non ad confirmationem profertur, neque οὔ, id est, non, ad id quod non respondet facto. Per Deum autem jurare prohibet propter perjurium : per cœlum vero et reliqua, ne et hæc ad divinum honorem referantur. Quicunque enim jurant, per majorem jurant.

βεβαίου, καὶ ἡ ἀπαγόρευσις ἐπὶ μὴ οἷος γενέσθαι. « Ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε. » Τὴν *ὑπόκρισιν* ἤτοι τὴν *κατάκρισιν* λέγει, ἥτις ἐπακολουθεῖ τοῖς ἀφειδῶς ὀμνύουσι, καὶ διὰ τῆς συνηθείας τῶν ὅρκων ἐπὶ τὸ ἐπιορκεῖν ἐκφερομένοις. Ἢ καὶ αὐτὸ τὸ ὑποκρίνεσθαι σημαίνει ἐνταῦθα τὸ ὄνομα, ὃ ἄλλο ὄν, ἕτερον φαίνεται. Πῶς οὖν εἰς ὑπόκρισιν ὁ ὀμνὺς πίπτει ; Πιστευόμενος μὲν διὰ τῶν ὅρκων ἀληθὴς εἶναι, παραβάσεως δὲ ἐπακολουθούσης, ψεύστης ἀντὶ τοῦ ἀληθοῦς ἀποφαινόμενος. Ἢ καὶ τὸ, *Ναί*, μὴ ἐπὶ βεβαίου προφέρων, μηδὲ τὸ, *Οὔ*, ἐπὶ τοῦ μὴ οὕτω πεπρᾶχθαι. Κωλύει δὲ κατὰ Θεοῦ ὀμνύειν διὰ τὴν ἐπιορκίαν, κατὰ δὲ τοῦ οὐρανοῦ καὶ τῶν ἄλλων, διὰ τὸ μὴ καὶ ταῦτα εἰς Θεοῦ τιμὴν ἀνάγειν. Πάντες γὰρ οἱ ὀμνύοντες κατὰ τοῦ μείζονος ὀμνύουσι.

V. 13-18. *Affligitur aliquis inter vos? oret. Æquo animo est aliquis? psallat. Infirmatur quis inter vos? accersat presbyteros ecclesiæ, et orent super eum, ungentes eum oleo in nomine Domini, et obsecratio fidei salvum reddet laborantem, et eriget eum Dominus : et si in peccatis fuerit, remittentur ei. Confitemini invicem delicta, et orate pro vobis invicem ut sanemini. Multum valet deprecatio justi efficax. Elias homo erat similiter obnoxius affectionibus sicut nos, et precatione precatus est ne plueret, et non pluit super terram annos tres et menses sex. Rursumque oravit, et cœlum dedit pluviam, et terra produxit fructum suum.*

Κακοπαθεῖ τις ἐν ὑμῖν ; προσευχέσθω. Εὐθυμεῖ τις ; Ψαλλέτω. Ἀσθενεῖ τις ἐν ὑμῖν ; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου. Καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος, κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ. Ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε. Πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ὑμῖν, καὶ προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι, καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ. Καὶ πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς ὑετὸν ἔδωκε, καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς.

Afflictionem comitatur oratio, ut ei qui affligitur levior fiat exitus afflictionum sive tentationum. Deinde ubi **478** precatione placuerit ea quæ nobis molesta sunt, et ad suum statum ac tranquillitatem pervenerit anima, tunc psallat, ut quæ sibi commoda sunt multiplicentur, ac delectetur spirituali exsultatione. Siquidem hilaritas ac jucunditas rectus animi status est, juxta magnum quoque nostrum Basilium, hymnorum sive divinarum laudum consolationes gratiam conferunt. Itaque qui non ita processit, neque ad hujusmodi statum pervenit, quem et David sanctitatem vocat : « Psallite, inquiens, Domino sancti ejus [57], » magnas agit nugas, vane et inaniter psallens, quemadmodum etiam proverbio dicunt. « Ungentes oleo. » Hoc etiam Domino inter homines adhuc conversante faciebant apostoli, ungentes ægrotos oleo et sanantes [58]. « Deprecatio efficax. » Efficax est justi oratio, quando is pro quo precatur, spirituali afflictione juverit cum qui precatur. Si enim aliis pro nobis orantibus, nos vacemus deliciis ac dissolutionibus, vitæque plenæ transgressionibus, dissolvimus per hoc vehementiam orationis quæ certat pro nobis : et completur in nobis illud beati Petri : Unus ædificans et unus destruens, quid prodest illis nisi labor?

Τῇ κακοπαθείᾳ προσευχὴ παρομαρτεῖ, ἵνα κουφοτέρα τῷ πειραζομένῳ αὐτῷ ἡ διέξοδος τῶν πειρασμῶν γένηται. Εἶτα ἐπειδὰν διὰ τῆς προσευχῆς κατευνασθῇ τὰ διοχλοῦντα ἡμῖν. Καὶ πρὸς τὴν οἰκίαν κατάστασιν καὶ ἀταραξίαν ἀφίκηται ἡ ψυχὴ, τηνικαῦτα ψαλλέτω ἵνα τὰ χρηστὰ αὐτῷ πολυπλασιασθῇ, καὶ ἐντρυφήσῃ τῷ πνευματικῷ ἀγαλλιάματι. Τὸ γὰρ ἱλαρὸν καὶ ἄλυπον κατάστημα τῆς ψυχῆς, κατὰ τὸν ἡμέτερον καὶ μέγαν Βασίλειον, αἱ τῶν ὕμνων παρηγορίαι χαρίζονται. Ὁ γάρ τοι μὴ οὕτω προβὰς μηδὲ τὸ τοιοῦτο κατάστημα φθάσας, ὃ καὶ Δαυὶδ ὁσιότητα καλεῖ. « Ψάλατε γάρ, φησὶ, τῷ Κυρίῳ, οἱ ὅσιοι αὐτοῦ. » Λῆρον μακρὸν ἐξανύει τηνάλλως καὶ κενὴν ψάλλων, ὡς οἱ παροιμιαζόμενοί φασιν. « Ἀλείψαντες ἐλαίῳ. » Τοῦτο καὶ τοῦ Κυρίου ἔτι τοῖς ἀνθρώποις συναναστρεφομένου οἱ ἀπόστολοι ἐποίουν, ἀλείφοντες τοὺς ἀσθενοῦντας ἐλαίῳ καὶ ἰώμενοι. « Δέησις ἐνεργουμένη. » Ἐνεργεῖται ἡ τοῦ δικαίου εὐχὴ, ὅταν καὶ ὁ ὑπὲρ οὗ εὔχεται συμπράττῃ διὰ κακώσεως πνευματικῆς τῷ εὐχομένῳ. Ἂν γὰρ ἑτέρων ὑπὲρ ἡμῶν εὐχομένων, σπατάλαις ἡμεῖς σχολάζωμεν καὶ ἀνέσεσι καὶ ἐκδεδιητημένῳ βίῳ, ἐκλύομεν διὰ τούτου τὸ σύντονον τῆς εὐχῆς τοῦ ὑπὲρ ἡμῶν ἀγωνιζομένου. Καὶ γίνεται ἐφ' ἡμῖν τὸ τοῦ μακαρίου Πέτρου· Εἷς οἰκοδομῶν καὶ εἷς καθαίρων, τίδὲν ὠφέλησεν ἢ κόπους;

[57] Psal. xx, 5. [58] Marc. vi, 13.

Ἀδελφοί, ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτόν, γινωσκέτω ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν.

« Καὶ ἐπιστρέψῃ τις αὐτόν, γινωσκέτω. » Ὅτι διακονητέον τῇ τοῦ πλησίον σωτηρίᾳ. « Ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλόν. » Τοῦτο καὶ Ἱερεμίας φησί. « Καὶ ἐὰν ἐξαγάγῃς τίμιον ἀπὸ ἀναξίου, ὡς στόμα μου ἔσῃ. » Στόμα γὰρ γίνεται Θεοῦ πᾶς ὁ τοὺς λόγους αὐτοῦ ἀπαγγέλλων. « Οὐ γὰρ ὑμεῖς ἐστε, φησίν, οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρός μου, τὸ λαλοῦν ἐν ὑμῖν. » Δι' ὃ καὶ τὸν ἁμαρτωλὸν ἀποκωλύει διὰ τοῦ Δαυὶδ, ἐκδιηγεῖσθαι τὰ δικαιώματα αὐτοῦ, καὶ τὴν διαθήκην ἀναλαμβάνειν διὰ στόματος.

Τέλος σὺν Θεῷ, τῆς Ἰακώβου καθολικῆς Ἐπιστολῆς.

A V, 19, 20. *Fratres, si quis inter vos erraverit a veritate, et converterit quis eum, sciat quod qui converti fecerit peccatorem ab errore viæ suæ, salvam faciet animam a morte, et operiet multitudinem peccatorum.*

« Et converterit quis eum, sciat. » Quia inserviendum est saluti proximi. « Qui converti fecerit peccatorem. » Hoc et Jeremias dicit : « Et si separaveris pretiosum a vili, quasi os meum eris [59]. » Dei namque os efficitur quisquis illius sermones annuntiat. « Non enim vos estis, inquit, illi loquentes, sed Spiritus Patris mei qui loquitur in vobis [60]. » Propter quod etiam peccatorem prohibet per David [61], ne enarret justificationes suas, et testamentum assumat ore suo.

Finis, divino favente auxilio, Epistolæ catholicæ Jacobi.

[59] Jerem. xv, 12. [60] Matth. x, 19. [61] Psal. xlix, 16.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗΣ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ

ARGUMENTUM

PRIORIS CATHOLICÆ PETRI EPISTOLÆ.

Ταύτην ὁ Πέτρος αὐτὸς τοῖς ἐν τῇ διασπορᾷ οὖσιν B Ἰουδαίοις καὶ γενομένοις Χριστιανοῖς, γράφει τὴν Ἐπιστολὴν διδασκαλικήν. Ἐπειδὴ γὰρ ἀπὸ Ἰουδαίων ἐπίστευσαν, ἐπιστηρίζει αὐτούς. Καὶ πρῶτον μὲν ἐξηγεῖται, καὶ ἀποδείκνυσιν, ὅτι ἡ εἰς Χριστὸν πίστις ἀπὸ τῶν προφητῶν κατηγγέλη, καὶ δι' αὐτῶν ἐμηνύθη ἡ διὰ τοῦ αἵματος αὐτοῦ ἀπολύτρωσις. Καὶ ὅτι αὐτοῖς καὶ τοῖς ἔθνεσιν εὐηγγελίσθη τὰ πάντα, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακῦψαι. Εἶτα συμβουλεύσας, ἀξίως τοῦ καλέσαντος ἀναστρέφεσθαι, προτρέπει καὶ βασιλέας τιμᾷν. Γυναιξί τε καὶ ἀνδράσιν ὁμοφροσύνην παραγγέλλει. Καὶ εἰς τὰ ἤθη παραινέσας ὀλίγα, σημαίνει ὅτι καὶ εἰς τὸν ᾅδην τοῦτο γέγονε παρὰ τοῦ Κυρίου τὸ κήρυγμα τῆς σωτηρίας καὶ ἀναστάσεως, ἵνα οἱ προαποθανόντες C ἀναστῶσι μὲν καὶ κριθῶσιν ἐν τῷ σώματι, τῇ δὲ χάριτι τῆς ἀναστάσεως διαμείνωσι. Καὶ ὅτι τὸ τέλος πάντων λοιπὸν ἤγγικε. Καὶ ὀφείλουσι πάντες ἕτοιμοι γίνεσθαι, ὡς λόγον ἀποδώσοντες τῷ κριτῇ. Καὶ οὕτω τελειοῖ τὴν Ἐπιστολήν.

479 Hanc Epistolam scribit Petrus Judæis, qui effecti Christiani variis locis erant dispersi, qua docet eos. Nam eos qui ex Judæis crediderant confirmat. Et primum quidem enarrat et ostendit quod fides in Christum a prophetis annuntiata sit, et per ipsos significata redemptio quæ per ipsius sanguinem fieret : quodque ipsis ac gentibus annuntiata sint omnia ad quæ desiderant angeli prospicere. Deinde ubi suasit ut digne ad eum qui ipsos vocavit conversentur, exhortatur ut etiam regibus honorem deferant et mulieribus ac viris concordiam præcipit et pauca circa mores exhortatus, significat quod etiam in infernum facta sit a Domino prædicatio salutis ac resurrectionis : ut qui prius mortui sunt, resurgant quidem et judicentur in corpore, sed per gratiam resurrectionis perseverent. Et quod finis omnium deinceps immineat, debentque omnes parati esse, tanquam judici rationem reddituri : et ita concludit Epistolam.

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΠΕΤΡΟΥ ΠΡΩΤΗΣ ΚΑΘΟΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ.

α'. *Περὶ τῆς ἐν Χριστῷ ἀναγεννήσεως, καὶ περὶ*

PRIORIS PETRI EPISTOLÆ CATHOLICÆ CAPITA.

1. *De regeneratione in Christo, et de patientia in*

tentationibus et afflictionibus, ac de salutari fide quæ prænuntiata est a prophetis.

2. *De spe et sanctificatione firmaque conversione, quæ necessaria est præter adoptionem.*

3 *Quod digne vivendum sit juxta adoptionem per Christum, ad utilitatem quoque eorum qui extranei sunt, ad gloriam Dei.*

4. *De subjectione erga præfectos, et fraterno amore ac divino cultu : in quo agit de servorum subjectione et toleranti patientia propter Christum. De obedientia mulierum et concordia erga viros, ac salute quæ est in spiritu , in figuram Sarræ : de virorum erga mulieres comportatione. De mansueta erga omnes clementia, cujus typus fuit Dei benignitas in Noe, in nobis autem Christi* **480** *per baptismum condolentia.*

5. *De rejectione pravarum actionum, et repetitione fructuum in spiritu juxta donorum diversitatem.*

6. *Quod ex consortio ad Christum necesse sit naturales vincere adversitates , et ex spe ad ipsum ferre damna ab aliis illata.*

7. *Admonitio presbyterorum de cura et visitatione gregis : in qua etiam agit de communi omnium modestia erga singulos, ad victoriam adversus diabolum*

8. *Precatio pro perfectione credentium.*

A ὑπομονῆς πειρασμῶν, καὶ περὶ σωτηριώδους πίστεως προκατηγγελμένης ὑπὸ τῶν προφητῶν.

β'. Περὶ ἐλπίδος καὶ ἁγιασμοῦ, τῆς τε ὀφειλομένης ἐπὶ τῇ υἱοθεσίᾳ ἀσφαλοῦς ἀναστροφῆς.

γ'. Περὶ τοῦ ἐπαξίως τῆς υἱοθεσίας ζῆν ἐν Χριστῷ, πρὸς ὠφέλειαν καὶ τῶν ἔξωθεν πρὸς δόξαν Θεοῦ.

δ'. Περὶ τῆς πρὸς ἄρχοντας ὑποταγῆς, καὶ φιλαδελφίας, καὶ θεοσεβείας. Ἐν ᾧ περὶ δούλων ὑποταγῆς καὶ ἀνεξικάκου ὑπομονῆς διὰ Χριστόν. Περὶ ὑπακοῆς γυναικῶν καὶ ὁμονοίας τῆς πρὸς τοὺς ἄνδρας καὶ σωτηρίας τῆς ἐν πνεύματι εἰς τύπον Σάρρας. Περὶ τῆς ἀνδρῶν πρὸς γυναῖκας συμπεριφορᾶς. Περὶ τῆς πρὸς ἅπαντας ἐπιεικοῦς ἀνεξικακίας, ἧς τύπος ἡ ἐπὶ Νῶε τοῦ Θεοῦ φιλανθρωπία, ἐφ' ἡμᾶς δὲ ἡ διὰ βαπτίσματος τοῦ Χριστοῦ συμπάθεια.

ε'. Περὶ ἀποθέσεως φαύλων πράξεων, καὶ ἐπαναλήψεως τῶν ἐν Πνεύματι καρπῶν κατὰ τὴν διαφορὰν τῶν χαρισμάτων.

ς'. Ὅτι κοινωνίᾳ τῇ πρὸς Χριστὸν κρατεῖν χρεὼν τῶν φυσικῶν παθῶν, ἐλπίδι τε τῇ εἰς αὐτὸν φέρειν τὰς παρ' ἑτέρων βλάβας.

ζ'. Παραίνεσις πρεσβυτέρων περὶ ἐπισκοπῆς τοῦ ποιμνίου. Ἐν ᾧ περὶ κοινῆς πάντων πρὸς ἕκαστον ταπεινοφροσύνης, εἰς νίκην τὴν κατὰ τοῦ διαβόλου.

η'. Εὐχὴ ὑπὲρ τελειώσεως τῶν πιστευόντων.

ΠΕΤΡΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΩΤΗ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ

PETRI APOSTOLI

PRIOR EPISTOLA CATHOLICA.

481 CAPUT I.

De regeneratione in Christo, et de patientia in tentationibus et afflictionibus, ac de salutari fide quæ prænuntiata est a prophetis.

1, 1, 2. *Petrus Apostolus Jesu Christi electis advenis sparsim incolentibus Ponti Galatiam, Cappadociam, Asiam et Bithyniam, juxta præscientiam Dei Patris, in sanctificationem Spiritus, in obedientiam et aspersionem sanguinis Jesu Christi, gratia vobis et pax multiplicetur.*

Series et ordo hoc modo colligitur : Petrus Apostolus Jesu Christi juxta præscientiam Dei Patris in sanctificationem Spiritus in obedientiam et aspersionem sanguinis Jesu Christi. Reliqua vero **482** per

C ΚΕΦΑΛ. Α'.

Περὶ τῆς ἐν Χριστῷ ἀναγεννήσεως καὶ περὶ ὑπομονῆς πειρασμῶν, καὶ περὶ σωτηριώδους πίστεως προκατηγγελμένης ὑπὸ τῶν προφητῶν.

Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλεκτοῖς παρεπιδήμοις, διασπορᾶς Πόντου Γαλατίας, Καππαδοκίας, Ἀσίας καὶ Βιθυνίας, κατὰ πρόγνωσιν Θεοῦ Πατρὸς ἐν ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ.

Τὸ ἐφέξης, Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ κατὰ πρόγνωσιν Θεοῦ Πατρὸς, ἐν ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ. Τὰ δὲ λοιπὰ μεταξὺ τούτων κεῖσθω. Δηλεῖ

γὰρ τοὺς πρὸς οὓς ἡ Ἐπιστολή. Ἐχρήσατο δὲ τῷ, κατὰ πρόγνωσιν Θεοῦ, δηλῶν ὅτι μηδὲν ὑστερεῖ τῶν προφητῶν, οἱ καὶ αὐτοὶ ἀπεστάλησαν, εἰ μὴ τῷ χρόνῳ. Ὅτι δὲ ἀπεστάλησαν καὶ οἱ προφῆται, Ἡσαΐας φησὶν ἐν τῷ, « Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με. » Ἀλλ' εἰ καὶ τῷ χρόνῳ ὑστερεῖ, ἀλλ' οὐχὶ καὶ τῇ προγνώσει τοῦ Θεοῦ, ἀλλὰ κατὰ τοῦτο ἐνάμιλλον ἑαυτὸν Ἱερεμίᾳ ἀποφαίνει πρὸ τοῦ ἐν κοιλίᾳ πλασθῆναι ἐγνωσμένῳ τε καὶ ἡγιασμένῳ, καὶ προφήτην εἰς ἔθνη τεθειμένῳ. Καὶ ἐπειδὴ οἱ προφῆται μεθ' ἑτέρων καὶ τὴν Χριστοῦ προκατήγγειλαν παρουσίαν, (Ἀπεστάλησαν γάρ, διὰ τοῦτο), οὗτος προστίθησι τὴν χρείαν τῆς ἀποστολῆς, καί φησιν ὅτι, Ἐν ἁγιασμῷ ἀπεστάλην Πνεύματος εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ, τοῦτο δηλῶν διὰ τῶν προκειμένων, ὅτι ὁ τρόπος τῆς ἐμῆς ἀποστολῆς οὗτος, ἀφορίσαι. Τοῦτο γὰρ διὰ τοῦ Ἁγιασμοῦ παριστᾷ, ὡς τὸ, « Καὶ ἔσεσθέ μοι λαὸς περιούσιος ἡγιασμένος. » Ἀντὶ γὰρ τοῦ ἀφωρισμένος ἐκ τῶν ἄλλων ἐθνῶν. Ὁ τρόπος οὖν τῆς αὐτοῦ ἀποστολῆς ἀφορίσαι διὰ πνευματικῶν χαρισμάτων ὑπήκοα ἔθνη τῷ σταυρῷ καὶ τῷ πάθει Χριστοῦ ῥαντιζόμενα, οὐ σποδῷ δαμάλεως, ὁπηνίκα δέοι τῆς ἀπὸ τῆς ἐθνικῆς κοινότητος λαβὴν ἀποκαθήρασθαι, ἀλλὰ τῷ ἀπὸ τοῦ πάθους Χριστοῦ αἵματι. Ἅμα δὲ καὶ προαναχρούεται διὰ τοῦ αἵματος τὸ διὰ Χριστὸν τῶν εἰς αὐτὸν πιστευόντων μαρτύριον. Ὃ γὰρ τοῖς τοῦ διδασκάλου ἓν ὑπακοῇ ἑπόμενος ἔχνεσι, πάντως δεῆσαν οὐδὲ αὐτὸς ἂν ἀπόσχηται τὸ ἴδιον αἷμα ἐκχέαι ὑπὲρ τοῦ ἐκχέαντος τὸ ἑαυτοῦ ὑπὲρ τοῦ κόσμου παντός. « Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ. » Τοῖς ἐκ περιτομῆς οὗτος ἐπιστέλλει, ὡς ὁ μακάριος Ἰάκωβος. Ἀλλ' ἐκεῖνος μὲν ἀορίστως πᾶσι τοῖς ὑπὸ τὴν οἰκουμένην κατοικοῦσιν Ἰουδαίοις ὁπουδήποτε οὖσιν. Οὗτος δὲ ἀφωρισμένως τοῖς κλίμασι Πόντου Γαλατίας. Τὸ, Πόντου, δὲ προστίθησι Γαλατίας. Ἔστι γὰρ καὶ ἄλλη κατὰ Κελτοὺς Γαλατία, ἥτις καὶ ὄντως Γαλατία, ἀφ' ἧς καὶ οὗτοι μετῳκίσθησαν ἐνταῦθα. Τούτοις οὖν καὶ τοῖς λοιποῖς ἔθνεσι τοῖς ἐγκειμένοις τῇ προγραφῇ ποιεῖται τὸν λόγον, ἐγκυκλίῳ ταύτῃ χρώμενος Ἐπιστολῇ. Τὸ ἑξῆς, μετὰ προσθήκης τῶν ἐλλιπῶς εἰρημένων. Τοῦτο δὲ σαφηνείας χάριν, ἔτι δὲ μεταλήψεως καὶ μεταποιήσεως τῶν κατὰ τὴν λέξιν τύπων.

Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ κατὰ πρόγνωσιν Θεοῦ Πατρὸς ἀπεσταλμένος εἰς τὸ ἀφορίζειν αὐτῷ ἐν πνεύματι, καὶ ὑπηκόους ποιεῖν τοὺς τὸν ῥαντισμὸν τοῦ αἵματος Ἰησοῦ Χριστοῦ καθάρσιον δεξαμένους, ὑμῖν τοῖς ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου Γαλατίας, Καππαδοκίας, Ἀσίας καὶ Βιθυνίας, χάρις καὶ εἰρήνη πληθυνθείη. Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ διὰ τὸν ἀνυπέρβλητον αὐτοῦ πλοῦτον καὶ ἔλεον διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἀναγεννήσας ἡμᾶς ἤτοι μετεποίησας, καὶ μεταθέμενος εἰς ἐλπίδα ζῶσαν,

interpositionem collocentur : nam significant ad quos scribatur Epistola. Usus est autem ea particula juxta præscientiam Dei, ad significandum quod in nullo sit prophetis posterior qui et ipsi missi fuerant, nisi tempore. Quod autem missi fuerint et prophetæ, dicit Isaias cum ait : « Ad annuntiandum pauperibus lætum nuntium misit me [1]. » Sed quanquam tempore posteriores tulerit, non tamen præscientia Dei, sed in hoc parem se demonstrat cum Jeremia, qui priusquam in utero formatus fuisset, cognitus fuerat et sanctificatus ac propheta ad gentes designatus. Et quoniam prophetæ inter cæteta, Christi adventum designaverant (ob hoc enim missi fuerant) hic necessitatem sui addit apostolatus dicens : In sanctificationem Spiritus missus sum in obedientiam et aspersionem sanguinis Jesu Christi : hoc significans per ea quæ proponuntur : Hic est modus mei apostolatus, ad segregandum. Nam hoc designat per Sanctificationem : sicut cum dicitur, « Et eritis mihi populus peculiaris sanctificatus [2], » hoc est segregatus ex aliis gentibus. Modus igitur apostolatus ipsius fuit, ut separaret per dona spiritualia gentes obedientes, aspersas passione et sanguine Christi, non cinere juvencæ, cum purgari oportet, sumpta occasione a coinquinatione ethnicorum ; sed sanguine accepto a passione Christi. Simul autem et præludio quodam tangit martyrium sanguinis propter Christum susceptum ab his qui credunt in ipsum : nam qui per obedientiam vestigia sequitur præceptoris, cum omnino necesse fuerit nec ipse recusabit proprium fundere sanguinem, pro eo qui suum pro toto mundo effudit. « Petrus apostolus Jesu Christi. » Hic illis scribit qui erant ex circumcisione, sicut et beatus Jacobus, sed ille quidem indefinite omnibus Judæis qui orbem inhabitarent, ubicunque essent ; hic autem definite climatibus ponti Galatiæ. Addidit autem Ponti ad Galatiam. Est enim et alio juxta Celtas Galatia quæ etiam vere Galatia est, a qua et hi transmigraverant de quibus nunc agit. His ergo cæterisque gentibus quæ in præscriptione ponuntur sermonem dirigit, universali sive generali hac usus Epistola. Litteræ ergo series hæc est, cum additione eorum quæ per defectum dicta sunt manifestationes gratia, **483** propterea etiam cum transsumptione ac mutatione figurarum ad verbum.

Petrus apostolus Jesu Christi juxta præscientiam Dei Patris, missus ad segregandum ipsi in spiritu, et obedientes faciendum eos qui expiatricem susceperunt aspersionem sanguinis Jesu Christi, vobis electis advenis sparsim incolentibus Ponti Galatiam, Cappadociam, Asiam, ac Bithyniam, gratia et pax multiplicetur. Benedictus Deus et Pater Domini nostri Jesu Christi qui per incredibilem suam opulentiam et misericordiam per resurrectionem Jesu Christi ex mortuis regneravit nos, sive transmutavit et transposuit in spem vivam in hæreditatem

[1] Isa. LXI, 1. [2] Deut. XIV, 2.

immortalem et incontaminabilem et immarcessibilem, respositam his qui potentia custodiuntur per fidem ; quæ fides patefacta est nobis ad salutem in tempore hoc extremo, in quo tempore paululum (quandoquidem brevis ac modica est præsens vita) modo mœrore affecti (etiam si oporteat vos mœrore affici propter varias afflictiones ac tentationes) exultatis, hoc scientes quod exploramini, ut comprobatio fidei vestræ longe pretiosior auro quod perit et probatur per ignem, reperiatur in laudem et honorem et gloriam vestri, tunc cum revelabitur Jesus Christus, quem Jesum Christum, cum antea corporaliter non videritis, diligitis : in hunc autem vobis non visum credentes, exsultatis gaudio ineffabili, reportantes finem vestræ, et quis ille est ? Salus animæ : de qua salute etiam prophetæ scrutati sunt et exquisierunt. « Electis advenis. » Advenis, aut propter dispersionem dixit, aut etiam quia omnes qui secundum Deum vivunt advenæ sunt in terra, quemadmodum etiam dicit David : « Advena ego sum apud te et peregrinus sicut omnes patres mei [a]. » Significat autem nomen παρεπίδημος aliud quam προσήλυτος. Id enim significat eum qui aliunde sive peregre advenit, hoc autem παρεπίδημος plus aliquid et abjectius. Quemadmodum enim πάρεργον, id est quod obiter, vilius est quam ἔργον, id est opus, et πάροδος, id est transitus, minus est quam ὁδός, id est via : Siquidem opus et via sunt propria, et quæ studio aguntur, transitus autem et quod obiter fit, veluti quæ his sese ingerunt. Ita et παρεπίδημος, tanquam subsistentiæ sese ingerens, abjectius quidem significare videtur quam ἐπίδημος. « Gratia vobis et pax multiplicetur. » Gratia, eo quod gratis salvemini, cum nihil ad id contuleritis. « Et pax : » hac enim opus est iis qui suum Dominum offenderunt, et inimici ipsius constituti sunt.

A εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον, ἀποκειμένην τοῖς ἐν δυνάμει φρουρουμένοις διὰ πίστεως. Ἥτις πίστις εἰς σωτηρίαν ἀπεκαλύφθη ἡμῖν ἐν τῷ ἐσχάτῳ τούτῳ καιρῷ. Ἐνῷ καιρῷ, μικρὸν ἄρτι (ἐπεὶ μικρὸς καὶ ὀλίγος ὁ παρὼν βίος,) λυπηθέντες (εἴγε καὶ δέον ὑμᾶς λυπηθῆναι διὰ ποικίλων πειρασμῶν,) ἀγαλλιᾶσθε, τοῦτο εἰδότες, ὅτι πειράζεσθε, ἵνα τὸ δοκίμιον τῆς πίστεως ὑμῶν πολὺ τιμιώτερον τοῦ ἀπολλυμένου χρυσίου, διὰ πυρὸς δὲ δοκιμαζομένου, εὑρεθῇ εἰς ἔπαινον καὶ τιμὴν καὶ δόξαν ὑμῶν τότε, ὅτε ἀποκαλύπτεται Ἰησοῦς ὁ Χριστός. Ὃν Ἰησοῦν Χριστὸν ἄρτι σωματικῶς μὴ ἑωρακότες, ἀγαπᾶτε. Εἰς τοῦτον δὲ τὸν μὴ ὁρώμενον ὑμῖν πιστεύοντες ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν. Καὶ τί τοῦτο ; Σωτηρία ψυχῆς. Περὶ ἧς σωτηρίας καὶ οἱ προφῆται ἠρεύνησαν καὶ ἐξήτησαν. « Ἐκλεκτοῖς παρεπιδήμοις. » Τὸ, Παρεπιδήμοις, ἤτοι διὰ τὴν διασποράν εἶπεν, ἢ καὶ ὅτι πάντες οἱ κατὰ Θεὸν ζῶντες παρεπίδημοι λέγονται τῆς γῆς, ὡς καὶ Δαυὶδ φησιν, ὅτι « Πάροικος ἐγὼ παρὰ σοὶ καὶ παρεπίδημος, καθὰ πάντες οἱ πατέρες μου. » Σημαίνει δὲ τὸ ὄνομα οὐ ταὐτὸν τῷ προσηλύτῳ (τοῦτο γὰρ τὸν ἀλλαχόθεν ἐλθόντα σημαίνει, ἤτοι ἐπιδημήσαντα), ἀλλὰ πλέον τι καὶ εὐτελέστερον. Ὥσπερ γὰρ τοῦ ἔργου τὸ *πάρεργον* εὐτελέστερον καὶ τῆς ὁδοῦ ἡ *πάροδος*, (*ἔργον* μὲν γὰρ καὶ *ὁδὸς*, αὐτὰ τὰ κύρια καὶ αὐθεντικῶς πραττόμενα, πάρεργον δὲ καὶ πάροδος, τὰ τούτοις οἱονεὶ παρυφιστάμενα,) οὕτω καὶ τῷ ἐπιδήμῳ τὸ *παρεπίδημος* ὡς παρυπόστασις ὁρᾶται εὐτελέστερον σημαίνων. « Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη. » Χάρις διὰ τὸ προῖκα καὶ μηδὲν εἰσενεγκόντας ἡμᾶς σώζεσθαι. « Καὶ εἰρήνη. » Ταύτης γὰρ χρεία τοῖς προσκεκρουκόσι τῷ ἑαυτῶν Δεσπότῃ, καὶ εἰς πολεμίους αὐτοῦ τεταγμένοις.

B

C

D

1, 3. *Benedictus sic Deus et Pater Domini nostri Jesu Christi, qui juxta copiosam misericordiam suam regeneravit nos in spem vivam, per resurrectionem Jesu Christi ex mortuis.*

Benedicit Deum, hanc ipsi gratiarum actionem referens ob bona quæ tribuit. Quæ sunt autem illa quæ data sunt ? Spes, non sicut promissa per Mosen habitatio in terra Chananæa, quæ spes utpote corruptibilis, corruptibilibus promittit corruptibilia : sed viva. Et unde vitam nacta est ? A Jesu Christo qui resurrexit ex mortuis. Per hoc enim quod resurrexit, eamdem tribuit resurrectionem et illis qui per fidem in ipsum accedunt ad eum. Spes igitur viva quæ datur, est hæreditas incorruptibilis et incontaminabilis, non in terra reposita, quemadmodum patribus, sed in cœlis, unde etiam perpetuitatem nacta est, quod etiam majus est quam hæreditas quæ est in terra. Et propterea conservatio et custodia credentium : quandoquidem etiam hoc orabat Dominus dicens : « Serva eos, Pater sancte [b]. » Sed et potentia. Et quæ est patentia ? Quæ duret usque ad

Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν, δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν.

Εὐλογεῖ τὸν Θεὸν ταύτην αὐτῷ τῶν ἀγαθῶν ὧν δίδωσιν εὐχαριστίαν ἀντιδιδούς. Τίνα δὲ τὰ δωρούμενα ; Ἐλπὶς, οὐχ οἷα ἡ διὰ Μωσέως ἐν τῇ Χαναναίᾳ γῇ κατοικία, ἥτις θνητὴ θνητοῖς ἐπαγγέλλεται θνητά, ἀλλὰ ζῶσα. Καὶ πόθεν τὸ ζῆν ἔχουσα ; Ἀπὸ τοῦ ἐκ νεκρῶν ἀναστάντος Ἰησοῦ Χριστοῦ. Ἐν οἷς γὰρ ἀνέστη, τῆς αὐτῆς ἀξιώσει καὶ τοὺς διὰ πίστεως τῆς εἰς αὐτὸν προσιόντας αὐτῷ. Ἐλπὶς οὖν ζῶσα τὸ διδόμενον, κληρονομία ἄφθαρτος καὶ ἀμίαντος, οὐκ ἐν γῇ, ὡς τοῖς πατράσιν, ἀποκειμένη, ἀλλ' ἐν οὐρανοῖς. Ἀφ' οὗ καὶ τὸ διαιωνίζον κέκτηται. Ὃ καὶ μεῖζον τῆς ἐν γῇ κληρονομίας. Καὶ πρός γε τούτοις, συντήρησις καὶ φρουρὰ τῶν πιστευόντων. Ἐπεὶ καὶ τοῦτο προσηύξατο ὁ Κύριος εἰπών. « Τήρησον αὐτοὺς, Πάτερ ἅγιε. » Ἀλλὰ καὶ ἐν δυνάμει. Καὶ τίς ἡ δύναμις ; Τὸ μέχρι τῆς τοῦ Κυρίου ἀποκαλύψεως. Εἰ γὰρ μὴ δυνατὴ ἡ φρουρὰ,

[a] Psal. xxxviii, 13. [b] Joan. xvii, 11.

autem habetis illius misericordia qui de tenebris vos vocavit in admirabilem suam lucem. Ideo per opera vestra in luce facta cæteris hominibus annuntiate virtutes ipsius. Hoc itaque ex illius, inquit, benignitate habetis : quandoquidem quod ad vos attinet populus estis, qui quondam eratis non populus: et misericordiam consecuti, qui quondam non eratis misericordiam consecuti. Efficiens autem ut sermo magis odio careat, ex Osee confirmat opprobrii sermonem[28].« Annuntiate igitur per bonam operationem virtutes ipsius.» Quomodo autem annuntiant? Ipse Dominus docet, cum ait: « Sic luceat lux vestra coram hominibus, ut videant bona opera vestra et glorificent Patrem vestrum, qui in cœlis est [29]. »—« Populus vero qui in lucrum accessit, » hoc est in possessionem sive hæreditatem. Siquidem omnes sunt Dei creatura, possessio vero soli ii qui sua operatione hoc beneficio digni sunt habiti. « Ut virtutes annuntietis. » Propterea, inquit, electi estis, ut per obedientiam dicamini præcones virtutis ejus qui vocavit vos. « Dilecti, obsecro. » Series hoc modo sumenda est: Dilecti, obsecro vos tanquam advenas et peregrinos mundi hujus, ut abstineatis a carnalibus concupiscentiis, quæ militant adversus animam vestram. Moris est namque præceptoribus post doctrinæ sermonem inducere eum qui ad mores pertinet: quod nunc etiam facit beatus hic, appellans ipsos ἀγαπητούς, id est, dilectos sive potius diligibiles et amicos, et non ἀγαπωμένους, id est, utcunque dilectos: propter omnia namque sunt desiderabiles: qui enim ob unum aliquid desiderabiles sunt, ἀγαπώμενοι dicuntur, non ἀγαπητοί. **498** Carnales vero concupiscentias militare dicit adversus animam, quandoquidem juxta beatum quoque Paulum [30], caro concupiscit adversus spiritum. Carnis namque concupiscentiæ circa sensibilium fruitionem versantes, rationem confundunt, animamque servilem efficiunt. Obsecro autem, inquit, et hoc, ut conversationem vestram habeatis honestam inter gentes. Transsumptum est autem ἔχειν, id est, habere, pro ἔχοντες, id est, habentes. Obtrectatores autem nobis inducit Ethnicos. Quod si quis velit hoc discere, ex his quæ scripta sunt ab Irenæo Lugdunensis Galliæ episcopo de Sancto et Blandina martyribus, licebit exacte cognoscere. Ut autem in medium brevibus proponantur, hæc sunt: Cum enim Græci servos horum Christianorum in divinis mysteriis edoctorum apprehendissent, deinde vim inferrent, ut videlicet arcanum quidpiam ab his de Christianis discerent: cum hi servi non haberent quomodo vim inferentibus ad delectationem et gratiam loquerentur, præterquam quod a dominis audierant divinam communionem esse sanguinem et corpus Christi, existimantes ipsi quod vere sanguis et caro esset, hoc responderunt inquirentibus. Illi vero id sumentes, tanquam reipsa hoc perage-

δὲ ἐλέῳ αὐτοῦ τοῦ ἐκ σκότους ὑμᾶς εἰς τὸ θαυμαστικὸν αὐτοῦ καλέσαντος ἔχετε φῶς. Διὸ διὰ τῶν τοῦ φωτὸς ἔργων ὑμῶν, τοῖς ἄλλοις ἀνθρώποις ἐξαγγέλλετε τὰς ἀρετὰς αὐτοῦ. Τοῦτο μὲν οὖν, φησὶν, ἐκ τῆς ἐκείνου ἔχετε φιλανθρωπίας. Ἐπεὶ, τό γε εἰς ὑμᾶς ἧκον, λαός ἐστε, οἵ ποτε οὐ λαὸς, καὶ ἠλεημένοι, οἱ οὐκ ἠλεημένοι. Ἀνεπαχθέστερον δὲ τὸν λόγον ποιῶν, ἐξ Ὡσηὲ πιστοῦται τὸν λόγον, τοῦ ὀνειδισμοῦ· « Ἐξαγγέλλετε τοιγαροῦν διὰ ἀγαθοεργίας τὰς ἀρετὰς αὐτοῦ. » Πῶς δὲ ἐξαγγέλλουσιν; Αὐτὸς ὁ Κύριος διδάσκει δι' ὧν φησιν· « Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. » « Λαὸς δὲ εἰς περιποίησιν, » ἀντὶ τοῦ εἰς κτῆσιν, ἤτοι εἰς κληρονομίαν. Πάντες μὲν γὰρ κτίσμα Θεοῦ. Κτῆμα δὲ, μόνοι οἱ διὰ τῆς ἑαυτῶν ἀγαθοεργίας τούτου ἠξιωμένοι. « Ὅπως τὰς ἀρετὰς ἐξαγγέλλητε. » Διὰ τοῦτο, φησὶν, ἐξελέγητε, ὅπως διὰ τῆς εὐπειθείας, διὰ τῶν ἀγαθῶν ὑμῶν ἔργων, κήρυκες χρηματίσητε τῆς ἀρετῆς τοῦ καλέσαντος ὑμᾶς. « Ἀγαπητοὶ, παρακαλῶ. » Τὸ ἐξῆς οὕτως· Ἀγαπητοὶ, παρακαλῶ ὑμᾶς ὡς παροίκους ὄντας καὶ παρεπιδήμους τοῦ κόσμου τούτου, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς ὑμῶν. Ἔθος γάρ ἐστι τοῖς διδασκάλοις μετὰ τὸν δογματικὸν λόγον, τὸν ἠθικὸν εἰσάγειν. Ὃ καὶ νῦν ὁ μακάριος οὗτος ποιεῖ. Ἀγαπητοὺς δὲ αὐτοὺς, οὐκ *ἀγαπωμένους* καλεῖ. Διὰ πάντα γάρ εἰσιν ἐπιπόθητοι. Οἱ γὰρ διά τι, *ἀγαπώμενοι* λέγονται, οὐκ *ἀγαπητοί*. Τὰ, δὲ σαρκικὰς ἐπιθυμίας στρατεύεσθαί φησι κατὰ τῆς ψυχῆς, ἐπείτοι καὶ, κατὰ τὸν μακάριον Παῦλον, ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος. Αἱ γὰρ τῆς σαρκὸς ἐπιθυμίαι περὶ τὴν ἀπόλαυσιν στρεφόμεναι τῶν αἰσθητῶν, συνθολοῦσι τὸν λογισμὸν, καὶ ἀνδραποδώδη τὴν ψυχὴν ἀποτελοῦσι. Παρακαλῶ δὲ, φησὶ, καὶ τοῦτο, τὴν ἐν τοῖς ἔθνεσιν ὑμῶν ἀναστροφὴν ἔχειν καλήν. Μετειλῆπται γὰρ τὸ *ἔχειν* εἰς τὸ *ἔχοντες*. Καταλαλοῦντας δὲ εἰσάγει ἡμῶν τοὺς ἐθνικούς. Καὶ εἴ τις βούλεται τοῦτο μαθεῖν, ἐκ τῶν Εἰρηναίῳ τῷ Λουγδούνου τῆς Κελτικῆς ἐπισκόπῳ, περὶ Σάγκτου καὶ Βλανδίνης τῶν μαρτύρων γραφέντων μάθοι ἂν ἀκριβῶς. Ὡς δὲ διὰ βραχέων παραθέσθαι, ἔστι ταῦτα· Χριστιανῶν γὰρ κατηχουμένων δούλους Ἕλληνες συλλαβόντες, εἶτα μαθεῖν τι παρὰ τούτων δῆθεν ἀπόῤῥητον περὶ Χριστιανῶν ἀναγκάζοντες, οἱ δοῦλοι οὗτοι μὴ ἔχοντες πῶς τὸ τιῖς ἀναγκάζουσι καθ' ἡδονὴν ἐρεῖν, παρόσον ἤκουον τῶν δεσποτῶν, τὴν θείαν μετάληψιν αἷμα καὶ σῶμα εἶναι Χριστοῦ, αὐτοὶ νομίσαντες τῷ ὄντι αἷμα καὶ σάρκα εἶναι, τοῦτο ἐξεῖπον τοῖς ἐκζητοῦσι. Οἱ δὲ λαβόντες ὡς αὐτόχρημα τοῦτο τελεῖσθαι Χριστιανοῖς, καὶ δὴ τοῦτο τοῖς ἄλλοις Ἕλλησιν ἐξεπόμπευον. Καὶ τοὺς μάρτυρας Σάγκτον καὶ Βλανδίναν ὁμολογῆσαι διὰ βασάνων ἠνάγκαζον. Οἷς εὐστόχως Βλανδίνα ἐπαῤῥησιάσατο, Πῶς ἄν, εἰποῦσα, τούτων ἀνάσχοιντο οἱ μηδὲ τῶν ἐφειμένων κρεῶν δι' ἄσκησιν ἀπολαύοντες; Ἡμέραν δὲ ἐπισκοπῆς, τὴν κατὰ κόσμον ἐξέτασιν καλεῖ. Ἐξετάσεως γὰρ ὑπ' αὐτῶν τοῦ βίου ἡμῶν γινο-

[28] Osee. II, 1 seqq. [29] Matth. v, 16. [30] Galat. v, 17.

μένης, εἶτα πρὸς τὸ ἐναντίον τῆς ὑπολήψεως τῶν πραγμάτων εὑρισκομένων, αὐτοί τε πρὸς οἷς αἰσχύνονται ἐκανορθοῦνται, καὶ ὁ Θεὸς δοξάζεται.

retur a Christianis, id aliis quoque manifestabant Græcis: et martyres Sanctum et Blandinam tormentis id fateri cogebant. Quibus libere ac scite Blandina locuta est, dicens: Quomodo hæc ferrent qui ob divinum studium ac meditationem ne concessis quidem carnibus vescuntur? Porro diem visitationis vocat inquisitionem mundanorum. Cum enim sit ab eis inquisitio de vita nostra, ubi res contrario modo se habere reperiuntur quam fuerit eorum suspicio, non solum pudefiunt, sed et ipsi corriguntur, et Deus glorificatur.

ΚΕΦΑΛ. Δ.

499 CAPUT IV.

Περὶ τῆς πρὸς ἄρχοντας ὑποταγῆς, καὶ φιλαδελφίας καὶ θεοσεβείας. Ἐν ᾧ περὶ δούλων ὑποταγῆς καὶ ἀνεξικάκου ὑπομονῆς διὰ Χριστόν. Περὶ ὑπακοῆς γυναικῶν καὶ ὁμονοίας τῆς πρὸς τοὺς ἄνδρας, καὶ σωτηρίας τῆς ἐν πνεύματι εἰς τύπον Σάρρας. Περὶ τῆς ἀνδρῶν πρὸς γυναῖκας συμπεριφορᾶς. Περὶ τῆς πρὸς ἅπαντας ἐπιεικοῦς ἀνεξικακίας, ἧς τύπος ἡ ἐπὶ Νῶε τοῦ Θεοῦ φιλανθρωπία. ἐφ' ἡμᾶς δὲ ἡ διὰ βαπτίσματος τοῦ Χριστοῦ συμπάθεια.

De subjectione erga præfectos, et fraterno amore ac divino cultu: in quo agit de servorum subjectione et toleranti patientia propter Christum. De obedientia mulierum et concordia erga viros, ac salute quæ est in spiritu, in figuram Sarræ: de virorum erga mulieres comportatione. De mansueta erga omnes clementia, cujus typus fuit Dei benignitas in Noe, in nobis autem Christi per baptismum condolentia.

Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, εἴτε βασιλεῖ ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν, ὡς δι' αὐτοῦ πεμπομένοις εἰς ἐκδίκησιν μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν, ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ Θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν. Ὡς ἐλεύθεροι καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν, ἀλλ' ὡς δοῦλοι Θεοῦ. Πάντας τιμήσατε. Τὴν ἀδελφότητα ἀγαπᾶτε. Τὸν Θεὸν φοβεῖσθε, τὸν βασιλέα τιμᾶτε.

II, 13-17. *Proinde subjecti estote cuivis humanæ creaturæ propter Dominum: sive regi tanquam præcellenti, sive præsidibus ut qui per eum mittantur ad vindictam quidem nocentium, laudem vero recte agentium. Quoniam sic est voluntas Dei, ut benefaciendo obturetis os hominibus stultis et ignorantibus. Tanquam liberi, et non veluti prætextum habentes malitiæ libertatem, sed tanquam servi Dei. Omnes honorate, fraternitatem diligite. Deum timete, regem honorate.*

Κτίσιν ἀνθρωπίνην τὰς ἀρχὰς λέγει τὰς χειροτονητὰς ὑπὸ τῶν βασιλέων, ἢ καὶ αὐτοὺς τοὺς βασιλεῖς, καθότι καὶ αὐτοὶ ὑπὸ ἀνθρώπων ἐτάχθησαν, ἤτοι ἐτέθησαν. Οἶδε γὰρ ἡ Γραφὴ καὶ τὴν θέσιν κτίσιν καλεῖν, ὡς ἐν τῷ, « Ἵνα τοὺς δύο κτίσῃ εἰς ἕνα καινὸν ἄνθρωπον. » Ἀντὶ γὰρ τοῦ θῆται, ἤτοι κατατάξῃ. Φησὶν οὖν· Ὑποτάγητε τοῖς κοσμικοῖς ἄρχουσιν, ὑποτάγητε δὲ διὰ τὸν Κύριον. Τὸ δέ, Διὰ τὸν Κύριον, ὡς ὁ Κύριος προσέταξε. Τί δὲ ὁ Κύριος προσέταξεν; « Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. » Ὥστε ὅτι ἂν ἔξω προστάσσωσι τοῦ Θεοῦ, παρὰ τὴν διάταξιν ὃν τοῦ Θεοῦ, οὐχ ὑπακουστέον αὐτοῖς. Τοῦτο δὲ ὅλως καὶ ὁ Κύριος καὶ ὁ τούτου μαθητὴς ἐντέλλεται, ἵνα μὴ ἔχωσι λέγειν Ἕλληνες, ὡς ἀνατροπὴν φέρει τοῦ βίου ὁ Χριστιανισμὸς, καὶ ἀταξίας ἐστὶ καὶ συγχύσεως αἴτιος. Προστίθησι δὲ Διὰ τὸν Κύριον, καὶ διὰ τοὺς πιστούς. Εἰκὸς γάρ τινας αὐτῶν ἐρεῖν, ὅτι Τῆς τῶν οὐρανῶν ἡμᾶς βασιλείας ἀξιῶν καὶ μέγα ἡμῖν ἀξίωμα διὰ τούτου περιτιθεὶς, τί πάλιν ἡμᾶς εὐτελίζεις, κοσμικοῖς ἄρχουσιν ὑποτάσσων ἡμᾶς; Εἴ τις οὖν ταῦτα ἐρεῖ, μαθέτω φησὶν, ὡς οὐκ ἐμὸς ὁ λόγος τοῦ προστάγματος τούτου, ἀλλὰ τοῦ Κυρίου. Ἔδειξε δὲ καὶ αὐτὸς ὁ Πέτρος, τίσι καὶ ποίοις ἄρχουσιν ὑποτάσσεσθαι δεῖ, ὅτι τοῖς τὸ δίκαιον ἐκδικοῦσιν. Ἐπιφέρει δὲ καὶ τὴν αἰτίαν, ὅτι καὶ τοῦ Θεοῦ τὸ θέλημα, καὶ ἡμῶν τὸ περὶ τῆς ὑποταγῆς τῆς εἰς τοὺς ἄρχοντας, καλοκαγαθίας ἐστὶ δεῖγμα, καὶ τὸ πλέον, τοὺς ἀπίστους αἰσχύνει. Ἐν ᾧ γὰρ ὡς ἀλαζόνων ἡμῶν καταλαλοῦσι καὶ αὐθαδῶν καὶ ἀνυποτάκτων, ὁρῶντες ἡμᾶς καὶ ταπεινοὺς καὶ πειθηνίους ἐν

Humanam creaturam dicit præsides qui designati sunt a regibus, aut ipsos etiam reges, eo quod et ipsi ab hominibus constituti ac positi sunt. Novit enim Scriptura constitutionem vocare creationem, veluti cum ait: « Ut duos crearet in semetipso in unum novum hominem [31], » hoc est, poneret sive constitueret. Ait ergo: Subjecti estote humanis prineipibus: subjecti autem estote propter Dominum. Propter Dominum vero, id est, quemadmodum Dominus jussit. Quid autem præcepit Dominus? « Reddite quæ sunt Cæsaris Cæsari, 500 et quæ sunt Dei Deo [32]. » Itaque in eo quod jusserint extra Deum, id est, quod præter sive contra Dei constitutionem est, non est ipsis obtemperandum. Hoc autem omnino præcipit et Dominus et ipsius discipulus, ne possent Græci dicere quod vitæ ac politiæ subversionem afferat Christianismus, et inordinationis ac confusionis causa sit. Addit autem, Propter Dominum, etiam ob fideles. Verisimile enim erat quosdam ipsorum dicere: Cum regno cœlorum nos dignos judices, magnamque ex eo dignitatem nobis addas, quare rursum nos dejicis, mundanis principibus nos subijciens? Si quis igitur hoc dixerit, sciat, inquit, non meum esse hujusmodi præcepti sermonem, sed Domini. Ostendit autem et Petrus quibus et qualibus principibus subjici oporteat, nimirum iis qui tuentur quod justum est. Subjungit autem et causam, quoniam et Dei voluntas et nostræ probitatis specimen est in subjectione ad principes, quodque amplius est,

[31] Ephes. II, 15. [32] Matth. XXII, 21.

incredulos pudefacit. Cum enim obloquuntur de nobis, tanquam de arrogantibus et contumacibus ac inobedientibus, videndo nos et humiles et obsequentes in quibus oportet, illorum ora magis obturantur ac pudefiunt. « Tanquam liberi. Ordo talis est: Subjecti estote tanquam liberi, et non veluti prætextum habentes malitiæ libertatem, sed etiam tanquam servi Dei. Nec solum principes, sed et omnes honorate: fraternitatem quidem diligentes, Deum vero timentes, regemque honorantes. Illud autem, Tanquam liberi, Joannes Chrysostomus ita explicavit, dicens: Ne dicant, Liberati sumus a mundo, cœlestes cives facti sumus. et tu nos rursum subjicis principibus, et obedire jubes? propterea dicit: Ita obedite quasi liberi, hoc est, tanquam obtemperantes ei qui liberavit, et hoc facere præcepit. Ita enim non videbimini in mente habere malitiæ, hoc est, inobedientiæ ac impersuabilitatis prætextum ipsam libertatem, propter quam obedire recusatis. Potest autem et juxta aliam considerationem dici quidpiam de ea re. Liber secundum Dominum est, qui nulli absurdæ rei obtemperat. Quoniam ergo in simulatione vitam transigere non liberi est, sed ejus qui affectibus subjectus est, sive assentationis sive cujusvis alterius turpis voluptatis: **501** propter quæ etiam simulationem prætendit quispiam, ne id appareat quod est, et quibus servire sustinuit (hoc autem extraneum est et a Dei famulis alienum), præcipit nunc subjectionem principibus, veris et non fictis moribus exhiberi, ne nos hostiliter erga illos habentes quasi coactam exhibeamus subjectionem; cumque talis lateat in nobis malitia, quod certe sincerum est ac simplex, faciamus prætextum ac velamentum morum, apparentem subjectionem exhibentes, et non eam quæ ex affectu procedit. « Deum timete. » Considera diligentiam quomodo Deo timorem dicit distribui, regi vero honorem, ut si timor Deo reddendus sit qui potest animam et corpus perdere [22], nequaquam regibus obtemperemus, cum nos ad aliquid absurdum exhortantur. Dei namque timor vincere novit etiam honorem qui regibus exhibetur: magis autem ipsos honore privabit qui ab ipsis ad mala cogitur, juxta sanctum qui dixit: Contemnitur coram ipso is qui maligne agit.

A οἷς δεῖ, μᾶλλον φιμοῖντο καὶ καταισχύνοιντο. « Ὡς ἐλεύθεροι. » Τὸ ἑξῆς οὕτως· Ὑποτάγητε ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν, ἀλλὰ καὶ ὡς δοῦλοι Θεοῦ. Μὴ μόνον ἄρχοντας, ἀλλὰ καὶ πάντας τιμήσατε, τὴν ἀδελφότητα μὲν ἀγαπῶντες, τὸν δὲ Θεὸν φοβούμενοι, τὸν δὲ βασιλέα τιμῶντες. Τὸ δέ, Ὡς ἐλεύθεροι, ὁ μὲν χρυσοῦς Ἰωάννης οὕτως ἀνέπτυξεν εἰπών, ὅτι Ἵνα μὴ λέγωσιν, ἠλευθερώθημεν ἀπὸ τοῦ κόσμου, οὐρανοπολῖται γεγόναμεν, καὶ σὺ πάλιν ὑποτάσσεις ἡμᾶς τοῖς ἄρχουσι, καὶ ὑπακούειν προτρέπῃ; τούτου χάριν φησίν· Οὕτως ὑπακούετε ὡς ἐλεύθεροι, τουτέστιν, ὡς πιστεύσαντες τῷ ἐλευθερώσαντι, καὶ προστάξαντι τοῦτο ποιεῖν. Οὕτω γὰρ οὐ δόξετε τῆς κατὰ γνώμην κακίας, τουτέστι, τοῦ ἀπειθοῦς καὶ ἀνηκόου ἔχειν πρόκάλυμμα τὴν ἐλευθερίαν, δι' ἧς ἀναίνεσθε τὴν ὑπακοήν. Ἔστι δὲ καὶ καθ' ἑτέραν ἐπιβολὴν ἐρεῖν τι περὶ αὐτοῦ. Ἐλεύθερός ἐστι κατὰ Κύριον, ὁ μηδενὶ τῶν ἀτόπων ὑπείκων. Ἐπεὶ τοίνυν τὸ ἐν ὑποκρίσει διαβιοῦν οὐκ ἐλευθέρου, ἀλλὰ πάθεσιν ὑποκειμένου, ἤτοι ἀρεσκείας, ἢ τινος ἄλλης αἰσχρᾶς ἡδονῆς, δι' ἃ καὶ μὴ τοῦτο φαίνεσθαι ὅπερ ἐστί τις κατασχηματίζεται, οἷς καὶ δουλεύειν ἀνέχεται (ξένον δὲ τοῦτο καὶ Θεοῦ θεραπόντων ἀλλότριον), προστάττει νῦν τὴν ὑποταγὴν τοῖς ἄρχουσιν ἐξ ἀληθοῦς καὶ ἀδόλου ἐνδείκνυσθαι τρόπου, ἀλλὰ μὴ δυσμενῶς ἔχοντας πρὸς αὐτούς, ὡς κατηναγκασμένην τὴν ὑπακοὴν ἐνεργεῖν, καὶ τῆς τοιαύτης ὑποικουρούσης ἡμῖν κακίας, τὸ ἄδολον δῆθεν καὶ ἁπλοῦν τοῦ τρόπου ποιεῖσθαι προκάλυμμα, B φαινομένην τὴν ὑποταγήν, ἀλλ' οὐχὶ καὶ ἐκ διαθέσεως ταύτην ἐπιτελοῦντας. « Τὸν Θεὸν φοβεῖσθε. » Σκόπει C τὴν ἀκρίβειαν, πῶς· τῷ μὲν Θεῷ τὸν φόβον φησὶν ἀπονέμειν, τῷ βασιλεῖ δὲ τὴν τιμήν. Ὥστε εἰ τῷ Θεῷ τὸν φόβον ἀπονεμητέον τῷ δυναμένῳ καὶ ψυχὴν καὶ σῶμα ἀπολέσθαι, οὐκ ἂν ὑπείξομεν βασιλεῦσιν ἐπί τι τῶν ἀτόπων παρακαλοῦσιν ἡμᾶς. Ὁ γὰρ εἰς τὸν Θεὸν φόβος, νικᾷν οἶδε καὶ τὴν εἰς τοὺς βασιλέας τιμήν. Μᾶλλον δὲ καὶ τῆς τιμῆς αὐτοὺς ἀποστερήσει ὁ ὑπ' αὐτῶν εἰς κακὰ βιαζόμενος, κατὰ τὸν εἰπόντα ἅγιον· Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος.

II, 18-25. *Famuli, subditi sitis cum omni timore dominis, non solum bonis ac benignis, verumetiam pravis. Nam hæc est gratia, si quis propter conscientiam Dei, suffert molestias præter meritum affectus malis. Quæ enim est laus, si, cum peccantes alapis cædimini, sufferatis? At si cum benefacitis et tamen malis afficimini, suffertis, hæc est gratia apud Deum. Siquidem in hoc vocati estis: quoniam et Christus afflictus est pro vobis, relinquens vobis exemplum, ut sequeremini vestigia ejus, qui peccatum non fecerat, nec inventus fuerat dolus in ore ipsius: qui cum maledictis incesseretur, non regessit maledicta: cum malis afficeretur, non minabatur: sed tradebat vindictam ei qui juste judicat; qui pec-*

D *Οἱ οἰκέται ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς. Τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρει τις λύπας πάσχων ἀδίκως. Ποῖον γὰρ κλέος εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε; ἀλλ' εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομενεῖτε, τοῦτο γὰρ χάρις παρὰ Θεῷ. Εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ, ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· ὃς λοιδορούμενος, οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει· παρεδίδου δὲ τῷ κρίνοντι δικαίως. Ὃς τὰς ἁμαρτίας ἡμῶν*

[22] Matth. x, 28.

αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα ταῖς ἁμαρτίαις ἀποτεθνηκότες, τῇ δικαιοσύνῃ ζήσωμεν. Οὗ τῷ μώλωπι αὐτοῦ ἰάθητε. Ἦτε γὰρ ὡς πρόβατα πλανώμενα, ἀλλ' ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν.

A *cata nostra ipse pertulit in corpore suo super lignum ut peccatis mortui, justitiæ vivamus, cujus ejusdem vibice sanati estis. Nam eratis velut oves errantes, sed conversi estis nunc ad pastorem et curatorem animarum vestrarum.*

« Οἱ οἰκέται, ὑποτασσόμενοι. » Προσυπακουστέον τὸ, ἦτε, ἵνα ᾖ, Οἱ οἰκέται, ἦτε ὑποτασσόμενοι. Ὁμοίως καὶ ἐπὶ τοῦ, Αἱ γυναῖκες. « Ἐν παντὶ φόβῳ. » Τοῦ φόβου πολλαχῶς λεγομένου· λέγεται γὰρ φόβος, καὶ ὁ σὺν ἐπιστήμῃ, ὃν οὗτος νῦν διὰ συνειδήσιν φησὶν, ὃς καὶ *εὐλάβεια* καλεῖται· λέγεται φόβος καὶ ὁ παθητικὸς, τουτέστιν, ὁ διὰ κολάσεως πεῖραν τισὶν ἐγγινόμενος, ὃν καὶ τὰ θηρία φοβεῖται· λεγομένου πάλιν φόβου καὶ τοῦ προκαταρκτικοῦ, ὃς τοῖς τῷ Κυρίῳ προσερχομένοις ἐπακολουθεῖ, διὰ τὸ συνειδέναι ἑαυτοῖς πολλὰ ἐπὶ τιμωρίαν ἐκκαλούμενα, ὃν καὶ ἡ ἐν Εὐαγγελίοις πόρνη φοβηθεῖσα προσῆλθε Χριστῷ· ἀλλὰ καὶ τοῦ τελειωτικοῦ φόβου πάλιν λεγομένου, ὃς πᾶσι τοῖς ἁγίοις ἀεὶ πάρεστι, δεδιόσι μήτι ἐλλίπωσι τῶν ὧν εἰκὸς ἐνυπάρχειν τοῖς εἰς τελείαν ἀγάπην ἀναληφθεῖσι· τοσαυταχῶς τοῦ φόβου λεγομένου, εἰ μὲν καὶ διὰ πάντων τούτων δίκαιον τοὺς δούλους τοῖς ἰδίοις προσφέρεσθαι δεσπόταις, οὐκ ἂν ἀπαγορεύσειεν ὁ ἐν παντὶ φόβῳ ὑποτάσσεσθαι τοὺς δούλους τοῖς δεσπόταις παραινῶν νῦν. Ὅ τε γὰρ προκαταρκτικὸς, ὅ τε τελειωτικὸς καλῶς ἂν αὐτοὺς διαθείτο προσών· ὁ μὲν τοῦ μή ποτε διὰ πλημμέλειαν ὑποβλέπεσθαι παθεῖν τι τῶν ἀνηκέστων, ὁ δὲ τοῦ μηδὲν ἀηδὲς ἐννοηθῆναι τῷ ἑαυτῶν καταπράξασθαι δεσπότῃ. Νῦν γοῦν φόβον τὸν διὰ συνείδησιν, τουτέστι, τὸν σὺν ἐπιστήμῃ τοῦ ὀρθοῦ λόγου γινόμενόν φησιν, ὅς ἐστιν, ὁ ἐν τῷ μηδὲν ἁμαρτάνειν, παρὰ τῶν σχολιῶν δεσποτῶν τοῖς ἑαυτῶν ἐπαγόμενος οἰκέταις. Τοῦτον οὖν τὸν φόβον ἐπαίνων ἀξιῶν παρεγγυᾷ καταδέχεσθαι μεθ' ὑπομονῆς. Ἐπεὶ τούς γε δι' ἁμαρτίας, ἤτοι ἐνεργηθείσας, ἢ καὶ μὴ πραχθῆναι φυλασσομένους, φόβον ἔχοντας ὑπομένειν, εἴτι δι' αὐτὰς πάσχοιεν, εὐγνωμόνων μὲν καὶ τοῦτο δούλων, καὶ πρὸς διόρθωσιν ἀπονευόντων, ἀλλ' οὔπω τοσαύτης φιλοσοφίας, ὅστις τῷ μηδὲν ἑαυτῷ συνειδότι κακὸν ἐγχαρτερεῖν εὐχαρίστως. Τοῦτο τὸ μέγα, τοῦτο καὶ παρ' ὀλίγοις ἐπιτελούμενον, τοῦτο καὶ παρὰ Θεῷ τυγχάνον ἀποδοχῆς, ὡς τοῖς τοῦ Χριστοῦ πάθεσιν ἀμιλλώμενον, ἐπεὶ καὶ αὐτός φησιν, ὅτι οὐχ ὑπὲρ οἰκείας ἔπασχεν ἁμαρτίας. Ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, ἀλλ' ὑπὲρ ἡμῶν καὶ τῶν ἡμετέρων ἔπασχεν.

B C D

502 « Famuli, subditi. » Subaudiendum est ἦτε, id est, sitis, sicut et cum dicit, Uxores. « Cum omni timore. » Cum timor multis modis dicatur: dicitur namque timor et qui est cum scientia, quem nunc per Conscientiam intelligit, qui etiam εὐλάβεια vocatur, id est, reverentia cum metu: dicitur et timor afflictivus, hoc est, quibusdam contingens experimento supplicii, quo et feræ timent; dicitur rursum et timor initialis qui consequitur accedentes ad Dominum, eo quod sibi de multis conscii sint quæ ad supplicium provocent: quo etiam meretrix de qua in Evangelio, timens, accessit ad Christum [24]; sed et perfectus iterum dicitur timor, qui omnibus sanctis semper adest, timentibus ne quid illis desit eorum quæ decet illos habere qui ad perfectam dilectionem assumpti sunt: cum igitur tot modis timor dicatur, utrum justum sit servos per hos omnes exhiberi suis dominis, nequaquam negaret is qui nunc servos adhortatur, ut cum omni timore dominis subjiciantur: quandoquidem et initialis et perfectus si adesset, recte illos afficeret: ille quidem ut vererentur, ne quid sibi propter delicta contingeret quod non ferret remedium, hic vero ne quid vel cogitarent, quod si perageretur, ingratum esset suo domino. Nunc itaque timorem dicit qui est propter conscientiam, hoc est, qui contingit cum conscientia rectæ rationis: cum mali videlicet domini servos suos nihil commeritos affligunt. Hunc ergo timorem judicans laude dignum, jubet ut cum patientia suscipiatur. Quandoquidem qui propter peccata, sive ea quæ perpetrarunt, aut etiam quæ non observarunt ut facerent, timorem habent, tolerantes si quid propter illa patiantur, boni quidem et hi sunt servi, et ad correctionem declinantes: at nondum tanta mentis sapientia præditi, quanta essent si grato animo afflictionem tolerarent, etiam cum nullius mali sibi conscii essent. Hoc magnum est, hoc etiam a paucis completur: id apud Deum quoque commendatur, tanquam respondens Christi afflictionibus: quandoquidem et ipse, inquit, non propter sua passus est peccata: nam peccatum non fecit, **503** sed pro nobis nostrisque delictis passus est.

Ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου, ἤτοι διὰ τὰς ἀνομίας τοῦ λαοῦ, ἦχθη εἰς θάνατον, φησὶν ὁ προφήτης. Ἐπαινετὸν μὲν οὖν τοῦτον τὸν φόβον τίθεται. Ἀλλὰ μὴν καὶ τοῖς ἄλλοις φόβοις τοὺς δούλους βούλεται περικροτεῖσθαι. Καὶ δῆλον ἀφ' ὧν φησιν, Ἐν παντὶ φόβῳ. Ὑπερφυῶς δὲ ἀντέθηκε τοῖς ἄλλοις φόβοις τὸν διὰ συνείδησιν φόβον, καὶ μόνου τούτου εἶναι τὸ ἀξιέπαινον, ἀληθεστάτῳ ἀπεφήνατο λόγῳ, ᾧ τῶν μὲν ἐχόντων τὸ παραίτιον τῆς τῶν δεσποτῶν

Ab iniquitatibus populi mei, sive propter iniquitates populi ductus est ad mortem, ait propheta [25]. Hunc itaque commendandum ponit timorem. Verum aliis quoque timoribus servos vult retineri: quod manifestum est ex eo quod dicit: Cum omni timore. Rectissime autem et scite cæteris timoribus præposuit timorem qui est propter conscientiam, et solum hunc esse laude dignum verissimo sermone demonstravit, quod illi quidem causam habeant

[24] Luc. VII, 37 seqq. [25] Isa. LIII, 5.

dominorum adversus se iram, hic vero nihil unquam tale. « Sed tradebat vindictam ei qui juste judicat, » nempe Deo qui reddit unicuique juxta opera sua : hoc autem justum est. Sed dicet fortasse aliquis : Quomodo nunc ait Petrus Dominum cum maledictis incesseretur non regessisse maledicta, cumque malis afficeretur non fuisse minatum ? Atqui videmus eum et quosdam Judæos vocasse canes [35], et cæcos Pharisæos [36], ac Judæ comminantem cum diceret : « Bonum esset ei si natus non fuisset homo ille [37] ; » et : « Tolerabilius erit Sodomis quam civitati illi [38] ; » et : « Ubi vermis eorum non moritur [39], » aliaque innumera. Dicemus ergo, quod non dicit Dominum non fuisse locutum maledicta, aut non fuisse minatum : sed, cum maledictis incesseretur, inquit, non regerebat maledicta, cumque malis afficeretur non minabatur. Sed licet aliquod proferret maledictum, non erat opponendo se maledicentibus, sed objurgans ac carpens eos qui non convertebantur. Cum autem opprobriis affectus esset et audisset : « Dæmonium habes [40]. » Et : « Per principem dæmoniorum ejicis dæmonia [41]. » Et : « Ecce hominem voracem ac vini potorem [42], » utrum maledicta in illos regessit, dicens quidpiam adversus illos probrosum ? nequaquam, sed illis quidem dixit : « Si ego per Beelzebul ejicio dæmonia, filii vestri per quem ejiciunt [43] ? » Isti vero, Homo vorax ac vini potor, opposuit parabolam puerulorum in foro, indignantium adversus eos quibus colludunt, quod cum tibiis cecinissent, non saltaverant ; cum lamentabilia cecinissent, non ploraverant. Crucifixus autem et male affectus pœnis orabat potius, at non minabatur. Judæ vero, priusquam proderet et malo aliquo affectus esset, minabatur, reprimens eum a malo conatu. **504** Similiter et illis qui discipulos non essent recepturi, pejus quiddam passuros demonstrabat, quam Sodomitas : partim quidem exhortans illos ad hospitalitatem, partim vero per timorem aperiens Evangelio locum prædicationis. Itaque non hæc minabatur dum malis afficeretur ; et verissimus est de Domini clementia Petri sermo, dicens quod nulli regerebat calumniam, dum calumniari tentabant. « Ut peccatis mortui. » Nam ταῖς ἁμαρτίαις ἀπογενόμενοι, ejusdem vibice. » Nam flagellatus a Pilato vibices

A εἰς αὐτοὺς ὀργῆς, τοῦ δὲ μηδὲν μηδαμοῦ. « Τὸ μέν τοι, «Παρεδίδου τῷ κρίνοντι δικαίως,» τῷ Θεῷ, φησίν, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Τοῦτο γὰρ τὸ δίκαιον. Ἀλλ' ἴσως ἐρεῖ τις · Πῶς φησὶ νῦν ὁ Πέτρος τὸν Κύριον λοιδορούμενον μὴ ἀντιλοιδορεῖν, μηδὲ πάσχοντα ἀπειλεῖν ; Καί τοι ὁρῶμεν αὐτὸν, καὶ κύνας ἐνεοὺς καλοῦντα τοὺς Ἰουδαίους, καὶ τυφλοὺς τοὺς Φαρισαίους · καὶ τῷ Ἰούδᾳ ἀπειλοῦντα δι' ὧν φησι· « Καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος · » καὶ · « ἀνεκτότερον ἔσται Σοδόμοις, ἢ τῇ πόλει ἐκείνῃ · » καὶ, « Ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, » καὶ ἄλλα μυρία. Ἐροῦμεν οὖν ὅτι οὐ τοῦτο λέγει, ὅτι οὐκ ἐλοιδόρησεν ὁ Κύριος ἢ οὐκ ἠπείλησεν, ἀλλὰ λοιδορούμενος οὐκ ἀντελοιδόρει,
B οὐδὲ ἐν τῷ πάσχειν ἠπείλει· ἀλλ' εἴ τι καὶ ἐλοιδόρησεν, οὐκ ἀντεξαγόμενος τοῖς λοιδοροῦσιν, ἀλλ' ἐπιτιμῶν καὶ διασύρων τοὺς ἀνεπιστρόφους. Λοιδορηθεὶς δὲ καὶ ἀκούσας, Δαιμόνιον ἔχεις, » καὶ, « Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλεις τὰ δαιμόνια, » καὶ, « Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, » σκόπει, ἆρα ἀντελοιδόρησεν αὐτοὺς εἰπών τι κατ' αὐτῶν βλάσφημον; Οὐμενοῦν. Ἀλλὰ τοῖς μὲν εἶπεν, ὅτι, « Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; » τῷ δ' Ἄνθρωπος φάγος καὶ οἰνοπότης, ἀντέθηκε τὴν τῶν παιδίων ἐν τῇ ἀγορᾷ πρὸς τοὺς συμπαίστορας ἀγανακτούντων παραβολὴν, ἐφ' οἷς ηὐλήκοτων οὐκ ὠρχήσαντο, καὶ θρηνησάντων οὐκ ἐκόψαντο · σταυρούμενος δὲ καὶ
C πάσχων κακῶς, προσηύχετο μᾶλλον, ἀλλ' οὐκ ἠπείλει. Τῷ δὲ Ἰούδᾳ πρὸ τοῦ προδοῦναι καὶ παθεῖν τι κακὸν ἠπείλει, ἀναστέλλων αὐτὸν τῆς πονηρᾶς ἐπιχειρήσεως. Ὡσαύτως καὶ τοῖς μὴ δεξαμένοις τοὺς μαθητὰς τὸ χεῖρόν τι παθεῖν Σοδομιτῶν ἀπεφήνατο, τὸ μὲν ἐπὶ ξενοδοχίαν προτρέπων αὐτοὺς, τὸ δὲ καὶ διὰ τοῦ φόβου ὑπανοίγων τῷ Εὐαγγελίῳ τὴν τοῦ κηρύγματος χώραν. Ὥστε οὐκ ἐν τῷ κακῶς πάσχειν ταῦτα ἠπείλει, καὶ ἀληθέστατος ὁ περὶ ἀνεξικακίας διὰ τὸν Κύριον τοῦ Πέτρου λόγος, μηδενὶ φάσκων ἀντεξενεχθῆναι αὐτὸν τοῖς ἐπηρεάζειν ἐπιχειροῦσιν. « Ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι, » ἀντὶ τοῦ ἀποθανόντες, « τῇ δικαιοσύνῃ ζήσωμεν. » — « Τῷ μώλωπι. «Μαστιγωθεὶς γὰρ ὑπὸ Πιλάτου, καὶ μώλωπας ἐπὶ τοῦ σώματος ἔφερεν.

capitur pro ἀποθάνοντες, id est, mortui. « Cujus quoque ferebat in corpore.

III, 1-7. *Similiter uxores subditæ sint suis viris,* D *ut etiam qui sermoni non obtemperant, per mulierum conversationem sine sermone lucrifiant, dum considerant cum timore conjunctam castam conversationem vestram : quarum ornatus sit non externus, qui situs est in plicatura capillorum et additione auri, aut in palliorum amictu : verum occultus qui est in corde homo, si is careat omni corruptela, ita ut spiritus placidus sit ac quietus : qui spiritus in oculis Domini magnifica ac sumptuosa res est. Nam ad eum modum olim et sanctæ illæ mulieres spe-*

Ὁμοίως αἱ γυναῖκες ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ εἴτινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσονται, ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν. Ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐκ πλοκῆς τριχῶν, καὶ περιθέσεως χρυσίων, ἢ ἐνδύσεως ἱματίων κόσμος · ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος ἐν τῷ ἀφθάρτῳ τοῦ πραέως καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ Θεοῦ πολυτελές. Οὕτω γάρ ποτε καὶ αἱ ἁγίαι γυναῖκες αἱ ἐλπίζουσαι ἐπὶ τὸν Θεὸν, ἐκόσμουν ἑαυτὰς

[35] Matth. vii, 6 ; xv, 26. [36] Matth. xv, 14 ; xxii, 16. [37] Matth. xxvi, 54. [38] Matth. x, 15. [39] Marc. ix, 48. [40] Joan. vii, 20, viii, 48. [41] Matth. xii, 24 ; ix, 34. [42] Matth. xi, 19. [43] Matth. xii, 27.

ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν. Ὡς Σάρρα ὑπήκουσε τῷ Ἀβραάμ, κύριον αὐτὸν καλοῦσα. Ἧς ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι, καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν. Οἱ ἄνδρες ὁμοίως συνοικοῦντες κατὰ γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμήν, ὡς καὶ συγκληρονόμοις χάριτος ζωῆς, εἰς τὸ μὴ ἐγκόπτεσθαι τὰς προσευχὰς ὑμῶν.

Διὰ πάντων τούτων τὸν ἠθικὸν λόγον συμπεραινόμενος, διὰ βασιλέων, διὰ ἀρχόντων, διὰ δεσποτῶν, διὰ δούλων, καὶ τοῖς μὲν βασιλεῦσι καὶ ἄρχουσιν ὑποτάσσεσθαι οἷς δεῖ καὶ ἐν οἷς δεῖ νομοθετήσας τοὺς ἀρχομένους, καὶ δείξας διὰ τούτου ὅτι καὶ αὐτοὶ οἱ ἄρχοντες ἔναυσμά τι δικαιοσύνης ἔχοντες τοὺς νόμους, ὅσα μὲν κατ' αὐτοὺς ποιήσουσιν, οὐ κατακριθήσονται· ὅσα δὲ παρὰ τούτους ἀνόμως καὶ ἀκρίτως καὶ τυραννικῶς, ἐν τούτοις καὶ ἀπολοῦνται· ἐπὶ συμφέροντι γὰρ τῶν ἐθνῶν ὁ νόμος ἐδόθη αὐτοῖς, ὡς καὶ Παῦλος βοᾷ. Ἀλλὰ καὶ οἱ ἄρχοντες ὁμοίως τοῖς νόμοις ἐπὶ συμφέροντι ἐδόθησαν, ἀλλ' οὐχ ὡς ἔνιοι κακῶς βούλονται τοῦ διαβόλου εἶναι τὴν ἐξουσίαν τῶν ἐπὶ γῆς, τῷ διαβόλῳ συναγορεύοντες κατὰ τοῦτο, εἰπόντι πρὸς τὸν Κύριον· « Ταῦτα πάντα ἐμοὶ δέδοται, καὶ ᾧ ἂν βούλωμαι δίδωμι αὐτά. » Οὐ γὰρ τῇ τούτου κελεύσει βασιλεῖς καθίστανται, οἵτινες πρὸς ἐπανόρθωσιν τῶν κακῶν δέδονται, τοῦ διαβόλου μηδὲν τοιοῦτον ἐμπολιτεύεσθαι τοῖς ἀνθρώποις ἐπειγομένου. Ἐδόθησαν γὰρ ἐξουσίαι καὶ ἄρχοντες ὑπὸ Θεοῦ, οἱ μὲν εἰς συντήρησιν τοῦ δικαίου καὶ ἐπανόρθωσιν καὶ ὠφέλειαν τῶν ὑποτεταγμένων, οἱ δὲ διὰ φόβον πρὸς τιμωρίαν καὶ ἐπίπληξιν τῶν ἁμαρτανόντων, οἱ δὲ καὶ εἰς τὸ τοὺς ἐξυβρίσαντας δίκην τὴν ἀξίαν ἀποτίσαι. Δείξας οὖν τοῦτο καὶ ὅτι τὸ ὑποτάσσεσθαι τούτοις ἀγαθὸν, τὸ δὲ ἀπειθεῖς εἶναι κακὸν, ὡσαύτως δὲ καὶ τοὺς δούλους ὑπακούειν τοῖς κατὰ σάρκα κυρίοις νομοθετήσας, καὶ ὅτι οἱ ἀναιτίως ὑπὸ τῶν κακῶν κυρίων πάσχοντες καὶ ὑπομένοντες, οὗτοι μάλιστα τὸ εὔδοκιμον ἀποφέρονται, καὶ διὰ τούτων, τρόπον τινὰ, σωφρονίσας καὶ τοὺς δεσπότας διὰ τῆς διαβολῆς τῶν κακῶν δεσποτῶν, μέτεισι λοιπὸν καὶ ἐπὶ τὴν γυναικωνῖτιν, καί φησι, τὰς γυναῖκας δύο ταῦτα σπουδάζειν, ὑποτάσσεσθαι τοῖς ἰδίοις ἀνδράσι, καὶ κόσμου παντὸς καὶ καλλωπισμοῦ ἀλλοτρίας ἀποφαίνειν ἑαυτὰς, μιμουμένας τὰς ἁγίας γυναῖκας. Ἐπεὶ καὶ αὗται, φησὶ, κόσμον τοῦτον ᾔδεισαν μόνον, τὸ πρὸς τοὺς ἑαυτῶν ἄνδρας πειθήνιον. Καὶ τί τὸ ἀπὸ τούτων κέρδος; ὁ ἀπὸ τῶν ἔξω τῆς πίστεως ἀγαθὸς ζῆλος, ὃς καὶ ἀπὸ τῆς τῶν ἀρχόντων παρ' ἡμῶν ὑποταγῆς ἀποτίκτεται, καὶ ἡ πρὸς Θεὸν ὑπ' αὐτῶν δι' ἡμᾶς εὐχαριστία. Ὃ καὶ μέγα καύχημα χριστιανῶν, οὐ βλασφημουμένου δι' ἡμᾶς, ἀλλ' εὐλογουμένου τοῦ ὀνόματος τοῦ Θεοῦ. Εἰπὼν δὲ ἀορίστως τὰς ἁγίας γυναῖκας, ἐπάγει καὶ ὡρισμένως τὴν Σάρραν, καὶ προσκλητικώτερόν τι ποιῶν, καὶ θυγατέρας αὐτάς φησι ταύτης τῆς Σάρρας, ἤτοι κατὰ τὴν πίστιν, ἢ καὶ κατὰ τὸ γένος. Ἀνάγκη γὰρ τὰς θυγατέρας μιμεῖσθαι τὰς ἑαυτῶν

A rantes *in Deo ornabant sese, subditæ viris suis : quemadmodum Sara obedivit Abraham, Dominum illum appellans, cujus factæ estis filiæ dum benefacitis, et non terremini ullo pavore. Viri similiter in cognitione cohabitent, velut infirmiori vasi muliebri impartientes honorem, tanquam etiam cohæredes gratiæ vitæ, ne interrumpantur preces vestræ.*

Per hæc omnia concludens sermonem de moribus : nempe per reges, per præsides, per dominos, per servos : cum etiam statuisset subditis ut regibus ac præsidibus subjicerentur quibus oportet et in quibus oportet, ac per hoc ostendisset quod ipsi quoque principes qui leges habent tanquam incitamentum quoddam justitiæ, ex **505** his quæ se- B cundum illas fecerint, non condemnabuntur : in quibus autem contra ipsas inique et sine judicio ac tyrannice operati fuerint, per hæc etiam peribunt. Siquidem lex ipsis data fuit ad utilitatem gentium, quemadmodum etiam Paulus clamat. Sed et principes similiter, ut et leges, ad utilitatem dati fuerunt, et non ut quidam male volunt, nempe potestatem eorum quæ sunt in terra esse a Diabolo : qui in hoc diabolo patrocinantur dicenti ad Dominum : « Omnia hæc mihi data sunt, et cuicunque volo do ipsa [a]. » Neque enim hujus jussu reges constituuntur, qui ad correctionem malorum dati sunt, cum diabolus nihil tale inducat, ut inter homines administretur. Nam datæ sunt potestates ac principes a C Deo, partim quidem ad justitiæ conservationem et correctionem ac utilitatem subjectorum, partim vero propter timorem ad ultionem et correptionem delinquentium : partim quoque ad puniendum condigna pœna lascivientes. Hoc igitur ostenso et quod bonum sit subjici, malum vero inobedientes esse, ubi quoque pari modo statuisset ut servi dominis juxta carnem obtemperent, et quod ii qui sine causa a malis dominis affliguntur ac tolerant, maximam laudem referant : ubi his quodammodo ad modestiam dominos quoque revocasset, per calumniam malorum dominorum : transit deinceps etiam ad cœtum mulierum, et ait : Hæc duo curent mulieres sive uxores, subjici propriis viris, et ab omni ornatu et cultu seipsas ostendere alienas, imitantes D sanctas mulieres, quoniam et illæ, inquit, solum hunc cultum noverant, nempe obedientiam erga suos viros. Et quod lucrum sequetur ex his? Bona æmulatio eorum qui alieni sunt a fide, quæ etiam ex nostri subjectione erga principes generatur, et Dei laudatio propter nos ab ipsis profecta : quod etiam in magnam cedit laudem Christianorum, nempe quod propter nos non male audiat, sed benedicatur nomen Dei. Ubi autem indefinite dixit sanctas mulieres, subjungit etiam definite Saram : et exhortatorio quodam modo procedens, vocat ipsas filias hujus Saræ, sive juxta fidem, sive etiam juxta genus. Necesse enim est filias imitari suas

[a] Luc. IV, 6.

matres. **506** Cum honesto vero et Christianas decente cultu, admonet quoque ipsas ut misericordes sint, nihil ex eo veritæ suorum virorum calculationem. Nam hoc indicat illud, Non timentes ullo pavore. Verisimile enim erat quod viri interdum repetebant rationem sumptuum. Hoc modo sublevato sermone, ubi muliebris sexus parcitatem ac pusillanimitatem exhortatus est, ut liberalius se habeant erga domesticos: comprimit etiam virorum austeritatem erga suas conjuges, et ait: Viri in cognitione cohabitantes, hoc est, experimento discentes femineam levitatem et vecordiam in omnibus ac lubricitatem in pusillanimitate, patientes estote erga illas, non exacte rationem repetentes eorum quæ circa familiam tradita illis erant in custodiam. Hoc autem, ut diximus, quo liberalius perseverent in largiendo erga pauperes, admonet viros, ne sint exacti disquisitores. Mihi tamen profundius aliquid videtur per hoc inducere, et venustius ac castius quam Paulus innuere de actu conjugali. Siquidem Paulus aperte clamat: « Ne fraudetis invicem, nisi si quid ex consensu [45. 47] ,» etc. Hic autem magis pudice, ut diximus, cognitionem dicens, et per hoc rem ipsam designans, admonet, cum magis ad hoc lubricus sit sexus muliebris, ne per objurgationem cum asperitate ab ipsis discedant, sed primum quidem clementer eis utantur tanquam imbecillioribus, deinde suadeant, ut cum aliqua parcitate abstinentiam a talibus suscipiant: nam hoc significare vult (parcitatem, inquam, sive abstinentiam) per hoc quod ait, Impartientes honorem; nam honor nisi quis ad aliquid respiciat, ne parce quidem subsequitur. Itaque tanquam imbecilliori: us aut etiam tamquam cohæredibus gratiæ vitæ, vita ipsis uti oportet in talium consuetudine. Et quod non male hac intelligentia usi simus, id quod subsequitur manifestat, cum ait: « Ne interrumpantur preces vestræ. » Quam enim precum interruptionem affert viri erga uxorem austeritas? imo vero hujus negligentia magnam affert in tempore orationis attentionem ac studium. Mihi itaque de hoc ita videtur dicendum. Porro, si ab aliquo melius indicatum fuerit, non sane invideo. **507** « Sine sermone. » Sive cessante omni sermone omnique responsatione, sive quod efficacior sit demonstratio per opera, quam sedulitas anxia quæ est in verbis: mutum enim opus præstantius est sermone operibus destituto. « Verum occultus qui est in corde homo. » *Omnis* namque *gloria filiæ regis ab interiori procedit.* Novit enim et hic juxta B. David [46] ac Paulum [49] alium esse interiorem hominem ab exteriore. « Ornabant sese. » Vides quod cultum sive ornatum dicat hic subjectionem?

III, 8-16. *In summa omnes sitis unanimes, compatientes, fraterna præditi charitate, misericordes, affabiles, non retaliantes malum malo, aut convitium convitio, sed contra benedicentes: scientes quod ad*

μητέρας. Μετὰ δὲ τοῦ εὐκόσμου, καὶ πρέποντος Χριστιανοῖς κόσμου, καὶ ἐλεήμονας αὐτὰς εἶναι παραινεῖ, μηδὲν ὑποβλεπομένας τὸν ἀπὸ τῶν ἀνδρῶν αὐτῶν διὰ τοῦτο ἐκλογισμόν. Τοῦτο γὰρ τὸ, Μὴ φοβούμεναι μηδεμίαν πτόησιν, ἐμφαίνει. Εἰκὸς γὰρ τοὺς ἄνδρας ἔσθ' ὅτε καὶ τῶν ἀναλωμάτων αὐτὰς λόγον ἀπαιτεῖν. Οὕτω μετεωρίσας τὸν λόγον καὶ τὸ φειδωλὸν καὶ μικρόψυχον τοῦ θήλεος ἐπὶ τὸ ἐλευθεριώτερον χρῆσθαι τοῖς κατὰ τὸν οἶκον παρακαλέσας, ἐπέχει καὶ τὴν τῶν ἀνδρῶν πρὸς τὰς ἑαυτῶν γαμετὰς αὐστηρότητα, καί φησιν, «Οἱ ἄνδρες κατὰ γνῶσιν συνοικοῦντες,» τουτέστιν, αἰσθησιν λαμβάνοντες τῆς τοῦ θήλεος κουφότητος καὶ τοῦ ἐμπαραφόρου ἐν πᾶσι καὶ εἰς μικροψυχίαν εὐόλισθου, μακρόθυμοι γίνεσθε πρὸς αὐτὰς, μὴ λόγον ἀπαιτοῦντες πικρῶς τῶν κατὰ τὴν οἰκίαν αὐταῖς εἰς ταμιείαν παρακατατεθέντων. Τοῦτο δὲ, ὡς ἔφθημεν εἰρηκότες, διὰ τὸ ἐλευθερίως αὐτὰς περὶ τὴν εἰς τοὺς πένητας ἐπίδοσιν διαγινομένας, μὴ ἀκριβεῖς εἶναι ἐξεταστὰς τοὺς ἄνδρας παραινεῖ. Ἐμοὶ δὲ δοκεῖ καὶ βαθύτερόν τι διὰ τούτων εἰσάγειν, καὶ σεμνότερον Παύλου αἰνίττεσθαι ἐπὶ τῆς γαμικῆς χρήσεως. Παῦλος μὲν γὰρ ἀναφανδὸν βοᾷ· «Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου,» καὶ ἐξῆς. Οὗτος δὲ σεμνότερον, ὡς ἔφημεν, γνῶσιν εἰπὼν, καὶ διὰ τούτου αἰνιξάμενος τὸ πρᾶγμα, παραινεῖ ὡς εὐκολωτέρῳ πρὸς τοῦτο τῷ γυναικείῳ φύλῳ, μὴ ἐπιτιμητικῶς μετὰ σφοδρότητος ποιεῖσθαι τὴν ἀπ' αὐτῶν ἀπόστασιν, ἀλλὰ πρῶτον μὲν ὡς ἀσθενεστέραις συγγνωμονικῶς αὐταῖς χρῆσθαι, εἶτα πείθειν μετά τινος φειδοῦς τὴν τοιούτων καταδέχεσθαι ἀποχήν. Τοῦτο γὰρ βούλεται δηλοῦν (τὴν φειδῶ φημι), διὰ τοῦ εἰπεῖν, Ἀπονέμοντες τιμήν· τιμὴ γὰρ εἰ μή τις περί τι ἐνορᾶται, οὐδὲ φειδὼς ἐπακολουθεῖ. Εἶτ' οὖν ὡς ἀσθενεστέραις, ἢ καὶ ὡς συγκληρονόμοις χάριτος ζωῆς, οὕτως αὐταῖς χρῆσθαι περὶ τὰ τοιαῦτα τῶν ὁμιλιῶν δεῖ. Καὶ ὅτι οὐ κακῶς ταύτῃ τῇ ἐννοίᾳ ἐχρησάμεθα, τὸ ἐπιφερόμενον δηλοῖ, « Εἰς τὸ μὴ ἐκκόπτεσθαι, φάσκον, τὰς προσευχὰς ὑμῶν.» Τίνα γὰρ ἐγκοπὴν φέρει προσευχῆς, ἀνδρὸς πρὸς γυναῖκα αὐστηρία; πολλὴν μὲν οὖν καὶ προσέχειαν καὶ σπουδὴν ἡ πρὸς ταύτην ὀλιγωρία, ἐν καιρῷ προσευχῆς. Ἐμοὶ μὲν οὖν οὕτω δοκεῖ περὶ τούτου. Ὃ δὲ τὸ ἄμεινον κριθείη, οὐ φθόνος ἐμοί. « Ἀνευ λόγου. » Ἧτο σχολάζοντος παντὸς λόγου καὶ πάσης ἀντιλογίας, ἢ ὡς τῆς διὰ τῶν ἔργων ἐπιδείξεως κυριωτέρας οὔσης τῆς διὰ τῶν λόγων περιεργίας. Ἄφωνον γὰρ ἔργον κρεῖσσον ἀπράκτου λόγου. «Ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος.» *Πᾶσα* γὰρ *ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως, ἔσωθεν.* Οἶδε γὰρ καὶ οὗτος κατὰ τὸν μακάριον Δαυὶδ καὶ Παῦλον, ἕτερον τὸν ἐντὸς ἄνθρωπον παρὰ τὸν ἐκτός. « Ἐκόσμουν ἑαυτάς. » Ὁρᾷς, κόσμον ἐνταῦθα τὴν ὑποταγὴν φησι.

Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες, μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας, τουναντίον δὲ εὐλογοῦντες· εἰδότες

[45. 47] I Cor. VII, 5. [46] Psal. XIV, 14. [49] Ephes. III, 16.

ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε. Ὁ γὰρ θέλων ζωὴν ἀγαπᾷν, καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς, παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον· ἐκκλινάτω ἀπὸ κακοῦ, καὶ ποιησάτω ἀγαθὸν, ζητησάτω εἰρήνην, καὶ διωξάτω αὐτήν. Ὅτι οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν, πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά. Καὶ τίς ὁ κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ γένησθε ; Ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι. Τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε, μηδὲ ταραχθῆτε, Κύριον δὲ τὸν θεὸν ἁγιάζετε ἐν ταῖς καρδίαις ὑμῶν. Ἕτοιμοι δὲ εἰς πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος μετὰ πραΰτητος καὶ φόβου· συνείδησιν ἔχοντες ἀγαθὴν, ἵνα ἐν ᾧ καταλαλῶσιν ὑμῶν, ὡς κακοποιῶν, καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν τὴν ἀγαθὴν ἐν Χριστῷ ἀναστροφήν.

A *hoc vocati sitis, ut benedictionem hæreditate possideatis. Nam qui vult etiam diligere et videre dies bonas, coerceat linguam suam a malo, et labia sua, ne loquantur dolum; declinet a malo, et faciat bonum : quærat pacem, et persequatur eam. Quoniam oculi Domini super justos, et aures ejus ad deprecationem eorum : aspectus autem Domini super eos qui faciunt mala. Et quis est qui sit afflicturus vos, si bonitatis æmulatores fueritis? Imo si quid etiam acciderit incommodi propter justitiam, beati eritis. Cæterum terrore illorum ne terreamini neque turbemini, sed Dominum Deum sanctificate in cordibus vestris. Sitis autem parati semper ad respondendum cuilibet petenti a vobis rationem de ea quæ in vobis est spe cum mansuetudine et timore: conscien-*
B *tiam habentes bonam, ut in hoc quod vobis detrahunt tanquam scelerosis, pudefiant hi qui incessunt vestram bonam in Christo conversationem.*

Ἀποτχόμενος τῶν κατ' ἄνδρα νουθετημάτων καὶ κατὰ γυναῖκα, κοινὴν ποιεῖται λοιπὸν τὴν παράκλησιν πρὸς ἅπαντας, ἄνδρας, γυναῖκας, γέροντας, παρηβηκότας, ἡβῶντας, βασιλεῖς, ἄρχοντας, ἀρχομένους, πολιτευομένους, ξένους, ἀστοὺς, πλουσίους, πένητας. Διὸ ἐπάγει. « Τὸ δὲ τέλος.» Ἀντὶ τοῦ, Τί χρὴ ἰδιολογεῖσθαι; ἁπλῶς πᾶσι φημί. Τοῦτο γὰρ τέλος. Καὶ πρὸς τοῦτο πᾶσιν ὁ σκοπὸς ἀφορᾷ τῆς σωτηρίας, καὶ οὗτος νόμος πᾶσιν ἀγάπης. Ἐξ οὗ φύεται πᾶσα ἀρετὴ, ἡ ταπεινοφροσύνη, συμπάθεια, ἡ εὐσπλαγχνία, καὶ αἱ ἄλλαι ὁμοίως ἀρεταὶ, ἃς κατηρίθμησεν. Ὧν ἡ μὲν ὁμοφροσύνη ἐστὶ σύννευσις περί τι μετὰ σπουδῆς ἀδιάφορος· συμπάθεια δὲ ὁ πρὸς τοὺς κακῶς πάσχοντας ὡς καὶ ἐφ' ἑαυτοῖς; Ἔλεος· φιλαδελφία δὲ ἡ ὡς ἐπ' ἀδελφοῖς; ὀφειλομένη πρὸς τοὺς πέλας διάθεσις· εὐσπλαγχνία δὲ ἡ ἀπὸ ψυχῆς ἐπ' ἀγαθοποιΐᾳ τῶν ὁμογενῶν κίνησις· φιλοφροσύνη δὲ ἡ πρὸς πάντας ἡμερότης καὶ προσήνεια, ἥτις καὶ πρὸς ὁμοήθεις ἂν γένοιτο καὶ φίλους· ταπείνωσις δὲ, ἤτοι ταπεινοφροσύνη, τὸ ἑτέρου ὀνειδίζοντος φέρειν, τὸ ἐπιγινώσκειν τὸ ἁμάρτημα, τὸ φέρειν τὰς κατηγορίας, ὃ καὶ εὐγνωμοσύνη ἂν εἴη· λοιδορία δὲ ἡ ἐκ πονηρᾶς συνηθείας ἀνάδοτος περὶ τὸ καταλαλεῖν φιλοτιμία. Ταύταις ταῖς προειρημέναις οὖν, φησὶ, κοσμούμενοι ἀρεταῖς, πρὸς οἷς οὐχ ἁλώσιμοι κακίᾳ ἀποφανθείητε, ἔτι, φησὶ, καὶ ζηλωτοὶ ἔσεσθε τῇ θείᾳ κατευθυνόμενοι βιοτῇ. Ὁ γὰρ ὑπὸ πάντων εὐλογούμενος, καὶ ζηλωτὸς δῆπου. Καὶ τούτων ἐπάγει τὸν Δαυὶδ μάρτυρα, Τίς ἐστι, φάσκοντα, ὁ θέλων ἰδεῖν ζωήν; ζωὴν οὐχ ἣν καὶ τὰ ἄλογα ζῇ, ἀλλ' ἣν ὁ κατὰ Θεὸν ἄνθρωπος· καὶ ἡμέρας οὐχὶ κακὰς ἀλλὰ ἀγαθάς. Αἱ γὰρ τοῦ αἰῶνος τούτου ἡμέραι, κατὰ τὸν Πατριάρχην Ἰακὼβ, μικραὶ καὶ πονηραί. Συμπεραινόμενος δὲ τὴν προφητικὴν χρῆσιν, ἐπεὶ ἐν αὐτῇ, τὸ, ὀφθαλμοὶ Κυρίου, ἔγκειται, ἐπὶ δικαίους, καὶ τὸ πρόσωπον αὐτοῦ ἐπὶ τοὺς ποιοῦντας κακὰ, τούτοις ἐπιφέρει, ὅτι Εἰ οὕτω διαβιώητε, εὐμενῆ ἕξετε τὸν Θεὸν καὶ εὐήκοον. Οὗ γενομένου, τίς αὐτοῦ πρὸς ὑμῶν γεγονότος κακωτικῶς ὑμῖν ἐπενεχθείη; πάντα γὰρ ἐν χειρὶ αὐτοῦ. Θάνατος γὰρ καὶ ζωὴ ἐν χειρὶ

Absolutus ab ordinationibus, quæ tum viros tum mulieres concernerent, ponit deinceps communem exhortationem ad omnes viros, mulieres, juvenes, pubescentes, reges, præsides, subditos, et eos qui gubernantur, peregrinos, cives, divites, pauperes. Ideo subjungit : «In summa.» Id est, Quid opus est particulatim disserere? omnibus simpliciter dico. Nam hoc significat τέλος: et ad hoc respicit salutis scopus omnibus propositus, **508** et hæc est lex dilectionis omnibus constituta, unde virtus
C omnis procedit, nempe animi modestia, compassio, misericordia, cæteræque similiter virtutes quas enumeravit, quorum unanimitas quidem est consensus sine discrimine circa aliquid cum propenso animo : compassio vero est miseratio erga eos qui affliguntur tanquam ad seipsos : fraternitas autem debitus erga propinquos affectus tanquam ad fratres. Rursum misericordia est motus ab anima procedens ad bene merendum de iis qui ejusdem sunt conditionis. Affabilitas vero sive benevolentia est benignitas ac comitas erga omnes, quæ etiam erga illos fit qui similium sunt morum et erga amicos. Humilitas vero sive animi modestia est alium contumeliosum ferre, peccatum agnoscere, et accusationes sustinere, quod etiam
D animi benignitas esse posset. Convitium vero est contentio ex prava consuetudine orta, quæ sita est in vituperatione aliorum. His, inquit, prædictis ornati virtutibus, insuper quoque malitia non facile capiamini : præterea æmulatores etiam sitis divino vivendi modo directi. Nam qui ab omnibus benedicitur, utique etiam æmulator esse debet. Et horum testem inducit David dicentem : Quis est qui cupit videre vitam ? vitam, inquam, non qua etiam irrationalis, sed qua homo secundum Deum vivit, et dies non malos, sed bonos. Nam dies hujus sæculi juxta patriarcham Jacob pauci sunt et mali. Ubi autem propheticum conclusit oraculum, quoniam in eo positum erat : Oculi Domini super justos, et aspectus ipsius super facientes mala : subjungit his : Si

ita vitam peregeritis, Deum habebitis benignum ac obsequentem. Quo facto, quis, illo a vobis stante, infeste irruet in vos? Siquidem omnia sunt in manu ejus; mors enim et vita in manu Domini [80]. Attamen quoniam afflictiones illatæ propter fidem videbantur quibusdam mala, hæc corrigens beatus Petrus, ait: Ne hæc mala existimetis, sed digna potius beatificatione. Timor namque impendens ab hominibus nihil ducendus est, sed brevissimo tempore durat, utpote ab his illatus qui ipsi velocissime transeunt. Nam si oculi Domini super justos et aures ejus ad deprecationem illorum, aspectus autem ipsius super eos qui faciunt mala, perditionem comminando malis: utique si hæc mala essent, **509** certe dispensator bonorum nequaquam vos sibi dilectos malis afficeret: mala namque ad malos remittit. Non sunt itaque mala, afflictiones propter pietatem illatæ. Porro sanctificare Deum in cordibus cum Isaia præcipit [81]: hoc est, Ne ob ea quæ apparent gloriemini, sed in occulto cordis vestri promptuario, Domini sanctificationem operantes, quæ in separatione gentium a fœditatibus sive pravis moribus consistit, ita ipsum sanctificate. Sanctificatis autem, dum alii homines ex bona vestra conversatione ipsum glorificant, quemadmodum et ipse Deus ac homo præcipit, dum ait: « Sic luceat lux vestra coram hominibus [82], » etc. Quod autem dicitur Parati, superiori particulæ conjungitur, puta Omnes sitis unanimes. Verbum enim Sitis, a communi subintellectum etiam huic tribuitur, ut sit sensus: Sitis semper parati. Vult autem præcipere, ut fidelis homo semper paratus sit circa sermonem fidei, ut quocunque tempore expetita fuerit a nobis ratio circa ipsam, facile respondeamus; porro, respondentes cum mansuetudine hoc faciamus, tanquam ipso quoque Deo præsente: nullus autem frugi servus suo præsente domino esset arrogans. Subjungit quoque lucrum quod hinc subsequitur, nempe infidelium explorationem ac animi benignitatem erga nos. Animadvertendum autem, non esse hæc contraria his quæ a Domino dicta sunt, dum ille quidem jubet, ne solliciti simus quid respondeamus [83], cum ante præsides ac potestates producemur. Petrus vero ad hoc nunc præparari præcipit. Siquidem Domini verba de martyrio dicta sunt, cum etiam dandam ait virtutem ac sermonem validiorem quavis humana sapientia, et qui contemnat circumstantes timores: Petri autem sententia de doctrina loquitur. Nam sine intellectu et indagatione videri sibi aliquid scire, dignum est reprehensione. Scientia enim insensatorum inexpensi sermones [84]. Præterea etiam quoniam de variis nefandis rebus nos accusabant, sed et spem nostram inanem esse ostendebant, dicit ut de his meditatas responsiones feramus, habentes simul etiam vitam probatam, quod sane conscientiam vocat. « Scientes quod ad hoc vocati sitis. » **510** Ordo est cum

A Κυρίου. Πλὴν ἐπειδὴ τισὶν αἱ περιστάσεις αἱ διὰ τὴν πίστιν, κακὰ ἐδόκουν, ἐπανορθούμενος ταῦτα ὁ μακάριος Πέτρος φησὶν, ὅτι, Μὴ λογίζεσθε ταῦτα κακά, εἰ μὴ μακαρισμοῦ ἄξια. Ὁ γὰρ ἐξ ἀνθρώπων ἐπαρτώμενος φόβος οὐδενὸς λόγου ἄξιος, ἀλλ' ἐφήμερος ἐξ ἐφημέρων. Εἰ γὰρ ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν, ἐπὶ δὲ τοὺς ποιοῦντας κακὰ τὸ πρόσωπον αὐτοῦ, ἀπώλειαν ἐπαπειλοῦν τοῖς κακοῖς, πάντως εἰ κακὰ ταῦτα, οὐκ ἂν ὁ τῶν ἀγαθῶν ταμίας ὑμᾶς τοὺς ἀγαπωμένους αὐτῷ, κακοῖς ἀντημείβετο. Τὰ γὰρ κακὰ τοῖς κακοῖς κατα-

B πέμπει. Ὥστε οὐ κακαὶ αἱ διὰ τὴν εὐσέβειαν θλίψεις. Ἁγιάζειν δὲ τὸν Κύριον ἐν ταῖς καρδίαις μετὰ Ἡσαΐου διακελεύεται· τουτέστι, Μὴ τοῖς φαινομένοις μεγαλαυχεῖσθε, ἀλλ' ἐν τῷ κρυπτῷ τῆς καρδίας ὑμῶν ταμείῳ τὸν ἁγιασμὸν ἐνεργήσαντες τοῦ Κυρίου, ὃς ἐν τῷ ἀπὸ τῶν μιασμάτων, ἤτοι τῶν πονηρῶν ἐθῶν ἀφορισμῷ τῶν ἐθνῶν περιγίνεται, οὕτως αὐτὸν ἁγιάζετε. Ἁγιάζετε δὲ ἀπὸ τῆς καλῆς ὑμῶν ἀναστροφῆς, δοξαζόντων αὐτὸν τῶν ἄλλων ἀνθρώπων, ὡς καὶ αὐτὸς ὁ θεάνθρωπος παραγγέλλει διὰ τοῦ· « Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων. » Τὸ δὲ, Ἕτοιμοι, πρὸς τὸ ἀνωτέρω συνυπακούεται τὸ, Πάντες ὁμόφρονες ἔσεσθε. Τοῦτο γὰρ τὸ, Ἔσεσθε, κατὰ καινοῦ καὶ τούτῳ ἀποδίδοται, ἵνα ᾖ, Ἔσεσθε ἀεὶ ἕτοιμοι. Βούλεται δὲ παρακελεύεσθαι ἀεὶ τὸν πιστὸν ἄνθρωπον περὶ τὸν τῆς πίστεως λόγον, ὡς ἐν παντὶ καιρῷ ἀπαιτουμένους ἡμᾶς τὸν περὶ αὐτῆς λόγον, εὐχερῶς ἀποκρίνεσθαι. Ἀποκρινομένους δὲ μετὰ πραΰτητος τοῦτο ποιεῖν, ὡς καὶ αὐτοῦ

C τοῦ Θεοῦ παρόντος· οὐδεὶς δὲ τοῦ κυρίου αὐτοῦ παρόντος εὐγνώμων δοῦλος, ἀπαυθαδιάσαιτο. Καὶ τὸ ἀπὸ τούτου κέρδος ἐπάγει, τὴν ἀπὸ τῶν ἀπίστων περὶ ἡμᾶς ἐπιγνωμοσύνην τε καὶ εὐγνωμοσύνην. Ἐπιστατέον δὲ ὡς οὐκ ἐναντία ταῦτα τοῖς ὑπὸ τοῦ Κυρίου εἰρημένοις, εἰ ὁ μὲν, μὴ μεριμνᾷν, φησὶν, ἐπὶ τὰς ἀρχὰς προσαγομένους καὶ τὰς ἐξουσίας τί ἀπολογηθῶμεν· Πέτρος δὲ πρὸς τοῦτο παρεσκευάσθαι νῦν παραγγέλλει. Τὰ μὲν γὰρ ὑπὸ Κυρίου περὶ μαρτυρίου εἴρηται. Οἷς καὶ δοθήσεσθαί φησι δύναμιν καὶ λόγον κρείττονα σοφίας ἀνθρωπίνης, καὶ τῶν περιεστώτων φόβων ἀφρόντιστον. Τὸ δὲ ὑπὸ τοῦ Πέτρου, περὶ διδασκαλίας εἴρηται. Τὸ γὰρ ἄνευ συνέσεως καὶ ἐξετάσεως δοκεῖν τι εἰδέναι, μέμψιν φέρει.

D Γνῶσις γὰρ ἀσυνέτων, ἀνεξέταστοι λόγοι. Ἄλλως τε, καὶ ἐπειδὴ πολλὰ κατηγόρουν ἡμῶν ἀθέμιτα, ἀλλὰ καὶ τὰς ἐλπίδας κενὰς ἡμῶν ἀπεφαίνοντο, περὶ τούτων λελογισμένως φέρειν τὰς ἀποκρίσεις φησὶν, ἔχοντας καὶ τὸν βίον συνέπαινον, ὃ δὴ καὶ συνείδησιν καλεῖ. « Εἰδότες ὅτι εἰς τοῦτο ἐκλήθητε. » Τὸ ἑξῆς οὐ μετὰ τῆς προειρημένης κατασκευῆς. Τὸ δὲ τέλος, ἤτοι τὸ συνεκτικώτατον· Πάντες ὁμόφρονες ἔσεσθε, καὶ ἑξῆς, εἰδότες ὅτι εἰς τοῦτο ἐκλήθητε, εἰς τὸ εὐλογεῖν, τουτέστι, πάντας εὖ λέγειν. « Εὐλογεῖτε, γὰρ καὶ Παῦλός φησι, τοὺς διώκοντας ὑμᾶς. » Τοῦτο δὲ ποιοῦντες κληρονομήσετε ὄνομα παρὰ πάντων ἀκούειν, τὸ, Οἱ εὐλογοῦντες. Διότι οὐ δίκαιον τὸν

[80] Eccli. xi, 14. [81] Isa. viii, 13. [82] Matth. lix, 16. [83] Matth. x, 19. [84] Eccli. xxi, 21.

τῆς αἰωνίου ζωῆς ἀντεχόμενον διὰ τῆς γλώσσης τινὰ βλασφημεῖν. Διὰ τοῦτο καὶ Δαυὶδ παραινεῖ, τὴν γλῶσσαν καθαρὰν ἔχειν λοιδορίας, τοῦ θέλοντος ἐπεράστως διακεῖσθαι πρὸς τὴν ὄντως ζωήν, καὶ ἐξῆς. Οὕτω γὰρ παρεσκευασμένοι ἕξετε τὸν παντοδύναμον καὶ παντεπόπτην εὐήκοον καὶ ἡμέρως ἐπιβλέποντα, ἀλλ' οὐχὶ καὶ ὀργίλως, ὥσπερ πρὸς τοὺς κακοποίους. Εἰ δὲ τοῦτο, τίς ὁ δυνάμενος κακῶσαι ὑμᾶς; Εἰ δὲ καὶ θλῖψις ἐπενεχθείη ὑμῖν τοῖς τοῦ ἀγαθοῦ ἐργάταις καὶ μιμηταῖς, μὴ ὀλιγωρεῖτε, χαίρετε δὲ, πρῶτον μὲν ὅτι οὐ κακὰ ταῦτα, ἔπειτα ὅτι καὶ μακάριοι διὰ ταῦτα, ἀλλ' οὐχὶ ἄθλιοι. Διὸ ἐν ταῖς καρδίαις ὑμῶν τὸν Θεὸν ἁγιάζοντες, τὸν ἀνθρώπινον φόβον μὴ φοβεῖσθε, μηδὲ ταράσσεσθε. Ἕσεσθε καὶ ἕτοιμοι καὶ πρὸς ἀπολογίαν ἀεὶ τοῦ παντὶ τῷ ἐπερωτῶντι ὑμᾶς περὶ τῆς καθ' ὑμᾶς ἐλπίδος ἀποδοῦναι λόγον. Ἀποδοῦναι δὲ μετὰ τοῦ καὶ πρᾶξιν ἐπιδείκνυσθαι ἀγαθήν. Πράως γὰρ τοῦτο καὶ μετ' ἐπιεικείας ποιοῦντες, τότε ἑαυτοῖς συνειδέναι πιστώσεσθε ἀγαθά, καὶ τοὺς πονηρὰς περὶ ὑμῶν ἔχοντας ὑπολήψεις καταισχυνεῖτε. « Συνείδησιν ἔχοντες ἀγαθήν. » Τουτέστιν, ἀγαθὰ ἑαυτοῖς συνειδότες, ἀλλ' οὐ κακά. Ὥσπερ οἱ βλασφημοῦντες ὑμᾶς βούλονται. « Οἱ ἐπηρεάζοντες. » Ἀντὶ τοῦ, οἱ λογοπραγοῦντες, οἱ πικρῶς ἐξετάζοντες.

A prædicta structura. In summa, sive ut absolutissime dicam, omnes sitis unanimes et cætera, scientes quod ad hoc vocati sitis, ut benedicatis, id est, ad benedicendum omnibus. Ait enim et Paulus: « Benedicite persequentibus vos[a]. » Hoc autem facientes hæreditario jure possidebitis nomen, ut ab omnibus audiatis Benedicentes. Neque enim justum est illum qui æternæ vitæ adhæret, lingua cuiquam inferre convicium. Propterea quoque David admonet linguam habere puram a convicio eum qui amanti animo affectus sit ad veram vitam, etc. Ita namque præparati, habebitis omnipotentem et omnium inspectorem obsequentem benigneque inspectantem, non torvo aut irato animo, quemadmodum intuetur eos qui mala operantur. Quod si ita B sit, quis poterit vos malis afficere? Quod si etiam afflictio inferatur vobis dum bonitatis operatores et imitatores estis, ne sitis pusillo animo, sed gaudete: primum quidem, quod hæc non mala sint: deinde etiam, quod propter ista beati sitis et non miseri. Ideo Deum in cordibus vestris sanctificantes, ne terreamini humano timore neque turbemini. Sitis autem et parati ad respondendum semper cuilibet interroganti vos, ut reddatis rationem de spe quæ apud vos est. Reddatis autem una cum exhibitione bonæ actionis. Id enim mansuete et cum benignitate facientes, confirmabitis tunc bene vobisipsis esse conscios. et eos qui pravas de vobis habent suspiciones pudefacietis. « Conscientiam habentes bonam. » Hoc est, dum bene vobisipsis conscii estis et non male, quemadmodum illi qui vos calumniantur. «Hi qui incessunt.» Hoc est, qui verbis negotium facessunt, acerbe indagantes.

Κρεῖττον γὰρ ἀγαθοποιοῦντας, εἰ θέλοι τὸ θέλημα τοῦ Θεοῦ, πάσχειν, ἢ κακοποιοῦντας, ὅτι καὶ Χριστὸς ἅπαξ ὑπὲρ ἁμαρτιῶν ἔπαθεν, δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ τῷ πνεύματι.

C III, 17. 18. *Præstat enim ut benefacientes, si velit Dei voluntas, malis afficiamini quam malefacientes: quandoquidem et Christus semel pro peccatis passus fuit, justus pro injustis, ut nos adduceret Deo, mortificatus quidem carne, sed vivificatus spiritu.*

Ἡ αἰτιολογία αὕτη, οὐ πρὸς τὰ προσεχῶς εἰρημένα, ἀλλὰ πρὸς τὰ μικρὸν ἀνωτέρω, ὅτι Εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι ἐστὲ, διότι κρεῖττον ἀγαθοποιοῦντας πάσχειν κακῶς ἢ κακοποιοῦντας. Ἡ εἴτις πρὸς τὸ προσεχῶς τὴν αἰτιολογίαν βούλοιτο ἀποδιδόναι, τὸ, Ἀγαθοποιοῦντας, οὐχὶ πρὸς ἕτερον χρὴ λαμβάνειν εὐεργετικως, ἀλλ' ἀπολύτως, ἀντὶ τοῦ Ἀγαθὰ ἐργαζομένους. Ὡσαύτως καὶ τὸ Κακοποιοῦντας. Προστίθησι δὲ τὸ, « Εἰ θέλοι τὸ θέλημα τοῦ Θεοῦ, » δεικνὺς ὅτι οὐδὲν ἄνευ τῆς τοῦ Θεοῦ ῥοπῆς εἰς ἡμᾶς γίνεται, ἀλλ' ἢ διὰ ἁμαρτιῶν κουφισμὸν, ἢ διὰ ἀνάῤῥησιν καὶ δόξαν ἡμῶν, ἢ καὶ εἰς ἑτέρων σωτηρίαν. Τοῦτο δὲ διττόν. Ἢ γὰρ κακοῦταί τις δίκαιος πρὸς σωφρονισμὸν ἑτέρων ἁμαρτωλῶν, καθὼς εἴρηται, εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἁμαρτωλὸς ποῦ φανεῖται; Καὶ τοῦτο δὲ διττὴν ἐμφαίνει τὴν ὠφέλειαν, τῷ μὲν πάσχοντι δικαίῳ, προσθήκην δικαιοσύνης διὰ τῆς ὑπομονῆς, τῷ δὲ ἐπιστροφὴν ἰδοῦντι ἁμαρτωλῷ, ἐπιστροφὴν καθὼς εἴπομεν.

Hæc est causæ redditio non ad ea quæ immediate dicta sunt, sed ad ea quæ paulo superius, puta: Si quid patiamini propter justitiam, beati estis: præstat enim ut benefacientes malis **511** afficiamini quam malefacientes. Aut si quis velit ad immediate præcedens causæ redditionem referre: quod dicitur Benefacientes, non oportet accipere ut sit de alio bene merendo, sed absolute, hoc est, D bona operantes. Similiter et malefacientes. Addit autem: «Si velit Dei voluntas,» ostendens quod nihil absque Dei nutu circa nos contingit, sed vel ad peccatorum alleviationem, vel ad præconium et gloriam nostram, aut etiam ad aliorum salutem. Hoc autem dupliciter contingit. Aut enim affligitur quispiam justus ad castigationem aliorum peccatorum: quemadmodum dictum est: Si justus vix salvus efficitur, peccator ubi apparebit? Et hoc quoque duplicem exhibet utilitatem: justo quidem qui affligitur, justitiæ augmentum propter patientiam: peccatori autem qui intuetur, conversionem, ut diximus.

Ἢ οὖν διὰ ταῦτα πάσχει δίκαιος, ἢ καὶ δι' ἑτέρων

Aut igitur propter hæc patitur justus: aut pro-

[a] Rom. XII, 14.

pter aliorum salutem, quemadmodum et Christus. Et ob id Petrus etiam nunc addit Christi exemplum : quoniam et Christus quæ passus est non pro suis delictis passus est, sed pro nostris. Ideo quoque subjungit : Justus pro injustis. Nam ipse sicut antea per prophetam ostendit, peccatum non fecerat. Ostendens autem ejus qui passus fuit efficaciam ac virtutem, subjungit : Semel. Tanta, inquit, fuit virtute qui pro hominibus passus fuit, ut quanquam multa horum peccata offenderit, unica Domini passio sufficiens fuerit ad obtundendam omnem vim nostrorum peccatorum. Quoniam igitur passus est Christus, ut nos ad Deum et Patrem suum adduceret, ostendit omnino quod non omnes qui patiuntur, propter peccata patiuntur. Et quia duplici modo consideratur Christus, nempe Deus et homo, passus quoque duplicem nobis gratiam contulit. Mortuus enim tanquam homo liberavit nos à morte et corruptione, innovando nobis resurrectionem, et dando per suum exemplum, ne deinceps sine spe resurrectionis morientes subeant mortem. Vivificatus autem, hoc est, resurgens ex mortuis virtute divinitatis (surrexit enim ex mortuis non tanquam homo, sed tanquam Deus), simul vitæ restituit omnes qui in inferno erant, una resuscitans secum. Multa namque **512** corpora sanctorum qui dormierant excitata sunt, juxta sanctum evangelistam, et visa sunt a multis [555]. Sed ubi hactenus sermone processit et hæc ostendit, deinceps proponit quomodo mortuus iis profuerit qui antea dormierant. Simul etiam cum multa esset quæstio, si ob salutem omnium hominum facta est Dominio incarnatio, qualem sortiti sunt salutem qui antea mortui sunt, utrumque uno modo dissolvit, et ait, quod mors Domini utrumque horum operata est, spem videlicet operationis per hoc quod ipse resurrexerit, et rursum eorum salutem qui priores dormierant. Nam qui bonis operibus vitam suam adornarant tempore quo vixerant, quemadmodum si tunc advenisset Christus nequaquam destituti fuissent prædicatione ipsos vivificante, ita et tunc per Domini ad inferos descensum salutem consecuti sunt, quemadmodum etiam videtur divo Gregorio. Ait enim ipse : An simpliciter salvos facit omnes Christus qui apparuit, videlicet in inferno ? an et ibi eos qui crediderint ? Per hoc enim quod ait : Eos qui crediderint, significat quod seipsos ita præparaverant, quod si etiam tunc advenisset, credidissent. Neque id rejiciendum puto. Non enim hæreditarie habebatur salus, quandoquidem licet ad viventes omnes venit, non tamen omnes salvat, sed eos tantum qui crediderint. Etenim erat etiam opus liberæ voluntatis singulorum, ut cum rationales essent non insensibiliter se haberent ad magnificentiam ejus qui tale donum præstiterat, sed se dignos præberent dantis bonitate. Posuit autem, Inobedientes fuerant, quamdam solvens objectionem. Verisimile enim erat aliquem dicturum : Et

σωτηρίαν, καθὼς καὶ ὁ Χριστός. Καὶ τούτου χάριν καὶ Πέτρος προστίθησι νῦν τὸ τοῦ Χριστοῦ ὑπόδειγμα, ὅτι καὶ Χριστὸς ἅπερ ἔπαθεν, οὐχ ὑπὲρ ἁμαρτιῶν οἰκείων ἔπαθεν, ἀλλ' ὑπὲρ τῶν ἡμετέρων. Διὸ καὶ ἐπάγει, Δίκαιος ὑπὲρ ἀδίκων. Αὐτὸς γὰρ, ὡς κατόπιν διὰ τοῦ προφήτου ἀπέδειξεν, ἁμαρτίαν οὐκ ἐποίησε. Δεικνὺς δὲ τὸ τοῦ παθόντος δραστήριόν τε καὶ δυνατὸν, ἐπιφέρει τὸ Ἅπαξ. Τοσαύτη γὰρ, φησὶν, ὑπῆρξεν ἡ τοῦ παθόντος δύναμις ὑπὲρ τῶν ἀνθρώπων, ὥστε εἰ καὶ πολλὰ τὰ ἁμαρτήματα τούτων κατελαμβάνετο, ἓν μόνον ἀρκέσαι πάθος τοῦ Κυρίου πᾶσαν ἀπαμβλῦναι τὴν δύναμιν τῶν ἡμετέρων ἁμαρτημάτων. Ἐπεὶ οὖν ὑπὲρ τῆς ἡμῶν πρὸς τὸν Θεὸν καὶ Πατέρα αὐτοῦ προσαγωγῆς ἔπαθεν, ἔδειξεν ὅτι οὐ πάντως πάντες οἱ πάσχοντες δι' ἁμαρτίας πάσχουσι. Καὶ ἐπειδὴ διπλοῦς ὁ Χριστὸς, Θεὸς καὶ ἄνθρωπος, διπλῆν καὶ τὴν χάριν ἡμῖν παρέσχε παθών. Ἀποθανὼν γὰρ ὡς ἄνθρωπος, ἀπήλλαξεν ἡμᾶς τοῦ θανάτου καὶ τῆς φθορᾶς, τὴν ἀνάστασιν ἡμῖν ἐγκαινίσας, καὶ δοὺς διὰ τοῦ ἑαυτοῦ ὑπόδειγμα, ὡς οὐκ ἔτι οἱ ἀποθνήσκοντες ἀνέλπιστον ἀναστάσεως ὑπέρχονται θάνατον· Ζωοποιηθεὶς δὲ, τουτέστιν, ἀναστὰς ἐκ νεκρῶν, τῇ τῆς θεότητος δυνάμει, (ἀνέστη γὰρ ἐκ νεκρῶν, οὐχ ὡς ἄνθρωπος, ἀλλ' ὡς Θεὸς,) συνεζωοποίησε τοὺς ἐν τῷ ᾅδῃ συναναστήσας ἑαυτῷ. Πολλὰ γὰρ σώματα, κατὰ τὸν θεῖον εὐαγγελιστὴν, τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐνεφανίσθη πολλοῖς. Ἀλλὰ τῷ λόγῳ μέχρι τούτου προβὰς καὶ δείξας, προκειμένου λοιπὸν, πῶς ἀποθανὼν ὠφέλησε τοὺς προκεκοιμημένους, ἅμα δὲ καὶ ζητήσεως πολλῆς οὔσης, εἰ ἐπὶ σωτηρίᾳ πάντων ἀνθρώπων ἡ ἐνανθρώπησις τοῦ Κυρίου, ποίας ἔτυχον σωτηρίας οἱ προθανόντες, λύει ἀμφότερα δι' ἑνὸς καί φησιν, ὅτι ὁ τοῦ Κυρίου θάνατος, ἀμφότερα ταῦτα εἰργάσατο, ἐλπίδα ἀναστάσεως διὰ τοῦ ἀναστῆναι αὐτὸν, καὶ σωτηρίαν πάλιν τῶν προκεκοιμημένων. Οἱ γὰρ ἔργοις ἀγαθοῖς τὸν ἑαυτῶν κατὰ τὸν τῆς ζωῆς αὐτῶν χρόνον περιανθίσαντες βίον, ὡς εἰ καὶ τότε τῷ κόσμῳ ἐπεδήμησε Χριστὸς, μὴ ἂν ἀπολειφθῆναι τοῦ ζωοποιοῦντος αὐτοὺς κηρύγματος, οὗτοι καὶ τότε διὰ τῆς εἰς ᾅδου τοῦ Κυρίου καθόδου, τῆς σωτηρίας ἔτυχον, ὡς καὶ Γρηγορίῳ τῷ θείῳ δοκεῖ· φησὶ γὰρ οὗτος· Ἁπλῶς σώζει πάντας Χριστὸς ἐπιφανείς; δηλονότι ἐν τῷ ᾅδῃ· ἢ κἀκεῖ τοὺς πιστεύσοντας; Διὰ γὰρ τοῦ Πιστεύσοντας, σημαίνει τοὺς οὕτω παρασκευακότας ἑαυτοὺς, ὡς εἰ καὶ τότε παρεγένετο, πιστεύσοντας. Καὶ οὐ μήμψεως τοῦτο. Οὐ γὰρ ἀποκληρωτικῶς ἡ σωτηρία, ἐπεὶ καὶ τοῖς ζῶσι πᾶσι γενόμενος, οὐ πάντας σώζει, εἰ μὴ μόνον τοὺς πιστεύσοντας. Ἀλλὰ γὰρ καὶ τῆς ἑκάστου προαιρέσεως ἔργον ἦν, τὸ, λογικὸν γενόμενον μὴ ἀναισθήτως ἔχειν τῆς τοῦ πεποιηκότος ἀγαθοδότου μεγαλοδωρεᾶς, ἀλλ' ἐπάξιον ἑαυτὸν παρέχειν τῆς τοῦ δεδωκότος ἀγαθότητος. Τὸ δὲ, Ἀπειθήσασιν, ἔθηκε, λύων ἀντίθεσιν τινα. Εἰκὸς γάρ τινα ἐρεῖν· Καὶ τίνος ἄλλου κηρύξαντος πρὸ Χριστοῦ; Εἶτα ἀπειθήσαντες κατεχρίθησαν; Ἦτοι κατακοίσεως ἄξιοι γεγόνασιν οἱ

[555] Matth. xxvii, 52.

πρὸ τοῦ Χριστοῦ; καὶ ἔχων τοῦτο, ὡς καὶ Παῦλος, ἀπὸ τῶν ἐνεσπαρμένων ἡμῖν λογικῶν δυνάμεων ἀπελέγξαι, ὅτι κριτικοὶ καλοῦ καὶ κακοῦ γεγονότες, εἶτα μὴ τὸ ἀγαθὸν ἐργασάμενοι, ἄξιοι κατακρίσεως οἱ τοιοῦτοι, οὐ τοῦτο ποιεῖ, (κρεῖττονος γὰρ τοῦτο λογισμοῦ καὶ φιλοσόφου, ἢ κατὰ Ἰουδαίων διάνοιαν,) ἀπὸ δὲ τῆς Γραφῆς τὴν ἀπείθειαν πιστοῦται, καὶ οὐκ ἀπὸ τῶν χρόνων τῶν Προφητῶν, ἀλλ' ἀπ' αὐτῆς σχεδὸν τῆς κοσμογονίας.

A quo alio ante Christum prædicante, postmodum de inobedientia judicati aut condemnatione digni fuerant qui Christum præcesserant? Cumque hoc posset evincere, quemadmodum et Paulus, a disseminatis in nobis rationalibus viribus, quod cum datum ipsis esset ut possent inter bonum et malum discernere, nec postea bonum operati essent, tales digni essent morte, non hoc facit, nam id altioris est considerationis ac philosophiæ profundioris quam ut ferre posset mens Judæorum: sed a Scriptura confirmat inobedientiam: neque id a temporibus prophetarum, sed ab ipso propemodum mundi ortu: **513** ex quo demonstrat quod ab initio prædicabatur hominibus salus, sed despiciebatur ob declinationem ipsorum ad vana ac voluptuosa.

Ἀναριθμήτων γὰρ ὄντων ἀνθρώπων καὶ κατ' ἐκεῖνο καιροῦ, μόνοι ὀκτὼ ἄνθρωποι πεισθέντες τοῖς κηρυσσομένοις διὰ τῆς κατασκευῆς τῆς κιβωτοῦ, ἐσώθησαν. Ἐπειδὴ δὲ ἐν ὕδατι ἡ σωτηρία, εὐθέως τοῦτο ἐπὶ τοῦ ἁγίου λαμβάνει βαπτίσματος, καί φησιν, ὅτι τὸ ὕδωρ ἐκεῖνο τὸ βάπτισμα ὑμῶν ὑπηνίσσετο. Ἐπεὶ καὶ τοῦτο ἐναποπνίγει τοὺς ἀπειθοῦντας δαίμονας, καὶ σώζει τοὺς πιστοὺς προσίοντας τῇ κιβωτῷ τῆς Ἐκκλησίας. Ἅμα δέ φησιν, Ὥσπερ τὸ ὕδωρ ἀποκλύζει τὸν ῥύπον, οὕτω καὶ τὸ βάπτισμα. Ἀλλ' οὐ σαρκὸς ῥύπου ἀπόθεσιν ἀπεργάζεται, συμβολικῶς δὲ τὴν τῆς ψυχικῆς κηλῖδος παρίστησιν ἀπόκλυσιν. Ἔστι δὲ καὶ οἷόν τις ἀῤῥαβὼν καὶ ἐνέχυρον τῆς πρὸς Θεὸν ἀγαθῆς συνειδήσεως. Οἱ γὰρ συνειδότες ἑαυτοῖς ἀγαθὰ, τουτέστι, οἱ βίου ἀντεχόμενοι ἀμώμου, καὶ τοῦτο ἐκ παντὸς ἐπιζητοῦντες καὶ οἷον ἐρωτῶντες (τοῦτο γὰρ τοῖς ζητοῦσί τι ἐπακολουθεῖ, λέγω δὲ τὸ ἐρωτᾷν), οὗτοι καὶ τῷ ἁγίῳ προστρέχουσι βαπτίσματι. Καὶ τίς, φησὶ, τοῦτο παρέχει τὸ ἐπιζητεῖν καὶ ἐπερωτᾷν τὸ θεῖον βάπτισμα; Ἡ ἀνάστασις τοῦ Χριστοῦ. Πρὸ μὲν γὰρ ἀναστάσεως αὐτοῦ καὶ τοῦ πάθους ἀποφαίνεται, τὸ, « Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος. » Μετὰ δὲ τὴν ἀνάστασιν, τὸ, « Βαπτίζειν πάντα τὰ προσιόντα ἔθνη εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. » Ἐπεὶ δὲ τὸν τῆς οἰκονομίας λόγον διῆλθε, λέγω δὲ τὴν εἰς ᾅδου πορείαν τοῦ Κυρίου, καὶ τίνος χάριν κἀκεῖ πεπόρευται, ὅτι ἐπὶ σωτηρίᾳ καὶ τῶν ἐν ᾅδου, πάλιν ἑτέραν ἀφορμὴν ἀπὸ τοῦ θανάτου λαμβάνει τοῦ Κυρίου εἰς παράκλησιν ἀρετῆς. Καί φησιν, ὅτι Εἰ ἀπέθανε Χριστὸς ὑπὲρ ἡμῶν σαρκὶ (οὐ γὰρ καὶ τῇ ἀθανάτῳ αὐτοῦ καὶ θείᾳ φύσει), πάντως καὶ ὑμεῖς ἀντιδιδόντες αὐτῷ τὸ ἀποθανεῖν δι' αὐτὸν τῇ ἁμαρτίᾳ, οὐκ ἔτι ἀνθρωπίναις ἐπιθυμίαις ἁλώσεσθε, ἀλλὰ κατὰ τὸ θέλημα μόνον τοῦ Θεοῦ τὸν ἐπίλοιπον χρόνον ζήσεσθε τὸν ἐν τῇ σαρκί. « Θανατωθεὶς μὲν σαρκί. » Θανατωθεὶς μὲν τῇ φύσει τῆς σαρκὸς, τουτέστι, τῇ ἀνθρωπίνῃ, ἀναστὰς δὲ τῇ δυνάμει τῆς θεότητος. Καὶ γὰρ πνεῦμά ἐστιν ὁ Θεὸς, ὡς αὐτὴ τῆς θεολογίας ἡμᾶς ἡ πηγὴ καὶ σοφία ἐμυσταγώγησεν.

Cum enim illorum quoque tempore innumerabiles essent homines, soli octo, credentes his quæ per arcæ præparationem prædicabantur, servati fuerunt. Quoniam autem in aqua fuerat salus, confestim hoc ad sacrum transfert baptisma, et ait, quod aqua illa designabat nostrum baptisma, quoniam illud quoque suffocat ac demergit incredulos dæmones, servatque fideles ad Ecclesiæ arcam accedentes. Simul autem dicit: Quemadmodum aqua diluit sordes, sic et baptisma. Verum non ablationem sordium carnis operatur, sed per symbolum demonstrat macularum animæ ablutionem. Est autem veluti etiam arrhabo quidam et pignus bonæ erga Deum conscientiæ. Qui enim bene sibi conscii sunt, hoc est, qui inculpatam amplectuntur vitam, et illam penitus exquirunt ac veluti interrogant (nam hoc comitari solet eos qui aliquid quærunt, nempe interrogare), hi etiam ad sacrum accurrunt baptisma. Et quis, inquit, hoc præbet ut exquiratur ac rogetur divinum baptisma? Christi resurrectio. Siquidem ante ipsius resurrectionem ac passionem hoc ostenditur: « Nisi quis natus fuerit ex aqua et spiritu [56]; » post resurrectionem vero: « Baptizantes omnes gentes accedentes, in nomine Patris, et Filii, et Spiritus sancti [57]. » Postquam autem dispensationis sermonem concluſit: dico autem descensum Domini ad infernum, et quam ob causam eo etiam accesserit, puta quod propter illorum quoque salutem qui in inferno erant: aliam rursum sumit a morte Domini occasionem ad virtutis exhortationem, et ait: Si Christus carne mortuus est pro nobis (neque enim immortali sua et divina natura mori potuit), utique et vos vicem ei rependentes, moriendo peccato propter ipsum, non amplius humanis concupiscentiis capiemini, sed soli Dei voluntati reliquo tempore in carne vivetis. « Mortificatus quidem carne. » Id est, natura carnis, hoc est, humana, sed resurgens potentia divinitatis. Etenim spiritus est Deus [58], quemadmodum ipse theologiæ fons ac sapientia nos docuit.

III, 19-22. **514** *In quo etiam abiit, et spiritibus qui erant in carcere prædicavit, qui inobedientes fuerant quondam. Cum semel expectabatur Dei longanimitas in diebus Noe, cum apparabatur arca, in qua*

[56] Joan. III, 5. [57] Matth. XXVIII, 19, 20. [58] Joan. IV, 24.

paucæ, hoc est, octo animæ servatæ fuerunt per aquam. Cujus figuræ nunc respondens baptisma, nos quoque salvat, quo non carnis sordes abjiciuntur, sed quo fit ut bonæ conscientiæ responsio sit apud Deum, per resurrectionem Jesu Christi, qui est ad dexteram Dei, profectus in cœlum, subjectis sibi angelis et potestatibus ac virtutibus.

A ὀκτὼ ψυχαὶ διεσώθησαν δι' ὕδατος. Ὃ ἀντίτυπον νῦν καὶ ἡμᾶς σώζει βάπτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεόν, δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ, ὃς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ πορευθεὶς εἰς οὐρανόν, ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.

« In quo etiam. » Hoc ἐν ᾧ causaliter sumitur pro Ideo. Cum enim dixisset quod pro nobis injustis mortuus sit, et ex hoc demonstrasset quod pro salute omnium hominum mortem sustinuerit, dicit nunc quod ideo quoque his prædicavit qui in inferno detenti erant. Ὃ ἀντίτυπον, etc. (Obscurus est hic Græcorum verborum contextus, atque ideo pluribus vocibus Latine redditus : attamen Græcas dictiones ad verbum reddendo, ita ordinabuntur :) B Quod figuræ respondens vos quoque salvat nunc baptisma, quod non rejectio est sordium carnis, sed ἐπερώτημα conscientiæ bonæ quæ ad Deum est, sive secundum Deum. Porro ἐπερώτημα, hoc est, arrhabo, pignus, demonstratio. « Subjectis sibi angelis, » unito homini videlicet.

« Ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ. » Τοῦτο ἀντὶ τοῦ Διὸ κεῖται αἰτιολογικῶς. Εἰπὼν γὰρ ὅτι ὑπὲρ τῶν ἀδίκων ἡμῶν ἀπέθανε, καὶ ἐκ τούτου δοὺς ἔμφασιν ὅτι ὑπὲρ σωτηρίας ἁπάντων ἀνθρώπων τὸν θάνατον ὑπέστη, λέγει ὅτι διὸ καὶ τοῖς ἐν τῷ ᾅδῃ κατεχομένοις ἐκήρυξεν. « Ὃ ἀντίτυπον. » Τὸ ἑξῆς οὕτως· Ὃ ἀντίτυπον καὶ ὑμᾶς σώζει νῦν βάπτισμα οὐ σαρκὸς ῥύπου ὂν ἀπόθεσις, ἀλλὰ συνειδήσεως ἀγαθῆς τῆς εἰς Θεόν, ἤτοι κατὰ Θεόν. Ἐπερώτημα δὲ, τουτέστιν, ἀρραβών, ἐνέχυρον, ἀπόδειξις. « Ὑποταγέντων αὐτῷ ἀγγέλων, » τῷ ἡνωμένῳ τῷ ἀνθρώπῳ δηλονότι.

CAPUT V.

De rejectione pravarum actionum, et repetitione fructuum in spiritu juxta donorum diversitatem.

IV, 1 5. *Cum igitur Christus passus sit pro vobis carne, et vos juxta eamdem cogitationem armemini : quod qui passus est in carne, destitit a peccato : in hoc ut jam non concupiscentiis hominum, sed voluntati Dei quod superest in carne tempus vivat. Sat enim nobis* C *quod anteacto* **515** *tempore vitæ qui voluntatem gentium patraverimus, cum versaremur in lasciviis, concupiscentiis, vinolentiis, comessationibus, compotationibus, et nefariis simulacrorum cultibus. Unde novum videtur illis calumniantibus quod non accurratis una cum ipsis in eamdem luxus refusionem. Qui reddituri sunt rationem ei qui paratus est ad judicandum vivos ac mortuos.*

Ordo talis est : Cum igitur Christus mortuus sit carne, vos quoque juxta eamdem cogitationem ordinemini : nam mortui estis et vos, mundo videlicet : porro qui mortuus est, cessavit a peccato, etc. « Sat enim nobis. » Sive abunde in vita anteacta voluntatem gentium operati sumus : hoc est, gentiliter viximus, incedentes gentium more. Ideo D gentes nunc hæc demirantur. « Eamdem cogitationem. » Hoc est, juxta eamdem intentionem idemque propositum. Nam per defectum propositionis κατά, id est, juxta, dictum est. « Qui passus est in carne : » hoc est, Mortuus est, similia dicens cum Paulo : « Si mortui sumus cum Christo, etiam vivemus cum eo. Et mortui quidem erimus peccato, sed vivemus Deo [59]. » — « Sat enim nobis. » Tanquam diceret : Quid autem ? annon abunde vobis est quod tanto vitæ tempore simul indulseritis voluptatibus ? annon similiter ut et gentes lascive vixistis ? et quæ fuerint lasciviæ ac obscœnitates, in

ΚΕΦΑΛ. Ε'.

Περὶ ἀποθέσεως φαύλων πράξεων, καὶ ἐπαναλήψεως τῶν ἐν πνεύματι καρπῶν κατὰ τὴν διαφορὰν τῶν χαρισμάτων.

Χριστοῦ οὖν παθόντος ὑπὲρ ὑμῶν σαρκί, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε. Ὅτι ὁ παθὼν ἐν σαρκὶ πέπαυται ἁμαρτίας, εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι Θεοῦ, τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον. Ἀρκετὸς γὰρ ἡμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου, τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι, πορευομένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρείαις. Ἐν ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες. Οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως κρῖναι ζῶντας καὶ νεκρούς.

Τὸ ἑξῆς οὕτως· Χριστοῦ οὖν ἀποθανόντος σαρκὶ, καὶ ὑμεῖς κατὰ τὴν αὐτὴν ἔννοιαν εὐτρεπίσασθε. Ἀπεθάνετε γὰρ καὶ ὑμεῖς, τῷ κόσμῳ δηλονότι. Ὁ δὲ ἀποθανὼν, πέπαυται ἁμαρτίας, καὶ ἑξῆς. « Ἀρκετὸς γὰρ ἡμῖν. » Ἤτοι ἱκανῶς κατὰ τὸν παρεληλυθότα βίον. Τὸ θέλημα τῶν ἐθνῶν κατειργασάμεθα, τουτέστιν, ἐθνικῶς ἐζήσαμεν, πεπορευμένοι ὡς τὰ ἔθνη. Διόπερ ταῦτα τὰ ἔθνη νῦν ξενίζονται. « Αὐτὴν ἔννοιαν. » Ἀντὶ τοῦ κατὰ τὴν αὐτὴν ἔννοιαν, κατὰ τὸν αὐτὸν σκοπόν. Ἐλλειπτικῶς γὰρ τῆς Κατὰ προθέσεως εἴρηται. « Ὁ παθὼν ἐν σαρκί. » Ἀντὶ τοῦ, Ὁ ἀποθανὼν, ὅμοια Παύλῳ λέγων· « Εἰ ἀπεθάνομεν σὺν Χριστῷ, καὶ συζήσομεν αὐτῷ. Καὶ νεκροὶ μὲν ἐσόμεθα τῇ ἁμαρτίᾳ, ζῶντες δὲ τῷ Θεῷ. » — « Ἀρκετὸς γὰρ ἡμῖν. » Ὥσπερεἰ ἔλεγεν, Τί δέ ; Οὐκ ἠρκέσθητε τοσοῦτον χρόνον ταῖς τοῦ βίου συνεξεταζόμενοι ἡδυπαθείαις ; ἢ οὐχ ὁμοίως τοῖς ἔθνεσιν ἀσελγῶς ἐβιώσατε ; καὶ τίνα τὰ ἀσέλγη κατ' εἶδος ἐπάγει, ἐντρέπων αὐτούς. « Οἰνοφλυγίαις. » Οἰνο-

[59] Rom. VI, 8-10.

φλυγίαις ταῖς ἐπὶ τὸν οἶνον ἀκρατέσιν ὁρμαῖς. « Ἐν ᾧ ξενίζονται. » Τὸ *ξενίζονται* ἀντὶ τοῦ *θαυμάζουσι* κεῖται. Ὃ δὲ λέγει τοῦτό ἐστι· Καθάπαξ ἀπειπάμενοι τῶν ἐθνικῶν ἐπιτηδευμάτων ἐν οἷς ἐζήσατέ ποτε, τοῦ ἐπαγγελμένου ὑμῖν σεμνοῦ βίου ἔχεσθε. Οὕτω γὰρ ἂν καὶ αὐτοὶ οἱ ἐθνικοὶ θαυμάζονται ὑμᾶς, μὴ συντρέχοντας αὐτοῖς εἰς τὴν ὁμοίαν αὐτοῖς τῆς ἀσεβείας ἀνάχυσιν ἤτοι σύγχυσιν. Διὸ καὶ μετὰ τοῦ θαυμάζειν καὶ ἐξαπορεῖσθαι τῇ μεταβολῇ ὑμῶν, οὐ μόνον καταισχύνονται, ἀλλὰ καὶ βλασφημοῦσι, τουτέστι, σκώπτουσιν ὑμᾶς. Βδέλυγμα γὰρ ἁμαρτωλῷ θεοσέβεια. Οὗτοι δὲ καὶ οὐδὲ ἀτιμώρητον ἕξουσι τὴν τοιαύτην βλασφημίαν, ἀλλὰ δώσουσι λόγον, τῷ ἐπ' αὐτῷ τούτῳ ἀμεταθέτως καὶ ἑδραίως καθεδουμένῳ τῶν πάντων κριτῇ. Τοῦτο γὰρ τὸ Ἕτοιμον σημαίνει ἐνταῦθα, ὡς καὶ τὸ, « Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ, » καὶ ἐν τῷ, « Ἕτοιμος ὁ θρόνος σου. » Τῷ οὖν ἀμεταθέτως καὶ βεβαίως κρίνοντι ζῶντας καὶ νεκροὺς δώσουσι λόγον οἱ χλευάζοντες ὑμᾶς. Πῶς δὲ ζώντων κριτὴς καὶ νεκρῶν, ἐξῆς δηλώσει.

Εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκὶ, ζῶσι δὲ κατὰ Θεὸν πνεύματι.

Τὸ ἐξῆς οὕτως· Οὗτοι οἱ βλασφημοῦντες ὑμᾶς δώσουσι λόγον τῷ πάντας κρινοῦντι ζῶντας καὶ νεκρούς. Κρίνονται γὰρ καὶ νεκροί. Καὶ δῆλον ἀπὸ τῆς τοῦ Κυρίου εἰς τὸν ᾅδην παρουσίας. Κἀκεῖ γὰρ ἐπιδημήσας ἐν τῷ κατὰ τὸν σταυρὸν δηλονότι θανάτῳ αὐτοῦ, ἐκήρυξεν ὥσπερ καὶ ἐπὶ τῆς γῆς τοῖς ζῶσιν. Ἐκήρυξε δὲ οὐ λόγῳ, ἀλλὰ πράγματι. Καὶ ὥσπερ ἐν τῷ κόσμῳ παραγενόμενος, τοῖς μὲν ἐπεγνωέναι ἑτοίμως ἔχουσιν αὐτὸν, εἰς δικαίωμα παραγέγονε, τοῖς δὲ ἀγνοήσασιν εἰς κατάκρισιν, οὕτω καὶ τοῖς ἐν ᾅδῃ, τοῖς μὲν κατὰ σάρκα ζήσασιν ἀνθρωπίνως εἰς κρῖμα παρεγένετο, τοῖς δὲ κατὰ πνεῦμα ζήσασι, τουτέστι, κατὰ πνευματικὸν καὶ ἐνάρετον βίον, εἰς δόξαν καὶ σωτηρίαν. Ὥστε καὶ ζώντων καὶ νεκρῶν κριτὴς δικαίως ἂν λέγοιτο. — Ἄλλως. Οἱ μὲν παλαιοὶ τῶν Πατέρων τοῦτο τὸ, Καὶ νεκροῖς εὐηγγελίσθη, ὡς περικοπὴν ἐξηγήσαντο, οὐδὲν φροντίσαντες τῆς συνεχείας τῶν ἄνω, οὐδ' ὅτι αἰτιολογικῶς εἰρημένον δεῖ πρὸς τὰ πρὸ αὐτοῦ ἀναφέρεσθαι. Τοῦτο γὰρ ὀφείλει τὸ κατ' αἰτίαν λεγόμενον ἔχειν. Ἀλλ' ὡς εἴρηται, ὡς περικοπὴν αὐτὸ ἐξηγήσαντο οὕτως. Νεκροὺς γὰρ ἔφασαν διττῶς λέγειν τὴν θείαν Γραφὴν, ἢ τοὺς ταῖς ἁμαρτίαις ἐναποθανόντας, οἳ οὐδὲ ζωὴν ποτε ἴδοιεν, ἢ τοὺς τῷ θανάτῳ τοῦ Χριστοῦ συμμορφωθέντας, καὶ ἀποθανόντας μὲν τῷ κόσμῳ, τουτέστι, ταῖς κοσμικαῖς ἐπιθυμίαις, ζῶντας δὲ μόνῳ Χριστῷ, ὡς καὶ Παῦλός φησιν· « Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ ζῶ. » Φασὶν οὖν, ὅτι οἱ οὕτως ἀποθανόντες Χριστῷ, τῇ σαρκὶ ἑαυτοὺς κατακρίνουσιν ἐπὶ τῇ πρότερον ἀμελεῖ ἑαυτῶν καὶ ῥᾳθύμῳ ζωῇ. Τοῦτο δὲ, ζῆν αὐτούς ἐστι πνεύματι, ἤτοι τῇ κατὰ Χριστὸν ζωῇ. Ἡ γὰρ τῶν

specie subjungit, confundens ipsos. « Vinolentiis. » intemperantibus vini appetitionibus. « Unde novum videtur illis. » Ξενίζονται ponitur pro θαυμάζουσι. Hoc est, admirantur. Id autem est quod dicit : Cùm semel renuntiaveritis gentium studiis, quibus quondam vivebatis, adhæretis vitæ honestæ quam assumpsistis. Ita enim ipsi quoque gentiles admirantur vos, quod non concurratis cum eis in similem impietatis refusionem sive confusionem. Ideoque non solum admirantur et stupent ob mutationem vestram, non solum pudefiunt, verum etiam calumniantur, hoc est, irrident vos. Abominatio est enim peccatori divinus cultus. Hi autem neque impune ferent hujusmodi calumniam, sed reddent rationem universorum judici, qui ad hoc ipsum immutabiliter ac firmiter sedet : nam id significat hoc loco Paratum esse : sicut quùm dicitur : « Parans montes in virtute tua [60]. » Et, « Parata sedes **516** tua [61]. » Ei ergo qui immutabiliter ac firmiter judicat vivos ac mortuos, reddent rationem qui vos subsannant. Quomodo autem viventium sit judex ac mortuorum, consequenter manifestabit.

IV, 6. *Nam hoc mortuis quoque prædicatum est Evangelium : ut judicentur quidem secundum homines carne, vivant autem juxta Deum spiritu.*

Ordo talis est : Hi qui vos calumniantur reddent rationem ei qui omnes judicat vivos ac mortuos : nam judicantur et mortui : quod manifestum est ex adventu Domini ad inferos. Cùm enim eo quoque venisset, videlicet per mortem suam in cruce, prædicavit, sicut et iis qui in terra vivebant. Prædicavit autem non sermone, sed opere. Et quemadmodum in mundum adveniens, iis qui parati erant, ut ipsum cognoscerent, ad justificationem venit : ignorare autem cupientibus ad condemnationem : ita et his qui apud inferos erant. Nam his qui secundum carnem humano more vixerant, ad judicium advenit. His vero qui secundum spiritum vixerunt, id est, juxta spiritualem ac honestam vitam, ad gloriam et salutem. Itaque et vivorum et mortuorum judex merito dici potest.—*Aliud.* Veteres quidem Patres illud, Nam hoc mortuis quoque prædicatum est Evangelium, tanquam resecatam particulam interpretati sunt, nihil curæ habentes de continuatione ad superiora, neque quod per modum causæ dictum oporteat ad precedentia referri. Nam illud oportet secundum causam dictum habere : sed sicut diximus tanquam intersectionem interpretati sunt hoc modo. Mortuos enim duobus modis appellare dixerunt sacram Scripturam : aut eos qui peccatis immortui sunt, qui neque vitam unquam videre possunt : aut eos qui morti Christi conformes effecti sunt, et mundo quidem mortui sunt. id est, mundanis concupiscentiis, vivunt, autem soli Christo, sicut et Paulus dicit : « Quod autem nunc vivo in carne, in fide vivo Filii Dei [62]. Dicunt ergo quod qui ita mortui sunt Christo, seipsos carne condemnant ob negligentem ac segnem

[60] Psal. CXIV, 7. [61] Psal. CI.II, 2. [62] Galat. II, 20.

vitam priorem. Hoc autem est vivere ipsos spiritu sive vita secundum Christum : nam priorum condemnatio promptiores ipsos reddit circa præsentia et ea quæ præ manibus esse facit. Et illi quidem hoc modo. Et quanquam hæc recte se habere quis dixerit. Necdum tamen quod dictum est **517** omnino hæret. Cum autem in superioribus dictum esset de his qui apud inferos erant, quod illis quoque spiritibus prædicatum fuit, æquum est ad id referre præsentem, qui per causam inducitur, sermonem, et non solum considerare, sicut nunc dictum est. Unde dicimus, quod quia immediate antea dixerat, Qui paratus est ad judicandum vivos et mortuos : his autem per exceptionem objici poterat : Et ubi viventes aut ubi mortui judicantur ? subjungit sermoni fidem, ab his quæ prius dixerat, quod his etiam qui in carcere erant spiritibus prædicatum fuit : et hæc prædicatio ipsis ad judicium facta est sive ad condemnationem : his quidem qui de bona vita sibi conscii erant, protinus adhærentibus benignitati illius qui ibi apparuerat : malis vero inde pudore repletis, suamque condemnationem exspectantibus. Hoc itaque Dominum esse judicem mortuorum confirmat. Vivorum autem, nam quum in mundum venisset juxta vitam mortalem, hujus præsentiam habuerunt homines pro condemnatione, dum boni quidem ad ipsum accurrerunt ac instructi sunt, scelesti vero repulerunt et sponte abominati sunt veritatem : quod ipsum etiam fuit horum condemnatio. Ideo quoque dicit Dominus : « In judicium ego veni in mundum [63], » id est, in condemnationem. Ita ergo et vivorum judex est Dominus et mortuorum : et causæ redditio ob integrum sermonem et non propter partem ordinabitur. Itaque quod dicitur, ut judicentur carne, ita accipiendum est, quod cum accessisset Dominus ad eos qui apud inferos erant, illi quidem qui in mundo carnaliter vixerant, condemnati sunt : qui vero spiritualiter, vixerunt : aut reviviscendo una cum Domino (multa enim corpora sanctorum qui dormierunt excitata sunt [64]), aut per bonam spem. Porro Judicentur ac Vivant, dictum est sumendo tempus pro tempore, nempe futurum pro præterito, quod frequens est in sacra Scriptura. « Omnium, inquit, finis imminet, » hoc est, et eorum qui in vita justificati sunt, et eorum qui apud inferos. Nam in secundo adventu quod cuique repositum est consummabitur. Quod si quis spernat prædicationem Domini apud inferos, dicens mortuis nihil posse prodesse, eo quod juxta prophetam David in inferno nullus confiteatur [65] : hic et prædicationem apud inferos rasse intelligit, **518** et confessionem non laudem Dei, sed manifestationem existimat : ignorans illud quod dicitur : « Non mortui laudabunt te, Domine [66]. » Est autem illud : « In inferno quis confitebitur tibi [67] ? » Sic intelligendum quod confessio est gratiarum actio ad Deum, dum quis liberatus est a

A προτέρων κοτάγνωσις εὐθυμοτέρους αὐτοὺς περὶ τὰ νῦν καὶ μετὰ χεῖρας ποιεῖ. Κἀκεῖνοι μὲν οὕτως. Εἰ δὲ καὶ καλῶς ἔχειν ταῦτά τις ἐρεῖ, ἀλλ' οὔπω τοῦ παντὸς τὸ εἰρημένον ἐξέχεται. Εἰρημένου δὲ ἀνωτέρω περὶ τῶν ἐν τῷ ᾅδῃ, ὅτι κἀκείνοις τοῖς ἐν φυλακῇ πνεύμασιν ἐκηρύχθη, πρὸς τοῦτο δίκαιον ἀναφέρειν τὸν παρόντα μετὰ αἰτίας εἰσαγόμενον λόγον, καὶ μὴ ὡς νῦν μόνον εἰρημένον ἐπισκοπεῖν. Ὅθεν ἐροῦμεν, ὡς ἐπειδὴ προσεχῶς ἄγαν εἶπε, Τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς, τὸ δὲ ἀνθυποφερόμενον τούτοις ἦν, Καὶ ποῦ ζῶντες, ποῦ δὲ νεκροὶ κρίνονται; ἐπιφέρει τοῦ λόγου τὴν πίστιν ἀφ' ὧν ἀνωτέρω εἰρήκει, ὅτι καὶ τοῖς ἐν φυλακῇ πνεύμασιν ἐκηρύχθη. Καὶ τὸ κήρυγμα τοῦτο εἰς κρίσιν ἐγένετο τούτοις, ἤτοι εἰς κατάκρισιν, τῶν μὲν ἑαυτοῖς συνειδότων
B χρηστὸν βίον τῇ τοῦ φανέντος ἐκεῖσε χρηστότητι συναπτομένων, εὐθύς. Τῶν δὲ πονηρῶν, αὐτόθεν αἰσχύνης πληρουμένων, καὶ τὴν ἑαυτῶν καταδίκην ἐκδεχομένων. Τοῦτο μὲν οὖν τὸ κριτὴν εἶναι καὶ νεκρῶν τὸν Κύριον βεβαιοῖ Ζώντων δέ. Ἐλθόντος γὰρ εἰς τὸν κόσμον κατὰ τὴν φθαρτὴν ζωὴν, τὴν παρουσίαν ἐσχήκασιν ἄνθρωποι τούτου, κατάκρισιν, τῶν μὲν ἀγαθῶν προσδραμόντων αὐτῷ καὶ μαθητευθέντων, τῶν δὲ μιαρῶν ἀποσεισαμένων καὶ ἐκόντι μυσάντων πρὸς τὴν ἀλήθειαν. Ὃ καὶ αὐτὸ τούτων κατάκρισις. Διὸ καὶ ὁ Κύριός φησιν· « Εἰς κρίμα ἐγὼ ἐλήλυθα εἰς τὸν κόσμον, » τουτέστιν, εἰς κατάκριμα. Οὕτως οὖν καὶ ζώντων κριτὴς ὁ Κύριος καὶ
C νεκρῶν. Καὶ ἡ αἰτιολογία ἐπ' ἀκεραίῳ τῷ λόγῳ, ἀλλ' οὐκ ἐπὶ μέρους ταχθήσεται. Ἔστι τοίνυν τὸ, κριθῶσι σαρκὶ, οὕτως, τοῦ Κυρίου τοῖς ἐν τῷ ᾅδῃ φοιτήσαντος. Οἱ μὲν ἐν τῷ κόσμῳ σαρκικῶς ζήσαντες, κατεκρίθησαν, οἱ δὲ πνευματικῶς, ἔζησαν, ἢ τῇ μετὰ τοῦ Κυρίου ἀναβιώσει (πολλὰ γὰρ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη), ἢ τῇ εὐελπιστίᾳ. Τὸ δὲ, Κριθῶσι καὶ Ζήσωσι, κατὰ ἀντιχρονίαν εἴληπται, ἀντὶ τοῦ παρῳχημένου, μέλλοντος. Ὃ τῇ θείᾳ Γραφῇ σύνηθες. « Πάντων γὰρ, φησὶ, τὸ τέλος ἤγγικε, » τουτέστι, καὶ τῶν κατὰ ζωὴν δικαιωθέντων, καὶ τῶν κατὰ τὸν ᾅδην. Ἐν γὰρ τῇ δευτέρᾳ παρουσίᾳ, τὸ ἀποκείμενον ἑκάστῳ τελεσθήσεται. Εἰ
D δέ τις τὸ ἐν τῷ ᾅδῃ τοῦ Κυρίου κήρυγμα ἀθετεῖ, φάσκων μηδὲν τοῖς τεθνεῶσι δύνασθαι τοῦτο λυσιτελεῖν, διὰ τὸ ἐν τῷ ᾅδῃ, κατὰ τὸν προφήτην Δαυὶδ μηδένα ἐξομολογεῖσθαι, οὗτος καὶ τὸ κήρυγμα τὸ ἐν τῷ ᾅδῃ παχέως ἐπακούει, καὶ τὴν ἐξομολόγησιν, οὐκ αἶνον Θεοῦ, ἀλλ' ἐξαγόρευσιν λογίζεται, ἀνήκοος ὢν τοῦ, « Οὐχὶ νεκροὶ αἰνέσουσί σε, Κύριε. » Ἔστι δὲ τὸ, « Ἐν τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι, » τοιοῦτον. Ἐξομολόγησίς ἐστιν εὐχαριστία πρὸς Θεὸν, ἐφ' οἷς τις δυσχερῶν ἀπηλλάγη. Ἐπεὶ οὖν ἐν τῷ παρόντι βίῳ πάντα τὰ πρακτὰ συντελεῖται ἐνεργούμενα (ἀποθανοῦσι γὰρ πάντα ἀργά)· εἰκότως ὡς μή τινος τούτων ἐνεργουμένου ὑπὲρ ὧν τις ἀπαλλαγεὶς ἐξομολογήσεται, εἴρηται τὸ, « Ἐν τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι ; »

gravibus molestiis. Quoniam igitur cuncta quæ

[63] Joan. IX, [64] Matth. XXVII, 52. [65] Psal. VI, 6. [66] Psal. CXIII, 17. [67] Psal. IV, 6.

tractantur in præsenti vita, ubi peracta sunt, finiuntur. Nam mortuis omnia sunt otiosa : merito dum nullus quidquam operatur pro quibus liberatus gratias acturus esset, dictum est : « In inferno quis confitebitur tibi? »

Πάντων δὲ τὸ τέλος ἤγγικε. Σωφρονίσατε οὖν, καὶ νήψατε εἰς τὰς προσευχάς. Πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες. Ὅτι ἀγάπη καλύψει πλῆθος ἁμαρτιῶν. Φιλόξενοι εἰς ἀλλήλους ἄνευ γογγυσμῶν. Ἕκαστος καθὼς ἔλαβε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ. Εἴ τις λαλεῖ, ὡς λόγια Θεοῦ. Εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος, ἧς χορηγεῖ ὁ Θεός, ἵνα ἐν πᾶσι δοξάζηται ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ. ὯΙ ἐστὶν ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A IV, 7-11. *Porro rerum omnium finis imminet. Sitis igitur sobrii et vigilantes ad orandum. Ante omnia autem charitatem inter vos extensam habentes. Nam charitas operiet multitudinem peccatorum. Hospitales estote erga vos invicem sine murmuratione. Ut quisque accepit donum, ita alius in alium illud administrantes, ut boni dispensatores variæ gratiæ Dei. Si quis loquitur, loquatur tanquam eloquia Dei : si quis ministrat, ministret tanquam ex potentia quam suppeditat Deus, ut in omnibus glorificetur Deus per Jesum Christum, cui est gloria et imperium in sæcula sæculorum. Amen.*

Τὸ τέλος, ἀντὶ τοῦ, ἡ συμπλήρωσις, ἡ συντέλεια, ἢ τέλος ἤγγικέναι τῶν πάντων φησὶ προφητῶν. Τοῦτο δὲ ἀληθεῖ λόγῳ, ὁ Χριστός. Ἡ πάντων γὰρ τελειότης, αὐτός ἐστιν, ἀλλ' οὐχ ὡς Ἕλληνες ληροῦσιν, οἱ μὲν τὴν ἡδονὴν φάσκοντες τέλος, ὡς Ἐπίκουρος. Οἱ δὲ τὴν ἐπιστήμην, ἤτοι θεωρίαν ἢ ἀρετήν. Ἐπεὶ τοίνυν ἡ πάντων τελειότης Χριστὸς παραγέγονε, καὶ αὐτοὶ ταύτῃ τῇ τελειότητι, φησὶ, συμμορφούμενοι, ἀνελλιπεῖς ἑαυτοὺς ἐν παντὶ δείξατε, ἐν σωφροσύνῃ, ἐν νήψει προσευχῶν (νηφόντων γὰρ ἡ προσευχή, τουτέστι, γρηγορούντων, ἀλλ' οὐ κάρῳ κατεχομένων τῶν ἀπὸ τῆς τῶν κοσμικῶν μέθης) · ἐν τῇ πρὸς ἀλλήλους ἀγάπῃ. Ταύτην δὲ Παῦλος μὲν πλήρωμά φησιν εἶναι νόμου. Οὗτος δὲ ἁμαρτίας δυναμένην καλύπτειν. Ὁ γὰρ εἰς τὸν πλησίον ἔλεος, τὸν Θεὸν ἡμῖν ἵλεων ποιεῖ. Ὡς ἔλεος οὐκ ἂν εἰς δέον προβαίη, εἰ μὴ ἐκ πολλῆς ἀγάπης. Εἰπὼν δὲ ἀγάπην, ἐπάγει καὶ τὰ τῇ ἀγάπῃ ἐπακολουθοῦντα, τὴν φιλοξενίαν, ἣν ἄνευ γογγυσμῶν ἐκτελεῖν κελεύει.

B Finis, id est, completio, consummatio : aut finem omnium prophetarum imminere dicit : ille autem vero sermone Christus est, ipse enim omnium perfectio est. Et non quemadmodum Græci delirant, quorum hi quidem voluptatem dicunt esse finem, veluti Epicurus, alii vero sapientiam sive contemplationem aut virtutem. Quandoquidem igitur perfectio omnium Christus advenit, ipsi quoque, inquit, huic perfectioni conformes effecti, vos ipsos in omnibus absque defectu exhibete in sobrietate, in vigilia ad precationes (sobriorum enim est precatio sive vigilantium, et non eorum qui crapula detinentur ex ebrietate rerum mundanarum), in charitate erga vos invicem. Hanc autem Paulus dicit esse legis consummationem [67] : hic vero quod peccata possit operire. Nam misericordia erga proximum, Deum reddit nobis misericordem. Quæ misericordia nunquam ad id quod æquum est procederet, nisi ex multa dilectione sine charitate. Ubi autem charitatem dixit, **519** subjungit et ea quæ charitatem comitantur, nempe hospitalitatem, quam sine murmurationibus exhiberi jubet; nam hoc veræ charitatis est.

C

Τοῦτο γὰρ τῆς ἀληθοῦς ἀγάπης. Ἀλλὰ καὶ τῶν εὐπορουμένων ἑκάστῳ χαρισμάτων τῷ μὴ ἔχοντι ἀδελφῷ κοινωνεῖν. Οἷον, ὁ λόγον ἔχων διδασκαλικόν (τοῦτο γὰρ, τὸ, Ὡς λόγια Θεοῦ βούλεται δηλοῦν,) τῷ χρῄζοντι τούτου. Ὁ χορηγίαν τροφῶν κεκτημένος, τῷ μὴ ἔχοντι ἐπιδιδόναι, μὴ μικροψύχως, ἀλλ' ὡς ἡ δύναμις παρέχει τῆς ἀπὸ τοῦ Θεοῦ χορηγίας. Ταῦτα δὲ, φησὶ, παραινῶ, ἵνα ἐν πᾶσιν, ἤτοι ἔθνεσιν ἢ καὶ τοῖς ἔργοις ὑμῶν δοξάζηται ὁ Θεός. Οὕτω δὲ περὶ τούτων διαταξάμενος, ἐπεί τινας ἐώρα διὰ τὰς ἐπαγομένας αὐτοῖς θλίψεις σκανδαλιζομένους, ἅτε ἐν τῷ νόμῳ τοῖς δουλεύουσι τῷ Κυρίῳ ἐπαγγελίας ἀνενοχλήτου βίου κειμένης, καὶ ἄνω μὲν διὰ βραχέων ἡνίκα τοῖς δούλοις ἐνομοθέτει, τὴν περὶ τούτου παράκλησιν ἐποιήσατο, νῦν δὲ διεξοδικώτερον τῷ λόγῳ χέχρηται, καί φησιν, Ἀγαπητοί, εὐθὺς διὰ τοῦ ὀνόματος σημαίνων ὡς οὐ μισουμένοις, ἀλλ' ὡς ἄγαν ἀγαπωμένοις, ταῦτα συμβαίνει. *Μὴ ξενίζεσθε* δὲ, ἀντὶ τοῦ, Μὴ θαυμάζετε, μὴ ξένον Θεοῦ φίλων ἡγεῖσθε, εἶτα καὶ πύρωσιν τὰς θλίψεις εἰπὼν, ἐνέφηνεν ὡς διὰ δοκιμασίαν ἐπάγονται αὐτοῖς αὗται

Sed et de his quæ cuique suppetunt donis, ut fratri non habenti communicentur : puta ut is qui sermonem habet doctrinæ (nam id significare vult Per eloquia Dei), largiatur ei qui hoc eget. Is qui nactus est suppeditationem alimentorum, non habenti tribuat : non pusillo animo, sed sicut potestas sumptus dati a Deo permittit. Porro hæc, inquit, exhortor ut in omnibus, sive gentibus, sive etiam operibus vestris, glorificetur Deus. Cum autem de his ita disseruisset, quoniam videbat nonnullos propter inductas in se afflictiones, offendi, tanquam posita fuerit in lege promissio vitæ ab omni molestia alienæ his qui Domino servirent : etiam superius quidem, cum de servis statueret, brevibus verbis de his fecit exhortationem : nunc vero fusiori sermone usus est, et ait : Charissimi, protinus ipso nomine significans hæc non iis qui odio habentur, sed qui vehementer amantur contingere. Μὴ ξενίζεσθε autem hoc est, ne admiremini, ne extraneum ab amicis Dei ducite. Deinde ubi etiam afflictiones dixit esse explorationem per ignem, ostendit quod hæ tanquam

D

[67] Rom. XIII, 10.

propter probationem in eos inducuntur : probatio vero desiderabilem reddit eum qui probatur, quemadmodum et aurum ac argentum. Ad hæc autem, subjungendo quod his omnibus beatius est, nempe eos qui hæc patiuntur magistro Christo conformari : et nunc cum ipso ignominia affici, ut una cum eo glorificentur in futuro sæculo, cum universum sibi subjecerit mundum. « Charitatem extensam. » hoc est, perseverantem ac durantem et in longum protensam. « Ut quisque accepit donum. » Quæcunque enim in nobis sita sunt, et quorum domini sumus ut faciamus, in omnibus his de injustitia accusatio esse potest. Neque enim in sola pecuniarum possessione, verum etiam in abundantia aliorum naturalium, debitor est quisque ut tribuat non habenti : ut tribueret indigentibus.

A Ἡ δὲ δοκιμασία περισπούδαστον τὸ δοκιμαζόμενον ἀποτελεῖ ὡς καὶ τὸν χρυσὸν καὶ τὸν ἄργυρον. Τούτοις δὲ τὸ μακαριώτερον τούτων ἁπάντων ἐπενέγκας, τὸ τοὺς ταῦτα πάσχοντας ἐναμίλλους εἶναι τῷ διδασκάλῳ Χριστῷ, καὶ μετὰ τούτου νῦν ἀτιμουμένους, ἵνα καὶ συνδοξασθῶσιν αὐτῷ κατὰ τὸν μέλλοντα, τὸ πᾶν ἑαυτῷ κατηνύσατο τοῦ κόσμου. « Ἀγάπην ἐκτενῆ. » Ἀντὶ τοῦ, διαρκῆ, ἐπὶ πολὺ διατείνουσαν. « Καθὼς ἔλαβε χάρισμα. » Τῶν γὰρ ἐφ' ἡμῖν κειμένων, καὶ ὧν ἐσμεν κύριοι μὴ ποιεῖν, τοῦτο πάσης ἀδικίας ἔχει Γραφήν. Οὐ γὰρ ἐπὶ τῆς τῶν χρημάτων κτίσεως μόνον, ἀλλὰ καὶ τῶν ἄλλων φυσικῶν πλεονεκτημάτων, ὑπόχρεώς ἐστι τὸ μὴ ἔχοντι παρέχειν· ὅτι καὶ αὐτὸς μὴ ἔχων, παρὰ Θεοῦ ἔλαβεν, ἵνα παρέχῃ τοῖς χρῄζουσιν. quoniam et ipse, cum non haberet, a Deo accepit

CAPUT VI.

B ΚΕΦΑΛ. Ϛ'.

520 *Quod ex consortio ad Christum necesse sit naturales vincere adversitates, et ex spe ad ipsum ferre damna ab aliis damnata.*

IV, 12-19. *Charissimi, ne miremini dum per ignem exploramini, quæ res ad experimentum vobis contigit, perinde quasi novum aliquid vobis obtingat : imo in hoc quod consortes estis afflictionum Christi, gaudete, ut in revelatione quoque gloriæ ejusdem gaudeatis exsultantes. Si probris afficimini in nomine Christi beati estis : quoniam gloria et spiritus Dei super vos requiescit : juxta ipsos quidem blasphematur, juxta vos autem glorificatur. Ne quis enim vestrum affligatur, ut homicida, aut fur, aut facinorosus, aut tanquam alienorum inspector. Porro si ut Christianus, ne pudeat : imo glorificet Deum in hoc nomine. Quandoquidem et tempus est, ut incipiat judicium a domo Dei : quod si primum incipit a nobis, quis erit finis eorum qui non credunt Dei Evangelio ? Et si justus vix salvus efficitur, impius et peccator ubi comparebit ? Proinde qui affliguntur juxta voluntatem Dei, tanquam apud fidelem conditorem deponant animas suas benefaciendo.*

Ἀγαπητοί, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν συμβαίνοντος, ἀλλὰ καθὸ κοινωνεῖτε τοῖς Χριστοῦ παθήμασι, χαίρετε. Ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ, χρῆτε ἀγαλλιώμενοι. Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι, ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ Θεοῦ πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται. Κατὰ μὲν αὐτοὺς βλασφημεῖται, κατὰ δὲ ὑμᾶς δοξάζεται. Μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεὺς, ἢ κλέπτης, ἢ κακοποιὸς, ἢ ὡς ἀλλοτριοεπίσκοπος. Εἰ δὲ ὡς χριστιανὸς μὴ αἰσχυνέσθω. Δοξαζέτω δὲ τὸν Θεὸν ἐν τῷ ὀνόματι τούτῳ. Ὅτι καὶ ὁ καιρὸς τοῦ ἄρξασθαι τὸ κρῖμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ. Εἰ δὲ πρῶτον ἀφ' ἡμῶν, τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ Εὐαγγελίῳ ; Καὶ εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται ; Ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ Θεοῦ, ὡς πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ψυχὰς αὐτῶν ἐν ἀγαθοποιΐᾳ.

C

« Dum per ignem exploramini : » hoc est probamini. « In nomine Christi. » Propterea quod Christiani dicimini. « Juxta ipsos quidem blasphematur. » Subaudiendum est : Qui, ut sit sensus : Qui spiritus Dei apud impios quidem videtur blasphemari, apud vos autem glorificatur. Quomodo ? Quia dum illi falso vos accusant, in illos quidem refunditur confusio, vobis autem gloria. « Alienorum inspector. » Qui aliena curiose rimatur, ut calumniæ occasionem habeat. **521** Hoc autem scelesti animi est et veteratoris ac dolosi, facilisque et prompti animi ad omne malum. « Quandoquidem tempus est, ut incipiat judicium a domo Dei. » Sollicitos eos reddit ac terret, a desidia ipsos repellens et vita remissa, ideo quoque subjungit : Quod si primum a nobis qui sumus domus Dei incipit rerum in vita peractarum indagatio, quem existimare oportet finem eorum qui non crediderunt ? Judicium nunc non intelligimus condemnationem, sed indigationem, scru-

« Τῇ ἐν ὑμῖν πυρώσει, » ἀντὶ τοῦ, δοκιμασίᾳ. « Ἐν ὀνόματι Χριστοῦ. » Ἐν τῷ Χριστιανοὶ λέγεσθαι. « Κατὰ μὲν αὐτοὺς βλασφημεῖται. » Προσυπακουστέον τὸ, Ὅ, ἵνα ᾖ· Ὅ πνεῦμα Θεοῦ κατὰ μὲν τοὺς ἀσεβεῖς δοκεῖ βλασφημεῖσθαι, κατὰ δὲ ὑμᾶς δοξάζεται. Πῶς ; Ὅτι ψευδῶς ὑμῶν κατηγορούντων αὐτῶν, ἐκείνων μὲν καταχεῖται αἰσχύνη, ὑμῖν δὲ δόξα. « Ἢ ὡς ἀλλοτριοεπίσκοπος. » Ὁ τὰ ἀλλότρια περιεργαζόμενος, ἵνα ἀφορμὴν λοιδορίας ἔχῃ. Τοῦτο δὲ μιαρᾶς καὶ πανούργου καὶ κακούργου καὶ ῥᾳδίας καὶ πρὸς πᾶν ἑτοίμης κακὸν ψυχῆς. « Ὅτι ὁ καιρὸς τοῦ ἄρξασθαι τὸ κρῖμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ, » ἐναγωνίους αὐτοὺς καὶ ἐμφόβους ποιεῖ, τῆς ῥᾳθυμίας αὐτοὺς καὶ τοῦ ἀναπεπτωκότος βίου ἀπανιστῶν. Διὸ καὶ ἐπιφέρει· Εἰ δὲ πρῶτον ἀφ' ὑμῶν ὄντων οἴκων Θεοῦ ἡ ἐξέτασις τῶν βεβιωμένων, τί χρὴ τέλος νομίζειν τῶν ἀπειθησάντων ; Κρῖμα νῦν, οὐ τὸ κατάκριμα ἀκούομεν, ἀλλὰ τὴν ἐξέτασιν, τὴν ἔρευναν, τὸν ἐκλογισμόν. Ἄρχεται δὲ πρῶτον ἀπὸ

D

τοῦ οἴκου τοῦ Θεοῦ. Κατὰ γὰρ τὸν ἡμέτερον μέγαν Βασίλειον, φυσικῶς τοῖς οἰκειοτάτοις ἡμῶν χαλεπαίνομεν, ὅταν εἰς ἡμᾶς ἐξαμαρτάνωσιν. Οἰκειότατοι δὲ τῷ Θεῷ οὐκ ἄλλοι ἢ οἱ πιστοὶ οἱ συμπληροῦντες τοῦ Θεοῦ τὸν οἶκον, ἤτοι τὴν Ἐκκλησίαν. Διὸ καὶ ὁ Σωτὴρ ἔλεγεν· « Ἐρεῖ πρῶτον τοῖς ἐκ δεξιῶν. » Κρῖμα δὲ ἐνταῦθα τὸν ἐτασμὸν, τὰς θλίψεις λέγει τὰς ἀπὸ τῶν ἀσεβῶν ἐπενεχθείσας τοῖς πιστοῖς. Ὧν καὶ ὁ Κύριος προκατήγγειλε τὴν ἐπαγωγὴν εἰρηκώς· « Παραδώσουσιν ὑμᾶς εἰς συνέδρια, » καὶ ἑξῆς. Εἶτα, ὥσπερ παραμυθούμενος αὐτοὺς ἐπιφέρει· Εἰ οὖν ὑμῶν οὕτως αὐτῷ οἰκειοτάτων ὄντων οὐ φείδεται, ἐννοήσατε τί ἔσται τέλος τοῖς ἀσεβέσι. Καὶ πιστοῦται τοῦτο ἀπὸ τῆς Γραφῆς, « Εἰ ὁ δίκαιος, λεγούσης, μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; » Τοιοῦτον δὲ τὸ ἀπὸ τῆς Γραφῆς βούλεται σημαίνειν· Εἰ ὁ δίκαιος κόπῳ καὶ μόχθῳ τῆς σωτηρίας τυγχάνει (βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ διὰ πολλῶν θλίψεων τίς αὐτῆς τυγχάνει), οἱ ἄνετον βίον καὶ ἀπολαυστικὸν ζῶντες, τίνων τεύξονται; Κατὰ τὸν μέλλοντα δὲ αἰῶνα τὸ περὶ τῶν ἀσεβῶν ἀκουστέον. Ὥστε φησὶν εἰ τοῦτ' ἔστι, διὰ τοῦτο καὶ ἡμεῖς πάσχοντες κατὰ τὸ θέλημα τοῦ Θεοῦ, μὴ ῥᾳθυμῶμεν, ἀλλ' ὡς πιστῷ κτίστῃ παρατιθώμεθα τὰς ψυχὰς ἑαυτῶν ἐν ἀγαθοποιΐᾳ. Κατὰ τὸ θέλημα δὲ τοῦ Θεοῦ εἶπεν, ἢ ὅτι οὐκ ἔξω τῆς τοῦ Θεοῦ προνοίας τὰ ἡμέτερα πάθη, δηλῶν, ἀλλ' οἷον δοκίμιον ταῦτα ὑπ' ἐκείνου ἡμῖν βραβευόμενα, ἢ ὅτι ὡς ὑπὲρ τοῦ θελήματος τοῦ Θεοῦ πάσχοντες, αὐτῷ παραχωρῶμεν καὶ τὴν ἔκβασιν. Πιστὸς γὰρ οὗτος, τουτέστιν, ἀσφαλὴς καὶ ἀψευδὴς κατὰ τὰς ἐπαγγελίας αὐτοῦ, καὶ οὐκ ἐᾷσαι ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα. Πῶς δὲ δεῖ Θεῷ παρατιθέναι ἑαυτόν; Ἐν ἀγαθοποιΐᾳ, φησί. Τί δὲ τοῦτο; Τὸ ἐν ταπεινοφροσύνῃ ἀνατιθέναι ἑαυτὸν, μὴ μέγα ἐφ' οἷς πάσχει τις φρονῶν, ἀλλ' ὅσῳ μείζω δοκεῖ πάσχειν, τοσούτῳ τοῦ ἀχρεῖον λογίζεσθαι ἑαυτὸν μὴ ἀφιστάμενος, καὶ τὸ, « Δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν, ἐπιλέγων. » Ἀσεβὴς δὲ καὶ ἁμαρτωλὸς ταύτῃ διαφέρουσιν. Ἀσεβὴς μὲν γὰρ ὁ ἔξω πάντῃ Θεοῦ, ἁμαρτωλὸς δὲ ὁ Θεοῦ μὲν ὅσον δή τι ἀντεχόμενος, ἄλλως δὲ καταφρονῶν καὶ παραβαίνων αὐτοῦ, τοὺς νόμους. Δύναται δὲ ὁ αὐτὸς καὶ ἀσεβὴς καὶ ἁμαρτωλὸς εἶναι. Ὁ γὰρ τὴν ἀνομίαν ἐργαζόμενος, πάντως ἀσεβεῖ, μὴ τὸν Θεὸν ἐν τῷ ἁμαρτάνειν εἶναι λογιζόμενος.

A tationem, discussionem ad eligendum quod melius est. Incipit autem primum a domo Dei, quoniam, juxta nostrum magnum Basilium, naturaliter his qui nobis familiarissimi sunt magis indignamur, cum in nos peccaverint : Deo autem non alii familiariores sunt quam fideles, qui complent domum Dei, sive Ecclesiam. Ideo quoque dicebat Salvator : « Dicet primum his qui a dextris erunt [66]. » Judicium autem hoc loco dicit examinationem, nempe afflictiones quæ ab impiis inducuntur fidelibus : quarum etiam inductionem prænuntiabat Dominus cum diceret : « Tradent vos ad concilia [67], » etc. Deinde quasi consolando eos subjungit : Si ergo nobis qui adeo familiares ipsi sumus non parcit, considerate quis futurus sit finis impiis. Et confirmat hoc a Scriptura B quæ dicit : « Si justus vix salvus efficitur, impius et peccator ubi comparebit [70] ? » Hujusmodi autem est quod a Scriptura significare vult : Si justus per laborem et afflictionem consequitur salutem (violente enim capitur regnum cœlorum [71], et per multas afflictiones quispiam ipsum consequitur [72]), qui vitam dissolutam ac voluptuosam degunt, quid consequentur ? Intelligendum est autem in futuro sæculo quantum ad id quod impios concernit. Proinde si hoc ita est, inquit, propter hoc et nos affligimur juxta voluntatem Dei, ne segnes efficiamur, sed tanquam apud fidum conditorem deponamus animas nostras benefaciendo. Dixit autem Juxta voluntatem Dei, aut significans quod non sine divina providentia sint nostræ afflictiones, sed tanquam exploratio C ab illo nobis dispensantur : aut quod tanquam voluntate Dei afflicti, ipsi tribuamus et eventum. Hic namque fidelis est, hoc est, securus et qui in suis promissionibus non mentitur : neque permittet nos affligi supra id quod possumus [73]. Quo autem modo oportet seipsum apud Deum deponere ? **522** Benefaciendo, inquit. Quid autem illud est ? Per animi modestiam seipsum illi committere, non se extollendo ob ea quæ quispiam patitur : sed quanto majora pati videtur, tanto firmius illi hæreat, ut seipsum existimet inutilem et dicat illud, « Justus es in omnibus quæ fecisti nobis [74]. » Porro impius et peccator hac parte differunt : siquidem impius est penitus a Deo alienus, peccator vero Deo quidem aliquantum hæret, sed tanquam contemnens ejusque leges D transgrediens. Potest tamen idem et impius esse et peccator : nam qui iniquitatem operatur, utique impie agit, in eo quod peccat, Deum non esse existimans.

ΚΕΦΑΛ. Ζ'

Παραίνεσις πρεσβυτέρων περὶ ἐπισκοπῆς τοῦ ποιμνίου. Ἐν ᾧ περὶ κοινῆς πάντων πρὸς ἕκαστον ταπεινοφροσύνης, εἰς νίκην τὴν κατὰ τοῦ διαβόλου.

Πρεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτερος καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης κοινωνός· ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον

CAPUT VII.

Admonitio presbyterorum de cura et visitatione gregis : in quo etiam agit de communi omnium modestia erga singulos, ad victoriam adversus Diabolum.

V, 1-6. *Presbyteros qui sunt inter vos exhortor, qui sum et ipse presbyter ac testis afflictionum Christi, atque idem consors gloriæ quæ revelabitur : pascite quantum in vobis est gregem Christi, curam illius*

[66] Matth. xxv, 34. [67] Matth. x, 17. [70] Prov. xi, 31. [71] Matth. xi, 12. [72] Act. xiv, 21. [73] I Cor. x, 13. [74] Dan. ii, 14.

agentes non coacte, sed volentes : non turpiter affectantes lucrum, sed propenso animo : neque ceu dominium exercentes adversus cleros : sed sic ut sitis exemplaria gregis. Et cum apparuerit pastorum princeps, reportabitis immarcessibilem gloriæ coronam. Similiter, juniores, subditi estote senioribus, sic ut omnes alius alii vicissim subjiciamini. Humilitatem animi vobis induite, propterea quod Deus superbis resistit, humilibus autem dat gratiam. Humiliemini igitur sub potenti manu Dei

523 Cum de animi modestia disserere proponat, quam etiam obiter tetigit dum diceret Benefaciendo, et nunc seipsum vocans sympresbyterum, id est, simul et una presbyterum. Per hoc autem ipse vel ætatem designat, vel episcopi honorem. Quod enim et episcopi dicantur presbyteri novit et Actorum liber [75]. Deinde volens sui eminentiam demonstrare, et quod modestiæ causa seipsum vocet sympresbyterum, subjungit suam dignitatem : « Testis afflictionum Christi : » hoc per ista significare volens : Si ego qui talium visionem vobis interpres sum, non dedignor meipsum appellare sympresbyterum, neque vos qui justi estis extollamini adversus eos qui vobis inferiores sunt. Propterea autem Christus hujus præceptor modestiam docendo ita pronuntiat : « Si ergo ego lavi vestros pedes Dominus ac magister [76], » Addit autem, « Consors gloriæ quæ revelabitur, » ut demonstret modestiæ animi excellentiam : quemadmodum et Paulus dicit : « Cum Christus manifestatus fuerit, tunc et nos manifestabimur [77]. » Porro hic nequaquam coacte pascet, qui suis subditis proponens seipsum exemplar bonæ operationis, discipulos habet se mutuo incitantes ad æmulationem præceptoris : Neque turpiter lucrum affectando, qui non arroganter incedens, neque sese adversus subjectos erigens, sed humiliter conversans, assiduam habet frugalitatem, quæ nullo indiget sumptu aut vestium pretiosarum aut mensæ sybariticæ, quæ fastum cum plausu excipiunt, et sumptum a turpi lucro expetunt. Clerum autem vocat sacrum cœtum, sicut nos etiam nunc. Addens vero, « Sic ut sitis exemplaria gregis, » instruit ne velut coacte gregem pascant. Porro cum dicitur, « Et cum apparuerit princeps pastorum, » conjunctio Et causaliter ponitur pro Ut : hoc est : Ut cum apparuerit princeps pastorum, reportetis immarcessibilem gloriæ coronam. Quemadmodum etiam Psalmo LXXXIX, cum dicitur, Et respice in servos tuos et in opera tua. Nam ibi ponitur Et, loco Propter quod. Ἐγκομβώσασθε vero, hoc est, vobis circumdate, amplectamini.

V, 6 9. *Ut vos exaltet in tempore, omni sollicitudine vestra conjecta in illum, nam ipsi cura est de vobis. Sobrii estote, vigilate, quoniam adversarius vester diabolus* **524** *tanquam leo rugiens obambulat, quærens quem devoret. Cui resistite solidi fide : scientes*

τοῦ Χριστοῦ, ἐπισκοποῦντες μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως, μὴ αἰσχροκερδῶς, ἀλλὰ προθύμως, μηδὲ ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου. Καὶ φανερωθέντος τοῦ ἀρχιποιμένος, κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον. Ὁμοίως νεώτεροι ὑποτάγητε πρεσβυτέροις, πάντες ἀλλήλοις ὑποτασσόμενοι. Τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε, ὅτι ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ.

Περὶ ταπεινοφροσύνης προκειμένου αὐτῷ διαλαβεῖν, ἣν καὶ προανεκρούσατο Ἐν ἀγαθοποιΐᾳ εἰπών, συμπρεσβύτερον ἑαυτὸν καλεῖ· σημαίνειν δὲ βούλεται αὐτῷ τοῦτο, ἤτοι τὴν ἡλικίαν, ἢ τὴν τοῦ ἐπισκόπου τιμήν. Πρεσβυτέρους γὰρ καὶ τοὺς ἐπισκόπους καὶ ἡ τῶν Πράξεων βίβλος οἶδε λεγομένους. Εἶτα βουλόμενος τὸ ὑπερέχον ἑαυτοῦ παραστῆσαι, καὶ ὅτι ταπεινοφροσύνης ἕνεκεν συμπρεσβύτερον ἑαυτὸν λέγει, ἐπάγει τὸ ἀξίωμα ἑαυτοῦ, τὸ, « Μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων, » τοῦτο βουλόμενος διὰ τούτων σημαίνειν, ὅτι Εἰ ἐγὼ ὁ τῶν τοιούτων θεαμάτων ὑμῖν ὑφηγητής, οὐκ ἀπαξιῶ συμπρεσβύτερον ἐμαυτὸν καλεῖν, οὐδὲ ὑμεῖς δίκαιοι κατεπαίρεσθαι τῶν ὑφ' ὑμᾶς τελούντων. Διὰ τοῦτο δὲ ὁ Χριστὸς ὁ τούτου καθηγητὴς ταπεινοφροσύνην διδάσκων, τὸ, « Εἰ οὖν ἐγὼ ὁ Κύριος καὶ ὁ διδάσκαλος ἔνιψα ὑμῶν τοὺς πόδας, » προσφέρει. Τὸ δὲ, « Κοινωνὸς τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης, » προστίθησιν, ἵνα παραστήσῃ τὸ τῆς ταπεινοφροσύνης ἐξαίρετον, ὡς καὶ Παῦλός φησιν, « Ὅταν ὁ Χριστὸς φανερωθῇ, τότε καὶ ἡμεῖς φανερωθησόμεθα. » Μὴ ἀναγκαστῶς δὲ οὗτος ποιμανεῖ, ὃς τύπον ἑαυτὸν ἀγαθοεργίας τῶν ὑφ' ἑαυτὸν προτιθεὶς, τοὺς μαθητευομένους ἔχει πρὸς ζῆλον τοῦ διδασκαλείου κατεπειγομένους ἀλλήλων. Μὴ αἰσχροκερδῶς δὲ, ὁ μὴ δι' ἀλαζονείας προϊὼν καὶ κατεπαιρόμενος τῶν ὑποκειμένων, ἀλλ' ἐν ταπεινώσει διαζῶν, εὐτέλειαν ἔχει συμπάρεδρον τὴν μηδεμιᾶς προσδεομένην δαπάνης ἱματίων πολυτελῶν, ἢ τραπέζης συβαριτικῆς, ἃ τὴν ἀλαζονείαν περικροτοῦντα, καὶ τὴν ἀπὸ τῆς αἰσχροκερδείας χορηγίαν ἐπιζητεῖ. Κλῆρον δὲ τὸ ἱερὸν σύστημα καλεῖ, ὥσπερ καὶ νῦν ἡμεῖς. Προσθεὶς δὲ τὸ, « Τύποι γινόμενοι τοῦ ποιμνίου, » τὸ ἀναγκαστικῶς μὴ ποιμαίνειν τὸ πείμνιον ἐξηγεῖται. Ἐν δὲ τῷ, « Καὶ φανερωθέντος τοῦ ἀρχιποιμένος, » ὁ Καὶ, σύνδεσμος αἰτιολογικῶς κεῖται, ἀντὶ τοῦ Ἵνα. Οἷον, Ἵνα φανερωθέντος τοῦ ἀρχιποιμένος, κομιεῖσθε τὸν ἀμαράντινον στέφανον, ὡς καὶ ἐπὶ τοῦ, Ὅδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, ἐν πθ' ψαλμῷ. Ἐκεῖ γὰρ ἀντὶ τοῦ Διὸ, Καὶ κεῖται ἐγκομβώσασθε δὲ ἀντὶ τοῦ ἐνειλήσασθε, περιβάλεσθε.

Ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ, πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιρρίψαντες ἐπ' αὐτὸν, ὅτι αὐτῷ μέλλει περὶ ὑμῶν. Νήψατε, γρηγορήσατε, ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τινα καταπίῃ. ὯΙ ἀντίστητε

[75] Act. xx, 17, 28. [76] Joan. XIII, 14. [77] Coloss. III, 4.

στερεοὶ τῇ πίστει, εἰδότες, τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι.

easdem afflictiones vestræ quæ in mundo est fraternitati consummari.

Τὸ, « Ἐν καιρῷ, » πρόσκειται. Πρὸς γὰρ τὴν ἐν τῷ μέλλοντι αἰῶνι ὕψωσιν παραπέμπεται. Ἥτις καὶ μόνη ὕψωσις ὡς ἀναλλοίωτος καὶ διαιωνίζουσα, τῆς ἐνταῦθα ὑψώσεως οὐκ ἀσφαλοῦς οὔσης οὐδὲ βεβαίας, ἀλλ' ἔφεδρον εἰς ἀεὶ τὴν ταπείνωσιν κεκτημένης, καὶ θᾶττον ἢ ὑψωθῆναι ταπεινουμένης. Τῆς δὲ ταπεινώσεως τῆς τὸ ὕψος περιποιούσης, αὐτὸς ὁ Κύριος ἐγγυητὴς πάροχος. Φησὶ γάρ· « Πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. » Καὶ, « Ὁ ἐθέλων πρῶτος ἐν ὑμῖν εἶναι, ἔστω πάντων ἔσχατος. » Ἠνίξατο δὲ διὰ τοῦ, Ἐν καιρῷ, ὡς ἔφημεν, καὶ τὸ εἰς τὸν μέλλοντα ἐπαγγέλλεσθαι τὴν ἀπὸ τῆς ταπεινώσεως ὕψωσιν. Ὁ γὰρ τῶν ἀναλλοιώτων καιρὸς, ἐν τῷ μέλλοντι καὶ ἀφθάρτῳ αἰῶνι. Οὐδὲν γὰρ ὁ ἄφθαρτος ἐπίκηρον ἔχει. Εἶτα τὸ δέος ὑφαιρούμενος τὸ ἀπὸ τῆς ταπεινώσεως (ἴσως γάρ τινας εὐλαβῶς ἔχειν ἐώρα, μὴ ταπεινώσαντες ἑαυτὴν κατὰ τὸν παρόντα βίον πάθοιέν τι κακὸν), φησὶ, Μὴ δέδιθι πᾶσαν τὴν μέριμνάν σου ἐπὶ Κύριον ἐπιρρίψας, ἀσφαλεῖ φροντιστῇ ἑαυτὸν ἀναθέμενος ἔσῃ. « Τούτῳ γὰρ μέλει, » ἤτοι φροντὶς ἀπάκειται τούτων ἁπάντων. « Νήψατε, γρηγορήσατε. » Τοῖς νοητῶς ὑπνοῦν εἰωθόσι (τοῦτο δέ ἐστι τὸ περὶ τὰ μάταια κεχηνέναι), καὶ ἀπὸ τούτων τὸ νηφάλιον καταβαρύνουσι τῶν ψυχῶν, τὸ πονηρὸν καὶ παγχάλεπον τῆς ἀπογνώσεως ἐπιπηδᾷ θηρίον. Τὸ οὖν ἀσφαλιζόμενον ὁ Χριστοῦ μαθητὴς, ἐγρηγορέναι ἀεὶ παραινεῖ, καὶ φυλάττεσθαι τὸν τῶν ζιζανίων σπορέα, μήπως καθεύδουσιν ἡμῖν, ἤτοι ἀμελῶς καὶ ῥᾳθύμως διαβιοῦσι, πονηροὺς ἐπισπείρας λογισμοὺς λάθοι, καὶ τῆς ὄντως ἀποβουκολήσας ζωῆς. Οὐ γὰρ παύεται, φησὶν, ὡς λέων ὠρυόμενος περιέρχεσθαι, ζητῶν τίνα καταπίῃ. ὯΙ καὶ αὐτοὶ διὰ τοῦ στερροῦ τῆς ψυχῆς παραστήματος ἀντίστητε. Περὶ τῆς τοιαύτης δὲ ἀνενδότου ἐπιβουλῆς καὶ Ἰουστῖνος ὁ ἅγιος μάρτυς, καὶ τῆς ἐπιμελοῦς αὐτοῦ καθ' ἡμῶν πανουργίας τὴν αἰτίαν παρατιθέμενος φησιν, ὡς ὁ διάβολος πρὸ τῆς τοῦ Κυρίου παρουσίας οὐκ ᾔδει τρανῶς οὕτω τῆς ἑαυτοῦ τιμωρίας τὴν δύναμιν, τῶν θείων προφητῶν αἰνιγματωδῶς ταύτην διαγορευσάντων, ὡς ὁ Ἡσαΐας, ὑπὸ προσώπῳ τοῦ Ἀσσυρίου πᾶσαν τὴν κατὰ τὸν διάβολον δραμματουργίαν ἐκτραγῳδῶν ἐπεκάλυψεν. Ἐν οἷς δὲ τοῦ Κυρίου παραγενομένου, καὶ τῷ διαβόλῳ σαφῶς ἀποκεῖσθαι, καὶ ἡτοιμάσθαι τὸ αἰώνιον πῦρ καὶ τοῖς ἀγγέλοις αὐτοῦ ἤκουσεν, οὐ παύεται τοῖς πιστοῖς ἐπιβουλεύειν, πολλοὺς ἔχειν βουλόμενος τῆς ἑαυτοῦ κοινωνοὺς ἀποστάσεως, ὡς ἂν μὴ μόνος αἰσχύνοιτο ταύτῃ ἐνεχόμενος, ψυχρᾷ ταύτῃ καὶ βασκάνῳ παραμυθίᾳ περικροτούμενος. « Εἰδότες τὰ αὐτὰ τῶν παθημάτων. » Ὡς ἔοικε, πολλαῖς ταῖς διὰ Χριστὸν θλίψεσι κατείχοντο οὗτοι, πρὸς οὓς ὁ Πέτρος γράφει. Διὸ καὶ ἄνω καὶ κάτω τοῦτο παραμυθεῖται. Ἐκεῖ μὲν διὰ τοῦ κοινωνοὺς αὐτοὺς γίνεσθαι τῶν τοῦ Κυρίου πάσχον-

Additur, « In tempore. » Transmittit enim ad exaltationem in futuro sæculo, quæ etiam sola est exaltatio, tanquam immutabilis et perpetua, cum præsens exaltatio neque secura sit neque firma, sed potius conferat ad perpetuam humiliationem, ut velocius humilietur quam fuerit exaltata. Porro quod humiliatio exaltationem conciliet, ipse Dominus idoneus est qui fidem faciat. Ait enim : « Omnis qui sese exaltat humiliabitur, et qui sese humiliat exaltabitur [78]. » Et : « Qui vult inter vos primus esse, sit omnium postremus [79]. » Dicens autem In tempore, designavit, ut diximus, etiam in futuro promitti exaltationem quæ ab humiliatione proveniat. Tempus namque rerum immutabilium in futuro et incorruptibili sæculo erit. Incorruptibile enim nihil habet mortale aut caducum. Deinde timorem auferens qui ab humiliatione procederet (fortassis enim videbat quosdam vereri, ne sese humiliantes in præsenti vita, mali quidpiam paterentur) ait : Ne metuas, omni sollicitudine tua in Dominum rejecta, cum teipsum apud eum deposueris qui caute sedulam tui geret curam. » Nam ipsi cura est, » sive sollicitudo apud eum reponitur de his omnibus. « Sobrii estote, vigilate. » In eos qui spiritualiter dormire solent (hoc autem est ad vana inhiare) et ex hoc vigiliam aggravant animorum, mala ac sævissima desperationis fera solet insilire. Muniens itaque nos Christi discipulus, exhortatur [80], ut semper vigilemus, ac observemus eum qui zizania seminat, ne quo modo nobis dormientibus, sive negligenter ac segniter viventibus, pravas cogitationes clam superseminet, et a vera vita repellat. Neque enim cessat, inquit, tanquam leo rugiens obambulare, quærens quem devoret, cui vos quoque firmo animi robore resistite. De hujusmodi vero acribus insidiis et accurata ipsius fraude adversum nos, sanctus quoque Justinus martyr causam afferens, dicit, quod diabolus ante Domini adventum non adeo aperte noverat vim sui supplicii, cum divini prophetæ hanc ænigmatice denuntiassent : quemadmodum Isaias [81], sub persona Assyrii **525** omnem de diabolo repræsentationem tragice narrans. Cum autem Dominus advenisset, et aperte diabolo ejusque angelis ignem æternum repositum ac paratum esse dixisset [82], hoc ille audito non cessat fidelibus insidiari, multos habere volens suæ defectionis consortes, ne solus huic adhærens pudefiat, frigida hac et invida consolatione sibi plaudens. « Scientes easdem afflictiones. » Quemadmodum verisimile est, hi ad quos scribit Petrus, multis propter Christum afflictionibus premebantur : ideo et in præcedentibus et in sequentibus affert ad hoc consolationem : ibi quidem per hoc quod patientes, efficiantur ipsi consortes afflictionum Christi, et ejus quæ revelatur gloriæ hære-

[78] Matth. xviii, 4. [79] Matth. xx, 27. [80] Matth. xiii, 24 seqq. [81] Isa. xiv, 4 seqq. [82] Matth. xxv, 41 seqq.

des : hic autem per hoc quod non soli patiantur, sed et omnes fideles qui in mundo sunt : porro gravitatem alleviat societas consortum.

A τας παθημάτων, καὶ τῆς ἀποκαλυπτομένης δόξης κληρονόμους. Ἐνταῦθα δὲ διὰ τοῦ μὴ μόνους πάσχειν, ἀλλὰ καὶ πάντας τοὺς κατὰ κόσμον πιστούς. Συνελαφρίζει δὲ τὸ βάρος ἡ τῶν ἐπικοινούντων συγχέρεια.

CAPUT VIII.

Precatio pro perfectione credentium.

V, 10-14. *Deus autem omnis gratiæ qui vocavit nos ad æternam suam gloriam per Christum Jesum, parumper afflictos idem instauret vos, fulciat, roboret, stabiliat. Ipsi gloria et imperium in sæcula sæculorum Amen. Per Silvanum vobis fidelem fratrem, ut arbitror, paucis scripsi : adhortans ac testificans hanc esse veram gratiam Dei in qua statis. Salutat vos ea quæ est in Babylone, vestræ consors electionis Ecclesia, et Marcus filius meus. Salutate vos mutuo charitatis osculo. Pax vobis omnibus qui estis in Christo Jesu. Amen.*

ΚΕΦΑΛ. Η'.

Εὐχὴ ὑπὲρ τελειώσεως τῶν πιστευόντων.

Ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ, Ἰησοῦ, ὀλίγον παθόντας, αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξαι, σθενώσαι, θεμελιώσαι. Αὐτῷ ἡ δόξα, καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Διὰ Σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ, ὡς λογίζομαι, δι' ὀλίγων ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι ἀληθῆ χάριν τοῦ Θεοῦ, εἰς ἣν ἑστήκατε. Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι Ἐκκλησία συνεκλεκτὴ καὶ Μάρκος ὁ υἱός μου. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἀγάπης. Εἰρήνη ὑμῖν πᾶσι τοῖς ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

B

Et inchoando Epistolam Patrem dixit misereri per Filium, et nunc finiens eumdem Patrem vocare docet per Filium : nam id est ipsis scopus ut prædicent mysterium, quanquam hoc faciant cum exhortatione. « Per Sylvanum. » Valde fidelis erat hic Silvanus, et circa prædicationem alacriter certans. Siquidem et Paulus ejus meminit, eumque adjutorem una cum Timotheo **526** in Epistolis suis assumit, dicens : « Paulus, et Silvanus, et Timotheus [81a]. » Babylonem autem vocat Romam, eo quod adeo insignis ac præclara esset, quod et Babylon multo tempore habuit. Marcum vero filium appellat juxta spiritum, et non juxta carnem. Huic autem commisit, ut etiam Evangelium scriberet. Quidam nihilominus ausi fuerunt asserere Marcum fuisse divi Petri filium juxta carnem, argumento utentes ejus quod in Actis apostolorum dictum est a Luca [82a]. Ait enim hunc Petrum per angelum Dei mirabiliter de carcere eductum in quo concluserat eum Herodes, dimissum ab angelico colloquio, venisse ad domum matris Joannis, qui cognominabatur Marcus, tanquam ad suam ipsius domum venerit et ad legitimam uxorem. Cum autem Paulus scribat, ut se mutuo salutent osculo sancto, hic dicit, Osculo charitatis, idem dicens cum illo. Novit enim Paulus [83] charitatem quæ secundum Christum est et omnibus virtutibus major est, ipso quoque martyrio propter Christum suscepto. Ille itaque sanctum osculum dicit segregatum ac definitum in Deo, hic autem similiter charitatis osculum quæ vera dilectio est, quam Paulus laudibus extulit. Ideo etiam subjungit : « Pax vobis omnibus qui estis in Christo Jesu : » non vulgarem dicens pacem quæ est apud homines, quæ hominibus cordi est propter affectionem gloriæ vanæ et fruitionis voluptatum, quibus traduntseipsos hi qui a bello vacant : sed precatur, ut pacem consequantur, qua et præceptor Christus

C

Καὶ ἀρχόμενος τῆς Ἐπιστολῆς, τὸν Πατέρα ἔλεγε διὰ τῶν Υἱοῦ ἐλεῆσαι ἡμᾶς. Καὶ νῦν τελειῶν, τὸν αὐτὸν πατέρα καλέσαι διὰ τοῦ υἱοῦ διδάσκει. Τοῦτο γὰρ αὐτοῖς σκοπὸς, τὸ μυστήριον κηρῦξαι, εἰ καὶ μετὰ παραινέσεως τοῦτο ποιοῦσιν. « Διὰ Σιλουανοῦ. » Πιστὸς ὑπερβαλλόντως ὁ Σιλουανὸς οὗτος. Καὶ περὶ τὸ κήρυγμα εὐθύμως ἀγωνιζόμενος, εἴ γε καὶ Παῦλος αὐτοῦ μνημονεύει, καὶ συνεργὸν αὐτὸν μετὰ Τιμοθέου ἐν ταῖς ἐπιστολαῖς παραλαμβάνει, « Παῦλος, λέγων, καὶ Σιλουανὸς, καὶ Τιμόθεος. » Βαβυλῶνα δὲ τὴν Ῥώμην διὰ τὸ περιφανὲς καλεῖ, ὃ καὶ ἡ Βαβυλὼν πολλῷ χρόνῳ ἔσχηκε. Μάρκον δὲ υἱὸν κατὰ πνεῦμα καλεῖ, ἀλλ' οὐ κατὰ σάρκα. Τούτῳ δὲ καὶ τὸ Εὐαγγέλιον γράψαι ἐπέτρεψε. Τινὲς δὲ καὶ ὅμως ἐτόλμησαν καὶ σαρκικὸν υἱὸν ἀποφῆναι τοῦτον δὴ τὸν Μάρκον τοῦ θείου Πέτρου, τεκμηρίῳ χρησάμενοι τῷ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων εἰρημένῳ Λουκᾷ. Φησὶ γὰρ τοῦτον τὸν Πέτρον δι' ἀγγέλου Θεοῦ τῆς φυλακῆς ἐκβληθέντα παραδόξως, ᾗ κατέκλεισεν αὐτὸν Ἡρώδης, τοῦ χρηματισμοῦ τοῦ ἀγγέλου ἀφεθέντα εἰς τὴν οἰκίαν ὁρμῆσαι τῆς μητρὸς Ἰωάννου τοῦ ἐπικληθέντος Μάρκου, ὡς εἰς τὴν ἑαυτοῦ οἰκίαν ἐπανελθόντα καὶ τὴν νομίμην σύζυγον. Τοῦ Παύλου δὲ ἀσπάζεσθαι ἀλλήλους ἐν φιλήματι γράφοντος ἁγίῳ, οὗτος Ἐν φιλήματί φησιν ἀγάπης, ταύτην ἐκείνῳ λέγων. Ἐπίσταται γὰρ καὶ Παῦλος τὴν κατὰ Χριστὸν ἀγάπην, μείζω πασῶν οὖσαν τῶν ἀρετῶν, καὶ αὐτοῦ τοῦ κατὰ Χριστὸν μαρτυρίου. Ἐκεῖνος μὲν οὖν φίλημα ἅγιον, τὸ ἀφωρισμένον ἐν Θεῷ λέγει. Οὗτος δὲ ὁμοίως ἀγάπης φίλημα τῆς ὄντως ἀγάπης ἣν καὶ Παῦλος ἐξύμνησε. Διὸ καὶ ἐπάγει, « Εἰρήνη ὑμῖν πᾶσι τοῖς ἐν Χριστῷ Ἰησοῦ· » οὐ τῆς κοινῆς εἰρήνης λέγων τῆς κατὰ ἀνθρώπους, ἥτις δι' ἐμπάθειαν ἀνθρώποις σπουδάζεται, δόξης ματαίας ἀπολαύσεως ἡδονῶν, πρὸς ἃς οἱ ἀπὸ τῶν πολέμων σχολάζοντες ἐκδιδόασιν ἑαυτοὺς, ἀλλ' εἰρήνης αὐτοῦ, τυχεῖν παρεύχεται, ἧς αὐτοὺς καὶ ὁ διδάσκαλος

D

[81a] I Thess. I, 1 ; II Thess. I, 1. [82a] Act. XII, 1 seqq. [83] I Cor. XIII, 1-13.

Χριστὸς πρὸς πάθος χωρῶν ἠξίωσε, φάσκων, « Εἰρήνην ἀφίημι ὑμῖν, » καὶ ἐπαγαγὼν τὸ διάφορον, « Οὐ καθὼς ὁ κόσμος δίδωσιν. » Οὐ γὰρ δι' ἐμπάθειαν εἰρηνευτέον, ἀλλὰ διὰ τὸ συνδεδεμένους ὑμᾶς τῇ ἀγάπῃ, οὕτω τὰς ἀπὸ τῶν ἀντιπάλων ἀπεκδέχεσθαι βολάς. Πανταχοῦ δὲ ὥσπερ σφραγῖδα ἐπιτιθέντες οἱ τοῦ Κυρίου μαθηταὶ τὴν ἐπὶ τέλει εὐχήν, τὸ γνήσιον τῆς αὐτῶν ἁγιότητος ἐπιφέρουσιν.

Ἐγράφη ἀπὸ Ῥώμης.

A ad passionem procedens ipsos dignatus est, dicens : « Pacem meam relinquo vobis; » et differentiam subjungens : « Non quemadmodum, inquit, mundus dat [84]. » Non enim propter affectionem pax quærenda est, sed ut colligati simus charitate, ad excipiendos hoc modo ictus adversariorum. Ubique autem tanquam sigillum addentes discipuli Domini, precationem in fine afferunt, tanquam genuinum suæ sanctitatis signum.

Scripta est ab urbe Roma.

[84] Joan. XIV, 27.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗΣ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ

ARGUMENTUM

CATHOLICÆ PETRI POSTERIORIS EPISTOLÆ.

Ταύτην πάλιν ὁ αὐτὸς Πέτρος ἐπιστέλλει τοῖς ἤδη B πιστεύσασιν. Ἔστι δὲ ἡ Ἐπιστολὴ, ὑπόμνησις τῶν πρώτων. Εἰδὼς γὰρ ταχεῖαν αὐτοῦ ἔσεσθαι τὴν ἀνάλυσιν τοῦ σώματος, ἐσπούδασε πάντας ὑπομνῆσαι περὶ ὧν κατηχήθησαν τῆς διδασκαλίας. Καὶ πρῶτον μὲν, περὶ τῆς πίστεως ἐξηγεῖται, δεικνὺς αὐτὴν ἀπὸ τῶν προφητῶν εὐαγγελίσασθαι, καὶ ὅτι αἱ περὶ τοῦ Σωτῆρος προφητεῖαι οὐκ εἰσὶν ἀνθρώπιναι, ἀλλὰ παρὰ Θεοῦ ἐλαλήθησαν. Ἔπειτα παραγγέλλει, μὴ προσέχειν τοῖς ἀπατῶσιν, λέγων ἔσεσθαι αὐτῶν ἀπώλειαν, ὥσπερ καὶ τῶν παραβάντων ἀγγέλων γέγονε. Προμηνύει δὲ ἐν τῇ ἐπιστολῇ ἡμέρας ἔσεσθαι ἐν αἷς ἐμπαίξονται περιπατήσουσι καὶ θελήσουσιν ἀπατᾷν τινας, λέγοντες, μάτην λέγεσθαι παρ' ἡμῶν τὴν παρουσίαν τοῦ Σωτῆρος, διὰ τὸ ἀεὶ λέγεσθαι, καὶ μή πω παραγενέσθαι. Ἀπὸ τούτων οὖν καὶ μάλιστα C ἀπέχεσθαι παραγγέλλει, διδάσκων μὴ ὀλιγωρεῖν ἐν τοῖς χρόνοις. Πάντα γὰρ τὸν χρόνον μηδὲν εἶναι ἐνώπιον Κυρίου, διὰ τὸ καὶ τὴν μίαν ἡμέραν ὡς χίλια ἔτη εἶναι, καὶ τὰ χίλια ἔτη ὡς ἡμέραν μίαν. Ἔσεσθαι δὲ ταχέως τὴν ἡμέραν τοῦ Κυρίου διαβεβαιοῦται, καὶ ἀποδείκνυσι, καὶ ἐντέλλεται ἑτοίμους εἶναι πάντας εἰς αὐτὴν ἔργοις ἀγαθοῖς, καὶ ἀγαπᾷν τὰ ὑπὸ τοῦ ἀποστόλου Παύλου γραφέντα, καὶ μὴ προσέχειν τοῖς διαβάλλουσιν αὐτὰ, διὰ τὸ καὶ πάσας τὰς θείας Γραφὰς διαβάλλειν αὐτούς. Ὑπομνήσας οὖν καὶ διδάξας πάντας προσειδέναι τὰ πράγματα, παραινεῖ μὴ ἐκπίπτειν τοῦ σκοποῦ τῆς πίστεως. Καὶ οὕτω τελειοῖ τὴν Ἐπιστολήν.

527 Hanc rursum scribit Petrus jam credentibus. Est autem Epistola priorum memorativa. Cum enim sciret brevi futuram sui corporis dissolutionem, studebat omnes admonere doctrinæ qua instructi fuerant. Et primum quidem de fide exponit, ostendens ipsam a prophetis annuntiatam fuisse : quodque prophetiæ quæ de Salvatore loquuntur non sunt humanæ, sed a Deo prolatæ sint. Deinde præcipit ne animum advertant seductoribus, dicens futuram esse ipsorum perditionem, quemadmodum etiam facta fuit transgressorum angelorum. Prænuntiat autem in Epistola fore dies quibus obambulabunt illusores volentes aliquos seducere, dicendo vane dici a nobis futurum Domini adventum, eo quod semper dicatur et nondum advenerit. Ab his igitur maxime separari præcipit, docens non esse negligenter transigenda tempora : cum omne tempus nihil sit coram Deo : eo quod unus dies sit tanquam mille anni, et mille anni tanquam dies unus. Confirmat autem et ostendit brevi futurum esse **528** diem Domini, præcipitque ut omnes ad ipsum parati sint per bona opera, et ut amplectantur ea quæ ab apostolo Paulo scripta sunt, nec his attendant qui illa calumniantur, eo quod omnes quoque divinas Scripturas calumnientur. Ubi igitur suggessit ac docuit omnes, ut in rebus provideant, exhortatur ne a fidei proposito excidant, et ita concludit Epistolam.

EPISTOLÆ POSTERIORIS CATHOLICÆ PETRI CAPITA.

1. *De vocatione per fidem confirmata operibus quæ sunt in virtute ac spe futurorum bonorum.*

2 *Adhortatio ad doctrinæ admonitionem, revocando eam in memoriam : et quomodo in monte Thabor audiverit Dei vocem de Christo.*

3. *Vaticinium de fraudulenta insurrectione hæreticorum, impietatisque ipsorum ac futuri supplicii.*

4. *Repetitio de malitia hominum hæreticorum : in quo etiam agitur quo pacto repente venturus sit Christus in consummatione hujus sæculi : itaque dicit oportere omni virtute adornari.*

Α ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗΣ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

α'. *Περὶ κλήσεως τῆς ἐν πίστει ἔργοις βεβαιουμένης τοῖς τῆς ἀρετῆς καὶ ἐλπίδος τῶν μελλόντων ἀγαθῶν.*

β'. *Παραγγελία εἰς ὑπόμνησιν τῆς διδασκαλίας μετὰ τὴν ἀνάμνησιν αὐτοῦ, καὶ ἅπως ἐν ὄρει Θαβὼρ τῆς Θεοῦ περὶ Χριστοῦ ἐπήκουσε φωνῆς.*

γ'. *Πρόῤῥησις ἀπατηλῆς ἐπαναστάσεως αἱρετικῶν, ἀσεβείας τε αὐτῶν καὶ μελλούσης κολάσεως.*

δ'. *Ἐπανάληψις περὶ κακίας ἀνθρώπων αἱρετικῶν. Ἐν ᾧ περὶ τοῦ πῶς αἰφνιδίως ἥξει Χριστὸς ἐπὶ συντελείᾳ τοῦδε τοῦ αἰῶνος, ὥστε*
Β *δεῖν εὐτρεπίζεσθαι πάσῃ ἀρετῇ.*

ΠΑΥΛΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ ΕΠΙΣΤΟΛΗ

PETRI APOSTOLI
POSTERIOR EPISTOLA CATHOLICA.

CAPUT I.

529 *De vocatione per fidem confirmata operibus quæ sunt in virtute ac spe futurorum bonorum.*

1, 1, 2. *Simon Petrus servus et apostolus Jesu Christi, iis qui æque honorificam nobiscum sortiti sunt fidem, per justitiam Dei nostri et Salvatoris Jesu Christi. Gratia vobis et pax multiplicetur, in cognitione ac Dei Jesu Domini nostri.*

« Simon. » Scribitur et Simeon. Nam a Simeon diminutio est Simon : quemadmodum a Metrodorus Metras, a Menodorus Menas, et a Theodosius Theudas. Statim autem ab exordio attollit mentes et animas credentium, ad æquale studium eos excitans circa prædicationem cum apostolis. **530** Non enim justum est ut qui æque honorificum sortiti sunt donum, in aliquo sint his posteriores, quibus declarati sunt esse æquales. Ubique autem pace eos excipit, at non ejus quæ mundi est, sed quæ in Dei cognitione sita est. Nam sola hæc dicitur pax, ut quæ nos liberet ab offensione et inimicitia ad Deum. Ideo quoque Christus hanc nobis tribuit discedens ad Patrem, et cum a mortuis resurrexisset clamans, « Pax vobis [1]. » Et in ecclesiis angelum pacis nobis dari precamur : ac sacerdos

[1] Joan. XIV, 27 ; XX, 19, 21, 26.

C

ΚΕΦΑΛ. Α'.

Περὶ κλήσεως τῆς ἐν πίστει ἔργοις βεβαιουμένης τοῖς τῆς ἀρετῆς καὶ ἐλπίδος τῶν μελλόντων ἀγαθῶν.

Σίμων Πέτρος δοῦλος καὶ ἀπόστολος Ἰησοῦ Χριστοῦ, τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν ἐν δικαιοσύνῃ τοῦ Θεοῦ ἡμῶν, καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ. Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη, ἐν ἐπιγνώσει τοῦ Θεοῦ καὶ Ἰησοῦ τοῦ Κυρίου ὑμῶν.

« Σίμων. » Γράφεται καὶ Συμεών. Τοῦ γὰρ Συμεὼν, τὸ Σίμων ὑποκορισμός ἐστιν, εἰ καὶ τοῦ Μητρόδωρος τὸ Μητρᾶς, καὶ τοῦ Μηνόδωρος τὸ Μηνᾶς, καὶ τοῦ Θεοδόσιος τὸ Θευδᾶς. Αὐτίκα δὲ ἐκ προοιμίων ἀνίστησι τὰ φρονήματα τῶν πιστευσάντων καὶ τὰς ψυχὰς, εἰς τὴν ἴσην αὐτοὺς διεγείρων περὶ τὸ κήρυγμα σπουδὴν τοῖς ἀποστόλοις. Οἱ γὰρ ἰσότιμον χάρισμα λαχόντες, οὐκ ἂν δίκαιοι ὑστερεῖν τινος τούτων, ὧν ἴσοι πεφήνασι, Πανταχοῦ δὲ τῇ εἰρήνῃ αὐτὸς προκροτεῖ, ἀλλ' οὐ τῇ τοῦ κόσμου, τῇ δὲ ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ. Αὕτη γὰρ μόνη εἰρήνη, ὡς τῆς προσκρούσεως ἡμᾶς ἀπαλλάττουσα καὶ τῆς πρὸς τὸν Θεόν. Διὸ καὶ ὁ Χριστὸς, ταύτην ἡμῖν ἀπιὼν πρὸς τὸν Πατέρα παρέσχε, καὶ ἀναστὰς ἐκ νεκρῶν, « Εἰρήνη ὑμῖν, » βοῶν. Καὶ ἐν ταῖς ἐκκλησίαις ἡμεῖς τὸν ἄγγελον τῆς εἰρήνης ἡμῖν εὐχόμεθα δοθῆναι. Καὶ ὁ ἱερεὺς

πολλάκις ταύτην παρέχει τῷ λαῷ ἀπὸ τοῦ ἁγίου θυσιαστηρίου. Καὶ ἡμεῖς ἐν ταῖς πρὸς ἀλλήλους προσρήσεσι ταύτῃ κεχρήμεθα, ὅτι αὕτη μήτηρ πάντων τῶν ἀγαθῶν, καὶ ὑπόστασις τῆς χαρᾶς ἡμῶν. Διὸ καὶ ὁ Κύριος φοιτῶντας τοὺς ἑαυτοῦ μαθητὰς εἰς τὰς οἰκίας ταύτην παρέχειν πρώτην ἐθέσπισεν. « Χάρις ὑμῖν καὶ εἰρήνη. » Τὸ ἑξῆς οὕτως· Χάρις ὑμῖν καὶ εἰρήνη, ὡς πάντα τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ καὶ Ἰησοῦ τοῦ Κυρίου διὰ τῆς θείας αὐτοῦ δυνάμεως, τῆς χάριτος ταύτης ὑμῖν δωρησαμένης αὐτοῦ τὴν ἐπίγνωσιν, τὴν δόξαν, τὴν ἀρετήν. Δι' ὧν τὰ μέγιστα ἐπαγγέλματα ἐδωρήθη. Ἵνα ἀποφυγόντες τὴν κοσμικὴν φθοράν, τὴν δι' ἐπιθυμίας ἐγγινομένην, γένησθε κοινωνοὶ τῆς θείας φύσεως. « Ἐν ἐπιγνώσει τοῦ Θεοῦ. » Τὸ ἑξῆς· Ὑμῖν τοῖς ἐν ἐπιγνώσει τοῦ Θεοῦ καὶ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν ἰσότιμον ἡμῖν πίστιν λαχοῦσι διὰ τῆς δικαιοσύνης τοῦ Θεοῦ ἡμῶν, χάρις καὶ εἰρήνη πληθυνθείη. Ἢ τὸ ἑξῆς οὕτως· Ἐν ἐπιγνώσει τοῦ θεοῦ καὶ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν. Ἥτις ἐπίγνωσις διὰ τῆς θείας αὐτοῦ δυνάμεως, πάντα τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν ἐδωρήσατο, αὐτὴν τὴν ἐπίγνωσιν τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς, δι' ἧς δόξης καὶ ἀρετῆς τὰ τίμια καὶ μέγιστα ἐπαγγέλματα ἐδόθη. Ἵνα γένησθε θείας κοινωνοὶ φύσεως, ἐν τῷ ἀποφυγεῖν τῆς κοσμικῆς ἐπιθυμίας τὴν φθοράν. Ἀλλὰ καὶ αὐτὸ τοῦτο, ἤτοι εἰς αὐτὸ τοῦτο σπουδὴν πᾶσαν παρεισενέγκαντες, ἐπιχορηγήσατε ἐν τῇ πίστει τὴν ἀρετὴν, ἐν τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν ταύτῃ τὴν ὑπομονὴν, ἐν τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν ταύτῃ τὴν φιλαδελφίαν, ἐν τῇ φιλαδελφίᾳ τὴν ἀγάπην.

Ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ, τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης, διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς, δι' ὧν τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς, καὶ αὐτὸ τοῦτο δὲ σπουδὴν πᾶσαν περεισενέγκαντες, ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετὴν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονὴν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην. Ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα καὶ πλεονάζοντα, οὐκ ἀργοὺς οὐδὲ ἀπράκτους καθίστησιν εἰς τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν. ὯΙ γὰρ μὴ πάρεστι ταῦτα, τυφλός ἐστι μυωπάζων, λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν.

Διὰ μακροῦ μὲν ἀποδέδοται, ἔστι δὲ ἡ διάνοια αὕτη· Ὡς μυρία λαβόντες ἀγαθὰ διὰ τῆς ἐπιφανείας Χριστοῦ, δι' ὧν δυνάμεθα καὶ θείας φύσεως γενέσθαι κοινωνοὶ καὶ πρὸς ζωὴν καὶ εὐσέβειαν ἀναχθῆναι, ὀφείλομεν πολιτεύεσθαι οὕτως, ὡς ἐπιχορηγεῖν τῇ πίστει τὴν ἀρετὴν, καὶ διὰ τῆς ὁδοῦ βαδίζειν εἰς τὴν κατ' εὐσέβειαν προκοπὴν, ἕως εἰς τὸ τέλειον τῶν ἀγαθῶν, ὅ ἐστιν ἡ ἀγάπη, ἔλθωμεν. Θείας δὲ κοινω-

A ab altari frequenter hanc populo tribuit : nos etiam in mutuis allocutionibus hac utimur, quod hæc mater sit omnium bonorum, ac substantia gaudii nostri. Ideoque Christus discipulis suis in domos ingredientibus hanc primum offerre divinitus edixit : « Gratia vobis et pax. » Ordo talis est : Gratia vobis et pax multiplicetur, sicut omnia quæ ad vitam ac pietatem faciunt, in cognitione Dei ac Domini Jesu, cum per divinam ipsius virtutem hæc gratia vobis largita sit ipsius cognitionem, gloriam ac virtutem : per quæ promissiones maximæ donatæ sunt : ut devitata corruptione mundana, quæ ex concupiscentia provenit, consortes efficiamini divinæ naturæ. « In cognitione Dei. » Ordo : Vobis qui in cognitione Dei et Jesu Domini nostri æque honorificam nobiscum sortiti estis fidem per justitiam Dei nostri, gratia et pax multiplicetur. Aut hoc modo est ordo : In cognitione Dei ac Jesu Domini nostri, quæ cognitio per divinam ipsius virtutem omnia quæ ad vitam ac pietatem faciunt largita est, ipsamque illius cognitionem qui vocavit nos per gloriam et virtutem, per quam gloriam et virtutem, pretiosæ maximæque promissiones donatæ sunt, ut sitis divinæ consortes naturæ, effugiendo mundanæ concupiscentiæ corruptionem. Sed et hoc ipsum sive ad hoc ipsum adhibito omni studio, subministrate in fide virtutem, in virtute scientiam, in scientia temperantiam, et in hac patientiam, in patientia autem pietatem, in hac autem fraternam charitatem, in fraterna charitate dilectionem.

I, 3 9. **531** *Sicut omnia vobis divina ipsius virtute, quæ ad vitam ac pietatem faciunt, largiente, per cognitionem ejus qui vocavit nos per gloriam et virtutem, per quæ pretiosa vobis ac maxima promissa donata sunt, ut per hæc efficiamini consortes divinæ naturæ, devitata corruptione quæ in mundo est per concupiscentiam. Sed et in hoc ipsum adhibito omni studio subministrate in fide vestra virtutem, in virtute autem scientiam, in scientia vero temperantiam, in temperentia autem patientiam : rursum in patientia pietatem, in pietate vero fraternam charitatem, in fraterna autem charitate dilectionem. Hæc enim cum vobis adsunt et exuberant haud otiosos nec in irritum laborantes efficiunt ad Domini nostri Jesu Christi cognitionem. Nam cui non adsunt hæc, is cæcus est et manu viam tentans, oblitus sese a veteribus suis peccatis fuisse purgatum.*

Longo quidem tractu reddita est series, porro hæc est intelligentia : Tanquam innumeris acceptis bonis per Christi apparitionem, per quæ possumus divinæ naturæ consortes effici, et ad vitam ac pietatem reduci : ita conversari debemus, ut fide subministremus virtutem, et per hanc viam gradiamur ad promotionem in pietate, donec ad bonorum perfectionem, quæ est dilectio, veniamus. Divinæ autem

naturæ consortes facti sumus per Domini ac Dei adventum, qui nostræ naturæ primitias in seipso assumpsit et assumendo sanctificavit. Quod si primitiæ sanctæ, sancta est et massa. Porro massa primitiarum non alia est quam illi ex quibus sunt primitiæ. Corruptionem vero quæ est a mundana concupiscentia dicit, tanquam ex corruptibilibus et circa corruptibilia consistentem. Gradus autem tradit ad promotionem : primum quidem fidem, quæ fundamentum est ac basis seu principium bonorum. Deinde secundo gradu virtutem sive opera, nam sine his fides mortua est, quemadmodum dicit Jacobus[a]. Post hæc vero scientia. Quæ autem est hæc ? Cognitio secretorum Dei mysteriorum, quæ non cuivis contingit, sed exercitato in habitu meliorum operum. Post hæc est temperantia. Nam et hac opus est ei qui ad mensuram pervenit, ne doni magnitudine lasciviat. **532** Quoniam autem non contingit eum qui modico tempore utitur temperantia, firmiter donum possidere (semper enim cupiunt afflictiones eam quæ a præfocatione liberat, ad id quod pejus est perducere), subingressa tolerantia rem omnem peragit, et pietatem conciliat, perfectiorem in Deum confidentiam efficiens : ideo quoque ex pietate quæsita est charitas fraterna, quæ nequaquam accedit nisi benignitas ad omnia tribuerit aditum pietatis. Et super omnia bonorum omnium complementum est dilectio, quemadmodum et Paulo [b] et Veritati videtur. Nam hæc et Dei Filium et hujus Patrem evicit : hunc quidem ut sibi dilectum Filium daret, Filium vero ut sanguinem suum pro nobis effunderet. « Hæc enim cum vobis adsunt. » Quænam hæc? Fides, virtus, scientia, temperantia, patientia, pietas, charitas fraterna, dilectio, quæ non adesse tantum oportet, verum etiam exuberare. Nam si præsentia prodest, multo magis abundantia sive opulentia. Quæ autem sequitur ex his utilitas ? Securitatem habere ad secundum Domini adventum. Eum namque cui non adsunt hæc, in gloria judicis advenientis, et in modum solis resplendentis, cæcitas subsequitur. Ubi etiamsi aspectu valeat,ne ita quidem potest sine læsione per affectum intueri id quod splendissimum est, cum sua luce semper mirum in modum splendente natum sit eos obtenebrare, qui ad illud debilibus oculis inniituntur. Μυωπάζειν vero dictum est pro cæcutire, ἀπὸ τῶν μυῶν, id est, a bufonibus sub terra degentibus, qui ad omnia cæci perseveraut. « Oblitus sese a veteribus suis peccatis. » Hoc simile est illi quod a beato Jacobo dictum est : « Si quis audiat sermonem nec eum factis exprimat, hic similis est viro considerauti faciem nativitatis suæ in speculo. Considerauit enim seipsum et abiit, statimque oblitus est qualis esset [c]. » Nam et hic cum seipsum cognovisset sacro baptismate purgatum fuisse : quia a peccatorum multitudine ablutus fuerat, scire debuisset quod purgatum et sanctitatem consecutum vigilare oportuit, ut sanctitatem semper servare! sine qua nemo videbit Deum [d] : ille vero oblitus est.

νοὶ φύσεως γεγόναμεν διὰ τῆς τοῦ Κυρίου καὶ Θεοῦ ἐπιδημίας, ἀπαρχὴν τῆς ἡμετέρας φύσεως ἐν ἑαυτῷ ὑποστήσαντός τε καὶ ἁγιάσαντος τῇ προσλήψει. Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα. Φύραμα δὲ τῆς ἀπαρχῆς οὐκ ἄλλο, ἢ οἱ ἐξ ὧν ἡ ἀπαρχή. Φθορὰν δὲ τὴν ἀπὸ τῆς κοσμικῆς ἐπιθυμίας, φησὶν, ὡς ἐκ φθαρτῶν τε καὶ περὶ φθαρτὰ συγκειμένης. Βαθμοὺς δὲ τῆς προκοπῆς ἐπίσταται, πρώτην τὴν πίστιν, ἥτις θεμέλιός ἐστι τῶν ἀγαθῶν καὶ κρηπίς. Εἶτα δεύτερον βαθμὸν, τὴν ἀρετὴν, ἤτοι τὰ ἔργα. Χωρὶς γὰρ τούτων ἡ πίστις νεκρὰ, ὡς Ἰάκωβός φησιν. Ἐπὶ τούτοις ἡ γνῶσις. Τίς δὲ αὕτη ; Ἡ τῶν τοῦ Θεοῦ ἀποκρύφων μυστηρίων εἴδησις, ἥτις οὐ τῷ τυχόντι παραγίνεται, ἀλλὰ τῷ δι' ἔργων κρειττόνων τὴν ἕξιν γεγυμνασμένῳ. Ἐπὶ τούτοις ἡ ἐγκράτεια. Δεῖ γὰρ καὶ ταύτης τῷ πρὸς μέτρον ἀφικομένῳ, ὡς ἂν μὴ ἐξυβρίζοι τῷ μεγέθει τῆς δωρεᾶς. Ἐπειδὴ δὲ οὐκ ἔστιν ἐπὶ μικρὸν χρώμενον τῇ ἐγκρατείᾳ βεβαίαν κεκτῆσθαι τὴν δωρεὰν, (φιλοῦσι γὰρ ἀεὶ τὰ πάθη, τοῦ κατάγχοντος ἐλευθερίσαντα ἐπὶ τὸ χεῖρον προάγεσθαι,) ἡ ὑπομονὴ ἐπεισελθοῦσα τὸ πᾶν κατείργασατο, καὶ τὴν εὐσέβειαν προεξένησε, τελειοτέραν τὴν εἰς Θεὸν ἀπεργασαμένη πεποίθησιν. Διὸ καὶ τῇ εὐσεβείᾳ ἡ φιλαδελφία προσεπορίσθη, οὐκ ἂν ἐπιγενομένη, εἰ μὴ τῆς εὐσεβείας τὸ περὶ πάντα εὐγνωμονικὸν παρέσχεν ἐπίβασιν. Καὶ ἐπὶ πᾶσι, τὸ πάντων ἀγαθῶν πλήρωμα, ἡ ἀγάπη, ὡς Παύλῳ καὶ τῇ Ἀληθείᾳ δοκεῖ. Αὕτη γὰρ καὶ τὸν τοῦ Θεοῦ Υἱὸν, καὶ τὸν τούτου Πατέρα ἐξεβιάσατο, τὸν μὲν τὸν ἀγαπητὸν αὐτοῦ δοῦναι, τὸν δὲ Υἱὸν τὸ αἷμα αὐτοῦ ὑπὲρ ἡμῶν ἐκχέαι. « Ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα. » Ταῦτα ποῖα ; Ἡ πίστις, ἡ ἀρετὴ, ἡ γνῶσις, ἡ ὑπομονὴ, ἡ εὐσέβεια, ἡ φιλαδελφία, ἡ ἀγάπη· ἅτινα οὐ μόνον παρεῖναι δεῖ, ἀλλὰ καὶ πλεονάζειν. Εἰ γὰρ ἡ παρουσία ὠφελεῖ, πολλῷ μᾶλλον ἡ περιουσία. Τίς δὲ ἡ ἐξ αὐτῶν ὠφέλεια ; Τὸ παῤῥησίαν ἔχειν εἰς τὴν τοῦ Κυρίου δευτέραν παρουσίαν. Τῷ γὰρ μὴ ἔχοντι ταῦτα, ἐν δόξῃ τοῦ κριτοῦ παραγινομένου καὶ ὡς ἡλίου ἀπαστράπτοντος, τύφλωσις ἐπακολουθεῖ, ὅπουγε κἂν εἰ ἐῤῥώτο τὴν ὄψιν, οὐδ' οὕτως ἐνῆν αὐτῷ ἁπλῶς ἐνορᾷν τὸ ὑπέρλαμπρον, πεφυκότος ἀεὶ τοῦ ἄγαν τῷ φωτὶ ἀποστίλβοντος, ἀμαυροῦν τῶν ἀσθενῶς πρὸς αὐτὸ τὸν ὀφθαλμὸν ἐπερειδόντων. *Μυωπάζειν* δὲ τὸ τυφλώττειν εἴρηται, ἀπὸ τῶν ὑπὸ τὴν γῆν μυῶν τυφλῶν εἰς ἅπαν διατελούντων. « Λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν. » Τοῦτο ὅμοιον τῷ ὑπὸ μακαρίου Ἰακώβου εἰρημένῳ, ὅτι, « Εἴ τις ἀκροατὴς λόγου ἐστὶ καὶ οὐ ποιητὴς, οὗτος ἐοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ. Κατενόησε γὰρ ἑαυτὸν καὶ ἀπῆλθε, καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν. » Καὶ γὰρ καὶ οὗτος ἐπιγνοὺς ἑαυτὸν διὰ τοῦ καθαρθῆναι τῷ ἁγίῳ βαπτίσματι, ὅτι πλήθους ἁμαρτιῶν ἐξεπλύνθη, δέον εἰδέναι, ὅτι καθαρθεὶς καὶ ἁγιότητα ἔλαβε, νήφειν ἵνα διαπαντὸς τηρῇ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον· ὁ δὲ ἐπελάθετο.

[a] Jac. II, 26. [b] Rom. XIII, 13. [c] Jac. I, 23, 24. [d] Hebr. XII, 14.

ΚΕΦΑΛ. Β'. A CAPUT II.

Παραγγελία εἰς ὑπόμνησιν τῆς διδασκαλίας μετὰ τὴν ἀνάμνησιν αὐτοῦ, καὶ ὅπως ἐν ὄρει Θαβὼρ τῆς Θεοῦ περὶ Χριστοῦ ἐπήκουσε φωνῆς.

Adhortatio ad doctrinæ admonitionem, revocando eam in memoriam : et quo modo in monte Thabor audiverit Dei vocem de Christo.

Διὸ μᾶλλον, ἀδελφοί; σπουδάσατε βεβαίαν ὑμῶν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι. Ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε. Οὕτως γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ. Διὸ οὐκ ἀμελήσω ὑμᾶς ἀεὶ ὑπομιμνήσκειν περὶ τούτων, καίπερ εἰδότας καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. Δίκαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει, εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέ μοι. Σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον τὴν τούτων μνείαν ποιεῖσθαι.

I, 10-15. *Quapropter, fratres, potius operam date, ut vocationem et electionem vestram firmam efficiatis. Hæc enim si feceritis, non labemini unquam. Siquidem ad hunc modum abunde subministrabitur vobis introitus ad æternum regnum Domini nostri et Salvatoris Jesu Christi. Quapropter haud negligam vos semper commonere de his, tametsi sciatis et confirmati sitis in præsenti veritate. Attamen justum arbitror quandiu sum in hoc tabernaculo, excitare vos per commonitionem : cum sciam brevi futurum ut* B *deponam hoc tabernaculum meum : quemadmodum et Dominus noster Jesus Christus significavit mihi. Dabo autem operam et semper habere vos post meum exitum, ut horum mentio fiat.*

Διό, φησὶ, μᾶλλον, ἀδελφοί μου, σπουδάσατε μόνιμον καὶ ἀμετακίνητον δεικνύντες τὴν κλῆσιν ὑμῶν καὶ ἐκλογήν, τουτέστι, τὸν κατηχητικὸν λόγον, ὃν παρὰ τὴν ἐκλογὴν ὑμῶν ἠκούσατε καὶ τὴν κλῆσιν, ἀνεπίληπτοι εἶναι, ἵνα μὴ ὡς ἐπιλελησμένοι τῆς δωρεᾶς τοῦ Θεοῦ κριθῆτε, ἀλλὰ μείνητε βεβαίαν τὴν κλῆσιν ὑμῶν ἔχοντες. « Ταῦτα γὰρ ποιοῦντες. » Ταῦτα, ποῖα; Τὰ προειρημένα, οἷον τὴν ἀρετὴν, τὴν γνῶσιν, τὴν ἐγκράτειαν, καὶ τὰ ἑξῆς τούτων. Σκόπει δὲ πῶς πρότερον ἀπὸ τῶν φοβερῶν προτρεψάμενος τοῦ βήματος τοῦ κριτοῦ, νῦν καὶ ἀπὸ τῶν C ἀγαθῶν προτρέπεται τῆς εἰσόδου τῆς εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου. « Καίπερ εἰδότας. » Ἵνα μὴ δόξωσι συνεχῶς ἀναμιμνησκόμενοι περὶ τῶν αὐτῶν ὡς ἐν ἀργίᾳ εἶναι κατεγνωσμένοι, καὶ λυπηθῶσι, τούτου χάριν ἐπήγαγε τὸ, Καίπερ εἰδότας καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. Αἰτίαν δὲ ἀποδιδοὺς τῆς συνεχοῦς ὑπομνήσεως, ἐπήγαγε τὸ, εἰδέναι ταχεῖαν ἔσεσθαι τὴν αὐτοῦ ἀπὸ τοῦ σώματος τούτου ἀπαλλαγήν. Τὸ δὲ ἐπιφερόμενον, λέγω δὲ τὸ· « Σπουδάσω δὲ καὶ μετὰ τὴν ἐμὴν ἔξοδον ἔχειν ὑμᾶς ἑκάστοτε, » τουτέστι, καθ' ἑκάστην καὶ διηνεκῶς τὴν τούτων μνήμην, βούλονται παριστᾷν ἀπὸ τούτου, ὅτι καὶ μετὰ θάνατον οἱ ἅγιοι μέμνηνται τῶν τῇδε καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ζώντων. Ἄλλοι δὲ D ἁπλῶς μεταχειριζόμενοι τὸ ῥητὸν, οὕτω νοοῦσι· Σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν τούτων μνήμην ποιεῖσθαι. Τουτέστι μὴ θαυμάζετε, μηδὲ βαρὺ ἡγεῖσθε τὴν ἐνδελεχῆ περὶ τῶν αὐτῶν ὑμῖν καταγγελίαν. Οὐ γὰρ κατάγνωσιν ὑμῶν ἀμαθείας ἔχων τοῦτο ποιῶ, ἀλλὰ τῇ συνεχείᾳ τῆς περὶ τούτων διδασκαλίας, ἔμμονον καὶ ἀμετακίνητον ὑμῖν ἐργάζομαι τὴν τούτων ἀντίληψιν, ὡς ἂν, τούτοις βεβαιωθέντες, ἔχητε καὶ μετὰ τὴν ἐμὴν ἀποβίωσιν ἕνεκα καὶ ἀνεξάλειπτα τὰ περὶ τούτων διδάγματα.

Quapropter, inquit, fratres mei, date vos potius operam, ut permanentem atque immutabilem ostendatis vestram vocationem et electionem, hoc est, sermonem instructionis vestræ quem ad electionem ac vocationem vestram audistis, ut irreprehensibiles sitis : ne quasi muneris Dei obliti judicemini, sed persistite firmam habentes vocationem vestram. « Hæc enim si feceritis. » Quænam? Quæ prædicta sunt, nempe virtutem, scientiam, temperantiam et cætera quæ sequuntur. Animadverte autem quomodo ordinato prius ab his quæ formidabilia erant judicis tribunali, nunc etiam per bona dirigit introitum ad æternum Domini regnum. « Tametsi sciatis. » **534** Ne de eisdem continue videantur admoneri, tanquam redarguti quod in otio vitam degant, et ita contristentur, hujus gratia subjungit : Tametsi sciatis et confirmati sitis in præsenti veritate. Causam autem reddens continuæ admonitionis, subjunxit quod sciret brevi futuram esse absolutionem ab hoc suo corpore. Quod autem subintertur, puta : « Dabo autem operam et semper, » nonnulli per hyperbaton intelligunt hoc modo : Dabo autem operam et post meum exitum, vos habere semper sive indies et continue horum memoriam : volentes ex hoc ostendere, quod etiam post mortem sancti eorum meminerunt quæ hic pro viventibus perfecerunt. Alii vero simpliciter tractantes illud dictum, ita intelligunt : Dabo autem operam et semper habere vos post meum exitum ut horum mentio fiat : hoc est, ne miremini, neque gravem ducatis assiduam de his fieri vobis mentionem. Non enim condemnans raditatem vestram hoc facio, sed per continuam de his doctrinam, perseverans et immobile vobis exhibeo horum subsidium, ut his confirmati, habeatis etiam post meum obitum vivam ac indelebilem de his doctrinam.

Οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπ-

I, 16-21. *Non enim arte compositas fabulas secuti, notam vobis fecimus Domini nostri Jesu Christi virtutem et adventum sed qui oculis nostris as-*

peximus illius majestatem. Accepit enim a Deo Patre honorem et gloriam, voce ad ipsum hujuscemodi delata a magnifica gloria : Hic est Filius meus dilectus in quo mihi complacitum est. Et hanc vocem nos audivimus e cœlo delatam, cum essemus una cum ipso in monte sancto. Et habemus firmiorem propheticum sermonem, cui dum attenditis seu lucernæ apparenti in obscuro loco recte facitis : donec dies illucescat, et lucifer exoriatur in cordibus vestris. Si illud prius noveritis quod omnis prophetica scriptura non sit propriæ interpretationis. Non enim voluntate hominis illata fuit unquam prophetia : **535** *sed a Spiritu sancto impulsi locuti sunt sancti Dei homines.*

Cum dixisset quod studiose se habere debeant, et ea videlicet quæ a se fuerant ipsis annuntiata, et de his longum explicuisset sermonem, idque frequenter : quanquam et scirent et variis modis audissent, eorum nunc confirmationem subjungit, et ait : Non vanam circa hæc adhibeo diligentiam, sed cum certam ac indubitatam esse sciam ipsorum veritatem, adeo illis immoror. Et quidnam hoc est? Non humana sapientia ad vos usi ornatisque sermonibus, veluti præstigiis fallentes auditum vestrum, notam vobis fecimus Domini virtutem et adventum, quod Græci faciunt et hæretici : Græci quidem compta dictione utentes ac decipientes; hæretici vero fictis sermonibus : quemadmodum Valentiniani profunditates ac silentium prodigiose fingentes. Verisimile enim est quod jam incipiebant suboriri. Nihil itaque hujusmodi deprehendere est in nobis, sed simplici ac humili sermone tradidimus vobis doctrinam : quod etiam Paulus dicit ad Corinthios [6] : et ea quæ ex oculorum nostrorum aspectu habemus, qui una cum ipso in montem sanctum ascendimus [7]. Dicit autem ostensam ipsis in monte sancto super Unigenitum gloriam, et vocem quam a Patre de cœlo allatam propter Dominum audierunt. Quoniam autem rebus ipsis et experientia cognovimus quæ fuerunt a prophetis pronuntiata, firmiorem, inquit, per hæc judicamus prophetiam ipsorum : nam res ipsæ consecutæ sunt sermones ac oracula. Idcirco et vos recte facitis attendentes prophetiæ, sive his quæ a prophetis prædicta sunt : quanquam tunc obscure ab ipsis dicta fuerunt, et in similitudinem lucernæ ardentis in caliginoso loco. Hujusmodi enim est squalens locus solis ardore subexustus ac humore aerem informante privatus. Unde necesse est ut aer qui solari radio subservit, cum periclitetur ne suam amittat proprietatem, sese ministrum illegitimum soli præbeat, ac radius tanquam per illegitimum vehiculum delatus, obscurum sui splendorem exhibeat. Attendentes autem his quæ ita obscure a prophetis dicta sunt, non fraudabimini spe vestra, rebus, inquit, suo tempore succedentibus :* **536** *quas etiam diem*

ὁπόταν γενηθέντες τῆς ἐκείνου μεγαλειότητος. Λαβὼν γὰρ παρὰ Θεοῦ Πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν ἐγὼ εὐδόκησα. Καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ. Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον. ὯΙ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν, τοῦτο πρῶτον γινώσκοντες, Ὅτι πᾶσα προφητεία γραφῆς, ἰδίας ἐπιλύσεως οὐ γίνεται. Οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία, ἀλλ' ὑπὸ Πνεύματος ἁγίου φερόμενοι ἐλάλησαν οἱ ἅγιοι Θεοῦ ἄνθρωποι.

Εἰπὼν περισπουδάστους ἔχειν αὐτοὺς ὀφείλειν, δηλονότι εἰς τὰ ὑπ' αὐτοῦ εὐαγγελισθέντα αὐτοῖς, καὶ περὶ τούτων πολὺν κατατείνας τὸν λόγον, καὶ πολλάκις, καίπερ εἰδότας καὶ ἀκηκοότας διαφόρως, νῦν τὸ πιστωτικὸν αὐτῶν ἐπιφέρει, καί φησιν, ὅτι Οὐ μάτην τὴν περὶ αὐτὰ ἐπιμέλειαν ἐπιδείκνυμαι, ἀλλὰ τὸ καίριον αὐτῶν ἐπιστάμενος καὶ ἀληθέστατον, κατὰ τοσοῦτον αὐτῶν περιέχομαι. Καὶ τί τοῦτο; Τὸ μὴ σοφίᾳ ἀνθρωπίνῃ χρησαμένους εἰς ὑμᾶς, καὶ κεκαλλιεπημένοις λόγοις καταγοητεύσαντας ὑμῶν τὴν ἀκοὴν, γνωρίσαι τὴν τοῦ Κυρίου δύναμιν ὑμῖν καὶ παρουσίαν, ὃ ποιοῦσιν Ἕλληνες καὶ αἱρετικοί· Ἕλληνες μὲν τῇ καλλιλεξίᾳ χρώμενοι καὶ ἐξαπατῶντες· αἱρετικοὶ δὲ τοῖς πλάσμασιν· ὡς οἱ ἀπὸ Οὐαλεντίνου, βυθοὺς καὶ σιγὴν τερατολογοῦντες. Εἰκὸς γὰρ αὐτοὺς καὶ ἤδη ἄρχεσθαι ὑποφυομένους. Οὐδὲν οὖν τοιοῦτον κατανοεῖν ἔστιν ἐν ἡμῖν. Λιτῷ γὰρ πεποιήμεθα λόγῳ τὴν πρὸς ὑμᾶς διδασκαλίαν, ὃ καὶ Παῦλος πρὸς Κορινθίους φησὶ, καὶ ἅπερ ἐξ αὐτοψίας ἔχομεν, οἱ ἐν τῷ ὄρει τῷ ἁγίῳ συναναβάντες αὐτῷ. Λέγει δὲ τὴν ἐν τῇ μεταμορφώσει δεικθεῖσαν αὐτοῖς ὑπὸ τοῦ Μονογενοῦς δόξαν, καὶ τὴν φωνὴν, ἣν ὑπὸ τοῦ Πατρὸς ἐξ οὐρανοῦ ἐνεχθεῖσαν διὰ τὸν Κύριον ἤκουσαν. Ἐπεὶ δὲ διὰ τῶν πραγμάτων ἔγνωμεν καὶ τῆς πείρας τὰ ὑπὸ τῶν προφητῶν προκατηγγελμένα, βεβαιοτέραν κρίνομεν, φησὶ, διὰ τούτων τὴν προφητείαν αὐτῶν. Τοῖς λόγοις γὰρ ἐπηκολούθησε τὰ πράγματα. Διὸ καὶ ὑμεῖς καλῶς ποιεῖτε, προσέχοντες τῇ προφητείᾳ, ἤτοι τοῖς ὑπὸ τῶν προφητῶν προλελαλημένοις, κἂν εἰ ἀμυδρῶς ὑπ' αὐτῶν ἐλέχθη τότε, καὶ κατὰ τὴν εἰκόνα τοῦ ἐν ζοφώδει τόπῳ καιομένου λύχνου. Τοιοῦτον γὰρ ὁ αὐχμηρὸς τόπος τῇ τοῦ ἡλίου ὑπεκκαιόμενος θάλψει, καὶ τῆς τὸν ἀέρα εἰδοποιούσης νοτίδος ἀποστερούμενος. Ἀφ' οὗ, τὸν διακονοῦντα ἀέρα τῇ τοῦ ἡλίου ἀκτῖνι, τὴν ἑαυτοῦ κινδυνεύοντα ἰδιότητα ἀπολέσαι, ἀνάγκη νόθον παρέχειν ἑαυτὸν διάκονον τῷ ἡλίῳ, καὶ ὡς διὰ νόθου ὀχήματος τὴν ἀκτῖνα φερομένην, ἀμυδρὰν τὴν ἑαυτῆς ἐπιφαίνειν λαμπρότητα. Προσέχοντες δὲ τοῖς οὕτως ἀσαφῶς ὑπὸ τῶν προφητῶν εἰρημένοις, οὐκ ἀστοχήσετε τῆς ἐλπίδος. Τῶν πραγμάτων γὰρ, φησὶ, κατὰ ἴδιον καιρὸν παραγινο-

[6] I Cor. II, 1. [7] Matth. XVII, 1

μένων, ἃ καὶ ἡμέραν ἐκάλεσε, σοφῶς ἄγαν τῇ τροπῇ ἐπιμείνας, (εἶπε γὰρ λύχνον καὶ τόπον αὐχμηρὸν, ἤτοι ζοφώδη καὶ σκοτεινὸν, ὅπερ καὶ ἡ νύξ ἐστι.) Νυκτὶ δὲ πάσῃ ἡμέρα ἐπακολουθεῖ· Ἡμέρας οὖν, φησὶ, παραγινομένης, τῆς τῶν πραγμάτων λέγω παρουσίας, ἔξετε τὸν φωσφόρον ἀνατέλλοντα ἐν ταῖς καρδίαις ὑμῶν, (τουτέστι, τὴν τοῦ Χριστοῦ γνῶσιν, ἤτοι τὴν παρουσίαν αὐτοῦ τὴν προκατηγγελμένην ὑπὸ τῶν προφητῶν,) καὶ ὡς φῶς ἀληθὲς τὰς καρδίας ὑμῶν ἐλλαμπρύνοντα. Εἶτα ἐπάγει ἐπεξηγούμενος, διὰ τί οἱ προφῆται τὰ ὑπ' αὐτῶν εἰρημένα οὐχ ἡρμήνευσαν, ἅμα δὲ καὶ διακρίνει τὴν ἀληθῆ προφητείαν τῆς δαιμονιώδους καὶ πλαστῆς, ἥτις καὶ ἐν τοῖς αἱρετικοῖς ἐνεργοῦσα καταλαμβάνεται, καί φησιν, ὅτι « Πᾶσα προφητεία Γραφῆς, ἰδίας ἐπιλύσεως οὐ γίνεται, » τουτέστιν, ὅτι λαμβάνουσι μὲν ἀπὸ Θεοῦ οἱ προφῆται τὴν προφητείαν, ἀλλ' οὐχ ὡς ἐκεῖνοι βούλονται, ἀλλ' ὡς τὸ κινοῦν αὐτοὺς θεῖον ἐνεργεῖ Πνεῦμα. Καὶ ᾔδεσαν μὲν καὶ συνίεσαν τὸν καταπεμπόμενον αὐτοῖς προφητικὸν λόγον, οὐ μέντοι καὶ τὴν ἐπίλυσιν αὐτοῦ ἐποιοῦντο. Καὶ ὅτι οἱ ἀπὸ θείου ἐνεργούμενοι Πνεύματος προφῆται ᾔδεσαν ὡς ἀπὸ Θεοῦ καταπέμπεται ὁ λόγος αὐτοῖς, δῆλον ἀφ' ὧν ἐκόντες ὑπούργουν, καὶ ὃ ἂν ἤθελον ἐλάλουν, ὃ δὲ μὴ ἤθελον, ἐσιώπων· ὡς Ἰωνᾶς ὁ προφήτης παραιτούμενος τὸ κήρυγμα τῆς Νινευΐ· καὶ ὁ Βαλαὰμ παραγγελλόμενος λαλῆσαι τὰ ὑποβαλλόμενα αὐτῷ, οὐ μὴν καὶ οἱ ψευδοπροφῆται, ἢ τὰ Ἑλλήνων μαντεῖα. Οὐ γὰρ ᾔδεσαν, ἐν τῷ ἐνεργεῖσθαι, ἀλλὰ μανίᾳ γινόμενοι παράφοροι ἠγνόουν ὃ ἔπασχον, ὡς οἱ μαθόντες. Οἱ μέντοι ἅγιοι προφῆται, οἱ παλαιοὶ φημι, καίπερ εἰδότες, οὐ χρείαν εἶχον ἑρμηνεύειν τὰ ὑπ' αὐτῶν, ἀλλ' ἑτέροις διηκόνουν ταῦτα. (Ἡμῖν γάρ.) Ἅμα δὲ καὶ ἵνα λανθάνῃ ἡ τοῦ Κυρίου παρουσία, καὶ μὴ ἐπιβουλεύηται πρὸς τῶν ἀσεβῶν. Ἐπιβουλευομένη μὲν γὰρ ἠδύνατο καὶ διδράσκειν διὰ τῆς ὑπερβλήτου τοῦ Θεοῦ δυνάμεως. Ἀλλ' εἰκὸς, ἐνίοτε διὰ παραδόξων τῆς ἀποφυγῆς τελουμένης, ὡς τερατώδες δόξαι τὸ τελούμενον τῆς ἐνανθρωπήσεως. Καὶ ὅτι ἀληθὲς τοῦτο, δῆλον ἀπὸ τῶν ἐν τῇ Νέᾳ προφητῶν, οἳ καὶ ἡρμήνευον, ἑαυτοὺς προφητεύοντες, εἰ καὶ μὴ πάντως, ὡς Παῦλος ὁ θεῖος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ φησίν. Οὐ γὰρ ἦν τινὸς τοιούτου ὑποψία ἐν τῇ νέᾳ. Ἀλλὰ καὶ ὅτι οὐκ ἐξιστάμενοι οἱ προφῆται ἐχρησμῴδουν, δῆλον καὶ τοῦτο.

Ἐξ ἑνὸς γὰρ πνεύματος προφητευόντων τῶν ἐν τῇ Παλαιᾷ καὶ τῇ Νέᾳ, φησὶν ὁ Παῦλος· Ἐὰν δὲ ἀποκαλυφθῇ ἄλλῳ καθημένῳ, ὁ πρῶτος σιγάτω. Σαφὲς γὰρ ἐκ τούτου ὅτι ἐν τῷ κατὰ φύσιν ἱστάμενοι οἱ προφῆται καὶ συνιέντες, ἑκόντες προφήτευον. Διὸ καὶ ἄλλου ἀνισταμένου τοῦ ἐμπνευσθέντος, ὁ πρῶτος λαλῶν σιγᾷν ἐπιτρέπεται. Ὅπερ οὐκ ἂν ἐπὶ μαινομένων εὕροι τις. Πῶς γὰρ σιωπήσει ὁ μηδ' ὅ τι ποιῇ ἐπιστάμενος; Καὶ Πνεύματος δὲ εἶναι ἐνέργειαν ἁγίου ἐν τοῖς προφήταις, ὁ αὐτὸς Παῦλος φησὶν, οὕτω λέγων· « ὯΙ μὲν δίδοται λόγος σοφίας, ᾧ δὲ

appellavit, scite admodum in tropo permanens. Dixit enim lucernam et locum obscurum sive caliginosum ac tenebrosum, quod et nox est. Cuivis autem noeti succedit dies. Die itaque accedente (rerum dico præsentiam) habebitis Luciferum in cordibus vestris exorientem : hoc est, Christi cognitionem, sive ipsius præsentiam ac adventum a prophetis prænuntiatum, et tanquam veram lucem corda vestra illustrantem. Deinde enarrando subjungit quare prophetæ sua dicta non fuerint interpretati : simul autem discernit quoque veram prophetiam a dæmoniaca et ficta, quæ in hæreticis operari deprehenditur, et ait : « Omnis prophetica Scriptura propriæ sive privatæ non est interpretationis. » Hoc est, prophetiam quidem a Deo accipiunt prophetæ, at non ut illi volunt, sed sicut divinus Spiritus ipsos movendo operatur : et noverunt sane ac intellexerunt demissum ad ipsos propheticum sermonem, attamen ipsius interpretationem non faciebant. Quod autem prophetæ divino acti Spiritu noverunt quomodo a Deo demissus sit ad eos Spiritus, ex eo manifestum est quod ultronei subministrabant, et loquebantur quod volebant, quod autem nolebant tacebant : quemadmodum Jonas propheta recusans prædicare in Ninive [8] : et Balaam [9] ea loqui jussus quæ sibi suggererentur. Verum id non habebant pseudoprophetæ aut Græcorum vaticinia : neque enim cognoscebant dum agitarentur, sed insania vecordes effecti, ignorabant quid sibi accideret, tanquam ebrii. Sancti itaque prophetæ, veteres dico, quanquam intelligerent, non tamen interpretari debuerunt quæ prædixerant, sed hæc aliis ministrabant, puta nobis. Simul quoque ut lateret Domini adventus, nec pararentur illi insidiæ ab impiis. Siquidem etiam insidiis appetitus poterat quidem insuperabili Dei potentia effugere : sed verisimile est quod evasione interdum miris modis contingente, tanquam prodigiose facta apparuisset incarnatio. Et quod hoc verum sit ex prophetis apparet qui in Novo fuere Testamento, qui etiam interpretabantur seipsos dum prophetarent, quanquam non in omnibus, quemadmodum divus Paulus priore ad Corinthios Epistola **537** dicit [10]; non enim hujusmodi aliqua suspicio erat in novo testamento. Præterea quod non rapti extra se prophetæ vaticinarentur, ex eo quoque manifestum est.

Nam cum uno spiritu prophetarent qui in Veteri Testamento erant, et qui in Novo, dicit Paulus : Si autem alii sedenti revelatum fuerit, prior taceat. Ex eo enim manifestum est quod in sua naturali consistentia permanentes prophetæ, et intelligentes sponte prophetabant. Ideo etiam alio surgente cui inspiratum est, qui prior loquebatur, tacere præcipitur : quod in furiosis vatibus invenire nemo posset. Quomodo enim tacebit is qui ne novit quidem quid operetur? Sancti quoque Spiritus energiam esse in prophetis ipse Paulus dicit, ita loquens :

[8] Jonæ, I, 3 [9] Num. XXII, 13. [10] I Cor. XIV, 21.

« Huic quidem datur sermo sapientiæ, alii vero sermo prophetiæ [11]. » Præterea et hic per ea quæ modo proponuntur. « Accepit enim a Deo Patre. » Hoc participium λαβὼν aut loco verbi indicativi positum est pro ἔλαβεν, hoc est, accepit : quandoquidem juxta participii consequentiam non respondet postmodum sermo. Aut si hoc non placet, sed vult quispiam accipere λαβὼν tanquam proprie participium, ad inordinationem necessario decidet sermo : si vero participium pro indicativo verbo sumatur, consentaneum erit quod subjungetur, puta : Accepit enim a Deo Patre gloriam : et habemus ex hoc firmius quidquid a prophetis antea de hoc annuntiatum est : non quod de voce superne a Patre delata sit aliqua prophetia, sed quod a superna Patris voce quæ ipsum esse Filium testata est, confirmati simus quod omnis prophetarum vaticinatio indubitatum ferat a Patre testimonium. « Hic est Filius meus [12]. » Trina vice Filio datum est a Patre testimonium : in baptismo, in passione cum dixit, Et glorificavi et rursum glorificabo ; et in monte. « Si illud prius noverit, » etc. Noverant et prophetæ ea quæ sibi a prophetico spiritu inspirabantur, et de quibus, non tamen exacte et quomodo singula perficerentur. Ideo quoque intelligentes desiderabant videre horum eventum : quemadmodum et Dominus dicit.

προφητείας. » Ἀλλὰ καὶ οὗτος διὰ τῶν προκειμένων. « Λαβὼν γὰρ παρὰ Θεοῦ Πατρός. » Τοῦτο ἢ ἀντὶ ὁριστικοῦ ῥήματος ἔταξε *λαβὼν*, ἀντὶ τοῦ *ἔλαβεν*. Ἐπεὶ μὴ κατὰ τὸ ἀκόλουθον τῆς μεταχῆς ἡ ἀπόδοσις φέρεται. Ἢ εἰ μὴ τοῦτο, βούλεταί δέ τις ἐνταῦθα λαμβάνειν ὡς μετοχὴν κυρίως τὸ *λαβὼν*, ἀναγκαίως εἰς ἀσυνταξίαν ὁ λόγος ἐξολισθήσει. Ἀντὶ δὲ τῆς μετοχῆς τοῦ ὁριστικοῦ λαμβανομένου, ἀκολούθως τὸ ἐπιφερόμενον ἔσται, οἷον· Ἔλαβε γὰρ παρὰ Θεοῦ Πατρὸς δόξαν. Καὶ ἔχομεν ἐκ τούτου βεβαιοτέραν πᾶσαν τὴν ὑπὸ τῶν προφητῶν περὶ αὐτοῦ προκαταγγελίαν, οὐχ, ὅτι περὶ τῆς ἐνεχθείσης φωνῆς ὑπὸ τοῦ Πατρὸς ἄνωθεν ἐστί τις προφητεία, ἀλλ' ὅτι ἀπὸ τῆς τοῦ Πατρὸς ἄνωθεν φωνῆς τὴν υἱότητα μαρτυρησάσης, ἠδράσθημεν πᾶσαν τὴν διὰ τῶν προφητῶν χρησμῳδίαν, ἀναντιῤῥήτως ὑπὸ τοῦ Πατρὸς μαρτυρουμένην φέρεσθαι. « Οὗτός ἐστιν ὁ Υἱός μου. » Τρὶς γέγονεν ἡ ἀπὸ τοῦ Πατρὸς τῷ Υἱῷ μαρτυρία· ἐπὶ τοῦ βαπτίσματος, ἐν τῷ πάθει, τὸ, Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω. Καὶ ἐπὶ τοῦ ὄρους. « Τοῦτο πρῶτον γινώσκοντες, » καὶ τὰ ἑξῆς. Ἤδεσαν οἱ προφῆται καὶ ἃ ἐμπνέονται ὑπὸ τοῦ προφητικοῦ πνεύματος, καὶ περὶ ὧν, οὐ μέντοι καὶ ἀκριβῶς καὶ ὡς καθέκαστα ἐπετελέσθη. Διὸ καὶ συνιέντες ἐπεθύμουν ἰδεῖν τὴν τούτων ἔκβασιν, ὡς καὶ ὁ Κύριός φησιν

538 CAPUT III.

Vaticinium de fraudulenta insurrectione hæreticorum impietatisque ipsorum ac futuri supplicii.

II, 1-3. *Fuerunt autem et pseudoprophetæ in populo, quemadmodum et inter vos erunt pseudodidascali (id est falsi doctores) qui clam inducent sectas perniciosas, etiam Dominum qui illos mercatus est abnegantes, accersentes sibi ipsis celerem interitum ; et plerique sequentur illorum exitia : propter quos via veritatis convitiis afficietur : et per avaritiam fictis sermonibus de vobis negotiabuntur. Quibus judicium jam olim non tardat, et perditio illorum non dormitat.*

Cum prophetia nomen commune sit, quod et ad prophetas et ad pseudoprophetas refertur, confirmat nunc pseudoprophetis non esse attendendum. Et ab hoc paululum differt Paulus, dum docet quod nemo dicit Dominum Jesum nisi per Spiritum sanctum [13]. Hinc autem auspicatur hæresi obviam ire adversus Nicolaitas, duplicem dicens ipsorum malitiam. Sunt enim dogmate quidem impiissimi, quod sua in Christum Dominum blasphemia demonstrarunt : vita autem maxime obsceni. Et hoc nunc quidem per turpe lucrum designat : paululum autem progressus apertius proferet. Nunc enim πλεονεξίαν, id est, avaritiam dicens, turpe lucrum significavit. Nam πλεονεξία interdum quidem injustitiam significat, quandoque vero lucrum simpliciter. Unde particularius se loqui ostendens, addidit : « Negotiabuntur. » Penitus autem alienans

ΚΕΦΑΛ. Γ'.

Προῤῥήσις ἀπατηλῆς ἐπαναστάσεως αἱρετικῶν, ἀσεβείας τε αὐτῶν καὶ μελλούσης κολάσεως.

Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι. Οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράζοντα αὐτοὺς Δεσπότην ἀρνούμενοι, ἐπάγοντες ἑαυτοῖς ταχινὴν ἀπώλειαν. Καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς ἀπωλείαις. Δι' οὓς ἡ ὁδὸς τῆς ἀληθείας βλασφημηθήσεται, καὶ ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις ὑμᾶς ἐμπορεύσονται. Οἷς τὸ κρῖμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει.

Τοῦ τῆς προφητείας ὀνόματος κοινῶς καὶ κατὰ τῶν προφητῶν καὶ κατὰ τῶν ψευδοπροφητῶν φερομένου, ἀσφαλίζεται νῦν μὴ τοῖς ψευδοπροφήταις προσέχειν, καὶ τί τὸ διαστέλλον Παῦλος ἐδίδαξεν, ὅτι οὐδεὶς λέγει Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ. Ἄρχεται δὲ ἐντεῦθεν τῆς κατὰ τῶν Νικολαϊτῶν αἱρέσεως τῆς καταδρομῆς διττὴν λέγων τὴν κακίαν αὐτῶν. Εἰσὶ γὰρ περὶ μὲν δόγματος ἀσεβέστατοι, ὃ διὰ τῆς εἰς τὸν Δεσπότην Χριστὸν βλασφημίας αὐτῶν ἀπέδειξαν, περὶ δὲ βίον ἀσελγέστατοι. Καὶ τοῦτο δὲ νῦν μὲν διὰ τῆς αἰσχροκερδείας παριστᾷ, μικρὸν δὲ προβάς, τρανότερον προενέγκει. *Πλεονεξίαν* γὰρ εἰπὼν, νῦν τὴν αἰσχροκερδείαν ἐσήμανεν. Ἡ γὰρ *πλεονεξία* ποτὲ μὲν τὴν ἀδικίαν σημαίνει, ποτὲ δὲ τὸ κέρδος ἁπλῶς. Ὅθεν οἰκείως τὸ, « Ἐμπορεύσονται, » προσέθηκεν. Ἀλλοτριῶν δὲ αὐτοὺς παντελῶς τῆς θείας διδασκαλίας, πλαστοῖς εἰ-

[11] I Cor. XII, 8. [12] Matth. III, 17; Joan XII, 28. [13] I Cor. XII, 3.

πεν αὐτοὺς λόγοις χρωμένους. Ἀλλ' ἕξουσι, φησὶ, τῆς ἀσεβείας τὰ ὀψώνια, θάνατον. Τὸ δὲ, Ἐκπαλαι, τῆς προγνώσεως τοῦ Θεοῦ ἐστι σημαντικὸν, καὶ ὥσπερ τοῖς ἀγαθοῖς προγνωστικῶς ἡτοίμασε τὰ ἀγαθὰ, οὕτω καὶ τοῖς πονηροῖς τὸν κατάλληλον αὐτοῖς τόπον. « Οἵτινες, » καὶ τὰ ἑξῆς. Τὸ ἑξῆς· Οἵτινες ἐπάγοντες ἑαυτοῖς ταχινὴν ἀπώλειαν, παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσοντα αὐτοὺς Δεσπότην ἀρνούμενοι, καὶ ἐν πλεονεξίᾳ πλαστοῖς ὑμᾶς λόγοις ἐμπορευόμενοι.

A ipsos a divina doctrina, dixit eos fictis uti sermonibus. Sed habebunt, inquit, impietatis stipendia, nempe mortem. Porro *jam olim*, præscientiæ Dei significativum est. Quemadmodum enim per præscientiam bonis præparavit bona, ita et malis congruum ipsis locum. **539** « Qui clam, » etc. Ordo : Qui accersentes sibi ipsis celerem interitum, clam ducent sectas perniciosas : et Dominum qui illos mercatus est abnegantes, et per avaritiam fictis sermonibus de vobis negotiantes. « Non dormitat. » Non cessat, sive non erit otiosa, segnis aut ineffícax.

Εἰ γὰρ ὁ Θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν τετηρημένους, καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο, ἀλλὰ ὄγδοον Νῶε δικαιοσύνης κήρυκα ἐφύλαξε, κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας, καὶ πόλεις Σοδόμων καὶ Γομόρρας τεφρώσας καταστροφῇ κατέκρινεν, ὑπόδειγμα μελλόντων ἀσεβεῖν τεθεικώς, καὶ δίκαιον Λὼτ καταπονούμενον ὑπὸ τῆς τῶν ἀθέσμων ἐν ἀσελγείᾳ ἀναστροφῆς ἐρρύσατο. Βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος ἐγκατοικῶν ἐν αὐτοῖς ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν ἀνόμοις ἔργοις ἐβασάνιζεν.

B 11, 4-7. *Nam si Deus angelis qui peccaverant non pepercit, sed catenis caliginis in tartarum præcipitatos tradidit servatos in judicium : et prisco mundo non pepercit : sed octavum justitiæ præconem Noe servavit, diluvio in mundum impiorum inducto ; et civitates Sodomorum ac Gomorræ in cineres redactas subversione condemnavit, easque fecit exemplum his qui impie forent acturi ; et justum Lot qui opprimebatur a nefariis per libidinosam conversationem, eripuit. Is enim oculis et auribus justus, cum habitaret inter illos, quotidie animam justam iniquis illorum factis excruciabat.*

Εἰ γὰρ ὁ Θεὸς οὐδὲ ἀγγέλων ἁμαρτησάντων, οὐδὲ κόσμου ἀρχαίου ἐφείσατο, ἀλλὰ καὶ πόλεις Σοδόμων καὶ Γομόρρας κατέκρινε καταστροφῇ τεφρώσας, καὶ εἰς ὑπόδειγμα πάντων τῶν μετ' αὐτοὺς μελλόντων ἀσεβεῖν τέθεικε, Νῶε δὲ δικαιοσύνης κήρυκα, κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας, ἐφύλαξεν, ἀλλὰ καὶ τὸν Λὼτ καταπονούμενον ὑπὸ τῶν ἀσεβῶν, ὅτε τοὺς ἐπιξενωθέντας δηλονότι ἀγγέλους οἱ ἐν Σοδόμοις ἐζήτουν, καὶ δὴ καὶ πρὸς ζῆλον τῶν ἀσεβῶν αὐτῶν πράξεων ἡμέραν ἐξ ἡμέρας παρακαλούμενον, εἶτα βασανίζοντα τὴν ἑαυτοῦ ψυχὴν διὰ τῆς τούτων ἀποχῆς καὶ ἐγκρατείας, ἐρρύσατο· οὐ πολλῷ μᾶλλον καὶ κατὰ τὸν νῦν καιρὸν καὶ αὐτοὺς ἀπωλείᾳ παραδώσει, ὡς τοὺς παραβάτας ἀγγέλους, καὶ τοὺς ἐπὶ τοῦ κατακλυσμοῦ, καὶ ἔτι Σοδομηνούς; Ὑμᾶς δὲ τοὺς μετὰ τούτων ἐν τῷ κόσμῳ παροικοῦντας οὐχὶ σώσει ὡς τὸν Νῶε καὶ τὸν, Λὼτ τοὺς συσκηνοῦντας τότε τοῖς παρανόμοις; Οὕτως πάντως ποιήσει· οὐδεὶς ἀντερεῖ. Οἶδε γὰρ εὐσεβεῖς ἐκ πειρασμῶν ῥύεσθαι, κακοὺς δὲ εἰς ἡμέραν κρίσεως κολασθησομένους τηρεῖν. Σκόπει δὲ ὅτι τὸ περὶ τῶν κακοποιῶν προθεὶς ἄνω παράδειγμα, νῦν τὸ τῶν δικαίων προτάττει, καὶ διὰ τούτου ψυχαγωγῶν τοὺς ζηλωτὰς τῶν δικαίων, ὡς προτιμότεροι τῶν ἀσεβῶν εἶναι. Διὸ καὶ ὁ Χριστὸς πρῶτον τὰ γέρα τοῖς δικαίοις δίδωσι τοῖς ἐκ δεξιῶν ἀρνίοις, εἶτα τοῖς ἐξ ἀριστερῶν ἐρίφοις τὰς τιμωρίας. Καθότι καὶ τὰ τερπνὰ τῶν σκυθρωπῶν προτιμᾶται. « Ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο. » Ἐκ τῶν προτετιμημένων ἡ ἐπιχείρησις. Φησὶ γάρ, Εἰ οὗτοι οἱ διὰ τὸ τῆς οὐσίας ἀκήρατον, ἄγγελοι τίμιοι παρὰ Θεῷ καταθέντες ἁμαρτήσαντες συγγνώμης οὐκ ἔτυχον, οὐδὲ οἱ προσεχεῖς τῆς αὐ-

C Nam si Deus nec angelis qui peccaverant nec prisco mundo pepercit, sed et civitates Sodomorum et Gomorræ condemnavit, subversione redigens in cineres, et in exemplum posuit omnium qui post ipsos impie acturi essent ; Noe vero justitiæ præconem, diluvio in mundum impiorum inducto, servavit ; sed et Lot qui ab impiis opprimebatur, quando videlicet et Sodomitæ angelos hospitio exceptos quærebant, et quotidie admonebatur ad æmulationem impiarum actionum ipsorum, deinde suam cruciabat animam per temperantiam, et ab illis abstinendo, eripuit : annon multo magis hoc etiam tempore et istos tradet exitio, quemadmodum transgressores angelos et eos qui tempore diluvii erant, ac præterea Sodomitas ? vos autem qui pariter cum his in mundo habitatis, annon servabit, quemadmodum Noe et Lot qui tunc inter impios habitabant ? nemo ambigit quin omnino ita facturus sit. Novit enim pios de tentationibus et D afflictionibus eripere, injustos autem in diem judicii puniendos servare. Animadverte autem quod cum superius exemplum de facinorosis proposuisset, nunc illud quod de justis est præordinat : per hoc etiam justorum æmulatores consolando quod præstantiores impiis habeantur. **540** Propterea etiam Christus præmium dat prius justis agnis qui a dextris sunt, deinde hædis qui sunt a sinistris supplicia [11]. Quandoquidem et delectabilia tristibus præferuntur. « Angelis qui peccaverant non pepercit. » Ab his qui primum resecati sunt aggreditur, et ait : Si angeli qui propter substantiæ immortalitatem in honore erant apud Deum, cum excusso

[11] Matth. xxv, 34-41.

jugo peccassent, non sunt veniam consecuti : multo minus hominibus suæ plasmationi hærentibus parcet si peccaverint. « Sed catenis caliginis. » Condemnationis inevitabilitatem significat. Hujuscemodi enim catenis certo a nobis condemnatos punimus. Sed dicet aliquis : Unde manifesta est talis condemnatio dæmonum ? ab ipsis videlicet dæmonibus. Siquidem in Evangelio [15] deprecantur, ne in abyssum remittantur, tanquam alii quoque omnes hoc patiantur. Sciendum tamen est quod veluti per modum suppositionis productum est argumentum, non tamen vere ita est, neque enim aliud habet quod postea respondeat, sed in speciem solum ita propositum est, in veritate autem simplex est exemplaris persuasio : et quam ob causam, dicetur : nam si esset quod præ se ferre videtur, ita procederet : Si angelis cum peccassent non pepercit, si nec prisco mundo, nec Sodomis et Gomorræ, nunquid his parcet ? nequaquam ; aut etiam hoc modo : His omnino non parcet. Non autem temere a præstantioribus aggreditur ; sed ostendere volens quod hi dum peccant magis obnoxii sint supplicio. Quoniam ergo et isti honoratiorem gradum habent, utpote vocati ad apostolatum, cum a divina via exciderint, majorem etiam habent condemnationem. Ex hypothesi autem mota exemplari persuasione, non reddidit quod figuræ respondebat. Confudit namque exemplum assumptione justorum : et cum deberet ei quod ab initio propositum erat sermone respondere, puta his qui peccaverant, propter quos etiam assumptum fuit exemplum, et dicere : Si his non pepercit, nunquid præsentibus parcet improbis ac lascivis ? aut per affirmationem : Multo magis neque his parcet : non hoc facit. Quare ? Quoniam cum duo proponantur exempla, bonorum videlicet ac malorum, inveniebatur hæc sermonis responsio solum ad malum respondere, non ad bonum : bonis enim non redduntur mala. **541** Cum ergo non sufficeret una sermonis responsione propositum explere, alio modo in phrasi permansit, et per epiphonema perfecit quod oportuit. Quare autem malis admiscuerit exempla bonorum, convenienti loco dicetur. « Sed octavum, » etc. Quemadmodum præmittendo diximus, non juxta id quod ex sermone apparet, subsequitur etiam eorum intelligentia quæ proponuntur. Non enim subjungitur sermonis responsio quæ hujusmodi ordinationes sequi solet, sed simplex est exemplaris persuasio, et de his qui propter peccata puniuntur, et de illis qui propter justitiam honorantur : tanquam diceret : Novit Dominus peccatores inevitabiliter punire non parcens eis, sicuti angelos qui peccaverant, veluti et illos qui tempore diluvii erant, sicut et Sodomorum et Gomorræ civitates ; rursum justitiam operantes honorare, quemadmodum Noe, quemadmodum Lot. Et est ordinatio hujuscemodi : Cum dixisset punien-

A τῶν πλάσεως ἄνθρωποι, πολλῷ μᾶλλον οὐδὲ τούτων ἁμαρτησάντων φείσεται. « Διὰ δὲ τῶν σειρῶν τοῦ ζόφου, » τὸ ἄφυκτον καὶ ἀδιάδραστον τῆς κατακρίσεως σημαίνει. Τοιούτοις γὰρ δεσμοῖς τοὺς ἀκριβῶς ὑφ' ὑμῶν καταδικασθέντας κολάζομεν. Ἀλλὰ πόθεν ἐρεῖ τις ὅτι δήλη ἡ τοιαύτη κατάκρισις τῶν δαιμόνων ; Ἀπ' αὐτῶν δηλαδὴ τῶν δαιμόνων. Καὶ γὰρ ἐν τῷ Εὐαγγελίῳ δέονται μὴ εἰς τὴν ἄβυσσον αὐτοὺς καταπέμψαι, ὡς καὶ ἑτέρων τοῦτο πάντων παθόντων. Ἰστέον μέντοι ὡς καὶ ὑποθετικῶς προήχθη τὸ ἐπιχείρημα, οὐχὶ δὲ καὶ τῷ ὄντι οὕτως ἐστίν. Οὐ γὰρ ἔχει τὴν ἀνταπόδοσιν. Ἀλλὰ σχήματι μόνον οὕτω προβέβληται, τῇ δὲ ἀληθείᾳ παραδειγματικὴ πίστις ἐστὶν ἁπλῆ. Καὶ διὰ τί ; εἰρήσεται. Εἰ γὰρ κατὰ τὸ σχῆμα ἦν, οὕτως ἂν προῦβη. Εἰ γὰρ ἀγγέλων οὐκ ἐφείσατο ἁμαρτησάντων, εἰ ἀρχαίου κόσμου, εἰ Σοδόμων καὶ Γομόρρας, ἆρα τούτων φείσεται ; Οὐδαμῶς. Ἢ καὶ οὕτως· Οὐ τούτων φείσεται πάντως. Οὐχ ἁπλῶς δὲ ἀπὸ τῶν προτιμοτέρων ἐπιχειρεῖ, ἀλλὰ δεῖξαι βουλόμενος ὡς μᾶλλον οὗτοι ὑποδικώτεροι ἁμαρτάνοντες. Ἐπεὶ οὖν καὶ οὗτοι τὸ προτιμότερον ἔχουσιν, ὡς κληθέντες μὲν εἰς ἀποστολήν, ἐκτραπέντες δὲ τῆς θείας ὁδοῦ, μεῖζον καὶ τὸ κατάκριμα ἔχουσιν. Ἐξ ὑποθέσεως δὲ κινήσας τὴν παραδειγματικὴν πίστιν, οὐκ ἀπέδωκε τὸ ἀκόλουθον τοῦ σχήματος. Συνέχει γὰρ τὸ παράδειγμα τῇ τῶν δικαίων προσλήψει, καὶ ὀφείλων ἐπὶ τοῦ ἐξ ἀρχῆς προτεθέντος τὴν ἀπόδοσιν ποιῆσαι, τουτέστι, τῶν ἁμαρτησάντων, δι' οὓς καὶ τὸ παράδειγμα, B καὶ εἰπεῖν· Εἰ τούτων οὐκ ἐφείσατο, ἆρα τῶν παρόντων ἀσελγῶν φείσεται ; Ἢ κατὰ ἀπόφασιν· Πολλῷ μᾶλλον οὐδὲ τούτων φείσεται· οὐ τοῦτο ποιεῖ. Διὰ τί ; Εὑρίσκετο γὰρ αὕτη ἡ ἀπόδοσις, δύο προκειμένων ὑποδειγμάτων, καλῶν καὶ κακῶν, πρὸς τὸ κακὸν μόνον γινομένη, οὐκ ἔτι δὲ πρὸς τὸ ἀγαθόν, οὐ γὰρ καλοῖς κακὰ ἀποδίδοται. Ἐν οἷς οὖν οὐκ ἤρκεσε μιᾷ ἀποδόσει τὸ προτεθὲν ἀπαρτίσαι, ἑτέρως διεγένετο τῇ φράσει, καὶ δι' ἐπιφωνήματος τὸ ὀφειλόμενον ἀπετέλεσε. Διὰ τί δὲ τοῖς κακοῖς προστίθησι τὰ τῶν ἀγαθῶν ὑποδείγματα, εἰρήσεται κατὰ τὸν ἁρμόδιον τόπον. « Ἀλλὰ ὄγδοον, » καὶ τὰ ἑξῆς. Ὡς προλαβόντες εἴπομεν οὐ κατὰ τὸ σχῆμα τοῦ φαινομένου λόγου, καὶ ἡ ἔννοια ἐπακολουθεῖ τῶν προκειμένων. Οὐ γὰρ ὑπόκειται ἡ ἀπόδοσις ἡ εἰωθυῖα ταῖς τοιαύταις συντάξεσιν ἕπεσθαι. Ἀλλ' ἔστιν C ἁπλῆ παραδειγματικὴ πίστις, καὶ τῶν διὰ ἁμαρτίας κολαζομένων, καὶ τῶν διὰ δικαιοσύνην τιμωμένων· ὡσεὶ ἔλεγεν· Οἶδεν ὁ Θεὸς καὶ τοὺς ἁμαρτάνοντας ἄνευ φειδοῦς κολάζειν ἀπαραιτήτως, ὡς τοὺς ἁμαρτήσαντας ἀγγέλους, ὡς τοὺς ἐπὶ τοῦ κατακλυσμοῦ, ὡς τὰς Σοδόμων πόλεις· καὶ πάλιν τιμᾷν τοὺς δικαιοσύνην ἐργαζομένους, ὥσπερ τὸν Νῶε, ὥσπερ τὸν Λώτ. Καὶ ἔστιν ἡ σύνταξις τοιαύτη· Εἰπὼν ὅτι κολασθήσονται οἱ ψευδοδιδάσκαλοι διὰ τὰς βλασφημίας αὐτῶν, διὰ τὸν ἀσελγῆ βίον αὐτῶν, ἐπιφέρει τὰ παραδείγματα. Ὁ γὰρ Θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, οὐδὲ ἀρχαίου κόσμου.

[15] Luc. VIII, 31.

οὐδὲ πόλεις Σοδόμων ἐξέφυγον τὸν ὄλεθρον, ἀλλὰ κατατεφρωθεῖσαι εἰς σωφρονισμὸν ὑπόκεινται τῶν ἀσεβούντων. Καὶ πάλιν, τοὺς δικαιοσύνην ἀσκήσαντας τιμᾷν οἶδε Θεὸς, ὡς τὸν Νῶε, ὡς τὸν Λώτ. Καὶ διὰ ποίαν δικαιοσύνην ἑκάστου, ἐξηγεῖται· ὅτι καὶ τὸν Νῶε καὶ τὸν Λὼτ διὰ σωφροσύνην ἐφύλαξεν ἀπὸ τοῦ ὀλέθρου τῶν κατ' αὐτοὺς ἀνθρώπων. Ὁ τε γὰρ Νῶε οὐκ ἀπήχθη τῇ ἀσεβείᾳ τῶν πρὸς τοῦ κατακλυσμοῦ· ὁ τε Λὼτ οὐδὲν ζηλώσας τῆς ἀσελγείας τῶν ἐν Σοδόμοις. Ἀλλ' ἡμέραν ἐξ ἡμέρας οἷον κεντούμενος τῇ ὁράσει τῶν ἀσελγούντων, καὶ ἐπ' αὐτὰ τὰ ἀσελγῆ παρακαλούμενος, οὐδὲν ὑπεῖκεν. Τοῦτο γάρ ἐστι, « Βλέμματι καὶ ἀκοῇ. » Ὅτι πολλὰ εἶχε τὰ πρὸς ἀσέλγειαν αὐτὸν ἐκκαλούμενα, δρασιν, ἀκοὴν, τὴν κατὰ τῶν πονηρῶν συναναστροφὴν, ἀλλ' οὐδὲ τοὺς ἐπιξενωθέντας αὐτῷ ἀγγέλους ἐν σχήματι ἀνθρώπων, τοῖς δι' ἀσέλγειαν αὐτοὺς ἐξαιτοῦσι παρέσχε, καίτοι μυρία ὑπὸ τούτων τῶν ἐξαιτούντων ἐπηρεασθείς. Τοῦτο γὰρ διὰτοῦ, « Καταπονούμενον, » ὑπέφηνε. Καὶ τούτοις ὥσπερ ἐπιφώνημα ἐπιφέρει· « Οἶδε Κύριος εὐσεβεῖς, » καὶ ἑξῆς. Οὐδὲν δὲ περὶ δικαίων προειπὼν, εἰ μὴ περὶ μόνον ἀσεβῶν καὶ τῆς τούτων τιμωρίας παρενέβαλε καὶ τὰ τῶν δικαίων παραδείγματα. Πρῶτον μὲν διὰ τὸ καὶ τὴν ἱστορίαν ἅμα μεμνῆσθαι καὶ τῆς τῶν ἀσεβῶν ἀπωλείας, καὶ τῆς τῶν δικαίων σωτηρίας· ἔπειτα δὲ καὶ ἐκ παραθέσεως τούτων, τῶν μὲν ἁμαρτησάντων ἐξαίρων τὸ κακὸν, τῶν δὲ κατορθωσάντων λαμπρύνων τὸ κατορθωθέν. Ἔτι δὲ καὶ τοὺς ἀκροατὰς πείθων, τῶν μὲν μισῆσαι διὰ τὰς τιμωρίας τὸ ἀσελγὲς, τῶν δὲ ἐπισπάσασθαι διὰ τὴν σωτηρίαν τὸ κατόρθωμα. Ὅθεν καὶ ἐν τῷ ἐπιφωνήματι ἀμφοτέρων μέμνηται καὶ τῶν ἀσεβῶν καὶ τῶν εὐσεβῶν, καὶ τῆς τιμωρίας καὶ τῆς σωτηρίας. Τί δὲ βουλόμενος ἐντεῦθεν δὲ, εἴρηται ἤδη· ὅτι τῶν μὲν βδελύξασθαι αὐτοὺς βουλόμενος τὴν κακίαν, τῶν δὲ ζηλῶσαι τὴν ἀρετήν. « Βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος. » Πολλὰ φησὶν, ἔχων τὰ πρὸς ἀσέλγειαν ἐκκαίοντα καὶ ἐκμαίνοντα καὶ παρακαλοῦντα, δρασιν, ἀκοὴν, τὴν μετὰ τῶν πονηρῶν συναναστροφὴν, οὐδενὶ τούτων ἐπίφορος πρὸς ζῆλον αὐτοῖς γέγονεν.

A dos esse falsos præceptores propter suas blasphemias, et propter lascivam vitam suam, subjungit et exempla. Deus enim angelis qui peccaverant non pepercit, neque prisco mundo, neque Sodomorum et Gomorræ civitates effugerunt interitum, sed in cineres redactæ subjacent ad impiorum castigationem. Rursum justitiam exercentes novit Deus honorare, quemadmodum Noe, quemadmodum Lot: et ob quam cujusque justitiam, enarrat: quod et Noe et Lot propter temperantiam ac pudicitiam servaverit ab exitio hominum qui tempore ipsorum vivebant. Noe enim non fuit abductus eorum impietate qui fuerunt ante diluvium. Lot quoque in nullo æmulatus est lascivias eorum qui habitabant Sodomis, sed veluti stimulatus quotidie aspectu B eorum qui impudice agebant, et ad eadem impudica provocatus, in nullo obsecutus est. Nam id sibi vult, « Oculis et auribus, » quod multa habuerit quæ ipsum ad impudicitiam provocarent, aspectum, auditum, conversationem inter pravos: sed neque exceptos ab ipso angelos hospitio in habitu hominum, eis qui propter impudicitiam illos expetebant, tradidit, quanquam modis innumeris vim ab ipsis passus. Hoc enim designavit dicens quod *opprimebatur*. Et his tanquam epiphonema subjungit: « Novit Dominus pios, » etc. **542** Cum autem de justis nihil prædixisset, sed de solis impiis eorumque supplicio, intermiscuit hoc loco etiam justorum exempla: primum quidem eo quod etiam historia simul mentionem faciat et exitii impiorum et C salutis justorum; deinde vero ex horum etiam comparatione malitiam auget eorum qui peccaverunt, et clarum reddit bonum opus eorum qui præclare se gesserunt. Præterea quoque auditoribus persuadet, ut illorum quidem oderint impudicitiam propter supplicia, horum vero præclarum opus sibi asciscant propter salutem. Unde etiam in epiphonemate utrorumque meminit et piorum et impiorum, et salutis et supplicii. Porro quid hinc sibi velit jam dictum est, nempe quod cupiat ut illorum quidem abominentur malitiam, horum autem æmulentur salutem.

« Is enim oculis et auribus justus. » Cum multa haberet quæ ad impudicitiam inflammarent et exstimularent ac invitarent, oculos, aures, conversationem inter malos, nullo, inquit, inductus est ad ipsorum æmulationem.

Οἶδε Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους D *τηρεῖν, μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ πορευομένους, καὶ κυριότητος καταφρονοῦντας. Τολμηταὶ, αὐθάδεις, δόξας οὐ τρέμουσι βλασφημοῦντες, ὅπου ἄγγελοι ἰσχύϊ καὶ δυνάμει μείζονες ὄντες, οὐ φέρουσι κατ' αὐτῶν παρὰ Κυρίῳ βλάσφημον κρίσιν. Οὗτοι δὲ ὡς ἄλογα ζῶα φυσικὰ γεγενημένα εἰς ἅλωσιν καὶ φθορὰν, ἐν οἷς ἀγνοοῦσι βλασφημοῦντες ἐν τῇ φθορᾷ αὐτῶν καταφθαρήσονται, κομιούμενοι μισθὸν ἀδικίας, ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφήν.*

II, 7-13. *Novit Dominus pios e tentatione eripere, injustos autem in diem judicii puniendos servare: maxime vero illos qui carnem sequentes in concupiscentia pollutionis ambulant ac dominationem contemnunt: audaces, præfracti, qui splendores non verentur convitiis incessere: cum angeli qui sunt potentia ac virtute majores, non ferant adversus ipsos apud Dominum maledicum judicium. At isti veluti bruta irrationalia natura genita in capturam et in corruptionem, in his quæ non intelligunt blasphemantes, in perditione sua peribunt, reportantes mercedem injustitiæ, pro voluptate ducentes si in diem deliciis fruantur.*

« Μάλιστα δὲ τοὺς ὀπίσω σαρκός. » Ἐντεῦθεν εὐφυῶς ἀπὸ τῶν ὑποδειγμάτων τῶν προειρημένων, εἰς τὴν παροῦσαν ἦλθεν ὑπόθεσιν. Λέγει δὲ περὶ τῶν καταράτων Νικολαϊτῶν, ἤτοι Γνωστικῶν, ἢ

« Maxime vero illos qui carnem sequentes. » Hinc scite admodum a prædictis exemplis venit ad præsens argumentum. Dicit autem de maledictis Nicolaitis sive Gnosticis aut Naasenis vel Cerdonia-

nis: varia enim nomina sortita est eorum iniquitas: et quemadmodum sceleratis factis, ita et nominibus confusa esse deprehenditur. Nam hi, sicut diximus, susceptа **543** profunditate ac silentio, prima subsistentiæ mundi opera et quasdam matres ac sæcula prodigiose narrantes, quemadmodum et Marcion qui prava sumpsit ab his semina: deinde per hæc repulsa dominatione institutionis ac inspectionis sive gubernationis mundi, ad omnem carnalem impudicitiam intrepide pervenerunt.

Quod si quispiam de his discere velit, sumpto in manus libro a beato viro Irenæo Gallo [15] composito quem *Adversus falso dictam sapientiam* inscripsit, inveniet horum immunditias, potissimum propter Marcum virum obscenissimum, et eos qui ab ipso seducti fuerunt, ac corruptas miseras mulieres. « Audaces, præfracti. » Subaudiendum est: Qui sunt. Rejecto igitur mundi inspectore sive gubernatore ac creatore, nihil mirum est quod hujusmodi audaces sint ac præfracti, hoc est, insequentes sibi placentia. Sed et convitiatores dicit. Nam qui ex contemptu dominationem non timent, quid mirum si etiam adversus omnem splendorem intrepide persistant? Apertius autem de his dicit beatus Judas apostolus, ubi et de Mosi corpore facit mentionem [16]. Nam hic nunc obiter tantum insinuavit tangens solum ac sedans de hac re sermonem. Ex illo igitur occasione sumpta etiam de his quæ proponuntur, dicimus quod, « Splendores non verentur, » hoc est: Contemptim omnem gloria præcellentem maledictis incessunt. Et compescere volens ipsorum circa talia audaciam, ait: « Cum angeli qui sunt potentia ac virtute majores, non ferant adversus ipsos apud Dominum maledictum judicium, » idem dicens cum beato Juda, ut diximus; quandoquidem et ille quorumdam linguæ petulantiam ac nugas coercens, ab eodem exemplo facit admonitionem, idque latius cum ita dicit: « Michael archangelus, » etc., « non ausus est maledicum judicium impingere. » Tale igitur est quod etiam Petrus vult nunc dicere, quod hi cacodæmones nihil parcant maledicta ingerendo in splendores. Atqui ne illi quidem qui potentia ac virtute majores sunt, videlicet istis impuris, non ferunt sive proferunt adversus ipsos, puta splendores, maledicum judicium apud Dominum. Et hujus testis Michael archangelus. **544** Siquidem enim et diabolus aliquam participat gloriam, eo quod initium sit creationis Domini, non protulit adversum ipsum calumniæ sermonem. Est etiam ab his efficacior argumentatio hoc modo: Si enim diabolus qui dignior est in quem jactantur convitia, tamen quia splendorem participat, non est hoc consecutus a Michaele coram Domino, nequaquam prudentes essent qui temere omnem splendorem sive splendore præditos convitiis incesserent, cum angelis multo posteriores sint in honore; δόξας autem dicit, sive divinas virtutes sive

Ναασηνῶν, ἢ Κερδονιανῶν. Πολυώνυμος γὰρ αὐτῶν ἡ κακία, καὶ ὡς τοῖς μιαροῖς ἔργοις, οὕτω καὶ τοῖς ὀνόμασι συγκεχυμένη καταλαμβάνεται. Οὗτοι γάρ, ὡς φθάνομεν εἰπόντες, βυθὸν ὑποστησάμενοι καὶ σιγὴν τὰ πρωτουργὰ τῆς τοῦ κόσμου ὑποστάσεως, καί τινας ἀπὸ τούτων μητέρας καὶ αἰῶνας τερατολογήσαντες, ὡς καὶ Μαρκίων ἀπὸ τούτων λαβὼν πονηρὰ σπέρματα, εἶτα κυριότητας διὰ τούτων τῆς τοῦ κόσμου δημιουργίας παρωσάμενοι καὶ ἐποψίας, ἐπὶ πᾶσαν ἐχώρησαν ἀδεῶς σαρκικὴν ἀκαθαρσίαν.

Καὶ εἴ τις περὶ τούτων ἐθέλοι μαθεῖν, τὴν Εἰρηναίῳ τῷ Κελτῷ μακαρίῳ ἀνθρώπῳ περὶ αὐτῶν ἐκπεπονημένην βίβλον μετὰ χεῖρας λαβών, ἣν ἐπέγραψε *Κατὰ τῆς ψευδωνύμου γνώσεως*, εὑρήσει τὰς τούτων ἀκαθαρσίας, διὰ Μάρκου μάλιστα τοῦ ἀσελγεστάτου καὶ τῶν ὑπ' αὐτοῦ ἠπατημένων καὶ διεφθαρμένων ἐλεεινῶν γυναικῶν. « Τολμηταὶ, αὐθάδεις. » Προσυπακουστέον τὸ, Οἵ εἰσι. Παρωσαμένους τοίνυν τὸν τοῦ κόσμου ἐπόπτην καὶ ποιητήν, οὐδὲν ἀπεικὸς καὶ τολμητὰς τοὺς τοιούτους καὶ αὐθάδεις, τουτέστι, τὸ ἑαυτοῖς ἀρέσκον μεταδιώκοντας γενέσθαι. Ἀλλὰ καὶ βλασφήμους φησίν. Οἱ γὰρ ἐκ καταφρονήσεως οὐ δεδοικότες τὴν κυριότητα, τί ἂν πρᾶγμα, εἰ καὶ πρὸς πᾶσαν δόξαν ἀδεῶς διεγίνοντο; Τρανότερον δὲ περὶ τούτων ὁ μακάριος ἀπόστολος Ἰούδας ἐρεῖ, ὅπου καὶ περὶ τοῦ Μωϋσέως μνημονεύσει σώματος· οὗτος γὰρ νῦν μόνον ὑπέκρουσεν, ἁψάμενος· ὁμοῦ καὶ καταπαύσας τὸν περὶ τούτου λόγον. Ἐξ ἐκείνου τοίνυν καὶ περὶ τῶν προκειμένων λαβόντες τὰς ἀφορμὰς, λέγομεν, ὅτι τὸ, « Δόξας οὐ τρέμουσιν, » ἀντὶ τοῦ, Καταφρονητικῶς ἔχουσι πᾶσαν δόξαν βλασφημεῖν. Καὶ βουλόμενος ἐπισχεῖν τὴν περὶ τὰ τοιαῦτα αὐτῶν τόλμαν, φησίν. « Ὅπου ἄγγελοι ἰσχύϊ καὶ δυνάμει μείζονες ὄντες οὐ φέρουσι κατ' αὐτῶν παρὰ Κυρίῳ βλάσφημον κρίσιν, » ταὐτὸν τῷ μακαρίῳ Ἰούδᾳ, ὡς ἔφημεν, λέγων, ἐπεὶ κἀκεῖνος τὴν τινων γλωσσαλγίαν κολάζων, ἀπὸ τοῦ αὐτοῦ παραδείγματος ποιεῖται τὴν νουθεσίαν, πλατύτερον μέντοι, δι' ὧν οὕτω λέγει· « Ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, » καὶ ἑξῆς, « οὐκ ἐτόλμησε κρίσιν ἐξενεγκεῖν βλασφημίας. » Τοιοῦτον οὖν καὶ Πέτρος λέγειν βούλεται νῦν, ὅτι οὗτοι οἱ κακοδαίμονες οὐδεμίαν ἔχωσι φειδὼ περὶ τὸ τὰς δόξας βλασφημεῖν, καί τοιγε οὐδὲ οἱ δυνάμει καὶ ἰσχύϊ μείζονες ὄντες, δηλονότι τῶν μιαρῶν τούτων, οὐ φέρουσιν, ἤτοι οὐ προκομίζουσι κατ' αὐτῶν οἱονεὶ τῶν δοξῶν βλάσφημον κρίσιν παρὰ Κυρίῳ. Καὶ τούτου μάρτυς Μιχαὴλ ὁ ἀρχάγγελος. Ἐπεὶ γὰρ δόξης τινὸς μετέχει καὶ ὁ διάβολος διὰ τὸ ἀρχὴν εἶναι πλάσματος Κυρίου, οὐκ ἤνεγκε κατ' αὐτοῦ βλάσφημον λόγον. Καὶ ἔστιν ἀπὸ τούτων μᾶλλον ἡ ἐπιχείρησις οὕτως· Εἰ γὰρ ὁ μᾶλλον ἄξιος βλασφημεῖσθαι διάβολος, ὅμως διὰ τὸ δόξης μετέχειν οὐκ ἔτυχε τούτου παρὰ τοῦ Μιχαὴλ ἐνώπιον Κυρίου, οὐκ ἂν σώφρονες εἶεν οἱ προχείρως πᾶσαν δόξαν βλασφημοῦντες, τῆς τῶν ἀγγέλων τιμιότητος κατόπιν φερόμενοι. Δόξας δὲ, ἤτοι τὰς θείας φησὶ δυνάμεις, ἢ καὶ τὰς ἐκκλησιαστικὰς ἀρχὰς, ὧν ἀπεναντίας οἱ χοιρωδέστατοι οὗτοι φερόμε-

[15] Lib. I, cap. 1, 8, 9. [16] Judæ 9.

νοι καὶ βλασφημοῦντες αὐτὰς διετέλουν. Καὶ οἱ μὲν ἄγγελοι οὕτως. « Αὐτοὶ δὲ ὡς ἄλογα φυσικὰ, » τουτέστι, κατ' αἴσθησιν μόνον ζῶντα, οὐ κατὰ νοῦν καὶ τὴν νοερὰν ζωὴν, δι' ὃ καὶ εὐάλωτοι τοῖς φθαρτοῖς, τουτέστι τῇ κατὰ τὴν φθειρομένην ζωὴν περιαγωγῇ, θυμοῖς καὶ ἐπιθυμίᾳ ἀγόμενοι καὶ φερόμενοι ἐν οἷς ἀγνοοῦσιν, ἤτοι τῇ καθ' ἑκούσιον αὐτῶν ἀγνοίᾳ βλασφημοῦντες, τῇ ἐπαξίᾳ ἑαυτῶν φθορᾷ καταφθαρήσονται, κομιούμενοι μισθὸν ἀδικίας, ὃν ἐθέλοντι ἑαυτοῖς προεξένησαν. « Ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφήν. » Τὸ ὄντως, φησὶν, ἐφετὸν, τὴν ἀληθῆ καὶ ἐπέραστον εὐφροσύνην καὶ ἡδονὴν ἐν τῇ καθ' ἡμέραν τιθέμενοι τοῦ λαιμοῦ ἀπολαύσει. Ἰστέον μέντοι ὡς ἡ θεία Γραφὴ τὰ φυσικῶς ἐνόντα τοῖς ἀνθρώποις, τουτέστι, τὰ ὡς ζώοις αὐτοῖς ἐνυπάρχοντα, ἐπειδὰν διαβάλλῃ, πρὸς τὰ ἄλογα αὐτὰ ἀφομοιοῖ, « Ἄνθρωπος, φάσκουσα, ἐν τιμῇ ὢν οὐ συνῆκε · παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις · » καὶ, « Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος · » καὶ· « Ἵπποι θηλυμανεῖς ἐγένοντο · » καὶ, « Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραὶ, » οὐ μεταποιοῦσα τὰς φύσεις φάσκουσα ταῦτα, (τοῦτο γὰρ ἀδύνατον,) ἀλλὰ τούτων τὰς φυσικὰς ὁρμὰς, τὰς μὲν ἐκκλίνειν παρακαλοῦσα, τῶν δὲ ἐπαινετῶς ἔχεσθαι. Ὅταν δὲ σωτήριόν τι παραγγέλῃ, πρὸς τὰ κρείττω τὴν ὁμοιότητα παραπέμπει, ὡς ὅταν λέγῃ, « Γίνεσθε οἰκτίρμονες, ὡς καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος, » οὐδὲ ἐνταῦθα τὴν φύσιν μεταποιοῦσα, ἀλλ' ὅσον ἡ ἰσχὺς ὑποβάλλεται τοῦτο ποιεῖν παρακελευομένη.

A etiam ecclesiasticos principatus, quos contra obscenissimi isti etiam maledictis incessere non cessant. Et angeli quidem hoc modo. « At isti veluti bruta irrationalia, » hoc est soló sensu viventia, non item mente et vita intellectuali : propter quod etiam facile capiuntur corruptibilibus, id est circumactione in vita corrupta : animi exeandescentia et concupiscentia acti et tracti, in his quæ ignorant sive in spontanea sua ignorantia ingerentes maledicta, digna sibi perditione peribunt, referentes mercedem injustitiæ quam cupiebant, id est, id quod sibi conciliarunt. « Pro voluptate ducentes si in diem deliciis fruantur. » Id revera concupiscunt, veram ac desiderabilem lætitiam ac voluptatem ponentes in quotidiana gutturis fruitione. Sciendum itaque quod B sacra Scriptura quando aliquid reprehendit, ea quæ naturaliter contingunt hominibus, hoc est quæ ipsis tanquam animalibus accidunt, brutis ipsis assimilat, dicens : « Homo, cum in honore esset, non intellexit, comparatus est jumentis insensatis [17] ; » et : « Ne sitis tanquam equus et mulus [18] ; » et : « Equi insanientes in femellas facti sunt [19] ; » et : « Estote prudentes sicut serpentes, et simplices sicut columbæ [20] ; » non quod hæc dicens immutet naturas, nam id impossibile est, sed invitat ut has quidem naturales ipsorum inclinationes devitent, illas vero naturaliter amplectentur. Quando vero salutare aliquid præcipit, similitudinem ad meliora transmittit : sicut cum dicit : « Estote misericordes sicut et Pater vester cœlestis [21], » ne hic quidem naturam transmutans, sed quantum virtus suggerit hoc facere præcipiens.

Σπῖλοι καὶ μῶμοι, ἐντρυφῶντες ἐν ταῖς ἀπάταις αὐτῶν, συνευωχούμενοι ὑμῖν. Ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος καὶ ἀκατα- C *παύστους ἁμαρτίας. Δελεάζοντες ψυχὰς ἀστηρίκτους, καρδίαν γεγυμνασμένην πλεονεξίας ἔχοντες. Κατάρας τέκνα. Καταλιπόντες τὴν εὐθεῖαν ὁδὸν ἐπλανήθησαν, ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσὸρ, ὃς μισθὸν ἀδικίας ἠγάπησεν. Ἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας. Ὑποζύγιον ἄφωνον ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον ἐκώλυσε τὴν τοῦ προφήτου παραφροσύνην.*

II, 13-16. *Labes ac maculæ convivantes in erroribus suis insultant vobis, oculos* 545 *habentes plenos adulteræ, et qui a peccato cessare nesciant, inescantes animas instabiles, cor habentes exercitatum rapinis, exsecrabiles filii, qui relicta recta via aberrarunt, secuti viam Balaam filii Bosor, qui mercedem iniquitatis dilexit, sed redargutus fuit de sua iniquitate [22] : animal subjugale mutum humana voce loquens prohibuit prophetæ insipientiam.*

« Σπῖλοι καὶ μῶμοι. » Τὸ ἑξῆς οὕτω· Σπῖλοι καὶ μῶμοι καρδίαν γεγυμνασμένην πλεονεξίαις ἔχοντες, τουτέστι, διὰ πλεονεξίας γεγυμνασμένην· κατάρας τέκνα· συνευωχούμενοι ὑμῖν· ὀφθαλμοὺς ἔχοντες πλήρεις μοιχαλίδος καὶ ἀκαταπαύστους ἁμαρτίας· D δελεάζουσι ψυχὰς ἀστηρίκτους, ἃς καὶ Παῦλος ἔλεγε γυναικάρια σεσωρευμένα ἁμαρτίαις. Οἱ δ' αὐτοὶ οὗτοι καταλιπόντες εὐθεῖαν ὁδὸν ἐπλανήθησαν τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσὸρ, καὶ ἑξῆς. Οἱ δ' αὐτοί εἰσι πηγαὶ ἄνυδροι, νεφέλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι, καὶ ἑξῆς. Καὶ τίνος χάριν ὁ ζόφος αὐτοῖς ἀπόκειται εἰς τὸν μέλλοντα αἰῶνα ; Διὰ τὴν ὑπέρογκον αὐτῶν ματαιότητα, δι' ἧς δελεάζουσι τοὺς πρὶν ἐν πλάνῃ ἀναστραφέντας, καὶ ὄντως ταύτην ἀποφυγόντας, ἐν ἀσελγείαις καὶ ἐπιθυμίαις σαρκὸς ὡς κύνα ἐπὶ τὸ

« Labes ac maculæ. » Ordo ita sumitur : Labes ac maculæ cor habentes exercitatum rapinis, hoc est, per rapinas exercitatum, exsecrabiles filii, insultantes vobis, oculos habentes plenos adulteræ, et qui a peccato cessare nesciant : inescant animas instabiles, quas et Paulus dixit mulierculas oneratas peccatis. Porro hi ipsi relicta recta via, aberrarunt per viam Balaam filii Bosor, et cætera. Isti autem sunt fontes aqua carentes, nebulæ quæ a procella feruntur, etc. Et quam ob causam caligo ipsis reposita est in futuro sæculo ? propter immensam eorum vanitatem, per quam inescant eos qui prius in errore conversati fuerant, et hunc vere aufugerant : ut per impudicitias et concupiscentias carnis, in modum canis ad suum vomitum conver-

[17] Psal. XLVIII, 37. [18] Psal. XXXI, 9. [19] Jerem. V, 8. [20] Matth. X, 16. [21] Luc. VI, 26. [22] Num. XXII, 6 seqq.

tantur. Quæ autem in medio ponuntur, horum vanitatem enuntiant ac confirmant. « Labes ac maculæ. » Nihil habentes, inquit, quod in puritate fixum sit, sed tanquam labes in vestimento mundo, diuturna conversatione inhærentes et omnia commaculantes: cum aliquos avocaverint, et potuerint impudicos efficere eos, qui una versantur, viros ac mulieres, id factum delicias arbitrantur, suam explentes lasciviam: sed et convivantes, inquit, una vobiscum, non ex dilectione, aut quod sale (ut aiunt) participent, hoc faciunt: sed ut tempus hoc aptum inveniant deceptioni apud mulieres. Hi enim cum oculos habeant, nihil aliud intuentur quam adulteras, et in hoc incessanter peccantes, tanquam filii exsecrationis sive exsecrabiles, animas instabiles inescant. Cor namque ipsorum ad nihil aliud quam ad cupiditatem exercitatum est, sive impudicitiæ, sive etiam possessionum, propter quæ ambo derelinquentes viam quæ eos ad salutem dirigeret, **546** ab hac aberraverunt: idemque illis contigit quod Balaam filio Bosor, quoniam et ille ob munerum largitionem dilexit mercedem iniquitatis: sed redargutionem habuit de sua iniquitate, nempe animal subjugale mutum, quod humana voce loquens prohibuit prophetæ insipientiam. Et hinc ergo discimus quod Balaam propter suæ cupiditatis affectum, quem insana sua vaticinatione alebat, semel a Deo prohibitus, rursum ad Balac pertinaciter proficisci properabat: sed Dei pavore præpeditus, ac terroribus qui in via contigerunt, verbum benedictionis non immutavit, quod divinationis non erat (diximus enim divinationem proferri furente animo, et quæ dicantur ignorante), sed prophetiæ. Siquidem prophetæ loquuntur scientes quæ loquantur. Unde et prophetam ipsum vocavit, tanquam scientem quæ diceret. Nequaquam enim meliora elegit ignorans quæ diceret: non ergo divinationis fuit benedictio, sed virtutis Dei.

II, 17 22. *Isti sunt fontes aqua carentes, nebulæ quæ a procella feruntur, quibus caligo tenebrarum in sæculum servata est. Siquidem ubi fastuosa vanitatis verba sonuerint, inescant per concupiscentias carnis in lasciviis, eos qui vere aufugerant, qui in errore conversabantur, dum illis libertatem pollicentur, cum ipsi servi sint corruptionis. Siquidem a quo quis superatus est, huic etiam in servitutem est addictus. Nam si posteaquam refugerant ab inquinamentis mundi per cognitionem Domini et Salvatoris Jesu Christi, his tamen rursum involuti superantur, facta sunt illis postrema pejora primis. Satius enim fuisset illis non cognovisse viam justitiæ, quam ubi cognoverunt, converti ab eo, quod illis traditum fuit, sancto præcepto. Sed accidit illis quod vero proverbio dici solet: Canis reversus ad suum ipsius vomitum, et sus lota ad volutabrum cœni.*

Interim dum multa dixisset inter quæ etiam exemplum Balaam adduxit, rursum sermonem de impuris Gnosticis resumpsit, **547** et comparat ipsos

ἴδιον ἐξέραμα ἐπιστρέψαι. Τὰ δὲ μεταξὺ τῆς ματαιότητος τούτων ἐξαγγελτικὰ καὶ πιστωτικά. « Σπίλοι καὶ μῶμοι. » Οὐδὲν, φησὶν, ἔχοντες καθαρότητος ἐχόμενον, ἀλλ' ὡς σπίλοι ἐν ἱματίῳ καθαρῷ τῇ ἀκραιφνεῖ πολιτείᾳ ἐπιφυόμενοι καὶ πάντα μωμώμενοι, ἐπειδὰν ἀποστήσωσί τινας, καὶ δυνηθῶσιν ἀσελγεῖς τοὺς συνόντας ἄνδρας καὶ γυναῖκας παρασκευάσαι, φρυφὴν ἡγοῦνται τὸ πρᾶγμα, ἀποπληροῦντες τὴν ἑαυτῶν ἀσέλγειαν, ἀλλὰ καὶ συνευωχούμενοί φησιν, ὑμῖν, οὐ δι' ἀγάπην καὶ τὸ μεταλαμβάνειν ἁλῶν τοῦτο ποιοῦσιν, ἀλλὰ διὰ τὸ καιρὸν εὑρίσκειν τοῦτον ἐπιτήδειον τῆς πρὸς γυναῖκας ἀπάτης. Οὗτοι γὰρ ὀφθαλμοὺς ἔχοντες, οὐδὲν ἄλλο βλέπουσιν ἢ μοιχαλίδας. Καὶ ἐν τούτῳ ἀκαταπαύστως ἁμαρτάνοντες ὡς κατάρας τέκνα, ψυχὰς δελεάζουσιν ἀστηρίκτους. Ἡ γὰρ καρδία αὐτῶν πρὸς οὐδὲν ἄλλο ἢ πρὸς πλεονεξίαν ἐξήσκηται ἤτοι ἀσελγείας, ἢ καὶ κτημάτων δι' ἅπερ ἀμφότερα καταλιπόντες τὴν κατευθύνουσαν αὐτοὺς εἰς σωτηρίαν ὁδὸν, ἐπλανήθησαν ταύτης, ταὐτὸν παθόντες τῷ Βαλαὰμ τοῦ Βοσόρ. Ἐπεὶ κἀκεῖνος διὰ δωροδοκίαν μισθὸν ἀδικίας ἠγάπησεν, ἔλεγξιν δὲ τῆς ἰδίας παρανομίας ἔσχεν, ὑποζύγιον ἄφωνον, ὃ ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον, ἐκώλυσε τὴν τοῦ προφήτου παραφρονίαν. Κἀντεῦθεν τοίνυν μανθάνομεν ὅτι διὰ τὸ φιλάργυρον αὐτοῦ πάθος ὁ Βαλαὰμ, ὅπερ διὰ τῆς μανιώδους αὐτοῦ μαντείας ἔτρεφεν, ἅπαξ κωλυθεὶς ὑπὸ τοῦ Θεοῦ, τὸ δεύτερον φιλονείκως πορευθῆναι πρὸς τὸν Βαλὰκ κατηπείγετο, καὶ τῷ φόβῳ τοῦ Θεοῦ πτοηθεὶς, καὶ τοῖς κατὰ τὴν ὁδὸν δείμασι, τὸ ῥῆμα τῆς εὐλογίας οὐ παρεποίησεν, ὅπερ οὐ τῆς μαντείας ἦν, (εἴπομεν γὰρ τὴν μαντείαν ἐκμαινομένης προφέρεσθαι ψυχῆς καὶ ἀγνοούσης τὰ λεγόμενα,) ἀλλὰ τῆς προφητείας. Οἱ γὰρ προφῆται ἐπιστάμενοι φθέγγονται ἃ φθέγγονται. Ὅθεν καὶ προφήτην αὐτὸν ἐκάλεσεν, ὡς καὶ ἐπιστάμενον ἃ λέγει. Οὐ γὰρ ἂν ἐν ἐκλογῇ γέγονε τῶν κρειττόνων, ἀγνοῶν ἃ φθέγγεται. Οὐ τῆς μαντείας τοίνυν ἡ εὐλογία, ἀλλὰ τῆς δυνάμεως τοῦ Θεοῦ.

Οὗτοί εἰσι πηγαὶ ἄνυδροι, νεφέλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται. Ὑπέρογκα γὰρ ματαιότητος φθεγξάμενοι, δελεάζουσιν ἐν ἐπιθυμίαις σαρκὸς, ἐν ἀσελγείαις τοὺς ὄντως ἀποφυγόντας, τοὺς ἐν πλάνῃ ἀναστρεφομένους, ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς. ὯΙ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. Εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου ἐν ἐπιγνώσει τοῦ Κυρίου καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ, τούτοις δὲ πάλιν ἐμπλακέντες ἡττῶνται, γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων. Κρεῖττον γὰρ ἦν αὐτοῖς, μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνοῦσιν, ἐπιστρέψαι ἐκ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. Συμβέβηκε δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας· Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα, καὶ ὗς λουσαμένη εἰς κύλισμα βορβόρου.

Μεταξυλογήσας πολλὰ, ἐν οἷς τὸ τοῦ Βαλαὰμ προήγαγεν ὑπόδειγμα, ἐπανέλαβε πάλιν τὸν περὶ τῶν ἀκαθάτων γνωστικῶν λόγον. Καὶ ἀπεικάζ

πηγαῖς ἀνύδροις, ὡς ἀπολωλεκόταις τὸ τῆς ζωῆς ὕδωρ, τουτέστι, τὸ τοῦ κηρύγματος καθαρὸν καὶ πότιμον ὕδωρ, ὃ ἔχων ὁ Κύριος, πολλοὺς αὐτοῦ κορέσαι τῶν προσιόντων ἐπηγγέλλετο. Ἀλλὰ καὶ νεφέλαις αὐτοὺς παραβάλλει ὑπὸ πνεύματος ἐλαυνομέναις, τοῦ ἐναντίου δηλονότι. Διὸ καὶ λαῖλαπα αὐτὸ ἐκάλεσεν, ὡς συστρέφον καὶ συνταράττον τὸ ἐλαυνόμενον. Τοῦτο γὰρ εἰωθεν ἡ λαῖλαψ ποιεῖν. Οὐκ εἰσιν οὖν, φησὶ, νεφέλαι διαυγεῖς, ὥσπερ οἱ ἅγιοι, ἀλλ' ὁμίχλαι ζόφου μεσταί· οἷς ὁ ζόφος εἰς αἰῶνα, (λέγει δὲ τὴν μέλλουσαν κρίσιν,) τετήρηται. Καὶ διὰ τί; Ἐπήγαγε τὴν αἰτίαν, ὅτι καὶ ὑπέρογκα ἐκ ματαιότητος φθεγγόμενοι, δελεάζουσι διὰ τῆς σαρκικῆς ἐπιθυμίας ἐν ταῖς ἀσελγείαις τοὺς ἀληθῶς ἀποφυγόντας, καὶ καθάπαξ τοὺς πρὶν ἐν πλάνῃ ἀναστρεφομένους. Ὥστε ἀσελγείαις καὶ ἀλαζονείαις καὶ ἀσεβείαις εἰσὶν ἔνοχοι οἱ ταῦτα καταπραττόμενοι. Ἀλλὰ καὶ δοῦλοι, φησὶν, ὄντες αὐτοὶ τῆς προειρημένης ἀκαθαρσίας, ἣν καὶ φθορὰν δικαίως καλεῖ, ἐλευθερίαν τοῖς ἀπατωμένοις ἐπαγγέλλονται, τῆς ἀληθοῦς μὲν οὔ, τῆς δὲ κατὰ τὸν ἄνετον τοῦ βίου ζωῆς. Διὸ καὶ λογισμὸν ἐπάγει, τοῦ ὅτι δοῦλοί εἰσι τῆς ἁμαρτίας, θαυμάσιόν τι φάσκων, ὅτι ᾧτινί τις πάθει νενίκηται, τούτῳ καὶ δεδούλωται. Εἶτα τοῦτο πάλιν δι' ἑτέρας ἀποδείξεως συνιστᾷ, πῶς ὁ τινος ἡττώμενος, τούτῳ καὶ δουλεύει. Καὶ ἐξ ὑπερθέσεως ποιεῖται τὴν ἐπιχείρησιν. « Εἰ γὰρ ἀποφυγόντες. » Δύο κατασκευάζει διὰ τοῦ παρόντος λόγου, ὅτι καὶ τῷ ἡττῶντι ἀνάγκη τὸν ἡττώμενον δουλεύειν, καὶ ὅτι οἱ μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, πάλιν ἐνεχόμενοι τοῖς προτέροις, χείροσι τῶν προτέρων περιέπεσον κακῶν. Τούτοις δὲ καὶ τὴν παροιμίαν ἐπάγει συνήγορον. Ἔστιν οὖν ὅλος ὁ λόγος οὗτος· Εἰ γὰρ ἐπιγνώσει τοῦ Κυρίου καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου, τούτοις πάλιν ἐμπλακέντες ἡττῶνται αὐτῶν, πάντως που καὶ δουλεύουσιν αὐτοῖς, καὶ χεῖρον τῶν πρὸ τῆς ἐπιγνώσεως περὶ τὴν δουλείαν τούτων γεγόνασι, κατασπουδάζοντος αὐτοὺς τοῦ ἐπιβούλου ἡμῶν Σατανᾶ χείροσι περιενεχθῆναι, εἰς ἀπολογίαν ἧς ὅση θὴ τῶν πονηρῶν ἔργων ἀργίας. Διὸ καὶ ὁ Ἀπόστολός φησιν, ὅτι ἐπειδὴ τοῦτο ἀπόκειται τοῖς παλινῳδίαν τῶν κακῶν ᾄδουσι, κρεῖττον ἦν αὐτοῖς μηδὲ ἐπιγνῶναι, ἢ ἐπιγνόντας χείροσιν ἁλῶναι. Ἐπεὶ καὶ κύων ἐπὶ τὸ ἴδιον ἐξέραμα ἐπιστρέφων, βδελυκτότερος. Ἃ γὰρ ἡ φύσις μισήσασα, ἀποβλῦσαι αὐτὸν κατηνάγκασε, ταῦτα πάλιν ποιούμενος τροφὴν, καὶ ὡς διεφθορότα ἐσθίων, καὶ ὡς τὰ τῇ φύσει ἐξημβλωμένα, βδελυκτότερος, καὶ ὃς πάλιν ἀποκυλισθῆναι ζητοῦσα, εἰ βορβόρῳ τοῦτο ποιοῖη, ῥυπαρωτέρα τῶν προτέρων ῥύτων φανείη.

A fontibus aqua carentibus, ut qui aquam vitæ perdiderunt, hoc est, prædicationis puritatem aquamque potabilem : quam cum haberet Dominus, promittebat se multos accedentes illa satiaturum [23]. Sed et nubibus ipsos comparat quæ a spiritu feruntur, contrario videlicet : ideo quoque ipsum spiritum vocavit procellam, tanquam convertentem ac conturbantem id quod agitatur : hoc enim facere solet procella. Non sunt ergo nubes pellucidæ quemadmodum sancti, sed nebulæ plenæ caligine [24]. Quibus caligo in sæculum (dicit autem æternum judicium) servata est ; et quam ob rem ? causam subjunxit, quod fastuosa ex vanitate loquendo, inescant per carnalem concupiscentiam in lasciviis, eos qui vere effugerant, et qui semel antea in errore conversa- B bantur. Itaque impudicitiis et arrogantiis ac impietatibus obnoxii sunt qui hæc perpetrant. Sed et servi, inquit, cum sint prædictæ immunditiæ, quam etiam corruptionem merito appellat, libertatem his qui decipiuntur promittunt, non quidem veræ vitæ, sed ejus quæ est secundum indulgentiam. Ideo rationem quoque subjungit, cur servi sint peccati, admirabile quiddam dicens, quod a quacunque affectione quispiam devictus est, huic etiam in servitutem est addictus. Deinde rursum hoc alio exemplo confirmat, quo modo is qui ab aliquo superatus est, huic etiam serviat, et ex præsuppositione fac t argumentum. « Nam si posteaquam refugerant. » Præsenti sermone duo efficere nititur, et quod necesse sit eum qui superatur servire ei a quo superatur : et quod hi qui post agnitionem veritatis rursum priora amplectuntur, in pejora incidunt quam fuerint priora mala. His autem et proverbium subjungit in subsidium. Est ergo totus sermo hoc modo ordinandus : Nam si posteaquam per cognitionem Domini et Salvatoris Jesu Christi refugerant ab inquinamentis mundi, his rursum involuti superantur ab ipsis, utique etiam eis serviunt, et in horum servitute pejora sibi contingunt quam ante cognitionem, plurimum annitente insidiatore nostro Satana ut ad pejora devolvantur in repensionem diu turnæ cessationis a pravis operibus. Ideo quoque dicit Apostolus quod quandoquidem hoc illis contingit ut malorum canant palinodiam, **548** melius sibi fuisset ne cognovisse quidem veritatem, quam ubi cognoverant pejoribus capi. Quandoquidem et canis ad suum ipsius vomitum conversus abominabilior est. Nam quæ natura oderat, et ita eum abjicere coegerat, hæc rursum in deliciis habens, et tanquam ea quæ corrumpunt edens, ac veluti per naturæ abortum ejecta, abominabilior est. Et sus rursum quærens revolvi, si hoc in luto faciat, sordidior apparebit quam fuerint priores sordes.

C

D

ΚΕΦΑΛ. Δ'.

Ἐπανάληψις περὶ κακίας ἀνθρώπων αἱρετικῶν. Ἐν ᾧ περὶ τοῦ πῶς αἰφνιδίως ἥξει Χριστὸς ἐπὶ συντελείᾳ τοῦδε τοῦ αἰῶνος. Ὥστε δεῖν εὐτρεπίζεσθαι πάσῃ ἀρετῇ.

Ταύτην ἤδη, ἀγαπητοί, δευτέραν ὑμῖν γράφω

CAPUT IV.

Repetitio de malitia hominum hæreticorum : in quo etiam agitur quo pacto repente venturus sit Christus in consummatione hujus sæculi : itaque dicit oportere omni virtute adornari.

III. 1-4. *Hanc jam alteras, charissimi, vobis scribo*

[23] Joan. I, 6 seqq. [24] Isa. LX, 2.

litteras, in quibus exstimulo vestram in commonitione sinceram mentem : ut memores scitis verborum quæ prædicta sunt a sanctis prophetis, et præcepti nostri qui sumus apostoli Domini et Salvatoris Jesu : illud primum scientes venturos in extremis diebus illusores qui juxta proprias concupiscentias ambulent et dicant : Ubi est pollicitatio adventus ejus? siquidem ex quo die patres obdormierunt, omnia sic permanent ab initio creationis.

Ex his duas esse discimus universas Petri epistolas. Porro quod ait, « In quibus exstimulo vestram in commonitione sinceram mentem, » per hyperbaton intelligendum est hoc modo : In quibus epistolis, id est per quas epistolas, exstimulo sinceram quæ in vobis est mentem. Sinceræ enim ac puræ mentis est eorum quæ audita sunt aut salutarium quæ deposita sunt meminisse et exstimulari **549** omni virtute animique promptitudine, ad repetendam horum operationem. Deposita sunt autem per propheticos sermones et apostolicas prædicationes.

Propter quod et Paulus dicit : « Superstructi super fundamentum apostolorum et prophetarum [35] : » Omnes enim illi Domini adventum annuntiaverunt, et primum et secundum, nec oportet diffidere tantis ac talibus testibus. Et quid dico, inquit, prophetas et apostolos, quod annuntiaverint et primum et secundum Domini adventum? Et est hoc modo sumenda ordinatio : Memores sitis verborum quæ prædicta sunt a sanctis prophetis et a præcepto nostro qui sumus apostoli, et a præcepto Domini et Salvatoris. Ex communi enim sumitur præpositio ὑπὸ id est *a*. Et quare hanc memoriam excitari jubeat subjungit : Quoniam hi qui affectionibus addicti vivunt juxta proprias concupiscentias, videntes quosdam Dei adventum formidantes, quem una cum aliis divinitus inspiratis ipse quoque Dominus prænuntiavit, et propterea suam inhonestam vitam parvipendentes : deinde etiam videntes quod sermones non statim sortirentur effectum, sed propter multorum salutem differrentur, fideles adoriuntur tanquam illusores, et dicunt : Ubi est promissio adventus ejus? Nam ob hunc unum, qui dispensatione quadam nondum completus est, cætera quoque salutaria Domini præcepta depravant, ne fides ipsis habeatur. Hæc autem illis temporibus nugabantur Gnostici aut Naaseni qui et ipsi Lampetiani et Euchitæ erant. Qui omnes, inquit, volentes nesciunt. Ultro enim oculos claudunt ad veritatem, sicut etiam antea diximus.

III, 5 9. *Nam illud volentes nesciunt quod cœli jam olim fuerint, et terra ex aqua et per aquam consistens Dei sermone : per quæ is qui tunc erat mundus, aqua inundatus periit. At qui nunc sunt cœli ac terra, ejusdem sermone repositi sunt, servati igni in diem*

[35] Ephes. II, 20.

A ἐπιστολὴν, ἐν αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν, μνησθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν, καὶ τῆς τῶν ἀποστόλων ἡμῶν ἐντολῆς τοῦ Κυρίου καὶ Σωτῆρος· Ἰησοῦ τοῦτο πρῶτον γινώσκοντες, ὅτι ἐλεύσονται ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐμπαῖκται κατὰ τὰς ἰδίας αὐτῶν ἐπιθυμίας πορευόμενοι, καὶ λέγοντες, Ποῦ ἐστιν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ; Ἀφ' ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν, πάντα οὕτως διαμένει ἀπ' ἀρχῆς κτίσεως.

Ἐκ τούτων μανθάνομεν δύο τὰς πάσας εἶναι τοῦ Πέτρου ἐπιστολάς. Τὸ δὲ, « Ἐν αἷς διεγείρω ὑμῖν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν, » ἐν ὑπερβατῷ ἀκουστέον οὕτως· Ἐν αἷς ἐπιστολαῖς, τουτέστι, δι' ὧν ἐπιστολῶν, ἐγείρω τὴν ἐν ὑμῖν εἰλικρινῆ B διάνοιαν. Εἰλικρινοῦς γὰρ διανοίας καὶ καθαρᾶς τῶν ἤδη ἀκουσθέντων ἢ ἀποτεθέντων σωτηρίων μνησθῆναι, καὶ διεγερθῆναι, πρὸς ἐπανάληψιν τῆς τούτων ἐργασίας πᾶσῃ δυνάμει καὶ προθυμίᾳ. Ἀπετέθη δὲ διὰ τῶν προφητικῶν λόγων, δι' ἀποστολικῶν κηρυγμάτων.

Διὸ καὶ Παῦλός φησιν· « Ἐποικοδομούμενοι ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν. » Πάντες γὰρ οὗτοι τὴν τοῦ Κυρίου παρουσίαν κατήγγειλαν, καὶ τὴν πρώτην καὶ τὴν δευτέραν, καὶ οὐκ ἔστιν ἀπιστεῖν τοσούτοις μάρτυσι καὶ τηλικούτοις. Καὶ τί, φησὶ, λέγω προφήτας καὶ ἀποστόλους, ὅτι κατήγγειλαν καὶ τὴν πρώτην καὶ τὴν δευτέραν αὐτοῦ C τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν παρουσίαν; Καὶ ἔστιν ἡ συνταξις οὕτως· Μνησθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν, ὑπὸ τῆς τῶν ἀποστόλων ἡμῶν ἐντολῆς, ὑπὸ τῆς ἐντολῆς τοῦ Κυρίου καὶ Σωτῆρος. Κατὰ καινοῦ γὰρ ἡ ὑπό. Καὶ διὰ τί τὴν μνήμην ἀναζωπυρῆσαι ταύτην παρακελεύεται, ἐπάγει. Ὅτι οἱ ἐμπαθῶς ζῶντες κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας, ὁρῶντές τινας δεδιότας τὴν τοῦ Κυρίου παρουσίαν, ἣν μετὰ ἄλλων θεοφόρων καὶ αὐτὸς ὁ Κύριος προκατήγγειλε, καὶ διὰ ταύτην ἀθετοῦντας τὴν ἄσεμνον αὐτῶν βιοτὴν, εἶτα μὴ κατὰ πόδας τῶν λόγων τὴν πεῖραν φθάνουσαν, ἀλλὰ παρελκομένην διὰ τὴν τῶν πολλῶν σωτηρίαν, ἐπιφύονται τοῖς πιστοῖς ἐπιτωθάζοντες ἅτε ἐμπαίκται καὶ λέγοντες· Ποῦ ἐστιν ἡ ἐπαγγελία τῆς παρουσίας D αὐτοῦ; Διὰ μιᾶς ταύτης τῆς μήπω ἀφιγμένης διά τινος οἰκονομίας, καὶ ταῖς ἄλλαις σωτηριώδεσι τοῦ Κυρίου ἐντολαῖς ἀπειθεῖν κακουργοῦντες. Ταῦτα δὲ οἱ κατ' ἐκείνους τοὺς καιροὺς Γνωστικοὶ ἢ Ναασηνοὶ, οἱ δ' αὐτοὶ καὶ Λαμπετιανοὶ καὶ Εὐχῖται ἐληρῴδουν. Οὓς ἅπαντας λανθάνει, φησὶν, ἐκόντας. Ἐθέλοντι γὰρ μύουσι πρὸς τὴν ἀλήθειαν, ὡς καὶ πρὸ τούτου εἰρήκαμεν.

Λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας, ὅτι οἱ οὐρανοὶ ἦσαν ἔκπαλαι. Καὶ γῆ ἐξ ὕδατος, καὶ δι' ὕδατος συνεστῶσα τῷ τοῦ Θεοῦ λόγῳ, δι' ὧν ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς ἀπώλετο. Οἱ δὲ νῦν οὐρανοὶ καὶ ἡ γῆ αὐτῷ λόγῳ τεθησαυρι-

σμένοι εἰσὶ πυρὶ τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν ἀσεβῶν ἀνθρώπων. Ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς, ἀγαπητοί, ὅτι μία ἡμέρα παρὰ Κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς ἡμέρα μία. Οὐ βραδύνει ὁ Κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδυτῆτα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ εἰς ἡμᾶς, μὴ βουλόμενός τινας ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι.

Καὶ τί τὸ λανθάνον αὐτούς; ὅτι ὥσπερ ἐν τῷ κατακλυσμῷ ἦσαν οὐρανοί, κατὰ τὴν Μωσέως κοσμογένειαν, ἐξ ὕδατος· (αὐτὸς γάρ φησι τὸν Θεὸν ἐντείλασθαι γενέσθαι στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, τουτέστι, στερεωτέραν τῶν ὑδάτων ὑπόστασιν), καὶ ἡ γῆ δὲ ὡσαύτως ἐκ τῶν ὑδάτων ἀνεφάνη τῷ τοῦ κτίστου προστάγματι, καὶ ὑποβρύχιος αὐτοῖς πρώην οὖσα. Καὶ ὡς ἐξ ὑδάτων συνεστώτων οὐρανοῦ καὶ γῆς, ὁ κατακλυσμὸς ἐπῆλθεν ἀπροσδοκήτως, ὡσαύτως καὶ νῦν διὰ πυρὸς ἀπόκειται τὴν φθορὰν τοῦ παντὸς γενέσθαι, μεθ' οὗ καὶ οἱ ἀσεβεῖς ἀπολοῦνται. Δύο γὰρ ὄντων τῶν συνεκτικωτάτων στοιχείων τοῦ παντὸς, ὕδατος καὶ πυρὸς, ἀφ' ὧν καὶ τὰ λοιπὰ δύο στοιχεῖα τὸ εἶναι λαμβάνουσι, ἀὴρ μὲν ἐξατμιζομένων τῶν ὑδάτων, γῆ δὲ συγκρινομένων τῶν αὐτῶν, τῆς ἐξατμίσεως ὡς ἐκ πυρὸς καὶ τῆς συγκρίσεως, οὐδενὸς τῶν νοῦν ἐχόντων ἀπιστοῦντος (ταύτην γὰρ δύναμιν ὑπὸ τοῦ ποιήσαντος Θεοῦ ἡ τοῦ πυρὸς ἔλαχε φύσις)· δύο τοίνυν ὄντων, καὶ πρότερον τῆς τῶν ἀσεβῶν φθορᾶς διὰ τοῦ ὕδατος γενομένης, ἀνάγκη πάλιν, φησὶν, τὴν τῶν ἀσεβούντων φθορὰν διὰ τοῦ πυρὸς γενέσθαι. Τὸ δὲ γενέσθαι τὴν τοῦδε τοῦ παντὸς φθορὰν, οὐ μόνον Χριστιανοῖς, ἀλλὰ καὶ τοῖς τῶν Ἑλλήνων σοφοῖς δοκεῖ· ὡς Ἡρακλείτῳ τῷ Ἐφεσίῳ, ὡς Ἐμπεδοκλεῖ τῷ Αἰτναίῳ. Ἀλλ' ἐρεῖ τις ὅτι, Καὶ τίς ὁ λόγος τοῦ ὑποστῆναι, εἰ δεῖ πάλιν πρὸς φθορὰν χωρῆσαι τὸν κόσμον; Καὶ ἐροῦμεν, ὡς οὐ παντελῶς πρὸς φθορὰν ὁ κόσμος χωρήσει, ἀλλὰ πρὸς ἀνακαινισμόν. Διό καὶ ὁ Προφήτης φησὶ, « Καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. » Ὥσπερ γὰρ ὑπὸ θεοῦ κατ' ἀρχὰς ὑποστᾶσα ἡ αἰσθητὴ κτίσις, καλὴ· καὶ ὡς οὐκ ἂν ἄλλως καλή. Διὰ δὲ τὴν τοῦ ἀνθρώπου παράβασιν καὶ αὐτὴ ἡ κτίσις τῇ ματαιότητι ὑπετάγη, τουτέστι, τῷ μὴ βέβαιον ἔχειν τὸ εἶναι, ἀλλ' ἐν ῥοῇ καὶ ἀπορροῇ εἶναι· εἶτα διὰ τοῦ κατακλυσμοῦ μικρὸν ἐπιστησάντων τῇ θεοσεβείᾳ τῶν ἀνθρώπων, καὶ οἷον δευτέρου ἀρχὴν συγκρίματος τοῦ κόσμου λαβόντος διὰ τοῦ Νῶε καὶ τῶν ἐν τῇ κιβωτῷ τοῖς ζώοις διαφυλαχθέντων εἰς τὸ πάλιν συστῆναι σπερμάτων, ὅμως οὐδὲ τότε τῆς τῶν ἀνθρώπων προτερηταίας φύσεως, ἀλλ' ἐπὶ χείροσι τῶν προτέρων ἀπορρευσάσης, ὧν χειρόνων οὐ νόμος ὁ διὰ Μωϋσέως ἀπέστρεψεν, οὐχ ἡ τοῦ Κυρίου παρουσία, εἰ μὴ ἐπὶ βραχέσι προσέθηκε τὰ τῆς σωτηρίας· (πόσος γὰρ ὁ τῶν σωζομένων ἐσμὸς πρὸς τὴν τῶν ἀπολλυμένων καθ' ἑκάστην γενεὰν πληθύν; Διό μοι δοκεῖ καὶ παρατείνεσθαι τὸν χρόνον τῆς συντελείας εἰς τὸ συντελεσθῆναι τὸ πλήρωμα τῶν σωθησομένων), ἐπεὶ οὖν πολύτροπος μὲν ἡ πρὸς τὴν σωτηρίαν κλῆσις, πολυ-

judicii et perditionis impiorum hominum. Unum autem hoc ne lateat vos, dilecti, quod unus dies apud Dominum perinde est ut mille anni, et mille anni ut dies unus. Non tardat Dominus qui promisit, **550** *quemadmodum nonnulli tarditatem existimant, sed longanimis est erga nos, dum non vult ullos perire, sed omnes ad pœnitentiam accedere.*

Et quid est quod nesciunt? quod quemadmodum in diluvio erant cœli ex aqua juxta mundi creationem a Mose narratam : (ipse enim Deum ait præcepisse ut fieret firmamentum in medio aquæ[26], hoc est firmior aquarum substantia) : ita et terra ex aquis apparuit jussu Conditoris, quæ etiam in illis primum demersa erat. Et quemadmodum cœlo ac terra ex aqua constitutis diluvium inopinato supervenit, ita et nunc statutum est ut per ignem fiat universi corruptio, cum quo impii quoque peribunt. Cum enim duo hæc elementa aqua et ignis condita sunt una cum universo, a quibus et alia duo elementa esse accipiunt : aer quidem evaporatis aquis, terra vero ipsis compactis : nempe veluti facta ex igne evaporatione et compactione, nullo qui mentem habeat reclamante (nam hanc virtutem a Deo conditore ignis natura sortita est), cum hæc duo, inquam, ita semper substiterint, et prius per aquam factum fuerit impiorum exitium, necesse est ut per ignem rursum fiat interitus eorum qui impie agunt. Porro quod hujus universi fiat corruptio, non solum Christianis, verumetiam Græcorum sapientibus videtur : quemadmodum Heraclito Ephesio et Empedocli Ætnæo. Sed dicet aliquis : Et quæ fuit ratio ut conderetur, si rursum oportebat ad nihilum redigi mundum? Et dicemus quod non penitus ad corruptionem tendet mundus, sed ad renovationem; propterea Propheta quoque dixit : « Et renovabis faciem terræ[27]. » Quemadmodum enim a Deo subsistens ab initio creatura bona erat, et non utcunque aut forte fortuna bona : hominis vero transgressione et ipsa creatura vanitati obnoxia facta est, hoc est non habens firmum esse, sed quod est in fluxu ac refluxu. Deinde in diluvio cum pauci homines perstitissent in divino cultu, mundus rursum veluti sumpsit compactionis initium per Noe et eos qui in arca una cum animalibus servati fuerant ad seminum constitutionem : attamen ne tunc quidem in prioribus perstitit humana natura, **551** sed ad pejora defluxit quam fuerant priora, a quibus nec lex a Mose data eos avertit, nec Domini præsentia, nisi quod ad paucos deflexerunt ea quæ salutaria erant. Quantus est enim cumulus eorum qui salvi fiunt si ad pereuntium multitudinem conferas qui quotidie generantur? propter quod mihi videtur consummationis tempus differri ut compleatur numerus salvandorum. Quoniam ergo variis modis facta est ad salutem vocatio, ac multiplex ab incredulitate perditio : propterea necessarius est ignis cataclysmus, interitus quidem, licet non omnino perfectus : non sane animarum, sed neque corpo-

[26] Gen. I, 6. [27] Psal. CIII, 32.

rum. Omnes enim nos manifestari oportet coram tribunali Christi [28], non animis corporibus nudatis, sed una cum corporibus, ipsisque incorruptibilibus. Quomodo enim nuda anima referret ea quæ per corpus peracta sunt? Si quidem non est justi judicis, cum duo in eodem peccaverunt, unum dimittere, totumque crimen in alterum transferre. Præterea quoque si igne rursum fundere solemus res quasdam corporeas, non ut absolutum interitum eis tribuamus, sed ut puritatem ac sinceritatem eis præstemus: nemo sit qui non credat Deum quoque qui per ignem promisit consummationem, aut non facturum corruptionem, aut facturum quidem sic, ut unius corruptione faciat aliud. Sed et si corrumperet, quidnam corrumperet? superflua et præsenti vitæ cognata: et quæ sunt illa? jumenta, herbæ, plantæ. Herba quidem est propter jumenta, jumenta vero in obsequium corruptibilis hujus vitæ. « Producens, inquit, fenum jumentis et herbam servituti hominum [29]. » Plantarum vero hæ quidem ad tegumentum sunt et ad domos construendas, aliæ vero ad alimenti subministrationem. Porro quod alimentum requirant animalia, signum est corruptionis. Quid enim aliud inedia ac repletio præstare possent quam corruptionem? Hæc itaque corrumperentur quæ ad vitam immortalem sunt superflua. Novos autem cœlos et novam creabit terram, non autem aliam quoad materiam. Nam et qui novam construit domum, non illam sane faciet ex non præexsistente materia. Sic et Deus ab initio semel condidit materiam ac informavit, quantum certe fuit necesse ad illius temporis usum. Ad incorruptibilitatem autem quæ post præsentem erit statum corrumpet id quod inutile est ac superfluum. **552** Si quid autem utile sit, reformatum immortali ac incredibili pulchritudine sinet, ut alterum ac incorruptibilem mundum perficiat et compleat. « Et terra ex aqua. » Terra ex aqua quidem tanquam ex materiali principio, per aquam vero tanquam per principium perfectivum. Aqua enim continet terram veluti gluten quoddam quod ipsi adest, quod nisi ipsi contingeret, necesse esset illam dissolvi et ferri in aerem. Verum adorietur nos fortassis quispiam vana cogitatione dicens: Quam ob causam Deus, qui visibilem hunc mundum produxit, non ab exordio firmum ac immutabilem condidit, sed mutationibus obnoxium? Unde etiam statim reparari fuit necesse, tempore quidem Noe per aquam, in consummatione vero per ignem, veluti nunc ait Petrus? Ad quem dicemus quod non fuit possibile ut haberet immutabilitatem. Nam qui fieri hoc potuit cum ex mutatione accepisset esse? Si quidem ex non esse productum fuit ad esse, quod nemo prudens dixerit non esse mutationem. Et quoniam mutatio ad pejus progressa est commista pejoribus, necesse fuit ut hujus conditor ad melius reduceret; tempore quidem Noe purificationem fecit per aquam,

σχιδὴς δὲ ἡ ἐξ ἀπειθείας ἀπώλεια, διὰ τοῦτο ἀναγκαῖος ὁ τοῦ πυρὸς κατακλυσμός, φθορὰ μὲν, εἰ καὶ μὴ παντελής· ψυχῶν γὰρ οὔ, ἀλλ' οὐδὲ σωμάτων. Πάντας γὰρ δεῖ παραστῆναι ἡμᾶς τῷ βήματι τοῦ Χριστοῦ, οὐχὶ γυμναῖς σωμάτων ψυχαῖς, ἀλλὰ μετὰ σωμάτων ἀφθάρτων καὶ αὐτῶν. Πῶς γὰρ ἂν ψυχὴ γυμνὴ κομίσηται τὰ διὰ τοῦ σώματος πεπραγμένα; Οὐ γὰρ δικαίου κριτοῦ, δύο πλημμελησάντων κατὰ ταὐτὸν, τὸν ἕνα ἀφεῖναι, πρὸς δὲ τὸν ἕτερον τὸ πᾶν τοῦ ἐγκλήματος ἐπιφέρειν. Ἄλλως τε δὲ καὶ εἰ πυρὶ εἰώθαμεν ἀναχωνεύειν τὰς ὕλας, οὐχ ἵνα παντελῆ αὐταῖς δῶμεν ἀνυπαρξίαν, ἀλλ' ἵνα τὸ καθαρὸν αὐταῖς καὶ εἰλικρινὲς δῶμεν, οὐκ ἄν τις ἀπιστοίη καὶ τὸν Θεὸν διὰ πυρὸς τὴν συντέλειαν ἐπαγγελλόμενον ἢ μὴ ποιεῖν, ἢ καὶ ποιοῦντα ἐπὶ φθορᾷ τούτου ποιεῖν τοῦτο. Ἀλλ' εἰ καὶ φθείροι, τί ἂν φθείροι; Τὰ περιττὰ καὶ σύστοιχα τῇ παρούσῃ βιοτῇ. Καὶ τί ταῦτα; κτήνη, χλόη, φυτά. Χλόη μὲν γὰρ διὰ τὰ κτήνη, κτήνη δὲ ὑπουργὰ τῆς φθαρτῆς ταύτης ζωῆς· « Ἐξανατέλλων γὰρ χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. » Φυτὰ δὲ τὰ μὲν εἰς σκέπην καὶ οἰκίας, τὰ δὲ εἰς χορηγίαν τροφῆς. Τροφὴ δὲ τοῖς ζωοῖς, φθορᾶς τεκμήριον. Τί γὰρ ἂν ἄλλο ἐνδεια καὶ ἀναπλήρωσις ἢ φθορὰν ὑπισχνοῖτο ἄν; Ταῦτα οὖν φθαρείη τὰ περιττὰ πρὸς τὴν ἄφθαρτον ζωήν. Καινοὺς δὲ οὐρανοὺς καὶ καινὴν ὑποστήσεται γῆν, οὐχ ἑτέραν δὲ τῇ ὕλῃ. Οὐ γὰρ ὁ συμπηγνὺς νέαν οἰκίαν, ἤδη καὶ ἐκ μὴ προϋπαρχούσης ὕλης τοῦτο ποιήσει. Καὶ ὁ Θεὸς οὖν ἅπαξ ὑποστήσας κατ' ἀρχὰς τὴν ὕλην καὶ διαμορφώσας, τὸ μὲν ὅσον πρὸς τὴν τότε χρείαν, ἀναγκαῖον, πρὸς δὲ τὴν μετὰ ταῦτα ἄφθαρτον, ἀλυσιτελές τε καὶ περιττὸν καταφθερεῖ. Εἴ τι δὲ συντελοῦν, ἀναμορφώσας ἀφθάρτῳ καὶ ἀμηχάνῳ κάλλει, ἐάσει τὸν δεύτερον καὶ ἄφθαρτον συμπληροῦν κόσμον. « Καὶ γῆ ἐξ ὕδατος. » Ἡ γῆ ἐξ ὕδατος μὲν, ὡς ἐξ ὑλικοῦ αἰτίου, δι' ὕδατος δὲ ὡς διατελικοῦ. Ὕδωρ γὰρ τὸ συνέχον τὴν γῆν, οἷον κόλλα τις ὑπάρχον αὐτῇ. Μὴ γὰρ αὐτοῦ προσόντος, ἀνάγκη πρὸς χοῦν αὐτὴν διαλύεσθαι καὶ ἀεροῦσθαι. Ἐπιφυήσεται δέ τις ἡμῖν ἴσως φλυάρῳ γνώμῃ. Τί δήποτε ὁ Θεὸς τὸν κόσμον τὸν ὁρώμενον ὑποστήσας, οὐχὶ ἐξ ἀρχῆς ἑδραῖον καὶ ἀμετάβολον εἰργάσατο, ἀλλὰ μεταβολαῖς σύγκρατον; ἐξ οὗ καὶ πρὸς τὸ εὐθὲς ἐπανάγεσθαι χρεία, ἐπὶ Νῶε μὲν διὰ τοῦ κατακλυσμοῦ, ἐν δὲ τῇ συντελείᾳ, διὰ πυρὸς, ὡς νῦν φησι Πέτρος. Πρὸς ὃν ἐροῦμεν, ὡς τὸ μὲν ἀμετάβλητον, οὐχ οἷόν τε αὐτὸν σχεῖν. Πῶς γὰρ, ὃς ἐκ μεταβολῆς εἴληχε τὸ εἶναι; Ἐκ γὰρ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι προήχθη, ὅπερ οὐκ ἂν ἔμφρων τις μὴ ἀλλοίωσιν ἐρεῖ. Καὶ ἐπειδὴ ἡ ἀλλοίωσις ἐπὶ τὸ χεῖρον προέβη τοῖς χείροσι συμφυρεῖσα, ἀναγκαίως ὁ τούτου Δημιουργὸς ἐπὶ τὸ κρεῖττον ἐπανάγων ἐπὶ μὲν τοῦ Νῶε τὴν κάθαρσιν δι' ὕδατος ἐποιήσατο, ἐν δὲ τῇ συντελείᾳ διὰ πυρὸς, ὥσπερ καὶ ἡμεῖς πυρὶ τὰς ὕλας ἀναχωνεύειν εἰώθαμεν, οὐκ εἰς ἀφανισμὸν, ἀλλ' εἰς κάθαρσιν. « Δι' ὧν· » διὰ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τῆς μὲν τὸ ὕδωρ ἐπικλυσάσης, τῶν οὐρανῶν δὲ τοὺς καταῤῥάκτας αὐτῶν ἐπαφέντων, τουτέστιν,

[28] II Cor. v, 10. [29] Psal. cm, 14.

ὡς ἐν καταῤῥάκταις κατεπειγόντων τὸ ὕδωρ. « Ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς, ἀπώλετο. » Τὸ, Ἀπώλετο, μὴ πρὸς πάντα τὸν κόσμον ἀκουστέον, ἀλλὰ πρὸς μόνα τὰ ζῶα, ἃ τὸν ἅπαντα κόσμον οἱονεὶ εἰδοποιεῖ. Ἔρημος γὰρ τῶν ζώων τόπος, οὐδὲ κόσμος ἂν νομισθείη. Τὸ δὲ, « Πυρὶ τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας, » οὕτως· Τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ εἰς ἡμέραν ἀπωλείας. Τὸ γὰρ, « Εἰς ἡμέραν, » κατὰ κοινοῦ λέγεται. Τὸ δὲ, Κρίσεως, ἀντὶ τοῦ, Κατακρίσεως, κεῖται. « Οὐ βραδύνει ὁ Κύριος. » Συμπερανάμενος τὸν περὶ συντελείας λόγον, ὅτι ἔσται, καὶ ἐξ ἀναγκαίου, καὶ διὰ πυρὸς, ἃ πάντα καὶ ἡμεῖς διεξοδικώτερον διεξήλθομεν, μετέβη καὶ ἐπὶ τὴν παράτασιν τοῦ χρόνου τῆς τοῦ κόσμου συντελείας, καί φησιν, ὅτι Οὐ βραδύνει ὁ Κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδυτῆτα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ τὴν σωτηρίαν ἡμῶν ἐκδεχόμενος, καὶ μὴ βουλόμενος ἡμᾶς ἀπολέσθαι, ἀλλ' εἰς μετάνοιαν πάντας χωρῆσαι. « Ἅτε δὴ ἀπείρῳ ὄντι, καὶ πελάγει οὐσίας ἀπεριορίστῳ οὐδὲν αὐτῷ παρατεταμένον, ἀλλὰ χίλια ἔτη ὡς μία ἡμέρα παρ' αὐτῷ. Μᾶλλον δὲ κατὰ τὸν Δαυΐδ, οὐδὲ τὸ πολλοστὸν ἡμέρας. Φησὶ γὰρ οὕτως· « Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, Κύριε, ὡς ἡ ἡμέρα ἡ χθὲς ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί· » διὰ τῆς φυλακῆς, τὸ βραχύτατον τοῦ νυκτερινοῦ καταστήματος δηλῶν. Εἰς τέσσαρας γὰρ φυλακὰς ἡ νὺξ διαιρεῖται, εἴ γε καὶ ὁ Κύριος τετάρτῃ φυλακῇ πρὸς τοὺς ἱεροὺς παραγίνεται ἀποστόλους.

A in consummatione vero facturus est per ignem. Quemadmodum et nos res quasdam materiales rursum solemus igne fundere, non ad interitum, sed ad purificationem. « Per quæ, » nempe cœlum et terram, hac quidem aquis demersa, cœlis autem cataractas suas demittentibus, hoc est tanquam per cataractas aquam ad descensum urgentibus. « Is qui tunc erat mundus aqua mundatus periit. » Periit, non ad omnem mundum est, sed ad sola animantia, quæ videlicet referendum mundum omnem repræsentant. Si quidem locus desertus animantibus, ne mundus quidem existimaretur. Porro quod subditur, « Servati igni in diem judicii perditionis impiorum, » sic ordinatur : Servati in diem judicii et in diem perditionis : nam, « In diem » a communi B sensu resumitur. *Judicii* vero ponitur pro *condemnationis*. « Non tardat Dominus. » Expleto de consummatione sermone, quod erit, idque necessario et per ignem, quæ omnia fusius explanavimus, transit et ad productionem sive dilationem temporis quo mundus consummetur, et ait : Non tardat Dominus qui promisit, **553** quemadmodum nonnulli tarditatem existimant, sed longanimis est, nostram exspectans salutem, nec volens nos perire, sed omnes ad pœnitentiam accedere : cum sane ei qui infinitus est et essentiæ pelagus incircumscriptum nihil protendatur, sed mille anni perinde atque dies unus sint apud ipsum. Aut potius juxta David neque diei multiplicatio est : ait enim hoc modo : « Mille anni in oculis tuis, Domine, tanquam dies hesterna quæ præteriit et vigilia in nocte [30] : » per vigiliam significans brevissimum noctis spatium. Nox enim in quatuor vigilias dividitur : quandoquidem et Dominus quarta vigilia venit ad sacros apostolos [31].

Ἥξει δὲ ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτί, ἐν ᾗ οἱ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται. Τούτων οὖν πάντων λυομένων, ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις, προσδοκοῦντας καὶ σπεύδοντας τὴν παρουσίαν τῆς τοῦ Θεοῦ ἡμέρας, δι' ἣν οἱ οὐρανοὶ πυρούμενοι λυθήσονται, καὶ στοιχεῖα καυσούμενα τήκεται· καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ. Διό, ἀγαπητοί, ταῦτα προσδοκῶντες, σπουδάσατε ἄσπιλοι καὶ ἀμώμητοι αὐτῷ εὑρεθῆναι ἐν εἰρήνῃ, καὶ τὴν τοῦ Κυρίου ἡμῶν μακροθυμίαν, σωτηρίαν ἡγεῖσθε.

C III, 10-14. *Veniet autem dies Domini sicut fur in nocte, quo cœli vehementi sonitu transibunt : elementa vero æstuantia solventur, terraque et quæ in ea sunt opera exurentur. Cum igitur hæc omnia solvantur, quales oportet esse vos in sanctis conversationibus ac pietatibus, exspectantes et accelerantes adventum diei Dei, per quem cœli incensi solventur, et elementa æstuantia liquescent. Sed cœlos novos ac terram novam juxta promissa ipsius exspectamus, in quibus justitia inhabitat. Quapropter, dilecti, hæc exspectantes date operam ut immaculati et incontaminati ab illo reperiamini in pace, Dominique nostri longanimitatem, salutem arbitremini.*

Τὸ ἄδηλον τῆς ἐφόδου τῆς τοῦ Κυρίου παρουσίας καὶ τὸ ἀπροσδόκητον, διὰ τοῦ κλέπτου καὶ τῆς νυκτὸς ἐδήλωσε· διὰ μὲν τῆς νυκτὸς τὸ ἄδηλον· ἄδηλα γὰρ πάντα τὰ ἐν νυκτί· διὰ δὲ τοῦ κλέπτου, τὸ ἀπροσδόκητον· οὐδεὶς γὰρ κλέπτην προσδοκῶν κλαπήσεται, ἀλλ' οἱ ἀπροσδόκητοι τούτου ἐκεῖνοι κλαπήσονται. Διὰ καὶ ὁ Κύριός φησιν, ὅτι ὥσπερ ἐν ταῖς ἡμέραις τοῦ Νῶε ἦσαν οἱ ἄνθρωποι, εὐθυμούμενοι γάμοις καὶ πότοις, καὶ τῆς μελλούσης αὐτοὺς ὑπολαβεῖν συμφορᾶς ἀνεννόητοι, ἕως ὁ κατακλυσμὸς αὐτοῖς ἐπέστη,

D Incertitudinem adventus Domini tanquam insultus, cum minime exspectabitur, per furem et noctem significavit : per noctem quidem, propter incertitudinem : incerta sunt enim quæcunque in nocte sunt : per furem vero, eo quod non exspectetur : nullus enim expilabitur qui furem exspectet, sed qui hunc minime exspectant illi, expilabuntur. Ideo quoque ait Dominus quod sicut in diebus Noe erant homines lætantes in nuptiis ac poculis, nihilque cogitantes de futura calamitate quæ ipsos compre-

[30] Psal. LXXXIX, 4. [31] Matth. XIV, 25.

hendit, donec oppressit eos diluvium : ita et adventus Domini repente superveniet impiis. Ποιζηδόν vero significat cum sonitu. Hujusmodi autem sonus proprius est ignis in his quæ igni depascuntur. **554** Animadverte autem quod terram et quæ in ea sunt dixerit exurenda, at non homines, sed solum peditionem dixit in impiis sive impietatibus ipsorum. Via namque impiorum peribit[32], non autem ipse quoque impius. « Juxta promissa ipsius. » Promisit namque fidelibus, dicens : « Veniam et assumam vos[33], etc. : « In domo Patris mei mansiones multæ sunt[34]. » Propterea et Paulus ait quod, angelo tuba de cœlo canente[35], mortuisque resurgentibus immortalibus, ipsi quoque occurrent Domino in gloria, immortalitatem videlicet significans per hoc quod ait *in gloria*. Quod si immortales aut incorruptibiles, utique et novi futuri sunt. Si vero hi novi sint, manifestum est quod nova creatura nata sit commutari una cum constitutione hominum : et corruptibilis quidem propter corruptibilem hominum subversionem, incorruptibilis autem fiat propter hominum renovationem. Considera vero quod et temporis moram ad Domini adventum, et ipsius longanimem exspectationem ad nostram dicat effici salutem.

A οὕτω καὶ ἡ παρουσία τοῦ Κυρίου ἀπροσδοκήτως ἐπελεύσεται τοῖς ἀσεβοῦσι. *Ποιζηδὸν* δὲ τὸ μετ' ἤχου σημαίνει. Ἴδιος δὲ ὁ τοιοῦτος ἦχος πυρὸς ἐν τοῖς ὑπὸ πυρὸς καταβοσκομένοις. Σκόπει δὲ ὅτι γῆν εἶπε καὶ τὰ ἐν αὐτῇ κατακαήσεσθαι, ἀλλ' οὐχὶ ἀνθρώπους, εἰ μὴ μόνον ἀπώλειαν ἐπὶ τῶν ἀσεβῶν εἶπεν, ἤτοι τῶν ἀσεβημάτων αὐτῶν. Ὁδὸς γὰρ ἀσεβῶν ἀπολεῖται, ἀλλ' οὐχὶ καὶ ὁ ἀσεβής. « Κατὰ τὸ ἐπάγγελμα αὐτοῦ. » Ἐπηγγείλατο τοῖς πιστοῖς λέγων, « Ἐλεύσομαι καὶ παραλήψομαι ὑμᾶς· » καὶ, « Παρὰ τῷ Πατρί μου μοναὶ πολλαί εἰσι· » διὸ καὶ Παῦλός φησι· « Σαλπίζοντος τοῦ ἀγγέλου ἀπ' οὐρανοῦ, καὶ τῶν νεκρῶν ἀφθάρτων ἀνισταμένων, καὶ αὐτοὺς ἀπαντήσεσθαι τῷ Κυρίῳ ἐν δόξῃ, » τοῦ, Ἐν δόξῃ, τὸ ἄφθαρτον δηλονότι σημαίνοντος. Εἰ δὲ ἄφθαρτοι, πάντως καινοί. Εἰ δὲ καινοὶ οὗτοι, εὔδηλον ὅτι καὶ ἡ κτίσις καινὴ πεφυκυῖα τῇ τῶν ἀνθρώπων συμμεταβάλλεσθαι καταστάσει, καὶ φθαρτὴ μὲν διὰ τὴν εἰς φθορὰν τῶν ἀνθρώπων παρατροπήν, ἄφθαρτος δὲ διὰ τὸν τῶν ἀνθρώπων ἀνακαινισμόν, γίνεσθαι. Σκόπει δὲ ὅτι καὶ τὴν παρολκὴν τοῦ χρόνου τῆς τοῦ Κυρίου παρουσίας καὶ τὴν μακροθυμίαν αὐτοῦ, ἐπὶ σωτηρίᾳ ἡμῶν φησιν ἐκτελεῖσθαι.

B

III, 15-18. *Quemadmodum et dilectus frater noster Paulus juxta datam sibi sapientiam scripsit vobis, etiam in omnibus fere epistolis loquens de his : inter quæ sunt nonnulla difficilia intellectu, quæ indocti et instabiles detorquent sicut et cæteras Scripturas ad suam ipsorum perniciem. Vos igitur, dilecti, posteaquam id præcognovistis, cavete ne simul nefariorum errore abducti excidatis a propria stabilitate, sed crescite in gratia et cognitione Domini nostri et Salvatoris Jesu Christi. Ipsi gloria et nunc et in diem æternitatis. Amen.*

Καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος κατὰ τὴν αὐτῷ δοθεῖσαν σοφίαν ἔγραψεν ὑμῖν, ὡς καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς λαλῶν ἐν αὐταῖς περὶ τούτων. Ἐν οἷς ἐστι δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν, ὡς καὶ τὰς λοιπὰς Γραφὰς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν. Ὑμεῖς οὖν, ἀγαπητοί, προγινώσκοντες φυλάσσεσθε, ἵνα μὴ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες, ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ· αὐξάνετε δὲ ἐν χάριτι καὶ γνώσει τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ. Αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶνος. Ἀμήν.

C

« Quemadmodum et dilectus frater noster Paulus. » Et ubi aliquid hujusmodi dixit Paulus? In his verbis cum ait : « Bonitas Dei ad resipiscentiam te invitat[36]. » Quod si ad resipiscentiam invitat Dei longanimitas, porro resipiscentia nobis est salutaris, utique ad nostram utilitatem ac salutem est Dei longanimitas. Difficilia autem intellectu dicit, quæ etiam impios ait pervertendo interpretari : nam hoc sibi vult στρεβλοῦσθαι significare, utque rem omnem ex uno demonstrem, cum Paulus ita dixerit, **555** « Ubi exuberavit peccatum, ibi magis exuberavit gratia[37], » ipsi pervertendo dixerunt Paulum hoc dicere : Peccemus abundantius ut abundantius nobis ignoscatur. Hoc autem faciunt, inquit, ad suam ipsorum perniciem. Quemadmodum enim illi qui prophetas et apostolos occiderunt, ita et qui sermones ipsorum pervertendo sustulerunt, eidem judicio sunt obnoxii : quandoquidem et illi occiderunt eos, ne ii qui ab ipsis salutaria docebantur, possent ab eis juvari : et isti similiter detorquent

D

« Καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος. » Καὶ ποῦ τοιοῦτον Παῦλος εἴρηκε; Δι' ὧν ἔφη· « Τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει. » Εἰ δὲ εἰς μετάνοιαν ἡ τοῦ Θεοῦ μακροθυμία ἄγει, σωτήριος δὲ ἡμῖν ἡ μετάνοια, πάντως ἐπὶ συμφέροντι ἡμῶν καὶ εἰς σωτηρίαν ἡ τοῦ Θεοῦ μακροθυμία. Δυσνόητα δὲ λέγει, ἃ καὶ ὑπὸ τῶν ἀσεβῶν φησιν ἐνδιαστρόφως ἐξαγγέλλεσθαι. Τοῦτο γὰρ τὸ *στρεβλοῦσθαι* βούλεται σημαίνειν αὐτῷ. Καὶ ἵνα ἐξ ἑνὸς τούτου παραστήσω τὸ πᾶν ὑμῖν τοῦ Παύλου εἰρηκότος, « Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, » αὐτοὶ διαστρέψαντες ἔφασαν, ὅτι τοῦτό φησιν ὁ Παῦλος· Ἁμαρτήσωμεν πλέον, ἵνα πλέον συγχωρηθῶμεν. Τοῦτο δέ, φησί, ποιοῦσιν ἐπ' ἀπωλείᾳ ἑαυτῶν. Ὡς γὰρ οἱ τοὺς προφήτας ἀποκτείναντες καὶ τοὺς ἀποστόλους, οὕτω καὶ οἱ τοὺς λόγους αὐτῶν διὰ τῆς διαστροφῆς ἀναιροῦντες, τῷ αὐτῷ ὑπόκεινται κρίματι, ἐπεὶ καὶ ἐκείνους ἀπέκτειναν, ἀποπαύοντες τοῦ μὴ ταῦς ὑπ' αὐτῶν μαθητευομένους τὰ σωτήρια ὑπ' αὐτῶν ὠφελεῖσθαι, καὶ τοὺς λόγους ὁμοίως

[32] Psal I, 6. [33] Joan. XIII, 33. [34] Joan. XIV, 2. [35] I Thess. IV, 15. [36] Rom. II, 4. [37] Rom. V, 20.

στρεβλοῦσι, τοῦ μή τινας διὰ τούτων δράττεσθαι σωτηρίας. Ἴδιον δὲ στηριγμὸν τὴν εἰς τὸν Κύριόν φησι πίστιν. Ὥσπερ δὲ ἐν ταῖς ἄλλαις ἐπιστολαῖς εἰς εὐχὰς ἀποτελευτᾷ, οὕτω κἀν ταύτῃ, τὴν ἐν τῇ πίστει τοῦ Κυρίου αὔξησιν αὐτοῖς ἐπευχόμενος.

Τέλος, σὺν Θεῷ, τῆς καθολικῆς δευτέρας τοῦ Πέτρου Ἐπιστολῆς.

A sermones, ne aliqui per ipsos salutem operarentur. Propriam vero stabilitatem fidem dicit in Dominum. Quemadmodum autem in aliis Epistolis finit in preces, ita et in hac, augmentum in fide Domini ipsis precando.

Finis, divino favente auxilio, posterioris catholicæ Petri Epistolæ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗΣ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

ARGUMENTUM

PRIMÆ JOANNIS EPISTOLÆ CATHOLICÆ.

Ταύτην ὁ αὐτὸς Ἰωάννης ὁ τὸ Εὐαγγέλιον γράψας, ἐπιστέλλει, ὑπομιμνήσκων τοὺς ἤδη πιστεύσαντας εἰς τὸν Κύριον. Καὶ πρῶτον μὲν ὥσπερ ἐν τῷ Εὐαγγελίῳ, οὕτω καὶ ἐν ταύτῃ τῇ Ἐπιστολῇ θεολογεῖ περὶ τοῦ Λόγου, ἀποδεικνὺς αὐτὸν ἀεὶ εἶναι ἐν τῷ Θεῷ, καὶ διδάσκων τὸν Πατέρα φῶς εἶναι, ἵνα καὶ οὕτως γνῶμεν τὸν Λόγον ὡς ἀπαύγασμα ἐξ αὐτοῦ εἶναι. Θεολογῶν δὲ ἐξηγεῖται μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον. Ἀλλ' ἐξ ἀρχῆς μὲν καὶ ἀεὶ τυγχάνειν αὐτό, νῦν δὲ πεφανερῶσθαι ἐν τῷ Κυρίῳ, ὅστις ἐστὶ ζωὴ αἰώνιος καὶ Θεὸς ἀληθινός. Καὶ τὸ αἴτιον δὲ τῆς τοῦ παρουσίας καὶ ἐπιφανείας τίθησι, λέγων εἶναι τοῦτο, ἐπὶ τῷ καταλῦσαι τὰ ἔργα τοῦ διαβόλου, καὶ ἡμᾶς ἐλευθερωθῆναι ἀπὸ τοῦ θανάτου, καὶ γινώσκειν ἡμᾶς τὸν Πατέρα καὶ αὐτὸν τὸν Υἱὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Γράφει οὖν πρὸς πᾶσαν ἡλικίαν, πρὸς παιδία, πρὸς νεανίσκους, πρὸς γέροντας, ὅτι ὁ μὲν Θεὸς ἐγνώσθη, ἡ δὲ διαβολικὴ ἐνέργεια λοιπὸν νενίκηται καταργηθέντος τοῦ θανάτου. Εἶτα λοιπὸν δι' ὅλης τῆς Ἐπιστολῆς περὶ ἀγάπης διδάσκει, θέλων ἡμᾶς ἀλλήλους ἀγαπᾷν, καὶ ἀποδεικνὺς ὅτι δεῖ ἀλλήλους ἀγαπᾷν, ἐπειδὴ καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς. Ἐξηγεῖται οὖν περὶ διαφορᾶς φόβου καὶ ἀγάπης, καὶ τέκνων Θεοῦ καὶ τέκνων διαβόλου, καὶ περὶ ἁμαρτίας θανατικῆς, καὶ μὴ θανατικῆς, καὶ διαφορᾶς πνευμάτων. Καὶ λοιπὸν διαιρεῖ, ποῖον μὲν πνεῦμα ἐκ τοῦ Θεοῦ ἐστι, ποῖον δὲ τῆς πλάνης, καὶ πότε μὲν γινωσκόμεθα τέκνα Θεοῦ, πότε δὲ τοῦ διαβόλου, καὶ περὶ ποίας ἁμαρτίας ὀφείλομεν εὔχεσθαι ὑπὲρ τῶν ἁμαρτανόντων, καὶ περὶ ποίας οὐ δεῖ εὔχεσθαι, καὶ ὅτι ὁ μὴ ἀγαπῶν τὸν πλησίον οὐκ ἔστιν ἄξιος τῆς κλήσεως, οὐδὲ δύναται λέγεσθαι τοῦ Χριστοῦ. Καὶ τὴν ἑνότητα δὲ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα δείκνυσι, καὶ ὅτι ὁ ἀρνούμενος τὸν Υἱὸν οὐδὲ τὸν Πατέρα ἔχει. Διακρίνει

556 Hanc conscripsit idem Joannes qui Evangelium scripsit, suggerens hæc illis qui jam in Dominum crediderant. Et primum quidem sicut in Evangelio, ita et in hac Epistola theologice tractat de Verbo, ostendens ipsum in Deo semper esse, docensque Patrem esse lucem, ut hoc etiam modo cognoscamus Verbum tanquam splendorem ex ipso esse. Theologice autem disserendo docet non esse recens quod apud nos est mysterium : sed ipsum quidem ab initio semperque fuisse, nunc autem per Dominum fuisse manifestatum, qui est vita æterna et Deus verus. Et causam ponit adventus ac manifestationis ipsius, hanc esse dicens, ut dissolveret opera diaboli, nosque a morte liberaremur, et cognosceremus Patrem ac ipsum Filium Dominum nostrum Jesum Christum. Scribit ergo ad omnem ætatem : ad pueros, ad adolescentes, ad senes, quod Deus quidem cognitus sit, diabolica vero energia posthac devicta sit, abolita morte. Deinde tota postmodum Epistola de dilectione et charitate docet, volens ut nos invicem diligamus : et ostendens quod oporteat nos mutuo diligere, quandoquidem et Christus dilexit nos. **557** Docet ergo de diversitate inter timorem ac dilectionem, et filios Dei ac filios diaboli, et de peccato ad mortem et eo quod non est ad mortem, et de diversitate spirituum, ac postea distinguit quis spiritus ex Deo sit et quis spiritus erroris : et quo pacto cognoscimus filios Dei ac filios diaboli, et de quo peccato precari debeamus pro his qui peccant, et de quo non oporteat precari : quodque is qui proximum non diligit, non sit dignus vocatione, nec possit dici Christi. Unitatem quoque Filii ad Patrem ostendit : et quod is qui Filium negat, neque Patrem habeat. Disceptat autem in hac Epistola dicens, hoc esse proprium

Antichristi, dicere non esse Filium ipsum Jesum Christum, ut videlicet cum ille non sit, mendax ipse se esse dicat. Exhortatur autem tota Epistola credentes in Dominum, ne contristentur si odio habeantur in mundo, sed gaudeant potius, quod odium mundi ostendat credentes migrasse ab hoc mundo, ac deinceps habere conversationem cœlestem. Et in fine Epistolæ rursum ad memoriam reducit, quod Filius Dei vita æterna sit Deusque verus, et ut ipsi serviamus ac nobis caveamus a simulacris.

A ἐὰν ἐν τῇ Ἐπιστολῇ ταύτῃ, λέγων καὶ τοῦτο ἴδιον τοῦ Ἀντιχρίστου εἶναι, τὸ λέγειν μὴ εἶναι τὸν Υἱὸν αὐτὸν τὸν Χριστὸν Ἰησοῦν, ἵνα δηλονότι, ὡς μὴ ὄντος ἐκείνου, ἑαυτὸν εἴπῃ εἶναι ὁ ψεύστης. Παραινεῖ δὲ δι' ὅλης τῆς Ἐπιστολῆς, μὴ ἀθυμεῖν τοὺς πιστεύοντας τῷ Κυρίῳ, εἰ μισοῦνται ἐν τῷ κόσμῳ, ἀλλὰ μᾶλλον χαίρειν, ὅτι τὸ μῖσος τοῦ κόσμου δείκνυσι τοὺς πιστεύοντας μεταβεβηκέναι ἀπ' αὐτοῦ τοῦ κόσμου, καὶ εἶναι λοιπὸν τῆς οὐρανίου πολιτείας. Καὶ ἐν τῷ τέλει δὲ τῆς Ἐπιστολῆς πάλιν ὑπομιμνήσκει λέγων, ὅτι ὁ τοῦ Θεοῦ Υἱὸς ζωὴ αἰώνιός ἐστι καὶ Θεὸς ἀληθινός, καὶ ἵνα τούτῳ δουλεύσωμεν, καὶ φυλάττωμεν ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων.

558 *PRIORIS JOANNIS EPISTOLÆ CATHOLICÆ CAPITA.*

1. *Evangelica de Christo theologia; in quo etiam agit de confessione et observatione a peccato, quod custodia præceptorum Dei cognitionem de ipso confirmet.*
2. *De dilectione sine qua manet impietas: in quo etiam agit de gratia juxta cujusque ætatem, et de aversione ab amore mundi.*
3. *De falsis fratribus Deum abnegantibus, et quod pietas in Christum sit Patris confessio: Patris namque glorificatio, Filii theologia est. In quo etiam agit de divino ac spirituali dono in sanctificatione ob spem perveniendi ad cognitionem Dei, quod omnis qui est in Christo, extra peccatum est: qui enim peccat, ex diabolo est.*
4. *De charitate erga proximum et affectione ad tribuendum eleemosynas: in quo etiam agit de bona* C *conscientia quæ est per fidem Jesu Christi: et de discernendis spiritibus per confessionem incarnationis Domini.*
5. *De fraterna charitate ad divinum cultum.*
6. *Theologia de Filio qui est in gloria Patris, et de victoria adversus Malignum per fidem Jesu Christi ad vitam.*
7. *De subveniendo fratri peccanti per orationem, et quod non sit peccandum: in quo etiam agit de abstinentia a cultu dæmonum.*

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗΣ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

B α'. *Εὐαγγελικὴ θεολογία περὶ Χριστοῦ. Ἐν ᾧ περὶ ἐξομολογίας καὶ προσοχῆς τοῦ μὴ ἁμαρτάνειν, Ὅτι ἡ τήρησις τῶν ἐντολῶν τοῦ Θεοῦ τὴν γνῶσιν βεβαιοῖ.*

β'. *Περὶ ἀγάπης, ἧς ἄνευ ἀσέβεια, Ἐν ᾧ παραίνεσις περὶ χάριτος ἑκάστου καθ' ἡλικίαν· καὶ περὶ ἀποτροπῆς τῆς πρὸς τὸν κόσμον ἀγάπης.*

γ'. *Περὶ ψευδαδέλφων ἀρνησιθέων· καὶ ὅτι ἡ εἰς Χριστὸν εὐσέβεια, Πατρὸς ὁμολογία. Ἡ γὰρ τοῦ Πατρὸς δοξολογία, τοῦ Υἱοῦ ἐστι θεολογία. Ἐν ᾧ περὶ θείου καὶ πνευματικοῦ χαρίσματος ἐν ἁγιασμῷ, ἐπ' ἐλπίδι, εἰς γνῶσιν Θεοῦ. Ὅτι πᾶς ὁ ἐν Χριστῷ, ἐκτὸς ἁμαρτίας. Ὁ γὰρ ἁμαρτάνων ἐκ τοῦ διαβόλου ἐστίν.*

δ'. *Περὶ ἀγάπης τῆς εἰς τὸν πλησίον καὶ διαθέσεως μεταδοτικῆς. Ἐν ᾧ περὶ συνειδήσεως ἀγαθῆς τῆς ἐν πίστει Ἰησοῦ Χριστοῦ. Περὶ διακρίσεως πνευμάτων ἐφ' ὁμολογίᾳ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως.*

ε'. *Περὶ φιλαδελφίας εἰς θεοσέβειαν.*

ς'. *Περὶ θεολογίας Υἱοῦ ἐν δόξῃ Πατρὸς, καὶ περὶ νίκης τῆς κατὰ τοῦ Πονηροῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς ζωήν.*

ζ'. *Περὶ ἀντιλήψεως τοῦ ἁμαρτάνοντος ἀδελφοῦ διὰ προσευχῆς, καὶ περὶ τοῦ μὴ ἁμαρτάνειν. Ἐν ᾧ περὶ ἀποχῆς δαιμονικοῦ σεβάσματος.*

ΙΩΑΝΝΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΩΤΗ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ

JOANNIS APOSTOLI

PRIOR EPISTOLA CATHOLICA.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Εὐαγγελικὴ θεολογία περὶ Χριστοῦ, Ἐν ᾧ περὶ ἐξομολογίας καὶ προσοχῆς τοῦ μὴ ἁμαρτάνειν. Ὅτι ἡ τήρησις τῶν ἐντολῶν τοῦ Θεοῦ τὴν γνῶσιν βεβαιοῖ.

Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς, καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν.

Τοῦτο πρὸς Ἰουδαίους καὶ πρὸς Ἕλληνας, οἳ καὶ νεώτερον διαβάλλουσι τὸ καθ' ἡμᾶς μυστήριον. Δείκνυσιν οὖν ὡς καὶ παλαιὸν τοῦτο. Ἀπ' ἀρχῆς γάρ, τουτέστιν, ἅμα τῇ ἐννοηθείσῃ ἀρχῇ. Ἢ οὐ μόνον τοῦ νόμου, ἀλλὰ καὶ αὐτῆς τῆς ὁρατῆς ἀνώτερον τοῦτο κτίσεως. Ἡ μὲν γὰρ ἀρχὴν ἔσχε, τοῦτο δὲ ἦν καὶ πρὸ τῆς ἀρχῆς ταύτης. Τῶν γάρ τοι χθὲς καὶ πρώην Ἑλληνικῶν, τί ἂν τις καὶ λέγοι; ἃ τῇ ἀσελγείᾳ περικροτούμενα, ὀψὲ τὴν ἀνυπόστατον σύστασιν ἔσχεν, ἀκαθαρσίας ἤδη ἐμπολιτευομένης ἀνθρώποις. Ἧς καὶ μάθημα καὶ ὑπόμνημα αὕτη καὶ τῆς ἀπὸ τοῦ κρείττονος ἐπὶ τὴν κεχυμένην ἡμῶν νύκτα ἀπόῤῥευσις. Τὸ μεγαλεῖον τοιγαροῦν παριστῶν τοῦ καθ' ἡμᾶς μυστηρίου διὰ τῆς κατὰ ταῦτα ἀρχαιότητος, ἐπάγει ὅτι καὶ ζωὴ τοῦτό ἐστι, καὶ ζωὴ οὐ διαστήματι χρονικῷ μετρουμένη, ἀλλ' ἐνυπόστατος, καὶ πρὸς τὸν Πατέρα ἀεὶ οὖσα, συνῳδὰ ταῦτα τοῖς ἐν τῷ ἑαυτοῦ φθεγγόμενος Εὐαγγελίῳ. Κἀκεῖ γάρ, « Καὶ ὁ Λόγος, φησίν, ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. » Τὸ δὲ, « Ἦν, » τοῦτο οὐ χρονικὴν παρίστησιν ὕπαρξιν, ἀλλ' ἐνυποστάτου πράγματος οὐσίαν, καὶ πάντων τῶν τὸ εἶναι λαχόντων ἀρχήν τε καὶ βάσιν καὶ ἔδραν, καὶ οὗ χωρὶς οὐκ ἂν δύναιτο ταῦτα ὑφίστασθαι. Ἕκαστον γὰρ τῶν γενητῶν τι εἶναι λέγεται, οἷον εἶναι ἄγγελος, εἶναι ἥλιος, οὐρανός, τ' ἄλλα πάντα. Μόνος δὲ ὁ Υἱὸς καθάπαξ ὢν τυγχάνει, οὗ μετέχοντα τὰ πάντα πρὸς ὕπαρξιν ἔρχεται, δι' ὃ καὶ Παῦλός φησιν· « Ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. » Τούτου ἀκρόασιν κατὰ εἰσαγωγικὴν διδασκαλίαν πρότερόν τις δεξάμενος ἔρχεται ἐπὶ τὸ ἰδεῖν αὐτὸν οὐ σωματικῶς, ἀλλ' ἐπιστημονικῶς μετὰ πολλὴν τὴν γυμνασίαν τε καὶ ἐπίσκεψιν, ἥτις καὶ ψηλάφησις περὶ τοῦ Λόγου τῆς ζωῆς εἴρηται τῆς

CAPUT PRIMUM.

Evangelica de Christo theologia ; in quo etiam agit de confessione et observatione a peccato, quod custodia præceptorum Dei cognitionem de ipso confirmet.

I, 1,2. Vox erat ab initio, quod audivimus, quod vidimus oculis nostris, quod perspeximus, et manus nostræ contrectaverunt de verbo vitæ, et vita manifestata est, et vidimus, et testificamur.

Hoc dicit et adversus Judæos et adversus Græcos, quoniam mysterium quod apud nos est tanquam recentius calumniantur. Ostendit ergo quod etiam antiquum sit, quia ab initio, hoc est, simul **560** cum concepto principio. Aut quod non solum lege, sed et ipsa visibili creatura hoc sublimius est : illa enim initium habuit, hoc autem erat etiam ante hoc initium. Cum igitur Græcorum mysteria heri aut nudiustertius orta sint, quid poterit quispiam dicere? quæ in animi intemperantia collaudantur, sero vix subsistentem acceperunt substantiam, cum jam impudicitia versaretur inter homines, cujus et disciplina et recordatio fuit hic defluxus a meliori ad effusam noctem nostram. Magnificentiam itaque demonstrans nostri mysterii ab ipsius antiquitate, subjunxit quod hoc etiam vita sit, et vita non temporali spatio mensurata, sed persistentiam habens et quæ semper est apud Patrem, conformia dicens his quæ dixit in suo Evangelio. Nam et ibi : « Verbum, inquit, erat apud Deum, et Deus erat Verbum [37,38]. » Hoc autem, « Erat, » non temporalem designat subsistentiam, sed rei perdurantis essentiam, et omnium, quæ esse sortita sunt, principium, basim ac fundamentum, et sine quo ne subsistere quidem hæc possent. Unumquodque enim eorum quæ nata sunt, esse aliquid determinatum dicitur, puta esse angelus, esse sol, cœlum reliquaque omnia : solus autem Filius absolute esse dicitur, de quo participant omnia quæ ad existentiam procedunt. Propter quod dicit et Paulus : « Per ipsum et vivimus et movemur et sumus [39]. » Hujus auscultationem juxta introductoriam doctrinam ubi quis prius suscepit, venit ad vivendum ipsum, non

[37,38] Joan. I, 1. [39] Act. XVII, 28.

corporaliter, sed perfecte cognoscendo, post longum exercitium et considerationem : quæ etiam contrectatio dicta est de verbo vitæ, quæ dixit : « Ego sum vita [40]. » Poterit autem hoc etiam modo dici de Verbo quod erat in principio : quod vidilicet audivimus ipsum per legem ac prophetas venturum esse : hoc itaque Verbum, cum venisset cum corpore, manifeste vidimus et contrectavimus : « nudum namque Deum nemo vidit unquam [41]. » Neque enim temere assensimus apparenti, sed post longam contrectationem, hoc est, indagationem legalium et propheticorum de ipso testimoniorum, credidimus Verbo in carne apparenti. Aut, Quod perspeximus, id est, oculis videntes admirati sumus. Θεᾶσθαι enim est cum admiratione et stupore intueri. Non ergo quod erat perspeximus aut contrectavimus, nam hujus generationem quis enarrabit? **561** Sed quod factum est : aut contrectationibus intelligentiæ, sicut jam dictum est, aut etiam sensum quemadmodum Thomas post resurrectionem [42]. Unus enim erat et indivisus, idem et visibilis et invisibilis, et apprehensus et qui non possit comprehendi, et contrectatus et qui tangi non possit, et humano more loquens et tanquam Deus faciens miracula. Hæc autem propter summam Verbi ad carnem unionem dicimus. Litteræ series est hæc : Quod erat ab initio, quod audivimus et vidimus et perspeximus oculis et manus nostræ contrectaverunt de Verbo vitæ, quæ vita manifestata est, quam et vidimus et testificamur et annuntiamus vobis : Dico autem vitam sempiternam quæ est apud Patrem et nobis manifestata est : quod ergo vidimus, hoc etiam annuntiamus vobis. Hic igitur respondet sermo ubi dicitur, Quod ergo vidimus. Non ita autem sermonem retulit quemadmodum nos : primum quidem propter usum abbreviati verbi, deinde etiam Græcorum nugas contemnens, et ostendens quod non in verbis sit nostra salus, sed in operibus, et in his nos magis attentos efficiens, ne ibidem statim reperientes quod proponitur, negligentiores simus. Præterea divina tractans, obscuritate voluit occultare quæ sublimiora erant quam ut profanæ ferrent aures, nec tuto ipsis promulganda sunt. Nam sancta projicere canibus, et spargere margaritas coram porcis [43], non prudentis viri est, nec discretæ considerationis.

A εἰπούσης· « Ἐγώ εἰμι ἡ ζωή. » Λελέξεται καὶ οὕτως περὶ τοῦ ἐν ἀρχῇ ὄντος Λόγου, ὅτι ἀκηκόαμεν διὰ τοῦ νόμου αὐτὸν καὶ τῶν προφητῶν, ὡς ἐλεύσεται. Τοῦτον οὖν ἐλθόντα μετὰ σώματος ἐμφανῶς εἴδομεν καὶ ἐψηλαφήσαμεν. « Γυμνὸν γὰρ Θεὸν οὐδεὶς ἑώρακε πώποτε. » Οὐ γὰρ ὡς ἔτυχε συγκατεθέμεθα τῷ ὀφθέντι, ἀλλὰ μετὰ πολλὴν ψηλάφησιν, τουτέστι, συζήτησιν τῶν νομικῶν τε καὶ προφητικῶν περὶ τούτου μαρτυριῶν, ἐπιστεύσαμεν τῷ ὀφθέντι σαρκὶ Λόγῳ. Ἢ τὸ, Ὃ ἐθεασάμεθα, ἀντὶ τοῦ, Ὃ ἰδόντες τοῖς ὀφθαλμοῖς τεθαυμάκαμεν. Θεᾶσθαι γάρ ἐστι τὸ μετὰ θαύματος καὶ θάμβους ὁρᾷν. Οὐχ ὃ οὖν ἦν ἐθεασάμεθα ἢ ἐψηλαφήσαμεν· τούτου γὰρ τὴν γενεὰν τίς διηγήσεται; ἀλλ' ὃ γέγονεν, ἤτοι γνωστικαῖς ἐπαφαῖς, ὡς εἴρηται ἤδη, ἢ καὶ αἰσθηταῖς, ὡς καὶ Θωμᾶς μετὰ B τὴν ἀνάστασιν. Εἷς γὰρ ἦν καὶ ἀδιαίρετος. Ὁ αὐτὸς καὶ θεατὸς καὶ ἀθέατος, καὶ κρατούμενος καὶ μὴ περιδραττόμενος, καὶ ἀναφὴς καὶ ψηλαφητός, καὶ ἀνθρωπίνως φθεγγόμενος, καὶ ὡς Θεὸς ἐνεργῶν τὰ θαύματα. Τοῦτο δὲ διὰ τὴν ἄκραν ἑνότητα τοῦ Λόγου πρὸς τὴν σάρκα φαμέν. Τὸ ἑξῆς· Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν καὶ ἑωράκαμεν καὶ ἐθεασάμεθα τοῖς ὀφθαλμοῖς ἡμῶν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ Λόγου τῆς Ζωῆς, ἥτις ζωὴ ἐφανερώθη, ἣν καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν, λέγω δὲ τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἐστὶ πρὸς τὸν Πατέρα, καὶ ἐφανερώθη ἡμῖν. Ὃ τοίνυν ἑωράκαμεν, τοῦτο καὶ ἀπαγγέλλομεν ὑμῖν. Ἐνταῦθα τοίνυν ἐστὶν ἡ ἀπόδοσις, ἐν τῷ, Ὃ τοίνυν ἑωράκαμεν. C Οὐχ οὕτω δὲ ἐποιήσατο τὴν ἀπαγγελίαν ὥσπερ ἡμεῖς, πρῶτον μὲν διὰ τὴν τοῦ συντετμημένου λόγου χρῆσιν, ἔπειτα δὲ καὶ τὴν Ἑλληνικὴν ἐρεσχελίαν ἀτιμάζων, καὶ δεικνὺς ὡς οὐκ ἐν λόγοις ἡ σωτηρία ἡμῶν, ἀλλ' ἐν ἔργοις. Καὶ ἐπὶ τούτοις ἐπιστατικωτέρους ἡμᾶς ἐργαζόμενος, ἵνα μὴ αὐτόθεν προχείρως εὑρίσκοντες τὸ προκείμενον, ὀπτιώμεθα. Ἄλλως τε καὶ θεολογῶν ἐβουλήθη ἀσαφείᾳ κρύψαι τὰ βεβήλων ἀνώτερα ἀκοῶν, καὶ μὴ ἂν ἀσφαλῶς αὐταῖς ἔκφορα. Τὸ γὰρ βάλλειν τὰ ἅγια τοῖς κυσὶ, καὶ ῥίπτειν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, οὐ σώφρονος λογισμοῦ, οὐκ ἀνδρός.

I, 2 7. *Et annuntiamus vobis vitam æternam, quæ erat apud Patrem, et nobis manifestata est. Quod vidimus et audivimus, annuntiamus vobis, ut et vos societatem habeatis nobiscum, et societas nostra sit cum Patre et Filio ejus Jesu Christo. Et hæc scribimus vobis, ut gaudium vestrum sit plenum. Et hæc est promissio quam audivimus ex ipso; et annuntiamus vobis, quod Deus lux est, et tenebræ in eo non sunt ullæ. Si dixerimus quod societatem habemus cum eo et in tenebris ambulamus, mentimur, et veritatem non facimus. Quod si in luce ambulamus, sicut ipse est in luce, societatem habemus inter nos mutuam,* **562**

D *Καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν Πατέρα, καὶ ἐφανερώθη ἡμῖν. Ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν. Καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ Πατρὸς καὶ μετὰ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. Καὶ ταῦτα γράφομεν ὑμῖν, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. Καὶ ἔστιν αὕτη ἡ ἐπαγγελία, ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ· καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία. Ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ ἐν τῷ σκότει περιπατῶμεν,*

[40] Joan. xiv, 6. [41] Joan. i, 18 et I Joan. iv, 12. [42] Joan. xx, 26. [43] Matth. vii, 6.

ψευδόμεθα, καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν. A *et sanguis Jesu Christi filii ejus emundat nos ab omni*
Ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστι *peccato.*
ἐν τῷ φωτὶ, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ καθαρίζει
ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

« Καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωήν. » Ὃ τοίνυν ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν, φησί. Τί τοῦτο; ὅτι ζωὴ αἰώνιος ὢν ἐφανερώθη ἡμῖν, καὶ θεαταὶ αὐτοῦ γεγόναμεν, καὶ πρὸ τοῦ σταυροῦ, καὶ μετὰ τὴν ἀνάστασιν. Ὁ γὰρ αὐτὸς καὶ τῷ σταυρῷ σαρκικῶς προσηλώθη, καὶ τῇ αὐτῇ ἐξανέστη σαρκί. Καὶ τί κέρδος ἐκ ταύτης ὑμῖν τῆς ἀπαγγελίας κομίζομεν; φησί· τὸ, ὥσπερ κοινωνοὺς ὑμᾶς λαμβάνομεν διὰ τοῦ λόγου ὧν εἴδομέν τε καὶ ἀκηκόαμεν, οὕτω κοινωνοὺς καὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. Τούτου δὲ τυχόντες, χαρᾶς ἂν πληρωθείημεν, ὡς τῷ Θεῷ κεκολλημένοι, B ἢ ὅτι ὑμῶν ἡμῖν κοινωνούντων, πληρεστάτην ἔχομεν τὴν χάριν ὑμῶν, ἣν τοῖς θερισταῖς ὁ χαίρων σπορεὺς ἐν τῇ τοῦ μισθοῦ ἀπολήψει βραβεύσει, χαιρόντων καὶ τούτων, ὅτι τῶν πόνων αὐτῶν ἀπολαύουσι. Ταῦτα εἰπὼν ἐπαναλαμβάνει πάλιν τὸν λόγον, σαφηνίζων τίς ἡ ἀγγελία, ἣν ἀκήκοε. Καί φησιν ὅτι αὕτη ἐστίν· Ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστι. Καὶ ποῦ τοῦτο ἤκουσεν; ἀπ' αὐτοῦ τοῦ Χριστοῦ, « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, » λέγοντος. Καί, « Φῶς εἰς τὸν κόσμον ἐλήλυθα. » Φῶς οὖν ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστι. Φῶς δὲ νοερὸν, τοὺς τῆς ψυχῆς ἡμῶν ὀφθαλμοὺς εἰς τὴν αὐτοῦ ἀντίληψιν ἀνακινοῦν, καὶ τούτων τῶν ὑλικῶν ἀποστρέφον ἁπάντων, καὶ πρὸς αὐτὸ μόνον C τὴν ὄρεξιν ἐρωτικῷ πάθει ἀκατασπεῦδον. Σκοτίαν δὲ ἤτοι τὴν ἄγνοιαν ἢ τὴν ἁμαρτίαν φησίν. Ἐν γὰρ τῷ Θεῷ οὔτε ἄγνοια ἐνορᾶται, οὔτε ἁμαρτία. Περὶ τὴν ὕλην γὰρ ταῦτα, καὶ τὴν καθ' ἡμᾶς σύνθεσιν. Εἰ δέ που εἴρηται, « Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, » ἀλλ', « Ἔθετο, » εἶπεν, οὐχί, Ἔστι σκότος, ὥσπερ εἶπεν, Ἔστι φῶς. Ἕτερον γὰρ τὸ τιθέμενον τοῦ τιθέντος. Τὸ σκότος οὖν ἐνταῦθα, τὴν ἐν ἀκαταληψίᾳ ἀγνωσίαν τοῦ Θεοῦ δηλοῦντος ἐστίν· ἡμῶν δὲ τοῦτο, οὐ τοῦ Θεοῦ ἐστί. Τίθεται γάρ τι τῶν μὴ ἐνυπαρχόντων τινὶ, καὶ οὐχ ἑαυτοῦ χάριν, ἀλλά τινος τῶν περὶ αὐτόν. Ὅτι δὲ καὶ τὴν ἁμαρτίαν σκότος καλεῖ, ἀπὸ τῶν ἐν τῷ Εὐαγγελίῳ εἰρημένων αὐτῷ, δῆλον. Τί γὰρ ἐκεῖ φησι; « Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε· » D σκότος τὴν ἁμαρτητικὴν ἡμῶν λέγων οὐσίαν. Ἐν ᾗ γενόμενος, ἤτοι προσλαβόμενος ταύτην, τῶν ἀπ' αὐτῆς οὐ μετείληφε μολυσμῶν· ἁμαρτίαν γὰρ οὐκ ἐποίησε, καὶ ἐξῆς. Ἐπεὶ οὖν κοινωνοὺς ἡμᾶς, φησὶ, παραλαμβάνομεν Θεοῦ, φωτὸς αὐτοῦ ὑπάρχοντος· ἐν δὲ τῷ τοιούτῳ φωτὶ οὐκ ἂν ὑποσταίη σκότος, ὡς ἐδείχθη, μηκέτι μηδὲ ἡμεῖς οἱ τῷ φωτὶ κοινωνοῦντες σκότος παραδεξώμεθα ἐν ἑαυτοῖς, ἵνα μὴ ψεύδους ὑπόσχωμεν δίκας, καὶ μετὰ τοῦ ψεύδους, τῆς τοῦ φωτὸς ἀπορῥαγῶμεν κοινωνίας. Ὥστε τῆς κοινωνίας ἐχόμενοι τῆς ἀλλήλων, (δῆλον δὲ ὅτι τῆς ἡμῶν τε καὶ τοῦ φωτὸς,) ἀναλώτους ἑαυτοὺς καθιστάνομεν

« Et annuntiamus vobis vitam. » Quod ergo vidimus et audivimus, annuntiamus vobis, inquit. Quidnam illud est? quod is qui est vita æterna nobis manifestatus est, et inspectores ipsius facti sumus et ante passionem et post resurrectionem. Ipse enim in carne clavis fuit cruci affixus, et in eadem carne resurrexit. Et quod lucrum ex hac annuntiatione vobis adferimus? nempe illud, quod, quemadmodum vos consortes assumimus per sermonem eorum quæ et vidimus et audivimus, ita et consortes Patris ac Filii ipsius Jesu Christi. Hoc autem nacti, gaudio repleamur tanquam Deo uniti. Aut quia dum vos nobiscum estis participes, plenissimum habemus gaudium nostrum, quod in receptione mercedis gaudens seminator constituet messoribus, gaudentibus et his quod suis fruantur laboribus. His dictis rursum sermonem resumit, explanans quæ sit annuntiatio quam audivit; et ait hanc esse, quod Deus lux est, et tenebræ in eo non sunt. Et ubi audivit? Ab ipso Christo, qui dicebat: « Ego sum lux mundi; » et: « Lux in mundum veni [45]. » Lux ergo est, et tenebræ in eo non sunt. Lux autem spiritualis agitans animæ nostræ oculos ad sui susceptionem, et ab his omnibus materialibus avertens, atque ad solum sui desiderium amatorio affectu urgens. Tenebras autem, vel ignorantiam dicit vel peccatum. In Deo namque nec ignorantia conspicitur nec peccatum. Hæc enim circa materialia et constitutionem quæ apud nos est reperiuntur. Quod si alibi dictum est: « Positæ sunt tenebræ latibulum ipsius [46] : » dixit tamen « Positæ sunt; » non autem Sunt tenebræ, sicut dixit, Lux est. Aliud enim est quod ponitur ab eo qui ponit. Hic ergo tenebræ ignorantiam significant, quæ in eo est quod Deus comprehendi nequeat: porro hoc nostrum est, non Dei. Ponitur ergo aliquid eorum quæ non conveniunt alicui, nec ipsius gratia, sed alicujus quod eum concernit. Quod autem et tenebras appellet peccatum, manifestum est ex his quæ ab eodem dicta sunt in Evangelio. Quid enim ibi dicit? « Et lux in tenebris lucet, et tenebræ ipsam non comprehenderunt [47] : » tenebras dicens peccatis obnoxiam nostram substantiam, in qua factus sive qua assumpta non contraxit ab ipsa inquinationes: **563** quoniam peccatum non fecit [47] etc. Quandoquidem igitur nos ad Dei consortium assumimur qui lux est; porro in hujusmodi luce subsistere nequeunt tenebræ, ut demonstratum est, neque nos qui lucis participes sumus, tenebras post hac in nobis ipsis suscipiamus, ne mendacii pœnas luamus, et una cum mendacio a lucis societate abstrahamur. Itaque societatem habentes mutuam (nempe et inter nos et inter lucem) captu difficiles

[45] Joan. VIII, 12 et XII, 46. [46] Psal. XVII, 12. [47] Joan. I, 5. [47] Isa. LIII, 12.

nos reddimus peccato. Sed quomodo id nobis continget, inquit, qui prius in multis offendimus peccatis? nemo siquidem verax et qui vero dicendo assuevit, dicere audebit quod absque peccato sit. Si quis igitur hoc timore circumfusus sit et occupatus, bono sit animo, inquit, nam sanguine Filii ejus Jesu Christi pro nobis effuso purificatus est, contracta cum ipso societate. Animadverte igitur quod propter summam unionem, Filium Patris etiam vocet assumptam ex nobis naturam, cujus proculdubio assumptæ naturæ sanguis omnino est, et non Dei. Quomodo ergo, annon delirus et impius est Nestorius, qui Filii earnem separans, matrem ipsius non patitur Θεοτόκον, id est, Deiparam appellari? « Quod si in luce ambulamus, sicut ipse est, » Sciendum quod totius sententiæ intellectus est eversio blasphemiæ Judæorum; ipsi namque dixerunt de Christo: « Nos scimus quod peccator sit [48]. » Ait ergo: Si lucis opera facimus, consortes ejus sumus: si autem non facimus, alieni ab ipso sumus. Quomodo ergo, annon verax est, inquit, nec peccatum ullum fecit [49], quanquam inter peccatores a nobis reputatus est? Si ergo nos qui diximus: « Sanguis ejus super nos et super filios nostros [50], » impudenter dixerimus quod non peccavimus, nosipsos fallimus sive decipimus, quasi non sit peccatum crucifixisse Christum. Est enim, et maximum: ideo non dixit, Mentimur, sed: «Nos ipsos fallimus, et veritas in nobis non est, » quia error extra veritatem est. Si vero peccatum agnoscamus et confiteamur, remittet nobis. Communicando autem in sermone cum aliis, austeritatem reprehensionis plurimum mitigavit, dicens: Si dixerimus.

I, 8-16. *Si dixerimus, Peccatum non habemus,* **564** *nosipsos fallimus, et veritas in nobis non est. Si confiteamur peccata nostra, fidelis est et justus, ut remittat nobis peccata nostra, et emundet nos ab omni iniquitate. Si dixerimus quod non peccavimus, mendacem facimus eum, et sermo ejus non est in nobis.*

« Si confiteamur peccata. » Repetit sermonem, abundantius eo utens, ut frequentia productæ redargutionis et ipsos peccati magnitudine coerceat et ad confessionem invitet. Quantum autem bonum a confessione oriatur, significavit qui dixit: « Dic tu primum peccata tua, ut justificeris [51]. » Hoc autem moris etiam fuit præceptori hujus dilecti discipuli, ut eadem frequentius repeteret, moderatius primum, deinde perfectius, volens efficaciorem dictorum efficere cognitionem, ac studens ipsorum habitum auditoribus inserere. « Fidelem vero dixit Deum. » Hoc est veracem. Πιστὸς namque, id est fidelis, dicitur non solum de eo cui aliquid concreditum est, verumetiam de eo qui in veritate confirmatus est, qui ex suo veraci more habet alios quoque hujus participes efficere. Fidelis itaque

A ἁμαρτίας. Ἀλλὰ πῶς ἔσται τοῦτο, φησὶν, ἡμῖν τοῖς πρότερον πολλαῖς ἐνισχημένοις ἁμαρτίαις; Οὐδεὶς γὰρ ἂν ἀληθὴς καὶ ἀληθεύειν ἐπανῃρημένος τολμήσει ἐρεῖν ὡς ἀναμάρτητός ἐστιν. Εἴ τις οὖν τῷ φόβῳ τούτῳ περικατείληπται, θαρρείτω, φησί. Τῷ γὰρ αἵματι τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τῷ ἐκχυθέντι ὑπὲρ ἡμῶν κεκάθαρται ὁ τὴν κοινωνίαν αὐτοῦ ἀσπασάμενος. Σκόπει δὲ ὅπως διὰ τὴν ἄκραν ἕνωσιν, Υἱοῦ τοῦ Πατρὸς καὶ τὸ ἐξ ἡμῶν καλεῖ πρόσλημμα, οὗ πάντως ἀναμφιβόλως τὸ αἷμα, ἀλλ' οὐχὶ τοῦ Θεοῦ. Πῶς οὖν οὐ λῆρος καὶ ἀσεβὴς Νεστόριος, διαιρῶν τοῦ Υἱοῦ τὴν σάρκα, καὶ Θεοτόκον μὴ ἀνεχόμενος τὴν αὐτοῦ μητέρα καλεῖν; « Ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν ὡς αὐτός ἐστιν. » Ἰστέον ὅτι

B ὅλος ὁ νοῦς τοῦ ῥητοῦ, ἀνατροπὴ τῆς Ἰουδαίων βλασφημίας ἐστί. Αὐτοὶ γὰρ ἔφασαν περὶ τοῦ Χριστοῦ, ὅτι· « Ἡμεῖς οἴδαμεν, ὅτι ἁμαρτωλός ἐστι. » Φησὶν οὖν, ὅτι εἰ φωτὸς ἔργα πράττομεν, κοινωνοὶ αὐτοῦ ἐσμεν, εἰ δὲ μὴ πράττομεν, ἀλλοτριούμεθα αὐτοῦ. Πῶς οὖν οὐκ ἀληθὴς, φησὶν, ἐστὶ τὸ, Καὶ ἁμαρτίαν οὐδεμίαν οὐκ ἐποίησεν, εἰ καὶ ἐν τοῖς ἀνόμοις ὑφ' ἡμῶν ἐλογίσθη; Ἐὰν οὖν, φησὶν, ἡμεῖς οἱ εἰπόντες· « Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν, » εἴπωμεν ἀναιδῶς, ὅτι οὐχ ἡμάρτομεν, ἑαυτοὺς πλανῶμεν, τουτέστιν, ἀπατῶμεν, ὡς μὴ οὔσης ἁμαρτίας τοῦ σταυρῶσαι τὸν Χριστόν. Ἔστι γὰρ καὶ μεγάλη· διὸ οὐκ εἶπε, Ψευδόμεθα, ἀλλ' « Ἑαυτοὺς ἀπατῶμεν. » Ὅτι ἡ πλάνη ἐκτὸς τῆς ἀληθείας ἐστίν. Εἰ δὲ ἐπιγνῶμεν τὴν ἁμαρτίαν καὶ ὁμολογήσομεν,

C ἀφήσει ἡμῖν. Τῇ κοινότητι δὲ τοῦ λόγου ἐλέανε τὸ ἄγαν αὐστηρὸν τοῦ ἐλέγχου λέγων, Ἐὰν εἴπωμεν,

---

Ἐὰν εἴπωμεν, Ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. Ἐὰν εἴπωμεν, ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν, καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

« Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας. » Ἐπαναλαμβάνει τὸν λόγον φιλοτιμότερον χρώμενος, ὡς ἂν τῷ κατακόρῳ τῆς τοῦ ἐλέγχου προαγωγῆς, αὐτούς τε

D ἐπιστήσῃ τῷ τοῦ ἐγκλήματος μεγέθει, καὶ ἐπὶ ὁμολογίαν παρακαλέσῃ. Ὅσον δὲ τὸ ἀπὸ τῆς ὁμολογίας τίκτεται ἀγαθὸν, ἐδήλωσεν εἰπών· « Λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς. » Τοῦτο δὲ καὶ ἔθος τὸ τοῦ παρόντος ἠγαπημένου μαθητοῦ διδασκάλῳ, τὰ αὐτὰ πολλάκις ἀνακυκλεῖν, μετριώτερον πρῶτον, εἶτα τελειώτερον, ἐναργεστέραν τὴν γνῶσιν τῶν λεγομένων ποιεῖν βουλομένῳ, καὶ ἕξιν αὐτῶν τοῖς ἀκροαταῖς ἐμποιῆσαι σπεύδοντι. « Πιστὸν δὲ τὸν Θεὸν » ἀντὶ τοῦ ἀληθῆ εἴρηκε. *Πιστὸς* γὰρ οὐ μόνον ἐπὶ τοῦ πεπιστευμένου, ἀλλὰ καὶ ἐπὶ τοῦ πιστωτικοῦ εἴρηται, ὃς ἀπὸ τοῦ ἑαυτοῦ ἀληθοῦς τρόπου ἔχει καὶ τὸ τοῖς ἄλλοις τούτου μετα-

[48] Joan. IX, 34. [49] Isa. LIII, 12. [50] Matth. XXVII, 24. [51] Isa. XXIII, 26.

διδόναι. Πιστὸς μὲν οὖν οὕτω Θεὸς, δίκαιος δὲ ὡς μὴ τοὺς αὐτῷ προσιόντας ἀπωθούμενος, ὁποῖα ἂν ὦσιν ἡμαρτηκότες. Ἀφίησιν οὖν τὰς ἁμαρτίας ἀναμφιβόλως τοῖς διὰ μετανοίας ἀγίῳ προτρέχουσι βαπτίσματι, εἴτε εἰς αὐτὸν, εἴτε εἰς ἕτερον πεπλημμελήκασιν. Εἰ μὲν οὖν ὁμολογοῦμεν, φησὶ, πευξόμεθα καὶ τῆς κατ' ἀλλήλων συγγνώμης. Εἰ δὲ ἀναιδευόμενοι λέγομεν οὐχ ἡμαρτηκέναι, διπλοῦν ἐργασόμεθα τὸ κακὸν, καὶ ἑαυτοὺς ψεύστας ἀποφαίνοντες, καὶ τὸν ὑπὲρ πᾶσαν ἀλήθειαν εἰς ψεῦδος βλασφημοῦντες Θεόν. Αὐτὸς γάρ φησι διὰ τοῦ Προφήτου· « Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν. » Καὶ δι' ἑαυτοῦ πάλιν· « Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; » Εἰ τούτων δὲ οὕτως ἐχόντων, αὐτοὶ λέγομεν μὴ ἡμαρτηκέναι, τὸν λόγον αὐτοῦ ἀρνούμεθα, ὃς ἐστι πνεῦμα καὶ ζωή. « Τὰ ῥήματα γὰρ, φησὶν, ἃ ἐγὼ λαλῶ, πνεῦμά ἐστι καὶ ζωή. » Καὶ οὐκ ἔτι ἔχομεν τὸν λόγον αὐτοῦ ἐν ἡμῖν ἐμφιλοχωροῦντα. Οὗ τί ἂν ἴσται βαρύτερον;

A dicitur hoc modo Deus : justus vero, ut qui ad se accedentes non repellat, qualiacunque fuerint in quibus peccaverunt. Remittit igitur indubie peccata his qui per pœnitentiam ad sanctum baptisma accurrerint, sive in ipsum deliquerint, sive in alium. Si ergo confitemur, inquit, convenientem etiam veniam assequemur. Si vero impudenter dicimus nos non peccasse, duplex operabimur malum, et nosipsos ostendentes mendaces, et Deum qui excedit omnem veritatem de mendacio calumniantes. Ipse enim ait per Prophetam : « Reddiderunt mihi mala pro bonis [88]. » Rursumque per semetipsum : « Si male locutus sum, testificare de malo : sin bene, cur me cædis [89] ? » Quod si his ita se habentibus adhuc dicimus nos non peccasse, ipsius verba B negamus, quæ spiritus et vita sunt. « Verba enim quæ ego loquor, inquit, spiritus et vita sunt [90] : » nec jam habemus ipsius sermonem in nobis immanentem : quod quid gravius esse poterit ?

Τεκνία μου, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε. Καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα, Ἰησοῦν Χριστὸν, δίκαιον. Καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐγνώκαμεν αὐτὸν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Ὁ λέγων, Ἔγνωκα αὐτὸν, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστὶ, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν. Ὃς δ' ἂν τηρῇ C αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ Θεοῦ τετελείωται. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ ἐσμεν. Ὁ λέγων ἐν αὐτῷ μένειν, ὀφείλει, καθὼς ἐκεῖνος περιεπάτησε, καὶ αὐτὸς οὕτως περιπατεῖν.

II, 1-6. *Filioli mei, hæc scribo vobis ut non* **565** *peccetis. Et si quis peccaverit, advocatum habemus apud Patrem, Jesum Christum, justum. Et ipse est propitiatio pro peccatis nostris : non pro nostris autem tantum, sed etiam pro totius mundi. Et per hoc cognoscimus quod eum noverimus, si præcepta illius observamus. Qui dicit, Novi eum, et præcepta ejus non servat, mendax est, et in eo veritas non est. Qui autem sermonem ejus observat, vere in hoc charitas Dei perfecta est. Per hoc scimus quod in ipso sumus. Qui dicit se in eo manere, debet sicut ille ambulavit et ipse ambulare.*

Τὸ ἀσιάθμητον καὶ πλημμελὲς τῆς φύσεως ἡμῶν ἐπιστάμενος, καὶ ὅτι ἀεὶ σύνοικον ἔχοντες τὴν ἐπὶ τὰ χείρω ῥοπὴν, καὶ τὸν ἐφεδρεύοντα τῇ σωτηρίᾳ ἡμῶν φθονερὸν δαίμονα, ἀνάγκη μὴ προσεχόντως βιοῦντας ἁμαρτάνειν τοὺς ἤδη δι' ἐξομολογήσεως οἰκειωθέντας Θεῷ, ἐπάγει ταῦτα, ὅτι κἂν μετὰ τὴν ἄφεσιν πταίσωμεν, μὴ ἀπογνῶμεν ἑαυτῶν. Ἐπιστρέφοντες γὰρ τύχωμεν καὶ πάλιν τῆς σωτηρίας, διὰ τῆς τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μεσιτείας. Αὐτὸς γὰρ τῷ Πατρὶ περὶ ἡμῶν ἐντυγχάνων, ἱλάσεται περὶ τῶν ἁμαρτιῶν ἡμῶν· καὶ οὐ περὶ τῶν ἡμετέρων μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. Τοῦτο δὲ εἶπεν, ἤτοι ὅτι πρὸς Ἰουδαίους ἔγραφε, καὶ ἵνα μὴ μόνοις ἐκείνοις περικλείσῃ τὰ τῆς μετανοίας, ἀλλὰ καὶ πρὸς τὰ ἔθνη ἐξαπλώσῃ ταύτην. Ἢ ὅτι μὴ τοῖς κατ' ἐκεῖνο καιροῦ ἡ ἐπαγγελία μόνον, ἀλλὰ καὶ τοῖς μετέπειτα πᾶσι. Παράκλητον δὲ τὸν ὑπὲρ ἡμῶν φησι τὸν Πατέρα παρακαλοῦντα, ἤτοι προτρεπόμενον. Ἀνθρωπινώτερον δὲ ταῦτα καὶ οἰκονομικώτερον, εἴρηται, ὡς τὸ, « Οὐδὲν δύναται ποιεῖν ἀφ' ἑαυτοῦ ὁ Υἱός. » Διὰ γὰρ μὴ τὸ ἀντίθεος δόξαι ταῦτά φησιν, ἐπεὶ ὅτι καὶ ὁ Υἱὸς ἐξουσίαν ἔχει ἀφιέναι ἁμαρτίας, ἔδειξεν ἐπὶ τοῦ παραλύτου. Ἀλλὰ καὶ τοῖς

Naturæ nostræ instabilitatem et proclivitatem ad peccatum sciens, quodque semper familiare nobis sit ut ad deteriora labamur, cumque insidietur præterea nostræ saluti invidiosus dæmon, necesse esse eos qui Deo jam familiares effecti sunt peccare nisi caute vivant : hæc subjungit, quod si etiam post remissionem labamur, ne de nobisipsis desperemus. Conversi namque rursum salutem consequemur, per mediatorem Dominum Jesum Chri- D stum. Ipse enim interpellans pro nobis Patrem, placabit eum pro peccatis nostris : nec tantum pro nostris, sed etiam pro totius mundi. Hoc autem dixit : aut quod ad Judæos scriberet, utque non pro solis illis profuturam resipiscentiam concluderet, sed hanc ad gentes quoque extenderet : aut quod non illis duntaxat fieret promissio qui in illo tempore forent, verum etiam ad omnes qui postmodum futuri essent. Advocatum vero dicit eum qui Patrem pro nobis precatur sive flectit. Humano autem modo et dispensatione quadam hæc dicta sunt : quemadmodum et illud : « Filius nihil potest facere a seipso [91]. » Hæc enim dicit, ne Deo adversari videatur. Nam quod etiam Filius haberet po-

[88] Psal. xxxvii, 21. [89] Joan. xviii, 23. [90] Joan. vi, 64. [91] Joan. v, 19.

testatem remittendi peccata ostenderat in paralytico [56]. sed et discipulis dando ut peccata remitterent, ostendit quod sua potestate hoc tribueret [57]. Verum ut diximus aut dispensatorie hoc dicit nunc Apostolus, aut ostendens eamdem Filii cum Patre naturam eamdemque potentiam, et quod quidquid faceret una trium sanctarum personarum, **566** commune esset et reliquis. « Et per hoc cognoscimus. » Cum in superioribus dixisset eos qui in Dominum crediderunt societatem habere ad ipsum, ea nunc proponit quæ societatem erga illum confirmant, et ait : Et per hoc cognoscimus quod eum noverimus. Solet hic divinus vir similibus dictionibus eodem modo frequenter uti : quemadmodum etiam dum ait : « In mundo erat, et mundus per ipsum factus est, et mundus eum non cognovit [58]. » Ita ergo et nunc utitur verbo Cognoscere. Quod eum noverimus, hoc est, quod una cum eo commisti simus, ex hoc cognoscimus si præcepta illius observamus. Duo significat verbum γινώσκειν, id est cognoscere, potissimum apud sacram Scripturam, puta scire aliquid : quemadmodum ubi dicitur ; « Cognovi quod faciet Dominus judicium pauperum [59]. Præterea significat omnimodam conjunctionem et confirmationem erga aliquem, quæ cognitio appellatur : sicut cum dicitur, Novit Dominus vias innocentium [60], et sicut ait Paulus, « Ut cognoscamus Deum veluti etiam ab eo cogniti sumus [61]. » Similiter autem et de contrario puta ignorantia dicendum est quod dupliciter intelligatur. Quemadmodum enim externis quoque scriptoribus videtur una est contrariorum scientia. Juxta hoc ergo Cognoscere hoc loco duobus modis acceptum est. Siquidem cum ait, « Per hoc cognoscimus, » pro scire sumitur ; cum autem dicitur ; Quod eum noverimus, hoc est quod firmiter cum eo conjuncti simus. Qui enim consortium habet cum aliquo, etiam commistus ac conjunctus est illi in eo quod participat. Propterea etiam subjungit Præcepta ejus observamus. Ex hoc etiam solveretur illud : « Novit Dominus qui sunt sui [62], » et illud : « Eum qui non noverat peccatum, pro nobis peccatum fecit [63] : » et si quid aliud apud divinam Scripturam de cognitione vel ignorantia tractatur. Deinde a contrario idem confirmat, abundantiori utens probatione, et ait : Qui dicit, Novi eum, sive societatem habeo cum ipso, et præcepta ejus non observat, mendax est. Quomodo enim fieri potest ut idem conjunctus et adhærens sit, et non adhærens? Certe servare præcepta, adhæsionem designat, non observare autem, nequaquam esse familiarem. Itaque qui novit Deum, etiam ab eo cognitus est, sive consors factus est cum Deo et Deo colligatus : et in hoc dilectio Dei conspicitur, per quam dilectionem habebit perfectionem quæ est in Deo, **567** et hujus judicium faciet familiaritatem suam erga Deum. Per opera namque exhibetur perfecta dilectio. Verum quia contingit recta et exacta tradere aliquem præcepta, cum tamen ipse segnius sit affectus : quod longe

A μαθηταῖς τοῦτο δοὺς τὸ ἀφιέναι ἁμαρτίας ἐνέφηνεν, ὡς αὐτοδεσπότως τοῦτο παρέχει. Ἀλλ' ὡς ἔφημεν, ἢ οἰκονομικῶς τοῦτο νῦν ὁ Ἀπόστολός φησιν, ἢ παριστῶν τὸ πρὸς τὸν Πατέρα τοῦ Υἱοῦ ὁμοφυές τε καὶ ὁμοδύναμον, καὶ ὅτι ὃ ἂν ποιῇ τὸ ἓν τῶν τριῶν ἁγιαστικῶν ὑποστάσεων, κοινόν ἐστι καὶ τῶν λοιπῶν. « Καὶ ἐν τούτῳ γινώσκομεν. » Εἰρηκὼς ἀνωτέρω τοὺς εἰς τὸν Κύριον πεπιστευκότας κοινωνίαν ἔχειν πρὸς αὐτὸν, πιστωτικὰ, τῆς κοινωνίας τῆς πρὸς αὐτὸν παρατίθεται νῦν, καί φησιν, ὅτι Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐγνώκαμεν αὐτόν. Ἔθος γὰρ τῷ μακαρίῳ τούτῳ ἀνδρὶ ταῖς ὁμωνυμίαις χρῆσθαι κατὰ ταυτὸν, ὥσπερ καὶ ἐν τῷ, « ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. » Οὕτως οὖν καὶ νῦν χρῆται

B τῷ, Ἔγνω. Τὸ δὲ, Ὅτι ἐγνώκαμεν αὐτὸν, ἀντὶ τοῦ ὅτι συνανεκράθημεν αὐτῷ ἐν τούτῳ ἐπιστάμεθα ἐν τῷ τὰς ἐντολὰς αὐτοῦ τηρεῖν. Δύο γὰρ σημαίνοντος μάλιστα παρὰ τῇ θείᾳ Γραφῇ τοῦ *γινώσκειν*, τό τε ἐπίστασθαί τι, ὡς ἐν τῷ, « Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν. » Καὶ δὴ καὶ τῆς παντελοῦς πρός τινα ἀνακράσεως, γνώσεως λεγομένης, ὡς ἐν τῷ, Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, καὶ ὡς Παῦλος· « Ἐπιγινώσκειν ἡμᾶς φησὶ τὸν Θεὸν, καθὼς καὶ ὑπ' αὐτοῦ ἐπεγνώσμεθα. » Ὡσαύτως δὲ καὶ τοῦ ἐναντίου τούτῳ, τουτέστι τοῦ ἀγνοεῖν, διχῶς νοουμένου, (μία γὰρ ὡς καὶ τοῖς ἔξω δοκεῖ, ἡ τῶν ἀντικειμένων γνῶσις.) κατὰ τοῦτο νῦν καὶ τὸ Γινώσκειν διχῶς εἴληπται

C ἐνταῦθα, Τὸ μὲν γὰρ, « Ἐν τούτῳ γινώσκομεν, » κατὰ τὸ ἐπίστασθαι· τὸ δὲ, Ἐγνώκαμεν αὐτὸν, κατὰ τὸ, Ἀνεκράθημεν αὐτῷ. Ὁ γὰρ κοινωνῶν τινι, καὶ ἀνακέκραται αὐτῷ καθὸ κοινωνεῖ. Διὸ καὶ ἐπάγει, Τὰς ἐντολὰς αὐτοῦ τηρεῖ. Ἐκ τούτου λυθείη ἂν καὶ τὸ, « Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ· » καὶ τὸ, « Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε· » καὶ εἴτι ἕτερον παρὰ τῇ θείᾳ Γραφῇ περὶ τὸ ἐγνωκέναι ἢ ἀγνοεῖν στρέφεται. Εἶτα ἀπὸ τοῦ ἐναντίου τοῦτο αὐτὸ κατασκευάζει, περιουσιαστικώτερον χρώμενος τῇ ἀποδείξει, καί φησιν· Ὁ δὲ λέγων, Ἔγνωκα αὐτὸν, ἤτοι κοινωνίαν ἔχω μετ' αὐτοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστί. Πῶς γὰρ οἷόν τε καὶ ἀνακεκρᾶσθαι καὶ μὴ, τὸν αὐτόν ; Εἴπερ τὸ μὲν ποιεῖν τὰς ἐντολὰς,

D τὴν ἀνάκρασιν ὑποφαίνει· τὸ δὲ μὴ τηρεῖν, τὸ μηδαμῶς ᾠκειῶσθαι. Ὥστε ὁ ἐγνωκὼς τὸν Θεὸν, καὶ ὑπὸ τοῦ Θεοῦ ἔγνωσται, ἤτοι ᾠκείωται Θεῷ, καὶ ἀνείληπται ὑπὸ Θεοῦ. Καὶ ἐν τούτῳ ἡ ἀγάπη τοῦ Θεοῦ ἐνθεωρεῖται· δι' ἧς ἀγάπης καὶ τὸ ἐν Θεῷ τέλειον ἕξει, καὶ γνώρισμα τοῦτο ποιήσει τῆς πρὸς Θεὸν οἰκειώσεως αὐτοῦ. Διὰ γὰρ τῶν ἔργων ἡ τελεία διαδείκνυται ἀγάπη. Πλὴν ἐπειδή ἔστι τινὰ ὀρθὰς μὲν καὶ ἀκριβεῖς ποιεῖν ἐντολὰς, αὐτὸν δὲ νωθρότερον διακεῖσθαι, ὅπερ ἀπὸ Θεοῦ πόῤῥω ἐστὶ, διὰ τοῦτο φησὶν, ὅτι ὁ ἐν Θεῷ, ᾠκειωμένος κατ' ἐκεῖνον ὀφείλει καὶ αὐτὸς τὰς ἑαυτοῦ πορείας κατευθύνειν τοῦ βίου.

[56] Matth. IX, 2 et seq. [57] Joan. XX, 23. [58] Joan. I, 10. [59] Psal. CXXXIX, 1. [60] Psal. I, 6. [61] I Cor. XIII, 6 ; Gal. IV, 9. [62] II Tim. II, 11. [63] II Cor. V, 21.

est a Deo : propterea dicit quod is qui in Deo moratur, debet ipse secundum illum, suæ quoque vitæ itinera dirigere.

ΚΕΦΑΛ. Β'.

Περὶ ἀγάπης, ἧς ἄνευ ἀσέβεια. Ἐν ᾧ παραίνεσιν περὶ χάριτος ἑκάστου καθ' ἡλικίαν. Καὶ περὶ ἀποτροπῆς τῆς πρὸς τὸν κόσμον ἀγάπης.

Ἀδελφοί, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλὰ ἐντολὴν παλαιὰν, ἣν εἴχετε ἀπ' ἀρχῆς. Ἡ ἐντολὴ ἡ παλαιά ἐστιν ὁ λόγος, ὃν ἠκούσατε ἀπ' ἀρχῆς. Πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν· Ὃ ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ ἐν ὑμῖν, ὅτι ἡ σκοτία παράγεται, καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει. Ὁ λέγων ἐν τῷ φωτὶ εἶναι, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν, ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι. Ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ φωτὶ μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν. Ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῇ σκοτίᾳ ἐστὶ, καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ, καὶ οὐκ οἶδε ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ.

Περὶ ἀγάπης λοιπὸν τῆς πρὸς τοὺς πλησίον τρέπεται, καί φησιν, ὅτι ἡ πρὸς Θεὸν ἀνάκρασις ἤτοι ἀγάπη ἐκ τῆς εἰς τὸν πλησίον πρώτου γινώσκεται ἀγάπης. Οὐδὲ γὰρ ἐνδέχεται τὸν ἀπὸ τῆς τοῦ Θεοῦ γνώσεως πεφωτισμένον, καὶ τῆς ἀγάπης αὐτοῦ πεπληρωμένον, τὸ ἀπὸ τοῦ πρὸς τὸν ἀδελφὸν αὐτοῦ μίσους σκότος ἔχειν. Φῶς γὰρ καὶ σκότος κατὰ ταὐτὸν καὶ περὶ τὸ αὐτὸ ἀσυνύπαρκτα. Ὥστε ὁ ἀπὸ τῆς πρὸς τὸν Θεὸν ἀγάπης πεφωτισμένος, ἀπὸ τῆς τοῦ ἀδελφοῦ ἀνάπτεται ἀγάπης· ὁ τὸν Θεὸν ἔχων, ἔχει καὶ τὸ πρὸς τὸν ἀδελφὸν φῶς. Ὁ δὲ τὸν Θεὸν μὲν ἀγαπᾷν λέγων, μισῶν δὲ τὸν ἀδελφὸν, ἐν σκότῳ ὑπάρχει διηνεκεῖ, τυφλώττων ἀεὶ τοὺς γνωστικοὺς ὀφθαλμοὺς, ἅτε τὸ ἀπὸ τῆς ἀνακράσεως τῆς τε πρὸς τὸν Θεὸν, τῆς τε πρὸς τὸν ἀδελφὸν ἀπολωλεκὼς φῶς. Καὶ οὐκ οἶδε λοιπὸν ὅτι χρήσαιτο ἑαυτῷ. Ἐπειδὴ δὲ καθολικῆς τῆς Ἐπιστολῆς οὔσης καὶ κοινῶς πρὸς ἅπαντας Ἰουδαίους τε καὶ Ἕλληνας, πρὸς μὲν Ἰουδαίους ἔχει λόγον τὸ εἰπεῖν, οὐ καινὴν αὐτοῖς ἐντολὴν τὴν περὶ ἀγάπης γράφειν, ἀλλὰ παλαιάν. Καὶ γὰρ ἐν ταῖς πλαξὶ Μωσέως, τὸ, « Ἀγαπήσεις μετά γε Θεὸν καὶ τὸν πλησίον σου ὡς σεαυτὸν, » ἀναγέγραπται. Πρός γε μὴν Ἕλληνας, τί ἂν εἴποι τις περὶ παλαιᾶς ἐντολῆς οὐδαμοῦ τούτου εὑρισκομένου; Φαμὲν οὖν ὡς καὶ τούτοις γέγραπται ὁ πρὸς τοὺς πλησίον νόμος ὁ περὶ ἀγάπης. Ποῦ καὶ πῶς; Ἐν τῷ τῆς καρδίας πυξίῳ φυσικαῖς ἐννοίαις ἐγγεγραμμένος. Καὶ ὅτι αἱ ἐνεσπαρμέναι ἡμῖν φυσικαὶ ἔννοιαι νόμος λέγονται, Παῦλος ἱκανὸς πιστώσασθαι τὸν λόγον, οὕτως εἰπών· « Βλέπω δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, τῷ ὄντι ἐν ἐμοί. » Νόμον οὖν, ἤτοι ἐντολὴν παλαιὰν, καὶ Ἕλληνες ἔλαβον, νομογραφούσης τῆς φύσεως, ἡμέρους εἶναι πρὸς τὸ συγγενὲς ἅπαν καὶ φιλαλλήλους, καθὸ καὶ συναγελαστικὸν ζῶον ὁ ἄνθρωπος. Ὃ οὐκ ἂν ἐκτὸς γένοιτο ἀγάπης. Ἀλλὰ καὶ ἀλλήλων ὑπεραποθανόντας ἀνθρώπους πολλοὺς παλαιαὶ ἀναγράφουσιν ἱστορίαι. Ὃ τῆς μείζονος ἀγάπης γνώρισμα, ὁ

CAPUT II.

De dilectione sine qua manet impietas : in quo etiam agit de gratia juxta cujusque ætatem et de aversione ab amore mundi.

II, 7-11. *Fratres, non præceptum novum scribo vobis, sed præceptum vetus quod habuistis ab initio. Præceptum vetus est sermo quem audistis ab initio. Rursum præceptum novum scribo vobis quod verum est in ipso, idem verum est et in vobis : quia tenebræ prætereunt, et vera lux jam lucet. Qui dicit se in luce esse, et fratrem suum odit, in tenebris est usque adhuc. Qui diligit fratrem suum, in luce manet, et offendiculum in eo non est. Qui autem odit fratrem suum, in tenebris est, et in tenebris ambulat, et nescit quo eat, quia tenebræ obcæcaverunt oculos ejus.*

Circa dilectionem erga proximum deinceps versatur, et ait quod conjunctio erga Deum sive dilectio, cognoscitur primum ex dilectione erga proximum. Neque enim fieri potest ut is qui a Dei cognitione illuminatus est, et ejus dilectione repletus, tenebras habeat ex odio adversus fratrem suum. Siquidem lux ac tenebræ ad idem et secundum idem convenire non possunt. Itaque qui a dilectione circa Deum illuminatus est, ad fratris dilectionem accenditur, et Deum habens, habet **568** et lucem erga fratrem. Qui autem dicit se Deum diligere et fratrem suum odit, in continuis est tenebris, semper cæcutiens intellectualibus oculis, ut qui lucem perdiderit quæ erat a conjunctione et erga Deum et erga fratrem : neque novit quomodo deinceps ea utatur. Quoniam autem Epistola hæc generalis erat, et communiter ad omnes et Judæos et Græcos dirigebatur : ad Judæos quidem sermonem dirigit, cum ait, Non præceptum novum scribo vobis, sed vetus, de dilectione loquens. Siquidem in tabulis Mosi scriptum erat : « Diliges post Deum etiam proximum tuum sicut teipsum [65]. » Ad Græcos vero (dicat quispiam) quidnam de veteri præcepto scriptum est, cum hoc nusquam reperiatur? Dicimus ergo, quod his quoque lex scripta erat de dilectione erga proximos. Ubi et quomodo? nempe scripta in tabula cordis per naturalem intelligentiam. Et quod seminatæ in nobis naturales intelligentiæ dicantur lex, Paulus idoneus est ad confirmandum sermonem, qui ita dicit : « Video aliam legem repugnantem legi mentis meæ quæ est in me [66]. » Legem ergo sive præceptum vetus etiam Græci acceperant, scribente legem natura, ut benigni essent erga universos propinquos, et sui invicem amantes, quatenus homo sociale animal est : quod sine dilectione fieri non posset. Sed et multos homines morti se exposuisse unum pro alio, veteres scribunt historiæ. Majoris signum dilectionis Salvator noster tradit, cum ait :

[65] Levit. xix, 18. [66] Rom. vii, 23.

« Majorem hac dilectionem nemo habet, quam ut animam suam ponat quis pro amicis suis [66]. » Ita præcepto de proximi dilectione jam olim et Judæis et Græcis posito, dicit : Præter vetus præceptum quod audistis de proximi dilectione, adhuc etiam novum præceptum scribo vobis : quod veritatem habet et in eo qui vos familiares Deo effecit, et in vobis qui participastis cum ipso. Nam quia ipse dicit : « Ego lux in mundum veni [67], » et lux vera juxta ejus sermonem jam lucet, porro in luce non possunt subsistere tenebræ : splendeat posthac vera lux dilectionis, affectu non simulato erga fratrem, et prætereant odii tenebræ, hoc est discedant, dispereant. **569** Nam hoc significat Præterire etiam apud beatum Paulum, ubi dicit, Præterit enim figura mundi hujus. — *Alio modo circa illud :* « Præceptum novum scribo vobis [68]. » Præceptum hoc novum est, quatenus Mosi præceptum non universale fuit, sed distinctum juxta eos qui ejusdem erant cognationis aut tribus, exhortans ad diligendos solos amicos [69], inimicos vero odio habendos cum dicit : « Diliges amicum tuum et odio habebis inimicum tuum [70]. » Præceptum autem Domini ejusque apostolorum nova admodum complectitur, præcipiendo : « Diligite inimicos vestros, et benefacite his qui oderunt vos, » naturali subsistentiæ hærendo, et non illi naturali affectui qui in hominibus pravis artibus deditis ex malitia inhæret. « Qui autem odit fratrem suum. » Hujusmodi quidpiam dicit his verbis : Qui dicit se esse Christi, et fratrem suum odit, mentitur et non est Christi. Si enim Christus illum ita dilexit, ut et animam suam pro eo poneret, quomodo is qui se dicit esse Christi, odit fratrem suum pro quo Christus mortuus est? Aut etiam hoc modo : Qui dicit se esse Dei, et odit fratrem suum qui est Christus, (ipse namque dicit, « Nuntiabo nomen tuum fratribus meis [71], ») hic non est Dei, sed diaboli. Nam si Dei esset, diligeret utique fratrem suum, et ita etiam Christum.

A ἡμέτερος Σωτὴρ ἀποφαίνεται, « Μείζονα ταύτης, φήσας, οὐδεὶς ἔχει ἀγάπην, ἢ ἵνα τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ. » Οὕτως ἐντολῆς τῆς περὶ τοὺς πλησίον ἀγάπης ἐκ παλαιοῦ καὶ Ἕλλησι καὶ Ἰουδαίοις κειμένης, φησὶν, ὅτι Πρὸς τῇ παλαιᾷ ἐντολῇ ἣν ἠκούσατε περὶ τῆς τοῦ πλησίον ἀγάπης, ἔτι καὶ καινὴν ἐντολὴν γράφω ὑμῖν, τὴν τὸ ἀληθὲς ἔχουσαν ἔν τε τῷ οἰκειωσαμένῳ ὑμᾶς Θεῷ διὰ τῆς πρὸς αὐτὸν κοινωνίας, καὶ ἐν ὑμῖν τοῖς κεκοινωνηκόσιν αὐτῷ. Ἐπεὶ γὰρ ἐκεῖνός φησιν, « Ἐγὼ φῶς ἐλήλυθα εἰς τὸν κόσμον, » καὶ τὸ φῶς τὸ ἀληθινὸν κατὰ τὸν ἐκείνου λόγον φαίνει ἤδη· ἐν δὲ τῷ φωτὶ οὐ πέφυκεν ὑφίστασθαι σκότος· λαμψάτω λοιπὸν τὸ τῆς ἀγάπης φῶς τὸ ἀληθὲς ἐν τῇ πρὸς τὸν ἀδελφὸν ἀνυποκρίτῳ διαθέσει, καὶ ἡ τοῦ μίσους παραγέσθω B σκοτία, τουτέστιν, οἰχέσθω, ἀφανιζέσθω. Τοῦτο γὰρ τὸ παράγειν καὶ ἐν τῷ μακαρίῳ Παύλῳ σημαίνει, ἡνίκα λέγει, Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. — Ἄλλως εἰς τό, « Ἐντολὴν καινὴν γράφω ὑμῖν. » Ἐντολὴ καινὴ αὕτη, καθόσον ἡ Μωϋσέως ἐντολὴ οὐ καθολική, ἀλλὰ διεσταλμένη ἀπὸ τοῦ ὁμογενοῦς καὶ ὁμοφύλου, μόνους εἰσηγουμένη ἀγαπᾷν τοὺς φίλους, τοὺς δὲ ἐχθροὺς μισεῖν, δι' ὧν φησιν, « Ἀγαπήσεις τὸν φίλον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου, » ἡ δὲ τοῦ Κυρίου καὶ τῶν αὐτοῦ ἀποστόλων πολὺ τὸ καινοπρεπὲς ἐνεστέρνισται, « Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, » ἐντελλομένη, « καὶ καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, » τῇ φυσικῇ προσέχοντες ὑποστάσει, οὐ τῇ ἐκ πονηρίας τῶν κακοσχόλων ἀνθρώπων τῇ φυσικῇ διαθέσει ἐπιφυομένων. « Ὁ δὲ μισῶν τὸν C ἀδελφὸν αὐτοῦ. » Τοιοῦτόν τι διὰ τούτων φησίν· Ὁ λέγων ἑαυτὸν εἶναι τοῦ Χριστοῦ, καὶ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ψεύδεται, καὶ οὐκ ἔστι τοῦ Χριστοῦ. Εἰ γὰρ ὁ Χριστὸς ἠγάπησεν αὐτὸν ὡς καὶ τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ αὐτοῦ, πῶς ὁ αὐτοῦ εἶναι λέγων μισεῖ τὸν ἀδελφὸν αὐτοῦ ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν; Ἢ καὶ οὕτως· Ὁ λέγων ἑαυτὸν εἶναι τοῦ Θεοῦ, καὶ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ὅς ἐστιν ὁ Χριστὸς (αὐτὸς γάρ φησιν, « Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου), οὐκ ἔστι τοῦ Θεοῦ, ἀλλὰ τοῦ διαβόλου. Εἰ γὰρ ἦν τοῦ Θεοῦ, ἐφίλει ἂν τὸν ἀδελφὸν αὐτοῦ, καὶ δι' αὐτοῦ τὸν Χριστόν.

II, 12-14. *Scribo vobis, filioli, quoniam remissa sunt vobis peccata propter nomen ejus. Scribo vobis, patres, quoniam cognovistis eum qui ab initio est. Scribo vobis, adolescentes, quoniam vicistis Malignum. Scribo vobis, pueruli, quoniam cognovistis Patrem. Scripsi vobis, patres, quoniam cognovistis eum qui ab initio est. Scripsi vobis, adolescentes, quoniam fortes estis, et verbum Dei manet in vobis, et vicistis Malignum.*

Γράφω ὑμῖν, τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ. Γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. Γράφω ὑμῖν, νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρόν. Γράφω ὑμῖν, παιδία, ὅτι ἐγνώκατε τὸν Πατέρα. Ἔγραψα D *ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. Ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος τοῦ Θεοῦ ἐν ὑμῖν μένει, καὶ νενικήκατε τὸν πονηρόν.*

Quoniam dixerat : Præceptum novum scribo vobis, significat etiam dispositionem illorum qui litteras essent accepturi : id autem designat per progressum ac promotionem juxta corporale augmentum. Noverat enim quod non in æquali honore sermonem essent omnes suscepturi, **570** neque æquali animo ac studio : sed hi quidem veluti pueruli magis per

Ἐπειδὴ εἶπεν, Ἐντολὴν καινὴν γράφω ὑμῖν, ἐπισημαίνεται καὶ τὴν διάθεσιν τῶν τὴν ἐπιστολὴν δεξομένων. Ἐπισημαίνεται δὲ διὰ τῆς κατὰ τὴν σωματικὴν αὔξησιν προαγωγῆς τε καὶ προκοπῆς. Ἤδει γὰρ, ὡς οὐχ ὁμοτίμως πάντες δέξονται τὸν λόγον, οὐδὲ μετὰ τῆς ἴσης σπουδῆς, ἀλλ' οἱ μὲν ὡς παῖδες, εἰσαγωγικώτερον. Οἷς καὶ παρεγγυᾶται ἄφεσιν

[66] Joan. xv, 13. [67] Joan. xii, 46. [68] 1 Cor. vii, 31. [69] Levit. xix, 18. [70] Matth. v, 43. [71] Psal. xxi, 23.

ἁμαρτιῶν διὰ τῆς εἰς Χριστὸν πίστεως. Οἱ δὲ ὡς προκόψαντες εἰς ἄνδρα τέλειον τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, καὶ οὕτως ὡς καὶ ἑτέρους δύνασθαι τεκνοποιεῖν, οἷς καὶ ἔχειν τὴν γνῶσιν τοῦ ἀπ' ἀρχῆς μαρτυρεῖ. Τίς δὲ ὁ ἀπ' ἀρχῆς, εἰ μὴ ὁ θεὸς Λόγος, ὃς ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν; Οἱ δὲ ὡς νεανίσκοι, οἷς ὡς νεάζουσι καὶ σφριγῶσι, κατὰ τῶν τῆς ἀτιμίας παθῶν τὸν ἐπινίκιον μαρτυρεῖ. Εἶτα καθ' ἑτέραν ἐπιβολὴν τὸ αὐτὸ ἐπαναλαμβάνει, πρὸς τὸ μέτρον τῆς πνευματικῆς ἡλικίας τὸν διδασκαλικὸν λόγον ἁρμοζόμενος. Ἐπεὶ οὖν, φησὶν, οὕτως ὑμᾶς οἶδα κατὰ τὰς τῶν ἡλικιῶν διαφορὰς δεξομένους τὰ παρ' ἐμοῦ γραφόμενα, ἀνάγκη κἀμὲ παραμετρῆσαι τῇ διαθέσει τῆς ἡλικίας ὑμῶν τὴν διδασκαλίαν, καὶ τοῖς μὲν ὡς παιδίοις ἐπεγνωκόσι τὸν Πατέρα (λέγει δὲ τὸν Θεὸν), διαλεχθῆναι· τοῖς δὲ ὡς πατράσιν, οἳ πλέον ἔχουσι τῶν παιδίων κατὰ τὴν γνῶσιν, τὸ μὴ ὡς πατέρα μόνον ἐπεγνωκέναι, ἀλλὰ καὶ ὡς ἄναρχος καὶ ἀδιεξίτητος. Ἦν γὰρ ἐν ἀρχῇ. Τούτοις δὲ καὶ τελεωτέρων ἄξιον παράθεσιν ποιήσασθαι λόγων. Τοῖς δὲ ὡς νεανίσκοις ἰσχυροῖς οὖσι, καὶ πρὸς πάλην καὶ ἀγῶνας ἐπιτηδείοις ὑπαλείφεσθαι. Οἷς καὶ τὸ ἀπὸ τῆς νίκης ἀοίδιμον προσεῖναι λέγων, γενναίων δείκνυσι καὶ στρατηγικωτέρων δεῖσθαι λόγων. Οὕτω ταῖς τοῦ πνεύματος ἡλικίαις τὸν ἑαυτοῦ λόγον διαιτήσας, τῶν μὲν ὡς οὕτω διατεθησομένων τοῖς τούτου λόγοις, τῶν δὲ ὡς τοιούτων ὄντων τῶν προσιόντων τῇ πίστει, καὶ καταλλήλως κατηχεῖσθαι τῇ ἑαυτῶν ποιότητι ὀφειλόντων, ἐπιφέρει λοιπὸν τὸν τῆς παρακλήσεως λόγον, καί φησι· « Μὴ ἀγαπᾶτε τὸν κόσμον. » Ταῦτα ὡς παιδίοις λέγει. Ἐπτόηται γὰρ ἀεὶ τὰ παιδία περὶ τὸ φαινόμενον ἡδύ. Εἶτα τὴν αἰτίαν εἰπὼν τοῦ διότι οὐκ ὀφείλει τις τὸν κόσμον καὶ ἐν τῷ κόσμῳ ἀγαπᾷν, λοιπὸν πρὸς τοὺς πατέρας καὶ τοὺς νεανίσκους ἐναπερείδει τὴν διδασκαλίαν. Τελεωτέρας γὰρ ἕξεως ἡ τούτων ἀντίληψις. Καὶ ἵνα μὴ νομίσῃς κόσμον τὸ σύστημα τὸ ἐξ οὐρανοῦ καὶ γῆς σημαίνειν αὐτὸν τῷ λόγῳ, ἐπάγει τίς ὁ κόσμος, καὶ τί τὰ ἐν τῷ κόσμῳ. Καὶ κόσμον μὲν τὸν συρφετὸν ὅλον φησὶν, ὃς οὐδὲ τὴν τοῦ πατρὸς ἔχει ἀγάπην ἐν ἑαυτῷ. Τίνα δὲ τὰ ἐν τῷ κόσμῳ; τὰ κατὰ τὴν ἐπιθυμίαν τῆς σαρκὸς ἐκτελούμενα· ἃ διὰ τῶν αἰσθητηρίων τὴν ἐπιθυμίαν ἀνακινεῖ. Διὰ γὰρ τῶν ὀφθαλμῶν, τοῦ κυριωτάτου τῶν αἰσθητηρίων, καὶ τὰ λοιπὰ περιέλαβε. Περὶ δὲ τὴν ἐπιθυμίαν πᾶν ἐνθεωρεῖται κακὸν, μοιχεῖαι, πότοι, ἔρωτες ἀπρεπεῖς, ἀλαζονεῖαι, τὸ ὑπὲρ πάντας εἶναι, ὑποβαλλούσης τῆς ἐπιθυμίας, ὡς ἂν ἀδεῶς πᾶν τὸ ἐπελθὸν κατεργασθείη τῷ ἀλαζόνι φόνοι. Οἱ μὲν διὰ πλεονεξίαν, οἱ δὲ διὰ τὸ τοὺς ἀντικειμένους ἀφανίσαι. Δόλοι, καὶ οὗτοι ἵνα ὑποχείριον τῷ δόλῳ ποιήσωμεν ἅπαν τὸ ἐμπόδων. Καὶ ἁπλῶς ἅπαντα τὰ ἐχθρὰ Θεῷ, δι' ἐπιθυμίας τῶν σαρκικῶν πέφυκεν ἐπιτελεῖσθαι.

A modum instructionis : quibus tamen spondet peccatorum remissionem per fidem in Christum. Alii vero, sicut qui promoverunt in virum perfectum ætatis plenitudinis Christi, et vita ut alios quoque possint efficere filios : quibus etiam testificatur quod cognitionem habeant illius qui ab initio est. Quis est autem is qui ab initio est, nisi Deus Verbum, quod erat in principio apud Deum? Porro alii quasi adolescentes sunt, quibus tanquam juveniliter ac robuste se gerentibus adversus affectus et afflictiones contumeliæ, attestatur quod accepturi sint palmam victoriæ. Deinde alio modo aggrediendo idem repetit, ad mensuram spiritualis adaptans doctrinæ sermonem. Quoniam igitur novi, inquit, vos ita excepturos vario modo quæ a me scripta sunt, B necesse est et me dimetiri doctrinam juxta dispositionem vestræ ætatis : et cum his sane tanquam cum pueris disserere, qui Patrem cognoverunt, dico sane Deum : cum illis autem veluti cum patribus, qui amplius aliquid habent quam pueri in cognitione, quod non solum ut patrem cognoverint, verum etiam tanquam eum qui initio careat, et cujus initium nemo possit enarrare : erat enim in principio. Ilis sane æquum est et perfectiores apponere sermones : istos vero tanquam robustos adolescentes, et ad luctam ac certamina idoneos inungere : quibus etiam dum victoriæ claritatem dicit contingere, ostendit fortibus ac militaribus opus asse sermonibus. Ita ergo juxta ætates spiritus attemperato C suo sermone : dum hi quidem ita afficerentur ad ipsius sermones, alii vero tales accederent ad fidem, ut variis modis instrui deberent juxta sui qualitatem, subjungit postea exhortationis sermonem, et ait : « Ne diligatis mundum. » Hæc tanquam pueris dicit. Semper enim affecti sunt pueruli ad apparentem voluptatem. Deinde causam dicens cur non debeat quis mundum diligere et ea quæ in mundo sunt, confirmat deinceps doctrinam patribus ac adolescentibus traditam : perfectiori namque habitu his subvenitur. Et ne existimes quod suo sermone per mundum significaverit aggregatum ex cœlo et terra, subjungit quis sit mundus, et quæ sint ea quæ in mundo sunt. Et mundum quidem dicit vilem turbam, quæ nec patris habet in se dilectionem. D **571** Quænam autem sunt illa quæ in mundo sunt? Quæ carnis concupiscentia perficiuntur, quæ concupiscentia per sensus agitant. Per oculos namque qui potissimum tenent locum in sensibus, cætera quoque complexus est. Circa concupiscentiam malum omne versatur, adulteria, pocula, amores indecentes : arrogantiæ, velle cunctos excedere, suggerente concupiscentia ut quidquid adoritur, ab arrogante conficiatur, cædes, hæ quidem ob avaritiam, illæ vero ad perdendum adversarios : doli, et hi ut quidquid impedimento est nobis, dolo subdamus, utque uno verbo dicam, quidquid Deo adversatur, per carnalium concupiscentiam natum est perfici.

Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ Πατρὸς ἐν αὐτῷ. Ὅτι πᾶν τὸ ἐν τῷ

II, 15-17, *Ne diligatis mundum, neque ea quæ in mundo sunt. Si quis diligit mundum, non est charitas Patris in eo. Quoniam quidquid est in*

mundo, nempe concupiscentia carnis et concupiscentia oculorum et fastus vitæ non ex Patre, sed ex mundo est. Et mundus transit, et concupiscentia ejus: qui autem facit voluntatem Dei, manet in æternum.

Diximus jam quod mundum appellet vilem turbam, propter quod et Dominus dicit discipulis: « De mundo non estis, sicut et ego non sum de mundo[72]. » Hujus autem mundi pater est diabolus, mundanæ inquam voluptatis ac confusionis. Ideo et Dominus de suis discipulis dicit ad Patrem: Non rogo ut tollas eos de mundo, sed ut serves eos a Malo, sive a mundo: quem etiam alibi in Maligno constitutum esse dicit.— *Alio autem modo*: Si Malus adversatur bono Patri, qui vero servit mundi concupiscentiis, non est ex Patre, sed ex mundo, manifestum est quod is qui ex Patre non est, sed ex mundo, etiam ex diabolo est: quemadmodum et in Evangeliis dicit ad Judæos: « Vos ex Patre non estis, sed ex diabolo[73] »: hoc est, ex mundanis studiis ac exercitiis, quorum diabolus seminator est ac plantator. Et hæc, inquit, mundana concupiscibilia non habent permanentiam ac subsistentiam, sed prætereunt: quæ vero juxta Dei voluntatem fiunt, perpetuo durant. Non est autem sapientium persistentia contemnendo despicere, **572** et pereuntibus adhærere: quæ simile quid faciunt cum spectro domum ædificare conante. « Qui autem facit voluntatem Dei. » Quæ est autem voluntas Patris? ut credant in eum quem ipse misit.

A *κόσμῳ ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου οὐκ ἔστιν ἐκ τοῦ Πατρὸς, ἀλλ' ἐκ τοῦ κόσμου ἐστί. Καὶ ὁ κόσμος παράγεται καὶ ἡ ἐπιθυμία αὐτοῦ. Ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα.*

Εἴπομεν ἤδη ὅτι κόσμον τὸν συρφετὸν ὄχλον καλεῖ. Δι' ὃ καὶ ὁ Κύριος τοῖς μαθηταῖς φησιν· « Ἐκ τοῦ κόσμου οὐκ ἐστὲ, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί. » Τούτου δὲ τοῦ κόσμου πατὴρ, ὁ διάβολος, τῆς κοσμικῆς φημι ἡδυπαθείας καὶ συγχύσεως. Διὸ καὶ ὁ Κύριος περὶ τῶν ἑαυτοῦ μαθητῶν πρὸς τὸν Πατέρα φησίν· Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ, ἤτοι τοῦ κόσμου· ὃν καὶ ἐν τῷ Πονηρῷ ἀλλαχοῦ κεῖσθαί φησιν. —*Ἄλλως δέ.* Εἰ ὁ Πονηρὸς ἀντίκειται τῷ ἀγαθῷ Πατρὶ, ὁ δὲ ταῖς ἐπιθυμίαις τοῦ κόσμου δουλεύων, οὐκ ἔστιν ἐκ τοῦ Πατρὸς, ἀλλ' ἐκ τοῦ κόσμου, εὔδηλον ὅτι ὁ ἐκ τοῦ Πατρὸς μὴ ὤν, ἀλλ' ἐκ τοῦ κόσμου, ἐκ τοῦ διαβόλου ἐστὶ, καθὰ καὶ ἐν Εὐαγγελίοις φησὶ πρὸς Ἰουδαίους· « Ὑμεῖς ἐκ τοῦ Πατρός; Οὔ. Ἀλλ' ἐκ τοῦ διαβόλου ἐστέ. » Τουτέστιν, ἐκ τῶν κοσμικῶν ἐπιτηδευμάτων, ὧν ὁ διάβολος σπορεύς τε καὶ φυτοκόμος. Καὶ ταῦτα δὲ, φησὶ, τὰ κοσμικὰ ἐπιθυμήματα οὐκ ἔχει τὸ μένον τε καὶ ἑστὼς, ἀλλὰ παράγεται. Τὰ δὲ κατὰ τὸ θέλημα τοῦ Θεοῦ διαρκῆ καὶ διαιωνίζοντα. Οὐκ ἔστι δὲ σωφρόνων, τὰ μὲν ἑστῶτα καταφρονητικῶς παροράν, τῶν δὲ ἀφανιζομένων ἀντέχεσθαι, ταυτόν τι ποιούντων τῷ περιφάσματι οἰκοδομεῖν ἐπιχειροῦντι. « Ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ. » Τί δὲ τὸ θέλημα τοῦ Πατρός; Ἵνα πιστεύσωσιν εἰς ὃν ἐκεῖνος ἀπέστειλεν.

B

C

CAPUT III.

De falsis fratribus Deum abnegantibus, et quod pietas in Christum sit Patris confessio: Patris namque glorificatio, Filii theologia est. In quo etiam agit de divino ac spirituali dono in sanctificatione ob spem pervenienti ad cognitionem Dei, quod omnis qui est in Christo, extra peccatum est: qui enim peccat, ex diabolo est.

II, 18. *Filioli, novissima hora est: et sicut audistis quod Antichristus venturus sit, etiam nunc antichristi multi cœperunt esse: unde scimus novissimam horam esse.*

« Novissima hora est. » Hoc modo facilius ferri potest sermo: Quoniam catholica Epistola aptatur cuique homini quocunque fuerit tempore, non est autem præscriptus singulis idem vitæ terminus, cuique tamen incertus est suus finis, merito unumquemque suo fini applicuit, ut tanquam extremum vitæ tempus quod singulis imminet, prudentia ac temperantia subsequatur: et ita vita irreprehensibilis et pura in actionibus semper a Christianis transigatur. Nec habet locum insanus quisquam hæc irridendi, si cum ante tot annos dictum sit: Novissima hora est, usque nunc non sit dimensum aut supputatum illud novissimum. **573** Etenim si ad temporis spatium a condito mundo conferas, quantum est quod ab eo tempore usque nunc ela-

ΚΕΦΑΛ. Γ'.

Περὶ ψευδαδέλφων ἀρνησιθέων. Καὶ ὅτι ἡ εἰς Χριστὸν εὐσέβεια, πατρὸς ὁμολογία. Ἡ γὰρ τοῦ Πατρὸς δοξολογία, τοῦ Υἱοῦ ἐστι θεολογία. Ἐν ᾧ περὶ θείου καὶ πνευματικοῦ χαρίσματος ἐν ἁγιασμῷ, ἐπ' ἐλπίδι, εἰς γνῶσιν Θεοῦ. Ὅτι πᾶς ὁ ἐν Χριστῷ, ἐκτὸς ἁμαρτίας. Ὁ γὰρ ἁμαρτάνων ἐκ τοῦ διαβόλου ἐστίν.

Παιδία, ἐσχάτη ὥρα ἐστὶ, καὶ καθὼς ἠκούσατε ὅτι ὁ Ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν. Ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν.

Τὸ, « Ἐσχάτη ὥρα ἐστὶν, » ἀνεπαχθέστερον οὕτως· Ἐπεὶ καθολικὴ ἡ Ἐπιστολὴ ἁρμόζουσα παντὶ τῷ καθέκαστα ἀνθρώπῳ, οὐ μία δὲ ὁροθεσμία ζωῆς παντὶ, ἄδηλον δὲ ἑκάστῳ τὸ οἰκεῖον τέλος, εἰκότως τῷ οἰκείῳ τέλει ἐπέστησεν ἕκαστον, ἵνα ὡς περὶ ἐσχάτης τῆς ζωῆς ὥρας ἑκάστῳ ἐνεστηκυίας, νῆψις ἐπακολουθῇ, καὶ οὕτως βίος ἄμωμος καὶ καθαριότης πράξεων εἰς ἀεὶ Χριστιανοῖς ἐμπολιτεύηται. Οὐκ ἔχει χώραν ὁ διαπαίζειν ταῦτα μελαγχολῶν, εἰ πρὸ τοσούτων ἐτῶν εἰρημένου τοῦ, Ἐσχάτη ὥρα ἐστὶ, μέχρι τοῦ νῦν οὐκ ἀνεμετρήθη τὸ ἔσχατον. Πρὸς γὰρ τὸ ἀπ' ἀρχῆς τοῦ χρόνου διάστημα, πόσον τὸ ἀπ' ἐκείνου μέχρι τοῦ νῦν; Λέγω δὲ τὸ ἀπὸ Χριστοῦ. Ἄλλως τε εἰ καὶ παντὸς πράγματος εἰς τρία μεριζομένου, πρώτου καὶ μέσου καὶ τελευταίου, πάντως

[72] Joan. xv, 19 et xvii, 15. [73] Joan. viii, 44.

τὸ ἀπὸ τοῦ μέσου πᾶν, ἔσχατον λέγεσθαι οὐδὲν ἀπεικός. Ὥστε εἰ κατὰ τὸ μέσον τῆς χιλιοστοῦς δεκάδος ὁ Κύριος παρεγένετο (σχεδὸν γὰρ ἐν τῷ πεντακισχιλιοστῷ ἡ ἐν γῇ παρουσία αὐτοῦ), τὸ ἀπὸ τούτου ὡς ἀπὸ τοῦ μέσου πᾶν, ἔσχατον λέγεσθαι, οὐδεὶς ἂν μέμψοιτο. Τῶν γὰρ ἑκατὸν φέρε ἐτῶν, καὶ τὰ πρῶτα, ἤτοι τὰ δέκα, καὶ τὰ εἴκοσι, καὶ ἑξῆς, ἔσχατον ἂν ῥηθείη. Οὕτως οὖν κἀνταῦθα, ἐπεὶ τὸ μέσον ἀπὸ τῆς τοῦ Κυρίου ἐλεύσεως ἡ χιλιοετὴς ὑπερέβη σωρεία, καλῶς ἂν ἅπαν τὸ ἀπὸ τούτου ἔσχατον λέγοιτο. Τοῦτο μὲν οὖν τὸ ἀληθέστατον καὶ κατὰ τὸν χρυσοῦν Ἰωάννην. Ἔστι δὲ τὸ ἔσχατον καὶ κατὰ τὸ χείριστον ἐκλαβεῖν. Ὡς ὅταν φαμὲν, Εἰς ἔσχατον ἀφῖγμαι κακοῦ. Ἐπεὶ οὖν ὁ κόσμος τηνικαῦτα ἐπὶ μεγάλων ἐσάλευε κακῶν, τοῦ διαβόλου ταῦτα μετὰ τὴν τοῦ ἀγαθοῦ παρουσίαν πραγματευομένου, ἤτοι πεῖρας ἕνεκεν τῶν ἀγαθῶν, ἢ καὶ συγχύσεως τῶν χρηστοτέρων, ὡς ἂν μὴ ἔχοι τις διακρίνειν τί τὸ καλόν τε καὶ οὐ καλὸν, διὰ τοῦτο ἐσχάτην εἴρηκεν ὥραν τὸν χρόνον ἐκεῖνον, ὡς τοῦ ἐσχάτου τὸ χείριστον εἰσηγουμένου, ὡς ἂν τρυγὸς ἡ ὑποστάθμης ἐπέχοντος λόγον. Πιστοῦται δὲ τὸ τῆς ἐσχάτης ὥρας, ἤτοι τῆς χειρίστης, ἢ καὶ τῆς τοῦ χρόνου οὐσίας, ἀπὸ τοῦ Ἀντιχρίστου. Εἰ γὰρ, φησὶ, τὸν Ἀντίχριστον ἐν ἐσχάτοις καιροῖς προσδοκῶμεν, νῦν δὲ ἀντίχριστοι πολλοὶ ἐπεπόλασαν τῷ βίῳ (λέγει δὲ Κήρινθον καὶ τοὺς ὁμοίους ἐκείνῳ), εὔδηλον ὅτι καὶ ὁ καιρὸς τῆς συντελείας ἐφέστηκε, προοδοποιούντων τῶν πολλῶν ἀντιχρίστων τῷ ἑνί. Εἶτα τοῦτο εἰπὼν ἐπιφέρει καὶ ἀπὸ τίνων οἱ ἀντίχριστοι, ὅτι ἐξ ἡμῶν.

psum est? dico sane tempus a Christo nato. Præterea si cujusque rei in tria divisæ, nempe primum, medium ac novissimum, utique quidquid a medio sequitur, dici novissimum nullus absurdum indicat. Certe si juxta medium decies mille annorum Dominus advenit (siquidem ejus in terra adventus ferme anno quinquies millesimo fuit), quidquid hinc succedit, tanquam id quod medium sequitur, si extremum ac novissimum dicatur, nullus merito possit reprehendere : ex centum enim verbi causa annis etiam primi, decem videlicet aut viginti et sic de sequentibus, novissimi dicerentur. Ita ergo et hic, quoniam tempore adventus Domini media millenariorum annorum congeries transierat, quidquid ab hoc sequitur, recte novissimum sive extremum dici potest. Hoc itaque verissimum est etiam secundum Joannem Chrysostomum. Potest quoque novissimum sive extremum intelligi pessimum, sicut cum dicimus : Ad extremum mali pervenit. Quoniam ergo mundus tunc magnis agitabatur malis, diabolo ista machinante post adventum illius salutaris, sive ad tentationem bonorum, sive ad confusionem eorum quæ meliora sunt, ne posset quis discernere quid esset bonum et quid non bonum : propterea tempus illud dixit novissimam horam, quantam extremo adducente id quod pessimum est, cum fecis ac crassissimarum reliquiarum habeat rationem. Confirmat autem extremam esse horam, sive pessimam, etiam juxta temporis substantiam ab Antichristo. Nam si Antichristum, inquit, in novissimis temporibus exspectamus, nunc autem antichristi multi versantur in hac vita (dicit autem Cerinthum illique similes), manifestum est quod tempus consummationis immineat, dum multi antichristi unum præcedunt, iterque illi parant. Deinde hoc dicto subjungit unde sint antichristi, nempe quod ex nobis, etc.

Ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν. Εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ' ἡμῶν. Ἀλλ' ἵνα φανερωθῶσιν, ὅτι οὐκ εἰσὶ πάντες ἐξ ἡμῶν, καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου, καὶ οἴδατε πάντα, οὐκ ἔγραψα ὑμῖν ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ' ὅτι οἴδατε αὐτὴν, καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστι.

II, 19-21. *Ex nobis egressi sunt, sed non erant ex nobis : nam si fuissent ex nobis, permansissent utique nobiscum, sed ut manifesti fierent quod non sint omnes ex nobis. Sed vos unctionem habetis a sancto illo, et nostis omnia. Non scripsi vobis quod nesciretis veritatem, sed quod sciretis illam, quodque omne mendacium ex veritate non est.*

« Ἐξ ἡμῶν ἐξῆλθον. » Ἐπιφέρει δὲ καὶ τοῦτο, μηδὲν εἰς σαφήνειαν τοῦ λόγου διοικησάμενος. Λέγω δὲ ὥσπερ ἐρωτήσαντα ἑαυτὸν, ὅτι, Καὶ πόθεν οἱ ἀντίχριστοι οὗτοι ; εἶτα τότε ἐπενεγκεῖν τὸ, Ἐξ ἡμῶν ἐξῆλθον. Οὕτως δέον ποιῆσαι, οὐ τοῦτο ποιεῖ, ἀλλὰ συγκεχυμένως οὕτως, ἴσως τῇ συγχύσει τοῦ λόγου, τὸ περὶ αὐτοὺς ἀηδὲς ἐνδεικνύμενος. Ἀλλὰ διὰ τί ἀπὸ τῶν τοῦ Κυρίου μαθητῶν οἱ ἀντίχριστοι ; Ἵν' ἔχοιεν τὸ πιστὸν τοῖς πλανωμένοις κομίζειν, ὡς ἀπὸ τῶν μαθητῶν ὄντες, καὶ κατὰ τὴν τοῦ διδασκάλου γνώμην ποιοῦντες τοῦ κηρύγματος τὸν λόγον, ἀλλ' οὐ πάντη ἀπεναντίας φερόμενοι τοῦ κηρύγματος. Διὰ τοῦτο οὖν ἀπὸ τούτων. « Ἐξ ἡμῶν δὲ, φησὶν, ἐξῆλθον. » Γεγονότες γὰρ μαθηταὶ, ἀπέστησαν τῆς ἀληθείας, καὶ ἰδίας βλασφημίας ἐξεῦρον. Προσυπακουστέον δὲ τὸ, Καὶ πόθεν οὗτοι οἱ ἀντίχριστοι; ἵνα σαφέστερον ὁ λόγος γένηται. « Οὐ γὰρ ἦσαν ἐξ

574 « Ex nobis egressi sunt. » Subjungit autem et hoc, cum nihil disposuerit aut præposuerit ad explanationem sermonis : dico autem quasi seipsum interrogasset : Et unde sunt hi antichristi ? deinde tunc subjunxisset, Ex nobis egressi sunt. Cum ita facere oportuisset, non hoc facit, sed confuse, hoc modo fortassis confusione sermonis ostendens molestiam quam circa illos habebat. Sed quare ex Domini discipulis egressi dicuntur antichristi ? Ut possent apud eos qui seducerentur fide digni haberi quasi essent ex discipulis, et juxta magistri ac præceptoris sententiam facerent prædicationis sermonem : nec penitus contrariam habebant prædicationem : propterea ergo ab his. « Ex his egressi sunt. » Cum enim facti essent discipuli, discesserunt a veritate ac suam adinvenerunt blasphemiam. Subaudiendum est autem. Et unde pro-

dierunt hi antichristi, ut sermo fiat apertior. « Sed non erant ex nobis. » Hoc est, de sorte eorum qui salvi fiunt : nam si inde fuissent, cum suis utique permansissent. Nunc autem hoc illis contigit ut manifesti fierent, hoc est ut omnibus notum fieret quod penitus abalienati essent a nobis, et agglutinati his qui nostri non erant. Sunt enim inter ipsos quidam qui ex nobis nunquam fuerunt, quibus videlicet seipsos conjunxerunt qui ex nobis egressi sunt. Propter quos, inquit, dixi : « Non sunt omnes ex nobis. » A nobis enim, qui domestici ac familiares eramus, alii adhæserunt, qui a nobis erant alieni : eligentes potius ethnicorum more intemperanter vivere, quam nobiscum temperanter et honeste. His dictis, ne videretur sibi soli horum cognitionem attribuere, et per hoc adversus fideles insolescere, quasi solus hæc novisset, subjungit : « Sed vos unctionem habetis. » Tanquam diceret : Sed quid ego hæc vobis narro quasi ignorantibus ? Non est apud vos horum ignorantia. Sacram enim unctionem per sanctum baptisma accepistis, et per hanc divinum Spiritum, qui vos ducit in omnem veritatem. Quoniam autem hoc ita est, scitis quod non scribam vobis hæc tanquam ignorantibus, sed tanquam scientibus. Quænam hæc ? novissimum tempus, Antichristi adventum, omnia esse plena mendacio. Propterea igitur quod abundet mendacium, ait : Dico etiam antichristos multos factos esse. Nam si Christus veritas est, quem et vos cognoscentes, **575** habetis veritatem in vobis ipsis, utique cum mendax sit contrarius veritati sive Christo, Antichristus est.

ἡμῶν.» Τουτέστι, τῆς τῶν σωζομένων μοίρας. Εἰ γὰρ τοῦτο ἦν, μετὰ τῶν ἰδίων ἂν ἔμενον. Νῦν δὲ τοῦτο πεπόνθασιν, ἵνα φανερωθῶσι, τουτέστι, κατάδηλοι γένωνται, ὅτι πάντη ἀπηλλοτρίωνται ἡμῶν, καὶ μετὰ τῶν οὐχ ἡμετέρων προσεκολλήθησαν. Εἰσὶ γάρ τινες ἐν τούτοις, καὶ οὐκ ἐξ ἡμῶν ὄντες, οἵς δηλαδὴ συνῆψαν ἑαυτοὺς οἱ ἐξ ἡμῶν ἐξελθόντες. Διὸ οὓς, φησὶν, εἴρηκα καὶ τὸ, « Οὐκ εἰσὶ πάντες ἐξ ἡμῶν.» Ἡμῶν γὰρ ἀποῤῥαγέντες τῶν οἰκείων, ἄλλοις ἐκολλήθησαν τοῖς ἀλλοτρίοις ἡμῶν, μᾶλλον ἑλόμενοι ἐθνικῶς ζῆν ἀσωφρονίστως, ἢ μεθ' ἡμῶν σωφρόνως. Ταῦτα εἰπὼν, ἵνα μὴ δόξῃ ἑαυτῷ μόνῳ τὴν τούτων γνῶσιν ἀνατιθέναι, καὶ καταλαζονεύεσθαι διὰ τούτων κατὰ τῶν πιστῶν, ὡς μόνος εἰδὼς ταῦτα, ἐπιφέρει τὸ, «Καὶ ὑμεῖς χρίσμα ἔχετε·» ὥσπερεὶ ἔλεγεν· Ἀλλὰ τί ταῦτα πρὸς ὑμᾶς ἐγὼ διεξέρχομαι ὡς πρὸς ἀγνοοῦντας; Οὐκ ἔστι παρ' ὑμῖν ἄγνοια τούτων. Ἐλάβετε γὰρ διὰ τοῦ ἁγίου βαπτίσματος τὸ χρίσμα τὸ ἱερὸν, καὶ διὰ τούτου τὸ εἰς πᾶσαν τὴν ἀλήθειαν ὁδηγοῦν ὑμᾶς θεῖον Πνεῦμα, Ἐπεὶ δὲ τοῦτο, ἴστε ὅτι οὐχ ὡς ἀγνοοῦσιν ὑμῖν γράφω ταῦτα, ἀλλ' ὡς εἰδόσι. Τίνα ταῦτα; Τὸν ἔσχατον καιρὸν, τὴν τῶν Ἀντιχρίστων φορὰν, τὸ πάντα ψεύδους εἶναι μεστά. Διὰ τὸ πλεονάσαι οὖν τὸ ψεῦδος, διὰ τοῦτο, φησὶ, λέγω καὶ τοὺς ἀντιχρίστους πολλοὺς γενέσθαι. Εἰ γὰρ ὁ Χριστὸς ἀλήθειά ἐστιν, ὃν καὶ ὑμεῖς ἐγνωκότες, τὴν ἀλήθειαν ἔχετε ἐν ἑαυτοῖς, πάντως ὁ ψεύστης ἐναντίος ὢν τῇ ἀληθείᾳ, ἤτοι τῷ Χριστῷ, ἀντίχριστός ἐστιν.

II, 22-27. *Quis est mendax, nisi is qui negat Jesum esse Christum ? Hic est Antichristus qui negat Patrem et Filium. Quisquis negat Filium, is ne Patrem quidem habet. Quod igitur vos audistis ab initio, in vobis permaneat. Si in vobis permanserit quod audistis ab initio, et vos in Filio et Patre manebitis. Et hæc est repromissio qua ipse pollicitus est nobis vitam æternam. Hæc scripsi vobis de his qui seducunt vos. Et unctio quam vos accepistis ab eo, manet in vobis. Et non necesse habetis ut quisquam doceat vos, sed sicut ipsa unctio docet vos de omnibus, verax est et non est mendacium. Et sicut docuit vos, manete in ea.*

Τίς ἐστιν ὁ ψεύστης, εἰ μὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; οὗτός ἐστιν ὁ Ἀντίχριστος, ὁ ἀρνούμενος τὸν Πατέρα καὶ τὸν Υἱόν. Πᾶς ὁ ἀρνούμενος τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα ἔχει. Ὑμεῖς οὖν ὃ ἠκούσατε ἀπ' ἀρχῆς, ἐν ὑμῖν μενέτω. Ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ Υἱῷ καὶ ἐν τῷ Πατρὶ μενεῖτε. Καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν αὐτὸς ἐπηγγείλατο ἡμῖν, τὴν ζωὴν αἰώνιον. Ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς. Καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε ἀπ' αὐτοῦ, ἐν ὑμῖν μένει. Καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς. Ἀλλ' ὡς τὸ αὐτὸ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων, καὶ ἀληθές ἐστι, καὶ οὐκ ἔστι ψεῦδος, καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, μενεῖτε ἐν αὐτῷ.

Etiam hic subaudire oportet conjunctionem καὶ id est, *et*, clarioris intelligentiæ gratia, ut sit hic sensus : Et quis est mendax, nisi is qui negat Jesum esse Christum ? » Hoc autem impius Simon delirans nugabatur alium esse Jesum et alium Christum : Jesum quidem eum qui erat a sancta Maria ; Christum vero eum qui in Jordanem a cœlo descenderat. Qui igitur huic applaudit mendacio, inquit, is est Antichristus. Id autem : Hic est Antichristus, dupliciter accipiendum est, et de eo qui Jesum negat esse Christum, et de eo qui negat Patrem et Filium. Nam et is, inquit, qui negat Patrem ac Filium, etiam mendax est et Antichristus.

Κάνταῦθα προσυπακουστέον τὸν, καὶ, σύνδεσμον, σαφηνείας χάριν, ἵν' ᾖ οὕτως· Καὶ τίς ἐστιν ὁ ψεύστης, εἰ μὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; Τοῦτο δὲ Σίμων ὁ ἀνόσιος ἐλήρει, ἄλλον εἶναι τὸν Ἰησοῦν, καὶ ἄλλον τὸν Χριστόν. Τὸν μὲν Ἰησοῦν, τὸν ἀπὸ τῆς ἁγίας Μαρίας, τὸν δὲ Χριστὸν, τὸν ἐπὶ τοῦ Ἰορδάνου καταβάντα ἀπ' οὐρανοῦ. Ὁ τῷ ψεύδει οὖν περιχροτούμενος, φησὶ, τούτῳ, οὗτος Ἀντίχριστός ἐστι. Καὶ τὸ, Οὗτός ἐστιν ὁ Ἀντίχριστος, διττῶς ἐκληπτέον, καὶ ἐπὶ τοῦ ἀρνουμένου, ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστὸς, καὶ ἐπὶ τοῦ ἀρνουμένου τὸν Πατέρα καὶ τὸν Υἱόν. Ἀλλὰ καὶ ὁ ἀρνούμενος, φησὶ, τὸν Πατέρα καὶ τὸν Υἱὸν, καὶ οὗτος

ψεύστης ἐστὶ καὶ Ἀντίχριστος. Ἔλεγον γὰρ ἄλλοι πάλιν αἱρεσιῶται, ὧν ὁ κατάρατος Οὐαλεντῖνος ἀπεγεννήθη, ἄλλον εἶναι Πατέρα ἀκατονόμαστον, παρὰ τὸν λεγόμενον Πατέρα τοῦ Χριστοῦ. Αὐτοὶ δὲ οὗτοι καὶ τὸν Υἱὸν ἀρνοῦνται διὰ τοῦ ἄνθρωπον ψιλὸν λέγειν αὐτὸν καὶ μὴ κατὰ φύσιν Θεὸν ὡς ἐκ Θεοῦ ὄντα. Διὸ ὁ ἐπιφέρει· « Πᾶς ὁ ἀρνούμενος τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα ἔχει· » ὥσπερ Ἰουδαῖοι ἀρνούμενοι μὲν τὸν Υἱὸν, προσποιούμενοι δὲ τὸν Πατέρα εἰδέναι. Ἀλλ' ἴστωσαν οὗτοι ὅτι οὐδὲ τὸν Πατέρα ἐπίστανται. Εἰ γὰρ ᾔδεσαν, ᾔδεσαν ἂν ὅτι καὶ Υἱοῦ Πατὴρ ἐστι Μονογενοῦς. Τὸ δ' αὐτὸ καὶ οἱ ἀπὸ Σίμωνος ἐφλυάρουν. Ἐκεῖνοι μὲν οὖν οὕτως, φησὶν, ὑμεῖς δὲ ὃ ἠκούσατε ἀπ' ἀρχῆς, τουτέστι, θεολογούμενον τὸν Χριστὸν, φυλάττετε παρ' ἑαυτοῖς. Τοῦτο γὰρ διὰ τοῦ, Μενέτω ἐν ὑμῖν, βούλεται παριστᾷν. « Ἐὰν γὰρ ἐν ὑμῖν μείνῃ τοῦτο ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ Υἱῷ, καὶ ἐν τῷ Πατρὶ μενεῖτε. » Τουτέστι, κοινωνοὶ αὐτοῦ ἔσεσθε. « Αὕτη γάρ ἐστιν ἡ ἐπαγγελία. » Τὸν γὰρ *καὶ* σύνδεσμον, αἰτιολογικῶς ἐκληπτέον. Ποία ἐστὶν ἡ ἐπαγγελία; ἡ φάσκουσα, Ἵνα « Ὥσπερ ἐγὼ ἐν σοὶ, Πάτερ, καὶ σὺ ἐν ἐμοὶ, καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι. » Καὶ πάλιν· « Ἵνα ἔχωσι τὴν ζωὴν τὴν αἰώνιον. Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. » Ἀπαρτίσας δὲ τὸν περὶ τούτων λόγον, προστίθησι τὸ, « Ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς, » τουτέστι, διὰ τὰς ἐξελεγχθείσας αἱρέσεις. Εἶτα πάλιν ἐπιφέρει, ὃ καὶ πρὸ τούτου εἴπομεν, τὸ ἀνεπαχθὲς αὐτοῖς περιποιούμενος, Ὅτι « Καὶ αὐτοὶ δὲ τὸ χρίσμα ὃ ἐλάβετε. » (Τί δὲ τοῦτο, εἴρηται ἤδη, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον λέγει.) Ὃ οὖν ἐλάβετε Πνεῦμα ἅγιον, ἐπειδὴ βέβαιον ἔχετε παρ' ἑαυτοῖς, οὐ χρείαν ἔχετε, ἵνα τις διδάσκῃ ὑμᾶς. Ἀλλ' ὡς τὸ αὐτὸ χρίσμα, ἤτοι τὸ Πνεῦμα διδάσκει ὑμᾶς περὶ πάντων, καθὼς ἐδίδαξεν ὑμᾶς, μενεῖτε ἐν αὐτῷ. Ἀληθὲς γάρ ἐστι, καὶ οὐκ ἔστι ψεῦδος, ὃ δηλονότι ἐδίδαξεν ὑμᾶς· « Καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε. » Τὸ ἑξῆς οὕτως· Καὶ ὑμεῖς ἐπεὶ τὸ χρίσμα ὃ ἐλάβετε ἀπ' αὐτοῦ ἐν ὑμῖν μένει, οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς.

A Dicebant enim alii rursum hæretici, a quibus impurus Valentinus exortus est, alium esse patrem innominatum præter eum qui dicitur Pater Christi. Hi autem et Filium negant, eo quod nudum hominem eum esse dicant, et non natura Deum, tanquam ex Deo. « Quisquis negat Filium, is ne Patrem quidem habet : » quemadmodum Judæi Filium quidem negantes, Patrem vero se nosse simulantes, idque sibi vindicantes. Sed sciant hi quod neque Patrem noverunt : nam si novissent, scirent utique quod et Pater sit Unigeniti Filii. Idipsum autem illi quoque nugabantur, qui Simonem sequebantur. Itaque illi hoc modo, inquit : **576** at vos quod audistis ab initio, puta divinam de Christo doctrinam, servate apud vos. Nam hoc sibi vult, Permaneat in B vobis. « Si enim in vobis permanserit quod ab initio audistis, et vos in Filio et Patre manebitis. » Hoc est, consortes ejus eritis. « Hæc est enim promissio. » Siquidem conjunctionem καὶ, id est *et*, causaliter oportet accipere pro enim. Quæ est autem promissio? ea qua dicit Dominus ad Patrem : « Ut sicut ego in te et tu in me, ita et ipsi in nobis unum sint. » Et rursum : « Ut habeant vitam æternam. Hæc est autem vita æterna, ut cognoscant te solum verum Deum, et quem misisti Jesum Christum[74]. » Absoluto vero de his sermone, addit : « Hæc scripsi vobis de his qui seducunt vos : » hoc est, propter eas quæ sunt egressæ hæreses. Deinde rursum subjungit quod antea diximus, efficiens ne molestus sit eis sermo, « Ipsi quoque unctionem C accepistis. » Quæ sit autem illa, jam dictum est quod dicat Spiritum sanctum. Quandoquidem ergo Spiritum sanctum quem accepistis, firmum habetis apud vos ipsos, non necesse habetis ut quisquam doceat vos : sed sicut ipsa unctio sive ipse Spiritus docet vos de omnibus sicut docuit vos, manete in ipso : nam verum est, et non est mendacium id videlicet quod docuit vos. « Et unctio quam vos accepistis. » Litteræ series est hæc : Et vos, quoniam unctio quam ab ipso accepistis manet in vobis, non necesse habetis ut quisquam doceat vos.

II, 28, 29. *Καὶ νῦν, τεκνία, μένετε ἐν αὐτῷ, ἵνα ὅταν φανερωθῇ, ἔχωμεν παῤῥησίαν, καὶ μὴ αἰσχυνθῶμεν ἀπ' αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ. Ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστι, γινώσκετε, ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην, ἐξ αὐτοῦ γεγέννηται.* D

Ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ Πατὴρ, ἵνα τέκνα Θεοῦ κληθῶμεν. Διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς, ὅτι οὐκ ἔγνω αὐτόν. Ἀγαπητοὶ, νῦν τέκνα Θεοῦ ἐσμεν, καὶ οὔπω ἐφανερώθη ὅ τι ἐσόμεθα. Οἴδαμεν δὲ, ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστι. Καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ' αὐτὸν, ἁγνίζει ἑαυτὸν καθὼς ἐκεῖνος ἁγνός ἐστι.

Εἰρηκὼς τὴν τῶν ἀντιχρίστων φορὰν, καὶ πᾶσαν τὴν ἐνδιάστροφον αὐτῶν διδασκαλίαν, ἀφ' ἧς ὥσπερ

II, 28, 29. *Et nunc, filioli, manete in eo, ut cum apparuerit habeamus fiduciam, et non pudefiamus, ab eo in adventu ejus. Si scitis quod justum est, scitote quod omnis qui facit justitiam, ex ipso natus est.*

III, 1-3 *Videte qualem charitatem dedit nobis Pater, ut filii Dei nominemur. Propter hoc mundus non novit nos, quia non novit eum. Charissimi, nunc filii Dei sumus, et nondum apparuit id quod futuri sumus. Scimus autem quod si apparuerit, similes ei erimus; quoniam videbimus eum sicuti est. Et omnis qui habet hanc spem in eo, purificat se sicut et ille purus est.*

577 Postquam dixit de congregatione antichristorum, et de perversa illorum doctrina, a qua

[74] Joan. xvi, 1, 2.

veluti charactere quodam manifestos sese reddiderunt: ac satis firmavit eos, ut immoti persisterent circa ea in quibus instructi erant, subjungit consequenter repositam quoque propter ista mercedem, tanquam fortiores eos reddens claritate præmiorum, et ait: « Manete in eo. » Quare? Ut habeamus fiduciam in ipso cum apparuerit. Quid enim clarius aut desiderabilius fiducia qua exhibituri sumus Christo nostros in vita peractos labores, facientes hoc cum fiducia et in nullo pudorem sustinentes in adventu ejus? Et quoniam verisimile erat quosdam interrogaturos, quibus operibus grati ei fieri possent, docet etiam hoc, et ait: Si cognovistis eum quod justus sit, utique et hoc scitote quod is qui facit justitiam ex ipso natus sit: justus namque justos generat. Porro quantum sit hoc ad gloriationem et fiduciam nostram nullus ignorat: sicut neque illud, nempe quanta et qualis sit dilectio et benignitas quam erga vos exhibuit. Videte enim quod dederit nobis ut filii sui essemus et vocaremur. Quod si eos qui sunt in mundo hoc lateat, puta nos esse Dei filios, ne hoc admiremini: nam propter hoc mundus non novit nos, quoniam neque eum novit qui nos adoptavit in filios. Quod autem mundum dicat vilem et abjectam turbam, frequenter ostendimus. Deinde postquam adoptionem confirmavit, clarius post hæc dicit et gloriam ac fiduciam seu libertatem quæ his reposita est qui adoptati sunt, et ait: « Charissimi, nunc filii Dei sumus. » Ac si diceret: Omnino, charissimi, ex præcedentibus scitis quod in filios Dei assumpti simus: quod si id nondum manifestatum est, ne turbemini: quod enim nunc incertum est, manifestum fiet illo revelato. Siquidem adoptionis splendorem exhibebimus apparentes ipsi similes; nam filii omnino similes sunt patri. Sed et fiducia erga ipsum habentes tanquam filii, videbimus eum sicuti est: non sane juxta ipsius naturam; nam hoc impossibile est creatæ naturæ: sed quid? justum justi, purum puri. Simili enim adhærebunt et similes. Nam ob id paulo ante dixi quod similes ei erimus: non juxta naturam: **578** dixisset enim alioqui non Similes, sed Iidem: nunc autem quia id non continget, dixit Similes, juxta gloriæ videlicet qualitatem. Animadvertendum est autem quod non dixerit in superioribus, Omnis qui fecit aut qui faciet justitiam sed Qui facit. Virtutes enim semper operantur: et dum fiunt, habent esse: cessantes vero aut futuræ, ne esse quidem habent.

A χαρακτῆρί τινι διαδήλους αὐτοὺς κατεστήσατο, καὶ ἱκανῶς στηρίξας ἀμεταθέτως ἔχειν περὶ ἃ κατηχήθησαν, ἐπάγει λοιπὸν καὶ τὸν ἀποκείμενον διὰ ταῦτα μισθὸν, ὥσπερ ἰσχυροποιῶν αὐτοὺς διὰ τῆς τῶν ἐπάθλων λαμπρότητος, καί φησιν, ὅτι· « Μένετε ἐν αὐτῷ. » Διὰ τί; Ἵνα ἔχωμεν παῤῥησίαν ἐν αὐτῷ ὅταν φανερωθῇ. Τί γὰρ περιφανέστερον ἢ ζηλωτότερον παῤῥησίας, ἐπειδὰν ᾧ ἐπιδείκνυσθαι μέλλωμεν τοὺς ἐν τῷ βίῳ πόνους ἡμῶν, μετὰ παῤῥησίας τοῦτο ποιοῦμεν καὶ μηδὲν αἰσχυνόμενοι ἐν τῇ παρουσίᾳ αὐτοῦ; ἐπειδὴ εἰκός τινας ζητεῖν, τίνα κατορθώκότες εὐάρεστοι αὐτῷ γένοιντο, διδάσκει καὶ τοῦτο καί φησιν, ὅτι, Εἰ ἐγνώκατε αὐτὸν, ὅτι δίκαιός ἐστι, πάντως καὶ τοῦτο γινώσκετε, ὅτι ὁ ποιῶν τὴν δικαιοσύνην, ἐξ αὐτοῦ γεγένηται. Ὁ δίκαιος γὰρ δικαίους B γεννᾷ. Ὅσον δὲ τοῦτο εἰς καύχημα καὶ παῤῥησίαν ὑμῶν οὐδεὶς ἀγνοεῖ, ἀλλ' οὐδὲ τὴν τοῦ παρασχομένου πρὸς ὑμᾶς ἀγάπην τε καὶ χρηστότητα, ὅση τις καὶ οἵα ἐστίν· εἴδετε γὰρ ὅτι ἔδωκεν ἡμῖν τέκνα αὐτοῦ γενέσθαι τε καὶ κληθῆναι. Εἰ δὲ τοῖς ἐν τῷ κόσμῳ φησὶν ἄδηλον τοῦτο, λέγω δὲ τὸ, υἱοὺς ἡμᾶς εἶναι Θεοῦ, μὴ θαυμάζετε τοῦτο. Διὰ γὰρ τοῦτο οὐ γινώσκει ὑμᾶς, ὅτι οὐδὲ τὸν υἱοθετήσαντα ὑμᾶς ἔγνω. Ὅτι δὲ κόσμον τὸν συρφετὸν ὄχλον λέγει, πολλαχοῦ παρεστήσαμεν. Εἶτα ἐπειδὴ τὸ τῆς υἱοθεσίας κατεσκεύασε, λέγει ἐπὶ τούτοις τρανότερον καὶ τὴν ἀποκειμένην δόξαν καὶ παῤῥησίαν τῶν υἱοθετηθέντων, καί φησιν· « Ἀγαπητοὶ, νῦν τέκνα Θεοῦ ἐσμεν. » Ὥσπερεὶ ἔλεγε· Πάντως, ἀγαπητοὶ, διὰ τῶν προλαβόντων ἔγνωτε, ὅτι εἰς υἱοὺς Θεοῦ ἀνελήφθημεν. Εἰ C δὲ μὴ ἤδη ἐφανερώθη τοῦτο, μὴ θορυβεῖσθε. Τὸ γὰρ νῦν ἄδηλον, φανερὸν γενήσεται, ἐκείνου ἀποκαλυπτομένου. Ὅμοιοι γὰρ αὐτῷ ἀναφανέντες, τὸ τῆς υἱοθεσίας λαμπρὸν παραστήσομεν. Οἱ γὰρ υἱοὶ πάντως ὅμοιοι τῷ πατρί. Ἀλλὰ καὶ τὴν πρὸς αὐτὸν παῤῥησίαν ἔχοντες ὡς υἱοὶ, ὀψόμεθα αὐτὸν καθώς ἐστιν, οὐ κατὰ τὴν φύσιν δηλονότι. (Τοῦτο γὰρ ἀμήχανον γενητῇ φύσει.) Ἀλλὰ τί; δίκαιον δίκαιοι, ἁγνὸν ἁγνοί. Τῷ γὰρ ὁμοίῳ προσφύσονται καὶ οἱ ὅμοιοι. Διὰ γὰρ τοῦτο καὶ μικρῷ κατόπιν εἶπον ὅτι ὅμοιοι αὐτῷ ἐσόμεθα, οὐ κατὰ τὴν φύσιν. Εἶπε γὰρ ἂν οὐχ Ὅμοιοι, ἀλλ' Οἱ αὐτοί. Νῦν δὲ ἐπεὶ μὴ τοῦτο ἔσται, εἶπε τὸ Ὅμοιοι, κατὰ τὴν τῆς δόξης ποιότητα δηλαδή. Ἐπισημαντέον δὲ ὅτι οὐκ εἶπεν ἀνωτέρω, D Πᾶς ὁ ποιήσας τὴν δικαιοσύνην, ἢ Ὁ ποιήσων, ἀλλ' Ὁ ποιῶν. Πρακτικαὶ γὰρ αἱ ἀρεταὶ, καὶ ἐν τῷ γίνεσθαι ἔχουσι τὸ εἶναι. Παυσάμεναι γὰρ ἢ μέλλουσαι, οὐδὲ τὸ εἶναι ἔχουσι.

III, 4-8. *Omnis qui facit peccatum, et iniquitatem facit, et peccatum est commissum contra legem. Et scitis quod ille apparuerit, ut peccata nostra tolleret: et peccatum in eo non est. Omnis qui in eo manet, non peccat. Omnis qui peccat, non vidit eum nec cognovit eum. Filioli, nemo vos seducat. Qui facit justitiam, justus est sicut et ille justus est. Qui facit peccatum, ex diabolo est, quoniam ab initio diabolus peccat. Ad hoc apparuit Filius Dei, ut dissolvat opera diaboli.*

Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, καὶ τὴν ἀνομίαν ποιεῖ, καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία. Καὶ οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη, ἵνα τὰς ἁμαρτίας ἡμῶν ἄρῃ. Καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι. Πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτὸν, οὐδὲ ἔγνωκεν αὐτόν. Τεκνία, μηδεὶς πλανάτω ὑμᾶς· Ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιός ἐστι, καθὼς ἐκεῖνός ἐστιν. Ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστὶν, ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. Εἰς τοῦτο ἐφανερώθη ὁ Υἱὸς τοῦ Θεοῦ ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου.

Κατασκευάσας τὸν περὶ δικαιοσύνης λόγον διὰ τῶν ἀνωτέρω ἀπὸ τῶν τῆς δικαιοσύνης καλῶν, νῦν καὶ ἀπὸ τοῦ ἐναντίου καὶ τῶν ἐνυπαρχόντων αὐτῷ ἐφορμᾷ τῇ ἀποδείξει, καί φησι· « Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, » τοιοῦτόν τι λέγων, ὅτι Ὑμεῖς οἱ υἱοθετηθέντες, ἐργάζεσθε τὴν δικαιοσύνην, καὶ μὴ ἀργοὺς ἑαυτοὺς ἀποφαίνετε ταύτης. Ὡς γὰρ ἐπὶ τῆς ἁμαρτίας οὐχ ὁ ποιήσας ἢ ὁ ποιήσων, ἐκεῖνός ἐστιν ὁ ἄνομος ἢ ὁ ἁμαρτωλὸς, ἀλλ' ὁ ἐχόμενος τοῦ κακοῦ καὶ ἐνεργὸς, οὕτω καὶ δίκαιος οὐχ ὁ ἀπράκτων, ἀλλ' ὁ ἐνεργός. Ἰστέον δὲ ὡς *ἁμαρτία* μὲν ἡ τοῦ ἀγαθοῦ ἀπόπτωσίς ἐστιν, *ἀνομία* δὲ, ἡ περὶ τὸν θετὸν νόμον πλημμέλεια. Καὶ ταύτην ἔχουσιν ἀρχὴν ἑκάτερον τούτων, τὸ μὲν τὴν ἀπὸ τοῦ ἀγαθοῦ ἔκπτωσιν, τὸ δὲ τὴν περὶ τὸν θετὸν νόμον πλημμέλειαν. Συμφέρονται δὲ ταύταις καὶ κατὰ ταὐτόν. Ὅ τε γὰρ ἁμαρτάνων, τοῦ κατὰ τὴν φύσιν καὶ ἐν τῇ φύσει ἀπέτυχε σκοποῦ. Σκοπὸς γὰρ τῇ ἀνθρωπείᾳ φύσει, τὸ κατὰ τὸν λόγον ζῆν, τῆς ἀλογίας πόρρω ἀπῳκισμένῃ. Ὡσαύτως καὶ ὁ ἀνομῶν, πλημμελεῖ περὶ τὸν ἐν τῇ φύσει ὑποδομένον νόμον, διαγινόμενος ἀκρατῶς. Καλῶς οὖν ὁ μαθητὴς τοῦ Κυρίου εἰς ταὐτὸν ἀμφότερα περιέστησεν. « Καὶ οἶδατε ὅτι ἐκεῖνος ἐφανερώθη. » Οὐ μήν γε, φησὶ, χώραν ἔτι σχοίητε τοῦ ἁμαρτάνειν. Χριστοῦ γὰρ ἐπ' ἀνατρέσει τῆς ἁμαρτίας παραγενομένου, καθ' ὅτι ἀμέτοχος ἦν ἁμαρτίας, οὐδὲ ὑμῖν ὑπολέλειπται ἔτι ἁμαρτάνειν τοῖς ἐν αὐτῷ γενομένοις καὶ βεβαιωθεῖσι τῇ εἰς αὐτὸν πίστει. Τοῦτο γὰρ βούλεται σημαίνειν διὰ τοῦ, Πᾶς ὁ ἐν αὐτῷ μένων.

Οὗτος δέ ἐστιν ὁ ἀνενδότως τὰς ἀρετὰς μετιὼν, καὶ μηδέποτε τῆς τούτων ἀπολήγων ἐργασίας. « Καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι. » Πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει. Τὸ, Καί, ἀντὶ τοῦ, Διότι. « Πᾶς ὁ ἁμαρτάνων, » καὶ ἑξῆς. Εἰπὼν ὅτι ἐφανερώθη, καὶ τὴν αἰτίαν δι' ἣν ἐφανερώθη, ὅτι, ἵνα ὡς μὴ ἁμαρτίαν ποιήσας τὰς ἁμαρτίας ἡμῶν ἄρῃ, τουτέστιν, ἀφανίσῃ, ἐπιφέρει, ὅτι, « Πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτόν. » Εἰ γὰρ ὑμεῖς, φησὶν, οἵτινες φανερωθέντος αὐτοῦ ἑωράκατε αὐτὸν, καὶ σημεῖον τοῦ ἑωρακέναι αὐτὸν ἐλάβετε, τὸ μὴ εὐχείρωτοι εἶναι τῇ ἁμαρτίᾳ, ἅτε τελέως ἐν αὐτῷ ἡδρασμένοι, πάντως που οἱ ἁμαρτάνοντες οὔτε ἑωράκασιν αὐτόν. Δι' ὃ οὐδὲ ἔγνωσαν, *ἑωρακέναι* καὶ *ἐγνωκέναι* οὐ τὸ κατὰ ψιλὴν τῶν ὄψεων λέγων ἐπαφὴν, οὐδὲ τὸ κατὰ πρόχειρον φαντασίαν ἐνηργηκέναι αὐτοὺς περὶ τὸ γνωστὸν, ἀλλὰ τὸ μετά τινος κρίσεως καὶ ἐπιστήμης τὴν πρὸς αὐτὸν πεποιηκέναι προσαγωγὴν αὐτοὺς, ὡς ἀνωτέρω εἰρήκαμεν. Εἰρηκὼς δὲ ταῦτα, πρόεισι βεβαιωτικῶς, ὅτι « Μηδεὶς πλανάτω ὑμᾶς. » Οὐ γὰρ ἄλλως ἔχει ἢ οὕτως· Ὁ ποιῶν τὴν δικαιοσύνην ἔγνωκε τὸν δίκαιον, καὶ δίκαιός ἐστιν ὡς καὶ ἐκεῖνος, τουτέστιν, ὁ Θεός. Καὶ ὥσπερ τοῦτο, οὕτω καὶ τὸ ἀπεναντίας πάλιν· Ὁ τὴν ἁμαρτίαν ποιῶν, ἐκ τοῦ *ἁμαρτωλοῦ* ἐστιν. Οὗτος δέ ἐστιν ὁ διάβολος, ὃς ἀπ' ἀρχῆς ἁμαρτάνει. Δι' ὃ καὶ κηδόμενος ὁ Θεὸς τοῦ ἑαυτοῦ πλάσματος, δικαιοσύνη καὶ ἁγιασμὸς ὑπάρχων, ἐφανερώθη, ἤτοι εἰς τὸν κόσμον ἐφάνη, ἵνα ἀφανίσῃ τὰ ἔργα τοῦ διαβόλου, ἃ ἐστιν ἡ ἁμαρ-

Confirmato in superioribus sermone de justitia a bonis justitiæ, nunc etiam a contrariis et his quæ ipsi accidunt demonstrationem assumit, et ait : « Omnis qui facit peccatum. » Tale quiddam dicens : Vos qui adoptati estis, operemini justitiam, neque vos ipsos exhibeatis in hac otiosos. Quemadmodum enim in peccato non is qui fecit aut facturus est, ille iniquus dicitur aut peccator, sed qui malo adhæret ejusque operator est : ita et justus non dicitur is qui nihil profecit, aut ignavus, sed strenuus. Sciendum autem quod *ἁμαρτία* quidem id est peccatum est lapsus ab eo quod bonum est : *ἀνομία* vero, id est iniquitas, est delictum circa legem positam : et utrumque horum id habet initium : nempe peccatum, degenerationem ab eo quod bonum est : iniquitas autem, committere adversus positam legem. Conveniunt autem inter se et circa idem sunt. Nam et is qui peccat, aberrat a scopo qui est secundum naturam et in ipsa natura : scopus enim humanæ naturæ est vivere secundum rationem, ut procul disjuncta sit ab irrationalitate. Similiter et qui agit inique, delinquit circa datam in natura legem, intemperanter affectus. Recte ergo discipulus Domini utrumque in idem commutavit. « Et scitis quod ille apparuerit. » Nequaquam, inquit, locum jam habere potestis peccandi. **579** Cum enim Christus advenerit ad tollendum peccatum, quoniam non erat ille particeps peccati, neque vobis relictum est ut amplius peccetis, qui ad eum accessistis, et, in fide ipsius confirmati estis. Nam hoc significare vult cum ait : Omnis qui in eo manet.

Hic autem est qui serio et absque fuco accedit ad virtutes, et nunquam cessat ab operatione earum. « Et peccatum in eo non est. » Conjunctio καὶ id est *et*, capitur pro *Quoniam*. « Omnis qui peccat » et cætera. Cum dixisset quod apparuisset, et causam propter quam apparuisset, nempe ut peccata nostra tolleret, hoc est, de medio auferret ac deleret, tanquam is qui peccatum non fecerat, subjungit : « Omnis qui peccat non vidit eum. » Nam si vos, inquit, qui vidistis eum dum manifestatus esset, etiam signum accepistis quod ipsum videritis, nempe quod non facile a peccato capiamini tanquam perfecte in ipso confirmati, omnino sane qui peccant, hi non viderunt quidem eum, propter quod neque cognoverunt : *vidisse* et *cognovisse* dicens non secundum nudum oculorum prospectum, neque quod secundum facilem imaginationem egissent ad cognitionem, sed quod cum aliquo judicio et scientia operati essent accessum ad ipsum quemadmodum supra diximus. His autem dictis firmius procedit, dicens : « Nemo vos seducat. » Neque enim alio modo potest quam isto : Qui facit justitiam, novit justum et justus est, sicut et ille, hoc est Deus. Et quemadmodum hoc, ita etiam rursum ediverso : Qui facit peccatum, a peccatore est, hic autem est diabolus, ut qui ab initio peccat. Propter quod providens Deus suæ creaturæ, factus justitia et sanctificatio, manifestatus est sive in mundo apparuit, ut e medio tolleret opera diaboli

quæ sunt peccatum. « Qui facit peccatum ex Diabolo. » Quoniam mutatus fuit diabolus peccando, ex ipsius instinctu agit quisquis peccaminose operatur : prius enim in peccantem ingreditur per immissionem pravarum cogitationum, quemadmodum in Juda. Sed dicet aliquis : Quomodo intrat diabolus in eos qui peccant [75], cum illi antea peccaverint dando ipsi locum ? Ad quod dicendum est idem esse facere peccatum, quod peccare dando locum diabolo. **580** Dat enim ipsi locum qui peccat concupiscentiæ subjectus, postquam cum excepit efficaciter perficiens peccatum : nam hoc significat Facere ipsum. Bene autem et hic dixit : Qui facit, non autem Qui fecit ; cum is qui resipiscit jam non sit ex diabolo : sed is tantum qui adhuc peccatum committit. Ita enim et peccati servus est qui facit peccatum, et non qui fecit. Propter quod ait : Omnis qui facit peccatum, servus est peccati.

A

B

CAPUT IV.

De charitate erga proximum, et affectione ad tribuendum eleemosynas : in quo etiam agit de bona conscientia quæ est per fidem Jesu Christi : et de discernendis spiritibus per confessionem incarnationis Domini.

III, 9-18, *Omnis qui natus est ex Deo, peccatum non facit, quoniam semen ipsius in eo manet, et non potest peccare, eo quod ex Deo natus sit. Per hoc manifesti sunt filii Dei et filii diaboli. Omnis qui non facit justitiam, non est ex Deo, et qui non diligit fratrem suum : quoniam hæc est annuntiatio quam audistis ab initio, ut diligamus nos invicem. Non sicut Cain ex maligno erat, et occidit fratrem suum. Et propter quid occidit eum ? Quoniam opera sua mala erant, fratris autem sui justa. Ne miremini, fratres mei, si odit vos mundus. Nos scimus quod translati simus de morte ad vitam, quia diligimus fratres. Qui non diligit fratrem, manet in morte. Omnis qui odit fratrem suum, homicida est : et scitis quod omnis homicida non habeat vitam æternam* **581** *in se manentem. Per hoc cognovimus charitatem, quoniam ille animam suam pro nobis posuit, et nos debemus pro fratribus animas ponere. Qui vero habuerit substantiam mundi, et viderit fratrem suum egentem, clauseritque viscera sua ab eo, quomodo charitas Dei manet in ipso ? Filioli mei, non diligamus verbo neque lingua, sed opere et veritate.*

C

D

« Omnis qui natus est ex Deo. » Quoniam omnis qui facit peccatum ex diabolo est, et quatenus peccat etiam filius diaboli dicitur, sicut beatus Paulus ad Elymam ait : « O plene omni dolo et omni versutia, fili diaboli, inimice omnis justitiæ [76] ; manifestum est quod etiam is qui ex Deo natus est, tanquam Dei Filius non peccat, et causa est, quoniam semen ipsius est, Dei videlicet, sive Spiritus quem per donum accepimus, quod in nobis manens sive firmatum, efficit ne mens nostra recipiat peccatum. Aut

[75] Luc. XXII, 3 ; Joan. XIII, 27. [76] Act. XIII, 10.

τία. « Ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν, » Ἐπείπερ τραπεὶς ὁ διάβολος ἐν τῷ ἁμαρτάνειν γέγονεν, ἐξ αὐτοῦ χρηματίζει πᾶς ὁ ἁμαρτητικῶς ἐνεργῶν. Προάρχεται γὰρ ἐν τῷ ἁμαρτάνοντι δι' ὑποβολῆς λογισμῶν πονηρῶν ὡς ἐπὶ τοῦ Ἰούδα. Ἀλλ' ἐρεῖ τις ὅτι Πῶς γίνεται ὁ διάβολος ἐν τοῖς ἁμαρτάνουσιν, αὐτῶν πρὸ αὐτοῦ ἡμαρτηκότων ἐν τῷ διδόναι αὐτῷ τόπον ; Πρὸς ὃν λεκτέον, ταὐτὸν εἶναι τὸ ποιεῖν τὴν ἁμαρτίαν τῷ ἁμαρτάνειν ἐν τῷ διδόναι τόπον τῷ διαβόλῳ, δίδωσι γὰρ αὐτῷ τόπον ὁ ἁμαρτάνων ἐπιθυμίᾳ ὑπαχθεὶς μετὰ τὸ δέξασθαι αὐτὸν, πρακτικῶς ἐπιτελῶν τὴν ἁμαρτίαν. Τοῦτο γὰρ σημαίνει τὸ ποιεῖν αὐτήν. Εὖ δὲ εἶπε καὶ τὸ, Ὁ ποιῶν, ἀλλ' οὐχ, Ὁ ποιήσας, τοῦ μετανοήσαντος οὐκ ἔτι ὄντος ἐκ τοῦ διαβόλου, ἀλλὰ μόνου τοῦ ἐνεργοῦντος αὐτὴν ἔτι. Οὕτω γὰρ τῆς ἁμαρτίας δοῦλός ἐστί τις, ποιῶν, ἀλλ' οὐ ποιήσας. Δι' ὃ φησι, Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας.

ΚΕΦΑΛ. Δ'.

Περὶ ἀγάπης τῆς εἰς τὸν πλησίον καὶ διαθέσεως μεταδοτικῆς. Ἐν ᾧ περὶ συνειδήσεως ἀγαθῆς τῆς ἐν πίστει Ἰησοῦ Χριστοῦ. Περὶ διακρίσεως πνευμάτων ἐφ' ὁμολογίᾳ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως.

Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ, ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ Θεοῦ γεγέννηται. Ἐν τούτῳ φανερά ἐστι τὰ τέκνα τοῦ Θεοῦ καὶ τὰ τέκνα τοῦ διαβόλου. Πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ. Ὅτι αὕτη ἐστὶν ἡ ἐπαγγελία, ἣν ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους, οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν, καὶ ἔσφαξε τὸν ἀδελφὸν αὐτοῦ. Καὶ χάριν τίνος ἔσφαξεν αὐτόν ; Ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια. Μὴ θαυμάζετε ἀδελφοί μου, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος. Ἡμεῖς οἴδαμεν, ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς. Ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν μένει ἐν τῷ θανάτῳ. Πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος ἐστί. Καὶ οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν. Ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκε, καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι. Ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ ; Τεκνία μου, μὴ ἀγαπῶμεν λόγῳ, μηδὲ γλώσσῃ, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ.

« Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ. » Ἐπεὶ πᾶς ὁ τὴν ἁμαρτίαν ποιῶν ἐκ τοῦ διαβόλου ἐστὶ κατ' αὐτὸ τὸ ἁμαρτάνειν, καὶ υἱὸς τοῦ διαβόλου λέγεται, ὡς ὁ μακάριος Παῦλος πρὸς τὸν Ἐλύμαν φησὶν, « Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης, » εὔδηλον ὅτι καὶ ὁ ἐκ τοῦ Θεοῦ γεγεννημένος, ὡς Θεοῦ υἱὸς οὐχ ἁμαρτάνει. Καὶ ἡ αἰτία, ὅτι σπέρμα αὐτοῦ, τοῦ Θεοῦ δηλονότι ἐστὶν, ἤτοι τὸ Πνεῦμα ὃ διὰ τοῦ χαρίσματος ἐλάβομεν. Ὅπερ ἐν ἡμῖν μένον, τουτέστιν,

ἡδρασμένον, ἀνεπίδεκτον ἁμαρτίας τὸν νοῦν ἡμῶν ποιεῖ. Ἢ καὶ αὐτὸς ὁ Χριστὸς, ὡς ἐνοικῶν ἐν τοῖς πιστοῖς, ποιεῖ αὐτοὺς υἱοὺς Θεοῦ. Καθὸ καὶ ἐν τῷ σπέρματι Ἀβραὰμ, ὅς ἐστιν ὁ Χριστὸς, εὐλογοῦνται πάντα τὰ ἔθνη. Προέβη δὲ οὕτω τῷ λόγῳ νῦν, τὸ ἀνωτέρω εἰρημένον αὐτῷ βεβαιῶν, λέγω δὲ τὸ, τέκνα εἶναι Θεοῦ τοὺς πιστούς. Καὶ ἀναντίῤῥητον αὐτὸ ποιῶν, ἔκ τε τοῦ πράγματος αὐτοῦ, φημὶ τοῦ μὴ ἁμαρτάνειν, καὶ ἐκ τοῦ ἐναντίου, ὡς μικρῷ πρόσθεν εἴπομεν. Εἰ γὰρ, τῷ ἐναντίῳ τὸ ἐναντίον, καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ, κατὰ τὰς διαλεκτικὰς ἐπιχειρήσεις. Σκόπει δὲ τὴν ἀκρίβειαν τοῦ ῥητοῦ. Οὐ γὰρ πρότερον εἶπεν, ἐκ Θεοῦ γεγεννῆσθαι ἢ τοῦ διαβόλου, εἰ μὴ τὰ ἔργα προέλαβον, ἤτοι τῆς δικαιοσύνης, ἢ τῆς ἀνομίας. Ἐκ τούτων γὰρ ἡ υἱοθεσία, ἥ τε τοῦ Θεοῦ, ἥ τε τοῦ διαβόλου. Κἂν γὰρ χάριτι σεσώσμεθα, ἀλλὰ διὰ τὸ ὑπερβάλλον λέγεται τῆς τοῦ Θεοῦ χρηστότητος, ὅτι καίτοι ἀνιάτως προσκεκρουκότων ἡμῶν, αὐτὸς οὐκ ἐμνησικάκησε τῇ σωτηρίᾳ ἡμῶν· ἐπεὶ ὅτι μὴ ἀργοῖς δίδωσι τὴν παρ' ἑαυτῷ σωτηρίαν, Παῦλος πιστοῦται βοῶν· Τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. Ὡσαύτως καὶ οἱ τῷ διαβόλῳ υἱοθετηθέντες, κἂν ἀπηλλοτριώθησαν ἀπὸ μήτρας, καὶ μήπω τὴν κατὰ πρόθεσιν ἁμαρτίαν ἐνεργηκότες, ἀλλὰ διὰ τὸ ἄγαν φιλοπόνηρον αὐτῶν εἴρηται τοῦτο. Οὐ γὰρ ἔστιν ἀνενέργητον τοῦ κακοῦ, τῷ διαβόλῳ οἰκειωθῆναι. Ἀλλ' ὁ ποιῶν τὴν ἁμαρτίαν, ἐκεῖνος καὶ τῷ διαβόλῳ ἀνείληπται, ἤτοι εἰς υἱὸν, τῷ πλέον ἐνεργεῖν καὶ αὐθαίρετον τὸ κακὸν, ἢ εἰς δοῦλον, τῷ καταπαλαισθῆναι τῷ πονηρῷ καὶ χειρωθῆναι ὑπ' αὐτοῦ, καὶ τὴν λατρείαν κατακριθῆναι. Σκόπει δὲ καὶ τοῦτο, ὅτι τὸν ἐκ Θεοῦ γεγεννημένον, οὐκ εἶπεν ὅτι οὐχ ἁμαρτάνει, ἵνα μὴ καὶ τὰ βρέφη συμπεριλάβῃ ἐξ ἡλικίας ἔχοντα τὸ μὴ ἁμαρτάνειν, ἀλλ' εἶπεν ὅτι Ἁμαρτίαν οὐ ποιεῖ. Τὸ μὲν γὰρ, Οὐχ ἁμαρτάνει, ἀποφάσει ἔοικεν ἁπλῶς· τὸ δὲ, Οὐ ποιεῖ, τὸ ἐκ διαθέσεως μὴ ὑπάρχειν δῆλοι. Διὸ καὶ προστίθησι, καὶ ὅτι οὐ δύναται ἁμαρτάνειν, οὐ κατὰ φυσικὴν ἀδυναμίαν τοῦτο λέγων, ὡς ἐπὶ τῶν ἀλόγων φαμὲν, μὴ δύνασθαι ἐπιστήμην ἀναλαμβάνειν, ἀλλὰ κατὰ προαιρετικὴν τῆς ἁμαρτίας ἀργίαν. Ταῦτα διεξελθὼν, καὶ τὸ γνώρισμα τῶν τοῦ Θεοῦ τέκνων, τὸ μὴ ἁμαρτίαν ποιεῖν, εἶναι φήσας, ὡς ἔμπαλιν, τῶν τοῦ διαβόλου υἱῶν, τὸ ἁμαρτάνειν· διεξελθὼν οὖν ταῦτα, ἀναλαμβάνει πάλιν μετὰ πολλὰ τὰ μεταξὺ τὴν περὶ τὸν πλησίον ἀγάπην, ὥσπερ χάριν ἐκείνης πάντα τὰ διὰ μέσου πραγματευσάμενος, ἐπεὶ καὶ πλήρωμα πάντων ἡ ἀγάπη, καί φησιν· « Ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ. » Καὶ κατὰ τοῦτου γὰρ τοῦ κώλου τέτακται, τὸ, Οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, τοῦτο λέγων· Ἐπεὶ ὁ ποιῶν δικαιοσύνην ἐκ τοῦ Θεοῦ γεγέννηται, ἕπεται τῷ οὕτω γεννηθέντι, ἀγαπᾷν τοὺς ἀδελφούς. Ὁ δὲ μὴ ποιῶν δικαιοσύνην, τῷ μὴ ποιεῖν αὐτὴν μισῶν τοὺς ἀδελφοὺς αὐτοῦ, ἐκ τοῦ Θεοῦ οὐκ ἔστιν οὐ κατὰ ἄλλον τρόπον ἢ τῷ μὴ γεγεννῆσθαι ἐξ αὐτοῦ. Καὶ πῶς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ δείκνυσι λέγων, ὅτι « Αὕτη ἐστὶν ἡ ἀγγελία,

A etiam ipse Christus, tanquam habitans in fidelibus, facit ipsos filios Dei, quatenus etiam in semine Abraham, qui est Christus, benedicuntur omnes gentes [77]. Nunc autem ita sermone processit, confirmans quod superius dixerat, dico sane fideles esse Dei filios, et indubitatum illud faciens, tum ex eadem re, puta non peccare : tum ex contrario, ut paulo ante diximus. Sicut enim hoc contrarium, se habet ad illud contrarium, ita rursum illud contrarium ad hoc contrarium juxta dialecticas argumentationes. Considera vero exactam sententiam. Neque enim prius dixit ex Deo natum esse vel ex diabolo, nisi præacceptis operibus sive justitiæ sive iniquitatis. Ex his namque adoptio est sive Dei sive diaboli. Quanquam enim gratia salvi facti simus, attamen
B propter eximiam Dei benignitatem hoc dicitur, quia licet incurabiliter offenderamus, ipse malorum non meminit ob salutem nostram [78]. Siquidem quod otiosis non det eam quæ est apud se salutem, Paulus confirmat clamando : His qui secundum propositum vocati erant [79]. Similiter et qui diabolo adoptati sunt in filios, quanquam abalienati sint ab utero [80], cum tamen nondum juxta propositum operati sint malum : **582** attamen propter vehementem eorum malitiam hoc dictum est : neque enim absque mali operatione contingit diabolo proprium ac domesticum fieri : sed qui facit peccatum, ille a diabolo assumptus est, sive in filium, ut amplius operetur etiam sua sponte malum : sive in
C servum, eo quod a maligno superatus sit, et ab eo ductus captivus ac condemnatus ad illius obsequium. Animadverte autem et hoc quod non dixerit eum qui ex Deo natus est non peccare, ne et infantes comprehenderet, qui ab utero habent quod non peccent : sed dixit, Peccatum non facit. Illud siquidem : Non peccat, negationi simpliciter congruit : hoc autem : Non facit peccatum, significat ex affectu non contingere. Propter quod etiam addit quod non potest peccare, non secundum naturæ impossibilitatem hoc dicens, quemadmodum de irrationalibus dicimus quod non possunt scientiam recipere : sed propter voluntarium otium sive abstinentiam a peccando hæc disserens, et indicium filiorum Dei esse dicens, non peccare : quemadmodum rursum
D filiorum diaboli, peccare. His ergo enarratis, repetit post multa in medio posita, dilectionem erga proximum, quasi illius gratia universa quæ in medio fuerunt tractaverit : quandoquidem plenitudo quoque omnium est dilectio [81], et ait : « Qui non diligit fratrem suum, non est ex Deo. » Nam contra hoc etiam membrum positum est : Non est ex Deo, hoc dicens : Quoniam si is qui facit justitiam, ex Deo natus est, sequitur ut is qui ita natus est diligat fratres : qui vero non facit justitiam, eo quod non faciat eam odiendo fratres suos, non est ex Deo, non juxta alium modum nisi quod non natus sit ex eo. Et quomodo non sit ex eo os-

[77] Gen. XXII, 18; Gal. III, 9. [78] Ephes. II. [79] Rom. VIII, 28. [80] Psal. LVI, 4. [81] Rom. XIII, 10.

tendit, dicens : « Quoniam hæc est annuntiatio quam audistis ab initio [82]. » Quæ sit autem hæc annuntiatio, jam diximus, quod et naturaliter accepta et per doctrinam ; sed et legali præcepto de diligendo proximo, Domini quoque præcepto dicente : « Præceptum novum do vobis, ut diligatis vos invicem [83]. » Præterea etiam naturale præceptum erga ea quæ ejusdem sortis et conditionis sunt, cogit ad hoc faciendum. Quoniam igitur tot ac talia sunt præcepta assertioni Domini conformia, qui sermonem ejus servat et facit ipsum, habet vitam æternam, et transivit ex morte ad vitam [84].

583 Propterea ergo diligamus fratres, nihil nocumenti sumentes ad æmulandum ; puta, si odio habeamur a mundo, non quoque odio habeamus fratres : sed Domini sermo sit in nobis efficacior. Nam qui fratres suos odit, non solum ab æterna vita projectus est, sed etiam homicida est. Necessario enim sequitur, si homicida est, quod nec vitam æternam habeat. Videte namque Cain, inquit, quoniam et ipse cum odio habuisset fratrem, occidit ipsum, quanquam frater esset. Sed quia opera mala habens, filius erat diaboli : Abel vero justa operando, filius Dei appellabatur : opponitur autem diabolus Deo, et mala opera bonis : propterea et Cain cum contrarius esset fratri, occidit ipsum. Ita quidem erat consequens sermonis decursus, verum beatus Joannes ordinem immutavit, serviens semper ei quod magis urgebat. Siquidem urgebat ipsum, quia diaboli mentionem fecerat, et eorum qui ob pravas actiones ab illo adoptati erant, ut illum in exemplum proponeret qui ab initio mundi per mala opera maligni filius evasit. Absolutus autem a Cain et eis qui hunc imitantes eamdem cum ipso accipiunt hæreditatem, rursum ad dilectionem recurrit, ostendens quanta bona ex ipsa contigerint : et dicit quod dilectio persuasit Domino ut pro nobis animam suam poneret, et quod hoc exemplo permoti debemus et nos pro fratribus animam ponere. Et quoniam id rarum est et apud paucos, veluti exhortando ipsos, a mediocribus rebus incipit admonitionem fraternæ charitatis facere, ita quodammodo sermonem disponens : Quid dico pro fratribus animas ponere ? quando videmus nonnullos ne necessarium quidem usum fratribus subministrare ; neque eos dico qui et ipsi egent vitæ necessariis, sed qui etiam divitiis abundant, toto propemodum mundo. Propterea pudefiant, quoniam si in his minimis viscera occluserunt, et seipsos indignos ostenderunt ac vacuos Dei dilectione, quidnam in re majori exhiberent, nempe cum moriendum esset pro fratribus ? Deinde et aliud subjungit quo eos exhortetur, qui verbo quidem dilectionem susciperent, ac sola lingua præstarent, et ait : « Ne diligamus verbo **584** et lingua, sed opere ac veritate. »

ἦν ἠκούσατε ἀπ' ἀρχῆς. » Τίς δὲ ἡ ἀγγελία αὕτη ἤδη εἰρήκαμεν, ὅτι καὶ φυσικὴ καὶ διδακτή· ἀλλὰ καὶ μετὰ τῆς νομικῆς ἐντολῆς τῆς περὶ τοῦ ἀγαπᾷν τὸν πλησίον, καὶ τῆς τοῦ Κυρίου τῆς λεγούσης, « Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους· » ἔτι καὶ ἡ πρὸς τὸ ὁμογενὲς φυσικὴ, τοῦτο καταναγκαστικῶς πράττειν ἐνάγει. Ἐπεὶ οὖν τοιαῦται καὶ τοσαῦται αἱ ἐντολαὶ κατὰ τὴν τοῦ Κυρίου ἀπόφανσιν, ὁ τὸν λόγον αὐτοῦ τηρῶν καὶ ποιῶν αὐτὸν, ἔχει ζωὴν αἰώνιον καὶ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.

Διὰ ταῦτα τοίνυν ἀγαπῶμεν τοὺς ἀδελφοὺς, μηδὲν παραβλαπτόμενοι πρὸς ζῆλον, φησὶν, εἰ ἐκ τοῦ κόσμου μισούμεθα, ἵνα καὶ ἡμεῖς μισῶμεν τοὺς ἀδελφοὺς, ἀλλ' ὁ τοῦ Κυρίου λόγος ἐνεργέστερος ἔστω ἐν ἡμῖν. Ὁ γὰρ τοὺς ἀδελφοὺς αὐτοῦ μισῶν, πρὸς οἷς ἐκβέβληται τῆς αἰωνίου ζωῆς, ἔτι καὶ ἀνθρωποκτόνος ἐστίν. Ἕπεται γὰρ τῷ ἀνθρωποκτόνῳ τὸ μηδὲ ζωὴν αἰώνιον ἔχειν. Ὁρᾶτε γὰρ, φησὶ, τὸν Κάϊν, ὅτι καὶ αὐτὸς, μισήσας τὸν ἀδελφὸν, ἀπέκτεινεν αὐτὸν καί τοι γε ἀδελφὸν ὄντα. Ἀλλ' ἐπεὶ ἔργα πονηρὰ ἔχων υἱὸς ἦν τοῦ διαβόλου, ὁ δὲ Ἄβελ δίκαια ἐργαζόμενος, υἱὸς ἐχρημάτιζε Θεοῦ. Ἀντίκειται δὲ καὶ ὁ διάβολος τῷ Θεῷ, καὶ τὰ πονηρὰ ἔργα τοῖς ἀγαθοῖς· διὰ τοῦτο καὶ ὁ Κάϊν τῷ ἀδελφῷ ἀντικείμενος ἀπέκτεινεν αὐτόν. Οὕτω κατὰ τὸ ἀκόλουθον ἡ τοῦ λόγου διέξοδος. Ὁ μέντοι μακάριος Ἰωάννης ἐνήλλαξε τὴν τάξιν, τοῦ κατεπείγοντος ἀεὶ γινόμενος. Κατήπειγε γὰρ αὐτὸν, ἐπεὶ τοῦ διαβόλου ἐμνήσθη, καὶ τῶν αὐτῷ διὰ πονηρᾶς πράξεως υἱοθετουμένων, τὸν ἐξ ἀρχῆς κόσμου διὰ τῶν πονηρῶν ἔργων εἰς τέκνον ἀποδραμόντα τοῦ πονηροῦ, παράδειγμα προβαλέσθαι. Ἀπηλλαγμένος δὲ τοῦ Κάϊν, καὶ τῶν οἱ τοῦτον ζηλοῦντες κληρονομεῖν ἔχουσι, πάλιν ἀνατρέχει ἐπὶ τὴν ἀγάπην, καὶ ὅσα ἐκ ταύτης συμβέβηκεν ἀγαθὰ, καί φησιν, ὅτι ἡ ἀγάπη ὑπὲρ ἡμῶν ἔπεισε τὸν Κύριον τὴν ψυχὴν αὐτοῦ θεῖναι, καὶ ὅτι ἐκ τούτου τοῦ ὑποδείγματος, ὀφείλομεν καὶ ἡμεῖς ὑπὲρ τῶν ἀδελφῶν τὴν ψυχὴν τιθέναι. Καὶ ἐπειδὴ σπάνιον τοῦτο καὶ παρ' ὀλίγοις, ὥσπερ ἐντρέπων αὐτοὺς, ἀπὸ τῶν μετριωτέρων ἄρχεται τὴν παράκλησιν τῆς φιλαδελφίας ποιεῖσθαι, οὕτως πως τὸν λόγον οἰκονομῶν· Τί φημι τὴν ψυχὴν ὑπὲρ τῶν ἀδελφῶν τιθέναι ; ὅπου ὁρῶμεν, μηδὲ τὴν τῶν ἀναγκαίων χρείαν ἀναπληροῦντάς τινας τῶν ἀδελφῶν· καὶ οὐ τοὺς βίου σπανίζοντας λέγω, ἀλλὰ καὶ τοὺς ὅλον τὸν κόσμον σχεδὸν ὕπαρξιν ἔχοντας πλούτου. Διὰ τούτου αἰσχυνέσθωσαν, ὅτι εἰ περὶ τὰ μικρὰ ταῦτα, τὰ σπλάγχνα ἀπέκλεισαν, καὶ ἀναξίους ἑαυτοὺς ἐκ τούτου ἀπέφηναν, καὶ διακένους τῆς τοῦ Θεοῦ ἀγάπης, τί ἂν περὶ τὸ μεῖζον τοῦ προαποθανεῖν τῶν ἀδελφῶν ἐπεδείξαντο ; Εἶτα καὶ ἄλλο ἐντρεπτικὸν αὐτῶν ἐπιφέρει, τῶν ἀποδεχομένων μὲν ἐν λόγῳ τὴν ἀγάπην καὶ ἐπιδεικνυμένων, τῇ γλώσσῃ δὲ μόνῃ, καί φησι, « Μὴ ἀγαπῶμεν λόγῳ καὶ γλώσσῃ, ἀλλ' ἐν τῷ ἔργῳ καὶ τῇ ἀληθείᾳ. »

[82] Levit. xix, 24. [83] Joan. xiii, 34. [84] Joan. v, 34.

Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐκ τῆς ἀληθείας A *ἐσμὲν, καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν, ὅτι ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, μείζων ἐστὶν ὁ Θεὸς τῆς καρδίας ἡμῶν, καὶ γινώσκει πάντα. Ἀγαπητοὶ, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν θεὸν, καὶ ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ' αὐτοῦ· ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν. Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ.*

III, 16-23. *Per hoc cognoscimus quod ex veritate simus, et in conspectu ejus suadebimus cordibus nostris. Quoniam si arguat nos cor nostrum, major est Deus corde nostro, et novit omnia. Charissimi, si cor nostrum non arguat nos, fiduciam habemus erga Deum: et quidquid petierimus, accipimus ab eo: quoniam præcepta ejus custodimus, et ea quæ sunt placita coram eo facimus. Et hoc est præceptum ipsius, ut credamus nomini Filii ejus Jesu Christi.*

« Ἐν τούτῳ γινώσκομεν. » Ἐν τίνι; Ἐν τῷ μὴ λόγῳ ἀγαπᾷν, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ. Καὶ τί γινώσκομεν; Ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν. Πῶς; Ὁ γὰρ ἄλλο μὲν λέγων, ἄλλο δὲ ποιῶν, μὴ σύμφωνον ἔχων τῷ λόγῳ τὴν πρᾶξιν, ψεύστης ἐστὶ καὶ οὐκ ἀληθής. B « Καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν. » Τοῦτό φησιν, ὅτι Διὰ τούτου, διὰ τοῦ ἀληθεύειν (ἀληθεύσομεν δὲ ὅταν κατὰ τοὺς λόγους καὶ τὰ ἔργα προβαίνῃ ἡμῶν), πείσομεν τὴν συνείδησιν ἡμῶν. Τοῦτο γὰρ βούλεται: διὰ τοῦ, Τὰς καρδίας, σημαίνειν. Καὶ πῶς πείσομεν; Τοῦτο καθ' ἑαυτοὺς θέμενοι, ὡς ὑπὸ Θεῷ μάρτυρι ποιούμεθα τοὺς λόγους. Τὸ γὰρ *ἔμπροσθεν* τοῦτο σημαίνει. Ἐὰν γὰρ, φησὶ, μὴ οὕτω ποιῶμεν, ἀλλ' ἡ συνείδησις, ἤτοι ἡ καρδία ἡμῶν, καταγινώσκῃ ἡμῶν, οὐ λανθάνομεν ἁμαρτάνοντες. Εἰ γὰρ τὴν συνείδησιν ἡμῶν βραχεῖαν οὖσαν, ὡς ἐκ βραχέος ζώου, οὐ δυνάμεθα λαθεῖν ἐν τῷ ἁμαρτάνειν, πολλῷ μᾶλλον τὸν ἀπεριόριστον καὶ πανταχοῦ παρόντα Θεὸν οὐκ ἂν λάθοιμεν. Ὅλος οὖν ὁ λόγος ἐστὶ τοιοῦτος· Τεκνία μου, μὴ ψευδώμεθα εἰς ἀλλήλους ἐν τῷ τῇ γλώσσῃ μόνῃ ἀγαπᾷν, ἀλλὰ καὶ ἔργῳ τὴν ἀγάπην ἐπιδεικνύωμεν. Ἐν τούτῳ γὰρ γνωσόμεθα ὅτι ἐκ τῆς ἀληθείας, τουτέστιν, ἐκ τοῦ Θεοῦ ἐσμεν. Καὶ ὃ λέγομεν, ὡς τοῦ Θεοῦ ἐπισκοποῦντος λέγωμεν. Οὐκ ἂν δέ τις ἀνάσχοιτο, κἂν εἰ τῶν δαιμόνων ἀναιδέστερος ᾖ, ὑπὸ Θεῷ μάρτυρι ψεύσασθαι. Εἰ γὰρ μὴ οὕτω ποιῶμεν, ἀλλὰ λεγόντων ἡμῶν ἀγαπᾷν, ἡ καρδία ἡμῶν καταγινώσκῃ ἡμῶν ψεύδους, ἁμαρτάνομεν. Πῶς; Οἰόμενοι λανθάνειν τὸν παντεχοῦ παρόντα Θεὸν, καὶ οὐδὲ τοῦτο συνιέντες, ὅτι εἰ τὴν καρδίαν ἡμῶν βραχεῖαν οὖσαν οὐκ ἔστι λαθεῖν ἡμᾶς, πῶς τὸν μηδαμόθεν ἀπολειπόμενον λήσομεν. Οὕτως οὖν, φησὶν, ἀγαπητοὶ, παρεσκευακότες ἑαυτοὺς, ἀκαταγνώστως ἑαυτοὺς ἡμῖν αὐτοῖς ἐν τῷ D πρὸς ἀλλήλους δηλονότι ἀληθεύειν, παῤῥησίαν ἔξομεν πρὸς τὸν Θεὸν, ἀφ' ἧς παῤῥησίας καὶ ὃν ἐὰν αἰτήσωμεν, πάντως ληψόμεθα παρ' αὐτοῦ. Διὰ τί; Ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν. Μέγιστον γὰρ πρὸς τὸ εἰς ὑπακοὴν ἐκκαλέσασθαι τὸν αἰτούμενον, ἡ παρὰ τῶν αἰτούντων εὐπείθεια, ὅταν ἀναμφιλέκτως πρὸς ὃν ἡ αἴτησις γίνηται. Ἐπεὶ οὖν καὶ ἡμεῖς τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ αὐτῷ ποιοῦμεν, θαῤῥῶμεν ὡς οὐχ ἁμάρτωμεν τῶν αἰτήσεων, ἀντιδίδοσθαι φιλούσης τῆς παρ' ἀμφοῖν διαθέσεως ἀνυπερθέτως, τῷ πρὸς τὴν χρείαν θατέρου ἥκοντι. Καὶ ποίαν ἐντολὴν αὐτοῦ ἐφυλάξαμεν; Τὴν λέγουσαν, Ἀγάπην ἔχετε ἐν ἀλλήλοις. Ἐπεὶ οὖν ἔχοντες ἐντολὴν, ἵνα τῇ πίστει τῇ ἐν τῷ ὀνόματι τοῦ Υἱοῦ αὐτοῦ

« Per hoc cognoscimus. » Per quid? Ex eo quod non verbo diligamus, sed opere et veritate. Et quid cognoscimus? Quod ex veritate simus. Quomodo? Siquidem is qui aliud dicit et aliud facit, non habens conformem sermoni actionem, mendax est et non verax. « Et in conspectu ejus suadebimus cordibus nostris. » Id est quod dicit, quod per hoc, nempe quod veraces simus (porro veraces erimus quando juxta sermones processerint et opera), suadebimus conscientiæ nostræ, hanc enim significare vult Per corda. Et quomodo suadebimus? Hoc apud nosipsos ponentes, quod veluti Deo teste sermones depromimus. Nam id significat In conspectu ejus, sive coram eo. Etenim si ita non facimus, inquit, sed conscientia sive cor nostrum arguat nos, non latet illam nos peccare. Quod si conscientiam nostram, quæ pusilla est utpote ex pusillo animali, latere non potest, dum peccamus, multo magis Deum qui incircumscriptus et ubique est, nequaquam latere potest. Totus igitur sermo talis est: Filioli mei, ne mentiamur inter nos invicem sola lingua diligentes, sed opere quoque ostendamus dilectionem: per hoc enim cognoscemur quod ex veritate, hoc est ex Deo simus; et quod dicimus, tanquam Deo inspectore dicamus. Siquidem nemo, etiamsi dæmonibus esset impudentior, ferre posset ut Deo præsente et teste mentiretur. Nisi enim ita faciamus, sed dicendo quod diligamus, cor nostrum arguat nos mendacii, erramus. Quomodo? Putantes id latere Deum, qui ubique præsens est? neque id scientes, quod si fieri non potest ut cor nostrum, cum pusillum sit, lateat, multo **585** minus eum latebit qui nusquam deest. Postquam igitur nos ipsos ita præparaverimus, charissimi, ut non arguamur a nobis ipsis, in eo videlicet quod est inter nos mutuo esse veraces, fiduciam habebimus erga Deum: per quam etiam fiduciam quidquid petierimus, omnino accipiemus ab ipso. Quare? Quia præcepta ejus servamus: id enim maximi momenti est ad impetrandum quod petitur, nempe obedientia eorum qui petunt, quando absque ulla hæsitatione fuerit, erga illum ad quem petitio dirigitur. Quoniam ergo et nos ejus præcepta custodimus, et quæ placita sunt ipsi facimus, confidamus quod in petitionibus non simus passuri repulsam: cum affectus qui in utrisque est, summe cupiat rependere vices ejus quod ad usum venit alterius. Et quod præceptum illius custodimus? Illud quod ait: Dile-

ctionem habete inter vos mutuam [88]. Quoniam igitur accepto præcepto ut fide quæ est in nomine Filii ejus Jesu Christi diligamus nos mutuo, id fecimus, per hoc cognoscimus quod in nobis firmata sit gratia quam per Spiritum suum dedit nobis. Sciendum est autem quod frequenter in Novo Testamento habetur, Credere in nomine Jesu Domini nostri. Verum quid hoc nomen sibi vult? Nihil aliud quam gloriam, consilium aut celebritatem. Gloriam quidem et celebritatem, ut cum dicitur : « Admirabile est nomen tuum in universa terra [89] ; » consilium vero et voluntatem, ut hoc loco, et cum dicitur : « Resipiscite, et baptizetur unusquisque vestrum in nomine Domini Jesu [87]. » Id enim est, In ejus voluntate. Quæ est autem voluntas Domini Jesu? Ut baptizentur omnes gentes in nomine Patris et Filii et Spiritus sancti [88].

A Ἰησοῦ Χριστοῦ ἀγαπῶμεν ἀλλήλους, τοῦτο πεποιήκαμεν, ἐκ τούτου γινώσκομεν, ὅτι ἥδρασται ἐν ἡμῖν ἡ ἐκ τοῦ πνεύματος αὐτοῦ χάρις οὗ ἔδωκεν ἡμῖν. Ἰστέον δὲ ὅτι πολλαχοῦ τῆς Νέας Γραφῆς, τὸ, Ἐν τῷ ὀνόματι Ἰησοῦ τοῦ Κυρίου ἡμῶν πιστεύειν, κεῖται. Τί δὲ τοῦτο σημαίνειν βούλεται; Οὐδὲν ἄλλο ἢ τὴν δόξαν, τὴν βούλησιν, τὴν εὐκλειαν· τὴν δόξαν μὲν καὶ τὴν εὐκλειαν, ὡς ἐν τῷ, « Θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ· » τὴν βούλησιν δὲ, ὡς ἐνταῦθα, καὶ ἐν τῷ, « Μετανοήσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ· » ἀντὶ γὰρ τοῦ, Ἐν τῇ βουλήσει. Τίς δὲ ἡ τοῦ Κυρίου Ἰησοῦ βούλησις; Βαπτίζειν πάντα τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. B

III, 24. *Et diligamus nos mutuo, sicut dedit præceptum; et qui servat præcepta ejus, in illo manet, et ipse in eo. Et per hoc scimus quod maneat in nobis, e spiritu quem dedit nobis.*

Καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν ἐντολήν. Καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ. Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ πνεύματος οὗ ἡμῖν ἔδωκεν.

Hoc est, veraci, inquit, affectione diligamus nos mutuo. Et ubi hoc præcepit? In his verbis, cum ait : « Quemadmodum vultis ut faciant vobis homines, ita et vos facite ipsis [89]. » Si nos ergo cupimus ut proximi nostri vero ac sincero affectu erga nos affecti sint, et nos omnino similiter affecti simus erga ipsos. Quod si hoc Domini præceptum est, multo magis si nos in ipso maneamus **586** sive C firmati simus, ipse quoque seipsum nobis exhibebit [90]. Seipsum enim negare non potest : hoc est, non inaniter assumi potest, dum præcepta sua nobis suppeditat, sed hæc in seipso primum stabilit. Si autem hoc fuerit, utique si quæ præcipit facimus, habebimus et illum nobis obsequentem in omnibus quæ ab eo petierimus, et donum ejus firmum in nobis. Tota vero ordinationis sententia, est hujusmodi : Ut credamus nomini Filii ejus Jesu Christi, et diligamus nos mutuo vere, sicut est præceptum ejus. Nam qui servat præcepta ejus, in illo manet et ipse in eo. Per hoc autem scimus quod maneat in nobis, ex spiritu sive dono quod dedit nobis. Siquidem donec manet hoc asylum, procul D dubio habemus inauferibile donum ipsius. Quomodo autem erit asylum? Si nihil ex negligentia prætermittamus eorum quæ nobis præcepit circa dilectionem.

Ἀντὶ τοῦ, Ἀληθινῇ, φησὶ, διαθέσει ἀγαπᾷν ἀλλήλους. Καὶ ποῦ τοῦτο; Ἐν ᾧ ἔλεγε, « Καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ὁμοίως ποιεῖτε αὐτοῖς. » Εἰ οὖν τοὺς πλησίον ἡμῶν ἀγαπῶμεν ἀληθινῶς καὶ ἀδόλως πρὸς ἡμᾶς διακεῖσθαι, ὡσαύτως πάντως καὶ ἡμεῖς διατεθείημεν πρὸς αὐτούς. Ἀλλ' εἰ ἐντολὴ τοῦτο τοῦ Κυρίου, πολλῷ μᾶλλον ἡμῶν ἐν αὐτῷ μενόντων ἤτοι ἡδρασμένων, καὶ αὐτὸς ἑαυτὸν ἡμῖν παρέξει. Ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται. Τουτέστιν, οὐκ ἐπὶ διακένοις ληφθείη, τὰς ἐντολὰς αὐτοῦ ἡμῖν ἐπιχορηγῶν, ἀλλ' ἐν ἑαυτῷ πρώτως ταύτας βεβαιώσαιτο. Εἰ δὲ τοῦτο, πάντως εἰ ἃ ἐντέλλεται ποιοῦμεν, ἕξομεν αὐτὸν ὑπήκοον καὶ ἡμεῖς ἐν οἷς ἂν αἰτῶμεν, καὶ τὸ χάρισμα αὐτοῦ βέβαιον ἐν ἡμῖν. Ὁ δὲ ὅλος νοῦς τῆς συντάξεως, τοιοῦτος· Ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους ἀληθινῶς, ὡς ἡ ἐντολὴ αὐτοῦ. Ὁ γὰρ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ. Ἐκ τούτου δὲ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ πνεύματος ἤτοι τοῦ χαρίσματος, οὗ ἡμῖν ἔδωκεν. Ἀσύλου γὰρ τούτου μένοντος, ἀναντίῤῥητον ἔχομεν τὸ ἀναφαίρετον τῆς δόσεως αὐτοῦ. Πῶς δὲ ἄσυλον ἔσται; Ἐν τῷ μηδὲν ἡμᾶς παραβλάπτειν ἐξ ὀλιγωρίας ὧν ἐνετείλατο ἡμῖν περὶ ἀγάπης.

IV, 1-6. *Charissimi, ne cujus spiritui credatis, sed probate spiritus an ex Deo sint : quoniam multi pseudoprophetæ exierunt in mundum. Per hoc cognoscite spiritum Dei. Omnis spiritus qui confitetur Jesum Christum in carne venisse, ex Deo est; et omnis spiritus qui non confitetur Jesum Christum in carne venisse, ex Deo non est. Et hic est spiritus ille Antichristi, de quo audistis quod veniat, et nunc jam in mundo est. Vos ex Deo estis, filioli, et vicistis eos,*

Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ τοῦ Θεοῦ ἐστιν, ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον. Ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ Θεοῦ. Πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστι. Καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ οὐκ ἔστι. Καὶ τοῦτό ἐστι τὸ τοῦ Ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι

[88] Joan. XIII, 14. [89] Psal. VIII, 2. [87] Act. II, 38 [88] Matth. XXVIII, 19. [89] Matth. VII, 12. [90] II Tim. II, 13.

ἔρχεται. Καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη. Ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστε τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν, ἢ ὁ ἐν τῷ κόσμῳ. Αὐτοὶ ἐκ τοῦ κόσμου εἰσὶ, διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσι, καὶ ὁ κόσμος αὐτῶν ἀκούει. Ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσμεν. Ὁ γινώσκων τὸν Θεὸν, ἀκούει ἡμῶν. Ὃς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὐκ ἀκούει ἡμῶν. Ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας, καὶ τὸ πνεῦμα τῆς πλάνης.

A *quoniam major est qui in vobis est quam qui in mundo. Ipsi de mundo sunt, ideo de mundo loquuntur, et mundus eos audit. Nos ex Deo sumus. Qui novit Deum audit nos : qui non est ex Deo, non audit nos. Per hoc cognoscimus spiritum veritatis et spiritum erroris.*

Διελθὼν τὸν περὶ τῆς ἀγάπης τῆς εἰς τοὺς πλησίον λόγον, καὶ ταύτην εἶναι γνώρισμα ἀποφηνάμενος τῆς τοῦ Πνεύματος διαμονῆς οὗ ἐλάβομεν, νῦν ἐπιφέρει καὶ διάκρισιν τῶν ὄντως ἀδελφῶν, καὶ τῶν παραπλησίων, ἵνα ταύτην ἔχοντες, μὴ διὰ τὴν ἐντολὴν τὴν περὶ τῆς ἀγάπης, περιπίπτωμεν τοῖς ψευδαδέλφοις καὶ ψευδαποστόλοις καὶ ψευδοπροφήταις, μεγίστην ἑαυτοῖς βλάβην ἐκ τούτου πορίζοντες. Ὡς γὰρ ὁμοτρόποις περιφυόμενοι, πρῶτον μὲν ἑαυτοὺς βλάψομεν, ἀσεβέσι τοῦ λόγου κεκοινωνηκότες τῆς πίστεως, καὶ τὰ ἅγια τοῖς κυσὶ παραθέμενοι, ἔπειτα καὶ τοὺς ἡμῖν προσανέχοντας. Ἡ γὰρ πρὸς αὐτοὺς ἡμῶν ἀγάπη πολλοὺς πείσει λαμβάνειν αὐτοὺς διδασκάλους, καὶ πιστεύειν τοῖς ὑπ' αὐτῶν λεγομένοις ἀφυλάκτως ἐκ τῆς μεθ' ἡμῶν κλεπτομένους αὐτῶν συναναστροφῆς. Καὶ τί τὸ γνώρισμα τούτων, ἀλλ' ἢ τοῦτό φησιν· « Πᾶν πνεῦμα ὃ ὁμολογεῖ. » Πᾶν πνεῦμα, ἤτοι προφητείας ἢ ἀξίωμα ἀποστολῆς, ὃ ὁμολογεῖ Κύριον Ἰησοῦν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστιν. Ὃ δὲ τοῦτο μὴ ὁμολογεῖ, ἐκ τοῦ Θεοῦ οὐκ ἔστιν, ἀλλὰ τὸ ἀξίωμα τοῦτο ἐκ τοῦ Ἀντιχρίστου ἐστὶν, ὃ ἀκηκόατε. Πότε ; Ἐξοῦ πρὸ μικρῶν ἔλεγεν, ὅτι Πολλοὶ Ἀντίχριστοι ἐν τῷ κόσμῳ· τουτέστιν, οἱ πρόδρομοι τοῦ Ἀντιχρίστου. Τὴν δὲ ὁμολογίαν τῆς τοῦ Κυρίου ἐν σαρκὶ παρουσίας, οὐχὶ γλώσσῃ φησὶ γίνεσθαι, ἀλλὰ τοῖς ἔργοις. Πῶς ; Ὡς ὁ μακάριος Παῦλός φησι· « Πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ περιφέροντες ἐν τῷ σώματι, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ. » Ὃς οὖν ἐνεργὸν ἔχει τὸν Ἰησοῦν καὶ τῷ κόσμῳ ἀπέθανε, καὶ οὐκ ἔτι τῷ κόσμῳ ζῇ, ἀλλὰ τῷ Χριστῷ, καὶ περιφέρει τοῦτον, οὐκ ἐν τῇ τοῦ Χριστοῦ μόνον σαρκὶ, ἀλλὰ καὶ ἐν τῇ ἑαυτοῦ, οὗτος ἐκ τοῦ Θεοῦ ἐστιν. Ὅστις δὲ οὐχὶ Χριστῷ, ἀλλὰ τῷ κόσμῳ ζῇ, τουτέστι, ταῖς τοῦ κόσμου ἡδυπαθείαις, ὁ τοιοῦτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ. Διὸ καὶ Παῦλός φησιν· « Ὅπου γε ἐν ὑμῖν ἔριδες καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε. » Ὁ δὲ κατὰ ἄνθρωπον περιπατῶν, πνεῦμα Χριστοῦ οὐκ ἔχει. Ὁ δὲ Χριστοῦ πνεῦμα μὴ ἔχων, τουτέστιν, ὁ μὴ κατὰ Χριστὸν ζῶν, τῷ κόσμῳ νεκρώσας ἑαυτὸν δηλονότι, οὗτος οὐκ ἔστι Χριστοῦ. « Ἐν τῷ κόσμῳ εἶναι ἤδη, » τὸν Ἀντίχριστόν φησιν, οὐ σωματικῶς, ἀλλὰ διὰ τῶν προσδοποιούντων αὐτῷ τὴν παρουσίαν, ψευδοπροφητῶν καὶ ψευδαποστόλων καὶ αἱρεσιωτῶν. Οὗτος δὲ ὁ Ἀντίχριστος, ἄνθρωπος τὸν Σατανᾶν περιφέρων ἔσται, ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα. Διὸ καὶ τὰ εἰδώλα σέβειν ἀθετήσει, οὓς Θεοὺς λεγομένους ἐσήμανεν. Διὰ δὲ τοῦ, πᾶν σέβα-

Postquam sermonem absolvit de dilectione erga proximum, et hanc indicium esse demonstravit permansionis Spiritus quem accepimus, subjungit nunc eorum quoque dijudicationem qui vere fratres sunt et proximi, ut hanc habentes, non incidamus occasione præcepti de dilectione in B falsos fratres falsosque apostolos et falsos prophetas, maximum inde damnum nobis ipsis **587** comparantes. Siquidem complectendo illos tanquam similium essent morum, primum nobis ipsis nocebimus, dum sermone communicamus cum his qui fide impii sunt, et sancta canibus proponimus : deinde et his qui una nobiscum versantur. Nostra namque erga illos dilectio suadebit multis ut ipsos assumant præceptores, credantque his quæ ab ipsis dicuntur, dum non observantes, veluti furto subducti sunt propter illorum conversationem, quam habent nobiscum, et quod sit horum indicium, dicit hoc esse quod sequitur : « Omnis spiritus qui confitetur. » Omnis spiritus sive prophetiæ vel C apostolatus dignitas, quæ confitetur Dominum Jesum in carne venisse, ex Deo est : quæ autem hoc non confitetur, ex Deo non est, sed hæc dignitas ex Antichristo est, de quo audistis. Quando? Ex his verbis quæ paulo ante dixit, quod multi Antichristi sint in mundo, hoc est præcursores Antichristi. Porro confessionem adventus Domini non lingua fieri dicit, sed operibus. Quomodo? Sicut beatus Paulus dicit : « Semper mortificationem Jesu in corpore circumferentes, ut et vita Jesu in corpore nostro appareat [91]. » Qui igitur operantem habet Jesum, et mundo mortuus est, nec jam mundo vivit sed Christo, et hunc circumfert non in sola Christi carne, verum etiam in sua, hic ex Deo est. Quisquis autem non Christo, sed mundo vivit, D hoc est mundi voluptatibus, talis non est ex Deo. Ideo et Paulus ait : « Cum in vobis sint contentiones et factiones, nonne carnales estis, et secundum hominem ambulatis [92] ? » Qui vero secundum hominem ambulat, Christi spiritum non habet [93], hoc est qui non secundum Christum vivit, ita videlicet ut seipsum mundo mortificaverit, hic non est Christi. « Et nunc jam in mundo est. » In mundo ait jam esse Antichristum, non corporaliter, sed propter eorum præsentiam qui viam illi præparant, nempe pseudoprophetas, pseudapostolos et hæreticos. Hic autem Antichristus homo erit qui Satanam circumferet, elatus adversus omnem qui dicitur Deus aut numen [94]. Ideo quoque idola colere asper-

[91] II Cor. IV, 10. [92] I Cor. III, 3. [93] Rom VIII, 9. [94] I Thess. II, 4.

nabitur, quos dici deos significavit : porro per hoc quod addit : Omne numen, etiam Christianismum significat : et seipsum solum conabitur ostendere Deum. Ubi per hæc cognoscendos dedit Domini **588** prophetas et apostolos, subjungit : Vos autem cum ex Deo sitis, filioli, devicistis eos, nempe pseudoprophetas. Quomodo? Quoniam Deus qui in vobis est, major est quam is qui in mundo est, juxta quem pseudoprophetæ vivere elegerunt. Deinde his subjungit et aliud indicium ipsorum pseudoprophetarum, quod etiam maxime contristabat simpliciores credentes. Verisimile enim erat quosdam horum ægre ferre, dum illos quidem viderent a multis haberi in pretio, sese autem despici, et ait : Ne mœrore afficiamini si vos a multis contemnimini, illi vero ab his assumuntur. Simile namque accurrit ad sibi simile. « Ipsi de mundo sunt, et ideo de mundo loquuntur. » Ipsi de mundo sunt, et cum de mundo loquantur, hoc est juxta carnales concupiscentias doceant, habent ipsos obsequentes, perversi perversos. Nos autem cum ex Deo simus et a carnalibus concupiscentiis alienati, non possumus ab ipsis recipi. Nos autem audit ille qui temperanter vivit, et ita Deum novit, paratus præbere nobis auditum. Ideo et Christus ait : « Qui habet aures ad audiendum audiat [65] : » testificans eum solum qui ad obedientiam præparatus est habere aures. His distinctis consequenter subjungit tanquam sigillum eorum quæ jam a se dicta sunt, quod per hoc (nempe quod jam dictum est) cognoscimus eos qui spiritum veritatis sive veram propheticam dignitatem habent, et qui spiritum erroris sive falsæ prophetiæ.

σμα καὶ τὸν χριστιανισμόν· καὶ ἑαυτὸν μόνον ἀποφαίνειν ἐπιχειρήσει Θεόν. Τούτοις γνωρίσας τοὺς τοῦ Κυρίου προφήτας καὶ ἀποστόλους, ἐπιφέρει· Ὑμεῖς δὲ οἱ ἐκ τοῦ Θεοῦ ὄντες, τεκνία, νενικήκατε αὐτούς, ἤτοι τοὺς ψευδοπροφήτας. Πῶς; Ὅτι ὁ ἐν ὑμῖν Θεὸς μείζων ἐστὶν ἢ ὁ ἐν τῷ κόσμῳ, καθ' ὃν οἱ ψευδοπροφῆται ζῆν εἵλοντο. Εἶτα τούτοις ἐπιφέρει καὶ ἕτερον αὐτῶν γνώρισμα τῶν ψευδοπροφητῶν, ὃ μάλιστα καὶ τοὺς ἁπλουστέρους τῶν πιστῶν ἐλύπει. Εἰκὸς γάρ τινας τούτων καὶ ἀσχάλλειν ὁρῶντας ἐκείνους μὲν τοῖς πολλοῖς περισπουδάστους, ἑαυτοὺς δὲ καταφρονουμένους. Καί φησι· Μὴ λυπεῖσθε, εἰ ὑπὸ τῶν πολλῶν καταφρονεῖσθε ὑμεῖς, ἐκεῖνοι δὲ ὑπὸ τούτων προσλαμβάνονται. Τῷ γὰρ ὁμοίῳ τὸ ὅμοιον προστρέχει. « Αὐτοὶ ἐκ τοῦ κόσμου εἰσὶ, καὶ ἐκ τοῦ κόσμου λαλοῦντες· » τουτέστι, κατὰ τὰς σαρκικὰς ἐπιθυμίας διδάσκοντες ἔχουσιν αὐτοὺς κατηκόους, ἐνδιάστροφοι ἐνδιαστρόφους. Ὑμεῖς δὲ, ἅτε ἐκ τοῦ Θεοῦ ὄντες, καὶ τῶν κοσμικῶν ἐπιθυμιῶν ἠλλοτριωμένοι, ἀπαράδεκτοι αὐτοῖς καθιστάμεθα. Ἀκούει δὲ ἡμῶν ἐκεῖνος ὁ σωφρόνως ζῶν, καὶ διὰ τοῦτο Θεὸν ἐπιγινώσκων, ἕτοιμος ὑπέχειν ἡμῖν τὴν ἀκοήν. Διὸ καὶ ὁ Χριστός φησιν, « Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω, » τὸν πρὸς εὐπείθειαν παρεσκευασμένον, ἐκείνῳ καὶ τὰ ὦτα μαρτυρῶν ἔχειν. Ταῦτα διαστειλάμενος, ἐπιφέρει λοιπὸν ὡς ἐπισφράγισμα τῶν εἰρημένων αὐτῷ ἤδη, ὅτι ἐκ τούτου γινώσκομεν τοὺς τὸ πνεῦμα τῆς ἀληθείας, ἤτοι τὸ ἀληθὲς ἔχοντας προφητικὸν ἀξίωμα, καὶ τὸ πνεῦμα τὸ πλάνον, τὸ τῆς ψευδοπροφητείας.

CAPUT V.

De fraterna charitate ad divinum cultum.

IV, 7, 11. Charissimi, diligamus nos invicem, quia charitas ex Deo est : et omnis qui diligit, ex Deo natus est, et cognoscit Deum. Qui non diligit, non novit Deum : quoniam Deus charitas est. Per hoc apparuit charitas Dei in nobis, quod Filium suum unigenitum miserit Deus in mundum, ut vivamus per eum. In hoc est **589** *charitas, non quod nos dilexerimus Deum, sed quod ipse dilexerit nos, et miserit Filium suum propitiationem pro peccatis nostris. Charissimi, si sic Deus dilexit nos, et nos debemus invicem diligere.*

ΚΕΦΑΛ. Ε'.

Περὶ φιλαδελφίας εἰς θεοσέβειαν.

Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστι. Καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ Θεοῦ γεγέννηται, καὶ γινώσκει τὸν Θεόν. Ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν Θεόν, ὅτι ὁ Θεὸς ἀγάπη ἐστίν. Ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ Θεοῦ, ὅτι τὸν Υἱὸν αὐτοῦ μονογενῆ ἀπέσταλκεν ὁ Θεὸς εἰς τὸν κόσμον, ἵνα ζήσωμεν δι' αὐτοῦ. Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν Θεόν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλε τὸν Υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν. Ἀγαπητοί, εἰ οὕτως ἠγάπησεν ἡμᾶς ὁ Θεὸς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν.

Rursum post prædicta sermonem de dilectione resumit. Cum enim ostendisset quem oporteat diligere, nempe quod moribus conformes, hæret his quæ initio dicta sunt, dicens et dilectionem et eum qui diligit ex Deo esse, solumque eum qui diligit ex Deo natum esse ac Deum cognoscere : eum vero qui charitatem non habet, Deum etiam ignorare, contrariis contraria confirmans. Quomodo autem Deum non noverit is qui non diligit, hoc modo probat : « Deus charitas est. » Et unde hoc manifestum fiet? ex eo quod miserit Filium suum unigenitum in mun-

Καὶ μετὰ ταῦτα ἀναλαμβάνει πάλιν τὸν περὶ τῆς ἀγάπης λόγον. Δείξας γὰρ τίνα χρὴ ἀγαπᾶν, ὅτι τοὺς ὁμοιοτρόπους, ἕξεται λοιπὸν τῶν ἐξ ἀρχῆς, ἐκ τοῦ Θεοῦ εἶναι λέγων καὶ τὴν ἀγάπην καὶ τὸν ἀγαπῶντα, καὶ μόνον τοῦτον τὸν ἀγαπῶντα ἐκ τοῦ Θεοῦ γεγενῆσθαι, καὶ ἐπιγινώσκειν Θεὸν, τὸν δὲ μὴ ἔχοντα τὴν ἀγάπην, καὶ τὸν Θεὸν ἀγνοεῖν, τοῖς ἐναντίοις τὰ ἐναντία πιστούμενος. Πῶς δὲ ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω Θεὸν, κατασκευάζει οὕτως· « Ὁ Θεὸς ἀγάπη ἐστί. » Πόθεν δῆλον; Ἀφ' οὗ ἀπέστειλε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ εἰς τὸν κόσμον, ἵνα τὴν ὄντως ζωὴν παράσχῃ

[65] Matth. XIII, 9.

ἡμῖν, καὶ ζήσωμεν δι' αὐτοῦ. Ὥσπερ γὰρ ἀγαθότης λέγεται, ὅτι δι' ἀγαθότητα ὑπέστησε τὸν νοητὸν κόσμον καὶ τὸν αἰσθητὸν, ἵνα ἔχῃ τοῦ ὄντως ὄντος ἑαυτοῦ κοινωνούς, οὕτω καὶ δι' ἀγάπην τὴν εἰς ἡμᾶς δοὺς τὸν μονογενῆ αὐτοῦ Υἱὸν εἰς τὸν κόσμον, ἔδειξε καὶ διὰ τούτου ὅτι ἀγάπη ἐστὶ, διὸ καὶ αὐτὸς ἐπιφέρει, « Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, » ἀντὶ τοῦ, Ἐν τούτῳ δείκνυται ὅτι ἀγάπη ἐστὶν ὁ Θεός. Εἶτα ἐξαίρων τὸ τῆς τοῦ Θεοῦ ἀγάπης καλὸν, φησὶν, Οὐχ ὅτι ἡμεῖς ἠγαπῶμεν αὐτὸν, τοῦτο ἐποίησεν ὁ Θεὸς, τὸν ἑαυτοῦ Υἱὸν ὑπὲρ ἡμῶν δοὺς· ὅπερ ἐποφείλεται τοῖς ἀγαπωμένοις, ἀντιδιδόναι τοῖς ἀγαπῶσι τὴν ἴσην διάθεσιν, ἀλλὰ προκατάρχων τῆς εἰς ἡμᾶς εὐεργεσίας δι' ἀγάπης, ἀπέστειλε τὸν Υἱὸν αὐτοῦ. Καὶ οὐ μόνον ἀπέστειλεν· ἀλλὰ καὶ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν διὰ τοῦ ἰδίου αἵματος ἐξιλάσασθαι. Εἰ οὖν οὕτως, ἡμεῖς ὀφείλομεν καὶ ἡμεῖς τοὺς ὁμοφυεῖς ἡμῖν ἀγαπᾷν, καὶ γνόντες τὸ ἀπὸ τῆς ἀγάπης καλὸν, ἀλλήλοις τοῦτο διακονεῖν. Ὥσπερ γὰρ ἔγκλημα τῷ μὴ αἱρουμένῳ τὸ αἱρετὸν, καὶ τῷ μὴ φιλοῦντι τὸ φιλητὸν, οὕτως ἔπαινον περιποιεῖ τοῖς ἀγαπῶσι τοὺς ἀξίους ἀγάπης, διὰ τὸ εἶναι ἀγαπητούς. Οὕτω δὲ διατεθέντες ἔχομεν ἀμφότερα, καὶ τὸ *ἀγαπητοί*, διὰ τὸ ὑπὸ Θεοῦ ἠγαπῆσθαι καὶ προσληφθῆναι ὑπ' αὐτοῦ, καὶ τὸ *ἀγαπητικοί*, διὰ τῆς πρὸς τοὺς πλησίον ἀγάπης· ἀγάπης δὲ τῆς εἰλικρινοῦς καὶ καθαρᾶς, ἀλλ' οὐ τῆς ἐμπαθοῦς τε καὶ ῥυπαρᾶς, ἧς λῃσταῖς ἂν καὶ τοῖς ἄλλοις κακούργοις ἐγγένοιτο.

Θεὸν οὐδεὶς πώποτε τεθέαται. Ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν Σωτῆρα τοῦ κόσμου.

Εἴπομεν καὶ πρὸ τούτου, ὡς ἔθος τῷ μακαρίῳ τούτῳ, τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἀναλαμβάνειν, τοῦ τε ἕξιν βούλεσθαι τῶν λεγομένων τοῖς μαθητευομένοις περιποιεῖν, καὶ ἐπὶ τὸ τρανώτερον τὸν λόγον ἄγειν καὶ τελειώτερον. Ἑτέρως γὰρ καὶ ἑτέρως ἐπιχειρῶν ἀπὸ τῶν ἐν τῷ πράγματι ἐνθεωρουμένων, καὶ οἷον τὸ ἐλλιπὲς τοῦ λόγου ἀναπληρῶν, τελειοτάτην τὴν τῶν λεγομένων ποιεῖται ἀπόδειξιν. Κατὰ ταύτην καὶ νῦν τὴν ἀγωγὴν χρώμενος τῷ λόγῳ φησί· « Θεὸν οὐδεὶς πώποτε τεθέαται. » Ἐπεὶ γὰρ περὶ τῆς ἀγάπης τῆς εἰς τοὺς ἀδελφοὺς ποιούμενος τοὺς λόγους, τὸν Θεὸν εἰς ὑπόδειγμα προῆγε, δόντα τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ διὰ τὴν περὶ ἡμᾶς ἀγάπην εἰς θάνατον. Ἀκόλουθον δὲ ἦν εἰπεῖν τινα, Καὶ πόθεν τοῦτο λέγεις περὶ πραγμάτων ἀθεάτων καὶ ἀνεφίκτων, καὶ διαβεβαιοῖς ἡμᾶς οἷς μήπω τις ἔγνωκε; συντρέχων οὖν τοῖς οὕτω λέγουσί φησι καὶ αὐτὸς, ὅτι Θεὸν μὲν οὐδεὶς ἑώρακε πώποτε. Σύμφημι καὶ αὐτός. Ἀλλ' ἐκ τῆς εἰς ἀλλήλους ἀγάπης, φησὶ, γινώσκομεν, ὅτι ὁ Θεὸς ἐν ἡμῖν ἐστι. Καὶ καλῶς τοῦτο λέγει.

dum, ut veram vitam nobis tribueret, et viveremus per ipsum. Quemadmodum enim bonitas dicitur, eo quod propter bonitatem, intellectualem ac sensibilem mundum produxerit, ut is qui vere est, aliquos haberet sui participes : ita quoque propter dilectionem qua pro nobis dedit Unigenitum suum in mundum, ostendit etiam per hoc quod charitas sit. Ideo et ipse subjungit : « In hoc est charitas, » hoc est, In hoc ostenditur quod Deus sit charitas. Deinde extollens bonitatem charitatis Dei, ait : Non quod nos dilexerimus ipsum hoc fecit Deus, dans Filium suum pro nobis, quasi dilectis debuisset, ut diligentibus rependeret æqualem affectum : sed per charitatem prior auspicans beneficium erga nos, misit Filium suum : nec solum misit, verum etiam pro peccatis nostris proprio illius sanguine placatus est. Si sic ergo dilexit nos Deus, inquit, quanquam in natura nihil nobis commune esset cum illo, multo magis debemus et nos diligere eos qui ejusdem nobiscum sunt naturæ : et cognito bono quod a charitate procedit, invicem illud administrare. Quemadmodum enim culpa est illi qui non eligit quod eligendum est, nec amat quod amabile est : ita et laudi datur iis qui diligunt dignos dilectione, eo quod chari sint. Ita autem affecti, utrumque habemus : **590** et ἀγαπητοί, id est, chari sumus, eo quod a Deo amati et assumpti simus, et ἀγαπητικοί, hoc est, amore persequentes per dilectionem erga proximos : dilectionem, inquam, sinceram ac puram, non autem affectibus obnoxiam ac sordidam, quæ sicariis aliisque facinorosis contingere potest.

IV, 12, 14. *Deum nemo vidit unquam. Si diligamus nos invicem, Deus nos in nobis manet, et charitas ejus est perfecta in nobis. Ex hoc cognoscimus in eo nos manere et ipsum in nobis, quod de spiritu suo dederit nobis. Et nos vidimus et testamur quod Pater miserit Filium suum Salvatorem mundi.*

Diximus etiam antehac quod huic beato viro moris sit eadem de eisdem repetere, ac habitum eorum quæ dicuntur velle infigere iis qui docentur, et sermonem ducere ad id quod clarius ac perfectius est. Alio enim et alio modo aggrediendo ab his quæ in re conspiciuntur, et veluti complens quod in sermone deest, perfectissimam facit demonstrationem eorum quæ dicuntur. Juxta hanc institutionem etiam nunc sermone utens, ait : « Deum nemo vidit unquam. » Quoniam enim sermonem faciens de charitate erga fratres, Deum in exemplum produxerat, qui Filium suum unigenitum dedit in mortem, propter charitatem quam erga nos habuit : consequens autem erat ut aliquis diceret : Et unde aut quomodo hoc dicis de rebus invisibilibus et incomprehensibilibus, et tua apud nos confirmas his quæ nunquam aliquis cognovit? occurrens igitur his qui ita dicerent, ait et ipse : Quod Deum sane nemo unquam viderit, et ego quoque assero : sed ex dilectione erga nos mutua, cogno-

scimus quod Deus in nobis sit. Et recte hoc dicit. Multa namque ex his quæ nobis invisibilia sunt, ex actionibus esse deprehendimus. Certe quemadmodum neque animam quispiam vidit, sed tamen ex actionibus et motionibus in nobis esse deprehendit : ita et dilectionem Dei erga nos, veluti per quamdam motionem ac operationem cognoscimus. Quod si hoc absurdum non est, neque iste vir præter decorum ex operatione Deum quoque in nobis esse ostendit. Et quæ est operatio? Pura ac sincera dilectio erga proximum.

A Πολλὰ γὰρ τῶν ἀθεάτων ἡμῖν ἐκ τῶν ἐνεργειῶν, ὅτι εἰσὶ καταλαμβάνομεν. Ἀμέλει ὥσπερ οὐδὲ ψυχήν τις ἑώρακεν, ἀλλ' ἐκ τῶν ἐνεργειῶν γοῦν καὶ τῶν κινημάτων κατανοεῖ ὡς ἐνυπάρχει ἡμῖν, οὕτω καὶ τὴν εἰς ἡμᾶς αὐτοῦ ἀγάπην, ὡς διά τινος κινήσεως καὶ ἐνεργείας γινώσκομεν. Εἰ δὲ τοῦτο οὐκ ἔξω τοῦ εἰκότος, οὐδὲ ὁ θεῖος οὗτος ἀνὴρ παρὰ τὸ εἰκὸς ἐκ τῆς ἐνεργείας εἶναι τὸν Θεὸν καὶ ἐν ἡμῖν δείκνυσι. Καὶ τίς ἡ ἐνέργεια; Ἡ εἰς τοὺς πλησίον ἡμῶν καθαρὰ καὶ ἄδολος ἀγάπη.

591 Hæc enim efficax est et nullum habens defectum, quando videlicet pura est. Hoc indicium est et nos in ipso et ipsum in nobis manere, quod etiam de Spiritu suo dederit nobis. Nam qui purus est, pura et ab omni sorde immaculata nobis largitur. Quoniam ergo per puram dilectionem cum eo communicamus, ex hoc etiam nos, inquit, qui secundum carnem eum vidimus, cognovimus eum, et testificamur quod Pater miserit eum Salvatorem mundi. Sed præter nostram quoque notitiam ipse etiam nos instruxit, perfectius in hanc cognitionem nos inducens, quando dixit : « Exivi a Patre, et veni in mundum [96]. » Hoc quantum ad id attinet quod Filium suum Unigenitum ob nostri dilectionem demiserit in mundum. Rursum ex aliis manifestius : Adeo enim, inquit, Deus dilexit mundum, ut Filium suum unigenitum daret, ut omnis qui credit in eum non pereat. Et : Non veni ut judicem mundum, sed ut salvum faciam mundum. Habemus igitur et a nostro ipsorum aspectu, inquit, et a doctrina Unigeniti qui est in sinu Patris velut in Evangeliis dictum est [97], et ab operatione per mutuam dilectionem, quod Deus in nobis sit, et de Spiritu suo dederit nobis, et cum eo participemus.

Αὕτη γὰρ καὶ ἐνεργὴς καὶ ἀνελλιπὴς, ἐν τῷ καθαρὰ δηλονότι εἶναι. Τοῦτο τὸ γνώρισμα τῆς τε ἡμῶν ἐν αὐτῷ μονῆς καὶ τῆς ἐν ἡμῖν ἐκείνου, καὶ ὅτι, φησὶ, τοῦτο ἐκ τοῦ Πνεύματος αὐτοῦ B δέδωκεν ἡμῖν. Ὁ γὰρ καθαρὸς καθαρὰ καὶ ἄχραντα παντὸς ῥύπου χαρίζεται. Ἐπεὶ οὖν διὰ τῆς καθαρᾶς ἀγάπης αὐτῷ κοινωνοῦμεν, ἐκ τούτου καὶ ἡμεῖς, φησὶν, οἱ κατὰ σάρκα τεθεαμένοι αὐτὸν ἐγνωμεν καὶ μαρτυροῦμεν, ὅτε ὁ Πατὴρ ἀπέσταλκεν αὐτὸν Σωτῆρα τοῦ κόσμου. Ἀλλὰ καὶ πρὸς τῇ ἡμετέρᾳ γνώσει, καὶ αὐτὸς ἐξηγήσατο, τελεώτερον ἡμᾶς τῇ τοιαύτῃ ἐμβιβάζων γνώσει, ποτὲ μὲν λέγων, « Ἐξῆλθον ἀπὸ τοῦ Πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον, » τοῦτο περὶ τοῦ καταπέμψαι ὑπὲρ τῆς ἡμετέρας ἀγάπης ἀπ' οὐρανοῦ τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ εἰς τὸν κόσμον· καὶ δι' ἑτέρων δὲ πάλιν τρανότερον· « Τοσοῦτον γὰρ, φησὶν, ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ μὴ ἀπόληται· » καὶ, « Οὐκ ἦλθον C ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. » Ἔχομεν τοίνυν καὶ ἀπὸ τῆς αὐτοψίας, φησὶ, καὶ ἀπὸ τῆς τοῦ Μονογενοῦς ἐξηγήσεως τοῦ ὄντος εἰς τὸν κόλπον τοῦ Πατρὸς, ὡς ἐν Εὐαγγελίοις εἴρηται, καὶ ἀπὸ τῆς ἐνεργείας διὰ τῆς εἰς ἀλλήλους ἀγάπης, ὅτι ὁ Θεὸς ἐν ἡμῖν, καὶ ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν, καὶ κοινωνοῦμεν αὐτῷ.

IV, 15-17. *Quisquis confessus fuerit quod Jesus est Filius Dei, Deus in eo manet, et ipse in Deo. Et nos cognovimus et credidimus charitatem quam habet Deus in nobis. Deus charitas est, et qui manet in charitate, in Deo manet et Deus in eo. In hoc perfecta est charitas nobiscum, ut fiduciam habeamus in die judicii, quod sicut ille est, et nos sumus in mundo hoc.*

Ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστὶ, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα παῤῥησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καθὼς ἐκεῖνός D ἐστι, καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ.

Hoc ad id quod paulo ante dictum est refertur, puta quod omnis spiritus qui confitetur Jesum Christum in carne venisse, ex Deo est. Quoniam enim sufficienter demonstravit quod et filii sint Dei et Deus in ipsis maneat : demonstravit autem hoc per mutuam charitatem, quæ confirmat datum esse ipsis Spiritum sanctum sive spiritualia dona : **592** rursum ad illa refert sermonem, et ait : « Quisquis confessus fuerit quod Jesus est Filius Dei, Deus in eo manet ; » hujusmodi aliquid dicens : Dixi in superioribus, Omnis qui confitetur Jesum Christum in

Τοῦτο πρὸς τὸ πρὸ βραχέος εἰρημένον ἀναφέρεται, τὸ, ὅτι πᾶν πνεῦμα ὁ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστι. Ἐπεὶ γὰρ ἱκανῶς ἀπέδειξεν, ὅτι καὶ τέκνα εἰσὶ Θεοῦ, καὶ ὁ Θεὸς ἐν αὐτοῖς μένει, ἀπέδειξε δὲ τοῦτο διὰ τῆς εἰς ἀλλήλους ἀγάπης, ἥτις ὅτι ἐδόθη αὐτοῖς Πνεῦμα ἅγιον, ἤτοι πνευματικὰ χαρίσματα, βεβαιοῦται, ἐπαναφέρει πάλιν ἐπ' ἐκεῖνα τὸν λόγον, καὶ φησιν, « Ὃς ἐὰν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει· » τοιοῦτο λέγων· εἴρηκεν ἀνωτέρω, Πᾶν πνεῦμα ὁμολογοῦν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐλη-

[96] Joan. xvi, 28. [97] Joan. i, 18.

λυθότα, ἐκ τοῦ Θεοῦ εἶναι. Προϊὼν δέ μοι ὁ λόγος, φησί, καὶ ἕτερόν τι ἐξέφηνε. Καὶ τοῦτο τοίνυν προτίθημι, ὅτι οἱ ὁμολογοῦντες ταῦτα, καὶ μένον ἔχουσιν ἐν ἑαυτοῖς τὸ Πνεῦμα, ἤτοι τὸν Θεὸν, καὶ τὰ τούτου πνευματικὰ χαρίσματα, καὶ αὐτοὶ ἐν Θεῷ μένουσι. Καὶ τοῦτο οὐχ ὡς ἔτυχέ φαμεν, ἀλλὰ βεβαίᾳ γνώσει καὶ πίστει διὰ τῆς εἰς ἀλλήλους ἀγάπης. Ἀγάπης δὲ μνημονεύσας, ἐπιφέρει καὶ πάντα τὰ περὶ ἀγάπης ἅπερ φθάσας εἴρηκε, πίστιν πολλὴν τῷ περὶ ἀγάπης παρεχόμενος λόγῳ. « Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη. » Βουλόμενος, φησὶν, ἡμᾶς τετελειῶσθαι ἐν τῇ ἀγάπῃ, ἵνα παῤῥησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, πρὸς τὸν ἐνανθρωπήσαντα δηλονότι, ὅτι καὶ αὐτός ἐστιν ὁ κρίνων κατὰ τὴν αὐτοῦ ἀπόφανσιν, τὴν, ὅτι « Ὁ Πατὴρ οὐδένα κρίνει, ἀλλὰ τὴν κρίσιν ἅπασαν δέδωκε τῷ Υἱῷ. » Καὶ ὅτι πρὸς τὸν ἐνανθρωπήσαντα ἡ παῤῥησία ἡμῖν ἔσται, ἐδήλωσε διὰ τῶν ἑπομένων εἰπὼν, ὅτι Καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ, τοῦτο λέγων, προαποδεδειγμένου ὅτι ὁ Θεὸς ἐν ἡμῖν καὶ ἡμεῖς ἐν αὐτῷ, τὸ τέλειον, φησὶ, καὶ ἑαυτοῖς ἐπιμαρτυρόμεθα τῆς ἀγάπης. Ὡς οὖν ἐκεῖνος ἦν ἐν τῷ κόσμῳ ἄμωμος καὶ καθαρὸς, διὸ καὶ ἔλεγεν, « Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν· » οὕτω καὶ ἡμεῖς ἐσόμεθα ἐν τῷ κόσμῳ, φησί. Τὸ γὰρ, *ἔστι* καὶ *ἐσμὲν*, ἤτοι κατὰ *ἀντιχρονίαν* κεῖται, ὡς τῇ Γραφῇ ἔθος, ἢ βαθύτερόν τι σημαίνει διὰ τούτου. Εἴρηκε γὰρ πολλάκις, ὅτι ἡμεῖς ἐν τῷ Θεῷ, καὶ ὁ Θεὸς ἐν ἡμῖν. Εἰ οὖν τοῦτο, ἀγνῶς δὲ ἐκεῖνός ἐστιν ἐν ἡμῖν, τουτέστιν, ἀγνείας ἡμῖν ὑφηγητὴς καὶ ὕπαρχος, οὕτω καὶ ἡμεῖς αὐτὸν περιφέρωμεν ἐν τῷ κόσμῳ τούτῳ, ἁγνῶς καὶ καθαρῶς. τεθνεῶτες τῷ κόσμῳ, πάντοτε τὴν νέκρωσιν αὐτοῦ ἐν τῷ σώματι περιφέροντες. Οὕτω δὲ βιοτεύοντες, φησὶ παῤῥησιασόμεθά τε πρὸς αὐτὸν, καὶ φόβου παντὸς ἐκτὸς τότε ἐσόμεθα. Τετελειωμένοι γὰρ ἐν τῇ ἀγάπῃ διὰ τῶν ἀγαθῶν ἔργων, πόῤῥωτοῦ φόβου ἐσόμεθα. Καὶ ἐπιφέρει τούτου πιστωτικὸν τὸ, ὅτι ἡ τελέα ἀγάπη ἔξω βάλλει τὸν φόβον; Ποῖον δὲ φόβον αὐτός φησιν, ὅτι τὸν κολαστικόν. Ἔστι γάρ τινα καὶ ἀγαπᾷν διὰ φόβον τοῦ κολασθῆναι. Οὗτος δὲ ὁ φόβος οὐ τετελείωται, τουτέστιν, οὐ τῆς τελείας ἐστὶν ἀγάπης. Ταῦτα εἰρηκὼς περὶ τῆς τελείας ἀγάπης, καὶ καταναγκαστικῶς δείκνυσιν ὡς ὀφείλομεν ἀγαπᾷν τὸν Θεὸν, ὅτι καὶ αὐτὸς, φησὶ, πρῶτος ἠγάπησεν ἡμᾶς. Ὀφείλομεν δὲ τὸν προκατάρχοντα ἡμῖν ἀγαθοῦ, σπουδαιότερον πρὸς τὴν ἀνταμοιβὴν τούτου ἐπείγεσθαι καὶ ἡμεῖς, ὥσπερ ἀνωτέρω διεξοδικώτερον ἡμῖν εἴρηται. Ἐζήτησαν δέ τινες πῶς τοῦ Δαυὶδ λέγοντος, « Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτὸν, » νῦν οὗτός φησιν, « Ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον. » Οὐ δήπου γὰρ οἱ ἅγιοι τοῦ Θεοῦ τετελείωνται ἐν τῇ ἀγάπῃ, οἷς τὸ φοβεῖσθαι προστάσσεται. Φαμὲν οὖν ὡς διττός ἐστιν ὁ φόβος. Ὁ μὲν προκαταρτικὸς, ὃς καὶ σύνδρομον ἐπιφέρεται τὴν κόλασιν διὰ τὰ πεπραγμένα αὐτῷ δεινὰ, τοῦ προσιόντος Θεῷ

A carne venisse, ex Deo est; porro in progressu aliud mihi quiddam manifestavit sermo, et hoc ergo proponam : quod qui hæc confitentur, etiam manentem in seipsis habent Spiritum, sive Deum et hujus dona spiritualia, et ipsi in Deo manent. Et hoc non temere dicimus, sed firma cognitione et fide per mutuam charitatem. Facta autem charitatis mentione, refert quoque omnia quæ de charitate dixit, magnam fidem tribuens sermoni qui est de charitate. « In hoc perfecta est charitas. » Vult, inquit, nos perfectos esse in charitate, ut fiduciam habeamus in die judicii, erga eum videlicet qui incarnatus est : quoniam et ipse judex erit, juxta ipsius sententiam, qua ait : « Pater neminem judicat, sed omne judicium dedit Filio [10]. » Et quod erga eum qui incarnatus est futura sit nobis fiducia, significavit per ea quæ in sequentibus dixit, quod sicut ille est et nos sumus in hoc mundo, id dicens : Cum antea ostensum sit Deum in nobis, et nos in Deo esse, perfectionem, inquit, charitatis nobis ipsis attestamur. Quemadmodum ergo ille in mundo irreprehensibilis erat ac purus, ideo quoque dicebat : « Venit princeps mundi hujus, et in me nihil inveniet [11] : » ita et nos, inquit, erimus in mundo. Nam *Est et Sumus* per ἀντιχρονίαν ponuntur (qua tempus unum sumitur pro alio tempore) veluti Scripturæ moris est. Aut profundius aliquid per hoc significat. Dixit enim frequenter, quod Deus sit in nobis et nos in Deo. Si hoc igitur est, ille autem sancte in nobis est, hoc est, sanctitatis dux et princeps : ita et nos ipsum referamus in hoc mundo sancte ac pure, mortui mundo, semper ipsius mortificationem in corpore circumferentes [1]. Porro ita, inquit, vitam degentes, et fiduciam habebimus erga ipsum, et absque timore tunc erimus. Siquidem perfecti in charitate per bona opera procul erimus a timore. **593** Et hujus confirmationem subjungit, nempe quod perfecta charitas foras ejicit timorem. Quem autem timorem ? Ipse dicit quod supplicii metum ; contingit enim aliquem diligere propter metum, ne puniatur : verum hic metus non est perfectus, id est, non est perfectæ charitatis. His de perfecta charitate dictis, convincit omnino quod debeamus Deum diligere, quoniam ipse prior, inquit, dilexit nos. Debemus autem, cum ille nobis prior fuerit boni initium, studiosius et nos eniti ad repensionem, quemadmodum superius a nobis latius dictum est. Quæsiverunt autem nonnulli quomodo, cum David dicat : « Timete Dominum, omnes sancti ejus, quoniam nihil deest timentibus eum [2], » hic non dicit : « Perfecta charitas foras ejicit timorem. » Annon ergo sancti Dei perfecti sunt in charitate, quibus jubetur ut timeant ? Et dicimus duplicem esse timorem : alter quidem initialis est, qui et comitem affert cruciatum, propter mala a se perpetrata ; timente eo quia ad Deum accedit, et propterea accedente ne puniatur, et hic quidem initialis est. Porro perfectus, tali

[10] Joan. v, 22. [11] Joan. xiv, 30. [1] I Cor. iv, 10. [2] Psal. xxxiii, 10.

timore liberatus est, ideoque sanctus dicitur et permanens in sæculum sæculi : nam « Timor Domini sanctus, inquit, permanet in sæculum sæculi[a] ; » cum initialis neque sanctus sit neque permaneat, sed in perfecta charitate esse desinat. Quis igitur et propter quid dicitur perfectus timor ? Qui eo quod perfecte in charitatem assumptus sit, conatur ac veretur ne quid sibi desit eorum quæ decet illos operari erga dilectum, qui vehementer diligunt.

φοβουμένου, καὶ διὰ ταῦτα προσιόντος ἵνα μὴ κολασθῇ. Καὶ οὗτος μὲν ὁ προκαταρκτικός. Ὁ δὲ τελειωτικὸς δέους μὲν τοιούτου ἀπήλλακται. Διὸ καὶ ἁγνὸς εἴρηται, καὶ διαμένων εἰς αἰῶνα αἰῶνος. « Ὁ φόβος γὰρ, φησὶ, Κυρίου ἁγνὸς, διαμένων εἰς αἰῶνα αἰῶνος, » τοῦ προκαταρκτικοῦ οὔτε ἁγνοῦ οὔτε μονίμου ὄντος, ἀλλ' ἐν τῇ τελείᾳ ἀγάπῃ ἐκλείποντος. Τίς οὖν, καὶ διὰ τί ὁ τελειωτικὸς φόβος; Ὁ διὰ τὸ τελείως εἰς ἀγάπην ἀναληφθῆναι, σπουδὴν ποιούμενος μὴ ἐλλείπειν τι αὐτῷ ὧν εἰκὸς τὸν σφόδρα ἀγαπῶντα ἐπιτελεῖν τῷ ἀγαπωμένῳ.

IV, 18-21. *Timor non est in charitate, sed perfecta charitas foras ejicit timorem : quoniam timor cruciatum habet. Qui autem timet, non est perfectus in charitate. Nos diligamus eum, quoniam ipse prior dilexit nos. Si quis dixerit, Diligo Deum, et fratrem suum oderit, mendax est. Qui enim non diligit fratrem suum quem vidit, Deum quem non vidit quomodo potest diligere ? Et hoc præceptum habemus ab eo, ut qui diligit Deum, diligat et fratrem suum.*

Φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει. Ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ. Ἡμεῖς ἀγαπῶμεν αὐτὸν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς. Ἐάν τις εἴπῃ, Ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν. Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾷν ; Καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

594 Qui ingenue Deum diligit, non propter suppliciorum minas, facit quæ illi grata sunt, sed ob vehementem virtutis amorem et charitatem erga Deum : non tamen seipsum tutum existimat ob generosum timorem, qui est amor honesti. Aut rursum is qui timore incidendi in cruciatum, aliquid facit, idem est cum priore : ideo subjungit : « Timor cruciatum habet. » —« Si quis dixerit, Diligo Deum. » Ubi cogentibus rationibus ostendit charitatem et a Deo ad nos, et a nobis ad Deum traducere, idque rursum addidit, quod si ita dilexit nos Deus, et nos debemus invicem diligere : nunc iterum sermonem ad hoc referens ait, quod quia ex debito nobis positum est, ut fratrem diligamus ab exemplo dilectionis Dei erga nos, quam etiam Deo referentes ac retribuentes, debitum explebimus : oportet, inquit, eximie fratrem diligere, ad perfectissimum signum charitatis erga Deum. Nam si hoc non sit, neque charitas nostra erga Deum servaretur, utpote debito quod erga nos invicem est intercidente, quod ex charitate ad Deum contraximus. « Qui enim non diligit fratrem. » Subjungit autem huic efficacissimum quoque sermonem ad convincendum eos qui divinam charitatem corrumpere conantur, tale quippiam dicens : Dilectio sive charitas coit ac formatur omnino ex mutua conversatione : conversatio autem comitem habet fratris aspectum, et ex hoc maxime colligatur ad illius dilectionem. Quod si hoc verum est, qui id quod fortius attrahit ad dilectionem nihil facit, et fratrem quem vidit non diligit : si Deum quem non vidit dicat se diligere, qui neque cum eo conversatus est, neque ullo sensu capi potest, quomodo verax esse deprehendetur ? Si quis igitur impudenter dicat se Deum quidem diligere, fratrem vero odio habere, nonne is non solum divinam corrum

Ὁ γνησίως ἀγαπῶν τὸν Θεὸν, οὐ διὰ τὴν ἀπειλὴν τῶν κολάσεων ποιεῖ τὰ θεάρεστα, ἀλλὰ τῷ τῆς ἀρετῆς φίλτρῳ, καὶ τῇ ἀγάπῃ τῇ πρὸς τὸν Θεὸν, οὐ μὴν οὐ διὰ τὸν γνήσιον φόβον ἑαυτὸν ἀσφαλιζόμενος, ὃς ἐστιν ἔρως τοῦ καλοῦ. Ἢ πάλιν ὁ φόβῳ τοῦ ἐμπεσεῖν εἰς κόλασιν ποιῶντι, ὁ αὐτός ἐστι τῷ προτέρῳ. Διὸ ἐπάγει· « Ὁ φόβος κόλασιν ἔχει. » — « Ἐάν τις εἴπῃ, ὅτι, Ἀγαπῶ τὸν Θεόν. » Διαβιβαστικὴν εἶναι τὴν ἀγάπην, ἀπό τε τοῦ Θεοῦ πρὸς ἡμᾶς, καὶ ἡμῶν πρὸς αὐτὸν καταναγκαστικῶς ἀποδείξας, καὶ τοῦτο προσθεὶς πάλιν, ὅτι εἰ οὕτως ἠγάπησεν ἡμᾶς ὁ Θεὸς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾷν, νῦν αὖθις πρὸς τοῦτο ἀναφέρων τὸν λόγον φησὶν, ὅτι ἐπειδὴ χρεωστικῶς ἡμῖν ἀπόκειται τὸν ἀδελφὸν ἀγαπᾷν, ἐξ ὑποδείγματος τῆς τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀγάπης, ἣν καὶ ἀντεισφέροντες καὶ ἀνταποδιδόντες Θεῷ, τὴν ὀφειλὴν ἀποπληροῦντες ἐσόμεθα, χρὴ φησιν, ἀνυπερθέτως τὸν ἀδελφὸν ἀγαπᾷν, εἰς τελεώτατον γνώρισμα τῆς πρὸς Θεὸν ἀγάπης. Εἰ γὰρ μὴ τοῦτο, οὐδὲ ἡ πρὸς Θεὸν ἀγάπη ἡμῶν σωθείη, ὡς τῆς ὀφειλῆς τῆς πρὸς ἀλλήλους διαπιπτούσης, ἣν ἐκ τῆς πρὸς Θεὸν ἀγάπης ἐσχήκαμεν. « Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφόν. » Ἐπιφέρει δὲ καὶ τούτου ἐναργέστατον εἰς ἔλεγχον λόγον τῶν ἐπιχειρούντων νοθεύειν τὴν θείαν ἀγάπην, τοιοῦτόν τι λέγων· Ἡ ἀγάπη πάντως ἐκ τῆς πρὸς ἀλλήλους συνίσταται συνηθείας. Ἡ δὲ συνήθεια ἐπόμενον ἔχει τὸ ὁρᾶν τὸν ἀδελφὸν αὐτοῦ, καὶ ταύτῃ μάλιστα συνδεῖσθαι πρὸς τὴν ἀγάπην αὐτοῦ. Ἐφελκυστικὸν γὰρ ὅρασις πρὸς ἀγάπην. Εἰ δὲ τοῦτο, ὁ τὸ μᾶλλον ἐφελκόμενον εἰς ἀγάπην παρ' οὐδὲν ποιούμενος, καὶ τὸν ἀδελφὸν ὃν ἑώρακε μὴ ἀγαπῶν, πῶς τὸν Θεὸν ὃν οὐχ ἑώρακε φάσκων ἀγαπᾷν, ὃς μηδὲ συνήθης ἐστὶν αὐτῷ, μηδὲ αἰσθήσει μηδεμιᾷ ληπτὸς, ἀληθεύων φωραθείη ; Εἰ τοῦτο οὖν τις ἀναιδευόμενος λέγοι, φησὶ

[a] Psal. xviii, 11.

τὸν μὲν Θεὸν ἀγαπᾷν, μισεῖν δὲ τὸν ἀδελφὸν, οὐ προς οἷς τὴν ἀγάπην τὴν θείαν νοθεύει, ἔτι καὶ τῆς ἐντολῆς αὐτοῦ παραβάτης εὑρίσκεται ; Ποίας ; τῆς λεγούσης, « Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. » Ὁ οὖν τὸν Θεὸν ἀγαπῶν, καὶ τούτου μαθητὴς διισχυριζόμενος εἶναι, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ κατὰ τὴν ἐκείνου ἐντολήν.

A pit charitatem, sed et præcepti ejus transgressor invenitur ? Cujus ? Ejus quo dicit : « Per hoc cognoscent omnes quod mei sitis discipuli, si charitatem habueritis inter vos mutuam [4]. Qui ergo Deum diligit, et hujus discipulum se esse asserit, diligat et fratrem suum juxta illius præceptum.

ΚΕΦΑΛ. Ϛ'.

Περὶ θεολογίας Υἱοῦ ἐν δόξῃ Πατρὸς, καὶ περὶ νίκης τῆς κατὰ τοῦ πονηροῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς ζωήν.

Πᾶς ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς, ἐκ τοῦ Θεοῦ γεγέννηται. Καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσι. Ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ, νικᾷ τὸν κόσμον, καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον ἡ πίστις ἡμῶν. Τίς ἐστιν ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ ;

595 CAPUT VI.

Theologia de Filio qui est in gloria Patris, et de victoria adversus malignum per fidem Jesu Christi ad vitam.

V, 1-5. *Omnis qui credit Jesum esse Christum, ex Deo natus est. Et qui diligit eum qui genuit, diligit et eum qui natus est ex illo. Per hoc cognoscimus quod diligamus filios Dei, cum Deum diligimus, et præcepta ejus servamus. Hæc est enim charitas Dei, ut præcepta ejus servemus : et præcepta ejus gravia non sunt. Quoniam omne quod natum est ex Deo, vincit mundum. Et hæc est victoria quæ vincit mundum, fides nostra. Quis est qui vincit mundum nisi qui credit quod Jesus est Filius Dei ?*

Ταῦτα εἰρηκὼς, καὶ ἑτέροις πάλιν πιστοῦται τὸν λόγον, οὕτω πως κατασκευάζων· Εἰ ἐντολὴν ἐλάβομεν ἀπὸ τοῦ Διδασκάλου ἀλλήλους ἀγαπᾷν, πάντως εἰ πιστεύομεν ὅτι ὁ διδάσκαλος ἡμῶν Ἰησοῦς ἐστιν ὁ Χριστὸς, ὃς ἐν τούτῳ ἐστὶ Χριστὸς ἐν τῷ Θεὸς εἶναι καὶ ἄνθρωπος, φυλάξομεν καὶ τὰς ἐντολὰς αὐτοῦ, ὡς διδασκάλου, ὡς Θεοῦ. Πιστεύοντες δὲ Θεὸν αὐτὸν εἶναι, υἱοὶ αὐτοῦ χρηματίζομεν, καθὼς καὶ ἐν Εὐαγγελίοις εἴρηται. « Ὅσοι δὲ ἔλαβον αὐτὸν, » τουτέστιν, ὅσοι ἐπίστευσαν εἰς αὐτὸν, « ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. » Εἰ γεγεννήμεθα δὲ ἐξ αὐτοῦ, πάντως καὶ τὸ καθῆκον τῷ γεγεννηκότι ἐπιδειξόμεθα. Τί τοῦτο ; Τὸ ἀγαπᾷν τὸν γεγεννηκότα, φύσει τούτου τοῖς τέκνοις πρὸς τοὺς πατέρας ἐπακολουθοῦντος. Ἐπεὶ δὲ, φησὶν, τοῦτο, πάντες οἱ πεπιστευκότες ἐξ αὐτοῦ γεγεννήμεθα, (εἰ δὲ ἐξ αὐτοῦ γεγεννήμεθα, ὀφειλέται ἐσμὲν καὶ διὰ τοῦτο ἀλλήλους ἀγαπᾷν, καὶ ὡς ἀδελφοὶ, καὶ ὡς ἐξ αὐτοῦ γεγεννημένοι,) ἐπιφέρει καὶ τούτου πίστιν, ὡς ὁ ἀγαπῶν τὸν γεννήσαντα, καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ ἀγαπᾷ, εἶτα ἀντιστρόφως χρῆται τῷ λόγῳ, καί φησιν ὅτι ἡ πρὸς τοὺς ἀδελφοὺς ἤτοι τὰ τέκνα τοῦ Θεοῦ ἀγάπη, τὴν εἰς τὸν τεκόντα ἀγάπην βεβαιοῖ. Ἄνω μὲν γὰρ ἔλεγεν, « Ὁ ἀγαπῶν τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ ἀγαπᾷ, » νῦν δὲ ἀντιστρέψας λέγει, ὅτι ὁ ἀγαπῶν τὰ τέκνα τοῦ Θεοῦ, καὶ τὸν Θεὸν ἀγαπᾷ. Καὶ δεῖγμα τῆς εἰς Θεὸν ἀγάπης, τὴν εἰς τὸν ἀδελφὸν ἀγάπην τίθεται. Εἶτα τὴν εἰς Θεὸν ἀγάπην, καὶ τῶν ἐντολῶν αὐτοῦ ποιητικήν φησι, καλῶς τοῦτο λέγων. « Ὁ γὰρ ἀγαπῶν με, αὐτός φησιν ὁ Σωτὴρ, τὰς ἐντολάς μου τηρεῖ. »—« Αὕτη γάρ ἐστιν ὁ ἀγάπη τοῦ Θεοῦ. » Ἐν ὑπερβατῷ ἀκουστέον τὸ προκείμενον οὕτως· Αὕτη γάρ ἐστιν ἡ ἀγάπη, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν, ὅτι πᾶν τὸ γεγεννημένον ἐκ

His dictis rursus aliis quoque sermonem confirmat, ita quodammodo roborans : Si præceptum a Magistro accepimus de nobis mutuo diligendis, utique si credimus quod magister ac præceptor noster Jesus sit Christus, qui eo Christus est quo Deus et homo est : servabimus etiam præcepta ejus tanquam magistri et tanquam Dei. Porro credentes ipsum esse Deum, filii ejus appellamur : quemadmodum etiam in Evangeliis dictum est : « Quotquot autem acceperunt eum, hoc est, quotquot crediderunt in eum, dedit eis potestatem ut filii Dei fierent [5]. » Si vero ex ipso nati sumus, utique etiam præstabimus quod decens est ei qui nos genuit. Quidnam hoc est ? Ut eum diligamus qui nos genuit, cum hoc filiorum naturam subsequatur ut patres diligant. Quoniam autem hoc ita est, universi qui credidimus ex eodem nati sumus : quod si ex eodem nati sumus, debitores etiam ex eo sumus ut nos invicem diligamus : et quia fratres, et quia ex eodem nati. Et hujus persuasionem subjicit : quod qui diligit eum qui genuit, diligit etiam eum qui ex ipso genitus est. Deinde sermonis conversione utitur, **596** et ait quod dilectio erga fratres sive filios Dei, confirmat dilectionem erga eum qui genuit. In superioribus namque dixit : « Qui Deum diligit, is et fratrem diligit ; » nunc autem sermone inverso dicit quod is qui filios Dei diligit, etiam Deum diligit : ac signum dilectionis Dei ponit dilectionem erga fratrem. Deinde dilectionem in Deum ait quoque efficere præceptorum ipsius observationem : recte hoc dicens : nam, « Qui me diligit, ait ipse Salvator, præcepta mea servat [6]. » — « Hæc enim est charitas Dei. » Per hyperbaton intelligendum est quod proponitur, hoc modo : Hæc est enim charitas Dei ut præcepta ejus servemus,

[4] Joan. XIII, 35. [5] Joan. I, 12. [6] Joan. XIV, 21.

quoniam omne quod natum est ex Deo vincit mundum. Porro, Gravia non sunt, interjectum est. « Et præcepta ejus gravia non sunt. » Non sicut dixit Christus, « Jugum meum leve est [7] ; » sic et ipse, quod præcepta levia sunt, sed quod gravia non sunt, dixit : apud eum namque qui ad virtutem adducitur, etiam quæ levia sint admodum gravia reputantur : quemadmodum apud eum qui robur ac sanitatem perdidit quæ omnia bona efficit, etiam quæ admodum levia sunt, gravia videntur. Siquidem quia videbantur quibusdam præcepta Dei esse gravia, utpote quæ Dei essent, propterea dicit quod præcepta ejus gravia non sunt. Quid enim gravitatis habet diligere fratrem ? Præterea quid gravitatis habet visitare eum qui in carcere est ? neque enim liberare jubet eum qui est in carcere, quod difficile esset, sed tantum visitare : neque eum qui ægrotat liberare ab ægritudine, sed tantum visitare, neque esurienti mensam opiparam jubet apponere, neque nudo suppeditare vestimentum superflua variegatione præparatum : sed quæ necessarium usum tribuant, quem is qui esurit aut nudus est, requirit. Postquam de his ita ordinavit, addit his quæ jam dicta sunt et aliud quod ad exhibitionem charitatis inducit, Quidnam illud est ? victoria. Ait enim : vos qui dilectione erga proximum vosipsos Dei filios constituitis, jam et hoc habetis quod comitatur illud factum egregium, nempe ut mundum vincatis : quoniam id quod natum est ex Deo, vincit mundum. Deinde addit et victoriam, et quid sit causa victoriæ, ac utrumque fidei convenire dicit, ei videlicet quæ est erga Deum, quæ etiam ex Deo nata, vicit et abegit omnem incredulitatem : et **597** neque Judæus, neque Græcus, neque Hæreticus potest quidquam adversus illam. Et quoniam fides non nuda vincit, sed una cum eo qui ipsam habet, propterea addit. « Et quis est qui vincit mundum, nisi qui credit quod Jesus est Filius Dei ? » Quis est autem iste Jesus ? Qui per aquam et sanguinem venit Jesus Christus.

A τοῦ Θεοῦ. Τὸ δὲ, Βαρεῖαι οὐκ εἰσὶ, παρεμβέβληται. « Καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσί. » Οὐκ εἶπεν ὥσπερ ὁ Χριστὸς, ὅτι « Ὁ ζυγός μου ἐλαφρός ἐστι, » καὶ αὐτὸς, ὅτι αἱ ἐντολαὶ ἐλαφραί εἰσιν, ἀλλ' ὅτι βαρεῖαι οὔκ εἰσι. Τῷ γὰρ ἀναγομένῳ κατ' ἀρετὴν καὶ τὰ πάνυ βαρέα κοῦφα λογίζεται, ὥσπερ τῷ ἀποβεβληκότι τὴν πάντα κατορθοῦσαν τὰ καλὰ εὐρωστίαν, καὶ τὰ πάνυ ἐλαφρὰ βαρέα λογίζεται. Ἐπειδὴ γὰρ ἐδόκει τισὶ τὰς ἐντολὰς τοῦ Θεοῦ βαρείας εἶναι ἅτε Θεοῦ, διὰ τοῦτό φησιν ὅτι Αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσι. Τί γὰρ βαρὺ τὸ ἀγαπᾶν τὸν ἀδελφόν ; ἀλλὰ καὶ τὸ ἐν φυλακῇ ἐπισκέπτεσθαι τί βαρύ ; Οὐ γὰρ ἐξαιρεῖσθαί φησι τὸν ἐν φυλακῇ, ὃ δυσχερὲς, ἀλλ' ἐπισκέπτεσθαι μόνον· οὐδὲ τὸν ἀσθενοῦντα ἀπαλλάττειν τῆς νόσου, ἀλλὰ B μόνον ἐπισκέπτεσθαι· οὐδὲ τῷ πεινῶντι πολυτελῆ τράπεζαν παρατιθέναι κελεύει, ἢ τῷ γυμνῷ ἱμάτιον διδόναι περιττῇ ποικιλίᾳ κατεσκευασμένον, ἀλλὰ τὰ τὴν ἀναγκαίαν χρείαν παρεχόμενα, ἣν ὁ πεινῶν καὶ ὁ γυμνητεύων ἐπιζητεῖ. Οὕτως τὰ περὶ τούτων διοικησάμενος, ἐπιτίθησι τούτοις τοῖς ἤδη εἰρημένοις καὶ ἕτερον ἐπακτικὸν πρὸς μεταχείρισιν τῆς ἀγάπης. Τί τοῦτο ; Τὴν νίκην. Φησὶ γὰρ, ὅτι Διὰ τῆς πρὸς τὸν ἀδελφὸν ἀγάπης, τέκνα συνιστῶντες ἑαυτοὺς τοῦ Θεοῦ, ἔχετε καὶ τοῦτο ἤδη τοῦ κατορθώματος τούτου ἐπακολούθημα, τὸ τὸν κόσμον νικᾷν. Τὸ γὰρ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον. Εἶτα παρατίθησι καὶ τὴν νίκην, καὶ τὸ διὰ ἡ νίκη, τὴν πίστιν ἀμφότερον εἶναι λέγων, δηλονότι τὴν πρὸς τὸν Θεὸν, ἥ τις καὶ ἐκ τοῦ Θεοῦ γεννηθεῖσα ἐνίκησε C πᾶσαν ἀπιστίαν καὶ ἀπήλασε, καὶ Ἰουδαῖος, οὔτε Ἕλλην, οὔτε αἱρετικὸς δύναται πρὸς αὐτήν. Καὶ ἐπειδὴ ἡ πίστις οὐ ψιλὴ νικᾷ, ἀλλὰ μετὰ τοῦ ἔχοντος αὐτήν, διὰ τοῦτο προστίθησι· « Καὶ τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ ; » Καὶ τίς οὗτός ἐστιν Ἰησοῦς ; Ὁ δι' ὕδατος καὶ ἱματος Ἰησοῦς ὁ Χριστός.

V, 6-12. *Hic est qui venit per aquam et sanguinem Jesus Christus : non per aquam solum, sed per aquam et sanguinem. Et Spiritus est qui testificatur, quoniam Spiritus est veritas. Quoniam tres sunt qui testificantur, Spiritus, aqua et sanguis ; et hi tres ad unum sunt. Si testimonium hominum accipimus, testimonium Dei majus : quoniam hoc est testimonium Dei, quod testificatus est de Filio suo. Qui credit in* D *Filium Dei, habet testimonium in seipso. Qui non credit Deo, mendacem fecit ipsum, quia non credit in testimonium, quod testificatus est Deus de Filio suo. Et hoc est testimonium, quod vitam æternam dedit nobis Deus : et hæc vita in Filio ejus est. Qui habet Filium, habet vitam : qui non habet Filium Dei, vitam non habet.*

Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος Ἰησοῦς Χριστὸς, οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι. Καὶ τὸ Πνεῦμά ἐστι, τὸ μαρτυροῦν, ὅτι τὸ Πνεῦμά ἐστιν ἡ ἀλήθεια. Ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες, τὸ Πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν. Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία τοῦ Θεοῦ μείζων ἐστίν. Ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Θεοῦ, ἣν μεμαρτύρηκε περὶ τοῦ Υἱοῦ αὐτοῦ. Ὁ πιστεύων εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ. Ὁ μὴ πιστεύων τῷ Θεῷ, ψεύστην πεποίηκεν αὐτὸν, ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν, ἣν μεμαρτύρηκεν ὁ Θεὸς περὶ τοῦ Υἱοῦ αὐτοῦ. Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ Θεός. *Καὶ αὕτη ἡ ζωὴ ἐν τῷ Υἱῷ αὐτοῦ ἐστιν. Ὁ ἔχων τὸν Υἱὸν, ἔχει τὴν ζωήν. Ὁ μὴ ἔχων τὸν Υἱὸν τοῦ Θεοῦ, τὴν ζωὴν οὐκ ἔχει.*

Quoniam et propagationis filiorum meminerat, Ἐπειδὴ τεκνώσεως ἐμνήσθη Θεοῦ καὶ τόκου, εἰ-

[7] Matth. II, 30.

πῶν, Πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ, ταῦτα δὲ διὰ τοῦ ἁγίου βαπτίσματος ἡμῖν περιγίνεται, διὰ τοῦτό φησιν, « Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος Ἰησοῦς Χριστός. » Καὶ τίνος χάριν ἦλθεν; Ἀναγεννῶν ἡμᾶς καὶ υἱοὺς ποιῶν Θεοῦ. Καὶ γὰρ τοῦτο ὡς ἑπόμενον τῷ λόγῳ καὶ ἐξακούεται, ἵνα ᾖ οὕτως· Καὶ πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον. Καὶ πῶς ἐγεννήθη; Δι' ὕδατος, φησὶ, καὶ αἵματος. Ὁ γὰρ ἐλθὼν Ἰησοῦς ὁ Χριστὸς, δι' ὕδατος ἀναγεννᾷ καὶ αἵματος. Προστίθησι δὲ πάλιν ἐπαναλαμβάνων τὸν λόγον, οὐκ ἐν τῷ ὕδατι φάσκων μόνον, ἀναγεννῶν δηλονότι, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι. Βούλεται γὰρ πρῶτον δεῖξαι τοῦ υἱοθετοῦντος ἡμᾶς Χριστοῦ τὴν ἀνάδειξιν, ὅτι ὁ ἐν αὐτῷ ἄνθρωπος πρῶτος υἱοθετηθεὶς ὑπὸ Θεοῦ, καὶ ἡμῖν διὰ τῆς ἑαυτοῦ υἱοθεσίας ἐχαρίσατο τὸ τοιοῦτον ἀξίωμα. Ὁ καὶ κατὰ καιροὺς τρεῖς ἐξεφάνθη, ἐπὶ τοῦ βαπτίσματος ἐν τῷ Ἰορδάνῃ, ἄνωθεν τοῦ Πατρὸς μαρτυροῦντος τὸν βαπτιζόμενον Υἱὸν ἀγαπητόν. Τίς δὲ ὁ ἐμβαίνων τὸ ὕδωρ, ἢ ὁ συνειλημμένος τῷ Θεῷ Λόγῳ ἄνθρωπος; Ὁ φαινόμενος τῷ κρυπτῷ· τούτῳ γὰρ καὶ ἔδει τὴν μαρτυρίαν γενέσθαι. Διὰ τοῦ ὕδατος οὖν, τουτέστιν, ἐν τῷ δι' ὕδατος βαπτίσματι ἐξεφάνθη Υἱὸς Θεοῦ ὁ Ἰησοῦς διὰ τῆς τοῦ Πατρὸς μαρτυρίας. Διὰ δὲ τοῦ αἵματος· ὅτε μέλλων σταυροῦσθαι ἔλεγε, « Δόξασόν με σὺ, Πάτερ, » καὶ ἠνέχθη ἡ φωνὴ, « Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω, » ἣν καὶ βροντὴν ἐνόμισαν οἱ ἀκούσαντες. Διὰ δὲ τοῦ Πνεύματος, ὅτε ὡς Θεὸς ἀνέστη ἐκ νεκρῶν. Θεοῦ γὰρ τοῦτο μόνου λοιπὸν, τὸ ἀνιστᾷν ἑαυτόν. Τῇ δὲ τοῦ Πνεύματος φωνῇ, σημαίνεται ὁ Θεός· ἐπεὶ καὶ Πνεῦμα ὁ Θεός. Τριῶν οὖν μαρτυρούντων, τοῦ βαπτίσματος, τοῦ σταυροῦ, τῆς ἀναστάσεως τὴν τοῦ Ἰησοῦ υἱοθεσίαν, ἀναμφίλεκτος ἡ τοῦ Κυρίου υἱοθεσία, δι' ἧς υἱοθεσίας, καὶ ἡμῖν ὡς ἀπαρχὴ τοῦ ὅλου ἀνθρωπείου φυράματος ὤν, ἐχαρίσατο τὸ υἱοὺς εἶναι Θεοῦ. Καὶ τὰ τρία ταῦτα εἰς ἕνα τὸν Χριστόν εἰσι. Τοῦτο γὰρ σημαίνει διὰ τοῦ εἰπεῖν, « Οἱ τρεῖς εἰς τὸ ἕν εἰσι, » τουτέστιν, εἰς τὴν περὶ τοῦ Χριστοῦ μαρτυρίαν. Ἰστέον δὲ ὡς τινες τῶν Πατέρων τὸ Πνεῦμα οὐ διὰ τὴν ἀνάστασιν ἔφασαν, ἀλλὰ τὸν Πατέρα, ὅτε ἐν τῷ Ἰορδάνῃ ἐβόησε τὸ, « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, » καθότι καὶ Πνεῦμα, ὡς προειρήκαμεν, ὁ Θεὸς λέγεται. Ταῦτα εἰπὼν, ἐπιφέρει πίστιν τῶν λεγομένων ἀπὸ τοῦ ἐλάττονος οὕτως εἰπών· Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων περί τινος ὁτουοῦν λαμβάνομεν, οὐ πολλῷ δικαιότερον λάβοιμεν τὴν ἀπὸ τοῦ Θεοῦ τοῦ μείζονος; ἢ γὰρ οὐχὶ αὕτη ἡ μαρτυρία περὶ τοῦ Υἱοῦ αὐτοῦ, ἤτοι τοῦ Χριστοῦ, ἀπὸ τοῦ Θεοῦ ἐστιν; Ὁ πιστεύων οὖν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, ὅτι Θεός ἐστιν ὡς Υἱὸς Θεοῦ, ἔχει τὴν μαρτυρίαν ἐν αὐτῷ, τουτέστιν, ἐν ἑαυτῷ, πιστεύων ὅτι καὶ αὐτὸς υἱοθετεῖται διὰ τοῦ υἱοθετηθέντος Ἰησοῦ ὑπὸ Θεοῦ. Ὁ μὴ πιστεύων δὲ δυσὶ ἐνοχός ἐστι κακοῖς, ἀπιστίας, ψεύστην ποιῶν τὸν Θεὸν, ἀλλὰ καὶ ἑαυτὸν ἀποστερῶν υἱοθεσίας, καὶ διὰ τούτου καὶ τῆς αἰωνίου ζωῆς, ἣν ἐπηγγείλατο τοῖς υἱοθετουμένοις ὑπ' αὐτοῦ ὁ

A dicens : Omne quod natum ex Deo : hæc autem per sacrum baptisma nobis contingunt; propterea dicit « Hic est qui venit per aquam et sanguinem Jesus Christus. » Et cujus gratia venit? ut nos regeneret, ac Filios Dei efficiat. Nam et hoc tanquam sermonem consequens subintelligitur, ut sit hic sensus Et omne quod natum est ex Deo vincit mundum. Quomodo autem natum est? per aquam, inquit, et sanguinem. Siquidem Jesus Christus qui venit, per aquam regenerat et sanguinem. Addit autem rursum repetendo sermonem dicens : Non per aquam solum, videlicet regenerans, sed per aquam et sanguinem. Vult enim primum designationem ostendere Christi qui nos adoptavit : quoniam homo qui in ipso erat, primus a Deo adoptatus, nobis quoque
B per suam adoptionem dedit hujusmodi dignitatem quod etiam tribus temporibus demonstratum est, nempe in baptismo in Jordane, **598** cum Pater superne testificaretur eum qui baptizabatur suum esse Filium dilectum [8]. Quis autem ille erat qui ingressus est aquam nisi homo qui una cum Deo Verbo assumptus est? is certe qui in occulto apparebat, nam huic opus erat testimonio. Per aquam ergo, hoc est, in baptismate quod fit per aquam, demonstratus est Filius Dei esse Jesus per testimonium Patris. Per sanguinem vero, quando crucifigendus dicebat : « Glorifica me tu, Pater, » et delata est vox : « Et glorificavi et rursum glorificabo [9]; » quam etiam tonitruum esse existimabant hi qui audiverant. Per Spiritum autem,
C quando tanquam Deus surrexit ex mortuis. Nam soli Deo hoc relinquitur ut seipsum suscitet. Per o dictione Spiritus, significatur Deus : quandoquidem et Spiritus est Deus [10]. Quoniam igitur tribus testificantur Jesu adoptionem, nempe baptismo, passione et resurrectione, nihil ambiguitatis habet Domini adoptio : per quam adoptionem nobis quoque, ut qui esset primitiæ totius humanæ massæ, donavit ut filii Dei essemus. Et hæc tria in unum Christum sunt : nam hoc significat, dicens : « Hi tres ad unum sunt, » hoc est ad testimonium de Christo. Sciendum est autem quod nonnulli Patrum Spiritum, non propter resurrectionem acceperunt, sed Patrem ipsum quando in Jordane clamavit : « Hic
D est Filius meus dilectus; » propterea quod et Deus dicitur Spiritus ut pradiximus. His dictis persuasionem eorum quæ dicuntur, a minori subjungit, ita dicens : Si testimonium hominum de vulgari quavis re accipimus, nonne multo justius accipere debemus testimonium a Deo qui major est? Etenim annon hoc testimonium de Filio suo sive Christo a Deo est? Qui igitur credit in Filium Dei, quod Deus sit tanquam Dei Filius, habet testimonium in ipso, hoc est, in seipso, credens quod et ipse adoptatus sit a Deo per Jesum adoptatum. Qui vero non credit, duobus malis obnoxius est, puta incredulitatis, mendacem faciens Deum : ac præterea seipsum pri-

[8] Matth. III, 17. [9] Joan. XII, 28. [10] Joan. IV, 24.

vans adoptione, ac per hoc æterna quoque vita, quam promisit Christus his qui a se adoptati essent : quam et ipse in se habet sicut in Evangelio scriptum est : « In ipso vita erat [11]. » Itaque qui habet Filium per sacrum baptisma, habet et vitam. Quotquot enim in Christum baptizati sumus, hoc est, juxta ipsius præceptum, Christum induimus [12]. **599** Qui autem non habet Filium Dei per baptismum, neque vitam habet, sed mortuus est. Siquidem accipiens nos peccatis mortuos, excitat per sacrum baptisma. Quomodo ? Sicut frequenter dictum est, quod consepultus Christo per demersionem quæ fit in baptismo, mortuus sit mundo, sive mundanis concupiscentiis, et jam non sibi ipsi, sed Christo vivat, juxta præcepta illius in novitate vitæ ambulans [13], neque posthac peccato dans clanculario ingressum.

Χριστὸς, ἣν καὶ αὐτὸς ἔχει ἐν ἑαυτῷ, ὡς ἐν τῷ Εὐαγγελίῳ γέγραπται· « Ἐν αὐτῷ ζωὴ ἦν. » Ὥστε ὁ ἔχων τὸν Υἱὸν διὰ τοῦ ἁγίου βαπτίσματος, ἔχει καὶ τὴν ζωήν. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθημεν, τουτέστι, κατὰ τὴν ἐντολὴν αὐτοῦ, Χριστὸν ἐνεδυσάμεθα. Ὅστις δὲ μὴ ἔχει τὸν Υἱὸν τοῦ Θεοῦ διὰ τοῦ βαπτίσματος, οὐδὲ τὴν ζωὴν ἔχει, καὶ νενέκρωται. Νεκροὺς γὰρ λαμβάνων ἡμᾶς τοῖς παραπτώμασιν, ἐγείρει διὰ τοῦ ἁγίου βαπτίσματος. Πῶς; Ὡς πολλάκις εἴρηται, ὅτι ὁ συνταφεὶς Χριστῷ διὰ τῆς ἐν βαπτίσματι, καταδύσεως, οὗτος νεκρός ἐστι τῷ κόσμῳ, ἤτοι ταῖς κοσμικαῖς ἐπιθυμίαις, καὶ οὐκέτι ἑαυτῷ, ἀλλὰ Χριστῷ ζῇ, κατὰ τὰς ἐντολὰς αὐτοῦ ἐν καινότητι ζωῆς περιπατῶν καὶ παρείσδυσιν τῇ ἁμαρτίᾳ μηκέτι διδούς.

V, 13-15. *Hæc scripsi vobis qui creditis in nomen Filii Dei : ut sciatis quod vitam habemus æternam, et ut credatis in nomen Filii Dei. Et hæc est fiducia quam habemus apud Deum, quod si quid petierimus secundum voluntatem ejus, audit nos. Et si scimus quod audit nos in omni eo quod petierimus, scimus quod habemus petitiones quas postulavimus ab eo.*

Ταῦτα ἔγραψα ὑμῖν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἵνα εἰδῆτε, ὅτι ζωὴν αἰώνιον ἔχετε, καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ. Καὶ αὕτη ἐστὶν ἡ παῤῥησία, ἣν ἔχομεν πρὸς αὐτὸν, ὅτι ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ, ἀκούει ἡμῶν. Καὶ εἰ οἴδαμεν ὅτι ἀκούει ἡμῶν, ὃ ἂν αἰτώμεθα, οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα παρ' αὐτοῦ.

Tanquam in epilogo summatim prædicta repetit, et ait : Scripsi vobis hæc tanquam hæredibus vitæ æternæ : nequaquam enim ista scriberentur his qui non vivunt secundum spem vitæ æternæ : quia neque sancta dare canibus neque margaritas spargere coram porcis [14], laudem promereretur. Tanquam hæredibus ergo vitæ æternæ hæc scribens, repetit breviter, ut diximus, suggerens illis quæ jam dicta sunt : primum quod firmiter credere oporteat in nomen Filii Dei, hoc est, in traditum nobis ab illo divinum cultum : nam hoc significare vult nomen Filii Dei, sicuti diximus, cui videlicet viam parat ipsa sacri baptismatis gratia. Deinde quod hujus indubitatæ fidei nullum sit aliud signum, nisi fiducia, quam per irreprehensibilem fidem reperimus apud ipsum, sicut etiam in superioribus diximus. Rursumque signum hujus fiduciæ posuit, non frustrari in omnibus quæ a nobis postulantur. Sed quoniam non omnes omnia postulata assequuntur, neque semper exaudiuntur in his quæ petunt, addit : Secundum voluntatem ejus : manifestans videlicet quod petens præter voluntatem magistri, non sit exaudiendus, conformiter ad beatum Jacobum : quandoquidem et ille, « Petitis, inquit, et non accipitis, eo quod male petatis [15], » hoc est, prout vobis non expedit. **600** Convertens autem hujusmodi signum in manifestius indicium, ait : « Et si scimus quod audit nos in omni eo quod petierimus, scimus quod habemus petitiones quas postulavimus ab eo : » tale quippiam dicens : Si secundum voluntatem ejus petimus, audit nos : et si audit nos in omni eo quod petimus, scimus quod secundum

Ὡς ἐν ἐπιλόγῳ ἀνακεφαλαιοῦται καὶ φησιν· Ἔγραψα ὑμῖν ταῦτα ὡς κληρονόμοις αἰωνίου ζωῆς· οὐκ ἂν γὰρ ταῦτα γραφείη τοῖς μὴ κατ' ἐλπίδα βιοῦσι τῆς αἰωνίου ζωῆς. Ὅτι μηδὲ τὰ ἅγια διδόναι τοῖς κυσὶ, μηδὲ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων ἀξιέπαινον ῥιπτεῖν. Ὡς οὖν κληρονόμοις τῆς αἰωνίου γράφων ταῦτα ζωῆς, ἐπαναλαμβάνει, ὡς εἰρήκαμεν διὰ βραχέων ὑπομιμνήσκων αὐτοὺς τῶν εἰρημένων ἤδη· πρῶτον ὅτι δεῖ πιστεύειν ἀδιστάκτως εἰς τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ, τουτέστιν, εἰς τὴν ὑπ' ἐκείνου παραδοθεῖσαν ἡμῖν θεοσέβειαν. Τοῦτο γὰρ βούλεται σημαίνειν τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὡς φθάνομεν εἰρηκότες. Ἧς ὁδοποιὸς ἡ τοῦ ἁγίου δηλαδὴ βαπτίσματος χάρις. Εἶτα ὅτι σημεῖον ταύτης τῆς ἀδιστάκτου πίστεως οὐδέν ἐστιν ἄλλο ἢ ἡ παῤῥησία, ἣν διὰ τῆς ἀμώμου πίστεως εὑρίσκομεν πρὸς αὐτὸν, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν. Καὶ πάλιν σημεῖον τῆς τοιαύτης παῤῥησίας, τὸ μὴ ἀστοχεῖν πάντων τῶν παρ' ἡμῶν αἰτουμένων, τίθεικεν. Ἀλλ' ἐπειδὴ οὐ πάντων τῶν αἰτουμένων πάντες τυγχάνουσιν, οὐδὲ εἰσακούονται εἰς ἃ αἰτοῦσι, προστίθησι τὸ Κατὰ τὸ θέλημα αὐτοῦ, ὡς ὅ γε παρὰ τὸ θέλημα τοῦ διδασκάλου αἰτῶν, οὐδὲ εἰσακουσθησόμενος, συνῳδὰ τῷ μακαρίῳ Ἰακώβῳ ἀποφαινόμενος· ἐπεὶ καὶ οὗτος, « Αἰτεῖτε, φάσκει, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖτε, » οἱονεὶ, ἀσυμφόρως ὑμῖν. Ἀντιστρέφων δὲ τὸ τοιοῦτον σημεῖον εἰς σαφέστερον γνώρισμα φησί· « Καὶ ἐὰν οἴδαμεν ὅτι εἰσακούει ἡμῶν εἰς πᾶν ὃ ἂν αἰτώμεθα, οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκαμεν αὐτὸν, » τοιοῦτό τι λέγων· Εἰ κατὰ τὸ θέλημα αὐτοῦ αἰτούμεθα, ἀκούει ἡμῶν. Καὶ εἰ ἀκούει ἡμῶν εἰς ὃ ἂν αἰτώμεθα, οἴδα-

[11] Joan. I, 4. [12] Rom. VI, 3. [13] Rom. VI, 4. [14] Matth. VII, 6. [15] Jac. IV, 3.

μεν ὅτι κατὰ τὸ θέλημα αὐτοῦ ποιοῦμεν τὰ αἰτήματα ἡμῶν, καὶ ἔχομεν ἐν ἑαυτοῖς τὰ αἰτήματα ἃ ἠτησάμεν. Ταῦτα δέ ἐστι ἡ βασιλεία καὶ ἡ δικαιοσύνη αὐτοῦ, ἃ καὶ αἰτεῖν αὐτὸς ἡμῖν ἐνετείλατο. Ταῦτα εἰπὼν καὶ ῥητῶς παρατίθεταί τι, ὧν αἰτεῖν ἡμᾶς βούλεται τῶν κατὰ τὸ θέλημα τοῦ Θεοῦ. Ἐπεὶ γὰρ πολούς ἐστι σχεδὸν δι' ὅλης τῆς Ἐπιστολῆς, τὴν εἰς τὸν ἀδελφὸν ἀγάπην ἐξυμνῶν, καὶ τοῦτο βούλεσθαι τὸν Θεὸν, τὴν εἰς τὸν ἀδελφὸν ἀγάπην ἀνόθευτον τηρεῖν, τοῦτο εἶναί φησι νῦν ἓν τῶν θελημάτων αὐτοῦ, ἵνα ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα μὴ πρὸς θάνατον, αἰτήσῃ, καὶ δώσει αὐτῷ. Καὶ τί δώσει; Ζωὴν αἰώνιον. Τίσι; Τοῖς μὴ πρὸς θάνατον ἁμαρτάνουσιν.

A voluntatem ejus facimus petitiones nostras, et habemus in nobis ipsis petitiones quas postulavimus [46]. Hæc autem sunt regnum et justitia ipsius : quæ etiam ipse præcepit nobis petere. His dictis manifeste etiam aliquid proponit eorum quæ vult nos petere juxta Dei voluntatem. Quoniam enim tota propemodum epistola multus est in extollendo charitatem erga fratrem, et afferendo hoc velle, ut dilectionem erga fratrem incorruptam servemus : hanc nunc dicit esse unam voluntatem ipsius, ut si quis viderit fratrem suum peccare non ad mortem, petat et dabit ipsi. Et quid dabit? vitam æternam. Quibus? his qui peccant non ad mortem.

ΚΕΦΑΛ. Ζ'.

CAPUT VII.

Περὶ ἀντιλήψεως τοῦ ἁμαρτάνοντος ἀδελφοῦ διὰ προσευχῆς, καὶ περὶ τοῦ μὴ ἁμαρτάνειν· ἐν ᾧ περὶ ἀποχῆς δαιμονικοῦ σεβάσματος.

B *De subveniendo fratri peccanti per orationem, et quod non sit peccandum : in quo etiam agit de abstinentia a cultu dæmonum.*

Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωὴν τοῖς ἁμαρτάνουσι μὴ πρὸς θάνατον. Ἔστιν ἁμαρτία πρὸς θάνατον, οὐ περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ. Πᾶσα ἀδικία ἁμαρτία ἐστί. Καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον. Οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ οὐχ ἁμαρτάνει, ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ Θεοῦ τηρεῖ ἑαυτὸν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ. Οἴδαμεν ὅτι ἐκ τοῦ Θεοῦ ἐσμεν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται. Οἴδαμεν δὲ ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεόν. Καὶ ἐσμεν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ.

Si quis viderit fratrem suum peccare peccatum non ad mortem, petet, et dabit ipsi vitam peccantibus non ad mortem. Est peccatum ad mortem, non pro illo dico ut roget. Omnis iniquitas peccatum est, et est peccatum non ad mortem. Scimus quod omnis qui natus est ex Deo non peccat, sed qui genitus est ex Deo servat ipsum, et malus ille non tangit eum. Scimus quod ex Deo sumus, et mundo totus in maligno constitutus est. **601** *Scimus autem quod Filius Dei venit. Et dedit nobis mentem, ut cognoscamus illum qui verus est : et sumus in vero, in Filio ejus Jesu Christo. Hic est verus Deus et vita æterna.*

C *Filioli, cavete vobis a simulacris. Amen.*

« Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα. » Τοῦτο ἓν τῶν θελημάτων ἐστί. Δικαιοσύνης γὰρ τὸ τῷ ἡμαρτηκότι ἀδελφῷ συναλγεῖν, καὶ συμπράττειν εἰς σωτηρίαν. « Ἔστιν ἁμαρτία πρὸς θάνατον. » Τὸ ἑξῆς. Ἔστιν ἁμαρτία πρὸς θάνατον, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον. Οὐ περὶ τῆς πρὸς θάνατον λέγω ἵνα αἰτήσῃ, ἀλλὰ περὶ τῆς μὴ πρὸς θάνατον. Εἶτα διασαφεῖ τὸν λόγον, τὴν διαίρεσιν ποιούμενος τῆς πρὸς θάνατον ἁμαρτίας, καὶ τῆς μὴ πρὸς θάνατον. Ὡς γὰρ ἀπὸ γένους τῆς ἁπλῶς ἁμαρτίας ποιεῖ τὴν διαίρεσιν, καί φησι· Πᾶσα ἀδικία, ἁμαρτία ἐστί· τουτέστι, καὶ ἡ πρὸς θάνατον καὶ ἡ μὴ πρὸς θάνατον. Ἀλλὰ περὶ μὲν τῆς πρὸς θάνατον, μὴ ἐρωτάτω φησὶν ἤτοι αἰτείτω. Οὐ γὰρ εἰσακουσθήσεται, ὅτι κακῶς αἰτεῖ, περὶ τοῦ μηδεμίαν λέγων ἐπιδεικνυμένου ἐπιστροφήν. Πρὸς θάνατον γὰρ αὕτη ἐστὶν ἁμαρτία μόνη, ἡ μὴ πρὸς μετάνοιαν ἀφορῶσα, ἣν καὶ Ἰούδας νοσήσας τῷ αἰωνίῳ ὑπήχθη θανάτῳ. Ἀλλὰ καὶ οἱ μνησικακοῦντες, οἱ πρὸς θάνατον ἁμαρτάνουσιν. Ὁδοὶ γὰρ μνησικάκων εἰς θάνατον, φησὶ Σολομών. Οὐδὲ γὰρ οὐδὲ οὗτοι μετανοοῦντες ἐπιστρέφουσι, μνησικακίας ἐχόμενοι, καὶ διατηροῦντες τὴν κατὰ τοῦ πλησίον ὀργήν, ἀλλὰ ἁμετ-ἀγνωστα ἁμαρτάνουσι. Ταῦτα δηλώσας, ἐπισημαίνεται λοιπὸν καὶ τίνων ἐστὶ τὸ πρὸς θάνατον ἁμαρτάνειν, καὶ φησιν, ὅτι ὁ υἱοθετηθεὶς ἐκ Θεοῦ οὐκ

« Si quis viderit fratrem suum peccare. » Hæc una voluntatum est. Justitiæ enim est condolere fratri qui peccavit, et ad salutem auxilio esse. « Est peccatum ad mortem. » Ordo sit iste : Est peccatum ad mortem, et est peccatum non ad mortem. Non de eo quod est ad mortem dico, ut roget, sed de eo quod non est ad mortem. Deinde sermonem explanat distinctionem faciens peccati quod est ad mortem et ejus quod non est ad mortem. Simpliciter enim tanquam a genere peccati facit divisionem, et ait : Omnis iniquitas, peccatum est : sive sit ad mortem, sive non ad mortem. Sed pro eo quod est ad mortem, ne precetur sive petat, neque D enim exaudietur, eo quod male petat, pro eo rogans qui nullam ostendit conversionem. Nam solum hoc peccatum ad mortem est, quod ad pœnitentiam non respicit : quo cum ægrotasset Judas, in sempiternam mortem abductus est. Sed et illi peccant ad mortem qui injuriarum sunt memores. Nam viæ eorum qui memores sunt injuriarum tendunt ad mortem ait Solomon. Neque hi enim respiciendo convertuntur, injuriæ memoriam retinentes, et servantes iram adversus proximum, sed sine pœnitentia peccant. His declaratis, consequenter etiam significat quorum sit peccare peccato ad mortem : et ait quod qui a Deo adoptatus est, hic nunquam

[46] Matth. VI, 7.

languet neque peccato ad mortem. Ubi enim sese A tradidit semel inhabitanti in se per adoptionem Christo, inaecessibilis permanet peccato. Attamen ne quis existimet quod hujusmodi penitus naturam mutaverit, ut qui a peccato posthac capi nequeat, subjungit : Servat seipsum : quasi dicat : Nisi servaret ac custodiret seipsum a maligno, omnino peccaturus. Non ergo natura ad impeccabilitatem procedit, sed ex Dei magnificentia, qui eo quod nos adoptaverit, tali dignatus est gratia : ut servantes nos et custodientes quod ab ipso donatum est, etiam habeamus, **602** ne peccemus. Quandoquidem nisi ita esset, cum mundus in maligno constitutus sit (dicit autem mundum eos qui bonis operibus non tradiderunt seipsos in adoptionem Dei) nihil vetaret quo minus una cum his qui pereunt examinaremur : eo quod mens hominis assidue prona sit ad malum ab ineunte ætate [17] : quemadmodum tempore diluvii manifestavit Deus. Sed quoniam, inquit, Filius Dei venit ac dedit nobis mentem sive judicium quo interna cognitione cognoscamus ipsum verum Deum, ac simus in vero Filio ejus Jesu Christo : cognovimus per hanc magnificentiam quod hic sit verus Deus et vita æterna, et cognoscentes tuti sumus ab impetu maligni ejusque offendiculis. « Hic est verus Deus. » Hoc etiam loco demonstrativum. Hic pro articulo relatio ponitur. « Cavete vobis a simulacris. » Interrogarunt nonnulli : Si ad perfectos hæc scribit, quam ob causam nunc jubet, ut sibi caveant ab idolis ? Dicimus ergo quod quia universæ Ecclesiæ scripsit, quæ non constabat ex populo selecto, sed erant etiam aliqui in ipsa qui segnius allicerentur. Iis ergo præcipit omnia, respiciens ad eorum lubricitatem.

ἂν ποτε οὗτος οὔτε τὴν πρὸς θάνατον, οὔτε τὴν μὴ πρὸς θάνατον ἁμαρτίαν νοσήσῃ. Ἅπαξ γὰρ ἑαυτὸν ἐκδοὺς τῷ ἐνοικοῦντι ἐν αὐτῷ διὰ τῆς υἱοθεσίας Χριστῷ, ἀνέπαφος διαμενεῖ ἁμαρτίας, πλὴν ἵνα μή τις οἰηθῇ πάντη τὴν φύσιν τὸν τοιοῦτον μεταποιῆσθαι, ὡς ἀνάλωτον εἶναι λοιπὸν τῇ ἁμαρτίᾳ, ἐπιφέρει τὸ, Τηρεῖ ἑαυτὸν, ὡς εἰ γε μὴ τηρῇ ἑαυτὸν καὶ φυλάσσῃ ἐκ τοῦ πονηροῦ, πάντως ἁμαρτησόμενος. Οὐ φύσει οὖν εἰς ἀναμαρτησίαν προβαίνει, φησὶν, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ μεγαλοδωρεᾶς. Ὃς διὰ τοῦ υἱοθετῆσαι ἡμᾶς, ταύτης ἠξίωσε τῆς χάριτος, ἵνα φυλάσσοντες ἡμεῖς καὶ τηροῦντες τὸ δωρηθὲν ἡμῖν ὑπ' αὐτοῦ, καὶ τὸ μὴ ἁμαρτάνειν ἔχωμεν, ἐπεὶ ἄλλως, φησὶ, τοῦ κόσμου ἐν τῷ πονηρῷ κειμένου (λέγει δὲ κόσμον τοὺς μὴ διὰ δεξιῶν ἔργων εἰς υἱοθεσίαν ἑαυτοὺς τοῦ Θεοῦ μετατάξαντας), οὐδὲν ἂν ἐκώλυε τοῖς ἀπολλυμένοις συνεξετάζεσθαι ἡμᾶς, καθότι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ, ὡς ἐπὶ τοῦ κατακλυσμοῦ ὁ Θεὸς ἀπεφήνατο· ἀλλ' ἐπεὶ, φησὶν, ὁ Υἱὸς τοῦ Θεοῦ ἦκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἤτοι διάγνωσιν τοῦ ἐνδιαθέτου γνώσει ἐπιγινώσκειν αὐτὸν ἀληθινὸν Θεὸν, καὶ εἶναι ἐν αὐτῷ τῷ ἀληθινῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ, ἐγνωμεν διὰ τῆς μεγαλοδωρεᾶς ταύτης, ὅτι οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ζωὴ αἰώνιος, καὶ γνόντες μένομεν ἀνεπηρέαστοι ἐκ τοῦ πονηροῦ, καὶ τῶν σκανδάλων αὐτοῦ. « Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεός. » Κάνταῦθα τὸ, Οὗτος, ἀντὶ ἀναφορικοῦ ἄρθρου κεῖται. « Φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων. » Ἐζήτησάν τινες, Εἰ πρὸς τελείους πιστοὺς ταῦτα γράφει, τίνος χάριν νῦν παρεγγυᾷ φυλάττεσθαι αὐτοὺς ἀπὸ τῶν εἰδώλων ; Φαμὲν οὖν, ὡς ἐπειδὴ Ἐκκλησίᾳ ὅλῃ ταῦτα ἔγραφεν, ἥτις οὐ πᾶσα κεκριμένῳ λαῷ συνεπληροῦτο, ἀλλ' ἦν τις ἐν ταύτῃ καὶ νωθέστερον διακείμενος, πρὸς τούτους ταῦτα παρεγγυᾷ, τὸ εὐόλισθον αὐτῶν ὑφορώμενος.

Finis, divino favente auxilio, Joannis prioris Epistolæ catholicæ.

Τέλος, σὺν Θεῷ, τῆς Ἰωάννου καθολικῆς πρώτης Ἐπιστολῆς.

[17] Gen. VIII, 21.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗΣ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

ARGUMENTUM

CATHOLICÆ JOANNIS POSTERIORIS EPISTOLÆ.

603 Hanc tanquamsenior scribit dominæ et filiis D ipsius. Occasio vero Epistolæ fuit hæc : Cum videret filios illius recte in fide conversari, multosque

Ταύτην ὡς πρεσβύτερος γράφει κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Ὁρῶν τὰ τέκνα αὐτῆς καλῶς ἀναστρεφόμενα ἐν τῇ

πίστει, καὶ πολλοὺς πλάνους περιερχομένους καὶ λέγοντας μὴ εἶναι τὴν παρουσίαν τοῦ Χριστοῦ ἐν σαρκὶ, γράφει τὴν Ἐπιστολὴν, καὶ πρῶτον μὲν ἀποδέχεται αὐτῆς τὰ τέκνα, καλῶς περιπατοῦντα. Εἶτα διδάσκων μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον, παραινεῖ πάλιν περὶ ἀγάπης, καὶ ἵνα μείνωσιν ἐν τῇ διδαχῇ τῇ παραδοθείσῃ αὐτοῖς. Καὶ λοιπὸν διδάσκει Ἀντίχριστον εἶναι τὸν λέγοντα μὴ ἐν σαρκὶ ἐληλυθέναι τὸν Χριστόν. Παραγγέλλει δὲ τοὺς τοιούτους μὴ δέχεσθαί τινα εἰς οἰκίαν, μηδὲ λέγειν τοῖς τοιούτοις χαίρειν. Καὶ οὕτως τελειοῖ τὴν Ἐπιστολήν.

A seductores circumire ac dicere non esse adventum Christi in carne, scribit Epistolam, ac primum quidem commendat ipsius filios quod recte ambulent. Deinde docens nos esse recens mysterium, quod apud non est, rursum de dilectione exhortatur, et ut maneant in doctrina sibi tradita, et consequenter docet eum esse Antichristum qui ait Christum in carne non venisse. Præcipit autem ne quis suscipiat hujusmodi in domum, neque dicat ipsis Ave : et ita concludit Epistolam.

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗΣ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

α'. *Μετὰ τὸ προοίμιον περὶ ὀρθοῦ βίου ἐν ἀγάπῃ Θεοῦ, διὰ πίστεως εὐσεβοῦς ἀμεταθέτου · ἐν ᾧ τὸ, Οὐ δεῖ αἱρετικὸν εἰσοικίζειν, ἢ χαιρετίζειν ἐφ' ἁμαρτίᾳ.*

β'. *Ἐπαγγελία παρουσίας αὐτοῦ ἐπ' ἐλπίδι πρὸς ὠφέλειαν.*

B

604 *EPISTOLÆ POSTERIORIS CATHOLICÆ JOANNIS CAPITA.*

1. *In quo post proœmium agit de recta vita in charitate Dei, per fidem immutabilis pietatis : et quod non oporteat hæreticum in domum inducere aut salutare propter peccatum.*

2. *Promissio de suo adventu ob spem futuræ utilitatis.*

ΙΩΑΝΝΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ ΕΠΙΣΤΟΛΗ

—

JOANNIS APOSTOLI

POSTERIOR EPISTOLA CATHOLICA.

—

ΠΡΟΟΙΜΙΟΝ.

C

Ὁ πρεσβύτερος Ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν, διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν (καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα), ἔσται μεθ' ὑμῶν χάρις, ἔλεος, εἰρήνη παρὰ Θεοῦ Πατρὸς, καὶ παρὰ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ Πατρὸς, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.

Τινὲς ᾠήθησαν ταύτην καὶ τὴν μετ' αὐτὴν Ἐπιστολὴν μὴ εἶναι Ἰωάννου τοῦ ἠγαπημένου ἀλλ' ἑτέρου ὁμωνύμου τούτῳ, καθότι καὶ πρεσβύτερον ἑαυτὸν ἐν ταύταις γράφει, καὶ πρὸς γυναῖκα, καὶ ἕτερον Γάϊον, ἵνα καὶ αὐτὸν, ὥσπερ καὶ τὴν γυναῖκα μίαν, ὅπερ οὐ κατ' Ἐπιστολὴν καθολικήν. Καὶ τὴν προγραφὴν δὲ ὅτι μὴ κατὰ τὴν πρώτην πεποίηται Ἐπιστολήν · οὐ γὰρ ἐν ἐκείνῃ οὕτως ἀπήρξατο. Ἀλλά φαμεν, ὅτι ἐν τῇ πρώτῃ οὐκ ἐποίησε τοῦτο οὕτω προγράψας · οὐ γὰρ πρὸς ὡρισμένον ἔγραψε πρόσωπον, οὐδὲ πρὸς Ἐκκλησίαν τόπων τινῶν, ὥσπερ ἐποίησεν ὁ μακάριος Πέτρος, ἀφωρισμένως πρὸς τοὺς ἐν τῇ διασπορᾷ ἐπισημαινόμενος Ἰουδαίους γράφειν, καὶ πρὸ τούτου ὁ θεῖος Ἰάκωβος ταῖς δώ-

D

605 PROŒMIUM.

1, 1-3. *Presbyter Electæ dominæ et filius ejus, quos ego diligo in veritate, nec ego solus, sed et omnes qui cognoverunt veritatem : propter veritatem quæ permanet in nobis, et nobiscum erit in æternum : erit vobiscum gratia, misericordia, pax a Deo Patre a Domino Jesu Christo Filio Patris in veritate et charitate.*

Quidam existimarunt hanc Epistolam et eam quæ sequitur non esse Joannis Dilecti, sed alterius qui idem nomen cum hoc sortitus erat : eo quod in his et presbyterum scribat seipsum, et ad mulierem, aliumque Gaium, et eum unicum sicut et unam mulierem, scribat : quod non fit in Epistola catholica. Præterea quod præscriptionem non fecerit juxta priorem Epistolam : non enim in illa ita inchoavit. Sed dicimus quod in priore non ita præscripserit, eo quod non ad definitam personam scriberet, **606** neque ad Ecclesiam certorum locorum : quemadmodum fecit beatus Petrus, definite significans se scribere ad Judæos qui dispersi erant : et ante hunc divus Jacobus defuniens se

scribere duodecim tribubus Judæorum : sed universis communiter fidelibus sermonem faciens, sive congregatis sive non congregatis, formam præscriptionis prætermisit. Presbyterum autem scribit hic seipsum, et non apostolum neque servum Jesu Christi, quemadmodum reliqui apostoli. Siquidem apostolum non scribit se, eo fortassis quod non primus in Asia prædicasset Evangelium, sed post Paulum : neque in transitu, sicut ille, qui percurrebat Evangelii circuitum : sed manens ibi, et præsens præsentibus exponebat sermonem. Sed neque servum Jesu Christi : confidebat enim, eo quod plurimum diligeretur, se extra servitutis esse timorem. Solum autem voluit se appellare presbyterum : sive quod jam senior esset dum has scriberet (nam id significat presbyter) aut etiam episcopum vocans seipsum nomine presbyteri, cum illo tempore nomen presbyteri solitum esset etiam de episcopis dici : quemadmodum et ex Actis manifestum est quæ scripsit beatus Lucas [18], et ex Epistola Petri [19]. Porro ad mulierem fidelem nihil veritus est scribere : eo quod in Christo Jesu neque masculum noverit neque feminam. Ad unum autem scribens Gaium, habet Paulum qui et Tito scripsit et Timotheo, imo etiam Philemoni idiotæ. Et hæc quidem de præscriptione. Ostenditur autem et a denuntiatione ac promissione et a reliqua sermonis dispositione, quod germanæ sint ejus Epistolæ : quandoquidem in his quoque frequenter sermonem repetit, eadem dicens de eisdem ubi modica occurrit occasio, et hac via sermonem confirmat. Porro huic Electæ duo protestatur : unum quidem quod ambulet in veritate, alterum vero quod fugiat hæreticos. Electam vero appellat, aut ex nomine, aut ex magna æmulatione circa virtutem : quam etiam ait se in veritate diligere : ne solam ipsam, sed et omnes qui similium cum ipsa sunt morum, qui vere habent in seipsis firmam veritatem ; nam hoc significat, dicens : Quæ permanet in nobis ; hæc autem est fides in Christum. In veritate etiam ait se diligere. Contingit enim et fiete **607** diligere ore ; quemadmodum hic ipse in priore Epistola de quibusdam significavit corruptis fidelibus. Ubi autem dixit : « Quæ permanet in nobis [20], » hoc est, quæ vera ac firma est, subjunxit ; « Et nobiscum erit in æternum. » Significans certam doni perseverantiam. Contingit enim et eos qui in aliquo confirmati sunt rursum concuti, quod non recte usi sint confirmatione. Iterum autem post hæc subjungit ; « Erit nobiscum gratia et misericordia ; » designans quæ a perfecta charitate exoriantur bona. A Deo autem Patre dicens et a Domino Jesu Christo, subjungit, « Filio Patris ; » Nam solus hic proprie Pater est. Ideo et Paulus, A quo, inquit, omnis a communi Patre cognatio in cœlo et in terra nominatur [21]. Rursumque subjungit ; « In veritate et charitate, » sermoni firmitatem adducens, et certum indicium charitatis sive dilectionis quam dicit.

δεκα φυλαῖς τῶν Ἰουδαίων ἀφοριζόμενος γράφειν, ἀλλὰ πᾶσι πιστοῖς κοινὸν ποιούμενος τὸν λόγον, ἐκκλησιάζουσι καὶ μὴ ἐκκλησιάζουσι, τὸν τῆς προγραφῆς παρέλιπε τύπον. Πρεσβύτερον δὲ ἑαυτὸν γράφει ἐνταῦθα καὶ οὐκ ἀπόστολον, οὐδὲ δοῦλον Ἰησοῦ Χριστοῦ, ὡς οἱ λοιποὶ ἀπόστολοι. Ἀπόστολον μὲν οὖν οὐ γράφει ἑαυτὸν, ἴσως ὅτι μὴ πρῶτος κατήγγειλεν ἐν τῇ Ἀσίᾳ τὸν λόγον, ἀλλὰ μετὰ Παῦλον, καὶ οὐ κατὰ πάροδον ὥσπερ ἐκεῖνος, τὸν τοῦ Εὐαγγελίου διατρέχων κύκλον, ἀλλὰ μένων ἐκεῖ, καὶ παρὼν παροῦσιν ἐκτίθεται τὸν λόγον. Ἀλλ' οὐδὲ δοῦλον Ἰησοῦ Χριστοῦ. Ἐθάρρει γὰρ, διὰ τὸ ἄγαν ἠγαπῆσθαι, ἔξω τοῦ τῆς δουλείας εἶναι φόβου. Πρεσβύτερον δὲ μόνον ἑαυτὸν ἀξίωσε καλέσαι, ἤτοι ὅτι γηραιὸς ὢν ἤδη ἔγραφε ταύτας, ἢ καὶ ἐπίσκοπον καλῶν ἑαυτὸν διὰ τοῦ πρεσβυτέρου, εἰωθότος κατ' ἐκεῖνο καιροῦ, καὶ ἐπὶ τῶν ἐπισκόπων φέρεσθαι τοῦ ὀνόματος τοῦ πρεσβυτέρου, ὡς καὶ ἀπὸ τῶν Πράξεων δῆλον, ὧν ὁ μακάριος ἔγραψε Λουκᾶς, κατὰ διὰ τοῦ Πέτρου τῆς Ἐπιστολῆς. Πρὸς δὲ γυναῖκα γράφων πιστὴν, οὐδὲν ὑπεστέλλατο, ὅτι ἐν Χριστῷ Ἰησοῦ οὐκ ἄρρεν οὐδὲ θῆλυ οἶδε. Πρὸς δὲ Γάϊον ἕνα γράφων ἔχει Παῦλον Τίτῳ τε γράφοντα καὶ Τιμοθέῳ, καὶ πρὸς Φιλήμονα δὲ ἰδιώτην. Ταῦτα μὲν περὶ τῆς προγραφῆς. Δείκνυται δὲ ἀπὸ τῆς ἀπαγγελίας καὶ τῆς ἄλλης τοῦ λόγου οἰκονομίας τὸ γνήσιον τῶν Ἐπιστολῶν. Ἐπεὶ κἀνταῦθα πολλάκις ἐπανάγει τὸν λόγον, τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγων, μετὰ τοῦ μικρᾶς παρεμπίπτειν ἀφορμῆς, καὶ ταύτῃ κατασφαλίζεσθαι τὸν λόγον. Δύο δὲ τῇ Ἐκλεκτῇ ταύτῃ ἐπιμαρτυρεῖ, ἓν μὲν, τὸ ἐν ἀγάπῃ περιπατεῖν, ἕτερον δὲ, τὸ ἐκτρέπεσθαι τοὺς αἱρετικούς. Ἐκλεκτὴν δὲ, ἢ ἀπὸ τοῦ ὀνόματος, ἢ ἀπὸ τῆς περὶ τὴν ἀρετὴν φιλοτιμίας, καλεῖ. Ἦν καὶ ἀγαπᾷν φησιν ἐν ἀληθείᾳ, καὶ οὐ μόνον αὐτὴν, ἀλλὰ καὶ πάντας τοὺς ὁμοτρόπους αὐτῇ, τοὺς τὴν τῷ ὄντι ἀλήθειαν ἔχοντας ἐν ἑαυτοῖς ἡδρασμένην. Τοῦτο γὰρ σημαίνει διὰ τοῦ, Τὴν μένουσαν ἐν ἡμῖν. Τοῦτο δέ ἐστιν ἡ εἰς Χριστὸν πίστις. Ἐν ἀληθείᾳ δὲ ἀγαπᾷν λέγει. Ἔστι γὰρ καὶ ἐπιπλάστως ἀγαπᾷν, στόματι, ὡς αὐτὸς οὗτος ἐν τῇ πρώτῃ Ἐπιστολῇ περί τινων νωθρευομένων ἐδήλωσε πιστῶν. Εἰπὼν δὲ, « Τὴν μένουσαν ἐν ἡμῖν, » οἷον τὴν ἀληθῆ καὶ ἑδραίαν καὶ μὴ κατεσχηματισμένην, ἐπήνεγκε τὸ, « Καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα, » τὸ ἀναπόβλητον τοῦ χαρίσματος σημαίνων. Ἔστι γὰρ καὶ τοὺς ἡδρασμένους ἐπί τινος, πάλιν σαλευθῆναι, μὴ καλῶς τῇ ἑδραιότητι κεχρημένους. Τούτοις δὲ πάλιν ἐπιφέρει τὸ, « Ἔσται μεθ' ἡμῶν χάρις καὶ ἔλεος, » ἐμφαίνων τὰ ἀπὸ τῆς τελείας ἀγάπης ἐπανθοῦντα καλά. Ἀπὸ Θεοῦ δὲ Πατρὸς φησὶ καὶ παρὰ Κυρίου Ἰησοῦ Χριστοῦ, ἐπήγαγε τὸ, « Τοῦ Υἱοῦ τοῦ Πατρός. » Μόνος γὰρ κυρίως οὗτος Πατήρ. Διὸ καὶ Παῦλος, Ἐξ οὗ πᾶσα πατριὰ, φησὶν, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται. Καὶ πάλιν δὲ τὸ, « Ἐν ἀληθείᾳ, ἐπιφέρει, καὶ ἀγάπῃ, » ἀσφάλειαν τῷ λόγῳ περιποιῶν καὶ γνώρισμα ἧς φησιν ἀγάπης.

[18] Act. xx. [19] II Petr. v. [20] I Joan. III, 24. [21] Ephes. III, 15.

ΚΕΦΑΛ. Α'. A CAPUT I.

Μετὰ τὸ προοίμιον περὶ ὀρθοῦ βίου ἐν ἀγάπῃ Θεοῦ, διὰ πίστεως εὐσεβοῦς ἀμεταθέτου. Ἐν ᾧ τὸ, οὐ δεῖ αἱρετικὸν εἰσοικίζειν, ἢ χαιρετίζειν ἐφ' ἁμαρτίᾳ.

In quo post præmium agit de recta vita in charitate Dei, per fidem immutabilis pietatis : et quod non oporteat hæreticum in domum inducere aut salutare propter peccatum.

Ἐχάρην λίαν, ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ Πατρός. Καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν, ἀλλ' ἣν εἴχομεν ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους. Καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὴν ἐντολὴν αὐτοῦ. Αὕτη ἐστὶν ἡ ἐντολὴ, καθὼς ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε, ὅτι πολλοὶ πλάνοι εἰσῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί.

1, 4-7. *Gavisus sum valde quod invenerim de filiis tuis ambulantes in veritate sicut præceptum accepimus a Patre. Et nunc rogo te, domina, non tanquam præceptum novum scribens tibi, sed quod habuimus ab initio, ut diligamus nos mutuo. Et hæc est dilectio, ut ambulemus secundum præceptum ejus. Hoc est præceptum quemadmodum audistis ab initio, ut in eo ambuletis : quoniam multi seductores ingressi sunt in mundum, qui non confitentur Jesum Christum venire in carne.*

B **608** « Ἐχάρην λίαν. » Καὶ γάρ ἐστιν ὡς ἀληθῶς χαρᾶς αἴτιον τῆς μεγίστης τὸ εὑρεῖν τινα ἀπροσκόπως ὁδεύοντα τὸν ἐν τῇ πίστει Χριστοῦ δρόμον κατὰ τὴν ἐντολὴν αὐτοῦ. Τίς δὲ ἡ ἐντολή; ἡ περὶ ἧς ἐν Εὐαγγελίοις ὁ Χριστὸς, « Ὁ ἀγαπῶν με, φησὶ, τὰς ἐντολάς μου τηρήσει. » Πατέρα δὲ νῦν τὸν Χριστὸν καλεῖ, ἐπεὶ καὶ πατήρ ἐστι τῶν διὰ τῆς οἰκονομίας αὐτῷ παρὰ τοῦ ἑαυτοῦ Πατρὸς δοθέντων υἱῶν. Καθὸ εἴρηται· « Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ Θεός. » Σκόπει δὲ καὶ τὸ γνήσιον τῆς Ἐπιστολῆς ταύτης, ὅτι συμφωνεῖ διὰ τούτων, τῷ ἐν τῇ πρώτῃ εἰρημένῳ, τῷ, Καὶ οἴδαμεν, ὅτι ὁ ἀγαπῶν τὸν Θεὸν τὰς ἐντολὰς αὐτοῦ τηρεῖ. Ταὐτὸν δέ ἐστι τὸ περιπατεῖν κατὰ τὰς ἐντολὰς τῷ τηρεῖν αὐτάς. Πρακτικαὶ γὰρ αἱ ἀρεταὶ, καὶ κατὰ τὸ ἐνεργεῖσθαι ἔχουσαι τὸ εἶναι. C Ὥστε ὁ παυσάμενος τοῦ κατὰ ταύτας ὁδεύειν, οὐδὲ τηρεῖ ἤτοι φυλάσσει αὐτάς. Τὸ περιπατεῖν δὲ κατὰ προκοπὴν εἴρηται. Ὅσον γάρ τις κατ' ἀρετὴν ἐνεργεῖ, ἐπὶ τὸ πρόσω ἵεται, ἑξὴν ἑαυτῷ περιποιῶν τοῦ καλοῦ πλείονα. Ἄπειρος γὰρ καὶ ἀνελλιπὴς ἡ τῆς ἀρετῆς ὁδός. Κατὰ τοῦτο δὲ οἶμαι εἰρῆσθαι καὶ τὸ, « Εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακῦψαι. » Τῶν γὰρ δεδωρημένων ἡμῖν παρὰ τοῦ ἐνανθρωπήσαντος ἀγαθῶν τοσοῦτον τὸ μεγαλεῖον, ὡς καὶ ἀγγέλοις ἐφετὸν εἶναι βραχεῖαν τούτων λαβεῖν κατανόησιν. Τοῦτο γὰρ τὸ *παρακῦψαι* αἰνίσσεται. Ἐφίεται δέ τις σωφρονῶν, οὐ τοῦ παυσομένου, ἀλλὰ τοῦ ἀενάως προϊόντος, καὶ ἀκηράτῳ δόξῃ φαιδρυνομένου. Καὶ ἐπειδὴ τὸ ἀνεξάντλητον οὐχ οἷόν τε ὅλον περιλαβεῖν, ἀγαπητὸν κἂν ποσῶς γοῦν ἐν μετουσίᾳ τούτου D γενέσθαι. Εἴρηκε δὲ, « Οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν, » σύμφωνον καὶ τοῦτο λέγων τοῖς ἐν τῇ πρώτῃ, καὶ ἅμα παριστῶν, ὡς τοῖς ἤδη ἐφωδευμένοις αὐτὴν παριστᾷ, καὶ ὧν πεῖραν ἔλαβον ἐκ τοῦ ἐνεργῆται κατ' αὐτὰ, ἀλλ' οὐ ξενίζουσι καὶ δυσκόλοις, ἵν' ἀποκναίηται τῷ ἀήθει τῆς ἐγχειρήσεως. « Οὐχ ὡς ἐντολὴν γράφων σοι καινήν. » Προστίθησι δὲ καὶ τὸ τῆς ἐντολῆς ἔργον, ἵνα ἀγαπῶμεν ἀλλήλους. Καὶ τὴν ἀγάπην ἐξηγεῖται. Ὅτι ἐν τῷ κατ' αὐτὴν πορεύεσθαι ἔχει τὸ εἶναι, καὶ τὴν ἐντολὴν πάλιν τὴν ἀπ' ἀρχῆς οὐκ ἄλλου τινὸς ἕνεκεν δεδόσθαι, εἰ μὴ ἵνα ἐν αὐτῇ περιπατῆτε, φησὶν, ἄνω καὶ κάτω τὰ

608 « Nam gavisus sum valde. » Nam maximi certe causa gaudii est, invenire aliquem qui sine offendiculo gradiatur recto cursu in fide Christi juxta illius præceptum. Quod est autem præceptum ? Illud quod ait in Evangeliis Christus : « Qui me diligit, præcepta mea servabit [31]. » Patrem autem vocat nunc Christum : quandoquidem et ipse pater est filiorum qui a Patre suo dispensatione quadam sibi dati sunt ; juxta id quod dictum est : « Ecce ego et filii quos dedit mihi Deus [32]. » Animadverte autem germanam hujus Epistolæ dictionem, quod in his sit conformis ei quod in priori dictum est : Et scimus quod qui diligit Deum, præcepta ejus observat [33]. Idem enim est ambulare juxta præcepta et ea servare. Operantur namque virtutes et esse habent juxta suam operationem. Itaque qui cessat in his progredi, neque ea servat aut custodit. Ambulare vero dictum est secundum profectum et augmentum. Etenim quantum quis secundum virtutem operatur, tantum ulterius graditur, majorem honesti habitum sibi acquirens. Infinita est enim et nunquam deficiens via virtutis. Juxta hoc autem opinor et illud esse dictum : « In quæ desiderant angeli prospicere [34]. » Tanta est enim magnificentia bonorum quæ nobis ab eo qui incarnatus est donata sunt, ut et angelis desiderabile sit vel modicam horum sumere intelligentiam ; nam hoc designat παρακῦψαι. Concupiscit autem quispiam, non quod cessat, sed quod continue proficit, et sincera gloria illustratur. Et quoniam id quod inexhauribile est, nemo totum complecti potest, desiderabile est saltem aliquantulum fieri hujus participem. Dixit autem : « Non tanquam præceptum novum scribens tibi : » et hoc conformiter dicens his qui in priore Epistola præmissa sunt, et simul demonstrans quod illud ostendat ex præcedentibus quorum et ipsi experimentum acceperant operantes juxta illa, et non ex difficilibus et extraneis, maerore ipsos afficiens aggrediendo insueta. « Non tanquam præceptum novum scribens tibi. » Addit autem et opus præcepti. Ut diligamus nos mutuo, et dilectionem exponit

[31] Joan. xiv, 21. [32] Isa. viii, 18. Hebr. ii, 13. [33] Joan. ii. [34] I Petr. i, 12.

quod consistat in ambulando juxta illud. Neque ob aliam causam jam olim ab initio datum fuit præceptum, inquit, nisi ut in illo ambularetis per superiora et inferiora eadem versans ac revolvens: **609** et per charitatem quidem suadens ipsis inseparabilitatem, et ne ad seductores avellerentur, qui jam in mundo ambulabant, et Domini per carnem adventum repellebant: per hoc autem quod ambulare monet juxta Domini præceptum quod fuit ab initio, erroneam esse manifestans hæreticorum opinionem quæ recens est: et exhortans ut præceptum amplectentes quod fuit ab initio, non abducerentur fraude illorum. Nam et Christus discipulis de his seductoribus præcepit, dicens; « Multi venient nomine meo, dicentes: Ego sum Christus, et multos seducent. Ne ergo sequamini illos [22]. » Hæc itaque præcepta servantes, inquit, jubet ne seducamini, sed eum qui ista dicit antichristum existimetis.

A αὐτὰ στρέφων. Καὶ διὰ μὲν τῆς ἀγάπης τὸ ἀδιάσπαστον αὐτοῖς προμηθούμενος, καὶ μὴ πρὸς τοὺς πλάνους ἀποσχίζεσθαι, τοὺς ἤδη ἐν τῷ κόσμῳ περιπατοῦντας, καὶ τὴν διὰ σαρκὸς ἐπιδημίαν τοῦ Κυρίου ἀθετοῦντας. Διὰ δὲ τοῦ Κυρίου κατὰ τὴν ἐντολὴν περιπατεῖν τὴν ἀπ' ἀρχῆς, τὴν πεπλανημένην τῶν αἱρετιζόντων δόξαν ἐμφανίζων πρόσφατον οὖσαν, καὶ παρακαλῶν τῆς ἀπ' ἀρχῆς ἐντολῆς αὐτοὺς ἐχομένους, μὴ ὑπάγεσθαι τῇ ἀπάτῃ αὐτῶν. Καὶ γὰρ ἐνετείλατο ὁ Χριστὸς τοῖς μαθηταῖς περὶ τῶν πλάνων τούτων, λέγων· « Πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσι. » Μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν. » Ταύτας οὖν, φησὶ, τὰς ἐντολὰς τηροῦντας, κελεύει μὴ ἀπατᾶσθαι, ἀλλὰ τὸν ταῦτα B λέγοντα, Ἀντίχριστον ἡγεῖσθαι.

I, 7-11. *Hic est seductor et antichristus. Intuemini vosipsos, ne perdamus quæ operati sumus, sed ut mercedem plenam recipiamus. Omnis qui transgreditur et non manet in doctrina Christi, Deum non habet. Qui manet in doctrina Christi, hic et Patrem et Filium habet. Si quis venit ad vos, et hanc doctrinam non affert, ne recipiatis eum in domum, nec Ave ei dixeritis. Qui enim dicit illi, Ave, communicat operibus ejus malis.*

Οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος. Βλέπετε ἑαυτούς, μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν. Πᾶς ὁ παραβαίνων καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, Θεὸν οὐκ ἔχει. Ὁ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, οὗτος καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν ἔχει. Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν αὐτῷ, καὶ χαίρειν αὐτῷ μὴ λέγετε. Ὁ γὰρ λέγων χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

« Hic est seductor et antichristus. » Cum his subaudiendum est ad perfectiorem explanationem, Qui ergo hæc non confitetur, » ut debite subjungatur, « Hic est seductor et Antichristus. » Nam absque hoc, incompositus et independens erit sermo, nempe ex plurali transiens ad singulare. Hic est, inquit, Antichristus et seductor. Dicendo autem. Qui non confitentur Jesum Christum venire in carne, non autem venisse, manifestat se eos dicere qui secundum Domini adventum repellunt: quando quidem ipse etiam Dominus, dicens: « Multi venient nomine meo », non de primo dicit adventu, sed de secundo: Attamen vera ratione qui secundum reprobant, etiam primum rejiciunt. Nam si is qui in carne venit etiam secundum adventum promisit, utique qui secundum promisit, utique qui secundum repellit, primum quoque rejicit: si enim credit advenisse, etiam promissionem existimabit certam esse illius qui advenit: **610** quod si promissionem spernit, nulla ratione dici potest quod vel primo credat. Propterea opinor usus est hac voce dilectus discipulus, dicendo Venire, non Venisse, ut utrumque Domini in carne adventum negantes comprehenderet. Præcipit ergo ipsis ut caveant ab illis: et causam addit: Ne adhærendo, inquit, illis perdatis ea quæ prius operati estis, sed mercedem vestram plenam absque ullo defectu accipiatis. Sed fortassis dicet quispiam in talibus: Quid si

« Οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος. » Προσυπακουστέον τούτοις εἰς ἐντελεστέραν δήλωσιν, τὸ, Ὅς; οὖν μὴ ταῦτα ὁμολογεῖ, ἵνα εὐστόχως ἐπάγηται, « Οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ Ἀντίχριστος. » Χωρὶς γὰρ τούτου ἀσυνάρτητος ὁ λόγος, ὡς πληθυντικοῦ εἰς ἑνικὸν μεταβαίνων. Οὗτός ἐστι, φησὶν, ὁ Ἀντίχριστος καὶ ὁ πλάνος. Εἰπὼν δὲ, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκὶ, ἀλλ' οὐκ ἐλθόντα, ἐμφαίνοντός ἐστιν, ὡς τοὺς ἀθετοῦντας λέγει τὴν δευτέραν τοῦ Κυρίου παρουσίαν, ἐπεὶ καὶ αὐτὸς ὁ Κύριος λέγων, « Πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, » οὐ περὶ τῆς πρώτης αὐτοῦ φησι παρουσίας, ἀλλὰ περὶ τῆς δευτέρας. Ὅμως ἀληθεῖ λόγῳ οἱ τὴν δευτέραν ἀθετοῦντες, καὶ τὴν πρώτην ἀποβάλλονται. Εἰ γὰρ ὁ ἐν σαρκὶ παραγενόμενος καὶ τὴν δευτέραν ἐπηγγείλατο, πάντως ὁ τὴν δευτέραν ἀθετῶν, καὶ τὴν πρώτην ἀθετεῖ. Εἰ γὰρ πιστεύει παραγενόμενον, καὶ τὴν ἐπαγγελίαν πιστὴν ἡγήσεται τοῦ παραγενομένου. Εἰ δὲ τὴν ἐπαγγελίαν ἀθετεῖ, οὐδεὶς λόγος μηδὲ τὴν πρώτην αὐτὸν ἀπιστεῖν. Διὰ τοῦτο οἶμαι οὕτως ἐχρήσατο τῇ φωνῇ ταύτῃ ὁ ἠγαπημένος, Ἐρχόμενον εἰπὼν, ἀλλ' οὐκ Ἐλθόντα, ἵνα τοὺς ἀμφοτέρας ἀρνουμένους τὰς παρουσίας τοῦ Κυρίου τὰς ἐν σαρκὶ, περιλάβῃ. Διαστέλλεται οὖν αὐτοῖς φυλάττεσθαι ἀπ' αὐτῶν καὶ τὸ αἴτιον προστίθησιν, ἵνα μὴ φησι διὰ τῆς πρὸς αὐτοὺς ἀναχράσεως, ἀπολέσητε ἃ προειργάσασθε, ἀλλὰ ἀνελλιπῆ τὸν μισθὸν ὑμῶν λάβητε. Ἀλλ' ἴσως ἐρεῖ τις τῶν τοιούτων· Τί δὲ εἰ μὴ τὴν παρουσίαν πιστεύω τοῦ

[22] Matt. xii., 6; Luc. xxi, 8.

Χριστοῦ τὴν ἐν σαρκὶ, διὰ δὲ ἀγαθοεργίας βιώσω οὐ δύναμαι διὰ τῶν ἔργων τούτων μετὰ τῶν εὐσεβούντων συντετάχθαι, οὐδὲ τὸν ὑπὲρ τούτων ἀπολαβεῖν μισθόν; Ταύτην τὴν ἀντίθεσιν προαναιρῶν ὁ ἀπόστολος οὕτω φησὶν, ὅτι Μηδεὶς οἰέσθω, ὁ τὴν ἐν σαρκὶ ἐπιδημίαν τοῦ Κυρίου ἀθετῶν ὡς δύναται ἢ ἔργων ἀμοιβὴν ἀπολαβεῖν τελείαν ἥτις καὶ πιστοῖς ἐποφείλεται, ἢ ὅλως θεοσεβὴς νομισθῆναι, ἀλλὰ πᾶς ὁ παραβαίνων τὴν ἐντολὴν αὐτοῦ, τοῦ Χριστοῦ δηλονότι παραγενομένου, καὶ μὴ μένων ἐν τῇ διδαχῇ αὐτοῦ, Θεὸν οὐκ ἔχει. Εἰ γὰρ ὁ θεογνωσίαν ἥκων ἀνθρώπους τελείαν διδάξαι, οὗτος ἀθετούμενος ὁρῷτο, πῶς ἂν ἔτι θεοσεβὴς εἴη, ὁ τῶν θείων θεαμάτων τὸν ὑφηγητὴν ἀποσκορακίζων; Ἄθεος οὖν οὗτος, ὥσπερ ἀπεναντίας ἔνθεος καὶ θεοφιλὴς, καὶ πᾶν τὸ τῆς θεότητος ἔχων ἐν ἑαυτῷ πλήρωμα, Πατέρα δηλαδὴ καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον, ὁ ἱδρασμένος ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ. Αὐτὸς γὰρ περὶ μὲν τοῦ Πατρὸς διδάσκει λέγων, « Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι. » Καὶ πολλαχοῦ δὲ διδάσκει περὶ ἑαυτοῦ καὶ τοῦ Πατρὸς, ὅτι ὁ μέν ἐστι Πατὴρ, ὁ δὲ Υἱός. Περὶ δὲ τοῦ Πνεύματος ὅταν λέγῃ· « Τὸ Πνεῦμα τὸ ἅγιον ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. » Τελεώτερον δὲ τούτων ἡνίκα λέγει· « Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. » Εἰ δὲ περὶ τοῦ Πατρὸς μόνου καὶ τοῦ Υἱοῦ εἴρηται ἐνταῦθα τῷ μαθητῇ τοῦ Κυρίου, οὐ μέντοι καὶ περὶ τοῦ ἁγίου Πνεύματος, μηδὲν σκανδαλισθῇς. Περὶ γὰρ τούτου μόνου κατήπειγεν ἐνταῦθα εἰρῆσθαι νῦν, τοῦ Πατρός φημι καὶ τοῦ Υἱοῦ. Καὶ ταῦτα μὲν πρὸς τὸ παρὸν, ἵνα μὴ μακρολογῶμεν. Μένει δὲ ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, ἤτοι τῇ εὐαγγελικῇ διδασκαλίᾳ ὁ κατ' αὐτὴν φρονῶν καὶ πράττων, θεωρητικῶς ἅμα καὶ πρακτικῶς βιῶν· ὁ δὲ ταύτης ἀπάγων ἑαυτὸν, ἄθεος. Ὡς γὰρ ὁ δι' ἀκριβοῦς πολιτείας οἰκειῶν ἑαυτὸν τῷ Θεῷ, ὥσπερ ὁ Ἀβραὰμ, καθὸ καὶ ἤκουε παρ' αὐτοῦ, « Ἐγὼ Θεὸς σὸς, » οὕτως ὁ ἔξω τῆς ἐντολῆς τοῦ Εὐαγγελίου βιοὺς, ἄθεος, ἑαυτὸν ἀποσχοινίσας τοῦ ἔχειν Θεόν. Ἀθέου δὲ τούτου ὄντος, τοῦ ἑαυτὸν, φημὶ, τῆς θείας ἀλλοτριώσαντος παιδείας, ὁ μένων ἐν αὐτῇ, οὗτος καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν ἔχει. Περὶ γὰρ τοῦ τοιούτου καὶ ὁ Υἱὸς ἔφη, ὅτι « Ἐλευσόμεθα παρ' αὐτὸν, μετὰ τοῦ Πατρὸς δηλονότι, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. » Ἐκ γὰρ τῆς τῶν ἐντολῶν τηρήσεως, ναὸν ἑαυτὸν καὶ οἰκητήριον ἐποίησε Θεοῦ, καὶ Θεὸν ἔνοικον ἔχει, διττοῦ ὄντος τοῦ ἔχειν Θεόν. Λέγεται γὰρ ἔχειν Θεὸν καὶ τὰ κτίσματα πάντα, πρὸς ὃ καὶ Παῦλος εἴρηκεν· « Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν. » Τοῦτο δὲ κατὰ τὴν τῆς οὐσιώσεως εἴρηται τρόπον. Ἑτέρως δὲ τοῦ διὰ καλοκἀγαθίας θεραπεύοντος Θεὸν, πάλιν ἔχειν λεγομένου Θεὸν, καθ' ὃ σημαινόμενον, καὶ τοῦ Ἀβραὰμ Θεὸς εἴρηται ὁ Θεὸς, καὶ τοῦ Ἰσαὰκ, καὶ ὅλως τῶν θεοφιλῶν Ἑβραίων, ἐπιστατέον τοῖς νῦν εἰρησομένοις, ὁ ἔχων τὸν Υἱὸν ἔχει καὶ τὸν Πατέρα. « Ὁ γὰρ ἑωρακὼς τὸν Υἱὸν, » ὡς καὶ αὐτός φησιν ὁ Υἱὸς, « ἑώρακε τὸν Πατέρα. » Καὶ ἔμπαλιν, « Ἐγὼ

A non credidero Christi in carne adventum, in bonis tamen operibus vitam duxero, an non possum per hæc opera cum piis ac religiosis connumerari, neque pro his recipere mercedem? Hanc objectionem primum tollens Apostolus ita ait: Nemo existimet repellens Domini in carne adventum, quod possit aut operibus perfectam assequi retributionem quæ debetur fidelibus, aut omnino Dei cultor reputari: sed quisquis transgreditur hoc præceptum ipsius, Christi videlicet qui advenit, et non manet in ejus doctrina, Deum non habet. Si enim is qui venit ut perfectam de Deo cognitionem homines doceret, repulsus videretur: quomodo jam Dei cultor esset, qui divinarum contemplationum interpretem reprobaret? Hic ergo ἄθεος esset,

B id est, sine Deo, quemadmodum e diverso ἔνθεος, id est, divinus et Dei amicus, ac omnem divinitatis plenitudinem in seipso habens, Patrem videlicet et Filium ac Spiritum sanctum, qui firmus ac solidus est in doctrina Christi. Ipse enim de Patre docet, dicens: « Omnia quæcumque habet Pater mea sunt [26]: » frequenter quoque et de Patre et de seipso docet, quod ille quidem sit Pater, ipse autem Filius; de Spiritu sancto autem quando ait: « Spiritus qui a Patre procedit [27]. » His autem perfectius cum ait: « Baptizantes eos in nomine Patris et Filii et Spiritus sancti [28]. » Et quanquam de Patre tantum ac Filio facta sit hoc loco mentio a Domini discipulo, non autem de Spiritu sancto,

C ne offendaris. Nam de hoc solum cogebat et expetabat sermo ut loqueretur, de Patre, inquam, et Filio. Et hæc quidem de præsenti loco dicta sint, ne prolixiores simus. Manet autem in doctrina Christi sive evangelica, qui secundum eam sentit et operatur, contemplando simul et operando vivens, **611** qui vero ab hac abducit seipsum, ἄθεος est. Sicut enim qui perfectam habet conversationem, Deo seipsum reddit familiarem, quemadmodum Abraham, juxta illud quod ab ipso Deo audivit: « Ego Deus tuus [29]: » ita qui extra Evangelii præceptum vivit, ἄθεος est, abstrahendo seipsum, ne Deum habeat. Cum autem hic ἄθεος sit, nempe qui seipsum alienavit a divina disciplina: certe qui in ea manet, hic et Patrem et Filium ha-

D bet de hujusmodi enim dixit et Filius: « Ad eum veniemus, ego videlicet cum Patre, et mansionem apud ipsum faciemus [30]. » nam ex præceptorum observatione seipsum fecit Dei templum et habitaculum [31], ac Deum in se habitantem habet: cum dupliciter dicatur haberi Deus: Nam omnes quoque creaturæ dicuntur habere Deum, juxta id quod dixit Paulus: « In ipso enim vivimus et movemur ac sumus [32]. » Hoc autem dictum est juxta subsistentiæ modum. Alio autem modo per bonam operationem ejus qui colit Deum, etiam dicitur haberi Deus; juxta quod significatum et Deus dictus est Deus Abraham et Isaac, et universaliter

[26] Joan. xvi, 15; xvii, 10. [27] Joan. xv, 26. [28] Matth. xxviii, 19. [29] Gen. xv. Exod. iii. [30] Joan. xiv, 23 [31] I Cor. vi. [32] Act. xvii, 28

Dei amicorum Hebræorum [83]. Et hoc attribuendum est his quæ nunc dicenda sunt : Qui habet Filium, habet et Patrem. Nam « qui vidit Filium, » sicut et ipse Filius dicit : « vidit et Patrem [84]. » Et rursum : « Ego in Patre, et Pater in me est, » ait idem Salvator, ut etiam ex hoc Patris ac Filii consubstantialitas cognoscatur. Et si quis dicat quod is qui discipulos excipit, etiam filium ac patrem habet : Nam ait et de his Salvator : « Qui recipit vos, me recipit : qui autem me recipit, recipit eum qui me misit [85], » sciat se hoc modo male dicere, neque ut oportet intelligere. Quoniam hæc de doctrina dicta sunt, quando quidem is qui apostolos excepit, admittendo doctrinam ipsorum, per eos excepit et Filium et Patrem docentes. — *Item alio modo.* Quoniam is qui manet in doctrina, habet et Filium et Patrem, porro apostoli manebant in doctrina, ita ut illam quoque prædicarent, qui ergo recipit illos qui sunt templa Dei, eo ipso quo eos recipit, habet Filium et Patrem qui in eis sunt. « Si quis venit ad vos. » Confirmat illos ad quos scribit. Si quis, ait, absque hac confessione ad vos veniat, non solum protectionem a vobis non consequatur, sed neque salutis precationem a vobis accipiat merito et caute hæc dicens, **612** quasi hæc salutis precatio solis illis debeatur qui conveniunt in moribus et fide nobiscum. Cui enim precamur salutem, nisi his qui similium sunt morum ac fidei? Itaque si impiis offeratur a nobis hujusmodi salutis precatio, utique tanquam fidelibus et his qui similium sunt morum oblata est, ac per hoc socii a nobis assumpti sunt, nosque ad suum barathrum detraxerunt.

A γὰρ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, » ὁ αὐτός φησι Σωτήρ. Ὥστε καὶ ἐκ τούτου, τὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ὁμοούσιον γινώσκεσθαι. Εἰ δέ τις ἐρεῖ, ὅτι κατὰ τοῦτο καὶ ὁ τοὺς μαθητὰς δεχόμενος ἔχει καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα· (φησὶ γὰρ καὶ περὶ τούτων ὁ Σωτὴρ, « Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται· « ὁ δὲ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με· » ἴστω κακῶς οὕτως λέγων, καὶ, οὐχ ὃν δεῖ τρόπον ἐνιστάμενος. Περὶ γὰρ τῆς διδασκαλίας εἴρηται ταῦτα, ἐπεὶ ὁ δεξάμενος τοὺς ἀποστόλους συγκατοθέσει τῆς διδασκαλίας αὐτῶν, ἐδέξατο δι' αὐτῶν Υἱὸν καὶ Πατέρα διδάσκοντας.—*Καὶ ἑτέρως·* Ἐπεὶ ὁ μένων ἐν τῇ διδαχῇ ἔχει καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα, ἔμενον δὲ οἱ ἀπόστολοι ἐν τῇ διδαχῇ, ὡς καὶ κηρύσσειν B αὐτὴν, ὁ δεξάμενος οὖν αὐτοὺς ναοὺς ὄντας Θεοῦ, δι' αὐτοῦ τοῦ δέχεσθαι αὐτοὺς, ἔχει τὸν ἐν αὐτοῖς Υἱὸν καὶ Πατέρα. « Εἴ τις ἔρχεται πρὸς ὑμᾶς. » Ἐξασφαλίζεται τοὺς πρὸς οὓς ἡ Ἐπιστολὴ, ὅτι εἴτις μὴ μετὰ τῆς ὁμολογίας ταύτης ἔρχεται πρὸς ὑμᾶς, μὴ μόνον σκέπης παρ' ὑμῶν μὴ τυγχανέτω, ἀλλὰ μηδὲ προρρήσεως ἀξιούσθω, ἀκριβῶς ταῦτα λέγων, ὡς τῆς προρρήσεως ταύτης τοῖς ὁμοτρόποις ἡμῶν μόνοις καὶ ὁμοπίστοις ὀφειλομένης. Τίνι γὰρ χαίρειν εὐξόμεθα, ἀλλ' ἢ τοῖς ὁμοτρόποις καὶ ὁμοπίστοις; Ὥστε εἰ τοῖς ἀσεβέσι προσενεχθείη παρ' ἡμῶν ἡ τοιαύτη πρόρρησις, πάντως ὡς ὁμοτρόποις καὶ πεστοῖς προσηνέχθη, καὶ κοινωνοὶ ἡμῶν ἐλήφθησαν διὰ τούτου, καὶ ἐπὶ τὸ ἑαυτῶν ἡμᾶς κατέσπασαν βάραθρον.

CAPUT II.

Promissio de suo adventu ob spem futuræ utilitatis.

I, 12-15. *Cum multa haberem vobis scribenda, nolui per chartam et atramentum. Sed spero me venturum ad vos, et præsentem præsentibus locuturum, ut gaudium nostrum sit completum. Salutant te filii sororis tuæ Electæ. Amen.*

Causam brevitatis Epistolæ et in hac et in sequenti docuit hanc esse, quod speraret se ad eos venturum, suaque præsentia et aspectu additurum quæ deessent. Per hoc autem quod addit, Salutant te filii sororis tuæ Electæ, volunt nonnulli astruere quod non ad mulierem scribatur Epistola, sed ad Ecclesiam : de quo nihil disceptare decrevi.

Finis, divino favente auxilio, Joannis posterioris Epistolæ.

ΚΕΦΑΛ. Β'.

Ἐπαγγελία παρουσίας αὐτοῦ ἐπ' ἐλπίδι πρὸς ὠφέλειαν.

Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἠβουλήθην διὰ χάρτου καὶ μέλανος. Ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ στόμα πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη. Ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς Ἐκλεκτῆς. Ἀμήν.

Τὴν δὲ αἰτίαν τοῦ σύντομον ἐκθέσθαι τὴν Ἐπιστολὴν, καὶ ἐνταῦθα καὶ ἐν τῇ μετὰ ταύτην, αὐτὸς ἐδίδαξε, τὸ ἐλπίζειν παραγενέσθαι, καὶ δι' αὐτοψίας τὰ ἐλλείποντα προσθεῖναι. Διὰ δὲ τοῦ προσθεῖναι, ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς Ἐκλεκτῆς, βούλονταί τινες βεβαιοῦν, ὡς οὐ πρὸς γυναῖκα ἡ Ἐπιστολὴ, ἀλλὰ πρὸς Ἐκκλησίαν. Περὶ οὗ οὐδὲν τῷ C βουλομένῳ διενεχθείην. D

Τέλος, σὺν Θεῷ, τῆς Ἰωάννου δευτέρας Ἐπιστολῆς.

[83] Exod. xxx. [84] Joan. xiv, 9. [85] Matth. x, 40.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗΣ ΤΡΙΤΗΣ ΕΠΙΣΤΟΛΗΣ

—

ARGUMENTUM

TERTIÆ JOANNIS EPISTOLÆ CATHOLICÆ.

—

Ἔστιν ἡ Ἐπιστολὴ περὶ φιλοξενίας. Καὶ πρῶτον A μὲν ἀποδέχεται τὸν Γάϊον, μαρτυρούμενον παρὰ πάντων ἐπὶ φιλοξενίᾳ, καὶ προτρέπει τῇ αὐτῇ προθέσει ἐμμένειν, καὶ προπέμπειν καὶ δεξιοῦσθαι τοὺς ἀδελφούς. Πάλιν τε αὐτοῦ μὲν τὴν προσφορὰν ἀποδέχεται, αἰτιᾶται δὲ Διοτρεφῆ, ὡς μήτε αὐτὸν παρέχοντα τοῖς πτωχοῖς, ἀλλὰ καὶ κωλύοντα τοὺς ἄλλους, καὶ πολλὰ φλυαροῦντα. Τοὺς δὲ τοιούτους λέγει ἀλλοτρίους εἶναι τῆς ἀληθείας, καὶ μηδὲ εἰδέναι τὸν Θεόν. Δημήτριον δὲ συνίστησι, μαρτυρῶν αὐτῷ τὰ κάλλιστα.

613 Epistola est de hospitalitate. Et primum quidem commendat Gaium pro quo ferebatur a multis testimonium de hospitalitate, et exhortatur ut in eodem maneat proposito, deducendo ac humaniter excipiendo fratres. Rursum ipsius quoque commendat oblationem: et accusat Diotrephen quod nec ipse tribuat quidquam pauperibus, et alios prohibeat id facere, multaque deblateret. Hujusmodi autem dicit alienos esse a veritate, et Deum ignorare. Demetrium vero commendat, optimum de illo ferens testimonium.

ΕΤΕΡΩΣ Η ΥΠΟΘΕΣΙΣ.

Καὶ ταύτην τὴν Ἐπιστολὴν γράφει, συνιστῶν τινας ἀδελφούς. Γράφει δὲ Γαΐῳ, καὶ μαρτυρεῖ τούτῳ φιλοξενίαν πολλὴν, ἣν καὶ μεγάλων ἐπαίνων ἀξιοῖ. B Τὸν γὰρ ἀγαθοποιοῦντα ἐκ τοῦ Θεοῦ εἶναι λέγει. Πλεῖον δὲ αὐτὸν διεγείρει καὶ ἐξ ὧν διαβάλλει τὸν μὴ τοῦτο ἐγνωκότα ποιεῖν Διοτρεφῆ. Ἐπαινεῖ δὲ καὶ Δημήτριον τὸ αὐτὸ πράσσοντα, καὶ μαρτυρίαν αὐτῷ παρέχεται πιστήν. Σύντομος δὲ αὕτη ἡ Ἐπιστολὴ, διὰ τὴν προειρημένην αἰτίαν ἐν τῇ πρώτῃ Ἐπιστολῇ.

ALIO MODO ARGUMENTUM.

Hanc quoque scribit Epistolam, fratres quosdam commendans. Scribit autem Gaio, et testimonium illi reddit de magna hospitalitate, quam etiam multis laudibus extollit. Nam eum qui bene operatur, ex Deo esse dicit. Porro ipsum ex eo magis excitat **614** quod Diotrephen traducit ac vituperat, quod statuisset ne hæc fierent. Collaudat et Demetrium qui idem faceret, et fidele perhibet illi testimonium. Brevis est autem hæc Epistola, ob prædictam in præcedenti Epistola causam.

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗΣ ΤΡΙΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

α'. *Εὐχὴ ὑπὲρ τελειώσεως, καὶ εὐχαριστία ἐφ' ὁμολογίᾳ φιλοξενίας τῶν ἀδελφῶν διὰ Χριστόν. Ἐν ᾧ περὶ τῆς Διοτρεφοῦς φαυλότητος καὶ μισανθρωπίας.*

β'. *Περὶ Δημητρίου, ᾧ μαρτυρεῖ τὰ κάλλιστα.* C

γ'. *Περὶ ἀφίξεως αὐτοῦ πρὸς αὐτοὺς ἐν τάχει ἐπ' ὠφελείᾳ.*

EPISTOLÆ CATHOLICÆ TERTIÆ JOANNIS CAPITA.

1. *Precatio pro perfectione, et gratiarum actio ob attestationem susceptionis fratrum peregre agentium propter Christum: in quo etiam agit de Diotrephes pravitate ac inhumanitate.*
2. *De Demetrio, cui optimum reddit testimonium.*
3. *De suo ad ipsos adventu brevi futuro ob illorum utilitatem.*

—

ΙΩΑΝΝΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΚΑΘΟΛΙΚΗ ΕΠΙΣΤΟΛΗ ΤΡΙΤΗ

JOANNIS APOSTOLI

TERTIA EPISTOLA CATHOLICA.

615 PROŒMIUM.

A

I, 1. *Presbyter Gaio dilecto, quem ego diligo in veritate.*

De hujusmodi salutatione in præcedenti Epistola dictum est: et nunc eadem repetere superfluum foret ac redundans. « Quem ego diligo in veritate. » In veritate diligit, qui secundum Dominum diligit affectuosa charitate: quemadmodum etiam in superioribus frequenter dictum est.

ΠΡΟΟΙΜΙΟΝ.

Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ.

Εἴρηται περὶ τούτου ἐν τῇ πρὸ ταύτης. Καὶ νῦν δὲ τὰ αὐτὰ ἐπαναλαμβάνειν παρέλκον καὶ περισσόν. « Ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ. » Ἐν ἀληθείᾳ ἀγαπᾷ ὁ κατὰ Κύριον ἀγαπῶν ἐνδιαθέτῳ ἀγάπῃ, ὡς πολλάκις καὶ ἀνωτέρω εἴρηται.

CAPUT I.

Precatio pro perfectione, et gratiarum actio ob attestationem susceptionis fratrum peregre agentium propter Christum: in quo etiam agit de Diotrephes pravitate ac inhumanitate.

I, 2-4. *Charissime, in omnibus opto ut prospere agas et recte valeas, sicut prospere agit anima tua. Gavisus sum, nempe venientibus* **616** *fratribus et testimonium reddentibus veritati tuæ: sicut tu in veritate ambulas. Majus his non habeo gaudium, quam ut audiam filios meos in veritate ambulare.*

B

« Sicut prospere agit anima tua. » Prospere autem agit, nempe in politia quæ est secundum Evangelium. « In veritate ambulas. » In veritate ambulat qui juxta simplicitatem evangelicam ambulat. Ambulare autem non dicit motionem tibiarum, cum hujusmodi gressus ex loco ad locum transiens, unus sit in universis animalibus pedes habentibus: sed ordinatum ac temperatum progressum juxta acrem animi affectum, quem pauci assequuntur, etiam eorum qui intellectu non C carent. « Majus his. » μειζοτέραν juxta Græcæ linguæ proprietatem non est apta dictio comparativa, sed posuit illam tanquam exaggerationi quæ rens vehementiorem exaggerationem, et ita comparativum formavit a comparativo.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Εὐχὴ ὑπὲρ τελειώσεως, καὶ εὐχαριστία ἐφ' ὁμολογίᾳ φιλοξενίας τῶν ἀδελφῶν διὰ Χριστόν· ἐν ᾧ περὶ τῆς Διοτρεφοῦς φαυλότητος καὶ μισανθρωπίας.

Ἀγαπητέ, *περὶ πάντων εὐχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή. Ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ· καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς. Μειζοτέραν τούτων οὐκ ἔχω χαράν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα.*

« Καθὼς εὐοδοῦταί σου ἡ ψυχή. » Εὐοδοῦται δὲ ἐν τῇ κατὰ τὸ Εὐαγγέλιον πολιτείᾳ. « Ἐν ἀληθείᾳ περιπατεῖς. » Ἐν ἀληθείᾳ περιπατεῖ ὁ κατὰ τὴν εὐαγγελικὴν ἁπλότητα περιπατῶν. Περιπατεῖν δὲ οὐ τὴν διὰ σκελῶν φησι κίνησιν, μιᾶς οὔσης παντὶ πόδας ἔχοντι ζώῳ τῆς τοιαύτης ἐκ τόπου εἰς τόπον μεταβατικῆς πορείας, ἀλλὰ τὴν κατὰ τὰς ψυχικὰς ὁρμὰς τεταγμένην καὶ σώφρονα πρόοδον ἧς ὀλίγοι τυγχάνουσιν οἱ τὴν ἐπίγνωσιν ἔχοντες. « Μειζοτέραν τούτων. » Τὸ *μειζοτέραν* κατὰ ἀκρίβειαν τῆς Ἑλληνικῆς γλώσσης ἀδόκιμον, ὡς ἐπίτασιν ἐπιτάσει προσπορίζον.

I, 5 8. *Charissime, fideliter facis quidquid operaris in fratres et in hospites, qui testimonium reddiderunt charitati tuæ in conspectu Ecclesiæ, quos si digne Deo deduxeris, benefacies. Pro nomine namque ejus profecti sunt, nihil accipientes a gentibus. Nos ergo debemus suscipere hujusmodi ut cooperatores simus veritati.*

« Fideliter facis: » hoc est, ut fidelem decet virum. « Debemus suscipere. » Ἀπολαμβάνειν su-

Ἀγαπητέ, *πιστὸν ποιεῖς, ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς τοὺς ξένους, οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον Ἐκκλησίας. Οὓς καλῶς ποιήσεις προπέμψας ἀξίως τοῦ Θεοῦ. Ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον, μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνῶν. Ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν τοὺς τοιούτους, ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ.*

«Πιστὸν ποιεῖς. » Ἀντὶ τοῦ, Ἄξιον πιστοῦ ἀνδρός. « Ὀφείλομεν ἀπολαμβάνειν. » Ἀπολαμβάνειν, ἀντὶ

τοῦ, **ἀναλαμβάνεσθαι**, ὑποδέχεσθαι, ὡς καὶ τὸ, « Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν. » Παιδεύει δὲ διὰ τούτου ἡμᾶς, μὴ ἀναμένειν τοὺς δεομένους, πότε πρὸς ἡμᾶς ἔλθωσιν, ἀλλ' αὐτοὺς ἐπιτρέχειν καὶ καταδιώκειν, ὡς ὁ Ἀβραὰμ καὶ ὁ Λώτ.

A mitur pro ἀναλαμβάνεσθαι, id est, suscipere veluti cum dicitur: « **Susceperunt** me sicut leo paratus ad prædam [36]. » Per hoc autem instruit nos ne egenos exspectemus donec ad nos veniant, sed accurramus et insequamur illos: sicut Abraham et Lot [37].

Ἔγραψα τῇ Ἐκκλησίᾳ, ἀλλ' ὁ φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς οὐκ ἐπιδέχεται ἡμᾶς. Διὰ τοῦτο ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς. Καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφοὺς, καὶ τοὺς βουλομένους κωλύει, καὶ ἐκ τῆς Ἐκκλησίας ἐκβάλλει. Ἀγαπητὲ, μὴ μιμοῦ τὸ κακὸν, ἀλλὰ τὸ ἀγαθόν. Ὁ ἀγαθοποιῶν ἐκ τοῦ θεοῦ ἐστιν· ὁ δὲ κακοποιῶν οὐχ ἑώρακε τὸν θεόν.

I, 5-11. *Scripsi Ecclesiæ, sed is qui amat primatum gerere in eis Diotrephes, non recipit nos. Propter hoc si venero suggeram opera illius quæ facit, verbis malitiosis garriens in nos. Et nec his contentus, non solum non recipit fratres, verumetiam volentes recipere prohibet, et e congregatione ejicit. Charissime, ne imiteris quod malum est, sed quod bonum est. Qui bene facit, ex Deo est: qui autem male facit, non videt Deum.*

B

« Ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ. » Εἰ προστέτακται μὴ ἀντιδόναι κακὸν ἀντὶ κακοῦ, πῶς οὗτος νῦν ἀπειλεῖ ταῦτα; Φαμὲν οὖν, ὡς ἐκείνῳ μὴ ἀντιδιδόναι ἡ ἐντολὴ αὕτη, τῷ εἰς ἡμᾶς αὐτοὺς μόνους ἁμαρτάνοντι, ἐπεὶ εἰ ἡ πρὸς ἡμᾶς ἁμαρτία, καὶ εἰς τὴν πίστιν ἐμπόδιον φέρει, ἀντεκδοτέον τῷ τοιούτῳ, ὡς καὶ Παῦλος τῷ Ἐλύμᾳ τὰς ὁδοὺς διαστρέφοντι Κυρίου. « Φλυαρῶν. » Ἀντὶ τοῦ λοιδορῶν, κακολογῶν. « Μὴ μιμοῦ τὸ κακόν. » Μηδεμιᾶς οὔσης κοινωνίας φωτὶ πρὸς σκότος, μηδὲ συμφωνίας Χριστοῦ πρὸς Βελίαρ, οὐ χρὴ τὸν ἀπὸ τῆς τοῦ Χριστοῦ ἐπιγνώσεως πεφωτισμένον, τῷ σκότει συμφύρεσθαι διὰ μιμήσεως τῶν ἀσεβούντων, ἤτοι τοῖς ἀσελγέσιν αὐτῶν ἔργοις. Ὡς γὰρ ὁ ἀγαθὸς, φησὶν, ἐργαζόμενος ἐκ τοῦ Θεοῦ ἐστι, καὶ τῷ τῆς ἐπιγνώσεως αὐτοῦ φωτὶ τὸν νοερὸν αὐτοῦ ὀφθαλμὸν κατηρτισμένος, καὶ διὰ ταῦτα ὅλος τε φῶς ὢν, καὶ ὁρᾷ τὸ ὄντως φῶς τὸν Θεὸν, καὶ ὁρᾶται ὑπὸ τῶν ἄλλων φωστὴρ ἐν τῷ κόσμῳ, λόγον ζωῆς ἐπέχων· οὕτω καὶ ὁ τὰ κακὰ ἐργαζόμενος ἐν σκότει διαπορευόμενος, οὔτε αὐτὸς ὁρᾷν Θεὸν δύναται, τουτέστι, τὰ τοῦ Θεοῦ πράττειν, οὔτε ἄλλοις ὁρᾶσθαι κατευθύνων, ἀλλὰ μιαιτός ἐστιν ἅπασι καὶ ἐβδελυγμένος, κατὰ τὸ, « Ἀδικίαν ἐμίσησα, λόγιον καὶ ἐβδελυξάμην σοφὸν. »

617 « Suggeram facta illius quæ facit. » Si præceptum est non reddendum esse malum pro malo, quo modo iste nunc hæc comminatur? Dicimus ergo quod hoc præceptum est ne illi reddamus malum qui in nos ipsos solos deliquit: Nam si peccatum est adversum nos, et fidei affert impedimentum, referendum est tali, sicut et Paulus Elymæ qui pervertebat vias Domini [38]. « Garriens. » Hoc est, convicia jaciens et maledicens. « Ne imiteris quod malum est. » Cum nulla sit communio luci cum tenebris, neque ulla concordia Christo cum Belial [39]. Non oportet eum qui Christi cognitione illustratus est, commisceri tenebris per imitationem impiorum, sive lascivis et impudicis eorum operibus. Quemadmodum enim is qui bona operatur ex Deo est, et luce cognitionis ipsius oculum suum intellectualem composuit, cumque per hæc totus sit lux, et videt Deum qui vera lux est, et videtur ab aliis ut luminare in mundo, verbum vitæ sustinens: ita et qui mala operatur, in tenebris ambulans, neque ipse Deum videre potest, hoc est, quæ Dei sunt facere, neque ab aliis videri, si quem redarguat aut corrigat: sed omnes illum oderunt et abominantur, juxta illud sapiens oraculum: « Iniquitatem odio habui et abominatus sum [40]. »

C

ΚΕΦΑΛ. Β'.

618 CAPUT II.

Περὶ Δημητρίου· ᾧ μαρτυρεῖ τὰ κάλλιστα.

De Demetrio, cui optimum reddit testimonium.

D

Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων καὶ ὑπ' αὐτῆς τῆς ἀληθείας. Καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ οἶδατε, ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι.

I, 12. *Demetrio testimonium redditum est ab omnibus, et ab ipsa veritate: sed et nos testimonium perhibemus, et nostis quod testimonium nostrum verum sit.*

« Ὑπὸ πάντων. » Μεμαρτύρηται ὑπὸ πάντων, τῶν τὴν ἀλήθειαν δηλονότι ἐχόντων. « Καὶ ὑπ' αὐτῆς τῆς ἀληθείας, » τοῦ ἐνεργοῦς λόγου. Εἰσὶ γάρ τινες, οἷς μαρτυρεῖται μὲν ἀρετὴ, κατεψευσμένη δὲ ἐπὶ ἀπράκτῳ λόγῳ. Εἰ δέ τις τὸ, Ὑπὸ πάντων, καὶ ἐπὶ τῶν ἀπίστων ἐκλάβοι, διὰ τὸ περιληπτικὸν τοῦ, πᾶς, μορίου, οὐ κακῶς οὗτος ὑπολαμβάνων φωραθείη. Ἀπροσκόπους γὰρ εἶναί φησι Παῦλος τοὺς πιστοὺς

Ab omnibus: » puta qui veritatem servant. « Et ab ipsa veritate: » quæ est efficacia sermonis. Sunt enim quidam quibus virtus perhibet testimonium, sed frustratur ob sermonem inefficacem sive operibus carentem. Quod si quis particulam Ab omnibus, etiam de infidelibus accipiat, eo quod Omnis, comprehendat universos, hic non male sermonem accipere deprehendetur. **618** Jubet

[36] Psal. xvi, 12. [37] Gen. xviii et xvix. [38] Act. xiii, 8. [39] II Cor. vi, 13. [40] Psal. cxviii, 163.

studeant et Judæis et Græcis et Ecclesiæ Dei, sicut et ego, inquit, per omnia omnibus placeo [61].

σπεύδειν, καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω.

CAPUT III.

ΚΕΦΑΛ. Γ'.

De suo ad ipsos adventu brevi futuro ob illorum utilitatem.

Περὶ ἀφίξεως αὐτοῦ πρὸς αὐτοὺς ἐν τάχει ἐπ' ὠφελείᾳ.

13-14. *Multa habebam quæ scriberem, sed nolo per atramentum et calamum scribere tibi. Spero autem me protinus visurum te, et præsentes coram loquemur. Pax tibi. Salutant te amici. Salua amicos nominatim.*

Πολλὰ εἶχον γράφειν, ἀλλ' οὐ θέλω διὰ μέλανος καὶ καλάμου σοι γράψαι. Ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα λαλήσομεν. Εἰρήνη σοι. Ἀσπάζονταί σε οἱ φίλοι. Ἀσπάζου τοὺς φίλους κατ' ὄνομα.

Similia in fine præcedentis Epistolæ et dicta sunt et interpretata; quare superfluum foret eadem rursum repetere.

Finis, divino favente auxilio, Joannis tertiæ Epistolæ catholicæ.

Τέλος τῆς Ἰωάννου τρίτης καθολικῆς Ἐπιστολῆς.

[61] I Cor. x, 35.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΙΟΥΔΑ ΚΑΘΟΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ.

ARGUMENTUM

CATHOLICÆ JUDÆ EPISTOLÆ.

619 Hanc Epistolam scribit his qui jam crediderant. Fuit autem hæc occasio: Cum subingressi essent quidam qui docerent peccatum esse quiddam vulgare et ἀδιάφορον ac Dominum negarent, necesse fuit ipsis scribere et confirmare fratres. Et primum quidem exhortatur eos ut certent et permaneant in fide sibi tradita. Deinde detegit hujusmodi seductores, ac præcipit ut cum talibus nullam habeant communionem: scientes quod non satis sit esse duntaxat vocatos, nisi etiam digne ad vocationem ambulent. Siquidem licet prius ex Ægypto populum eduxisset Dominus, tamen non permanentem in fide, perdidit: sed neque angelis, qui suum ordinem non servaverant, pepercit. Oportet ergo ab hujusmodi discedere. Etenim Michael quoque archangelus non tulit blasphemiam diaboli. Futuram ergo docet illorum perditionem sicut Sodomorum. deinde exhortatur ad mores, et precatus ipsis fidei firmitatem a Domino, concludit Epistolam.

Ταύτην τὴν Ἐπιστολὴν γράφει τοῖς ἤδη πιστεύσασιν. Ἡ δὲ πρόφασις αὕτη· Παρελθόντων τινῶν καὶ διδασκόντων ἀδιάφορον εἶναι τὴν ἁμαρτίαν, καὶ ἀρνουμένων τὸν Κύριον, ἀνάγκην ἔσχε γράψαι καὶ ἀσφαλίσασθαι τοὺς ἀδελφούς. Καὶ πρῶτον μὲν παρακαλεῖ αὐτοὺς ἀγωνίζεσθαι καὶ ἐμμένειν τῇ παραδοθείσῃ αὐτοῖς πίστει. Ἔπειτα ἀποκηρύττει τοὺς τοιούτους ὡς πλάνους. Καὶ παραγγέλλει μηδεμίαν ἔχειν κοινωνίαν πρὸς τοὺς τοιούτους, εἰδότας ὅτι οὐκ ἀρκεῖ τὸ κληθῆναι μόνον, ἐὰν μὴ καὶ ἀξίως περιπατήσωμεν τῆς κλήσεως. Καὶ γὰρ καὶ τὸν πρότερον λαὸν ἐξαγαγὼν ἐξ Αἰγύπτου ὁ Κύριος μὴ ἐμμείναντα τῇ πίστει, ἀπώλεσε. Καὶ ἀγγέλων δὲ μὴ τηρησάντων τὴν ἰδίαν τάξιν, οὐκ ἐφείσατο. Δεῖ οὖν ἀπὸ τῶν τοιούτων ἀναχωρεῖν. Καὶ γὰρ καὶ Μιχαὴλ ὁ ἀρχάγγελος οὐχ ὑπήνεγκε βλασφημίας τοῦ διαβόλου. Ἔσεσθαι γοῦν τὴν ἀπώλειαν αὐτῶν, ὡς Σοδόμων, διδάσκει. Εἶτα παραινεῖ εἰς τὰ ἤθη. Καὶ ἐπευξάμενος αὐτοῖς βεβαιότητα τῆς πίστεως παρὰ τοῦ Κυρίου, τελειοῖ τὴν Ἐπιστολήν.

EPISTOLÆ CATHOLICÆ JUDÆ CAPITA.

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΙΟΥΔΑ ΚΑΘΟΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ.

620 1. *De diligenti observatione fidei in Christum, propter insurrectionem impiorum et lascivorum virorum in quo etiam agit de futuro ipsorum supplicio, ad similitudinem malorum qui olim peccaverunt.*

α'. *Περὶ προσοχῆς τῆς εἰς Χριστὸν πίστεως, διὰ τὴν ἐπανάστασιν τῶν ἀσεβῶν καὶ ἀσελγῶν ἀνδρῶν· ἐν ᾧ περὶ μελλούσης αὐτῶν κολάσεως, καθ' ὁμοίωσιν τῶν πάλαι ἁμαρτησάντων καὶ πονηρῶν.*

β'. Ταλαιπωρίας αὐτῶν ἐπὶ τῇ πλάνῃ καὶ ἀσεβείᾳ καὶ ἀσελγείᾳ καὶ βλασφημίᾳ, καὶ ἐπιπλάστῳ ὑποκρίσει, τῇ εἰς ἁπάτην δωροδοκίᾳ.

γ'. Περὶ ἀσφαλείας αὐτῶν ἐπὶ τῇ πίστει, συμπαθείας τε καὶ φειδοῦς εἰς τὸν πλησίον ἐπὶ σωτηρίᾳ ἐν ἁγιασμῷ. Εὐχὴ αὐτῶν εἰς ἁγιασμὸν, καὶ παῤῥησία καθαρὰ σὺν δοξολογίᾳ Χριστοῦ.

2. *Deploratio impiorum propter errorem et impietatem ac lasciviam et blasphemiam ac fucatam simulationem per largitionem, quo facilius decipiant.*

3. *De firmitate in fide eorum ad quos scribit: quodque compatiendum et parcendum sit proximo ob salutem quæ est in sanctificatione: et de fiducia pura cum δοξολογίᾳ (id est glorificatione) Christi.*

ΙΟΥΔΑ ΑΠΟΣΤΟΛΟΥ

Η ΚΑΘΟΛΙΚΗ ΕΠΙΣΤΟΛΗ.

CATHOLICA EPISTOLA

JUDÆ APOSTOLI.

ΠΡΟΟΙΜΙΟΝ.

Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν Θεῷ Πατρὶ ἠγαπημένοις, καὶ Ἰησοῦ Χριστοῦ τετηρημένοις κλητοῖς, ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη.

Ἤρκεσεν αὐτῷ, τῷ παρόντι ἀποστόλῳ φημὶ, εἰς περιφάνειαν δόξης, μετὰ τὸ δοῦλον ἑαυτὸν ὀνομάσαι Χριστοῦ, καὶ ἀπὸ Ἰακώβου σεμνολογήσασθαι. Τὸ γὰρ τοῦ Ἰακώβου παρὰ πᾶσιν ἐπ' ἀρετῇ ἐξυμνούμενον, εὐπαραδεκτότερον εἰς τὴν διὰ λόγου διδασκαλίαν καθίστη τοῖς ἀκροαταῖς τοῦτον, εἴπερ ὁ γεννήσεως καὶ αἵματος κοινωνὸς, οὐκ ἂν ἀπαλλοτριούμενος ὀφθείη καὶ τρόπων τοῦ ᾧ κεκοινώνηκε τῆς συγγενείας, καὶ μάλιστα εἰ καὶ ὑφ' ἑνὶ Δεσπότῃ Χριστῷ τελῶν, τὸν τῆς δουλείας ζυγὸν ἰσόῤῥοπον τῷ ὁμαίμονι προκεῖται ἕλκειν. « Τοῖς ἐν Θεῷ Πατρὶ ἠγαπημένοις, καὶ Ἰησοῦ Χριστοῦ τετηρημένοις κλητοῖς. » Τοῦ Κυρίου εἰρηκότος, οὐδεὶς ἔρχεται πρός με ἐὰν μὴ ὁ Πατήρ μου ἑλκύσῃ αὐτὸν, δείκνυσι τὸν λόγον ὁ μακάριος οὗτος ἀνὴρ ἐπαληθεύοντα νῦν. Τοὺς γὰρ τῷ Πατρὶ ἀγαπωμένους, τῷ Ἰησοῦ Χριστῷ τετηρῆσθαί φησι. Διὸ καὶ κλητοῖς λέγει. Οὐ γὰρ ἀφ' ἑαυτῶν, ἀλλ' ἀπὸ τοῦ Πατρὸς ἔχουσι διὰ τοῦ ἑλκῦσθαι καὶ τὸ κεκλῆσθαι. Ἔλεον δὲ εἰρήνην καὶ ἀγάπην αὐτοῖς ἐπεύχεται πληθυνθῆναι. Ἔλεον μὲν, ὅτι διὰ σπλάγχνα ἐλέους Θεοῦ ἀνεκλήθημέν τε καὶ ἀνελήφθημεν αὐτῷ εἰς ὑπηρέτας. Εἰρήνην δὲ, ὅτι καὶ ταύτην ἡμῖν ὁ αὐτὸς Θεὸς ὁ Πατὴρ ἐδωρήσατο, διὰ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοὺς προσκεκρουκότας ἡμᾶς, ἑαυτῷ καταλλάξας. Ἀγάπην δὲ, ὅτι διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην, ὁ μονογενὴς αὐτοῦ Υἱὸς ἐκδέδοται ὑπὲρ ἡμῶν εἰς θάνατον. Ταῦτα οὖν ὑπερεκπερισσοῦ βραβευθῆναι αὐτοῖς εὔχεται, συνῳδὰ τῷ μακαρίῳ

PROŒMIUM.

621 1. *Judas Jesu Christi servus, frater autem Jacobi, his qui in Deo Patre dilecti sunt, et qui vocati sunt, a Jesu Christo servati: misericordia vobis et pax et charitas multiplicetur.*

Satis fuit huic præsenti, inquam, apostolo, ad gloriæ splendorem, cum seipsum Christi servum nominasset, etiam a Jacobo celebris reddi. Siquidem cum Jacobus apud omnes ob virtutem maximis efferretur laudibus, effectum est ut hic apud auditores facilius reciperetur ad doctrinam sermonis, quoniam nativitatis ac sanguinis communio nequaquam alienata videretur moribus ab eo cum quo cognatione communicavit: et maxime si sub uno Domino Christo degens, servitutis jugum æqualiter cum fratre trahere proponitur. « Iis qui in Deo Patre dilecti sunt, et qui vocati sunt, a Jesu Christo servati. » Domini sermonem quo dixit, Nemo venit ad me nisi Pater meus traxerit eum, hic beatus vir nunc verum esse ostendit. Nam eos qui a Patre dilecti sunt, ait, a Jesu Christo fuisse servatos. **622** Ideo quoque *Vocatos* dicit: neque enim a seipsis, sed a Patre habent per hoc quod trahuntur, ut etiam vocentur. Misericordiam vero, pacem et charitatem ipsis multiplicari precatur. Misericordiam quidem, quoniam propter viscera misericordiæ Dei revocati sumus et assumpti ab eo in ministros: pacem autem, quia et hanc ipse Deus Pater nobis donavit, reducens nos qui offenderamus ad suam amicitiam per Filium suum Jesum Christum: charitatem vero, quoniam propter charitatem quam erga nos habuit, unigenitus Filius suus expositus est pro nobis in mortem. Hæc igi-

tur abunde ipsis tribui precatur : conformia dicens cum beato David, qui ait : « Extende misericordiam tuam cognoscentibus te [45]. »

Δαυὶδ φθεγγόμενος, « Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε. »

CAPUT I.

De diligenti observatione fidei in Christum, propter insurrectionem impiorum et lascivorum virorum : in quo etiam agit de futuro ipsorum supplicio, ad similitudinem malorum qui olim peccaverunt.

3, 4. *Charissimi tantum mihi studium fuit scribendi ad vos de communi salute, ut non potuerim non scribere vobis : exhortans ut rursum certetis pro fide semel tradita sanctis. Obiter enim subierunt quidam homines impii, qui olim descripti sunt in hoc judicium : qui Dei nostri gratiam transferunt ad lasciviam, ac Deum qui solus est herus, et Dominum nostrum Jesum Christum negant.*

Per hæc innuit Epistolæ argumentum, quod ob providentiam salutis eorum, ne per simplicitatem caperentur a sceleratissimis hæreticis præsentes depromat **623** sermones, tanquam notans eos et manifestos reddens ignorantibus per apertionem lasciviæ illorum vitæ. De his autem et Petrus locutus est [46], sed hic latius nunc et diffusius. Descriptos autem dicit eos : quoniam et Petrus et Paulus de ipsis dixerunt qui in postremis temporibus venturi sint hujusmodi seductores [47]. Et ante hos ipse Christus, dicens : « Multi venient in nomine meo et multos seducent : ne ergo sequamini illos [48]. » Nam dicentes se Christianos, hoc nomine multos seducunt. Dicit autem Nicolaum, Valentinum ac Simonem, quique illos secuti sunt sceleratissimos ac impurissimos. Nam cum gastrimargi essent ac libidinosi, doctrinam simulabant, ut hujus prætextu latentem ingressum in domos nanciscerentur, ac mulierculas peccatis oneratas ducerent captivas [49]. Effictis enim nocturnis mysteriis tradiderunt seipsos cubilibus ac lasciviis. Quod autem ait, « Transferunt ad lasciviam, » hoc est, Depravant detorquentes a temperantia ad lasciviam : unde et negare contingit ipsos Dominum nostrum Jesum Christum. Atenim quomodo non negant, qui vitæ impuritate doctorem omnis temperantiæ veluti clamosa ac sonora quadam voce abjurant ? Quæ enim communio est luci cum tenebris [50]. « Exhortans ut rursum certetis. » Exhortatur eos qui semel Christum Salvatorem susceperunt et in eum crediderunt, ut adhuc certent sive adnitantur, hoc est, dissoluto animo non sint affecti, sed seipsos contineant et majus adhuc studium circa hoc amplectantur. Qui enim incarnatum Verbum suscepimus, si diceremus alium esse qui ante sæcula fuit cum Patre, et alium qui postremis temporibus ex Matre in propria hypostasi natus est, annon negaremus unum esse Dominum ac herum ? Unus est enim Dominus Jesus juxta

ΚΕΦΑΛ. Α'.

Περὶ προσοχῆς τῆς εἰς Χριστὸν πίστεως, διὰ τὴν ἐπανάστασιν τῶν ἀσεβῶν καὶ ἀσελγῶν ἀνδρῶν· ἐν ᾧ περὶ μελλούσης αὐτῶν κολάσεως, καθ' ὁμοίωσιν τῶν πάλαι ἁμαρτησάντων καὶ πονηρῶν.

Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν· παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. Παρεισδυσαν γάρ τινες ἄνθρωποι οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα ἀσεβεῖς· τὴν τοῦ Θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν καὶ τὸν μόνον Δεσπότην Θεὸν καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι.

Τὴν ὑπόθεσιν τῆς Ἐπιστολῆς διὰ τούτων μηνύει, ὅτι προμηθείᾳ τῆς αὐτῶν σωτηρίας, τοῦ μὴ ἁλῶναι ὑ. ἀπλότητα τοῖς μιαρωτάτοις αἱρετικοῖς, τοὺς παρόντας ἐκτίθεται λόγους, ὡσπερεὶ στίζων αὐτοὺς καὶ διαδήλους ποιῶν τοῖς ἀγνοοῦσι, διὰ τῆς ἐκθέσεως τοῦ ἀσελγοῦς αὐτῶν βίου. Περὶ τούτων δὲ καὶ Πέτρος εἴρηκε μὲν, πλατύτερον δὲ καὶ διεξοδικώτερον οὗτος νῦν. Προγεγραμμένους δὲ αὐτοὺς λέγει, ὅτι καὶ Πέτρος καὶ Παῦλος περὶ αὐτῶν εἴρηκεν, ὅτι ἐν ἐσχάτοις καιροῖς ἐλεύσονται πλάνοι τοιοῦτοι. Καὶ πρὸ τούτων δὲ αὐτὸς ὁ Χριστὸς φάσκων, « Πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ἐμῷ ὀνόματι, καὶ πολλοὺς πλανήσουσι. Μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν. » Χριστιανοὺς γὰρ ἑαυτοὺς ὀνομάζοντες, ἐπὶ τῷ ὀνόματι τούτῳ πολλοὺς ἀπατῶσι. Λέγει δὲ τοὺς ἀπὸ Νικολάου καὶ Οὐαλεντίνου καὶ Σίμωνος τῶν μιαρωτάτων καὶ ἀκαθάρτων. Οὗτοι γὰρ γαστρίμαργοι ὄντες καὶ ἀκόλαστοι, ὑπεκρίναντο τὴν διδασκαλίαν, ἵνα δι' αὐτῆς παρεισδυσιν εἰς τὰς οἰκίας εὕρωσι, καὶ αἰχμαλωτίσωσι γυναικάρια σεσωρευμένα ἁμαρτίαις. Τελετὰς γὰρ νυκτερινὰς πλασάμενοι, κοίταις καὶ ἀσελγείαις ἑαυτοὺς ἐκδεδώκασι. Τὸ δὲ, « Μετατιθέντες εἰς ἀσέλγειαν, » ἀντὶ τοῦ, Παραχαράττοντες ἀπὸ τῆς σωφροσύνης εἰς ἀσέλγειαν. Ἀφ' οὗ καὶ ἀρνεῖσθαι συμβαίνει αὐτοῖς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Καὶ πῶς γὰρ οὐκ ἀρνοῦνται, οἱ διὰ τῆς τοῦ βίου ἀκαθαρσίας τὸν πάσης σωφροσύνης διδάσκαλον οἱονεί τινι διατόρῳ φωνῇ ἀπότομον ποιούμενοι; Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; « Παρακαλῶν ἐπαγωνίζεσθαι. » Ἐπαγωνίζεσθαι παρακαλεῖ τοὺς ἅπαξ τὸν Χριστὸν καταδεξαμένους Σωτῆρα, καὶ τούτῳ πεπιστευκότας, τουτέστι, μὴ ἐκλελυμένως διατεθῆναι, ἀλλὰ συντείναντας ἑαυτοὺς, ἵτι μᾶλλον ἔχεσθαι τῆς περὶ τοῦτο σπουδῆς. Δεξάμενοι γὰρ τὸν ἐνανθρωπήσαντα Λόγον, εἰ λέγοιμεν ἕτερον μὲν εἶναι τὸν πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς, ἕτερον δὲ τὸν ἐπ' ἐσχάτων ἐκ τῆς Μητρὸς καὶ κατ' ἰδίαν ὑπόστασιν, πῶς οὐκ ἂν ἀρνηθείημεν τὸν ἕνα Κύριον καὶ Δεσπότην; Εἷς

[45] Psal. xxxv, 6. [46] II Petr. III. [47] II Tim. III, 13. [48] Luc. XVII, 23. [49] II Tim. III, 6. [50] II Cor. VI, 14.

γὰρ Κύριος Ἰησοῦς καθ' ἕνωσιν οἰκονομικήν. Ὁ γὰρ πρὸ αἰώνων Θεοῦ Λόγος καὶ Θεὸς, εἰς τὴν τῆς θεότητος δόξαν ἀναφοιτῶσαν ἔχων τὴν σάρκα, ἣν ἀπὸ τῆς ἁγίας Παρθένου ἐξ ἀρχῆς συλλήψεως ἀνέλαβεν, εἷς καὶ ὁ αὐτός ἐστιν ἁπάντων δεσπότης. « Χάριν μετατιθέντες. » Μετατιθέντες, ἀντὶ τοῦ, μεταποιοῦντες, παραποιοῦντες.

A factam quadam dispensatione unionem. Nam Dei Verbum ac Deus ante sæcula, assumptam habens ad gloriam divinitatis carnem, quam a divina Virgine ab initio conceptionis accepit, unus et idem est omnium herus. « Gratiam transferunt : » hoc est, transmutant, corrumpunt

Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ Κύριος λαὸν ἐκ τῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν. Ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας, δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν. Ὡς Σόδομα καὶ Γόμορρα, καὶ αἱ περὶ αὐτὰς πόλεις, τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι· ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι, σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσι. Ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωϋσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν, Ἐπιτιμήσαι σοι Κύριος. Οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασι βλασφημοῦσιν, ὅσα δὲ φυσικῶς, ὡς τὰ ἄλογα ζῶα, ἐπίστανται, ἐν τούτοις φθείρονται.

624 5-10. *Volo autem vos commonefacere, cum sciamus semel illud, quod Dominus posteaquam populum ex Ægypto salvum eduxerat, rursus eos qui non crediderunt perdidit : quodque angelos qui non servaverant suam originem, sed reliquerant suum domicilium, ad judicium magni diei vinculis æternis sub caligine servavit. Sicut Sodoma et Gomorra hisque finitimæ civitates, quæ ad consimilem modum cum illis fuerant extra stupra inquinatæ, et carnem alienam secutæ, propositæ sunt exemplo, ignis æterni* B *pœnam sustinentes. Similiter sane et hi insomniis agitati, carnem quidem polluunt, dominationem vero spernunt, in splendores maledicta congerunt. At Michael archangelus, cum adversus diabolum certans disputaret de corpore Mosi, non ausus est illi maledicum judicium impingere, sed dixit : Increpet te Dominus. At isti quæ non noverunt, ea maledictis insectantur : quæ vero a natura, ceu animantia rationis expertia sciunt, in his corrumpuntur.*

Εἰρηκὼς τὴν ἀσέλγειαν τῶν ἀκαθάρτων Νικολαϊτῶν καὶ Οὐαλεντινιανῶν, καὶ Μαρκιωνιστῶν, καὶ ὥσπερ ἐγκαύσει τινὶ ἐπισήμους αὐτοὺς ποιήσας ἀπὸ τῆς προσούσης αὐτοῖς βορβορότητος, ἐπάγει καὶ ταῦτα· « Ὁ Κύριος λαὸν ἐκ γῆς Αἰγύπτου, » καὶ ἑξῆς. Ὑμοῦ μὲν διὰ τούτων δεικνὺς, ὡς ὁ αὐτὸς θεὸς τῆς παλαιᾶς ἐστι καὶ νέας εἰσηγητής, ἀλλ' οὐχ ὡς οἱ μιαροὶ οὗτοι, ἕλλον μὲν τὸν τῆς παλαιᾶς φάσκοντες τιμωρητικὸν καὶ ὠμὸν, ἄλλον δὲ τὸν τῆς νέας, προσηνῆ καὶ φιλάνθρωπον ἔφορον εἶναι Θεὸν, ἅμα δὲ καὶ ὡς οὐδὲ οἱ νῦν ἀτιμώρητοι μείνειαν. Ὡς οὐδὲ οἱ ἐξ Αἰγύπτου, διὰ μὲν τὴν ὑπερβάλλουσαν δύναμιν, καὶ τὴν πρὸς τοὺς πατέρας αὐτῶν ὁρκωμοσίαν, τοῦ Θεοῦ τῆς Αἰγυπτιακῆς αὐτοὺς ἀπαλλάξαντος βίας, οὐ μέντοι καὶ παρανομήσαντες ἀτιμώρητοι διαμεμενήκασιν, ἀλλ' ἔδοσαν δίκας ἀξίας οὐδὲν αὐτοὺς ὠφελήσαντος τοῦ πρὸς τοὺς αὐτῶν πατέρας τοῦ Θεοῦ εὐμενοῦς, οὐδὲ τῆς τῶν θαυμάτων ὑπερφυοῦς διὰ τούτους ἐναργείας, ὡς οὐδὲ τοὺς ἐκπεπτωκότας ἀγγέλους, τὸ ἀπὸ Θεοῦ γενέσθαι, καὶ νοερᾷ φύσει τετιμῆσθαι, οὐδὲ τοὺς Σοδομίτας ἡ μετὰ τοῦ Λὼτ συναυλία. Ἀλλ' οἱ μὲν τὴν Ἐρυθρὰν θάλασσαν διὰ ξηρᾶς διελθόντες διὰ πίστεως, ὕστερον ἀπιστήσαντες ἀπώλοντο. Τοὺς δὲ τῆς ἀγγελικῆς ἀξίας λαχόντας τὸ τίμιον, ἐκ ῥᾳθυμίας μὴ ἐμμείναντας τῇ ἑαυτῶν ἀρχῇ, ἀλλ' ἀθετήσαντας τὴν δεδομένην αὐτοῖς δι' ἀγαθότητα δίαιταν ἐπουράνιον, εἰς κρίσιν, ἤτοι εἰς κατάκρισιν μεγάλης ἡμέρας τῇ τιμωρίᾳ καὶ ἀνυποίστου τεταμίευκεν. Τοῦτο γὰρ καὶ νῦν τὸ τετήρηκε σημαίνει. Καθὸ καὶ ὁ Χριστός φησι· « Τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. » Καὶ δὴ οἱ Σοδομῖται τεκμήριον τοῦ ὑποδε-

Postquam impurorum Nicolaitarum, Valentinianorum ac Marcionistarum dixit lasciviam, et velut inustione quadam insignes eos ab ipsorum fœtulenta turpitudine reddidit, etiam hæc subjungit : « Posteaquam Dominus populum ex Ægypto, » etc. simul quidem per hæc ostendens quod idem Deus veteris ac novi testamenti sit auctor : et non sicut dicunt hi scelerati, alium fuisse veteris, vindicantem ac sævum : alium vero novi, mitem ac humanum præsidem esse Deum : et simul ait quod neque ii qui nunc peccant, inulti permanere poterunt, quemadmodum neque illi qui ex Ægypto educti fuerant. Nam immensa quidem Dei virtute, et propter jusjurandum ad patres ipsorum factum, Deus illos ab Ægyptiaca servitute ac tyrannide liberaverat : nec tamen qui impie egerunt inulti permanserunt, sed dignas dederunt pœnas : nihilque illis profuit quod benignus fuerit Deus erga patres ipsorum : neque iniit immensa signorum evidentia propter hos exhibita : quemadmodum neque angelos qui ceciderant quod a Deo formati essent, et intellectuali natura præditi : **627** (*sic*) neque Sodomitas quod una cum Lot habitarent. Sed hi qui mare Rubrum velut aridam, fide primum transierant, postmodum facti increduli perierunt. Qui vero angelicæ dignitatis honorem sortiti fuerant, cum præ segnitie non permansissent in sua origine, sed corrupissent datum sibi ex bonitate cœleste vitæ institutum, ad judicium sive condemnationem, supplicio magni et intolerabilis diei reposuit et conservavit. Nam hoc etiam nunc significat τετήρηκε. Juxta illud quod ait Christus : « Qui præparatus est dia-

bolo et angelis ejus [48].» Et certe Sodomitæ insignum proponuntur ignis æterni qui ipsos excepturus est. « Secutæ carnem alienam, » et fornicatæ, hoc est, declinantes, quod πορνεύειν significat. Carnem vero alienam dicit masculinam, quod ad congressum qui fit generationis gratia non prosit. Caro enim ad congressum faciens caro feminæ est, juxta illud quod a primo parente dictum est : « Os ex ossibus meis et caro ex carne mea [49]. » Masculorum autem caro aliena est, inquam, a coitu. Quanquam in femina quoque, una quidem legibus uni juncta, sua et propria caro est : quæ autem effusa est et publica extranea et aliena est, ac relicta ad piaculum propemodum masculini sceleris. Ubi autem hæc exempla posuisset, quod his consequens erat auditori reliquit intelligendum. Quid est autem illud ? Inferre quod inde sequitur. Si ergo hos ita delevit, nihil placatus priore eorum felicitate, nunquid hos nunc impie ac lascive agentes liberavit, cum Dei Filius propter homines in mundum venerit, et injurias ac afflictiones pro ipsis sustinuerit? hoc nemo unquam diceret. Quanquam enim benignus sit et humanus, attamen etiam vere justus est : et propter veram justitiam, his qui peccaverunt non pepercit : propter benignitatem autem, meretrices ac publicanos in regnum introduxit [50]. Cum ita consequens fuisset ut sermo sponderet, ipse prætermisit, ob causam quam prædiximus. Aut etiam simili modo loquens cum beato Petro, cum diceret : «Si enim Deus angelis qui peccaverant non pepercit,» etc. Et de his quidem ita dictum sit. Porro quod ait : « Insomniis agitati carnem maculant, » admiratione dignum est quod adeo verecunde sermonem protulerit. **628** Multam enim lasciviam et impudicitiam de ipsis testatur, dicens quod et vita sint impuri, et lingua maxime lascivi : vehementem autem operis turpitudinem recte comprehendit per hoc verbum ἐνυπνιαζόμενοι (id est, somniantes vel agitati insomniis) quod nos paululum et quantum decens erit, denudabimus, sumpto intellectu ex opere quod de his edidit beatus Epiphanius Cypri episcopus, et Panarium appellavit. Dicit enim hic quod scelesti isti Borboritæ (id est, fetulenti ac cœno oppleti) cum fœde mulieribus commiscerentur, non in vulva semen effundebant, sed imperfecta abominatione, suis manibus illud suscipientes, statim illud in os immittebant mulierum cum quibus corrupti erant : et ita a se mutuo discedebant impuri, magnum quippiam se peregisse putantes. Hoc impurum facinus propter imperfectionem appellat insomnium, quoniam hujusmodi sunt quæ in insomniis aguntur. Inquinantes ergo per fetulentam hanc assumptionem suam carnem, amplius adhuc insaniunt, inquit, adversus divinam naturam, Dominium hujus aspernantes et dominationem quam ipsa in universum habet. Latius autem de his dixit beatus Irenæus

A ξαμένου αὐτοὺς ἀτελευτήτου πυρὸς πρόκεινται. « Ὀπίσω σαρκὸς ἑτέρας ἀπελθόντες, » καὶ πορνεύσαντες, τουτέστιν, ἐκκλίναντες. Ὃ τὸ πορνεύειν σημαίνει. Σάρκα δὲ ἑτέραν τὴν ἄρρενα φύσιν λέγει, ὡς μὴ πρὸς συνουσίαν γενέσεως συντελοῦσαν. Ἡ γὰρ πρὸς συνουσίαν σὰρξ, τοῦ θήλεός ἐστι, κατὰ τὸ ὑπὸ τοῦ προπάτορος εἰρημένον, « Ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. » Ἡ δὲ τῶν ἀρρένων σὰρξ, ἑτέρα τῆς συνουσίας φημί. Πλὴν καὶ ἐπὶ τοῦ θήλεος, ἡ μὲν κατὰ νόμους ἑνὶ μίᾳ, ἰδία σὰρξ καὶ οἰκεία· ἡ δὲ ἐκκεχυμένη καὶ δημοσία, ἑτέρα καὶ ἀλλοτρία, καὶ μικρῷ τῆς ἀρρενικῆς εἰς μίασμα λειπομένη. Εἰρηκὼς δὲ ταῦτα τὰ ὑποδείγματα, κατέλιπε τὸ ἀκόλουθον τούτοις ἐννοεῖν τὸν ἀκροατήν. Τί δὲ τοῦτο; Τὸ ἐπενεγκεῖν· Εἰ οὖν τούτοις

B οὕτως ἀπεχρήσατο μηδὲν δυσωπηθεὶς τῇ προτέρᾳ αὐτῶν εὐκληρίᾳ, ἆρα τούτους νῦν ἀσελγοῦντας ἐξαιρήσεται τὸ τὸν Υἱὸν τοῦ Θεοῦ δι' ἀνθρώπους εἰς τὸν κόσμον ἐλθεῖν καὶ ἀνασχέσθαι ὑπὲρ τούτων ὕβρεων καὶ παθῶν; οὐκ ἂν εἴποι τις τοῦτο. Κἂν γὰρ φιλάνθρωπός ἐστιν, ἀλλὰ καὶ δίκαιος ἀληθείᾳ. Καὶ διὰ μὲν ἀληθῆ δικαιοσύνην, τῶν ἡμαρτηκότων οὐκ ἐφείσατο, διὰ δὲ φιλανθρωπίαν, πόρνας καὶ τελώνας εἰς τὴν βασιλείαν εἰσήγαγεν. Οὕτω τοῦ ἀκολούθου ὄντος χρήσασθαι, αὐτὸς παρῆκε, καὶ δι' ἃ μὲν προείπομεν, ἢ καὶ ὡς τῷ μακαρίῳ Πέτρῳ προειρημένου, ὅτε ἔλεγεν· « Εἰ γὰρ ὁ Θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, » καὶ ἑξῆς. Καὶ περὶ μὲν τούτων οὕτως. Τὸ δὲ, « Σάρκα μὲν μιαίνουσιν ἐνυπνιαζόμενοι, » θαυμάζειν ἄξιον τῆς σεμνότητος τοῦ

C λόγου. Πολλὴν γὰρ αὐτῶν ἀσέλγειαν καταμαρτυρεῖ, φάσκων ὅτι καὶ βίῳ εἰσὶν ἀκάθαρτοι, καὶ γλώσσῃ ἀσελγέστατοι. Τὸ γὰρ ἄγαν αἰσχρὸν τῆς πράξεως, διὰ τοῦ Ἐνυπνιαζόμενοι περιέστειλεν. Ὃ μικρὸν ἡμεῖς, καὶ ὅσον προσῆκε, παραγυμνώσομεν, ἐκ τοῦ πεπονημένου τῷ μακαρίῳ Ἐπιφανίῳ τῷ Κύπρου περὶ τούτων, ὃ καὶ Πανάριον ἐκάλεσε, τὴν γνῶσιν εἰληφότες. Φησὶ γὰρ οὗτος· Τοὺς μιαροὺς τούτους Βορβορίτας αἰσχρῶς γυναιξὶν ἐπιμιγνυμένους, μὴ τῇ μήτρᾳ τὴν γονὴν κατασχεῖν, ἀλλ' ἀτελέστῳ τῇ βδελυρίᾳ, ταῖς ἑαυτῶν ὑπολαβόντες ταύτην χερσὶν, εὐθὺς τῷ στόματι ταύτην προσάγειν μεθ' ὧν συνεφθάρησαν γυναίων, καὶ οὕτως ἀπέρχεσθαι ἀπ' ἀλλήλων τοὺς ἀκαθάρτους, μέγα τι οἰηθέντας ἐπιτετελεκέναι.

D Τοῦτο τὸ ἀκάθαρτον δρᾶμα διὰ τὸ ἀτέλεστον, ἐνυπνίασμα καλεῖ, ἐπεὶ καὶ τοιαῦτα τὰ ἐν τοῖς ἐνυπνιασμοῖς. Μιαίνοντες τοίνυν διὰ τῆς βορβορώδους ταύτης προσφορᾶς τὴν ἑαυτῶν σάρκα, ἔτι, φησὶ, καὶ κατὰ τῆς θείας φύσεως μαίνονται, τὴν κυριότητα ταύτης ἀθετοῦντες, καὶ τὴν τοῦ παντὸς αὐτῆς δεσποτείαν. Πλατύτερον δὲ περὶ τούτων ὁ μακάριος Εἰρηναῖος ὁ Λουγδούνου εἴρηκεν ἐν τῷ ἐλέγχῳ τῆς ψευδωνύμου γνώσεως, παρ' οὗ ὁ βουλόμενος λαμβανέτω τὴν γνῶσιν. Ἡ κυριότητα, τὴν τοῦ κατὰ Χριστὸν μυστηρίου τελετὴν ἀθετοῦσιν, ἐν τάξει μυστηρίων ἀγγελικῶν τὰς ἑαυτῶν ἀσελγείας ἐκτελοῦντες. Δόξας δὲ τὴν παλαιὰν φησι διαθήκην καὶ τὴν νέαν,

[48] Matth. xxv, 41. [49] Gen. II, 23. [50] Matth. xxi, 31.

ὡς Παῦλός φησι· « Εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ. » Καὶ πάλιν· Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον ἡ διακονία τῆς δικαιοσύνης δόξα. Ἤ καὶ Δόξας, τὰς ἐκκλησιαστικὰς ἀρχάς φησιν, ἃς ἐβλασφήμουν· ὡς ἔστι καὶ ἀπὸ τῆς τρίτης Ἰωάννου τοῦ ἠγαπημένου Ἐπιστολῆς μαθεῖν. Ἐν οἷς φησι τὸν Διοτρεφῆ λόγοις πονηροῖς καταφλυαρεῖν αὐτῶν. Ἐπεὶ δὲ βλασφημίας ἐμνήσθη, σωφρονίζων οὐκ αὐτοὺς μόνους, ἀλλὰ καὶ πάντας ἀνθρώπους καθαρὰς ἔχειν τὰς γλώσσας τοῦ τοιούτου κακοῦ, καὶ μηδὲ κατὰ τῶν ἀξίων βλασφημίας τούτῳ κεχρῆσθαι, φησίν· « Ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, » καὶ ἑξῆς. Τί τοῦτο λέγων; Ὡς οὗτοι μὲν προχείρως καὶ ἀκρατῶς κέχρηνται κατὰ πάντων τῇ βλασφημίᾳ. Οὐ χρὴ δὲ τοῦτο, ὅπου γε οὐδὲ τοὺς ἀξίους βλασφημίας, δίκαιον βλασφημεῖν, ὡς δῆλον ἀπὸ τοῦ ἀρχαγγέλου Μιχαήλ. Παρὸν γὰρ αὐτῷ κρινομένῳ μετὰ τοῦ διαβόλου περὶ τοῦ Μωϋσέως σώματος βλασφημῆσαι τὸν διάβολον διὰ τὴν ἀναίδειαν αὐτοῦ, τοῦτο οὐκ ἐποίησεν, εἰ μὴ τὸ, Ἐπιτιμήσαι σοι μόνον ὁ Θεὸς, διάβολε, ἐπήνεγκεν αὐτῷ. Εἰ δὲ ὁ ἀρχάγγελος οὐδὲ ἀνδρὸς βλασφημουμένου ἤνεγκε, πῶς οὗτοι τὸν πάντων Θεὸν βλασφημεῖν ὅλως τολμῶσι; *Καὶ ἄλλως γράφεται·* Εἰ δὲ ὁ ἀρχάγγελος οὕτως, οὐκ ἐν δίκῃ ἂν ἀνδρὸς ἀδελφοῦ καὶ ὁμογενοῦς βλασφημίας συμπλέκοιμεν. Καὶ ταῦτα μὲν περὶ τούτων. Ἡ δὲ περὶ τοῦ Μωϋσέως σώματος κρίσις ἐστὶν αὕτη. Λέγεται τὸν Μιχαὴλ τὸν ἀρχάγγελον τῇ τοῦ Μωϋσέως ταφῇ δεδιηκονηκέναι. Τοῦ γὰρ διαβόλου τοῦτο μὴ καταδεχομένου, ἀλλ' ἐπιφέροντος ἔγκλημα διὰ τὸν τοῦ Αἰγυπτίου φόνον, ὡς αὐτοῦ ὄντος τοῦ Μωϋσέως, καὶ διὰ τοῦτο μὴ συγχωρεῖσθαι αὐτῷ τυχεῖν τῆς ἐντίμου ταφῆς. Ἢ καὶ διὰ τούτου τὸ πᾶσιν ἀνθρώποις ἐποφειλόμενον μετὰ τὴν ἀπὸ τοῦ σώματος ἔξοδον λογοθέσιον σημαίνειν βουλόμενος ὁ Ἀπόστολος, καὶ ὅτι αὐτὸς εἷς ὁ Παλαιᾶς καὶ Καινῆς Διαθήκης Θεὸς, τοῦτο προφέρει νῦν. Δεῖξαι γὰρ βουλόμενος ὁ Θεὸς τοῖς τότε παχύτερον διακειμένοις ἀνθρώποις διὰ τοῦ φανεροῦ τὸ ἀφανὲς, ὅτι μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν ταῖς ἡμετέραις ψυχαῖς ἀνθίσταται ὁ διάβολος μετὰ τῶν ἑαυτοῦ πονηρῶν δαιμόνων, ἐκκόψαι βουλόμενος τὴν ἐπὶ τὰ ἄνω πορείαν αὐτῶν (καὶ ὁ μὲν ἀνθίσταται, οἱ δὲ ἀγαθοὶ Θεοῦ ἄγγελοι συμμαχοῦσιν αὐταῖς, ὡς καὶ ὁ μακάριος Ἀντώνιος τεθέαται), ταῦτα τότε πραχθῆναι συνεχώρει. Πλὴν τὸν Μιχαὴλ τότε, τὸν διάβολον ἀποσοβῆσαι μὲν, μὴ μέντοι ἐξουσιαστικῶς ἐπιτιμῆσαι, ἀλλὰ τῷ *Κυρίῳ* τῶν ὅλων παραχωρῆσαι τὴν κρίσιν, καὶ εἰπεῖν· Ἐπιτιμήσαι σοι ὁ Θεὸς, διάβολε. « Οὗτοι δὲ ἃ οὐκ οἴδασι. » Ὁ μὲν Μιχαὴλ, φησὶν, οὕτως, οὐδὲ κατὰ ἀνδρὸς, ἤτοι τοῦ Μωϋσέως ἠνέσχετο βλασφημίας. Οὗτοι δὲ περὶ δογμάτων ἃ οὐκ οἴδασι, βλασφήμους συντιθέασι λόγους, ὅσα δὲ φυσικῇ ὁρμῇ ἀδιακρίτως, ὡς τὰ ἄλογα, ἐπίστανται ζῶα, ταῦτα μεταδιώκουσιν, ὡς ἵπποι θηλυμανεῖς ἢ χοῖροι.

A Lugdunensis in confutatione falso dictæ scientiæ, a quo is qui voluerit, intellectum accipiat. Aut dominationem spernunt, hoc est, perfectionem mysterii quod est secundum Christum : in ordine et vice mysteriorum angelicorum suas impudicitias perficientes. Δόξας autem, id est, splendores, dicit Vetus ac Novum Testamentum : quemadmodum Paulus ait : « Etenim si id quod aboletur per gloriam fuit, multo magis quod permanet, in gloria est [81]. » Et rursum : Nam si administratio condemnationis gloria, multo magis administratio justitiæ gloria. Aut etiam Splendores dicit ecclesiasticos principatus, in quos maledicta congerunt : quemadmodum discere licet etiam a tertia Joannis dilecti Epistola, inter quos ait esse Diotrephen, qui malignis B sermonibus adversus ipsos garriret. Quoniam autem maledictorum meminit, cohibens non ipsos solos, verumetiam universos homines, ut linguas habeant puras ab hujusmodi malo, et nec adversus illos qui maledicto digni sunt eo utantur ait : « Michael archangelus, » etc. Quid autem per hoc sibi vult ? **629** Quod hi quidem temere et intemperanter adversus omnes maledictis utantur. Id autem fieri non debet, cum ne eos quidem qui maledicto digni sunt æquum sit maledictis incessere, sicut ab archangelo Michaele manifestum est. Nam cum in controversia quæ inter ipsum et diabolum erat de Mosi corpore, data fuisset occasio ut eum maledicto impeteret propter illius impudentiam, non hoc fecit, sed id tantum in eum intulit : C Increpet te Deus, diabole. Quod si archangelus non tulit ut vir conviciis impeteretur, quomodo hi Dominum universorum omnino blasphemiis audent incessere? *Alio quoque modo scribitur :* Quod si ita se habuit archangelus, nequaquam in causa fratris viri ejusdem nobiscum conditionis blasphemias et maledicta congeramus. Et hæc quidem de his dicta sint. Porro de Mosi corpore hoc est judicium. Dicitur Michael archangelus ministerium præstitisse in sepeliendo Mose : id non ferebat diabolus, sed accusationem afferebat propter cædem Ægyptii, quasi Mosis ipsius esset [82] : et propterea non permittebat, ut ille honorificam consequeretur sepulturam. Aut etiam per hoc significare volens D Apostolus legem universis præfixam hominibus post exitum a corpore, et quod idem esset Deus Veteris ac Novi Testamenti, hoc nunc profert in medium. Cum enim Deus hominibus qui tunc crassius affecti erant, per manifesta vellet ostendere occulta : nempe quod adversus nostras animas, postquam hinc liberatæ sunt, insurgat diabolus cum suis malignis dæmonibus, impedire volens iter eorum ad superna (et ille quidem resistit, boni vero angeli Dei sunt ipsis auxilio : quemadmodum etiam vidit beatus Antonius) : hæc tunc fieri permittebat. Attamen Michael tunc ausus quidem fuit diabolum arcere, non tamen cum auctoritate increpare, sed universorum Domino concessit judicium, et ait : Increpet te Deus, diabole. « At isti quæ non no-

[81] II Cor. III, 11. [82] Exod. II.

verunt. » Michael quidem ita fecit, neque adversus virum sive Mosen tulit convicium : hi vero de dogmatis quæ non noverunt, maledicos componunt sermones : quæ vero naturali motu sive judicio, tanquam animantia rationis expertia noverunt, hæc prosequuntur tanquam equi insanientes in femellas, aut veluti porci.

630 CAPUT II.

Deploratio impiorum propter errorem et impietatem, ac lasciviam et blasphemiam, ac fucatam simulationem per largitionem, quo facilius decipiant.

11-13. *Væ illis, quoniam viam Cain ingressi sunt : et deceptione mercedis qua deceptus fuit Balaam effusi sunt : et contradictione Core perierunt. Hi sunt inter charitates vestras velut saxa maris simul convivantes absque timore, seipsos regentes, nubes aquam non habentes, quæ a ventis circumaguntur, arbores autumnales infrugiferæ, bis emortuæ et eradicatæ, undæ efferæ maris, despumantes sua ipsorum dedecora, stellæ erraticæ quibus caligo tenebrarum in æternum servata est.*

« Viam Cain : » hoc est, per fratris occisionem : nam et ipsi talia docentes fratres, sive ejusdem sortis homines, occiduut illos pravis doctrinis. Aut etiam semen absorbentes, fratrem in virtute interimunt, quem seminis fructificatio proferret in vitam. Viam autem Balaam, eo quod et ipsi sicut ille, lucri gratia hæc faciunt. Porro viam Core, quoniam et ipsi sicut ille, præceptoris officium, cum sint indigni, rapuerunt. « Hi sunt inter charitates vestras. » Erant adhuc tempore illo mensæ quæ in ecclesiis parabantur, de quibus et Paulus in Epistola ad Corinthios loquitur[83] : quas etiam ἀγάπας, id est, charitates sive dilectiones, appellabant. Ad has, inquit, concurrunt : non ob usum qui in illis habetur, sed ut occasionem inveniant inescandi animas instabiles : quemadmodum et Petrus dicit in secunda Epistola[84]. Quod autem dicit : Absque timore, aut cum præcedenti, Velut saxa maris simul convivantes, ordinandum est, ut sit hic sensus : Velut saxa maris simul convivantes, hoc est, cum nihil metuendum exspectant, cœnam una sumunt, repente tanquam saxa maris animarum perditionem ipsis inducentes. **631** Aut ad sequentem dictionem Regentes : hoc est, absque timore seipsos componentes, nihil veriti, inquit, judicium quod ipsis imminet, eo quod regere nesciant, sed cæci cæcos ducentes, et in foveam[85], juxta Domini verbum, una cum his qui reguntur incidentes. Marinis autem saxis ipsos comparat, et nubibus aqua carentibus, ac arboribus autumnalibus, undisque efferis, ac stellis erraticis. Nam quæ his natura conveniunt, hæc illi libera voluntate habent. Siquidem et saxa maris navigantibus perniciosa sunt, cum ex improviso occurrunt : sicut et ipsi his qui una convivantur imminent ut inopinatum malum. Et nubes aqua carentes quæ a ventis circumaguntur ad quæcunque loca pervenerint, non refrigeria ex imbre, quem non habet, sed caliginem ipsis inducunt. Similiter et hi salutari sermone

[83] I Cor. II. [84] II Petr. II. [85] Matth. XII, 11.

A

ΚΕΦΑΛ. Β'.

Ταλαιπωρία αὐτῶν ἐπὶ τῇ πλάνῃ καὶ ἀσεβείᾳ, καὶ ἀσελγείᾳ καὶ βλασφημίᾳ, καὶ ἐπιπλάστῳ ὑποκρίσει, τῇ εἰς ἀπάτην δωροδοκίᾳ.

Οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. Οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν, σπιλάδες, συνευωχούμενοι ἀφόβως, ἑαυτοὺς ποιμαίνοντες, νεφέλαι ἄνυδροι ὑπὸ ἀνέμων περιφερόμεναι, δένδρα φθινοπωρινὰ ἄκαρπα, δὶς ἀποθανόντα καὶ ἐκριζωθέντα, κύματα ἄγρια θαλάσσης ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας, ἀστέρες πλανῆται οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται.

« Ὁδῷ τοῦ Κάϊν. » Τουτέστι, διὰ τῆς ἀδελφοκτονίας. Καὶ γὰρ καὶ αὐτοὶ τοιαῦτα διδάσκοντες τοὺς ἀδελφοὺς, ἤτοι τοὺς ὁμογενεῖς ἀνθρώπους ἀποκτινύουσιν αὐτοὺς ταῖς πονηραῖς διδασκαλίαις. Ἢ καὶ σπερμοφαγοῦντες, τὸν δυνάμει ἀδελφὸν ἀποκτιννύουσιν, ὃν ἡ τοῦ σπέρματος τελεσφορία ἤνεγκεν ἂν εἰς βίον. Τῇ δὲ τοῦ Βαλαὰμ ὁδῷ, ὅτι κέρδους χάριν καὶ αὐτοὶ ὡς ἐκεῖνος ταῦτα πράσσουσι. Τῇ δὲ τοῦ Κορὲ, ὅτι καὶ αὐτοὶ ὡς ἐκεῖνος διδασκαλικὸν ἀξίωμα ἀνάξιοι ὄντες ἥρπασαν. « Οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν. » Ἦσαν ἔτι κατὰ τὸν χρόνον ἐκεῖνον ἐν ταῖς ἐκκλησίαις γινόμεναι τράπεζαι, ὡς καὶ Παῦλός φησιν ἐν τῇ πρὸς Κορινθίους. Ἃς καὶ ἀγάπας ἐκάλουν. Ἐν ταύταις, φησὶ, συνέρχονται, οὐ διὰ χρείαν τὴν ἐν ταύταις γινομένην, ἀλλ' ἵνα καιρὸν εὕρωσι, ψυχὰς ἀστηρίκτους δελεάζειν, ὡς καὶ Πέτρος φησὶν ἐν τῇ δευτέρᾳ ἐπιστολῇ. Τὸ δὲ, Ἀφόβως ἑαυτοὺς ποιμαίνοντες, ἤτοι πρὸς τὸ σπιλῶδες συντακτέον, ἵνα ᾖ τὸ νόημα οὕτως· Σπιλάδες ἀφόβως συνευωχούμενοι, τουτέστι, μηδένα φόβον τοῖς συνδείπνοις προσδοκῶσιν, ἐξαίφνης ὥσπερ σπιλάδες ἐπάγοντες αὐτοῖς τὸν ὄλεθρον τῶν ψυχῶν. Ἢ πρὸς τὸ, ποιμαίνοντες, τὸ, ἀφόβως ἑαυτοὺς συντάττοντες. Οὐ δεδιότες, φησὶ, τὸ ἀπὸ τοῦ μὴ ἐπίστασθαι ποιμαίνειν κρῖμα, ἀλλὰ τυφλοὶ τυφλοὺς ὁδηγοῦντες, καὶ εἰς βόθυνον, τὸ τοῦ Κυρίου ἐρεῖν, μετὰ τῶν ποιμαινομένων ἐμπίπτοντες. Σπιλάσι δὲ αὐτοὺς παρεικάζει, καὶ ἀνύδροις νεφέλαις, καὶ δένδροις φθινοπωρινοῖς, καὶ κύμασιν ἀγρίοις, καὶ ἄστροις πλανήταις. Ἃ γὰρ ἐκείνοις ὑπάρχει κατὰ φύσιν, ταῦτα τούτοις κατὰ προαίρεσιν. Αἵ τε γὰρ σπιλάδες τοῖς πλέουσιν ὀλέθριοι, ἀπροσδοκήτως ἐπιγινόμεναι, ὡς καὶ αὐτοὶ τοῖς συνδείπνοις ἀνέλπιστον κακὸν ἐπιφύονται. Αἵ τε ἄνυδροι νεφέλαι ὑπὸ ἀνέμων ἐλαυνόμεναι, οἷς ἂν τόποις ἐπενεχθῶσιν, οὐκ ἀναψύχουσι τῷ ὄμβρῳ (οὐ γὰρ ἔχουσιν), ἀλλὰ ζόφον αὐτοῖς ἀπεργάζονται. Ὡσαύτως καὶ οὗτοι, οὐ λόγῳ σωτηριώδει τὰς ψυχὰς ἄρδουσι τῶν ἐντυγχανόντων, ἀλλὰ ζοφοῦσι ταῖς μιαρωτάταις αὐτῶν εἰσηγήσεσιν, ἐλαυνόμενοι τοῖς τῶν δαιμόνων πονηροῖς ἐπιτη-

δεύμασιν. Ἀλλὰ καὶ τὰ φθινοπωρινὰ δένδρα δὶς ἀποθνήσκοντα, ἔν τε τῇ τοῦ καρποῦ αὐτῶν ἀποβολῇ, καὶ ἐν τῇ τῶν φύλλων ἀπορροῇ (ξηρὰ γὰρ δοκεῖ τότε τοῦ κάλλους ἐστερημένα, τῆς ἀπό τε τοῦ καρποῦ ἀγλαΐας, καὶ τῆς τῶν φύλλων ἀνθηρᾶς εὐπρεπείας), αὐτοῖς τι κατάλληλον πάσχει. Διὶς γὰρ καὶ οὗτοι ἀποβαλλόμενοι διὰ τῆς σπερμοφαγίας, καὶ τὴν ἀπὸ τῆς σώφρονος πολιτείας εὐκοσμίαν σφαιρούμενοι. Διὸ καὶ ἐκριζοῦνται ἀπὸ τοῦ παραδείσου τοῦ Κυρίου τῆς Ἐκκλησίας. Καὶ ἔξω ῥιπτούμενοι τούτου, συλλέγονται τῷ αἰωνίῳ πυρί. Ποίαν γὰρ ἕξει στάσιν ἢ ῥίζαν ὁ διὰ τὸν τῆς ἡδονῆς συρφετὸν ὑπὸ πάντων βαλλόμενος; Ἀστέρες δὲ πλανῆται χρηματίζουσι καὶ αὐτοί, οὐχ ὅτι τῷ τῆς πίστεως ἡμῶν στερεώματι μεταπρέποντες, τὸν τῆς δικαιοσύνης ἥλιον Χριστὸν ἔχουσι δι' αὐτῶν προερχόμενον, καὶ τὰς τῶν ἀρετῶν ὥρας ἀποτελοῦντα, καὶ ζωογονοῦντα τοὺς κατὰ ταύτας τεταγμένους πιστοὺς, ἀλλ' ὅτι δοκοῦντες εἰς ἄγγελον φωτὸς μετασχηματίζεσθαι, ὡς ὁ προκατάρχων αὐτῶν πονηρὸς δαίμων, ἀπεναντίας μόνον τῶν τοῦ Κυρίου φέροντει δογμάτων, οἷς καὶ ζοφοῦσι τοὺς προσπελάζοντας, καὶ ζόφον τὸν αἰώνιον ἑαυτοῖς ἐκπορίζονται. Ἀλλὰ καὶ κύμασιν ἀγρίοις παρεικασθέντες, τὴν πρὸς αὐτὰ ὁμοιότητα οὐκ ἀναίνονται. Μανικῶς γὰρ καὶ αὐτοὶ καὶ ἀκατασχέτως ταῖς κατὰ τοῦ Θεοῦ βλασφημίαις, ἐλαυνόμενοι ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων, ἐπαφρίζουσι τὰς ἑαυτῶν αἰσχύνας, εἰς ἀφρὸν ἀποτελευτῶντες μετὰ τὸν κόμπον τῆς βλασφημίας, ἐκ τῆς τοῦ βίου αὐτῶν ἀνυποστάτου καὶ εὐδιαλύτου αἰσχρότητος. Τοιοῦτος γὰρ ὁ πρὸς ὃν παρεικάσθησαν ἀφροὶ τῶν κυμάτων.

non irrigant animas eorum quos assequuntur, sed obscurant potius scelestissimis suis doctrinis, vecti pravis dæmonum institutis. Sed et arbores autumnales sunt bis mortuæ, nempe et fructus sui amissione et foliorum defluxu. Tunc enim aridæ videntur, pulchritudine privatæ, sive venustate quæ fructum sequebatur, et jucundo foliorum ornatu. His consentaneum est quod istis contingit : nam et ipsi bis moriuntur, suum fructum abjicientes seminis absorptione, et castæ conversationis ornatu sese privantes. Ideo quoque a paradiso Ecclesiæ Domini eradicantur, et extra ipsam projecti, colliguntur ad ignem æternum. Quem enim statum aut radicem habebit, qui propter facem voluptatum ab omnibus abjicitur? Porro stellæ erraticæ sive planetæ appellantur et ipsi : non quod firmamentum fidei nostræ exornantes, Christum justitiæ solem habeant per ipsos procedentem, et virtutum horas perficientes, ac fideles qui juxta ipsas ordinarentur vivificantem, sed quod videantur in angelum lucis transformari : quemadmodum et malignus dæmon qui ipsis prædominatur : id solum habentes quod contrariis dogmatis ferantur ad Domini dogmata, per quæ et illis qui appropinquant tenebras offundunt, et sibi ipsis caliginem æternam conciliant. Sed et undis efferis comparati, similitudinem cum ipsis non reliciunt. **632** Nam blasphemiis adversus Deum insane et effrene feruntur ventis malitiæ, despumantes suas impudentias, in spumam desinentes post fastum blasphemiæ, ex intolerabili et caduca sua vita ac turpitudine quæ facile dissolvitur. Hujusmodi namque est spuma undarum, cui comparati sunt.

Προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ Ἐνὼχ, λέγων, Ἰδοὺ ἦλθε Κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάντων καὶ ἐξελέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν, ὧν ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν, ὧν ἐλάλησαν κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς. Οὗτοί εἰσι γογγυσταί, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι. Καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν.

14-19. *Prophetavit autem et his septimus ab Adam Enoch, dicens : Ecce venit Dominus cum sanctis millibus suis, ut faciat judicium adversus omnes et redarguat omnes qui inter ipsos sunt impiis de factis omnibus quæ impie patrarunt, deque omnibus duris quæ locuti sunt adversus eum peccatores impii. Hi sunt murmuratores, cavillatores, juxta concupiscentias suas ambulantes : et os illorum loquitur tumida, admirantes personas utilitatis gratia.*

Ταῦτα εἰπὼν, ἐπιφέρει καὶ τὸν Ἐνὼχ τὴν ἀποκειμένην αὐτοῖς προφητεύοντα ὑπὸ τοῦ Θεοῦ κάκωσιν ἐν τῇ ἐσχάτῃ δηλονότι τοῦ Θεοῦ δικαιοκρισίᾳ. « Καὶ ἐξελέγξαι πάντας τοὺς ἀσεβεῖς. » Ἀσεβὴς ἁμαρτωλοῦ διαφέρει, καθὸ ὁ μὲν ἀσεβὴς περὶ Θεὸν ἔχει τὸ πλημμελὲς, ὁ δὲ ἁμαρτωλὸς περὶ τὰ κατὰ τὸν βίον πραττόμενα, τοῦ τῆς δικαιοσύνης σκοποῦ τὸ ἀστόχημα. Μετὰ δὲ ταῦτα ἀφέμενος τούτων τῶν ἀσελγῶν ὁμοιώματος, ἤδη καὶ εἰς αὐτόχρημα τῆς κατ' αὐτῶν ἐνδείξεως χωρεῖ, γογγυστὰς αὐτοὺς καὶ μεμψιμοίρους καλῶν. Ἔστι δὲ γογγυστὴς μὲν, ὁ ὑπ' ὀδόντα καὶ ἀπαρρησιάστως τῷ δυσαρεστουμένῳ ἐπιμεμφόμενος. Μεμψίμοιρος δὲ ὁ πάντα καὶ ἀεὶ σκώπτειν ἀπιτηδεύων. Γογγυσταὶ δὲ καὶ μεμψί-

Iis dictis subjungit et Enoch, qui antea vaticinatus est repositum ipsis a Deo supplicium, in postremo videlicet Dei judicio. « Qui inter ipsos sunt impii. » Impius a peccatore differt, in eo quod impius peccatum habet circa Deum, peccator vero circa ea quæ aguntur in vitæ conversatione a justitiæ scopo aberrat. Post hæc autem ab horum impiorum assimilatione absolutus, jam tem quoque ipsam aggreditur, accusans ipsorum vitia, vocansque eos murmuratores ac cavillatores. Est autem proprie γογγυστής, qui sub dentibus et apud se indignatur offendenti : μεμψίμοιρος vero, qui semper studet omnes cavillari et dicteriis lacessere. Porro hi murmuratores ac cavillatores sec-

[86] I Petr. III. I Tim. IV.

lesti sunt, inquit, cum libere et palam non possint sua doctrina uti propter fœditatem : non enim careret periculo publicare impudicitiam juncta impietate ac blasphemia. Cavillatores vero ut qui ea quæ sunt aliorum, imo quæ veritatis sunt calumniantur, quo videlicet sua mala suasque lascivias stabiliant. Quod autem de Balaam dixit, quod hi quoque sicut illi mercede effusi sint, manifestius nunc dicit quod personas admirentur utilitatis gratia. Admirari quidem dicens, assentari principibus, utilitatem vero lucrum.

μοιροι οὗτοι οἱ μιαροὶ, φησίν. Οὐ γὰρ ἔχουσι παῤῥησίαν τῇ διδασκαλίᾳ ἑαυτῶν δι' αἰσχρότητα χρήσασθαι. Οὐ γὰρ ἀκίνδυνον δημοσιεύειν τὴν μετὰ ἀσεβείας καὶ βλασφημίας ἀσέλγειαν. Μεμψίμοιροι δὲ, ὡς τὰ τῶν ἄλλων καὶ τὰ τῆς ἀληθείας διαβάλλοντες, ἵνα τὰ οἰκεῖα κακὰ δῆθεν καὶ ἀσελγήματα στήσωσιν. Ὅπερ δὲ περὶ τοῦ Βαλαὰμ εἴρηκεν, ὅτι μισθοῦ καὶ οὗτοι ὡς ἐκεῖνος ἐξεχύθησαν, νῦν σαφέστερόν φησιν, ὅτι πρόσωπα θαυμάζουσιν ὠφελείας χάριν, θαυμάζειν μὲν, τὸ κολακικῶς αὐτοὺς χρῆσθαι τοῖς ἐν τέλει λέγων, ὠφέλειαν δὲ τὸ κέρδος.

CAPUT III.

ΚΕΦΑΛ. Γ'.

633 *De firmitate in fide eorum ad quos scribit : quodque compatiendum et parcendum sit proximo ob salutem quæ est in sanctificatione : et de fiducia pura cum* δοξολογίᾳ *(id est glorificatione) Christi.*

Περὶ ἀσφαλείας αὐτῶν ἐπὶ τῇ πίστει, συμπαθείας τε καὶ φειδοῦς εἰς τὸν πλησίον ἐπὶ σωτηρίᾳ ἐν ἁγιασμῷ. Εὐχὴ αὐτῶν εἰς ἁγιασμὸν, καὶ παῤῥησία καθαρὰ σὺν δοξολογίᾳ Χριστοῦ.

20-25. *Vos autem, dilecti, meministis verborum quæ prædicta fuerunt ab apostolis Domini nostri Jesu Christi, quod dixerint vobis in extremo tempore futuros illusores qui juxta suas impias cupiditates ambularent. Hi sunt qui segregant, animales spiritum non habentes. Vos autem, dilecti, sanctissimæ vestræ fidei superstruentes vosipsos per Spiritum sanctum orantes, vosipsos in charitate Dei servate, exspectantes misericordiam Domini nostri Jesu Christi in vitam æternam. Et hos quidem commiseremini discernentes ; illos autem per timorem salvos facite, ex incendio rapientes, odio persequentes etiam eam quæ in carne est maculatam tunicam. Ei vero qui potest illos servare a peccato immunes, et statuere in conspectu gloriæ suæ incontaminatos cum exsultatione, soli sapienti Deo Salvatori nostro gloria, et magnificentia, et imperium et potestas nunc et in omnia sæcula. Amen.*

Ὑμεῖς δὲ, ἀγαπητοὶ, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ἔλεγον ὑμῖν, ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες ψυχικοί, πνεῦμα μὴ ἔχοντες. Ὑμεῖς δὲ ἀγαπητοὶ, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτοὺς ἐν Πνεύματι ἁγίῳ προσευχόμενοι, ἑαυτοὺς ἐν ἀγάπῃ Θεοῦ τηρήσατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ζωὴν αἰώνιον. Καὶ οὓς μὲν ἐλεεῖτε διακρινόμενοι, οὓς δὲ ἐν φόβῳ σώζετε, ἐκ πυρὸς ἁρπάζοντες, μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα. Τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς ἀπταίστους, καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει, μόνῳ σοφῷ Θεῷ Σωτῆρι ἡμῶν, δόξα καὶ μεγαλωσύνη, κράτος καὶ ἐξουσία, νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας. Ἀμήν.

« Meministis verborum quæ prædicta fuerunt ab apostolis. » Nempe a Petro in secunda Epistola, et a Paulo in singulis ferme Epistolis. Ex hoc autem manifestum est quod extremo tempore hæc scripserit, cum jam cursum suum perfecissent apostoli. « Hi sunt qui segregant. » Ecce aliud crimen scelestissimorum istorum hominum. Neque enim ipsi soli pereunt, inquit, verumetiam Ecclesiæ alumnos deprædantur : Nam hoc sibi vult significare ἀποδιορίζειν, id est segregare, **634** hoc est, extra terminos ecclesiasticos facere, sive extra fidem, sive etiam ipsum sacrum Ecclesiæ tabernaculum. Nam speluncas latronum exhibentes suas synagogas, abducunt. Hoc autem faciunt cum sint animales homines, hoc est, juxta mundi circonvolutionem et vulgarem usum viventes. Jam enim diximus quod vitam solet frequenter animam appellare Scriptura : quemadmodum in Job : « Quæcunque habet homo dabit pro anima sua. [87] » sive pro vita sua : et in illis quos Paulus dicit, Cum animales essent, non posse suscipere quæ erant spiritus Dei. (Nam ψυχικός, id est, animalis, dicitur a ψυχή, id est, anima,) Cum ergo animales es-

« Μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων, » τῶν ὑπὸ Πέτρου ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ, καὶ ὑπὸ Παύλου ἐν πάσῃ σχεδὸν Ἐπιστολῇ. Ἐκ τούτου δὲ δῆλον, ὅτι ἔσχατον μετὰ τὸ παρελθεῖν τοὺς ἀποστόλους ἔγραφε ταῦτα. « Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες. » Ἰδοὺ ἕτερον ἔγκλημα τῶν μιαρωτάτων τούτων ἀνθρώπων. Οὐ γὰρ αὐτοὶ μόνοι, φησὶν ἀπόλλυνται, ἀλλὰ καὶ τοὺς τῆς Ἐκκλησίας ἀποσυλῶσι τροφίμους, (τοῦτο γὰρ τὸ ἀποδιορίζοντες, βούλεται αὐτῷ σημαίνειν), τουτέστιν, ἔξω τῶν ἐκκλησιαστικῶν ὅρων ποιοῦντες, ἤτοι τῶν τῆς πίστεως, ἢ καὶ αὐτοῦ τοῦ ἱεροῦ τῆς Ἐκκλησίας σκηνώματος. Σπήλαια γὰρ λῃστῶν τὰς ἑαυτῶν συναγωγὰς ἀποδείξαντες, ἀπὸ μὲν τῆς Ἐκκλησίας ἀπάγουσιν, ἑαυτοῖς δὲ προσάγουσι. Ποιοῦσι δὲ τοῦτο, ψυχικοὶ ἄνθρωποι ὄντες, τουτέστι, κατὰ τὴν τοῦ κόσμου συμπεριφορὰν ζῶντες. Εἴπομεν γὰρ ἤδη, ὅτι ψυχὴν πολλάκις καὶ τὴν ζωὴν εἴωθε καλεῖν ἡ θεία Γραφὴ, ὡς ἐν Ἰὼβ· « Πάντα ὅσα ἔχει ἄνθρωπος, δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ, » εἴτουν τῆς ζωῆς αὐτοῦ. Οὓς καὶ Παῦλός φησι ψυχικοὺς ὄντας, μὴ δύνασθαι δέχεσθαι τὰ τοῦ πνεύματος τοῦ Θεοῦ. Ψυχικοὶ τοίνυν ὄντες, καὶ ψυχικῇ χρῶνται διδασκα-

[87] Job. I, 4.

λία, περὶ ἧς εἴρηται· Οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν ἀπὸ τοῦ Πατρὸς τῶν φώτων καταβαίνουσα, ἀλλ' ἐπίγειος, δαιμονιώδης, πνεῦμα μὴ ἔχουσα θεῖον λαλοῦν. « Ὑμεῖς δέ, ἀγαπητοί. » Ἐκεῖνοι μὲν οὖν οὕτως φησίν, ὑμεῖς δὲ τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες, ἤτοι ἑαυτοὺς ἀνακτώμενοι ἐν Πνεύματι ἁγίῳ, τουτέστι, κατὰ τὴν τοῦ ἁγίου Πνεύματος διδασκαλίαν τὰς ἑαυτῶν ἀθροίσεις ἐν ταῖς προσευχαῖς ὑμῶν ποιούμενοι. « Ἑαυτοὺς ἐν ἀγάπῃ Θεοῦ τηρήσατε, » τουτέστιν, ἑαυτοὺς διαφυλάττετε, τὸν ἀπὸ τοῦ Κυρίου προσδεχόμενοι ἔλεον, τὸν εἰς τὴν ἐσχάτην ἡμέραν τῆς αἰωνίου ζωῆς βραβευόμενον ὑμῖν. Κἀκείνους δέ, εἰ μὲν ἀποδίστανται ὑμῶν, (τοῦτο γὰρ σημαίνει τὸ, Διακρίνεσθαι), ἐλέγχετε, τουτέστι, φανεροῦτε τοῖς πᾶσι τὴν ἀσέβειαν αὐτῶν. Εἰ δὲ πρὸς ἴασιν ἀφορῶσι, μὴ ἀπωθεῖσθε, ἀλλὰ τῷ τῆς ἀγάπης ὑμῶν ἐλέει προσλαμβάνεσθε, σώζοντες ἐκ τοῦ ἠπειλημένου αὐτοῖς πυρός. Προσλαμβάνεσθε δὲ μετὰ τοῦ ἐλεῖν αὐτοὺς καὶ μετὰ φόβου, περισκεπτόμενοι μή πως ἡ πρόσληψις τούτων, ἀμελῶς ὑμῶν τὰ πρὸς αὐτοὺς διακειμένων, λύμης ὑμῖν γένηται αἰτία, τῶν ἤδη ἐστηριγμένων κλεπτομένων ὑπ' αὐτῶν εἰς τὴν αὐτὴν τῆς ἀσεβείας αὐτῶν ἀνάχυσιν. Εὐζήλωτον γὰρ ἡ κακία. Ἔστω οὖν ἡ πρόσληψις αὐτῶν, φησίν. Ἀλλὰ μετὰ φόβου προσίεσθε αὐτούς, ἤτοι μετὰ περισκέψεως, καὶ τῷ ἐλέει τῷ πρὸς αὐτοὺς συνεπέσθω τὸ μῖσος, τὸ πρὸς τὰ μιαρὰ αὐτῶν ἔργα, μισούντων ὑμῶν καὶ βδελυσσομένων, καὶ τὸν ἀπὸ τῆς σαρκὸς αὐτῶν ἐσπιλωμένον, ἤτοι μεμιαμμένον αὐτῶν χιτῶνα, ὡς τῇ πρὸς τὴν αὐτῶν σάρκα προσψαύσει, καὶ αὐτοῦ βδελυροῦ χρηματίζοντος. Ἢ προσλαμβάνοντες αὐτοὺς τῷ φόβῳ τῆς μελλούσης κολάσεως, φησὶ, ἐλέους ἐξίους ὁρᾶσθαι, μετανοοῦντας παρασκευάζετε. Ταῦτα εἰπὼν, εὐχῇ λοιπὸν ἐπισφραγίζει τὴν Ἐπιστολήν.

Τέλος, σὺν Θεῷ, τῆς Ἰούδα Καθολικῆς Ἐπιστολῆς.

A sent, et animali uterentur doctrina (de qua dictum est : Non est hæc sapientia e supernis descendens a Patre luminum, sed terrena, animalis, diabolica), spiritum non habebant qui divina loqueretur. « Vos autem, dilecti. » Illi itaque taliter se habent, inquit ; vos autem, sanctissimæ vestræ fidei superstruentes vosipsos, sive reformantes per Spiritum sanctum : hoc est, juxta Spiritus sancti doctrinam congregationes vestras in precationibus vestris facientes. « Vosipsos in charitate Dei servate : » hoc est, vosipsos custodite, suscipientes a Domino misericordiam, conciliantes vobis ad extremum diem vitam æternam ; illos vero si vobis resistant (nam id significat Disceptantes) arguite : hoc est, manifestate omnibus impietatem ipsorum : si vero B ad sanitatem respiciant, ne repellatis : sed misericordia charitatis vestræ assumite, servantes ab igne quem illis comminatus est Deus. Ipsos autem assumite cum commiseratione simul et timore : prospicientes ne quo modo horum assumptio, dum oscitantes affecti estis in his quæ ipsorum sunt, perniciei vobis causa fiat, si jam confirmati corripimini ab ipsis in eamdem confusionem. Facile enim imitantur homines vitium. Sit ergo eorum assumptio, inquit, sed cum timore ad ipsos accedite, sive cum circumspectione, et commiserationem ad ipsos sequatur odium adversus impia eorum facta, dum odio prosequimini ac detestamini **635** a carne quoque ipsorum commaculatam sive C conspurcatam tunicam, tanquam ex contractu ad carnem ipsorum ipsa etiam exsecratione appellationem sumente. Aut assumentes eos, timore futuri supplicii præparate resipiscentes, ut misericordia digni videantur. His dictis precatione ac voto postmodum obsignat Epistolam.

Finis, divino favente auxilio, Judæ Epistolæ catholicæ.

MONITUM.

Sequens opusculum edidit P. Bern. Montefalconius in *Biblioth. Coislin.* p. 277. Ex eo innotescit quam sedem tenuerit Œcumenius, quod antea ignorabatur. « Cæterum, inquit vir doctissimus, stylo tam perplexo scriptum est, vix ut intelligi possit. Aliquot etiam in locis vitiatum videtur. Ipsum tamen pro facultate mea Latine interpretari studui. »

—

Ἐκ τῶν Οἰκουμενίῳ τῷ μακαρίῳ ἐπισκόπῳ Τρίκκης Θεσσαλίας θεοφιλῶς πεποιημένων εἰς τὴν Ἀποκάλυψιν Ἰωάννου τοῦ Θεολόγου, σύνοψις σχολικὴ μετὰ τῆς δεούσης ὅσον κατὰ σύνοψιν ἀπεριλιποῦς αὐταρκείας. Χριστὲ ὁ Θεός, σύμπραξον ἡμῖν.

D *Ex iis quæ beatus Œcumenius episcopus Triccæ in Thessalia in Apocalypsin Joannis Theologi edidit, synopsis non ita compendiosa, ubi sufficienter omnia enuntiantur quantum licet in synopsi. Christe Deus, auxiliare nobis.*

Ὅτι καὶ τοῦτο τὸ σύγγραμμα, μύησις τῆς ἀπὸ τοῦ ἐπὶ τὸ στῆθος ἀνακλίσεως (*l* ἀνακλίσεως) τῆς

Hunc librum esse dilecti supra pectus divinæ Sapientiæ recumbentis mysticam institutionem,

utpote divinitus inspiratum et utilem, inelu- A ὑπερθέου σοφίας τοῦ ἠγαπημένου, ἅτε θεόπνευστον
ctabiliter evincitur : non autem ex numero spu- ὂν καὶ ὠφέλιμον, ἀναμφιλόγως κατείληπται· ἀλλ'
riorum, ut quidam erroris spiritu concitati nu- οὐ τῶν νόθων, ὥς τινες πλάνῳ συγκροτούμενοι πνεύ-
gaciter effutierunt, sed contra genuinum et filio ματι ἐληρώδησαν, εἰ μὴ καὶ γνήσιον, καὶ τοῦ τῆς
tonitrui dignum. Si quidem credendum sit Atha- βροντῆς ἐπάξιον υἱοῦ, εἴ γε πιστέον (sic) Ἀθανασίῳ
nasio maximo in Expositione librorum Veteris et τῷ παμμεγίστῳ ἐν τῇ Ἐκθέσει τῶν κανονιζομένων
Novi Testamenti in Canone locum habentium, qui τῆς Παλαιᾶς τε καὶ Νέας βιβλίων, τοῖς γνησίοις καὶ
hunc germanis Scripturæ libris annumerat ; atque τοῦτο ἐγκρίνοντι· ἀλλὰ καὶ Βασιλείῳ τῷ θείῳ
etiam divino Basilio in compendiaria Quæstione τοῦτο ἐν τῇ περὶ Υἱοῦ συζητήσει συντόμῳ ἔδοξε,
de Filio idipsum visum est : itemque Gregorio καὶ Γρηγορίῳ τῷ θείῳ τὸν λόγον ἐν τῷ συντα-
divinæ eloquentiæ viro in libro ejus syntaxis more κτηρίῳ αὐτοῦ λόγῳ, καὶ Μεθοδίῳ τῷ σοφωτάτῳ
adornato, et Methodio sapientissimo Patarorum ἐπισκόπῳ Πατάρων ἐν τῷ περὶ ἀναστάσεως, Κυ-
episcopo in sermone de Resurrectione ; Cyrillo ρίλλῳ τε τῷ μεγάλῳ ἐν τοῖς περὶ τῆς ἐν πνεύματι
quoque magno in operibus suis de adoratione et προσκυνήσεως καὶ λατρείας αὐτοῦ πόνοις, πρὸς τού-
cultu in spiritu, præter hos Hippolyto Romæ præ- τοις καὶ Ἱππολύτῳ τῷ Ῥώμης προέδρῳ ἐν τῇ τοῦ B
suli in Expositione in Danielem, aliisque multis, εἰς τὸν Δανιὴλ ἑρμηνείᾳ λόγου, καὶ ἄλλοις δὲ πολ-
ne longiores simus : quibus sane non visum est λοῖς, ἵνα μὴ μακρολογῶμεν· οἷς εἰς νόθον καὶ ἀπόβλη-
hunc librum quasi spurium et abjiciendum res- τον οὐκ ἔδοξεν ἀπερρίφθαι, εἰ μὴ γνήσιον κριθῆναι.
puere, sed genuinum esse statuere. Neque vero Οὐκ ἂν τοιούτοις καὶ τοσούτοις ἀκριβασταῖς τοῦτο δο-
tantis talibusque viris ejusmodi sententia fuisset, κοῦν, εἰ μὴ τὸ μέτριον αὐτῷ ἤδεσαν σπουδαζόμενον. Εἰ
nisi ipsum omnibus modis et numeris absolutum γὰρ μὴ τοῦτο, μηδὲ τὸ ἔντριτον σπαρτίον κατὰ τὸν
esse scivissent. Nam si id non ita se haberet, verum ἐκκλησιάζοντα Σολομῶντα, « Ἄῤῥηκτον μένον (1),
sane non esset quod ait in Ecclesiaste Salomon : οὐ ταχέως διαῤῥαγήσεται. » Πολλῷ ἂν τὸ ἑξάπλοκον.
« Funiculum triplicem infractum manere, nec Διὰ τῆς Ἀποκαλύψεως οὖν ταύτης δείκνυσιν ὁ Χρι-
facile rumpi [68-69]. » Quanto autem magis funiculus στοῦ μαθητὴς, ὡς καὶ τὸ προφητικὸν καταπλουτεῖ
sextuplex (non rumpetur). Per hanc itaque Apo- χάρισμα· εἴπερ τῶν ἐνεστώτων καὶ τῶν παρῳχη-
calypsin ostendit Christi Discipulus se prophetica μένων τε καὶ μελλόντων γνῶσιν τὸ μετὰ χεῖρας
gratia ditatum esse; siquidem hic liber præsen- σύγγραμμα θησαυρίζει, ὧν καὶ πᾶσα ἐγκύμων
tium, præteritorum et futurorum notitiam seu προφητεία, ὃ καὶ τοῖς παρ' ἡμῖν θυραυλοῦσιν ἐν λόγῳ
thesaurum continet, quibus omnis prophetia C σοφοῖς. Ἐπεὶ δέ τινες αὐθαδίσαντο, ᾗ καὶ προλέλε-
repleta est : quod pro iis dictum sit apud nos κται νοθείας ἐγκλήματι τὸ θεοτελὲς τοῦτο χρησμ-
sapientibus, qui scientiam vix a limine salutarunt. ῴδημα ἀχρειοῦν· παρ' ὅσον ὁ θεόληπτος οὗτος τοῦ
Quia vero nonnulli eo audaciæ proruperunt, ut Λόγου Πατὴρ εἰωθὼς αὐτῷ θεολογίᾳ σεμνύνειν τῶν
dictum est, ut divinum hoc oraculum quasi spurium θεοπρεπῶν αὐτοῦ τόκων τὴν ἐκ βαλβίδος αὐτῶν ὡς
accusarent ; quia scilicet cum divinus hic Verbi ἂν εἴποι τις πρόοδον, οὐ νῦν τοῦτο ποιεῖ· περὶ δὲ
Pater libros suos divinos a principio theologia τὸ καθ' ἡμᾶς πρόσλημμα διὰ φιλανθρωπίαν ἄφατον
ornare soleat, id in hoc libro non præstat ; sed τὴν περὶ ἡμᾶς τὸ προοίμιον προσευκαιρεῖ· ἀναγκαῖον
tempori se accommodans, de assumpta natura no- ἐκεῖνο ἐρεῖν, ὡς ἀδιάφορον εἰδὼς τὸ περὶ τὸ ἓν καὶ
stra quam amore nostrum ineffabili accepit, proœ- τὸ αὐτὸ ὑπάρξαν τῇ ἀποῤῥήτῳ ἑνώσει τῶν συνελθό-
mium concinnat : necesseque est dicere ipsum, cum ντων, ὅπως οὖν ἑκατέρως χρῆσθαι, εἴτ' ἀπὸ τῶν
probe sciret indifferens esse argumentum, cum de θειοτέρων τοῦ Σωτῆρος Χριστοῦ ἀρξάμενον, ἢ ἀπὸ
uno eodemque agitur per unionem ineffabilem con- τῶν ἀνθρωποπρεπῶν. Ἐν τοῖς πρώτοις αὐτοῦ γράμ-
currentium naturarum, utroque modo usum esse, μασιν ἀπὸ τῶν θεοπρεπεστέρων ἀρξάμενος, ἐπὶ τὰ
ita ut vel a divinitate Salvatoris Christi inciperet, ἀνθρώπινα χωρεῖν οὐκ ἠνήνατο, ἀφ' ὧν φάσκει·
vel ab humanis ejus attributis. Cumque in priori- D « Καὶ ὁ Λόγος σὰρξ ἐγένετο· » ἐν τῷ μετὰ χεῖρας
bus scriptis suis a divinioribus cœperit, ad humana αὖθις συγγράμματι ἀπὸ τῶν ἀνθρωποπρεπῶν ἀρ-
procedere non dedignatus est, quando dicit : « Et ξάμενος, ὡς ἂν μὴ δόξαι ἀπὸ τῶν θειοτέρων μόνων
Verbum caro factum est [69] : » in præsenti quoque αὐτὸν γινώσκειν, οὐ μέντοι καὶ ἀπὸ τῶν ἀνθρωπίνων,
libro ab humanis orsus, ne videretur ipsum a οὐκ ἠνέσχετο τοῖς ἀνθρωποπρεπέσιν ἐπαναπαῦσαι τὸν
divinis duntaxat cognoscere, non autem ab huma- λόγον· ἀλλὰ κἀν τούτοις τὰ θεοπρεπέστερα προσνέ-
nis, noluit tamen in humanis sermonem sisti ; μειν οὐ κατοκνεῖ, δι' ὧν καὶ τῷ ἀνθρωπίνῳ τοῦ Κυ-
sed in his divina etiam tradere non omittit, per ρίου τὰ ὑπὲρ ἄνθρωπον ἐνθεωρεῖσθαι βούλεται. Ὃς
quæ vult ut ex humanitate Domini ea quæ supra καὶ Παύλῳ τῷ θείῳ σκοπὸς ἐν τῇ πρὸς Κολασσαεῖς
hominem sunt speculemur. Quem etiam scopum Ἐπιστολῇ· « Ἐν αὐτῷ, περὶ τοῦ Χριστοῦ φάσκοντι,
habuit divinus Paulus in Epistola ad Colos- ἐκτίσθη τὰ πάντα, τά τε ἐν οὐρανῷ καὶ τὰ ἐπὶ γῆς·

[68-69] Eccle. IV, 12. [69] Joan. I, 14.

(1) Vitium suspicor.

πάντα δι' αὐτοῦ ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν, καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας, ὃς ἐστιν ἀπαρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν· ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων. » Ἡ προσληφθεῖσα γὰρ αὐτοῦ σὰρξ ἐψυχωμένη νοερῶς, ἵν' ἐκ δύο φύσεων ἀσυγχύτως νοοῖτο ὁ Ἐμμανουὴλ συνημμένων θεότητι καὶ ἀνθρωπότητι, τελείως ἐχούσης ἑκατέρας κατὰ τὸν οἰκεῖον λόγον καὶ τὴν κατὰ ποιότητα φυσικὴν ἰδιότητα καὶ διαφοράν, οὐ συγχυθέντων, οὐκ ἀλλοιωθέντων τῶν συνδεδραμηκότων, οὐδ' αὖ διαιρουμένων τῇ ὁλοκληρίᾳ τῶν φύσεων μετὰ τὴν ἄφραστον ἕνωσιν· ἵνα καὶ Νεστόριος καταισχύνοιτο, καὶ Εὐτυχὴς συναπόλλοιτο. Ἀλλ' ὅπως μὲν ἦ τὸ περὶ τοῦ Σωτῆρος ἐν τοῖς ἄλλοις θείοις ἀκριβὲς καὶ ἀπεξεσμένον δόγμα, ἐνδιατρίψας ὡς εἴρηται ἐνταῦθα τοῖς ἀνθρωπίνοις κατεχρήσατο ῥήμασιν, πλὴν οὔτε τὰ θεῖα τῶν ἀνθρωπίνων ἀπήλλακται, οὐκ ἔμπαλιν τὰ ἀνθρώπινα τῶν θείων· κατὰ τὸ μᾶλλον δὲ καὶ ἧττον ἡ χρῆσις πρόεισιν.

A senses: « In ipso (de Christo loquitur) creata sunt omnia quæ in cœlo et quæ in terra. Omnia per ipsum creata sunt, et ipse est ante omnia, et omnia in ipso constant. Et ipse est caput corporis Ecclesiæ, qui est principium, primogenitus ex mortuis; ut sit in omnibus primatum tenens. » Nam caro ab ipso assumpta animata intelligibiliter, ut ex duabus naturis inconfuse intelligatur Emmanuel, conjunctis scilicet deitate et humanitate, utramque secundum rationem suam perfecte habente, et secundum qualitatem physicam, proprietatem, et differentiam; non confusis nec mutatis naturis concurrentibus, neque divisis omnino naturis post inenarrabilem unionem, ut et Nestorius confundatur, et Eutyches una pereat. Sed ut dogma de
B Salvatore in aliis divinis accuratum et exactum esset, cum hic versaretur, ut dictum est, humanis usus est verbis. Cæterum neque divina ab humanis, neque rursum humana a divinis sejuncta sunt: sed secundum magis et minus usus procedit.

JUS CANONICUM

GRÆCO-ROMANUM.

MONITUM. — Desinente sæculo x placuit hic colligere varia monumenta jus canonicum Græco-Romanum illustrantia. Quoad ea quæ ad sæcula retroacta spectant et jam a nobis edita sunt, satis erit titulum ascribere cum nota remissiva ; sed ea integre edemus quæ sunt subsequentium sæculorum. Omnia nobis suppeditavit Joannis Leunclavii *Jus Græco-Romanum*. Seriem contentorum dabit index ad calcem voluminis. EDIT. PATR.

—

ΑΠΟΦΑΣΕΙΣ ΣΥΝΟΔΙΚΑΙ ΚΑΙ ΔΙΑΤΑΞΕΙΣ ΑΡΧΙΕΡΑΤΙΚΑΙ

ΤΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΑΡΧΙΕΠΙΣΚΟΠΩΝ ΚΑΙ ΠΑΤΡΙΑΡΧΩΝ.

—

SENTENTIÆ SYNODALES ET SANCTIONES PONTIFICIÆ

ARCHIEPISCOPORUM ET PATRIARCHARUM CONSTANTINOPOLIS.

—

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Περὶ ἐπιτιμίας τῶν ἁμαρτανόντων.

Οὐχ ἁπλῶς πρὸς τὸ τῶν ἁμαρτημάτων μέτρον δεῖ τὴν ἐπιτιμίαν ἐπάγειν, ἀλλὰ καὶ τῆς τῶν ἁμαρτανόντων στοχάζεσθαι προαιρέσεως· μήποτε ῥάψαι τὸ διερρωγὸς βουλόμενος, χεῖρον τὸ σχίσμα ποιήσῃς·

JOANNIS CHRYSOSTOMI (1).

De emendatione delinquentium [a].

Non simpliciter pro delictorum modo correctio facienda est, sed delinquentium simul spectandus est animus : ne cum vis rupturam sarcire, deteriorem eam facias : et cum erigere prostratum studes,

[a] *De correctione.*

(1) Hoc fragmentum, quia brevissimum, hic repetere non piget. EDIT. PATR.

gravierem casum efficias. Imbecililes enim, et dissoluti, quique [b] magis mundi deliciis dediti sunt, præterea etiam qui generis nobilitate et potentia gloriari possunt, si quidem paulatim in eorum delicta censura adhibeatur, possunt, si non perfecte [c], saltem ex parte, a malis liberari, quibus detenti sunt : quod si quis nimia disciplinæ severitate utatur, minore etiam eos disciplina et emendatione privabit. Nam postquam anima coacta pudorem deposuerit, in desperationem cadit, nec blandis cedit admonitionibus in posterum, nec minis deterretur, nec præmiorum agitur exhortatione : verum multo pejor redditur ea civitate, [d] cui maledicens, propheta dixit : Facies meretricis fuit tibi : turpiter te apud omnes gessisti. Quamobrem pastori multa opus est prudentia, et oculis innumerabilibus, ut undique circumspecte animæ habitum intueatur. Quemadmodum enim ad contumaciam feruntur multi, et in salutis propriæ desperationem cadunt, quod acerbiora remedia perpeti non potuerint : sic sunt alii quibus, quod par delicto pœna non irrogatur, in contemptionem convertuntur, et multo fiunt deteriores, ut gravius quandoque peccent. Horum igitur nihil inexploratum relinquendum est, sed exacte omnia perscrutando, adeunti conveniens emendatio adhibenda, ne correctionis perperam insumatur studium.

καὶ ἀνορθῶσαι τὸ καταπεπτωκὸς σπουδάζων, μείζονα ἐργάσῃ τὴν πτῶσιν. Οἱ γὰρ ἀσθενεῖς, καὶ διακεχυμένοι, καὶ τὸ πλέον τῇ τοῦ κόσμου δεδεμένοι τρυφῇ, ἔτι δὲ καὶ ἐπὶ γένει καὶ δυναστείᾳ μέγα φρονεῖν ἔχοντες, ἠρέμα μὲν κατὰ μικρὸν ἐν οἷς ἂν ἁμαρτάνωσιν ἐπιστρεφόμενοι, δύναιντ' ἄν, εἰ καὶ μὴ τέλεον, ἀλλ' οὖν ἐκ μέρους τῶν κατεχόντων αὐτοὺς ἀπαλλαγῆναι κακῶν· ἐὰν δὲ ἅθρόον τις ἐπάγῃ τὴν παίδευσιν, καὶ τῆς ἐλάττονος αὐτοὺς ἀποστερήσει παιδεύσεώς τε καὶ διορθώσεως. Ψυχὴ γὰρ ἐπειδὰν ἀπερυθριᾶσαι βιασθῇ, εἰς ἀνελπιστίαν ἐκπίπτει, καὶ οὔτε προσηνέσι λόγοις εἴκει λοιπὸν, οὔτε ἀπειλαῖς καλύπτεται[1]. οὔτε εὐεργεσίαις προτρέπεται· ἀλλὰ γίνεται πολὺ χείρων τῆς πόλεως ἐκείνης, ἣν ὁ προφήτης κακίζων, ἔλεγεν, Ὄψις πόρνης ἐγένετό σοι, ἀπῃναισχύντηκας πρὸς πάντας. Διὰ τοῦτο πολλῆς δεῖ συνέσεως τῷ ποιμένι, καὶ μυρίων ὀφθαλμῶν, πρὸς τὸ περισκοπεῖν πάντοθεν τὴν τῆς ψυχῆς ἕξιν. Ὥσπερ γὰρ εἰς ἀπόνοιαν αἴρονται πολλοὶ, καὶ εἰς ἀπόγνωσιν τῆς ἑαυτῶν καταπίπτουσι σωτηρίας, ἀπὸ τοῦ μὴ δυνηθῆναι πικρῶν ἀνασχέσθαι φαρμάκων· οὕτως εἰσί τινες, οἳ διὰ τὸ μὴ δοῦναι τιμωρίαν τῶν ἁμαρτημάτων ἀντίβροπον, εἰς ὀλιγωρίαν ἐκτρέπονται, καὶ πολλῷ γίνονται χείρους, καὶ πρὸς τὸ μεῖζον ἁμαρτάνειν προάγονται. Χρὴ τοίνυν μηδὲν τούτων ἀνεξέταστον ἀφεῖναι, ἀλλὰ πάντα διερευνησάμενον ἀκριβῶς, καταλλήλως τὰ παρ' ἑαυτοῦ προσάγειν τῷ προσερχομένῳ, ἵνα μὴ ματαίως αὐτῷ γένηται ἡ σπουδή.

GENNADII.

Gennadii patriarchæ Constantinopolitani, et sanctæ cum eo congregatæ synodi, ad sanctiss. omnes metropolitanos, et ad papam urbis Romæ Epistola ἐγκύκλιος.— *Ne ob pecunias fiat manuum impositio.*

ΓΕΝΝΑΔΙΟΥ.

Ἐγκύκλιος ἐπιστολὴ *Γενναδίου, πατριάρχου Κωνσταντινουπόλεως, καὶ τῆς σὺν αὐτῷ ἁγίας συνόδου, πρὸς ἅπαντας τοὺς ὁσιωτάτους μητροπολίτας, καὶ πρὸς τὸν πάπαν Ῥώμης. — Περὶ τοῦ μὴ ἐπὶ χρήμασι γίνεσθαι χειροτονίας.*

Exstat inter ipsius Gennadii opera, *Patrologiæ* tom. LXXXV, col. 1613.

—

TARASII.

De eodem, ad Adrianum papam veteris Romæ, epistola Tarasii, sanctissimi patriarchæ Constantinopolis, novæ Romæ.

ΤΑΡΑΣΙΟΥ.

Περὶ τοῦ αὐτοῦ, πρὸς Ἀδριανὸν τὸν πάπαν τῆς πρεσβυτέρας Ῥώμης, ἐπιστολὴ Ταρασίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, νέας Ῥώμης.

Exstat *Patrologiæ* tom. XCVIII, col. 1441.

—

NICEPHORI CONFESSORIS.

Ex Nicephori Confessoris canonibus.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ.

Τῶν Νικηφόρου τοῦ Ὁμολογητοῦ κανόνων τινές.

Exstant *Patrologiæ* tom. C, col. 851.

—

SISINNII (2).

Decisio Sisinnii patriarchæ, ne duo fratres accipiant duas consobrinas.

Sisinnius, miseratione divina archiepiscopus

ΣΙΣΙΝΝΙΟΥ.

Τόμος Σισιννίου πατριάρχου περὶ τοῦ μὴ λαμβάνειν δύο ἀδελφοὺς ἐξαδέλφας δύο.

Σισίννιος ἐλέει Θεοῦ ἀρχιεπίσκοπος, Κωνσταντι-

VARIÆ LECTIONES.

[1] κολύεται.

[b] *majori ex parte.* [c] *in universum.* [d] *faciem meretricis es nacta ; pudorem ad omnes deposuisti.*

NOTÆ.

(2) Vixit sub Basilio et Constantino fratribus Augg.

νουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Καὶ ἰατρὸς ἡδίων ἐκεῖνος, καὶ [1] πολλῶν ἄξιος πόλεων [1], ὅστις λοιμοῦ προσβάλλειν ἐπειγομένου, πρὶν εἰσπηδῆσαι τὸ κακὸν διωθῶν, πεῖραν τῆς νόσου λαβεῖν οὐκ ἐᾷ· δίαιταν δὲ ὑποτιθέμενος ἄνοσον, ταύτῃ τοῖς σώμασι ῥῶσιν ἀκίνδυνον πραγματεύεται. Ἐπεὶ ἅπαξ εἰσπηδήσασαν ἔνδον, καὶ τὰ σώματα δίκην πυρὸς νεμομένην, μόλις ἂν δυνηθείη ἀναστεῖλαι καὶ ἀπελάσαι, τῆς ἐπιστήμης αὐτῷ ἀναγκαίως πάντοθεν παραχωρούσης τῷ σφοδρῷ τοῦ παθήματος [2]. Καὶ ψυχῶν ἰατρὸς εὐχερῶς τούτων πῶς ἀντιποιήσαιτο, ὅστις παντοίως ἀνέστη [3] πρὶν εἰσκωμάσαι τὴν νόσον, προφυλακτικὰ σωτήρια λόγου φάρμακα κερασάμενος, καὶ μὴ ἐάσας ταύτην πάνδημον καταχορεῦσαι κατὰ τῆς φύσεως; Ἤδη δὲ τοῦ δεινοῦ εἰσφθαρέντος καὶ χρόνον συχνὸν τὰς τῶν πολλῶν πολλάκις ἐπικατανεμηθέντος ψυχάς, ἐργώδης ἀλλ' οὐκ εὐχερὴς ἡ βοήθεια, καὶ τὰ ἐπὶ τούτῃ δυσμεταχείριστα φάρμακα. Ἀλλὰ τοῖς μὲν αὖθις φυλαξομένοις τὸ πάθος πρόχειρος ἡ σωτηρία, καὶ τὸ διαφυγεῖν τὸν ὄλεθρον, ῥᾴδιον. Οἱ δὲ φθάσαντες περιπεσεῖν τῷ δεινῷ, ἀπῆλθον οὗτοι τὴν ἐκ τῆς νόσου βλάβην δυσαπάλακτον ἑαυτοῖς καὶ ὅλην ἀπομορξάμενοι. Ὥσπερ οὖν τῷ κακῷ τινι περιπεπτωκότι τὸ τοῦτο διαφυγεῖν κρεῖττον τοῦ συγκατορυχθῆναι αὐτῷ, καὶ τὸ ἀναστεῖλαι σηδόνα νόσον καὶ πάνδημον κατὰ σωμάτων κυμαινομένην, καὶ πᾶσαν ἡλικίαν βοσκομένην, καὶ γένος, τοῦ ἐάσαι χωρεῖν ἀνεπικωλύτως, ἐστὶν αἱρετώτερον· οὕτω καὶ πάθους ἐπὶ λύμῃ καὶ σηπεδόνι ψυχῶν ἐμπεσόντος, ἀνακόψαι καὶ στῆσαι τὸν ἐκ τούτου ἐπιφυόμενον ὄλεθρον, ἐπαινετὸν ὁμοῦ καὶ Θεῷ ἀρέσκον, καὶ τοῖς λογικοῖς ποιμέσιν ἡμῖν πρόσφορόν τε ποιεῖν καὶ ἁρμόδιον. Ἐπεὶ τοίνυν τὸν τοῦ Χριστοῦ λαὸν, ὃν τῷ οἰκείῳ οὗτος ἐξηγόρασεν αἵματι, τὸ ἅγιον ἔθνος, πάλαι μὲν τὸ διδασκάλιον τῶν θείων καὶ ἱερῶν ἀποστόλων, καὶ τῶν μετ' αὐτοὺς αὖθις ἁγίων Πατέρων, οἱονεί τινα θείοις νόμοις [4] περιεχαράκωσεν ἄμπελον, ἱερῶς ἤδη καταφυτευθεῖσαν τῷ πάντα εἰς τὸ εἶναι παραγαγόντι Θεῷ, περικόπτον πάντη [5], καὶ ἀποκαθαῖρον ἐπὶ λύμῃ τῆς φύσεως ἀῤῥωστήματα, καὶ πᾶσαν ὁρμὴν ἄνετον ἐθνικοῦ βίου ταῖς φυσικαῖς ἐπιθυμίαις δουλεύουσαν, καθάπερ τινὰ, ποτάμιον ῥοῦν, ἐφ' ὕβρει τῆς ἀρχετύπου εἰκόνος φερόμενον, ἀνεχαίτισε καὶ ἀνέστειλε· πρὸς δὲ τοῖς θείοις κανόσι, καὶ νόμοι πολιτικοὶ τοῖς μὴ τῇ εὐσεβείᾳ στοιχοῦσι, μακρὰν δὲ τοῦ ὄντος ἐκτραχηλιαζομένοις [6], ὁσημέραι τὴν μάχαιραν ἐπισείουσι· τοῦτο ἐχρῆν τὸ ἅγιον ἔθνος ἐν καθαρῷ τῷ συνειδότι βιοῦν, καὶ μηδὲν τῶν ἀπειρημένων ἐπεισάγεσθαι τούτῳ, καὶ τὸν ἡμέτερον βίον καταθολοῦν. Θεῖοι μὲν γὰρ κανόνες καὶ νόμοι πολιτικοὶ βίον πνευματικὸν καὶ ἦθη χρηστὰ

A Constantinopolis novæ Romæ, et universalis patriarcha.

Et medicus ille suavior, et [a] multis civitatibus dignus, qui pestilentia imminente, malum priusquam grassetur repellens, periculum morbi facere non sinit: salubremque præscribens rationem victus, corporibus sanitatem sine periculo per eam conciliat, cum si semel interius insiluerit ac ignis instar corpora depascatur, vix reprimi possit et abigi: quin necessario morbi vehementia ineffacem medicinam omni ex parte reddat. Et animarum medicus hæc apte sibi accommodaverit, qui, priusquam morbus propagetur, omnino restiterit, remedia præservatoria, sermonibus pharmaca miscens, nec permittens eum passim contra naturam insultare. Cum autem doloris malum intro se insinuaverit, et longo tempore multorum animas sæpe depastum fuerit, difficile est nec promptum auxilium, et medicamenta adhiberi vix possunt. Sed e contrario, iis qui a vitio cavent, salus parata, et est facile vitare perniciem. Qui autem in malum inciderunt, ii abstersa morbi noxa, inexpugnabili et tota, perierunt. Quemadmodum igitur ei qui incidit in quodpiam malum, effugere melius est quam simul cum eo sepeliri, et grassantem morbum ac vulgo per corpora æstuantem, depascentemque omnem ætatem et sexum, satius est coercere quam sine impedimento sinere latius diffundi: sic, quando vitium in perniciem et corruptionem animarum accidit, resecare et sistere ex eo nascens exitium, laudabile simul et Deo gratum: et ut a nobis rationalibus pastoribus fiat, conveniens ac consentaneum. Quoniam igitur Christi populum, quem ipse suo sanguine redemit, sanctam gentem, antiquitus quidem disciplina divinorum et sacrorum apostolorum, et qui eos secuti sunt, rursus sanctorum Patrum, velut quamdam vineam [f] divinis sepivit legibus, sacrosancte jam plantatam a Deo omnia in essentiam producente resecans [g] omnino et purgans, quæ naturam lædunt, imbecillitates, et omnem dissolutum gentilis vitæ impetum naturalibus cupiditatibus inservientem, veluti quemdam fluvialem cursum, irruentem in primariæ imaginis injuriam refrenavit et compescuit: præter autem divinos canones, et civiles leges in eos qui pietate non imbuti sunt, sed procul ab eo quod decet præcipitati, gladium quotidie vibrant: sic oportebat sacram gentem in pura conscientia degere, et nihil eorum quæ prohibita sunt huic superinducere, vitamque nostram conturbare. Divini enim canones et civiles leges asperitatem humanæ naturæ complanantes, spiritalem vitam bonosque mores mentibus nostris firmissime imprimunt: ut sine vitæ offendiculo rempublicam nomine dignam omni tempore

VARIÆ LECTIONES.

[1] πολλοῦ ἄξιος πόλεσι. [2] νοσήματος. [3] ἀντέστη. [4] νόμοις πάντοθεν. [5] πάντα. [6] ἐκτραχηλιζομένοις.

[a] *ac magni civitatibus æstimandus,* [f] *divinis undique sepivit.* [g] *resecans omnes.*

ostendere possimus. Et cum radicem ac fundamentum genere, nostræque naturæ officinam, honestas noverunt esse nuptias, ut munditiem puritatemque jam ab ipsa radice habeat, nec ullis vituperii aspergini bus conspurcetur (grave namque est cum frumento lolium seri), variis argumentorum rationibus et commonitionibus muniverunt, illicitas nuptias a legitimis procul removentes, aut etiam honestas [h] discernentes, et eos qui jam ipsa naturæ necessitate conjugalem vitam amplectuntur, ad has cohortantur et inducunt : suadent autem ut illas a suo repellant conjugio, et omnino aversentur. Olim enim Israeli, cum Dei signum circumcisionem fuisset sortitus, nuptiarum jura per singulas tribus regebantur [i], legislatore excludente gentilium cum eo consuetudinem et commistionem. Generi autem sibi asciscenti sui generis affinitatem, ad id nuptiarum via directa repetitaque extra prohibitionem erat. Ut autem populus Dei peculiaris, clementia ejus qui assumpsit et conciliavit sibi, omnes gentes effectæ sumus, et juxta Prophetam, cum lætitia manibus plausimus, et novus Israel omnes facti sumus, cum universos, qui omnia pacificavit, in unum collegit : unire nos volens et ad dilectionem sui ipsius, et ad mutuam omnium inter nos conjunctionem, interiores nuptiarum portas, et ad cognationem ducentem viam occlusit, exteriores autem transitus universis terræ incolis aperuit. Et vero ad has nuptias venire volentibus universus terrarum orbis patet : quemadmodum ad cognationem ducens via divinis legibus obstructa et occlusa est. Qui igitur legis scripserunt, illicitas nuptias, alias certis nominibus distinxerunt : alias immunditiei nomine generaliter comprehendentes, omiserunt et silentio præterierunt : honestatis omnino curam habentes, et in re longa per singulas species linguam suam polluere nolentes. Quibus magnus apostolus Paulus concinens, Scortatio, inquit, et immundities omnis nec nominetur inter vos, sicut decet sanctos. Immunditiei nomine omnem illicitam conjunctionem et obscenitatem comprehendens. Nec in his silentium prorsus libidinosis pro licentia fuit; namque ad licitas nuptias facile permisit lex prosilire: Quid vero ait ? In nuptiis non tantum quod licet, sed et quod honestum est spectandum (3) Sic de naturæ castitate et innocentia divini Patres canonibus et legislatores legibus constituerunt. Ad nostrum autem bellum strenuus bellator et in insidiosis animarum obsidionibus fortissimus et potentissimus adversarius, cum aliis, quibus sæpe insurgens, et publice privatimque honestatem subvertens nuptiarum, contentiosius protulit ; et hoc latenter introduxit, ut multi pro nihilo habeant, fratres cum sint, duas

A τὸ τραχῦνον τῆς ἀνθρωπίνης καθομαλίζοντες φύσεως, ταῖς διανοίαις ἡμῶν [7], ἀπολιορκήτως κατορωρύχασιν· ὡς ἂν ἔχοιμεν τῷ ἀπροσκόπῳ τοῦ βίου ἀξίαν τῆς κλήσεως ἐν παντὶ καιρῷ τὴν πολιτείαν ἐνδείκνυσθαι. Καὶ ἐπεὶ ῥίζαν καὶ ὑποβάθραν τοῦ γένους, καὶ τῆς ἡμετέρας φύσεως ἐργαστήριον, τὸν σεμνὸν γάμον ἦδεσαν ὄντα· ἵνα τὸ καθαρὸν ἐξ αὐτῆς ἤδη τῆς ῥίζης καὶ τὸ ἀθόλωτον ἔχοι, καὶ μή τισι μώμου περιῤῥαντίσμασι καταχραίνοιτο (δεινὸν γὰρ τῷ σίτῳ συνεσπάρθαι καὶ τὸ ζιζάνιον) παντοίαις λόγων φοραῖς καὶ εἰσηγήσεσι κατωχύρωσαν, μακρὰν τοῦ νομίμου γάμου τὸν ἀθέμιτον διαστέλλοντες, ἢ καὶ τὸν σεμνὸν ἐκκρίνοντες [8], καὶ τοῖς κατ' αὐτὴν ἤδη τῆς φύσεως ἀνάγκην τὸν ἐπίζυγα

B βίον ἀσπαζομένοις παραινοῦντές εἰσιν ἐπὶ τοῦτον καὶ εἰσηγούμενοι, τὸν δὲ ἀπωθεῖσθαι τούτους πείθοντες τῆς ἑαυτῶν συζυγίας, καὶ ἀποτρέπεσθαι παντοίως. Πάλαι μὲν γὰρ τῷ Ἰσραὴλ, σφραγῖδα λαχόντι Θεοῦ τὴν περιτομὴν, κατ' οἰκείαν ἑκάστην [9] φυλὴν τὰ τοῦ γάμου ἐπρυτανεύετο· ἀποκλείοντος τοῦ νομοθέτου τὴν τῶν ἐθνῶν πρὸς τοῦτον ἐπιμιξίαν, καὶ οἷον ἀνάκρασιν. Γένει δὲ τὴν τοῦ γένους οἰκείωσιν δεξιουμένῳ, ἡ πρὸς τοῦτο τοῦ γάμου ὁδὸς ἀναφερομένη καὶ ἀναπλεκομένη, ἀπεριπόλυτος ἦν. Ὡς δὲ λαὸς Θεοῦ περιούσιος, εὐδοκίᾳ τοῦ ἡμᾶς προσλαβόντος καὶ οἰκειώσαντος ἑαυτῷ, πάντα τὰ ἔθνη γεγόναμεν· καὶ χεῖρας, κατὰ τὸν Προφήτην, χαρμονικῶς ἐκροτήσαμεν· καὶ νέος πάντες γεγόναμεν Ἰσραήλ· καὶ πάντας, ὁ εἰρηνοποιήσας

C τὰ πάντα, εἰς ἓν συνήγαγεν· εἰς τοῦτο συνάπτειν ἡμᾶς, καὶ τὴν ἀγάπην πρὸς ἑαυτὸν, καὶ ἀλλήλους βουλόμενος ἕνωσιν, τὰς ἔνδοθεν πύλας τοῦ γάμου, καὶ τὴν πρὸς συγγένειαν ἀποκλείσας ὁδὸν, τὰς ἔξωθεν πᾶσιν ἀνέῳξε διαβάσεις, τοῖς καθημένοις ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Καὶ δὴ ἐπὶ τοῦτον τὸν γάμον τοῖς χωρεῖν βουλομένοις ἡ οἰκουμένη πᾶσα ἠνέῳκται, ὥσπερ ἡ πρὸς συγγένειαν ἄγουσα πᾶσι θείοις ἐπεζυγώθη νόμοις καὶ ἐπεκλείσθη ὁδός. Τοὺς τοίνυν ἀθεμίτους τῶν γάμων, τοὺς νόμους οἱ γεγραφότες, τοὺς μὲν ὀνόμασι ῥητοῖς διέστειλαν· τοὺς δὲ τῷ τῆς ἀκαθαρσίας ὀνόματι διαλαβόντες γενικῶς, ἀφῆκαν καὶ παρεσιώπησαν· τοῦ σεμνοῦ παντοίως [10] φροντίζοντες, καὶ μὴ ἐπὶ μακρῷ καὶ καθ' ἕκαστον τὴν γλῶτταν καταῤῥυπαίνειν ἐθέλοντες. Οἷς καὶ ὁ μέγας ἀπόστολος Παῦλος συνάδων, Πορνεία (φησὶ) καὶ ἀκαθαρσία πᾶσα μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὰ πρέπει ἁγίοις, τῷ τῆς ἀκαθαρσίας ὀνόματι πᾶσαν ἀθεματογαμίαν καὶ ἀῤῥητοποιΐαν περιλαμβάνων. Καὶ οὐ πάντως ἡ σιωπὴ τοῖς φιληδόνοις ἐν τούτοις ἐγένετο ἄδεια· ἀλλὰ καὶ αὐτοῖς τοῖς ἐπιτετραμμένοις τῶν γάμων ὁ νόμος οὐκ ἀφῆκε ῥᾳδίως ἐπιπηδᾷν. Ἀλλὰ τί φησιν; Ἐν τοῖς γάμοις οὐ τὸ ἐπιτετραμμένον μόνον, ἀλλὰ καὶ

D

VARIÆ LECTIONES.

[7] ἡμῶν ἀρχῆθεν. [8] ἐγκρίνοντες. [9] ἑκάστῳ. [10] ἀπεκωλύετο. [11] συνάπτων. [12] πάντως.

[h] *approbando recipientes,* [i] *in sua cuique tribu nuptiæ contrahebantur,*

NOTÆ.

(3) L. XLII, D. de Rit. nupt. 197 de reg. juris.

τὸ εὐπρεπὲς δεῖ σκοπεῖν. Οὕτως καὶ περὶ τοῦ ἐρρυπώτου τῆς φύσεως καὶ πάντοθεν ἀνεγκλήτου, καὶ θεῖοι Πατέρες κανόσι καὶ νομοθέται νόμοις διησφαλίσαντο. Ὁ δὲ πρὸς τὸν ἡμέτερον πόλεμον εὔζωνος μαχητὴς, καὶ πρὸς ἀκηρύκτους πολιορκίας ψυχῶν δυσκαταμάχητος καὶ βιαιότατος ἀντιαγωνιστὴς, μετὰ τῶν ἄλλων, οἷς πολλάκις ἐπαναστὰς, καὶ κοινῇ καὶ ἰδίᾳ τὸ σεμνὸν ἀνορύττων τοῦ γάμου, φιλονεικότερον ἐκομίσατο [13]· καὶ τοῦτο λαθὼν ἐπεισήγαγεν, ὥστε πολλοὺς ἐν οὐδενὶ τίθεσθαι, ἀδελφοὺς ὄντας εἰς γάμον αὐτοῖς δύο ἐξαδέλφας λαμβάνειν· τοῦτο δὲ καταφανῶς καὶ ἀνεπικωλύτως μετὰ τῆς ἱερολογίας ποιεῖν· ἢ δύο τισὶν ἀδελφαῖς ἐξαδέλφους αὖθις ὡς ἐπὶ νομίμῳ γάμῳ συζεύγνυσθαι, ἢ θεῖον καὶ ἀνεψιὸν ἀδελφαῖς συνάπτεσθαι δυσὶν, ἢ ἀδελφοὺς δύο τὸ ἔμπαλιν θείᾳ καὶ ἀνεψίᾳ. Τὸ δὲ τοιοῦτον ἄτοπον τῷ τοῦ γάμου σεμνῷ καταχωρηθὲν [14], ὑβρίζον τὴν φύσιν ἐλάνθανε.

A consobrinas uxores ducere, idque palam ac impune cum sacra precatione facere : aut rursus duos consobrinos sororibus duabus velut legitimis nuptiis conjungi aut avunculum patruumve et fratris sororisve filium duabus sororibus copulari : aut vice versa fratres duos amitæ materteræve, et fratris sororisve filiæ. Insolentia hujusmodi i, a nuptiarum honestate remota, contumelia naturam latenter afficiebat.

Διὰ τοῦτο ἡ μετριότης ἡμῶν τοῖς ἀθεμίτοις περιαλγοῦσα συνοικεσίοις, μετὰ τῆς ἱερᾶς τῶν θεοφιλεστάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων συνδιασκεψαμένη συνόδου, καὶ τὸ βαρὺ τῆς ἀπειλῆς φοβηθεῖσα κρῖμα (ὃ τοῖς μὴ ἀναγγέλλουσι τῷ λαῷ τὴν ἐρχομένην ῥομφαίαν, ἠπείληται), ἔγνω καὶ ἐδοκίμασεν εἶναι λυσιτελὲς θεραπείαν ἐπινοῆσαί τινα τοῦ κακοῦ· ἵν' οἱ μὲν ἐαλωκότες, ὡς ἔαμα ἢ διαμαρτυρίαν τὴν ἀπόφασιν ἔχοιεν, ἐν τοῖς ἄλλοις δὲ προφυλακτήριον [15] εἴη τοῦ μέλλοντος. Ἐντεῦθεν διοριζόμεθα, μηκέτι ἀπό γε τοῦ νῦν τοιοῦτόν τι περὶ τοὺς γάμους τολμᾶσθαι πονηρὸν πρᾶγμα, καὶ περὶ τοὺς ἐξ αἵματος ἀδικώτατον, καὶ αὐτῇ πολεμοῦν καθόλου τῇ φύσει, καὶ συγχέον ταύτην πρὸς ἑαυτήν. Ἐντεῦθέν τις καταμάθοι καὶ διασκοπήσοι τρανότερον. Ὁ ἱερὸς καὶ μέγας Βασίλειος, ὁ καὶ τὰ βάθη τοῦ πνεύματος, κατὰ τὴν θεολόγον φωνὴν, ἐρευνῶν, οὗτος περί τινος ἀθεμίτου γάμου διαλεγόμενος, ἐπίτομον γνώρισμα [16] δίδωσιν, ἐν ᾧ τὰ τῶν ἀθεμίτων γάμων ῥᾳδίως τῶν νομίμων ἀποκριθήσεται· Ἐν οἷς (λέγων) τὰ τοῦ γένους συγχέονται ὀνόματα, ἐν τούτοις ὁ γάμος ἀθέμιτος. Πῶς οὖν ἐπὶ τοῦ παρόντος γάμου τὰς προσηγορίας ἁρμόσοι τις [17]; οἱ μὲν γὰρ ἀδελφοὶ, κατὰ τοῦτο αὐτὸ καὶ ἀδελφοὶ καὶ σύγγαμβροι προσαγορευθήσονται, ὥσπερ αὖ αἱ συναφθεῖσαι τούτοις εἰς γάμον ἐξάδελφοί τε ἅμα καὶ σύννυμφοι· τὰ δὲ ἀπὸ τούτων τικτόμενα [ἔκγονα] ἐκ ποίας συγγενείας οἱ τεκόντες προσαγορεύουσιν; Ἀπὸ μὲν γὰρ τῶν ἀδελφῶν, ἡ τοῦ δευτέρου βαθμοῦ τούτοις ἁρμόσει προσηγορία, ἐξαδέλφους προσαγορεύεσθαι· ἀπὸ δὲ τῶν μητέρων, ἡ τοῦ τρίτου μᾶλλον ἔσται κατάλληλος. Δισεξαδέλφους γὰρ ἦν εἰπεῖν δικαιότερον. Καὶ ἡ τῶν ὀνομάτων ἀκατάλληλος σύγχυσις, τὴν τοῦ ἀθεμίτου [18] παρανομίαν, κατὰ τὸν ἐν ἁγίοις Πατέρα Βασίλειον, καταφανέστερον ἀποδείκνυσιν.

B Quamobrem [k] moderatio nostra conjunctiones illicitas graviter ferens, cum sacra piorum metropolitanorum et archiepiscoporum synodo consultans et grave comminationis formidans judicium (quod iis proponitur qui populo imminentem gladium non renuntiant), utile esse cognovit probavitque ut mali hujus aliquod excogitaretur remedium : ut qui [l] convicti sunt, veluti medicinam aut testatam defensionem condemnationem habeant, aliis autem in futurum sit præservatorii medicamenti loco. Hinc definimus, ne ab hoc tempore in posterum committere quis audeat tantum in nuptiis flagitium, et circa sanguine conjunctos iniquitatem quæ omnino ipsi naturæ repugnat, et creat confusionem, ut postea manifestius et clarius fiet. Sanctus et magnus Basilius, qui profunditates spiritus, juxta theologicam C vocem, inquirit, cum de quibusdam illicitis nuptiis dissereret, brevem definitionem dedit, qua licitæ nuptiæ ab illicitis facile discernuntur : In quibus (inquit) generis nomina confunduntur, in iis nuptiæ illicitæ. Quoniam igitur modo quis in præsentibus nuptiis coaptaverit appellationes ? Nam fratres, pariter et fratres et congeneri appellabuntur : quemadmodum his nuptæ, consobrinæ pariter et connurus : ex his autem natos liberos quo cognationis nomine parentes nuncupabunt ? A fratribus quidem secundi gradus iis conveniet appellatio, ut consobrini nominentur ; a matribus autem tertii gradus commodior erit : justius enim sobrinos dicere. Et D nominum absurda confusio illiciti matrimonii iniquitatem, juxta sanctum Patrem Basilium, apertius demonstrant.

'Αλλ' ἴσως τῷ πάθει συνηγορήσων τις ἀναστὰς ἐρεῖ, πυθόμενος δῆθεν, Διὰ τί μὴ τούτων γεγραμμένων [19] τις ὀνομαστὶ κεκώλυκε νόμος, ἀδελφοὺς λέγων τὰς ἐξ ἀδελφῶν γεννωμένας, εἰς κοινωνίαν γάμων μὴ προσλαμβάνεσθαι; καὶ διὰ τί τῷ κατ'

Sed affectui patrocinaturus fortasse quispiam exsurget, quærens, cur nulla lex scripta nominatim voluit fratres sibi nuptiis asciscere natas ex fratribus ; et cur ei quod juxta consuetudinem fit per spiritum tam longi temporis contrarium statuis ?

VARIÆ LECTIONES.

[13] ἐκονίσατο. [14] κατοχυρωθὲν. [15] τοῖς δὲ ἄλλοις προφυλ. [16] γνώμην, etc. ἐν ᾗ. [17] ἁρμόσαι τό τις. [18] ἀθεμίτου γάμου. [19] μὴ τοῦτο τῶν γεγρ.

i honesto nuptiarum titulo munita, *k mediocritas* *l jam deliquerunt, veluti pro medicina et contestatione sententiam hanc habeant.*

verborum circuitu et gravitate demulcens aures, et rem ipsam captionibus involvens, culpæque subjiciens quod per leges culpa caret? Verum non ego quidem, sed spiritu [plenus] Basilius [m] id delictum jampridem lege declaravit. Cujus lex, lingua Ecclesiæ, et verborum sonus divinitus scriptæ tabulæ, Dei digito insculptæ. Quod si quis in his alium legislatorem quæsierit, et nescio an sapientibus sapere videbitur. Et licet nulla hujus rei mentio a quoquam Patrum facta sit, neque sic absque ratione vitium hoc ab Ecclesia removere videbimur iis, quibus nullum de eo judicium est. Nam qui de temperantia leges tulerunt, et mulieris adulterio raptuique virginis pœnas irrogarunt, non addiderunt, si pater filiæ pudicitiam violans deprehensus sit, qua pœna plectendus sit: cum hæc non facile perpetrentur. Si tamen hujusmodi quidpiam commissum sit, manifestum est reum pœnam subiturum, cum minora crimina puniantur. An quia quidpiam lege prohibitum non est [n], ideo facile admittet? aut si ausus fuerit, legem quæ de eo scribetur non patietur? Nemo qui sapiat id dixerit. Quemadmodum igitur cum illud silentio præteritum est, silentium non permittet ut natura impudenter contumelia afficiatur: sic neque hoc prætermisso (sicubi prætermissum est) licentia erit impune faciendi maxime cum simus Christiani, et probe noverimus hujus mundi formam momentaneam, juxta Paulum apostolum: ut qui habent uxores, sint quasi non habeant. Quanquam prætermissum non est, sed quibus dictum, est prohibitum. Non enim quod [o] licet in nuptiis spectandum est, sed quod decet. Et sanctus præterea ac magnus Basilius, quemadmodum dictum est, In quibus (inquit) nomina cognationis confunduntur, in iis nuptiæ illicitæ. Nam quemadmodum unio copulatorum per nuptias distinctionem nullo modo novit, sed ambo [p] una caro noscuntur (Erunt enim inquit, duo in carnem unam): sic utrisque genere propinqui, consequenter jure cognationis conjunguntur, et in unam sanguinis propinquitatem affinitatemque conveniunt: ut his necessario cavenda sit et formidanda lubrica inter se conjugalis, commistio et copula. Non enim ingrediendum est omnem [q] carnis proximum, propter generis conturbationes et confusiones.

Ubinam ergo jam prætermissum est quod omnia ex parte canonibus et legibus est cautum, ut propter id extra culpam esse videatur? De tempore vero quod vitio suffragatur, dici facile potest flagitiosam et improbam degere volentibus vitam, nullum omnino ex tempore esse auxilium. Neque enim adulteris, expilatoribus, effractoribus, aut alio

ἔθος πραττομένῳ χρόνον τοσοῦτον εἰς συνηγορίαν λαβόντι ἀντινομοθετεῖς; λόγων στροφαῖς καὶ δεινότητι κλέπτων τὴν ἀκοήν, καὶ τὸ πρᾶγμα κατασοφιζόμενος, καὶ ὑπ' εὐθύνην ἄγων τὸ ἀπὸ τῶν νόμων ἀνεύθυνον; Ἀλλ' οὐκ ἐγωγε, ὁ δὲ τοῦ Πνεύματος τοῦτο τὴν ἁμαρτίαν προενομοθέτησε [20] πάλαι Βασίλειος οὗ νόμος ἡ γλῶττα τῇ Ἐκκλησίᾳ, καὶ ὁ τῶν ῥημάτων φθόγγος, θεόγραφοι πλάκες, δακτύλῳ ἐγκεχαραγμέναι Θεοῦ. Ὁ δὲ ζητῶν ἕτερον νομοθέτην ἐν τούτοις, οὐκ οἶδα εἰ σωφρονοῦσιν οὗτός γε δόξει σωφρονεῖν. Εἰ δὲ καὶ δῶμεν μηδεμίαν γεγράφθαι μνήμην παρ' οὐδενὸς τῶν Πατέρων περὶ τοῦ πράγματος, οὐδ' οὕτως ἂν ἀλόγως ἐθέλειν ἀποκινῆσαι τὸ ἀῤῥώστημα τοῦτο τῆς Ἐκκλησίας, τοῖς μὴ περὶ τὴν κρίσιν δικάζουσι δόξωμεν. Οἱ γὰρ περὶ σωφροσύνης νομοθετήσαντες, γυναικός τε μοιχείαν καὶ βίαν τιμωρησάμενοι κόρης, οὐ προστιθέασιν, ἂν θυγατέρα ἁλῷ πατὴρ βιασάμενος, ὅ τι δέοι παθεῖν· ὡς οὔτε ῥᾳδίως τὰ τοιαῦτα τολμώμενα. Κἂν ἄρα πραχθῇ τι, πρόδηλον ὂν ὡς δίκην ὑφέξει, τῶν ἐλαττόνων τιμωρουμένων. Ἆρα μὴ τοῦτο νόμῳ κεκώλυται, ῥᾳδίως τις καταπράξαιτο; ἢ τολμήσας οὐχ ἕξει τὸν ἐπὶ τούτῳ γραψόμενον; Οὐκ ἂν φαίη τις σωφρονῶν. Ὥσπερ τοίνυν ἐκείνου σιωπωμένου, οὐ δίδωσι χώραν ἡ σιωπὴ τολμηρῶς ὑβρίζειν κατὰ τῆς φύσεως· οὕτως οὐδὲ τούτου ἴσως παραλειφθέντος (εἴ που καὶ παρελείφθη) ἄδειαν ἕξει τις ἀνεπικωλύτως ποιεῖν· καὶ ταῦτα, Χριστιανῶν ὄντων ἡμῶν καὶ, ἄκρως [22] εἰδότων ὅτι παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, κατὰ τὸν ἀπόστολον Παῦλον· ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι. Καίτοι οὐδὲ παραλέλειπται, ἀλλ' οἷς ἐῤῥέθη κεκώλυται. Οὐ γὰρ τὸ ἐπιτεταραμμένον, φησὶν, ἐν τοῖς γάμοις δεῖ σκοπεῖν, ἀλλὰ καὶ τὸ εὐπρεπές. Καὶ ὁ ἱερὸς αὖθις καὶ μέγας Βασίλειος, καθὼς εἴρηται, Ἐν οἷς, φησὶ, τὰ τοῦ γένους συγχέονται ὀνόματα, ἐν τούτοις ὁ γάμος ἀθέμιτος. Ὥσπερ γὰρ ἡ τῶν διὰ γάμου συναπτομένων ἕνωσις οὐκ οἶδεν ὅλως διαστολήν, ἀλλὰ σὰρξ ἄμφω μία γνωρίζεται [23] (Ἔσονται γὰρ, φησὶν, οἱ δύο εἰς σάρκα μίαν)· οὕτω καὶ οἱ κατὰ γένος προσήκοντες ἑνατέροις ἀκολούθως δικαίῳ συγγενείας ἐπισυνάπτονται, καὶ εἰς μίαν ἁρμόζονται ἀγχιστείαν αἵματος καὶ οἰκείωσιν· ὡς ἐπάναγκες εἶναι τούτοις εὐλαβεῖσθαι καὶ δεδιέναι σφαλερὰν τὴν εἰς ἀλλήλους γαμικὴν ἐπιμιξίαν καὶ συμπλοκήν. Οὐ γὰρ ἑνὸν εἰσιέναι πρὸς πάντα οἰκεῖον σαρκὸς, διὰ τὰς συνθολώσεις καὶ συγχύσεις τοῦ γένους.

Ποῦ τοίνυν τὸ πάντοθεν, ὡς ἀθέμιτον, καὶ κανόσι καὶ νόμοις ἀσφαλισθὲν, ἤδη παραλέλειπται, ὡς καὶ διὰ τοῦτο δόξαι ἀνεύθυνον; Περὶ δὲ τοῦ συνηγοροῦντος τῷ πάθει χρόνου τοῦτό ἐστιν εἰπεῖν ῥᾴδιον, ὅτι τοῖς ἀσελγαίνειν ἐθέλουσι καὶ τοῖς διαμόχθηρον ἔχουσι βίον, οὐδεμία τις ἀπὸ χρόνου πάντως ἔσται βοήθεια. Οὐδὲ γὰρ μοιχοῖς, ἢ λωποδύταις, ἢ τειχω-

VARIÆ LECTIONES.

[20] τούτων τὴν ἁμαρτίαν ἐλέγχων προενομοθ. [21] ἆρα ὅτι μή [22] ἀκριβῶς. [23] λογίζεται. [24] ἁρμόττονται. [25] σαρκί.

[m] *horum peccatum arguens, jam ante sancivit.* [n] *ideo quis qui eum hoc nomine accuset, non habebit?* [o] *licet, inquit, in.* [p] *pro una carne habentur.* [q] *carne propinquum.*

ρύχοις, ἢ ἑτέρως πως ἀδικοῦσιν, ἂν ἐπ' αὐτοφώρῳ ἁλῶσιν, ἀρκέσει πρὸς σωτηρίαν τὸ ἀπὸ χρόνου μακροῦ ταῦτα πραττομένους αὐτοὺς ἔχειν ἀποδεικνύειν· εἰ μήπου καὶ μείζονα ἐπάξει τὴν καταδίκην, πρὸς τὸ δοῦναι δίκας τῶν τολμηθέντων, ὧν τε ἄρτι καὶ ὧν κατὰ τὸν πάλαι χρόνον πεπλημμεληκότες [16] διαποδειχθήσονται. Ἄλλως τε τὸ σεμνὸν τοῦ ἀσέμνου πρωτεῦόν ἐστι [17], καὶ τοῦ καλοῦ δεύτερον [18] ἡ ἀποτυχία· καὶ ἡ ἕξις ἀεὶ τῆς στερήσεως προτερεύουσα· καὶ τὸ σωφρονεῖν ἐπὶ γάμοις, τοῦ τῶν ἀθεμίτων κατατολμᾶν, τῷ χρόνῳ ἐπικρατέστερον. Τίνα γοῦν ἕξει βοηθείας ῥοπὴν τὸ κακὸν χρόνῳ ἐπικυλινδηθὲν μακρῷ τινι καὶ ἀπερικόπῳ [19], ἐπὶ λύμῃ ψυχῶν; Τίνας δὲ ἑτέρους εἴποι τις ἀθεμίτους τῶν γάμων, τοὺς παρόντας παραγραφόμενος; Ἐπὶ γὰρ τῶν ἀνιόντων καὶ κατιόντων, εἰς ἀπέραντον, ὡς ὁ νόμος φησὶ, τὰ τῶν γάμων κεκώλυνται· ἐπὶ δὲ τῶν ἐκ πλαγίου, ἀδελφῶν, ἐξαδέλφων, καὶ τῶν ἀπὸ τούτων τικτομένων, καὶ μόνων. Οὐκοῦν οὐδὲ βαθμός τις ἀνακράσει αἵματος εἰς ἑαυτὸν συμπλεκόμενος ὅλως, εἰς κοινωνίαν γάμου δυσὶν ἀδελφοῖς ἢ ἀδελφαῖς ἀναχαθήσεται, πρὸ τοῦ διαλυθῆναι αὐτῶν τὴν ἐξ αἵματος ἄνωθεν ἀναπλεκομένην σειράν. Πρὸς δὲ τούτοις ἐκεῖνο εἰπεῖν ἔστιν, ὅτι ἐπὶ παντὸς ἔργου καὶ πράγματος, τὸ μὴ ἀποδοχῆς ἄξιον, εἰς ἔργον ἐκβαῖνον ὑπεύθυνον· καὶ τὸ ἐν ἐπαίνου μοίρᾳ τοὺς μὴ πράττοντας ἔχον, ὑπ' εὐθύνην ἄγει τοὺς αἱρουμένους ποιεῖν. Οὐ τοίνυν χώραν ἔχει τὸ λέγειν τὸν τοιοῦτον γάμον ἀνεύθυνον. Οὐδὲ γὰρ οὐ μόνον ἀνεύθυνος, ἀλλ' εἴ πού τις ἐξετάσει διασκοπῶν, μεῖζον τὸ δεῖγμα ἐν τούτῳ τῆς ἁμαρτίας, καὶ τὸ κακὸν τῶν ἄλλων ὀλεθριώτερον. Καί μοι μὴ θορυβείτω πρὶν ἀκούσῃ μηδείς. Τῶν ἐλαττόνων ἀδικημάτων τὰ μείζονά πως ἐφόλκια γίνεται. Καὶ τοῦ φόνου κακὸν ἔλαττον ὁ θυμός· ὁ δ' εὐχερῶς τις [20] ἐπὶ τούτῳ καὶ ῥᾳδίως τῷ πάθει κρατούμενος, τάχα που καὶ τυπτήσει· εἶτα προϊόντος τοῦ [21] χρόνου, τοῦ ἡνιόχου ἐκκυλισθεὶς λογισμοῦ, τῷ πάθει ἁλώσεται. Ὁρᾷς πῶς τὰ ἐλάττονα τῶν ἀδικημάτων αἴτια γίνεται τῶν μειζόνων ἀεὶ, καὶ θύρα τῶν ὀλεθριωτέρων κακῶν ἡ ἐπὶ τούτοις ἀρχή; Καὶ διὰ ταῦτα ὑπὸ δίκην τῶν ἄλλων τὰ τοιαῦτα μᾶλλον ἄγεται [22], ἃ καὶ φυλάττεσθαι πλεῖον τῶν μειζόνων ἐλαττωμάτων ἡ Κυριακὴ φωνὴ ἐγκελεύεται. Ἐῤῥέθη γὰρ, φησὶ, Μὴ πορνεύσῃς· ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἐπιθυμῆσαι ὅλως. Καὶ γέγραπται, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος· ἐγὼ δὲ λέγω ὑμῖν, μηδὲ ἀρχὴν [22a] ὀργισθῆναι. Οἱ τοίνυν δύο ἐξαδέλφας ἀγαγόμενοι ἀδελφοὶ, ἅπαξ τῷ ἀγκίστρῳ περιπαρέντες, καὶ ὁδοῦ

A quovis modo delinquentibus, si in ipso crimine deprehendantur, sufficiet ad salutem si alongo tempore hæc se fecisse probaverint: nisi quod graviorem importabit condemnationem, ut facinorum luat pœnas, tam quæ recens, quam quæ jam pridem commisisse arguetur. Præterea quod honestum est, ante id, quod turpe, primas obtinere debet: et calamitas bono deterior, et habitus semper privationem præcedit: et in nuptiis temperanter se gerere, tempore firmius, quam illicitas audere. Quodnam igitur auxilii momentum erit malo, quod longo aliquo tempore nec interrupto volutatum erit in animarum perniciem? quasnam alias dixerit quis illicitas nuptias, si præsentes exceperit? Nam inter ascendentes et descendentes,
B in infinitum, ut lex ait, nuptiæ sunt prohibitæ: latere autem fratrum, consobrinorum, seu patruelium, et eorum qui ex his nati sunt ac solis. Proinde nec gradus ullus conjunctione sanguinis in se omnino implicatus, ad nuptiarum communionem duobus fratribus aut sororibus miscebitur prius quam ipsorum cognationi continua series per enumerationem superne resoluta sit. Præterea illud dicendum est, in omni opere et negotio, id quod non est commendatione dignum, si effectum sortiatur, pœnæ obnoxium esse. Et quod laudem tribuit non facientibus culpæ subjicit eos qui facere audent. Non est igitur quod hujusmodi nuptiæ extra culpam esse dicantur. Neque enim extra
C culpam tantum est: sed si quis consideratius perpendat, majus in hoc indicium peccati, et malum aliis perniciosus. Nec turbas mihi excitet quis, priusquam audierit. Minorum delictorum majora quodam modo sunt attractoria. Et ira minus malum homicidio: sed si quis in hoc prompte et facile indulgeat affectui, forsitan et pulsabit: procedente deinde tempore q' a ratione deturbatus gubernatrice, affectibus rapietur. Vides ut majoribus delictis minora dent semper causam, et horum initium sit malorum graviorum porta. Ob eam rem etiam eidem cum aliis subjiciuntur pœnæ potius, a quibus magis cavendum quam a majoribus vitiis Domini vox hortatur. Dictum enim est: (inquit) Non mœchaberis. Ego autem dico vobis, non concupi-
D scere prorsus. Et scriptum est: Oculum pro oculo, et dentem pro dente. Ego autem dico vobis, q'' neque initio irasci. Fratres igitur duas consobrinas ducentes, semel hamo capti, et viam ingressi ad exitium, r ad majora fortasse delicta progredien-

VARIÆ LECTIONES.

[16] ὧν πάλαι πεπλημ. [17] προτερεῦόν ἐστι. [18] δευτέρα. [19] ἀπερικόπτῳ. [20] εὐχερής τις. [21] τοῦ χρόνου, χωρήσει καὶ πρὸς μιαιφονίαν ῥᾳδίως. Καὶ τὸ ἐν ἅπασιν ἐπιβάλλειν τὸν ὀφθαλμὸν, παρὰ τῇ φύσει ἀκώλυτον. Εἰ δέ τις τῇ ὁράσει μὴ ἐπιθῇ χαλινὸν, τάχα τι τῶν προσηκόντων ἰδὼν, πρῶτον θαυμάσει, εἶτα θαυμάσας ἐπιθυμήσει, καὶ προϊόντος τοῦ χρόνου, τοῦ ἡνιοχοῦντος ἐκκυλ. [22] ἐπάγονται. [22a] τηναρχήν.

q' *procedente deinde tempore, ad homicidium et jam facile progredietur. Itidem oculum omnibus adjicere, non prohibitum est a natura. Sed siquis visui frenum non injecerit, forte quid gratum conspicatus, primum admirabitur. Deinde admiratus, concupiscet: ac procedente tempore a ratione.* q'' *prorsus non irascendum.* r *ad majores fortassis absurditates prompte prog.*

tur : at si rei minoris peccatum excisum sit, majorum raritas quædam erit. Voluntas igitur facientium, condemnationem acerbam et coronas ubique meretur. Hanc igitur exquirens quispiam, et delitescentem perscrutans, num [s] contumaciter his nuptiis insilientem inveniet, sed cum pedicis quibusdam affectis invitati, captivam in eas præcipitari. Aut enim gloria generis, aut dignitatum fastus, aut divitiæ viri, aut formæ pulchritudo, ad illicitas præcipitarunt nuptias ab iis quæ ubique terrarum sunt permissæ, nec in ullam reprehensionem impedimentum afferentem impegerunt. Has ob causas venit (inquit) ira Dei in filios inobedientiæ, ob easdem causas multi infirmi et ægroti, et dormiunt multi. Ob easdem, pavores terribiles, terræ motus quatientes fundamenta terræ, et civitatum ædificia convellentes, horridæ siccitates, morborum incursus in corpora, hostium insultus, fames denique et pestilentiæ ætatem omnem invadentes, et nec unde accipientes consolationem. Hanc hominum ad exitium proclivitatem, modestia nostra simul cum assidente pientissimorum metropolitanorum et archiepiscoporum synodo sistere cupiens, et a turpi, inhonesto, infamique conjugio, peculiarem Christi populum liberans, vetuit hujusmodi nuptiis inter Christianos amplius locum esse, et ab ullo unquam contrahi. Admonet autem communiter omnes, et ex sancti Spiritus facultate, patris et domini jure definit, ne ex hoc tempore quisquam [t], sive juvenum viribus potentia et divitiis efferatur, [u] sive multitudinis et populi, ad hujusmodi nuptias accedat. Quod si quis quæ hic definita sunt nihili faciens, se in tale conjugium præcipitaverit, aut liberos elocaverit, toto vitæ suæ tempore ab Ecclesia ejectus erit. Nec prius ad pœnitentiam admittetur, quam nuptias diremerit, etiamsi ex iis liberos procrearit. Sacerdos autem qui hujus nuptiis preces concesserit, perpetuæ depositioni subjicietur. Quamobrem et quæ definita hic, exposita sunt, et signata in chartophylacio Dei verbi sophiæ, in posterorum memoriam recondita sunt. Die 21 Februarii, 10 indictionis, anno 6505.

A ἀπαγούσης πρὸς ὄλεθρον ἐπιδάντες, τάχα που καὶ πρὸς τὰ μείζονα τῶν ἁμαρτημάτων χωρήσουσι, τῆς [38] δὲ [τοῦ] ἐλάττονος ἁμαρτίας ἐκκοπτομένης, φειδώ τις πρὸς τὰ μείζονα ἔσται. Ἡ γνώμη τοίνυν ἀπανταχῇ τῶν δρωμένων, καταδίκης [38] πικρᾶς καὶ στεφάνων ἀξία. Ταύτην οὖν ἐξετάζων τις, καὶ γνιάζουσαν ἐρευνῶν, οὐκ [38a] ἀπειθῶς εὑρήσει τοῖς τοιούτοις γάμοις ἐπιπηδῶσαν, μετὰ δέ τινος πέδης πάθους δριμυττομένου, δεσμῶτιν κυλινδουμένην αὐτοῖς. Ἡ γὰρ δόξα γένους, καὶ ὄγκος ἀξιωμάτων, ἢ πλοῦτος ἀνδρὸς, ἢ κάλλους φαιδρότης, τῆς ἁπανταχοῦ γῆς ἐπιτετραμμένων, καὶ μηδένα μῶμον προεπιτριβόντων ἐκκρούσαντα γάμων, πρὸς τὸν ἀθέμιτον ἐξεκύλισαν. Διὰ ταῦτα ἔρχεται, φησὶν, ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· διὰ ταῦτα B πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί· διὰ ταῦτα, δείματα φοβερὰ, σεισμοὶ κλονοῦντες θεμέλια γῆς καὶ πόλεων ἀναστῶντες οἰκοδομάς· αὐχμοὶ φρικώδεις· νόσων κατὰ σωμάτων ἐπιδρομαί· πολεμίων ἐπαναστάσεις, καὶ τὸ τελευταῖον, λιμοὶ καὶ λοιμοὶ, ἡλικίαν πᾶσαν ἀπάγοντες, καὶ μηδαμόθεν παραμυθίαν λαμβάνοντες. Τούτων τὴν ἐν ἀνθρώποις ἐπὶ ὀλέθρῳ φορὰν [38] ἡ μετριότης ἡμῶν, ἅμα τῇ συνεδριαζούσῃ τῶν θεοφιλεστάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων [38], στῆσαι περὶ πολλοῦ ποιουμένη, καὶ τοῦ καταῤῥύπου καὶ ἀπρεποῦς καὶ ἀσέμνου γάμου τὸν περιούσιον λαὸν τοῦ Χριστοῦ ῥυομένη· διωρίσατο μηκέτι τοὺς τοιούτους γάμους χώραν ἐν τοῖς Χριστιανοῖς τοῦ λοιποῦ ἔχειν, μηδὲ παρά τινος μηδέποτε καταπραχθῆναι. Εἰσηγεῖται καὶ πᾶσι κοι- C νῶς, καὶ τῇ ἀπὸ τοῦ ἁγίου Πνεύματος ἐξουσίᾳ πατρικῶς καὶ δεσποτικῶς διορίζεται, ὥστε μηδένα τῶν ἁπάντων, ἀπό γε τοῦ νῦν, κἂν τῶν νέων [37] δυναστείας ἤ τις, καὶ ἐξουσίαις, καὶ πλούτῳ κομῶν, κἂν τῶν πολλῶν καὶ τοῦ δήμου, πρὸς τοιοῦτον γάμον ἐλθεῖν. Εἰ δέ τις ἀπὸ τοῦ παρόντος τὰ διωρισμένα ταῦτα θέμενος παρ' οὐδὲν, πρὸς τὸν τοιοῦτον ἑαυτὸν ἐπιῤῥίψειε γάμον, ἢ ἐπιδῷ τέκνα, τῇ Ἐκκλησίᾳ [39] οὗτος ἐκκήρυκτος ἔσται πάσας τὰς ἡμέρας τοῦ βίου αὐτοῦ· καὶ οὐ πρότερον δεχθήσεται εἰς μετάνοιαν πρὶν ἂν διασπάσῃ τὸν γάμον, κἂν φθάσῃ παῖδας ἀποτεκεῖν. Ὁ δὲ τῷ τοιούτῳ γάμῳ εὐχὴν ἐπιδοὺς ἱερεὺς, καθαιρέσει τελείᾳ ὑποπεσεῖται. Διὸ καὶ τὰ

Qui vero nobiscum hæc consultando perpenderunt et statuerunt metropolitani, sunt hi: Joannes, Heracleæ. Joannes, Ancyræ. Leo, Sardium. Stephanus, Nicomediæ. Daniel, Chalcedonis. Theodorus, Melitenæ. Joannes, Tyanorum. Petrus, Gangrensis. Joannes, Cariæ. Basilius, Iconii. Theophylactus, Antiochiæ. Joannes, Sylæi. Theodegius, Athenarum. Stylianus, Larissæ. Georgius, Trajano-

D Οἱ δὲ μεθ' ἡμῶν συνδιασκεψάμενοι καὶ συνδιορισάμενοι ταῦτα μητροπολῖται, εἰσὶν οὗτοι· Ἰωάννης Ἡρακλείας, Ἰωάννης, Ἀγκύρας, Λέων, Σάρδεων, Στέφανος Νικομηδείας, Δανιὴλ, Χαλκηδόνος, Θεόδωρος, Μελιτηνῆς, Ἰωάννης, Τυάνων, Πέτρος, Γαγγρῶν, Ἰωάννης Καρίας, Βασίλειος Ἰκονίου, Θεοφύλακτος Ἀντιοχείας, Ἰωάννης, Συλαίου, Θεοδήγιος, Ἀθηνῶν, Στυλιανὸς, Λαρίσσης, Γεώργιος, Τραϊανουπόλεως,

ὡρισμένα [40] ἐνταῦθα ἐξετέθη, καὶ σφραγισθέντα τῷ χαρτοφυλακίῳ τῆς τοῦ Θεοῦ λόγου σοφίας, εἰς ὑπόμνησιν τοῖς ἐσομένοις, ἐπρυτανεύθη, κατὰ τὴν κα' τοῦ Φεβρουαρίου μηνὸς τῆς ι' ἐπινεμήσεως, ἐν ἔτει [41] τῷ ,ςφε'.

VARIÆ LECTIONES.

[38] τῶν ἀτοπημάτων ἑτοίμως. [38a] ἀπανταχοῦ τῶν δρώντων, καὶ καταδ. [38a'] οὐκ ἀπαθῶς. [38] φθορᾶν. [38] ἀρχ. συνόδῳ. [37] τῶν ἐν δυν. [38] κἂν πλούτῳ κομῶν. [39] τῆς ἐκκλησίας. [40] διωρισμένα. [41] τῷ ςυἰθ, in aliis.

[s] *non absque affectione his.* [t] *sive quis dynasta sit, ac.* [u] *sive unus ex multis, et plebeius.*

Λέων, Κατάνης, Εὐθύμιος, Φιλίππων, Ἀρσεβήρ, Ἱεραπόλεως, Βασίλειος, τῆς ἁγίας Σεβερινῆς, Νικόλαος, Νέων, Πατρῶν, Στέφανος, Κοτυαείου, Λεόντιος, Σερρῶν, Βασίλειος, Πομπηϊουπόλεως, Φίλιππος Παρίου, Λέων, Κυψέλλων, Κωνσταντῖνος, Κίου, Ἰωάννης, Δέρκου, Ἰωάννης, Λευκάδος, Θεόδωρος, Ῥοΐων [v], καὶ Κωνσταντῖνος, Σουγδαΐας.

politanus. Leo, Catanæ. Euthymius, Philipporum. Arseber, Hierapolitanus. Basilius, S. Severinæ. Nicolaus, Neopatrensis. Stephanus, Cotyaii. Leontius, Serrensis. Basilius, Pompeiopolitanus. Philippus; Parii. Leo, Cypsellorum. Constantinus, Cii. Joannes, Dercous. Joannes, Leucadis. Theodorus, Rhoiorum [v]. Constantinus, Sugdaiæ.

Ἑρμηνεία τοῦ Ζωναρᾶ.

Ὁ συνοδικὸς οὗτος τόμος, εἰ καὶ πολλαῖς παρεκβάσεσι κέχρηται, ἀλλὰ τὸ ὅλον ἐκ τούτου συνάγει. Κωλύει γὰρ δύο ἀδελφοὺς δύο ἐξαδέλφας λαβεῖν, καὶ τὸ ἀνάπαλιν, δύο ἐξαδέλφας δύο ἀδελφούς. Καὶ θεῖον, καὶ ἀνεψιὸν, ἀδελφὰς δύο· καὶ αὖθις, ἀδελφοὺς δύο θείαν καὶ ἀνεψιάν. Καὶ πλέον οὐδέν.

Scholium Zonaræ.

Tomus hic synodalis, tametsi multis digressionibus utitur; in summa tamen hoc concludit. Prohibet enim, ne duo fratres, duas consobrinas uxores accipiant; ac vice versa, ne duo consobrinæ duobus fratribus nubant: neque patruus, aut avunculus et fratris sororisve filius, sorores duas ducant: et rursum, ne fratribus duobus, amita materterave cum fratris sororisve filia nubat. Præter ea nihil continet.

ΣΕΡΓΙΟΥ. B SERGII (4).

Περὶ δωρεῶν καὶ ἐπιδόσεων τῶν μοναστηρίων ἢ φροντιστηρίων.

Ὁ μθ' κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου, τὰ αὐτὰ διοριζόμενος, προστίθησι, μὴ ἐκδίδοσθαι κοσμικοῖς ἀνδράσι τὰ μοναστήρια. Ἐλαλήθη ποτὲ ὡς ὀφείλουσιν ἀκολούθως τῷ τοιούτῳ κανόνι καὶ τῷ παρόντι···· ἀνατραπῆναι αἱ προγενόμεναι πατριαρχικαὶ δωρεαὶ μοναστηρίων πρὸς κοσμικούς· ἀλλὰ μὴν καὶ αἱ ἐπιδόσεις τῶν προσκυρωθέντων ἑτέραις μοναῖς μοναστηρίων, καὶ ἐπανασωθῆναι τῇ μεγάλῃ ἐκκλησίᾳ. Ἀνεγνώσθη δὲ καὶ τόμος τοῦ πατριάρχου ἐκείνου κυρίου Σισιννίου, τὰ αὐτὰ διοριζόμενος. Καὶ τάχα ἔμελλε τοῦτο καὶ εἰς ἔργον ἐλθεῖν. Ὅτι δὲ προεκομίσθη ἕτερος τόμος τοῦ ἁγιωτάτου πατριάρχου ἐκείνου κυρίου Σεργίου, γενόμενος κατὰ μῆνα Μάϊον ἐπινεμήσεως ιδ' τοῦ ,ϛφκδ' ἔτους, ὑπογραφῇ βασιλικῇ κατησφαλισμένος· ἑρμηνεύων τε τὸν μθ' κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ γνωματεύων τὴν ἔκδοσιν μὴ ἐκλαμβάνεσθαι εἰς τὰς δωρεὰς τὰς συντηρούσας τὴν τῶν μοναστηρίων κατάστασιν, ἀλλὰ εἰς τοὺς λαμβάνοντας μοναστήρια, ἐφ' ᾧ ἔχειν αὐτὰ κοσμικὰ κατα γώγια. (Περὶ δὲ τὸ τέλος καὶ ταῦτα ῥητῶς διεξιών. Ἀνατρέπομεν οὖν συνοδικῶς, διὰ τῆς δοθείσης ἡμῖν παρὰ τοῦ ἁγίου Πνεύματος ἐξουσίας, τὴν τὰς δωρεὰς καὶ τὰς ἐπιδόσεις ἀναιροῦσαν ἐκείνην πρᾶξιν, ὡς ἐξ οὐδεμιᾶς ἐπισκοπικῆς συναινέσεως, ἐξ αὐτονόμου δὲ γνώμης γεγενημένην, καὶ μηδὲ βασιλεῖ τῷ φιλοχρίστῳ δεχθεῖσαν, καθὼς φαίνεται καὶ αὐτὸς δωρούμενος μοναστήρια παρὰ τὴν ταύτης ἰσχὺν, καὶ προσέτι φανεῖσαν ἀπ' αὐτῶν τῶν πραγμάτων, οὐ πρὸς ὠφέλειαν τῶν μοναστηρίων, ἀλλὰ πρὸς τέλειον ὄλεθρον καὶ ἀφανισμόν. Ἐπιβεβαιοῦντες δὲ καὶ ἐπικυροῦντες τὸ παλαιὸν καὶ καλὸν λυσιτελὲς ἔθος τῶν μακαρίων καὶ θεοφόρων Πατέρων ἡμῶν, ὁρίζομεν γίνεσθαι δωρεὰς καὶ ἐπιδόσεις ἀκω-

De donationibus et collationibus monasteriorum aut conventuum.

XLIX canon synodi in Trullo eadem decernens, adjicit, non [x] tradenda sæcularibus hominibus monasteria. Dictum est aliquando, canoni et præsenti.... consequenter, debere subverti [y] antiquiores patriarchales monasteriorum sæcularibus factas donationes: quin etiam traditiones [z] monasteriorum aliis monasteriis attributorum et magnæ ecclesiæ reservari. Lectus est et patriarchæ illius domini Sisinnii [a] locus eadem decernens: et id fortasse etiam ad effectum pervenisset. Quia autem sanctissimi illius patriarchæ domini Sergii allata est decisio, quæ mense Maio facta est, indict. 14, anno 6524, C imperatoria subscriptione munita: quæ synodi in Trullo canonem XLIX interpretatur, et statuit, non accipi traditionem [b] in donationibus, quæ statum monasteriorum conservant: sed in iis, qui monasteria accipiunt, ut ea habeant sæcularia diversoria [c]. (Circa finem hæc quoque expresse prosequens. Synodice ergo subvertimus [d] per datam nobis a sancto Spiritu potestatem, actionem illam, quæ donationes et traditiones [e] tollit: ut quæ ex nullo episcopali consensu, sed ex propria auctoritate facta sit, et nec ab imperatore Christi amantissimo suscepta sit, quemadmodum videtur et ipse donare monasteria præter ejus vigorem, et quæ ex rebus ipsis appareat non esse ad monasteriorum utilitatem, sed summam perniciem et exitium. Confirmantes autem et corroborantes antiquam, et bonam, et utilem consuetudinem beatorum et divinorum Patrum nostrorum, statuimus, fieri donationes et [f] citra ullam prohibitionem, ad constitutionem [g] et meliorationem sacrorum, quæ dantur [h] ac donantur, locorum.) Visum est itaque dictos canones debere

VARIÆ LECTIONES.

[v] Ῥοδίων.

[x] *Rhodiorum.* [y] *locanda.* [z] *rescindi.* [a] *locationes.* [b] *tomus, id est, scriptum.* [c] *non intelligi locationem.* [d] *pro sæcularibus diversoriis.* [e] *rescindimus.* [f] *locationes.* [g] *locationes.* [h] *stabilitionem.* [i] *locantur.*

NOTÆ.

(4) Vixit iisdem imperantibus quibus Sisinnius (*supra col.* 727).

exponi secundum præsentem decisionem, quæ fiunt sæcularibus monasteriorum donationes, multo autem magis [a] traditiones, non posse labefactari. Quamobrem ea hucusque sine impedimento servantur.

ALEXII (5).

I. *De nuptiis septimi gradus.*

Præsidente Alexio sanctissimo et œcumenico patriarcha ad dextram partem catechumeniorum, assidentibus ipsi piissimis metropolitanis, Nicolao, Ancyræ, Constantino, Patrarum, Laurentio, Dyrrachii, et Constantino, Chonarum; assistentibus ecclesiasticis magistratibus, adfuit Joannes cubicularius [i], qui ex Euripo appulerat, et hanc proposuit quæstionem : Georgius (inquit) et Nicolaus fratres. Filia Georgii Theodote, Helena autem Nicolai : et rursus Theodotæ filius Demetrius, Helenæ autem Basilius : Demetrii filia Theodote cum Basilio nuptiis conjuncta est. Quærebat an legitimæ essent nuptiæ, necne. Quoniam igitur Basilius septimo gradu Theodotæ constitutus est, lex autem nuptias permittit iis qui octo gradibus a se invicem distant, iis autem, qui sex, prohibet : at iis, qui septimo sunt gradu, nec permittit, nec vetat : et ob eam rem cum similes sæpe motæ essent controversiæ, institutum est, hujusmodi nuptias antequam processerint, non permitti : postquam vero factæ fuerint, non distrahi quidem, sed eos qui sic conjuncti sunt, pœnis subjici : idem fieri rursus definitum est litteris dominicis de simili specie [k] scriptis ad Leonem piissimum metropolitanum Athenarum et syncellum.

Figura septimi gradus cognationis.

Fratres,

Georgius.	Nicolaus

Consobrini,

Theodote	Helene

Sobrini,

Demetrius.	Basilius.

Theodote,

II. *De quodam, qui suo filio per nuptias conjunxit filiam familias alterius, sine patris ejus consensu.*

Petrus, cognomine Bombylas, e Græcia profectus, de [l] nuptiis lege non receptis nostræ retulit mediocritati. Nam me absente, inquit, Nicetas ille, cognomine Chalcutza, uxorem meam Calam, et fi-

λύτως ἐπὶ συστάσει καὶ βελτιώσει τῶν ἐπιδιδομένων καὶ δωρουμένων φροντιστηρίων.) Ἔδοξε τὰ τῶν ῥηθέντων κανόνων ὀφείλειν ἑρμηνεύεσθαι κατὰ τὸν παρόντα τόμον · καὶ τὰς πρὸς κοσμικοὺς γινομένας δωρεὰς τῶν μοναστηρίων, πολλῷ δὲ πλέον τὰς ἐπιδόσεις, ἔχειν τὸ ἀπαρεγχείρητον. Διὸ καὶ μέχρι τοῦ νῦν ἀκωλύτως τοιαῦτα γίνονται.

ΑΛΕΞΙΟΥ.

Α'. *Περὶ γάμου τοῦ ζ' βαθμοῦ.*

Προκαθημένου Ἀλεξίου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς δεξιοῖς μέρεσι τῶν κατηχουμένων, συνεδριαζόντων αὐτῷ θεοφιλεστάτων μητροπολιτῶν, Νικολάου, Ἀγκύρας · Κωνσταντίνου, Πατρῶν · Λαυρεντίου, Δυῤῥαχίου, καὶ Κωνσταντίνου, Χωνῶν · παρισταμένων ἐκκλησιαστικῶν ἀρχόντων · παρέστη Ἰωάννης κουβουκλείσιος, ὁ ἐξ Εὐρίπου ὁρμώμενος, καὶ τοιόνδε προεβάλετο πρόβλημα · Γεώργιος (φησὶ) καὶ Νικόλαος ἀδελφοί · θυγάτηρ Γεωργίου μὲν Θεοδότη, Ἑλένη δὲ Νικολάου · καὶ αὖ πάλιν Θεοδότης μὲν υἱὸς Δημήτριος, Ἑλένης δὲ Βασίλειος · Δημητρίου δὲ θυγάτηρ Θεοδότη τῷ Βασιλείῳ πρὸς γάμον συνεζύγη · καὶ ἐπυνθάνετο εἰ ἔννομος, ἢ μή, ὁ γάμος. Ἐπεὶ οὖν ὁ μὲν Βασίλειος ἑβδόμου βαθμοῦ τῇ Θεοδότῃ καθέστηκεν, ὁ δὲ δὴ νόμος ἐπιτρέπει τοῖς ὀγδόου βαθμοῦ πρὸς ἀλλήλους οὖσι τὸν γάμον, ἀπαγορεύει δὲ τοῖς τοῦ ἕκτου · τοί γε μὴν ἑβδόμου οὐδαμῶς ἐπιτρέπει, οὐδ' ἀπαρνεῖται· καὶ διὰ τοῦτο πολλάκις ὁμοίων ἀμφισβητήσεων κινηθεισῶν, ᾠκονόμηται, τὸν τοιοῦτον γάμον πρὸ μὲν τοῦ προβῆναι, μὴ ἐπιτρέπεσθαι· μετὰ δὲ τὸ γενέσθαι, μὴ διασπᾶσθαι μέν, ἐπιτιμίοις δὲ τοὺς οὕτω συναφθέντας καθυποβάλλεσθαι · ὡρίσθη τὸ αὐτὸ πάλιν πραχθῆναι, γράμματος δεσποτικοῦ περὶ τῆς τοιαύτης ὑποθέσεως γενομένου πρὸς Λέοντα, τὸν θεοφιλέστατον μητροπολίτην Ἀθηνῶν καὶ σύγκελλον.

Τὸ σχῆμα τοῦ ἐξ αἵματος ἑβδόμου βαθμοῦ.

Ἀδελφοί.

Γεώργιος,	Νικόλαος.

Πρωτεξάδελφοι,

Θεοδότη,	Ἑλένη.

Δεύτεροι ἐξαδελφοι,

Δημήτριος,	Βασίλειος.

Θεοδότη.

Β'. *Περὶ τινος ἁρμοσαμένου τῷ ἰδίῳ υἱῷ κόρην γάμου θυγατέρα τινὸς ὑπ' ἐξουσίαν, παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς.*

Πέτρος, τὸ ἐπώνυμον [a] Βομβυλᾶς, ἀπὸ Ἑλλάδος ὁρμώμενος [b], περὶ γάμου τῷ νόμῳ ἀπροσδέκτου τῇ ἡμῶν ἀνήνεγκε μετριότητι. Ἐμοῦ γὰρ, φησὶν, ἀποδήμου τυγχάνοντος, Νικήτας ἐκεῖνος, ᾧ τὸ ἐπίκλην [a]

VARIÆ LECTIONES.

[a] ᾧ τὸ ἐπώνυμον. [b] ὁρμώμενος, τέκνον ἐν Κυρίῳ, περὶ. [a] ᾧ Χαλκούτζης τὸ ἐπώνυμον.

[i] *locationes* | *Cubiculusius oriundus ex Euripo.* [k] *causa vel negotio.* [l] *oriundus, filius in Christo noster, de.*

NOTÆ.

(5) Vixit sub iisdem cum Sergio principibus, et sub Argyropulo, Paphlagone, Caiaphate, Monomacho.

Μηνὶ Ἰουνίῳ ιδ' τῆς αὐτῆς ἐπινεμήσεως ιε', προκαθημένου Νικολάου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τῷ Θωμαΐτῃ, συνεδριαζόντων αὐτῷ θεοφιλεστάτων μητροπολιτῶν ιγ', παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων. Ἠρωτήθησαν οἱ γενομένης παρὰ τοῦ θεοφιλεστάτου μητροπολίτου Φιλιππουπόλεως Βασιλείου τῆς πεύσεως, περὶ τοῦ εἰ χρὴ θεῖον καὶ ἀνεψιὰν θείᾳ καὶ ἀνεψιῷ κατὰ ἀγχιστείαν συνελθεῖν, τοῖς ἄλλοις ἀρχιερεῦσι μὴ συμφωνήσαντες, μηδὲ συναποκριθέντες αὐτοῖς, κατὰ τὰ τηνικαῦτα παρὰ τούτων πρὸς τὴν ῥηθεῖσαν τοῦ Φιλιππουπόλεως πεῦσιν ῥηθέντα, καὶ σημειώματα [88] παραδοθέντα· ἦγουν ὁ Κλαυδιουπόλεως Ἰωάννης, ὁ Καρίας Ἰωσὴφ, καὶ ὁ Εὐχανείας Ἰωάννης, ὁποίου σκοποῦ τυγχάνουσι τῆς τοιαύτης ἕνεκεν πεύσεως ἐπὶ τοσοῦτον διασκεψάμενοι περὶ αὐτῆς, καὶ τί τούτοις περὶ ταύτης δοκεῖ· ἆρα συμφωνοῦσι τοῖς ἑτέροις, ἢ ἐναντιοῦνται τούτοις καὶ ἀντιλέγουσι. Καὶ ἀπεκρήσαντο οἱ τρεῖς ὁμοθυμαδὸν, καὶ διεβεβαιώσαντο κατὰ μηδένα τρόπον διίστασθαι τῶν ἰδίων συλλειτουργῶν, ἀλλὰ καὶ συμφρονεῖν κατὰ πάντα τούτοις, καὶ εἶναι συγγνώμονες [89], ὡς ἀναγνόντες καὶ διαγνόντες ἤδη καὶ τὰ πρότερον διεγνωσμένα καὶ σεσημειωμένα τῷ τε κρατίστῳ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ καὶ τῷ ἁγιωτάτῳ ἡμῶν δεσπότῃ τῷ οἰκουμενικῷ πατριάρχῃ, καὶ τῇ ἱερωτάτῃ συνόδῳ, καὶ τὰ ἐς ὕστερον ἐπιλυθέντα τε καὶ ἑρμηνευθέντα παρὰ τῆς φιλοχρίστου βασιλείας αὐτοῦ, ἐφ' οἷς ἐδόκουν ἔχειν τινὰ ἀμφίβολα, καὶ μηκέτι κατά τι ἀντιλέγοντες, ὡς ἀκωλύτων τῶν τοιούτων συναλλαγμάτων φανέντων [90], καθὰ καὶ προεσημείωται.

III. *De duabus sobrinis non ducendis.*

Vetuit Ecclesia, ne unus et idem secundas consobrinas uxores ducat. Neque enim tum affinitatis septimus, ut nonnulli existimant, colligitur gradus, sed sextus : propterea quod uno gradu vir esse cum uxore censeatur. Hoc siquidem patriarcha Nicolao in quæstionem vocatum, ab Ecclesia prohibitum est.

Γ'. *Περὶ τοῦ μὴ λαμβάνειν δύο δευτέρας ἐξαδέλφας.*

Κεκώλυκεν ἡ Ἐκκλησία, τὸν αὐτὸν καὶ ἕνα δευτέρας ἐξαδέλφας λαμβάνειν. Οὐ γὰρ ἕβδομος ἐξ ἀγχιστείας, ὡς οἴονταί τινες, συνάγεται βαθμὸς, ἀλλ' ἕκτος· διὰ τὸ ἑνὸς βαθμοῦ λογίζεσθαι τὸν ἄνδρα μετὰ τῆς γυναικός. Τοῦτο γὰρ ζητηθὲν ἐπὶ τοῦ πατριάρχου Νικολάου, ἐκωλύθη παρὰ τῆς Ἐκκλησίας.

IV. *De sponsalibus septennis.*

Scito in chartophylacii [x] sexto sanctissimi illius patriarchi domini Nicolai subnotationem insinuatam esse, quæ hæc ad verbum complecitur.

Δ'. *Περὶ μνηστείας τῆς ἑπταετοῦς.*

Γίνωσκε, ὅτι τοῦ σεκρέτῳ τῷ [91] χαρτοφυλακίου σημείωμα κατέστρωται τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Νικολάου, τάδε κατὰ ῥῆμα διαλαμβάνον.

VARIÆ LECTIONES.

[88] σημειώματι. [89] καὶ εἶναι συγκάταινοι. [90] ἀναφανέντων. [91] τῷ σεκρέτῳ τοῦ.

[u] *subnotationi tradita.* [v] *ab amante Christi majestate ipsius, de quibus habere dubia quædam videbantur.* [x] *in secreto scrinii*

NOTÆ.

(8) In manuscripto hic est titulus : Ἡ γενομένη πρὸς τοὺς μὴ συνελθόντας τοῖς λοιποῖς ἀρχιερεῦσιν ἐπὶ τῇ ἐν τῷ ἀνωτέρω σημειώματι δηλουμένῃ ὑποθέσει ἐρώτησις, καὶ ἡ τούτων ἀπόκρισις. *Interrogatio facta ad eos pontifices, qui ad aliorum sententiam non accesserant in ea causa, quæ superiori notatione exponitur : et eorumdem responsio.*

Μηνὶ Ἰουλίῳ, κα', ἡμέρᾳ δ', ἐπινεμήσεως ιε', προ- A
καθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκου-
μενικοῦ πατριάρχου Νικολάου ἐν τῷ Θωμαΐτῃ, συν-
εδριαζόντων αὐτῷ θεοφιλεστάτων μητροπολιτῶν, τοῦ
δεῖνος καὶ δεῖνος· ὁ θεοφιλέστατος μητροπολίτης Κυ-
ζίκου Συμεὼν συνεδριάζων τῇ ἡμῶν μετριότητι, εἶ-
πεν ὡς κληρικὸς τῆς κατ' αὐτὸν μητροπόλεως Ἰωάν-
νης, Διαβατηνὸς ὀνομαζόμενος, ἐμνηστεύσατο Μαρίαν
τινὰ τοῦ Θεοφίλου καλουμένην, ἡλικίας οὖσαν ἑπτα-
ετοῦς. Μαθὼν δὲ τὴν μνηστείαν εἶναι παράνομον, διὰ
τὴν τῆς μνηστῆς ἀνηβότητα, τότε μὲν ἀπέστη ταύ-
της, μετὰ δὲ χρόνους ὀκτὼ νομίμως ταύτην πρὸς γά-
μον ἠγάγετο. Καὶ ταῦτα λέγων, ἤθελε τὸ ποιητέον
ἐπὶ τῷ κληρικῷ μαθεῖν. Ἤκουσεν οὖν ἀπὸ τῆς ἡμῶν
μετριότητος καὶ τῆς συνεδριαζούσης ἀδελφότητος, ὡς
οὐκ ἐπὶ μόνου τοῦ γαμικοῦ συναλλάγματος ἀῤῥαβῶ- B
νας νενόμισται δίδοσθαι, ἀλλὰ καὶ ἐπὶ πάντων τῶν
συναλλαγμάτων· πλὴν οὐκ ἠναγκασμένως, ἀλλ' αὐθ-
αιρέτως. Ὥσπερ τοίνυν ἐπὶ τῶν ἄλλων συναλλαγμά-
των οὐ λέγομεν ἄκυρον εἶναι τὸ γεγονὸς, μὴ δοθέντων
ἀῤῥαβώνων, οὕτω καὶ ἐπὶ τοῦ γαμικοῦ συναλλάγμα-
τος, κἂν ἀῤῥαβὼν ἦτοι μνηστεία προβῇ [92], βέβαιον
ἔσται καὶ ἀδιάσπαστον. Τῆς γοῦν προβάσης μνη-
στείας, ὡς εἴρηται, μέσον τοῦ κληρικοῦ καὶ τῆς Μα-
ρίας, οὔσης ἀνυποστάτου, ἐσεῖται ὁ κληρικὸς ἔχων
ἀδιασείστως τὴν διὰ μόνης γαμικῆς ἱερολογίας ἁρμο-
σθεῖσαν αὐτῷ σύζυγον, ὡς διείληπται. Πρὸ γάμου δὲ
δωρεὰ, δι' ἣν καὶ τὴν μνηστείαν νενομοθέτηται γίνε-
σθαι, μέσον τῶν ὁμοζύγων ἢ τῶν μερῶν αὐτῶν οὐ C
τρακταῖσθήσεται, ἀλλ' ὥσπερ εἰ μηδὲ προέβη μνη-
στεία, μηδὲ πρὸ γάμου παρηκολούθησε δωρεὰ, βέ-
βαιος ὁ γάμος ἔσται καὶ ἀδιάῤῥηκτος.

Mensis Julii die [y] 4, indictione 15, cum sanctissi-
mus noster dominus et œcumenicus patriarcha
Nicolaus in Thomaita præsideret, ac cum ipso Dei
amantissimi metropolitani ille et ille considerent,
Dei amantissimus metropolitanus Cyzici Simeon
cum nostra moderatione [z] considens, dixit, quo-
modo quidam matricis suæ [a] urbis clericus, nomine
Joannes Diabatenus, sponsalia inierat cum quadam
Maria Theophili dicta, quæ esset ætate septennis:
atque intellecto, propter sponsæ impubertatem,
præter jus sponsalia esse inita, tunc ab illa reces-
serat, ac post annos octo legitime ipsam in matri-
monium assumpserat. Atque hæc cum dixisset, quid
de clerico illo faciendum esset, discere voluit. Au-
divit igitur a nostra moderatione, confidentiumque
fratrum cœtu, non solum in nuptiali contractu
arrhas dari receptum esse, verum etiam in cæteris
contractibus omnibus: atque id quidem non coacte,
sed sponte. Quemadmodum igitur in aliis contracti-
bus non dicimus, quod actum est, si arrhæ datæ non
fuerint, esse irritum: ita quoque in contractu
nuptiali, tametsi arra sive sponsalia non processe-
rint, quod actum fuerit, firmum atque indivul-
sum erit. Itaque quanquam quæ inter clericum
et Mariam, ut dictum est, sponsalia processerunt,
subsistere nequeant: habebit tamen indissolubili-
ter clericus uxorem, ipsi per solam nuptialem
consecrationem, ut explicatum est, conjunctam. De
donatione tamen propter nuptias, propter quam
sponsalia etiam fieri consuevere, inter conjuges
ipsorumve partes non tractabitur: sed perinde
atque si sponsalia non processissent, neque ante
nuptias donatio subsecuta esset, firmum erit ma-
trimonium atque indisruptum.

ΣΤΥΠΗ ΚΑΙ ΑΡΣΕΝΙΟΥ.

*Περὶ γάμου δύο ἀδελφῶν μετὰ νύμφης καὶ ἀν-
δραδέλφης.*

Τὸ τοῦ πατριάρχου Στυπῆ ψήφισμα, καὶ τὸ τοῦ
πατριάρχου Ἀρσενίου, δύο ἀδελφοὺς νύμφην λαβεῖν
καὶ ἀνδραδέλφην, ἀκώλυτον εἶναι κρίνουσι.

STUPÆ ET ARSENII (9).

De nuptiis duorum fratrum cum sponsa [b] et glore.

Decretum patriarchæ Stupæ, item et patriarchæ
Arsenii, nequaquam prohibitum indicant, ut duo
fratres sponsam ducant et viri sororem.

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΜΟΥΖΑΛΩΝΟΣ.

*Περὶ μνηστείας δυοῖν πρώτοιν ἐξαδέλφοιν μετὰ
δυοῖν ἀδελφαῖν.*

Τοῦ σεβαστοῦ ἐκείνου καὶ μεγάλου δρουγγαρίου
κυρίου Στεφάνου Κομνηνοῦ μέλλοντος συζευχθῆναι
τῇ κυρίᾳ Εὐδοκίᾳ, τῇ θυγατρὶ τοῦ σεβαστοῦ ἐκεί-
νου καὶ μεγάλου Δομεστίκου κυρίου Ἰωάννου, καὶ
κωλυομένου διὰ τὸ τὴν αὐταδέλφην αὐτῆς κυρίαν
Εἰρήνην μνηστευθῆναι τῷ σεβαστῷ ἐκείνῳ κυρίῳ
Ἀλεξίῳ, τῷ υἱῷ τοῦ πρωτοσεβαστοῦ ἐκείνου κυρίου
Ἰωάννου τοῦ ἀοιδίμου σεβαστοκράτορος, τῷ ὄντι

NICOLAI MUZALONIS (10).

*De sponsalibus duorum consobrinorum fratrumve
patruelium cum duabus sororibus.*

Cum venerandus [b*] ille, et magnus drungarius,
dominus Stephanus Comnenus esset matrimonio
jungendus dominæ Eudociæ, venerandi [c] illius et
magni domestici domini Joannis filiæ, et prohibe-
retur, eo quod soror ejus domina Irene desponsa
esset illi Augusto [d] domino Alexio, protosebasti
domini Joannis inclyti sebastocratoris filio, qui
erat primus patruelis magni drungarii: et fieri non

VARIÆ LECTIONES.

[92] μὴ προβῇ.

[y] *Mensis Julii die* XXI *feria* IV. [z] *mediocritate* [a] *metropolis suæ cler.* [b] *nuru* [b*] *Sebastus. hoc enim palatinæ dignitatis est nomen, ut supra in extremo libro* II. [c] *Sebasti.* [d] *Sebasto.*

NOTÆ.

(9) **Leo Stypiota** vixit sub Calo-Joanne aug. Arsenius vero Autorianus, longe post, sub Lascarino et Palæologino vixit imperio.

(10) Vixit sub Manuele Commeno.

poterat, ut duo primi patrueles duabus sororibus conjungerentur : synodice agitatum est tempore sanctissimi patriarchæ domini Nicolai Muzalonis, an ex eo impediatur magni drungarii contractus; statutum est autem, non impediri, eo quod sponsalia perfecti matrimonii locum non teneant.

πρώτῳ ἐξαδέλφῳ τοῦ μεγάλου δρουγγαρίου· καὶ ἀδύνατον εἶναι δύο πρώτους ἐξαδέλφους δυσὶν ἀδελφαῖς συνάπτεσθαι· ἐλαλήθη συνοδικῶς ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Νικολάου τοῦ Μουζάλωνος, εἰ ἐκ τούτου ἐμποδίζεται τὸ τοῦ μεγάλου δρουγγαρίου συνάλλαγμα. Καὶ διεγνώσθη μὴ ἐμποδίζεσθαι, διὰ τὸ τὴν μνηστείαν τόπον τελείου γάμου μὴ ἐπέχειν.

THEODOTI.

De divortio ab infideli conjuge.

Tempore sanctissimi patriarchæ, domini Theodoti, separatus est a sua infideli uxore Basilius buccinator imperatorius, postquam baptizatus fuerat, decreto patriarchali : utpote quæ a viri suasione induci non posset, ut baptizaretur.

ΘΕΟΔΟΤΟΥ.

Περὶ διαζυγίου ἀπὸ τῆς ἀπίστου γυναικός.

Ἐπὶ τῶν τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Θεοδότου, διεζύγη βασιλικὸς βυκινάτωρ, μετὰ τὸ βαπτισθῆναι, ἀπὸ τῆς ἀπίστου γυναικὸς αὐτοῦ, μετὰ πατριαρχικοῦ ὁρισμοῦ, ὡς μὴ πειθομένης βαπτισθῆναι κατὰ τὴν τοῦ ἀνδρὸς παράκλησιν.

CONSTANTINI CHLIARENI.

De homicidis latronum.

Tempore sanctissimi illius patriarchæ, domini Constantini Chliareni, cum quidam accessissent ad sanctissimam Dei magnam ecclesiam, et se armatos in latrones incidisse dicerent in clausura sancti Basilii [e], et eos interfecisse, et vellent scire, quid agendum : synodaliter disputatum est, an omnes qui latrones interficiunt, debeant indistincte puniri : et dixerunt nonnulli, illum qui potuit latronis insidias [f] effugere, et hoc non fecit, sed eum dedita opera interfecit, non puniri secundum canonem, sed tanquam in homicidam gravius in eum animadverti. Quis enim scit (inquit) an qui in eum impetum faciebat latro, si vixisset, Dei providentia a latrocinio cessasset et Deo adhæsisset ? Utebantur autem [g] et antiqua superius sita lege, quæ dicit : Si non posset tuto effugere, crimini non datur. Sin autem latro violentam manum adversus eum qui ipsum interfecit, intentavit, fiet, quod canon decernit [h]. Atqui lex quoque superius dicta, sic habet : Si autem qui occidit, nec latronem prosecutus est, nec, dum latro eum persequeretur, se defendit, et ipsum occidit; sed propter communem utilitatem incitatus, hoc molitus est, et ipsum interfecit : nec legitime, nec ecclesiastice punietur. Is enim, inquiunt, præmiis quoque dignus est, ut qui multorum animas a morte liberaverit, et locum, qui latronis insidiis, tanquam quibusdam spinis et tribulis, suffocabatur, mansuefecerit. Hoc quoque confirmabant ex lege, quæ sita est in i tit. in libri [h], et decernit eum non esse infamem, qui pro ostentanda virtute cum bestiis pugnaverit, et pro oppugnanda bellua absque canum venatione mercedem [i] acceperit, cum ea bellua provinciam magnopere læderet. Synodo autem [i] visum est, ut quod ad leges Ecclesiæ attinet, et qui se defendentes, et qui propter pu-

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΧΛΙΑΡΗΝΟΥ.

Περὶ φονέων τῶν λῃστῶν.

Ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου ἐκείνου κυρίου Κωνσταντίνου τοῦ Χλιαρηνοῦ, προσελθόντων τινῶν στρατιωτῶν τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ μεγάλῃ ἐκκλησίᾳ, καὶ διηγησαμένων ἐντυχεῖν ἐνόπλοις λῃσταῖς εἰς τὴν κλεισούραν τοῦ ἁγίου βασιλέως[93], καὶ φονεῦσαι αὐτούς· καὶ ζητησάντων τὸ ποιητέον μαθεῖν· γέγονε λόγος συνοδικῶς εἰ ὀφείλουσιν, ἀδιαστίκτως πάντες οἱ φονεύοντες ἐπιτιμᾶσθαι. Καὶ εἶπόν τινες, ὡς εἰ μὲν δυνάμενός τις τὴν ἐπιβολὴν[94] τοῦ λῃστοῦ διαφυγεῖν, οὐκ ἐποίησε τοῦτο, ἀλλ' ἐκ μελέτης αὐτὸν ἐφόνευσεν· οὐχὶ κατὰ τὸν κανόνα ἐπιτιμηθήσεται, ἀλλ' ὡς φονεὺς ἐπὶ πλέον τιμωρηθήσεται. Τίς γὰρ (φησὶν) οἶδεν, ἐὰν ὁ μὴ κατ' αὐτοῦ ἐπιὼν λῃστής, προνοίᾳ Θεοῦ ἐπιζήσας, ἀπέστη τῆς λῃστείας, καὶ τῷ Κυρίῳ προσεκολλήθη ; Ἔχρῶντο δὲ καὶ τῷ παλαιῷ τοῦ καταστρωθέντος ἄνωθεν νόμου, λέγοντι· τουτέστιν, Εἰ μὴ ἠδύνατο φυγεῖν ἀσφαλῶς, οὐκ ἐγκαλεῖται· εἰ δὲ ὁ λῃστὴς μᾶλλον προέτεινε χεῖρα φονεύτριαν κατὰ τοῦ φονεύσαντος αὐτὸν, γενήσεται εἴ τι ὁ κανὼν διορίζεται, ἀλλὰ μὴν καὶ ὁ διαληφθεὶς νόμος. Εἰ δὲ ὁ φονεύσας οὔτε ἐδίωξε τὸν λῃστὴν, οὔτε διωκόμενος ὑπ' ἐκείνου ἀντημύνατο, καὶ ἐφόνευσε τοῦτον· ἀλλὰ διὰ τὸ κοινῇ συμφέρον ἐκ παρακλήσεως ἐμελέτησε, καὶ ἐφόνευσεν αὐτὸν, οὔτε νομίμως οὔτε ἐκκλησιαστικῶς τιμωρηθήσεται. Ὁ τοιοῦτος γὰρ (φησὶ) καὶ ἐπάθλων ἄξιός ἐστιν, ὡς πολλῶν ψυχὰς ἐκ θανάτου ῥυσάμενος, καὶ ἐξημερώσας τὸν τόπον, τὸν ὡσεὶ ἀκάνθαις καὶ τριβόλοις, ταῖς τοῦ λῃστοῦ ἐνέδραις συμπνιγόμενον. Κατεσκεύαζον δὲ τοῦτο καὶ ἀπὸ τοῦ νόμου τοῦ κειμένου εἰς τὸν α' τίτλον τοῦ ιη' βιβλίου, καὶ διοριζομένου, μὴ ἀτιμοῦσθαι τὸν, χάριν ἐπιδείξεως ἀνδρείας, θηριομαχήσαντα, καὶ τὸν λαβόντα μισθὸν ἐπὶ τῷ καταπολεμῆσαι θηρίον ἔξωθεν κυνηγίου, βλάπτον τὴν ἐπαρχίαν. Ἤρεσε δὲ τῇ συνόδῳ τέως, ὅσον κατὰ τοὺς νόμους τῆς Ἐκκλησίας, τοὺς ἀμυνο-

VARIÆ LECTIONES.

[93] τοῦ ἁγίου Βασιλείου. [94] τὴν ἐπιβουλήν.

[e] *in faucibus S. Basilii.* [f] *impetum non poterat tuto fugere, non accusatur. extra arenam mercedem.* [g] *et antiquæ superius insertæ legis interprete, dicente : Id est,* [h] *quod canon decernit. et lex indicata. Si autem qui occidit.* [i] *tamen.*

μένους τοῖς λῃσταῖς, καὶ τοὺς διὰ τὸ κοινῇ συμφέρον ἐκ παρακλήσεως φονεύσαντας λῃστὰς, ἐπιτιμᾶσθαι καθὼς ἐπιτιμῶνται καὶ οἱ ἐν πολέμῳ φονεύσαντες. Τὸν δὲ φονεύσαντα λῃστὴν, ὁπόταν τὴν ἀπὸ τούτου λῃστείαν ἠδύνατο διαφυγεῖν, ἐπὶ πλέον ἐπιτιμᾶσθαι. Κατὰ μέντοι τὰ νόμιμα δίκαια ἡ ἀνωτέρω ῥηθεῖσα διαίρεσις οὐκ ἀπεπέμπετο. Καὶ ταῦτα μὲν περὶ λαϊκῶν. Οἱ γὰρ κληρικοὶ ὁπωσδήποτε φονεύοντες καθαιροῦνται, μηδεμιᾶς διαφορᾶς οὔσης πολεμίων, ἢ λῃστῶν, ἢ ἑτέρων τινῶν.

A blicam utilitatem, deprecatione interposita, latrones interfecerunt, puniantur, quemadmodum puniuntur, qui in bello occiderunt : is autem, qui latronem interfecit, quando poterat suum [k] latrocinium effugere, amplius puniatur. Tamen secundum jura legitima, superius dicta divisio non repudiabitur. Et hæc quidem de laicis. Clerici enim, quomodocunque occidentes, deponuntur, nulla habita differentia hostium, vel latronum, vel aliquorum aliorum.

ΛΟΥΚΑ.

Α'. Σημείωμα συνοδικὸν ἐπὶ τῆς βασιλείας τοῦ Κομνηνοῦ κυρίου Μανουὴλ, πατριάρχου ὄντος Λουκᾶ, περὶ τοῦ μὴ γίνεσθαι γάμον ἑβδόμου βαθμοῦ ἐξ αἵματος.

Μηνὶ Ἀπριλλίῳ ια', ἐπινεμήσεως [98] ιδ', προκαθημένου Λουκᾶ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς δεξιοῖς Ἀλεξιακοῖς κατηχουμένοις [98], συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, τοῦ Καισαρείας, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Μελιτηνῆς, τοῦ Γαγγρῶν, τοῦ Μύρων, τοῦ Καρίας, τοῦ Ἰκονίου, τοῦ Κορίνθου, τοῦ Ἀθηνῶν, τοῦ Μωκισοῦ, τοῦ Κρήτης, τοῦ Λαρίσσης, τοῦ Μιτυλήνης, τοῦ Σμύρνης, τοῦ Νέων Πατρῶν, τοῦ Ἀμάστριδος, τοῦ Δρίστρας, τοῦ Κερκύρων, τοῦ Παροναξίας, τοῦ Μιλήτου, τοῦ Ἀρκαδιουπόλεως, τοῦ Παρίου, τοῦ Σηλυβρίας, τοῦ Προικονήσου, τοῦ Βρύσεως, τοῦ Νίκης, τοῦ Ἀγχιάλου, παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων. Εὐστόχως ὁ σοφώτατος Σολομῶν νόμον καὶ ἔλεον ἐπὶ γλώττης φορεῖν τὴν σοφίαν ἐν παροιμίαις ἐφθέγξατο. Φιλάνθρωπος γὰρ αὐτῆς ὁ νόμος, καὶ τῷ ἐλέῳ συγκέκραται, πᾶν συνοῖσον ὑποτιθέμενος, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας κηδόμενος, καὶ τὰ βλάπτοντα πόρρω ἀποχρινόμενος [97] · καὶ παρανομίαν ἀπείργων, καὶ ἀνομίαν ἀναστέλλων, καὶ συνάγων πάντας πρὸς τὸν Θεὸν, καὶ θεσμοῖς ὑποχεῖσθαι τοῦ καλοῦ καὶ τοῦ δικαίου διαταττόμενος. Ἡ σοφία τοίνυν καὶ σήμερον χρηστευομένη μὲν περὶ τοὺς μὴ τοὺς θείους θεσμοὺς παραβαίνοντας, καὶ ἐπ' αὐτοὺς τὸν ἑαυτῆς ἐκχέουσα ἔλεον, τῷ νόμῳ δὲ τῷ θείῳ τοὺς παρανομοῦντας ὑπάγουσα, μετὰ τοῦ Δαβὶδ ψαλτῳδεῖ συνοδικῶς δι' ἡμῶν, Εἶπα [98] τοῖς παρανομοῦσι, μὴ παρανομεῖτε · καὶ τοῖς ἁμαρτάνουσι, μὴ ὑψοῦτε κέρας, τὸν θεῖον νόμον παραγραφόμενοι [99]. Ἵνα δὲ τὴν τοῦ λόγου πρόθεσιν σαφῆ παραστήσωμεν [1], φέρε τὸν λόγον διαλευκάνωμεν. Ὁ ἱερώτατος Μητροπολίτης Ἀθηνῶν Νικόλαος ὁ ἁγιοθεοδωρίτης, τοῦ ὑπ' αὐτὸν ποιμνίου κηδόμενος, καὶ φροντιστικῶς ἔχων καὶ ἐμμερίμνως, μὴ μόνον τοὺς ἔτι περιόντας τῇ πανευδαίμονι χώρᾳ τῆς Ἀττι-

LUCÆ (11).

I. Subnotatio synodalis sub imperio domini Manuelis Comneni, Luca patriarchatum obtinente, Ne fiant nuptiæ septimi gradus cognationis.

Mense Aprili [l], indictione 14, præsidente Luca sanctissimo et æcumenico patriarcha in dextris Alextacis catechumeniis assidentibus magnæ ipsius sanctitati sacratissimis antistitibus, Cæsariensi, Heracliensi, Cyziceno, Nicomediensi, Nicæno, Melitenico, Gangrensi, Myrensi, Cariensi, Iconiensi, Corinthio, Atheniensi, Mocisio, Cretensi, Larisseno, Mitylenæo, Smyrnæo, Neopatrensi, Amastridis, Dristræ, Corcyrensi, Paronaxio, Milesio, Arcadiopolitano, Pariensi, Selybriensi, Prœconesio, Brysensi, Nicensi, Anchialino : astantibus et dominicis magistratibus. Eleganter sapientissimus Solomon in Proverbiis dixit sapientiam in lingua ferre legem et misericordiam. Benigna enim ejus lex, et misericordiæ commista est, suggerens quiquid conducturum est, et hominum salutis curam habens, secernensque [m] procul ea, quæ officiunt, et iniquitatem prohibens scelusque coercens, et congregans omnes ad Deum, ac ut æqui et boni subjiciantur institutis, præcipiens. Sapientia igitur divina etiam hodie benigne agens circa eos, qui divina non transgrediuntur instituta, et in eos suam effundens misericordiam, legi autem divinæ subjiciens inique agentes : cum Davide per nos synodice canit carmen, Dixi [n] inique agentibus. Ne inique agatis : et peccatoribus, Ne erigatis cornu : adversus divinam legem præscriptione utentes [o]. Ut autem orationis propositionem perspicuam exhibeamus, age, eam elucidemus. Sacratissimus metropolitanus Athenarum Nicolaus Hagiotheodoritus, sui gregis curam habens, et sollicite cogitabundeque se gerens, non solum ut superstites adhuc in felici Attica regione et Athenis [p] educatos [q], mundos sistat Deo, sed et ut posteri per generationem esse incipiant, legitimas habeant generationis primitias, et justas primas nuptiarum conventiones,

VARIÆ LECTIONES.

[98] ια' ἡμέρᾳ, β' ἐπινεμήσεως ιδ'. [98] κατηχουμενείοις. [97] ἀποκρουόμενος. [98] εἶπατε. [99] περιγραφόμενοι. [1] παραθήσομεν.

[k] *ejus* [l] *Mensis Aprilis die* XI, *feria secunda.* [m] *removensque* [n] *Dicit.* [o] *legem divinam circumscribentes.* [p] *versantes* [q] *sed etiam ut per ortum in rerum naturam producendi*

NOTÆ

(11) Cognomen huic *Chrysoberges*, qui sub Comneno vixit.

ut non solum in vitæ commercio, prout per humanam fragilitatem licet, inculpati sint, sed et in nuptialibus contractibus id consequantur, ne divinam legem et Deum offendant, requirens prohiberi nuptias septimi gradus cognationis illegitime contractas : synodaliter retulit nostræ modestiæ [r], quosdam ea, quæ a beatæ memoriæ sanctissimo patriarcha illo domino Alexio, synodice constituta sunt de contrahentibus matrimonium in septimo cognationis gradu, data opera depravare, dum non ad eorum sententiam respiciunt, sed verbis oscitanter inhærent. Nam illo quidem synodice nuptias septimi gradus prohibente, si earum petita fuerit venia : sin minus, eas indivulsas manere permittente, sed eos qui contraxerunt, pœnis subjiciente ; idque omnino sic fieri definiente, et si qui coeunt [s], ignorantes quoto gradu a se invicem distent, tales nuptias contraxerint : (quonam enim modo, si non ita hoc illi sanctissimo patriarchæ excogitatum sit [t], de una eademque re velut contraria quædam definita sint ? quonam autem modo quod cum dolo clam factum est, indivulsum manere constituit, qui non permittit fieri, si ejus venia petatur ?) quosdam igitur illud videntes, quemadmodum nostræ mediocritati relatum est, seque septimi gradus esse scientes, et, si hujus modi contractus sub interrogationem cadat, nullo modo permissum iri : de industria, maligne agere, timori Dei et canonicæ constitutioni propriarum libidinum expletionem præferentes, quod vel florente pulchritudine victi, aut fluentibus divitiis adducti, aut generis sublimitate pertracti fuerint.

Nostra igitur [u] moderatio, partim pro divina lege propugnans, partim hujusmodi facinorum paternam curam habes [v] : iis enim divinitus immittet, ut inobedientiæ filiis, intolerabilis ira, ut autem horam aliquando et ambo talia committentes mortis gladio exscindantur, aut per mortem omnino alter ab altero separetur, quod tales nuptiæ, non sint nuptiæ, sed nuptiarum dissolutiones : et talis conjunctio, separatio potius et exitium ; et talis conversatio, eversio potius et interitus. Pulchritudinis etiam fruitio, hujus vitæ dissolutiones : generis exaltatio, destructio potius, et in infernum ducens viam ; et divitiarum satietas, eorum potius quæ cernuntur, privatio constitit [w]. propter hæc igitur moderatio nostra, cum sacrosancta fraternitate, factam a sanctissimo patriarcha domino Alexio synodalem dispensationem in nuptiis septi-

A κῆς καὶ τρεφομένους [s] Ἀθήναζε, ἀγνοὺς παραστῆσαι Θεῷ, ἀλλὰ καὶ τοὺς μέλλοντας εἰς τὸ εἶναι διὰ γενέσεως ἔρχεσθαι, ἐννόμους ἔχειν τὰς ἀπαρχὰς τῆς γεννήσεως, καὶ ἐνθέσμους τὰς πρώτας πρὸς γάμον συναγωγὰς [t], ὡς μὴ μόνον ἐν ταῖς βιωτικαῖς συναλλαγαῖς ἔχειν ὡς ἐξῆν ἀνθρώποις τὸ ἄμεμπτον, ἀλλὰ κἂν τοῖς γαμικοῖς συναλλάγμασι κεκτῆσθαι πρός τε τὸν θεῖον νόμον καὶ πρὸς Θεὸν τὸ ἀπρόσκοπον, τὸν ἐκ τοῦ ἑβδόμου ἐξ αἵματος [u] βαθμοῦ συνιστάμενον γάμον ἀθέσμως, ζητῶν κωλυθῆναι συνοδικῶς, τῇ ἡμῶν ἀνήνεγκε μετριότητι, ὥς τινες τὰ παρὰ τοῦ ἐν μακαρίᾳ τῇ λήξει τοῦ ἁγιωτάτου πατριάρχου ἐκείνου κυρίου Ἀλεξίου συνοδικῶς οἰκονομηθέντα ἐπὶ τοῖς ἐξ αἵματος ἑβδόμου βαθμοῦ γαμικὸν συνιστῶσι συνάλλαγμα, παραχαράττουσιν ἐχοντι, μὴ πρὸς τὸν ἐγκείμενον B τούτοις νοῦν ἀποβλέποντες, ταῖς δὲ λέξεσι κακοσχολαίως ἐναπομένοντες. Ἐκείνου γὰρ συνοδικῶς τὸν ἐξ ἑβδόμου γάμον βαθμοῦ εἰ μὲν ἐρωτηθείη, κωλύοντος γίνεσθαι · εἰ δὲ πρὸ ἐρωτήσεως γένηται, μένειν μὲν ἀδιάσπαστον ἐπιτρέποντος, ἐπιτιμίοις δὲ τοὺς συναλλάξαντας ὑποβάλλοντος, καὶ τοῦτο πάντως οὕτω διοριζομένου γίνεσθαι, εἴτε [x] οἱ συναπτόμενοι, ἀγνοοῦντες ὁποίου πρὸς ἀλλήλους εἶεν βαθμοῦ, τὸν τοιοῦτον γάμον συστήσονται [y] · πῶς γὰρ ἄν, εἰ μὴ οὕτω τοῦτο ἐκείνῳ τῷ ἁγιωτάτῳ πατριάρχῃ νενόηται [z] περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος οἷον ὑπεναντία τινὰ κεκανόνιστο ; Πῶς δὲ τὸ ἐπιβούλως κρύφα πραττόμενον, μένειν ἀδιάσπαστον διετάξατο, ὁ μηδὲ γίνεσθαι συγχωρῶν τοῦτο πεσὸν ὑπ' ἐρώτησιν ;) τοῦτο γοῦν τινὲς εἰδότες, ὡς ἀνήνεκται τῇ C ἡμῶν μετριότητι, καὶ ὡς ἑβδόμου βαθμοῦ τυγχάνουσιν ἐπιστάμενοι, καὶ ὡς εἰ πέσῃ τὸ τοιοῦτον συναλλαγμα ὑπ' ἐρώτησιν, πάντως οὐδ' ὅλως προβῆναι συγχωρηθήσεται · κακουργοῦσιν ἐπίτηδες, φόβου θείου καὶ κανονικῆς ἐπίπροσθεν διατάξεως τὴν τῶν οἰκείων ἐκπλήρωσιν θελημάτων τιθέμενοι · ὡς ἡ τοῦ ἀμαράντου κάλλους ἡττώμενοι, ἢ πλούτῳ τῷ ῥέοντι ὑπαγόμενοι, ἢ καὶ γένους ὑπεροχῇ ὑφελκόμενοι.

Ἡ τοίνυν μετριότης ἡμῶν, τοῦτο μὲν, τοῦ θείου νόμου ὑπερμαχοῦσα, τοῦτο δὲ, καὶ τῶν οὕτω τούτου [a] κατατολμώντων πατρικῶς κηδομένη (ἔρχεται γὰρ ἐπ' αὐτοὺς [b], ὡς υἱοὺς ἀπειθείας, θεόθεν ὀργὴ ἀνυπόστατος, ὡς πρὸ ὥρας ἔστιν οὗ καὶ ἄμφω τοὺς δεδρακότας τοιαῦτα τῷ τοῦ θανάτου ξίφει ἐκτέμνεσθαι, ἢ πάντως θάτερον τοῦ ἑτέρου ἀποδίστασθαι διὰ θανάτου [c]. Ὅτι μηδὲ γάμος ὁ τοιοῦτος γάμος, ἀλλὰ γάμου κατάλυσις · καὶ ἡ τοιαύτη συνάφεια, D διάστασις μᾶλλον καὶ ὄλεθρος · καὶ ἡ τοιαύτη διὰ γάμου συναναστροφὴ, καταστροφὴ μᾶλλόν ἐστι καὶ ἀπώλεια · ἥ τε τοῦ κάλλους ἀπόλαυσις, τοῦ ἐνθάδε βίου ἀπόλυσις · ἥ τε τοῦ γένους ἀνύψωσις, καθαίρεσις μᾶλλον καὶ ὁδὸς εἰς ᾅδην ἀπάγουσα [d] · καὶ ἡ τοῦ πλούτου πλήρωσις, τῶν ὁρωμένων μᾶλλον κάθεστηκε στέρησις.) Διὰ γοῦν ταῦτα ἡ μετριότης ἡμῶν, μετὰ τῆς ἱερᾶς ἀδελφότητος, τὴν γεγονυῖαν παρὰ

VARIÆ LECTIONES.

[s] στρεφομένους. [t] συναλλαγάς. [u] τὸν τοῦ ἕκτου βαθμοῦ ἐξ αἵματος. [x] εἴ γε. [y] συστήσαιεν. [z] νενόητο. [a] οὕτω τούτου. [b] ἐπὶ τοὺς υἱούς. [c] θανάτῳ διίστασθαι. [d] κατάγουσα.

[r] *mediocritati.* [s] *siquidem ii, qui coeunt.* [t] *intellectum sit.* [u] *mediocritas.* [v] *existit :*

τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Ἀλεξίου συνοδικὴν [12] οἰκονομίαν, ἐπὶ τῷ [13] ῥητῶς ἐπὶ τοῦ πολιτικοῦ νόμου μὴ κωλυθέντι ἐπὶ τοῦ ἑξ [14] αἵματος ἑβδόμου βαθμοῦ γάμῳ [15], μήτε καθαρῶς ἐπιτραπέντι, κρατύνουσα καὶ στηρίζουσα, καὶ οἷον ἐφερμηνεύουσά τε καὶ σαφηνίζουσα· ἅμα δὲ καὶ τὸ τῶν πολλῶν κακοῦργόν τε καὶ περίεργον περικόπτουσα, καὶ οἷον ἐκ ῥίζης αὐτῆς ἀνασπῶσα, ἵνα μὴ καὶ ἔτι [16] παρανομίας ἐξανατείλῃ βλαστήματα, καὶ τέκνα μωμητὰ πληθυνθῇ, καὶ υἱοὶ τῶν θείων νόμων αὐξηθῶσιν ἀλλότριοι· τὸν ἐκ τοῦ τοιούτου γάμον βαθμοῦ οὐ μόνον ἐρωτώμενον προβαίνειν κωλύει, ἀλλὰ καὶ πρὸ ἐρωτήσεως γεγενημένον διασπᾶσθαι διακελεύεται· παντελῆ τοῦ τοιούτου γάμου ἀργίαν καταψηφιζομένη ἀπὸ τῆς σήμερον· τῶν φθασάντων γενέσθαι τοιούτων γάμων, μένειν πάντως ὀφειλόντων ἀδιασπάστων. Τὸ γοῦν ἀπὸ τοῦδε οἱ τοιοῦτον γάμον συστῆσαι τολμήσοντες, οὐ μόνον τοῦ οἰκείου σκοποῦ οὐδαμῶς ἀπολαύσουσιν, ἀλλὰ καὶ μετὰ τῆς τοῦ τοιούτου συναλλάγματος διασπάσεως, καὶ ἀφορισμῷ καθυποβληθήσονται, ὡς συγγενικὰ συγχέοντες αἵματα, καὶ ὡς τοῦ παρόντος συνοδικοῦ ὁρισμοῦ καταφρονηταί· οἵ τε τοῖς οὕτω συναλάττουσι συναινέσοντες, αὐστηρίας κανονικῆς πειραθήσονται, καὶ οἱ ἱερολογῆσαι τολμήσοντες καθαιρέσει ὑποβληθήσονται.

A mi gradus cognationis nominatim non prohibitis lege civili, neque manifeste permissis, corroborans et firmans, ac veluti interpretans et declarans, simul etiam multorum fraudem et versutiam resecans, et quasi ab radice exstirpans, ne ullæ amplius iniquitatis exoriantur propagines et reprehensionem merentibus liberis respublica impleatur, filiorumque a divinis legibus alienorum crescat numerus: nuptias septimi gradus non solum postulatas procedere vetat, sed et ante postulationem contractas distrahi jubet: ab hodierno die discernens, ut hujus modi nuptiæ omnino fieri desinant: quæ autem jam factæ sunt, manere debeant indivulsæ. Qui igitur tales nuptias ab hoc tempore contrahere ausi fuerint, non tantum sua frustrabuntur ipsi. sed et cum hujus modi contractus dissolutione excommunicationi subjicientur, velut cognationis sanguinem [x] confundentes, et præsentis synodicæ definitionis contemptores, si etiam, qui eum contractum ineuntibus consensum præstiterint, severitatem canonicam experientur, et qui sacram benedictionem facere ausi fuerint, depositioni subjiciuntur.

Ταῦτα ἀπὸ τῶν συνοδικῶν σχεδαρίων παρεκβληθέντα, τῇ σφραγῖδί τε καὶ ὑπογραφῇ τοῦ τιμιωτάτου ἀρχιδιακόνου καὶ χαρτοφύλακος τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας συνήθως βεβαιωθέντα, ἐπεδόθη μηνὶ καὶ ἐπινεμήσει τοῖς προγεγραμμένοις, ἔτους ϛχοδ'. Ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ ἀρχιδιάκονος Ἰωάννης ὁ Ἁγιοφλωρίτης, ὑπέγραψε.

Hæc ex synodicis chartulis prolata, sigillo et subscriptione in primis venerandi archidiaconi et chartophylacis sanctissimæ magnæ Dei ecclesiæ pro more confirmata, data sunt mense et indictione supra scriptis, anni 6674. Cartophylax sanctissimæ magna ecclesiæ et archidiaconus Joannes Hagioflorita, subscripsit.

Β'. *Περὶ κληρικῶν κοσμικαῖς ἑαυτοὺς συμπλεκόντων φροντίσι.*

Τὸ σημείωμα τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Λουκᾶ ἔχει οὕτως· Μηνὶ Δεκεμβρίῳ η', ἡμέρᾳ α', ἐπινεμήσεως ς'.

Εἰ καὶ Ὀζᾶν ἐκεῖνος, τῆς θείας κιβωτοῦ παρατραπείσης ἁψάμενος, οὐ μικρὸν κατεκρίθη τὸ ἐπιτίμιον· καίτοι σκοπὸς ἦν αὐτῷ πρὸς ἀνόρθωσιν ταύτης, οὐ πρὸς καθαίρεσιν· τίς οὕτω τολμηρὸς, καὶ εἰς ἐσχάτην ἀναίδειαν καὶ ὑπερηφανίαν ἐξενεχθείς, πνεύματι πάντως ἀγόμενος πονηρῷ· ὃς μὴ μόνον οὐκ ἐπανορθοῦν αἱρεῖται τὰ θεῖα καὶ πνευματικὰ διατάγματα, ἀλλὰ καὶ τὴν ἐναντίαν τρεπόμενος, παρασαλεύειν ταῦτα καὶ καθαιρεῖν ἀναιδεύεται, καὶ παραλύειν τὰ παγίως ἡδρασμένα, καὶ παρακινεῖν τὰ ἀσάλευτα, ὡκοδομημένα (καθώς φησιν) ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν. Διὰ τοῦτο καὶ ἡ μετριότης ἡμῶν, οὐκ ἀνασχετὸν ἡγησαμένη πονηρὰν συνήθειαν καὶ ἔτι κρατεῖν, μιγνῦσαν θειά τε καὶ ἀνθρώπινα καὶ τῇ τῆς Ἐκκλησίας καταστάσει, τῆς ἀμωμήτου νύμφης Χριστοῦ, σπίλους οὐ

II. *De clericis se immiscentibus sæcularibus negotiis.*

Subsignatio sanctissimi patriarchæ domini Lucæ sic habet: Mense Decembri, 8 die, 1 indictione 6 [y].

Si et Ozan ille, qui divinam arcam, quæ evertebatur, attigit, non pario supplicio affectus est: atqui ejus erat [z] institutam illam erigere, non perdere: quis est adeo audax, et ad extremam usque impudentiam arrogantiamque elatus, malo omnino spiritu ductus, qui non solum non vult divina et spiritalia mandata erigere, sed etiam in contrarium detorquens, ea labefactare ac destruere impudenter molitur, eaque dissolvere, quæ firme ac stabiliter locata sunt: et ea commovere, quæ conquassari non possunt: ut quæ sint ædificata (ut aiunt [a]) supra fundamentum apostolorum et prophetarum. Propterea nostra quoque moderatio [a'] non ferendum esse rata, malam consuetudinem adhuc servari, quæ divina et humana confundit, et Ecclesiæ (quæ est ab omni reprehensione aliena Dei sponsa)

VARIÆ LECTIONES.

[12] συνοδικῶς. [13] ὑπὸ τοῦ. [14] ἐπὶ τῶν ἑξ. [15] γάμων. [16] ἵνα μηκέτι παραν.

[x] *cognatum sanguinem* [y] *Mensis Decembris die* VIII, *feria prima, indictione sexta.* [z] *licet ejus esset* [a] *sicut ille inquit,* [a'] *mediocritas*

constitutioni[b] non vulgares maculas inurere, quæque superbia, et vana negotiatione [c], et in iis quæ sunt abjecta, et ea indigna : studio et labore, et turpibus præterea lucris ejus honestatem splendoremque potuit : visum est eam esse radicitus evellendam, ut non amplius enascatur radix amaritudinis, secundum divinum apostolum, præsentem [d] nostram spiritalem et paternam doctrinam, [e] quæ scopum quidem aperte declarat causæ propositæ de iis, qui sacram auctoritatem sortiti sunt, et sæcularibus seipsos magistratibus et dignitatibus curisque ac negotiis implicant. Ad verbum autem sic habet : Ii qui sacerdotalem (inquiunt divini Patres) dignitatem sortiti sunt, testimonia et præclara facta sunt canonicarum constitutionum informationes : quas etiam lubenter admittentes, ad Dominum Deum cum David Dei præcone canimus, In via testimoniorum tucrum delectatus sum, tanquam in omnibus divitiis. Et rursus, Mandasti justitiam : testimonia tua in ævum : doce me, et vivam. Quod si vox prophetica nos jubet in ævum Dei testimonia custodire, et in ipsis vivere, ea scilicet inconcussa et nulla ratione labefactanda permanent. Nam divinus quoque Moses sic inquit, Non licet eis addere, nec detrahere.

Cum hæc itaque ita sint, et nobis testimonium ferant, in eis exsultantes, tanquam si quis multa spolia invenerit, divinos lubenter canones amplectimur, et eorum constitutionem integram et inconcussam manere toto animo eligimus [f]. Quoniam autem nonnullos eorum, qui sunt in clero constituti, novimus sæcularibus negotiis contra canones se implicare; hos quidem, domorum, magistratuum, vel possessionum curationes administrationesque suscipientes; illos vero, etiam publicorum vectigalium exactiones, vel aliorum capitum, vel earum, quæ navibus portantur specierum inquisitiones [g], vel colligendarum pecuniarum rationumque reddendarum munera, vel aliquod hujusmodi officium, non in ecclesiasticis, sed sæcularibus negotiis, nonnullisque [h] eorum civiles etiam magistratus dignitatesque esse attributas : eis præcipimus ut deinceps cessent a prædictis omnibus; in ecclesiasticis autem negotiis officiisque versentur, nisi velint ei, quæ sacris divinisque canonibus placuit, gradus quem habent ecclesiastici, depositioni subjici. Etsi enim longa consuetudine quidam se confirmari stabilirique existimant, quod non pauci ante eos illa susceperint : præterea autem dicunt imperiales administrationes, sæcularesque dignitates, et officia, similiaque munera et magistratus, sacratis hominibus commissos, processisse : non tamen trahentur ad exemplum. Quia enim [i] est citra controversiam, nec sacros ac divinos de iis canones intercidisse :

A τοὺς τυχόντας προσεπιτρίβουσαν · καὶ τύφῳ καὶ ἀσχολίᾳ ματαίᾳ, καὶ τῇ περὶ τὰ εἰκαῖα. Καὶ ταύτῃ ἀπάδοντα διαπονήσει τε καὶ σπουδῇ, ἔτι γε μὴν καὶ ἀκερδέσι τὸ σεμνὸν ταύτης καταῤῥυπαίνουσαν · ηὐδόκησε ῥιζόθεν ταύτην ἀποτεμεῖν · ἵνα μὴ ῥίζα πικρίας καὶ ἔτι φυῇ κατὰ τὸν θεῖον ἀπόστολον, διὰ τῆς παρούσης ἡμετέρας πνευματικῆς καὶ πατρικῆς διαλαλιᾶς, τῆς δηλούσης μὲν τὸν σκοπὸν φανερῶς τῆς προτεθείσης ὑποθέσεως, περὶ τῶν ἱερὰν ἀξίαν λαχόντων, καὶ κοσμικαῖς ἑαυτοὺς συμπλεκόντων ἀρχαῖς, καὶ ἀξίαις, καὶ φροντίσι, καὶ πράγμασιν · οὕτω δὲ κατὰ ῥῆμα ἐχούσης · Τοῖς τὴν ἱερατικὴν (φασὶν οἱ θεῖοι Πατέρες) λαχοῦσιν ἀξίαν, μαρτύριά τε καὶ κατορθώματα αἱ τῶν κανονικῶν διατάξεων ὑποτυπώσεις εἰσίν. Ἃς καὶ ἀσμένως δεχόμενοι, B πρὸς τὸν δεσπότην Θεὸν μετὰ Δαβὶδ τοῦ θεοφάντορος ᾄδομεν, Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ. Καὶ αὖθις, Ἐνετείλω δικαιοσύνην. Τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα. Συνέτισόν με, καὶ ζήσομαι. Καὶ εἴπερ εἰς τὸν αἰῶνα, φυλάττειν ἡμῖν ἐντέλλεται ἡ προφητικὴ φωνὴ τὰ μαρτύρια τοῦ Θεοῦ, καὶ ζῆν ἐν αὐτοῖς, δῆλον ὡς ἀκράδαντα. Καὶ ἀσάλευτα διαμένουσιν · ὅτι οὕτω φησὶ καὶ ὁ θεόπτης Μωϋσῆς, Ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν.

Τούτων τοίνυν οὕτως ὄντων καὶ διαμαρτυρουμένων ἡμῖν, ἀγαλλιώμενοι ἐπ' αὐτοῖς, ὡς εἴ τις εὕρῃ σκῦλα πολλὰ, τοὺς θείους ἀσπασίως κανόνας ἐνστερνιζόμεθα, καὶ τὴν αὐτῶν διαταγὴν ὁλόκληρον καὶ C ἀσάλευτον μένειν ὁλοψύχως αἱρούμεθα. Καὶ ἐπειδὴ τῶν ἐν κλήρῳ τεταγμένων τινὰς ἐγνώμεν πράγμασι κοσμικοῖς ἐμπλέκοντας ἀκανονίστως ἑαυτούς· οὓς μὲν, κουρατωρείας καὶ προνοήσεις οἴκων ἀρχοντικῶν ἢ κτημάτων ἀναλαμβάνοντας· οὓς δὲ, καὶ δημοσίων τελῶν εἰσπράξεις, ἢ κεφαλαίων ἑτέρων, ἢ ἐξελάσεις πλωΐμων, ἢ δὴ καὶ ἀναγραφὰς, ἢ λογοποιίας, ἢ καὶ ἑτέραν ὁμοίαν ἐνέργειαν· οὐκ ἐπὶ πράγμασιν ἐκκλησιαστικοῖς, ἀλλὰ κοσμικοῖς· ἐνίους δὲ καὶ ἀξίας τε καὶ ἀρχὰς, τοῖς τῆς πολιτείας ἀπονενεμημένας· τοῖς τοιούτοις παρεγγυώμεθα, παύσασθαι τοῦ λοιποῦ τῶν εἰρημένων ἁπάντων, ταῖς ἐκκλησιαστικαῖς δὲ χρείαις προσευκαιρεῖν. Εἰ μὴ βούλοιντο τῇ δεδογμένῃ τοῖς θείοις καὶ ἱεροῖς κανόσι καθαιρέσει τοῦ προσόντος αὐτοῖς ἐκκλησιαστι- D κοῦ βαθμοῦ ὑπαγαγεῖν ἑαυτούς. Εἰ γὰρ καὶ μακρᾷ συνηθείᾳ ἐδράζεσθαί τινες οἴονται, τοιαῦτα μετιέναι καὶ πρὸ αὐτῶν οὐκ ὀλίγους, πρὸς δὲ καὶ βασιλικὰς φασι προβῆναι οἰκονομίας, ἀνατεθείσας ἱερωμένοις, ἀξίας τε κοσμικὰς καὶ ὀφφίκια, ἢ ἐνεργείας ὁμοίας, εἴτε ἀρχάς· ἀλλ' οὐχ ἑλκυσθήσονται πρὸς ὑπόδειγμα. Ἐπειδὴ γὰρ οὔθ' ὑπ' ἀμφιβολίαν οἱ περὶ τούτων ἱεροὶ καὶ θεῖοι κανόνες ἔπεσον, οὔτε δοκιμασία τις καὶ διάγνωσις ἔγγραφος προβεβήκει παρά τε τοῦ κατὰ καιρὸν τὰ τῆς βασιλείας σκῆπτρα διέποντος, ἔτι δὲ καὶ ἁγιωτάτων πατριαρχῶν καὶ συνόδων, τούτους

VARIÆ LECTIONES.

[b] *statui* [c] *occupatione,* [d] *per præsentem* [e] *interlocutionem,* [f] *optamus* [g] *descriptionum* [h] *nonnullos denique, tam dignitates, quam magistratus, ad homines politicos pertinentes :* [i] *Quia enim nec in dubium tancti de iis ac divini canones vocati sunt, nec ulla.*

αὐτοὺς παραθραύωσα· οὐ τοὺς γεγραμμένους κανόνας αἱ τοιαῦται οἰκονομίαι καὶ ἡ μὴ δοκιμασθεῖσα συνήθεια ὅλως παρισαλεύουσιν, αὗται δὲ μᾶλλον ὑπὸ τούτων τοὐναντίον τέλεον συντριβήσονται· ὡς χύτρα, κατὰ τὸν Σολομῶντα, προσκρούσασα λέβητι. «Πύλαι δὲ (φησὶν) ᾅδου τῆς ἁγίας Ἐκκλησίας οὐ κατισχύσουσιν,» οἰκοδομηθείσης παρὰ Κυρίου ἐπὶ τῷ θεοκήρυκι Πέτρῳ, τῷ σὺν τοῖς λοιποῖς ἁγίοις ἀποστόλοις νομοθετήσαντι οὕτως ἐν τῷ ς' κανόνι αὐτῶν· ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω· εἰ δὲ μή, καθαιρείσθω. Ὡσαύτως καὶ ἐν τῷ πα' εἴπομεν, ὅτι μὴ χρὴ ἐπίσκοπον ἢ πρεσβύτερον καθιέναι ἑαυτὸν εἰς δημοσιακὰς διοικήσεις, ἀλλὰ προσευκαιρεῖν ταῖς ἐκκλησιαστικαῖς χρείαις. Ἢ πειθέσθω οὖν τοῦτο μὴ ποιεῖν, ἢ καθαιρείσθω. «Οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν,» κατὰ τὴν Κυριακὴν παρακέλευσιν. Ἔτι καὶ ὁ πγ' φησίν· Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος στρατείαν σχολάζων, καὶ βουλόμενος ἀμφότερα κατέχειν, Ῥωμαϊκὴν ἀρχὴν, καὶ ἱερατικὴν διοίκησιν, καθαιρείσθω. «Τὰ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ.» Ἀλλὰ μὴν καὶ ὁ τῆς ἐν Καρθαγένῃ ις', οὕτως ἐν μέρει διαγορεύει· Ὁμοίως ἤρεσεν, ἵνα ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι, ἐκλήπτορες μὴ γίνωνται, ἢ προκουράτωρες. Καὶ μετ' ὀλίγον· «Οὐδεὶς γὰρ στρατευόμενος τῷ Θεῷ, ἐμπλέκει ἑαυτὸν πράγμασι κοσμικοῖς.» Σὺν τούτοις καὶ ὁ ιε' τῆς ἐν Χαλκηδόνι συνόδου. Τοὺς ἅπαξ ἐν κλήρῳ τεταγμένους, ἢ καὶ μοναστὰς, ὡρίσαμεν μήτε ἐπὶ στρατείαν, μήτε ἐπὶ ἀξίαν κοσμικὴν ἔρχεσθαι. Ἢ τοῦτο τολμῶντας, καὶ μὴ μεταμελομένους, ὥστε ἐπιστρέψαι ἐπὶ τοῦτο, ὃ διὰ Θεὸν εἵλοντο, ἀναθεματίζεσθαι. Καὶ ὁ τῆς ἐν Κωνσταντινουπόλει α' καὶ β' συνόδου ια', τάδε κατὰ ῥῆμα διέξεισι, Τοὺς πρεσβυτέρους ἢ διακόνους κοσμικὰς ἀρχὰς ἢ φροντίδας ἀναδεχομένους, ἢ τὰς ἐν τοῖς οἴκοις τῶν ἀρχόντων λεγομένας κουρατωρείας, οἱ θεῖοι καὶ ἱεροὶ κανόνες καθαιρέσει καθυποβάλλουσι. Τοῦτο οὖν καὶ ἡμεῖς ἐπικυροῦντες, καὶ περὶ τῶν λοιπῶν τῶν ἐν κλήρῳ καταλεγμένων διοριζόμεθα· ὡς εἴ τις αὐτῶν κοσμικὰς ἀρχὰς μεταχειρίζοιτο, ἢ τὰς ἐν τοῖς τῶν ἀρχόντων οἴκοις ἢ προαστείοις λεγομένας κουρατωρείας ἀναδέχοιτο, τοῦτον τοῦ οἰκείου κλήρου ἀποδιώκεσθαι. «Οὐδεὶς γὰρ δύναται,» κατὰ τὴν τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ ἡμῶν αὐτόλεκτον καὶ ἀψευδεστάτην φωνὴν, «δυσὶ κυρίοις δουλεύειν.» Καὶ σαφεῖς πάντως οἱ θεῖοι κανόνες οὗτοι, καὶ πρόδηλοι· καὶ διὰ τοῦτο μεταποιεῖσθαι τούτους οὐ χρή. Εἰ δὲ καὶ ἐντολέα δίκης γίνεσθαι τὸν κεκληρωμένον κεκώλυται..... μείζοσι κοσμικαῖς φροντίσιν ἐμπλέκεσθαι, παρεμποδιζούσαις αὐτῷ, ταῖς ἐκκλησιαστικαῖς χρείαις προσευκαιρεῖν. Πᾶσι τοίνυν εὐλαβεστάτοις κληρικοῖς ἐν ἁγίῳ παρεγγυώμεθα Πνεύματι, τῶν εἰρημένων ἀπέχεσθαι· ἢ μὴν εἰδέναι, ὡς ἔσονται μὲν ἐπιτιμίῳ

nec ulla cognitio aut examinatio litteris mandata ab eo, qui illo tempore imperialia sceptra tenebat, processit : nec sanctissimorum patriarcharum et synodorum eos ad hoc incitans constitutio : scriptos [1] canones, ejusmodi dispensationes, et non probata consuetudo, omnino non labefactabunt; sed ipsæ potius ab eis penitus conterentur, sicut olla, ut inquit Solomon, quæ lebeti allisa est. «Portæ enim, inquit, inferi adversus Ecclesiam non prævalebunt,» quæ a domino supra Dei præconem Petrum ædificata est, qui cum cæteris apostolis in VI eorum canone sic decrevit : Episcopus, vel presbyter, vel diaconus, sæcularia negotia non recipiat : sin minus [m], deponatur. Similiter et in LXXXI diximus, non oportere episcopum ad publicas administrationes ipsum descendere [n], sed in ecclesiasticis negotiis officiisque versari. Vel hoc ergo facere persuadeatur, vel deponatur. «Nemo enim potest duobus dominis servire,» ut est præceptum Domini. Præterea et LXXXIII canon inquit : Episcopus, vel presbyter, vel diaconus militiæ vacans, et volens utrumque obtinere, Romanum magistratum, et sacerdotalem administrationem, deponatur. «Quæ enim sunt Cæsaris, Cæsari, et quæ sunt Dei, Deo.» Jam vero et canon Carthaginensis synodi XVI, sic præcise dicit [o]. Similiter placuit ut episcopi, et presbyteri, et diaconi, non sint administratores [p], vel procuratores. Et paulo post : «Nullus non Deo militans se implicat sæcularibus negotiis.» Cum his XV quoque canon Chalcedonensis synodi. Eos qui semel in clero constituti sunt, statuimus neque ad militiam, neque ad sæcularem dignitatem accedere. Vel si hoc audeant, vel non pœnitentia ducti, ad id revertantur, quod propter Deum elegerunt, anathematizari. Et Constantinopolit. I et II synodi canon XI, hæc ita ad verbum persequitur : Presbyteros, vel diaconos sæculares magistratus vel curas suscipientes, vel quæ in magistratuum ædibus dicuntur curationes, divini et sacri canones depositioni subjiciunt. Hoc ergo nos quoque confirmantes, etiam de reliquis, qui in clerum relati sunt, statuimus; ut si quis eorum sæcularia negotia aggrediatur, vel quæ in magistratuum ædibus, vel suburbanis, curationes dicuntur, suscipiat, is ex clero expellatur. «Nemo enim potest» secundum Christi veri Dei nostri ab ipso [q] dictum et verissimam vocem, «duobus dominis servire.» Et omnino aperti sunt, et perspicui, hi divini canones : et ideo non sunt transformandi [r]. [vel aliter accipiendi.] Sin autem etiam causæ procuratorem, [quæ ad ecclesiam, cujus est clericus, non pertinet], fieri clerico prohibitum est ne, [ne, inquit, divina ministeria impediantur :] quanto magis prohibitum est majoribus

VARIÆ LECTIONES.

[1] *tam ab aliquo id temporis rerum potiente, quam a sanctissimis patriarchis et synodis processit, quæ illos aboleret scriptos.* [m] *sin autem.* [n] *ad fiscales administrationes sese demittere.* [o] *ex parte* [p] *conductores vectigalium.* [q] *ab ipsomet prolatum* [r] *mutandi.*

sæcularibus negotiis implicari, quæ impediunt, ne possit ecclesiasticis negotiis vacare? Omnibus ergo religiosissimis clericis in S. sancto præcipimus, ut ab iis, quæ dicta sunt, abstineant : vel sciant se fore quidem segregationis pœnæ subjectos : quin et majorem quoque, et canonicam acerbitatem[s] non effugituros, ejusmodi sæcularibus negotiis seipsos implicantes. Ad hoc enim præsens quoque antistitibus tradi jussum est, ut etiam clericis, qui sunt ubicunque, sit manifestum.

A ἀφορισμοῦ ὑποβεβλημένοι, καὶ τὴν μείζονα δὲ κανονικὴν αὐστηρίαν οὐ διαφεύξονται, πράγμασι κοσμικοῖς τοιούτοις ἐμπλέκοντες ἑαυτούς. Ἐπὶ τούτῳ γὰρ καὶ ὁ παρὼν ἔγγραφος ἀφορισμὸς τῆς ἡμῶν μετριότητος καὶ τοῖς ἱερωτάτοις ἀρχιερεῦσιν ἐπιδοθῆναι τετύπωται, ἵνα καὶ τοῖς ἁπανταχοῦ κληρικοῖς κατάδηλος γένηται.

III. *De præfectis* [t] *in extraneo monasterio tonsis.*

Scias, tempore patriarchæ domini Lucæ synodale decretum factum esse, ut sine præjudicio constituantur præfecti in monasteriis patriarchæ regioni[u] subjectis, quæ non habent monachos idoneos ut præsint, ex altero monasterio, quod est ejusdem regionis : etiamsi statuta eorum caveant ne ξενοκουρίτης, hoc est, qui in externo monasterio tonsus est, fiat eorum præfectus.

B

Γ'. *Περὶ ξενοκουριτῶν καθηγουμένων.*

Γίνωσκε, ὅτι γέγονε καὶ σημείωμα συνοδικὸν ἐπὶ τῆς ἐφημερίας τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Λουκᾶ, χάριν τοῦ ἀπροκριματίστως..... καθηγουμένους εἰς μοναστήρια ὑποκείμενα τῇ ἐνορίᾳ τοῦ πατριάρχου, μὴ ἔχοντα ἱκανοὺς εἰς προστασίαν μοναχούς, ἀπὸ ἑτέρας μονῆς οὔσης ἐκ τῆς αὐτῆς ἐνορίας· κἂν τὰ τυπικὰ τούτων διορίζωνται, ξενοκουρίτην μὴ γίνεσθαι καθηγούμενον.

IV. *De festo notariorum.*

Quæ aliquando fiebant in sanctorum notariorum festo a notariis pueros docentibus, cum scenicis personis forum obeuntibus, ante aliquot annos exoleverunt, sanctissimi illius patriarchæ domini Lucæ decreto.

Δ'. *Περὶ ἑορτῆς νοταρίων.*

Τὰ γινόμενά ποτε ἀπρεπῆ παρὰ τῶν νοταρίων παιδοδιδασκάλων κατὰ τὴν ἑορτὴν τῶν ἁγίων νοταρίων, μετὰ προσωπείων σκηνικῶν διερχομένων τὴν ἀγοράν, πρὸ χρόνων τινῶν κατηργήθησαν, καθ' ὁρισμὸν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Λουκᾶ.

V. *De depositione episcopi.*

Cum Joannes Amathuntis episcopus ab illo Cypri archiepiscopo Joanne fuisset depositus, et depositionis decretum in tribunali imperatorio lectum esset : quoniam inventi sunt undecim episcopi, et archiepiscopus, depositionem fecisse, statuit sanctissimus ille patriarcha dominus Lucas cum assistente synodo, quin etiam ipse præsens senatus, esse infirmam et nullius momenti depositionem : eo quod non accersita fuerit universa synodus Cypriorum Ecclesiæ, etiamsi magna esset ejus cogendæ facultas : et quod non archiepiscopus ultra 12 episcopos, sed una cum illis esset connumeratus. Præterea autem allegarunt et XX canonem... synodi, et XIV. Et quamvis dixissent nonnulli, hoc de solis presbyteris et diaconis dictum esse, tamen non sunt exauditi.

C

Ε'. *Περὶ καθαιρέσεως ἐπισκόπου.*

Τοῦ ἐπισκόπου Ἀμαθοῦντος ἐκείνου Ἰωάννου καθαιρεθέντος ὑπὸ τοῦ ἀρχιεπισκόπου Κύπρου κυρίου Ἰωάννου, καὶ τοῦ καθαιρετικοῦ σημειώματος ἀναγνωσθέντος ἐπὶ βήματος βασιλικοῦ· ἐπεὶ εὑρηνται ἕνδεκα ἐπίσκοποι καὶ ὁ ἀρχιεπίσκοπος τὴν καθαίρεσιν πεποιηκότες, διέγνω ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κύριος Λουκᾶς μετὰ τῆς παρουσιαστάσης συνόδου, ἀλλὰ μὴν καὶ ἡ παρεστῶσα σύγκλητος, ἄκυρον εἶναι τὴν καθαίρεσιν· διά τε τὸ μὴ μετακληθῆναι τὴν πᾶσαν σύνοδον τῆς τῶν Κυπρίων Ἐκκλησίας, ἥ κἂν τὴν πλείονα, εὐχερείας καὶ ταῦτα οὔσης πρὸς τοῦτο· καὶ διὰ τὸ μὴ τὸν ἀρχιεπίσκοπον ἐπέκεινα εἶναι τῆς δωδεκάδος τῶν ἐπισκόπων, ἀλλὰ ταύτῃ τοῦτον συνυπάγεσθαι. Ἐχρήσαντο δὲ πρὸς τοῦτο καὶ τῷ κ' κανόνι τῆς..... συνόδου, καὶ τῷ ιδ'. Κἂν τινες δὲ εἶπον τότε, εἰς μόνους πρεσβυτέρους καὶ διακόνους τοῦτο ἐκφωνηθῆναι, ἀλλ' οὐκ εἰσηκούσθησαν.

VI. *Ne ecclesiæ lædantur transactione episcopi.*

Mihi videtur non lædi Ecclesia ex us, quæ peccat episcopus : et propterea rite paroeciam[v] revocabit successor ejus qui invasit, etiamsi multum tempus præterierit. Tale quid autem dictum est in tempore patriarchæ sanctissimi domini Lucæ. Cum enim quidam episcopus magnæ Brysis litigaret cum archiepiscopo parvæ Brysis, et protulisset scriptam transactionem antistitis et archiepiscopi, de non revocanda[x] ab ipso paroecia, quæ ab episcopo detinebatur : pronuntiavit synodus, facto prædeD

Ϛ'. *Περὶ τοῦ μὴ βλάπτεσθαι Ἐκκλησίαν διαλυτέῳ ἐπισκόπου.*

Ἐμοὶ δοκεῖ μὴ καταβλάπτεσθαι τὴν Ἐκκλησίαν ἐξ ὧν ἁμαρτάνει ὁ ἐπίσκοπος· καὶ διὰ τοῦτο ἐνδυνάμως ἵνα ἀνακαλέσηται τὴν ἐνορίαν ὁ διαδεξάμενος τὸν ποιήσαντα τὴν ἔφοδον, κἂν πολὺς παρέλθῃ καιρός. Ἐλαλήθη δὲ τοιοῦτόν τι καὶ ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Λουκᾶ. Τινὸς γὰρ ἐπισκόπου τῆς μεγάλης Βρύσεως δικαζομένου μετὰ τοῦ ἀρχιεπισκόπου τῆς μικρᾶς Βρύσεως, καὶ προχομίσαντος διαλυτέον ἔγγραφον τοῦ προτελευτήσαντος ἀρχιεπισκόπου, χάριν τοῦ μὴ ἀνακαλεῖσθαι τοῦτον

VARIÆ LECTIONES.

[s] *severitati* [t] *abbatibus* [u] *territorio* [v] *regionem is suam repetet, qui successit, ab eo qui eam invasit,* [x] *repetenda.*

ἐνορίαν, κατεχομένην ὑπὸ τοῦ ἐπισκόπου· ἡ σύνοδος ἀπεφήνατο, μὴ καταβλάπτεσθαι τὴν ἀρχιεπισκοπὴν ἐξ ὧν ὁ ταύτης πρόεδρος ἔπραξε παρὰ γνώμην τῶν οἰκείων κληρικῶν καὶ τῆς μεγάλης συνόδου. Γεγόνασι δὲ καὶ ἄλλαι πολλαὶ τοιαῦται κρίσεις συνοδικαί.

A cessoris [y] non lædi archiepiscopatum, præter sententiam suorum clericorum, et magnæ synodi. Fuerunt [z] et multa hujusmodi alia synodalia judicia.

Γ'. Περὶ τῶν μαρτυρούντων κατὰ πνευματικοῦ παιδός.

Ὁ ἁγιώτατος πατριάρχης κύριος Λουκᾶς, ἐπιτιμίῳ ἀλειτουργησίας καθυπέβαλε τὸν καθηγούμενον τῆς μονῆς τοῦ γηροτροφείου, τὸν γεγονότα ἀρχιεπίσκοπον Ἡρακλείας, τοιοῦτόν τι μαρτυρήσαντα κατὰ πνευματικοῦ παιδὸς αὐτοῦ.

VII. *De iis, qui testificantur contra filium spiritalem.*

Sanctissimus patriarcha dominus Lucas excommunicationis pœnæ subjecit monasterii gerontrophii præfectum, qui fuerat archiepiscopus [a] Heracleæ, quod tale testimonium tulisset adversus suum spiritalem filium.

Δ'. Περὶ τοῦ κατὰ βίαν ἀποκαρέντος ἐπισκόπου.

Τοῦ χρηματίσαντος ἐπισκόπου Ἀμυκλείου κυρίου Νικολάου τοῦ Μουζάλωνος κατὰ βίαν πρακτορικὴν ἀποκαρέντος, καὶ πολλὰ παρακληθέντος τὸ κατὰ βίαν γεγονὸς εἰς αὐτὸν, περιαιρεθῆναι, καὶ πάλιν ἐνεργεῖν τὰ ἐπισκοπικά· ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κύριος Λουκᾶς, βλέπων τοῦτον παρουσιάζοντα μετὰ ἐπισκοπικῶν ἀμφίων συνοδικῶς, οὐ παρεδέξατο αὐτόν· εἰπὼν, ὡς εἰ μὲν τὴν συνοδικὴν ἐκδίκησιν καὶ διόρθωσιν ἀνέμεινεν ὁ ἐπίσκοπος, εὗρεν ἂν κανονικὴν βοήθειαν· ἐπεὶ δὲ τὰ κατὰ βίαν περιβληθέντα αὐτῷ μοναχικὰ ἄμφια, ἀσυντάκτως ἀπέθετο, καὶ αὐτεκδίκητος γέγονεν, οὐ τεύξεται βοηθείας. Ἀλλὰ τοῦ ἁγιωτάτου πατριάρχου τούτου μεταστάντος πρὸς Κύριον, ὁ μετ' ἐκεῖνον ἁγιώτατος πατριάρχης κύριος Μιχαὴλ, τὴν μὲν κατὰ βίαν γενομένην ἀπόκαρσιν, ὡς μηδὲ γενομένην λογιζομένην, ἐτύλασε· τὸν δὲ ἐπίσκοπον, ὡς ὀλιγωρήσαντα καὶ ἑαυτὸν δικαιώσαντα, καιρικῆς ἀλειτουργησίας ἐπιτιμίῳ ὑπέβαλε.

VIII. *De episcopo per vim tonso.*

Cum dominus Nicolaus Muzalon, qui Amyclæus episcopus dictus est, vi a magistratu [b] tonsus esset, et supplex contenderet, ut quod vi in eum factum erat, tolleretur; et episcopale rursus munus obiret: sanctissimus ille patriarcha dominus Lucas, videns, eum cum vestibus episcopalibus præsentem synodice [c], non admisit: dicens, quod si synodalem quidem sententiam [d] et correctionem exspectasset episcopus, canonicum auxilium invenisset: sed quia vestes monasticas, quibus vi indutus fuerat, inordinate exuit, et sibi ipsi jus dixit, auxilium non assequetur. Sed cum sanctissimus iste patriarcha ad Dominum migrasset, vi quidem factam tonsuram tanquam non factam reputans, successor ejus sanctissimus patriarcha dominus Michael, abolevit: episcopum autem, ut qui negligens fuisset, et sibi jus dixisset, ad tempus celebrandi officio privavit [e].

Θ'. Περὶ τοῦ μὴ φυλαχθῆναι ὅρκον τὸν ὄντα ἀκανόνιστον.

Τινὸς εὐγενοῦς ἐν ἡμέρᾳ τρίτῃ μιᾶς ἑβδομάδος εἰπόντος πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν βασιλέα, μὴ ὀφείλειν κρεωφαγῆσαι, τελουμένης καὶ ταῦτα τῆς γεννήσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, διὰ τὸ ἐπομεμασθαι νηστεύειν τὰς τρίτας ἡμέρας τῶν ὅλων ἑβδομάδων τοῦ χρόνου εἰς τιμὴν τοῦ τιμίου Προδρόμου· ὥρισεν ὁ θεοστεφὴς ἡμῶν αὐτοκράτωρ συνοδικῶς ἐρωτηθῆναι εἰ κανονικόν ἐστι τὸν ὅρκον τοῦτον φυλαχθῆναι, καὶ τὴν Δεσποτικὴν ἑορτὴν πασχαλίαν οὖσαν, ἀπανηγύριστον ἐαθῆναι. Καὶ γενομένης τῆς ἐρωτήσεως, ὁ ἁγιώτατος πατριάρχης ἐκεῖνος κύριος Λουκᾶς, μετὰ τῆς παρατυχούσης συνόδου, εἰπὼν ἀγαθὸν εἶναι καὶ τὸ νηστεύειν ἐν παντὶ καιρῷ, ἐπήγαγεν ὡς οὐ χρὴ τὸν τοιοῦτον προτιμηθῆναι τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν. Εἰ γὰρ οἱ ἀποστολικοὶ κανόνες κολάζουσι τὸν ἐν τῷ τυχόντι Σαββάτῳ ἢ τῇ Κυριακῇ γονυκλιτοῦντα, ἢ νηστεύοντα, πολλῷ πλέον κολασθήσεται ὁ νηστεύων κατὰ τὴν πασχαλίαν τοῦ Χριστοῦ ἑορτήν· διὰ τὸ μὴ παραραθῆναι τὸν αὐθαίρετον ὅρκον αὐτοῦ. Καὶ ἐξεχώρησε τῷ εὐγενεῖ κρεωφαγῆσαι. Ὁ αὐτὸς δὲ πα-

IX. *Ne jusjurandum irregulare servetur* [e*].

Cum quidam nobilis tertio die [e**] unius hebdomadis dixisset potenti et sancto nostro imperatori, se non debere carnem comedere, quamvis festum esset nativitatis Christi et Dei nostri, quod jurasset tertias ferias omnium anni hebdomadum, a carnibus abstinere in honorem venerabilis Præcursoris, statuit a Deo coronatus noster imperator, synodaliter interrogari, an sit canonicum, hoc jusjurandum servari, et Dominicum festum, quod est Paschale, incelebratum dimittere. Et facta interrogatione, sanctissimus ille patriarcha, dominus Lucas, cum synodo, quæ aderat, cum dixisset bonum esse omni tempore jejunare, subjunxit non oportere hoc jusjurandum Domino et Deo nostro præferre. Si enim apostolici canones puniunt eum qui in quovis Sabbato, vel die Dominico genu flectit, vel jejunat, multo magis punietur, qui in Paschali Christi festo jejunat, ne jusjurandum a se voluntarie susceptum contemnat. Et nobili carnibus vesci permisit. Idem autem patriarcha Tzitam quoque eunuchum, juratum, se ad sanctorum lo-

VARIÆ LECTIONES.

y præsidis sui. *z Facta sunt.* *a pœnæ suspensionis a ministerio sacro subjecit abbatem mansionis Gerontrophii, qui factus est archiep.* *b vi quæstoria* *c præsentem in synodo* *d defensionem* *e pœnæ suspensionis a ministerio sacro ad tempus subjecit.* *e* contra canones factum,* *e** feria tertia.*

corum adorationem iturum; cum profectus non esset, ut qui pœnitentia ductus esset, synodaliter a perjurio absolvit; mediocri pœna imposita, eum emendans.

X. *De homicidio voluntario.*

Cum quidam miles in voluntariæ cædis crimen incidisset, et a quodam antististe post valde modicum tempus datis scriptis absolutus esset, potens et sanctus noster imperator et dominus, id factum ægre ferens, statuit tempore sanctissimi illius patriarchæ domini Lucæ, ut synodaliter considaretur, an recte illi militi concessa esset a pœnis absolutio, tanto in eum studio, et per quamdam non misericordiam, sed potius animi affectionem. Cum autem antistes ille canonem proponeret, et alios, moderantes utique eam, quæ illi objiciebatur, nimiam pœnæ levitatem; sancta synodus canones limitibus circumscribens [f], secundum divinissimam inspirationem, quæ ex sancto illis Spiritu inerat, militem quidem canonicarum pœnarum rursus compedibus subjecit: antistitem autem ad aliquantum temporis ab officii ac ministerii suspensione punivit: dicens, antistitibus quidem licere pœnas canonicas augere et diminuere; aranearum autem filis ligare, quæ debent tribus rudentibus alligari, non concessum esse. Quinetiam propter illius militis causam, potens et sanctus noster imperator illam de voluntariis homicidis Novellam edidisse dicitur [g].

XI. *De advocatis.*

Diaconus quidam a felicis memoriæ patriarcha domino Luca, commemoratis canonibus reliquisque legislationibus utente, advocatum agere aliquando prohibitus, coram imperatorio tribunali, præsente patriarcha, dixit canones illos, atque leges, in hodiernis advocatis non habere locum: sed in illius temporis advocatis, qui in civilibus judiciis stationes habebant, imperiales frumentarias tesseras accipiebant, sub primiceriis erant, atque a mundanis magistratibus confirmabantur: quo tempore omnino recte clerici mundanis advocatorum officiis fungi prohibebantur. At quoniam qui hodie advocati sunt, tanquam liberalem aliquam artem, advocationem exercent: neque sacri ordinis homines in jure patrocinari, impediri debere. Et sermonem suum astruens, non actionem, sed modum a canonibus puniri, causabatur. Non solum enim, inquit, clerici, verum etiam episcopi pro amicis in jure certantes, veniam consequentur: neque qui in controversia rei ecclesiasticæ patrocinium præstant, notabuntur: quemadmodum ipsum etiam jus hoc evidenter docet. Ut autem clericus, quemadmodum mundani officiales, advocatum agat, et a laico confirmetur; odiosum est

τριάρχης καὶ τὸν Τζίταν τὸν εὐνοῦχον ὁμόσαντα εἰς προσκύνησιν ἀπελθεῖν τῶν ἐν Ἱεροσολύμοις ἁγίων τόπων, καὶ μὴ ἀπελθόντα, συνοδικῶς ἐκ τῆς ἐπιορκίας ἀπέλυσε, διὰ μετρίου ἐπιτιμίου θεραπεύσας αὐτόν.

Ι'. *Περὶ ἐκουσίου φόνου.*

Στρατιώτου τινὸς περιπεσόντος ἐκουσίου φόνου ἐγκλήματι, καὶ παρὰ ἀρχιερέως τινὸς μετὰ μέτριον πάνυ καιρὸν ἐγγράφως ἀθωωθέντος, ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς δυσχεράνας ἐπὶ τῷ γενομένῳ, διωρίσατο ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Λουκᾶ, σκοπηθῆναι συνοδικῶς, εἰ καλῶς τῷ στρατιώτῃ ἐπεφιλοτιμήθη ἡ τῶν ἐπιτιμίων ἀθώωσις, κατεσπουδασμένως οὕτω, καὶ, οἷον εἰπεῖν, οὐ συμπαθῶς, ἀλλὰ προσπαθῶς. Τοῦ δὲ ἀρχιερέως τὸν κανόνα, προβαλλομένου, καὶ ἑτέρους μετεωρίζοντας τάχα τὴν ἐπιφορτιζομένην αὐτῷ βαρεῖαν κουφότητα, ἡ ἁγία σύνοδος τοὺς κανόνας ὀρθοτομήσασα κατὰ τὴν ἐνοῦσαν αὐτῇ ἐκ τοῦ παναγιωτάτου Πνεύματος θειοτάτην ἔλλαμψιν, τὸν μὲν στρατιώτην καὶ αὖθις ἀλυκτοπέδαις ἐπιτιμίων κανονικῶν καθυπέβαλε· τὸν δὲ ἀρχιερέα μετρίῳ ἀφορισμῷ ἀλειτουργησίας ἐστενοχώρησεν· εἰποῦσα, ὡς τοῖς ἀρχιερεῦσι μὲν ἐφεῖται αὔξειν καὶ μειοῦν τὰ κανονικὰ ἐπιτίμια, ἀραχνιαίοις δὲ μίτοις δεσμεῖν τὰ καλωδίοις ἐντρίτοις καταδεσμεῖσθαι ὀφείλοντα, οὐκ ἐνεδόθη. Λέγεται δὲ, ὅτι καὶ διὰ τὴν τοῦ τοιούτου στρατιώτου ὑπόθεσιν ἐξέθετο ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς τὴν περὶ τῶν ἐκουσίων φονέων νεαράν.

ΙΑ'. *Περὶ συνηγόρων.*

Διάκονός τις κωλυθείς ποτε παρὰ τοῦ μακαρίτου πατριάρχου κυρίου Λουκᾶ τοῦ συνηγορεῖν, χρωμένου τοῖς διαληφθεῖσι κανόσι καὶ λοιπαῖς νομοθεσίαις· εἶπεν ἐπὶ βασιλικοῦ βήματος, παρόντος καὶ τοῦ πατριάρχου, μὴ ἔχειν χώραν τὰ τῶν τοιούτων κανόνων καὶ νόμων εἰς τοὺς σήμερον συνηγοροῦντας, ἀλλ' εἰς τοὺς τότε συνηγόρους, τοὺς τεταγμένους εἰς πολιτικὰ δικαστήρια, καὶ λαμβάνοντας βασιλικὰ σιτηρέσια, καὶ ὑπὸ πριμικηρίους ὄντας, καὶ σφραγιζομένους ὑπὸ κοσμικῶν ἀρχόντων, ὅτε πάντως καλῶς οἱ κληρικοὶ ἐκωλύοντο συνηγόρων ὀφφίκια κοσμικὰ ἐνεργεῖν. Ἐπεὶ δὲ οἱ σήμερον συνηγοροῦντες, ὡς ἐλευθέριόν τι σπούδασμα τὸ συνηγορεῖν μετέρχονται, οὐδὲ οἱ ἱερωμένοι ἐμποδισθήσονται συνηγορεῖν. Καὶ κατασκευάζων τὸν οἰκεῖον λόγον, ἐδικαιολογήσατο μὴ τὴν πρᾶξιν, ἀλλὰ τὸν τρόπον κολάζεσθαι παρὰ τῶν κανόνων. Οὐ μόνον γὰρ κληρικοί, ἀλλὰ καὶ ἐπίσκοποι ὑπὲρ φίλων ἀντιποιούμενοι συγγνωσθήσονται, καὶ περὶ ἐκκλησιαστικῆς ὑποθέσεως συνηγοροῦντες οὐκ αἰσχυνθήσονται, ὡς καὶ αὐτὰ τὰ νόμιμα τοῦτο διατρανοῦσι. Τὸ δὲ συνηγορῆσαι κληρικὸν, ὡς οἱ κοσμικοὶ ὀφφικιάλιοι, καὶ δέξασθαι σφραγῖδα λαϊκοῦ, μισεῖται καὶ κολάζεται. Ὅτι δὲ τὸ συνηγορεῖν, ὀφφίκιον ἦν ποτε κοσμικὸν, καὶ σιτη-

VARIÆ LECTIONES.

[f] *canonibus recte distinctis.* [g] *quam expositam habes inter alias Manuelis Comneni novellas.*

ρέσια ἐλάμβανον βασιλικὰ οἱ τεταγμένοι συνήγοροι, καὶ ὑπὸ πριμικηρίους ἦσαν, δῆλόν ἐστιν ἀπὸ πολλῶν. Καὶ ἀνάγνωθι τὸ τελευταῖον κεφάλαιον τοῦ α' τίτλου τοῦ η' βιβλίου τῶν Βασιλικῶν, καὶ τὰ ἐν τῷ βιβλίῳ [17] τοῦ ἐπάρχου, περὶ συνηγόρων ἀνατατόμενα. Διαλαμβάνουσι γὰρ τοὺς συνηγόρους σύστημα εἶναι, καὶ ὑπὸ τοῦ κατὰ καιροὺς ἐπάρχου σφραγίζεσθαι. Ταῦτα εἰπών, καὶ παραδεχθεὶς, ἐξεχωρήθη καὶ παρὰ τοῦ πατριάρχου συνηγορεῖν, ὡς καὶ πρότερον.

A atque punitur. Verum quod advocati [h] mundanum officium aliquando fuerit, et ordinarii advocati imperatorias annonæ pensiones ceperint, atque sub primiceriis fuerint, ex multis constat. Lege autem postremum caput tit. 1, lib. VIII Basil. et quæ in Præfecti libro de advocatis digesta sunt. Tradunt enim, advocatos collegium esse, atque a cujuscunque temporis præfecto confirmari. Hæc cum dixisset, applausumque ipsi esset, etiam a patriarcha, patrocinari (ut antea) permissum illi est.

IB'. *Περὶ τοῦ βαπτίζεσθαι νήπια αἰχμαλωτισθέντα, καὶ περὶ τῶν Ἀγαρηνῶν.*

Τινὲς οὐ παρεχώρουν, διὰ τὴν ἀμφιβολίαν, βαπτίζεσθαι τοὺς παῖδας αἰχμαλώτους, ἵνα μὴ δόξωσιν ἀναβαπτίζειν τοὺς προβαπτισθέντας. Περὶ δὲ τούτου πολλάκις ἀμφισβήτησις γέγονε συνοδικῶς. Νηπίων γὰρ ἀπὸ Χριστιανικῆς χώρας αἰχμαλωτισθέντων παρὰ Σκυθῶν καὶ Ἀγαρηνῶν, καὶ δραπραθέντων πρὸς Ῥωμαίους, ἀμφιβολία γέγονεν, εἰ χρὴ τοὺς πωληθέντας βαπτισθῆναι. Ἔλεγον γάρ τινες ὡς ἐπεὶ ἀπὸ Χριστιανικῆς χώρας αἰχμαλωτίσθησαν, πρόσληψίς ἐστι [18] βαπτισθῆναι κατὰ χώραν ἐν νηπιότητι, καὶ οὐ χρὴ αὖθις ἀναβαπτισθῆναι. Ἤρεσε δὲ μᾶλλον ὀφεῖλειν βαπτισθῆναι, διὰ τὸ μὴ εἰδέναι τούτους εἰ ἐν νηπιότητι ἐβαπτίσθησαν, μήτε τινὰς εὑρίσκεσθαι διαβεβαιουμένους τὸ βάπτισμα. Περὶ δὲ τῶν ἀπὸ χώρας ἀπίστων αἰχμαλωτιζομένων, ὡρίσθη, ἀδιαστίκτως αὐτοὺς βαπτίζεσθαι· εἰ μὴ μάρτυρες ὁμολογοῦσι, βαπτισθῆναι τούτους μετὰ τὴν αἰχμαλωσίαν.

B Non permittebant aliqui, ut captivi pueri propter dubitationem baptizarentur, ne eos, qui antea baptizati fuerant, rebaptizare viderentur. De ea re autem sæpe synodice controversia exorta est. Cum enim infantes ex Christianorum regione a Scythis et Agarenis bello capti essent, et empti a Romanis, dubitatum est, an oporteat venundatos rebaptizari. Dicebant enim nonnulli, quoniam ex Christiana regione capti sunt, præsumptio est, eos fuisse baptizatos in patria ætate infantili, nec denuo rebaptizandos esse. Magis tamen placuit, eos debere baptizari, quod nesciant, an in infantia fuerint baptizati, nec ulli inveniantur, qui baptismum affirment. Eos autem, qui ex infidelium regione capiuntur, indistincte baptizandos statutum est: nisi testes profiteantur, eos post captivitatem fuisse baptizatos.

C Ἐπὶ δὲ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Λουκᾶ παρέστησαν Ἀγαρηνοὶ συνοδικῶς· καὶ ἀπαιτούμενοι βαπτισθῆναι, εἶπον ὡς ἔφθασαν εἰς τὰς χώρας αὐτῶν βαπτισθῆναι. Καὶ ἐρωτώμενοι ὅπως, ἀπελογήσαντο, ὅτι συνήθειά ἐστι πάντα τὰ νήπια τῶν Ἀγαρηνῶν βαπτίζεσθαι παρὰ ὀρθοδόξων ἱερέων· ἀλλ' οὐ παρεδέχθησαν. Ἤκουσαν γὰρ, ὡς τὸ παρὰ τῶν ἀπίστων ζητούμενον ἀπὸ τῶν Χριστιανῶν βάπτισμα, οὐ κατὰ διάθεσιν ἀγαθὴν καὶ προαίρεσιν ὀρθόδοξον ζητεῖται, ἀλλὰ διὰ θεραπείαν σωματικήν. Δέδοκται γὰρ παρὰ τοῖς Ἀγαρηνοῖς, τὰ τέκνα τούτων δαιμονᾶν, καὶ κατὰ κύνας ὄζειν, εἰ μὴ βαπτίσματος τύχωσι Χριστιανικοῦ. Κἀντεῦθεν, οὐχ ὡς καθαρτήριον παντὸς ῥύπου ψυχικοῦ, καὶ φωτὸς θείου καὶ ἁγιασμοῦ πάροχον, ἀνακαλοῦνται τὸ βάπτισμα, ἀλλ' ὡς φαρμακείαν, ἢ ἐπῳδήν. Τινὲς δὲ ἐξ αὐτῶν μητέρας εἶπον ἔχειν ὀρθοδόξους, καὶ ἀπὸ σκουδῆς τούτων βαπτισθῆναι αὐτοὺς παρὰ ὀρθοδόξων. Ἀλλ' οὐδὲ οὗτοι εἰσηκούσθησαν, ὅτι οὐ παρέστησαν μάρτυρες [19], τοῦτο αὐτὸ μαρτυροῦντες. Μᾶλλον μὲν οὖν καὶ κατεγνώσθησαν, ὡς μὴ ἀγαθὴν πρόσληψιν [20] διδόντες καθ' ἑαυτῶν, εἰς τὸ μὴ προσέρχεσθαι τῇ πίστει ὀρθῶς. Διὸ καὶ ἐξεχωρήθη, πάντως τούτους βαπτισθῆναι.

D Tempore autem sanctissimi patriarchæ, domini Lucæ, synodice adfuerunt Agareni: et cum ab eis postularetur, ut baptizarentur, dixerunt se in suis regionibus, antea fuisse baptizatos. Et interrogati quomodo responderunt, esse consuetudinem, ut omnes Agarenorum infantes ab orthodoxis sacerdotibus, baptizarentur: non tamen admissi fuerunt. Audierant enim baptismum, quem infideles a Christianis petunt non bona affectione, et orthodoxo proposito peti, sed propter corporalem medicinam. Persuasum est enim, Agarenis, fore ut sui liberi a dæmone vexentur, et tanquam canes male oleant, nisi baptismum Christianum assequantur. Quamobrem non ut omnium animæ sordium mundatorem, divinæque lucis et sanctificationis præbitorem, baptismum postulant; sed tanquam veneficium et incantationem. Quidam autem eorum dicebant, se matres habere orthodoxas, sequæ earum cura ac studio fuisse baptizatos. Sed nec ii exauditi sunt quoniam testes non adducebant, qui hoc ipsum pro testimonio dicerent: imo potius condemnati sunt, quod non bonam de se existimationem darent, quod recte ad fidem accederent: et ideo omnes hos etiam baptizare permissum est.

VARIÆ LECTIONES.

[17] βασιλεὺς αὐθέντης. [17] βιβλίον τοῦ ὑπάρχου. [18] πρόληψίς ἐστι. [19] μάρτυρας, et μαρτυροῦντας. [20] πρόληψιν.

[h] *advocatis*

XIII *Ne clerici turpilucres fiant, aut medici.*

Quoniam canon quidam statuit, ne qui sunt sacrati, victum [i] quærant ex rebus turpibus et vilibus, sæpe quæsitum est, quænam sint eæ. Et alii quidem dixerunt esse eas, lenonem esse, ac meretrices alere, cauponariæque tabernæ præesse, et similia. Sanctissimus autem patriarcha, dominus Lucas, unguentarias quoque officinas, et balnea, turpis esse quæstus dicebat, ut quæ mendacii quoque causæ essent. Sed nec diaconos vel sacerdotes fieri sinebat archiatros, dicens non esse ferendum, ut qui cum infulis et casulis sancta tractant, sæcularibus vestibus induantur, et cum laicis, viris scilicet, medicis, incedant.

MICHAELIS ANCHIALI.

I. *Ut ne lectores quidem mundana officia suscipiant.*

Vis edicti domini Michaelis hæc est. Mense Januario, die 8, 4 Indictionis [j] et deinceps, constituit, ne lectores, æque ac diaconi et sacerdotes sæcularia officia suscipiant, vel exactorum munera, vel curationes, propter XI canonem I et II Constantinopolitanæ synodi.

II. *Ne clerici ex aliena diœcesi creentur* [k].

In memoria habe synodalem declarationem sanctissimi patriarchæ, domini Michaelis, qui fuit philosophorum summus, quæ hæc ad verbum continet: Mense Novembri, die primo, Indictione V, præsidente sanctissimo domino nostro et universali patriarcha domino Michaele in Alexiacis catechumeniis, magnæ ejus sanctitati una assidentibus sanctissimis antistitibus, Stephano Cæsareæ, Nicolao Ephesi, Michaele Heracleæ, Joanne Cyzici, Leone Amaseæ, Niceta Melitenes, Basilio Neocæsareæ, Luca Mocisi, Joanne Cretæ, Leone Adrianopolis, Constantino Euchaitarum, Georgio Alaniæ, Theodoro Methymnes, Joanne Byzyes, et Romano, Apro: præsentibus etiam religiosissimis dominicis magistratibus.

Patrum terminos non transgredi, quos ii pulchre, et cum ea, qua par est disquisitione ab initio posuerunt: sed nec fossas, nec vallum [l] transilire quod externa a suis juribus dividit, decretum est ecclesiasticum, et lex divina, a multis ante sæculis statuta. Oportebat ergo hoc non ignorare eos, qui Ecclesiis præsunt, quæ ubique sitæ sunt, et qui synodalia decreta legumque constitutiones se servaturos profitentur; et qui debent in eis permanere, et propria quidem jura retinere, ab alienis autem abstinere. Sed nescio quanam ratione quidam sanctissimi antistites, qui [m] etiam proxime hanc

Α ΙΓ'. *Περὶ τοῦ κληρικοὺς μὴ γίνεσθαι αἰσχροκερδεῖς, ἢ ἰατρούς.*

Ἐπεὶ κανών τις διορίζεται, μὴ πορίζεσθαι τοὺς ἱερωμένους τὰ πρὸς τροφὴν ἀπὸ πραγμάτων αἰσχρῶν καὶ ἀτίμων, ἐζητήθη πολλάκις ποῖα ταῦτά εἰσι. Καί τινες μὲν εἶπον εἶναι ταῦτα, τὸ πορνοβοσκεῖν, τὸ καπηλικοῦ ἐργαστηρίου προΐστασθαι, καὶ τὰ ὅμοια. Ὁ δὲ ἁγιώτατος πατριάρχης κύριος Λουκᾶς, καὶ τὰ μυρεψικὰ ἐργαστήρια, καὶ τὰ βαλανεῖα, αἰσχροκερδῆ εἶναι ἔλεγεν, ὡς καὶ ψεύδους παραίτια. Ἀλλ' οὐδὲ ἀρχιάτρους παρεχώρει γίνεσθαι τοὺς διακόνους, ἢ τοὺς ἱερεῖς· λέγων ἀνένδεκτον εἶναι, τοὺς μετὰ φαινολίων καὶ στιχαρίων τὰ ἅγια μεταχειριζομένους, κοσμικὰς στολὰς ἐνδιδύσκεσθαι, καὶ μετὰ λαϊκῶν ἀνδρῶν, τῶν ἰατρῶν δηλαδή, προπομπεύειν.

ΜΙΧΑΗΛ ΑΓΧΙΑΛΟΥ.

Α'. *Μηδὲ ἀναγνώστας ἀναδέχεσθαι κοσμικὰ ὀφφίκια.*

Ἡ δύναμις τοῦ σημειώματος τοῦ κυρίου Μιχαὴλ, ἔστιν αὕτη· Μηνὶ Ἰανουαρίῳ ιγ', ἡμέρᾳ δ' ἐπινεμήσεως δ', καὶ ἐφεξῆς διατάττεται καὶ τοὺς ἀναγνώστας ἐπίσης τοῖς διακόνοις καὶ τοῖς ἱερεῦσι μὴ ἀναδέχεσθαι κοσμικὰ ὀφφίκια ἢ πρακτορικὰς ἐνεργείας, ἢ κουρατωρείας, διὰ τὸν ια' κανόνα τῆς ἐν Κωνσταντινουπόλει α' καὶ β' συνόδου.

Β'. *Περὶ τοῦ μὴ χειροτονεῖν κληρικοὺς τοὺς ἐξ ἑτέρας ἐπαρχίας.*

Ἔχε ἐπὶ μνήμης τὴν συνοδικὴν σημείωσιν τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Μιχαὴλ, τοῦ γεγονότος ὑπάτου τῶν φιλοσόφων, τάδε πρὸς ἔπος διαλαμβάνουσαν. Μηνὶ Νοεμβρίῳ ἡμέρᾳ α', ἐπινεμήσεως δ', προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Μιχαὴλ ἐν τοῖς Ἀλεξιακοῖς κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, Στεφάνου, Καισαρείας· Νικολάου, Ἐφέσου· Μιχαὴλ, Ἡρακλείας· Ἰωάννου, Κυζίκου· Λέοντος, Ἀμασείας· Νικήτα, Μελιτηνῆς· Βασιλείου, Νεοκαισαρείας· Λουκᾶ, Μωκισοῦ· Ἰωάννου, Κρήτης· Λέοντος, Ἀδριανουπόλεως· Κωνσταντίνου, Εὐχαΐτων· Γεωργίου, Ἀλανίας· Θεοδώρου, Μηθύμνης· παριστα μένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

Ὅρια Πατέρων μὴ ὑπερβαίνειν, ἃ καλῶς οὗτοι καὶ μετὰ δεούσης δοκιμασίας ἀρχῆθεν ἐξέθεντο· ἀλλὰ μηδὲ τὰ ἐσκαμμένα καθάλλεσθαι, καὶ θριγγίον ὑπερπηδᾶν διαιρετικὸν θείων τε καὶ οἰκείων δικαίων· ἐκκλησιαστικὸν δόγμα, καὶ νόμος θεῖος ἀνέκαθεν κείμενος. Ἔδει μὲν οὖν τοῦτο μὴ ἀγνοεῖν τοὺς τῶν ἁπανταχοῦ διακειμένων προϊσταμένους Ἐκκλησιῶν, καὶ τὸ ἐπάγγελμα ἔχοντας συντήρησιν θεσπισμάτων κανονικῶν καὶ νομικῶν διαταγμάτων· καὶ μέντοι καὶ ἐμμένειν τούτοις ὀφείλοντας, καὶ τῶν οἰκείων μὲν δικαίων ἀντέχεσθαι, τῶν δ' ἀλλοτρίων ἀπέχεσθαι. Ἀλλ' οὐκ οἶδ' ὅ τι παθόντες τινὲς τῶν

VARIÆ LECTIONES.

[i] *ne sacerdotes victum.* [j] *Mensis Januarii die* XIII *feria* IV, *indictione* IV. [k] *ordinentur.* [l] *sepem* [m] *præsertim qui prox.*

NOTÆ.

(14) Hic successor Lucæ fuit.

ἱερωτάτων ἀρχιερέων, οἳ καὶ μάλιστα ἐγγύτατα τῆς βασιλίδος ταύτης τῶν πόλεων τοὺς ἀρχιερατικοὺς θρόνους ἔλαχον, ἀσυντηρήτως ποιοῦντες χειροτονίας διακόνων καὶ ἱερέων, μὴ ὑποκειμένων ταῖς ὑπ' αὐτοὺς ἐνορίαις, πολλάκις ἐάλωσαν. Οἱ γὰρ περὶ τούτου προσαγγελθέντες τῷ πρὸ ἡμῶν ἁγιωτάτῳ πατριάρχῃ κυρίῳ Λουκᾷ, καὶ παρεγγυηθέντες παύσασθαι τοῦ τοιαῦτα ποιεῖν ἀκανόνιστα· φαμὲν δὴ τοῦ χειροτονεῖν ὑπερόρια, καὶ τοὺς ἐξ ἑτέρας ἐνορίας εἰς αὐτοὺς ἀφιγμένους, ἀνυποστόλως οὕτω χειροθετεῖν· ἀμνηστίαν τῶν αὐτοῖς περὶ τούτου παρηγγελμένων οὐκ ἐπαύσαντο τίθεσθαι, μέχρι δῆτα καὶ τήμερον. Ἐπειδὴ τοίνυν ἀνηγγέλθη καὶ τῇ ἡμῶν μετριότητι παρὰ τοῦ ἡμετέρου θεοφιλεστάτου χαρτοφύλακος, πολλούς τινας τῶν ἐκ τῆς ἡμετέρας ἐνορίας παρὰ γνώμην αὐτοῦ πρὸς τοὺς περιξ ταυτησὶ τῆς μεγαλοπόλεως ἀπερχομένους ἐπισκόπους τε καὶ ἀρχιεπισκόπους, ἱερατικοῦ παρ' αὐτῶν ἀξιοῦσθαι χαρίσματος, εἶτ' αὖθις ἐπαναστρέφειν εἰς τήνδε τὴν καθ' ἡμᾶς ἐνορίαν, μετὰ δὴ τάχα καὶ γραμμάτων συστατικῶν· τὸ ποιητέον αὐτῷ ἐπὶ τούτοις ἐζήτει μαθεῖν παρὰ τῆς ἡμῶν μετριότητος. Ἀμφιβάλλειν γὰρ οὐ μικρῶς ἔφασκε, μήποτε κρίμασιν ἀλλοτρίοις ἐπικοινωνοίη, παραχωρῶν ἱερᾶσθαι, οὓς αὐτὸς ἐξήτασε· περὶ ὧν οὔτε μαρτύρων, ὡς ἔθος αὐτῷ, παραστάντων ἐπύθετο, καὶ εἰ χρόνων εἶεν τῶν ὡρισμένων, πεπληροφόρηται· οὔτε δοκιμασίαν περὶ τοῦ βίου τούτων πεποίηται, καὶ τὸ πιστὸν τοῦ ἀξίους εἶναι τοῦ ἐπαγγέλματος ἐκ τῆς ἐνυπογράφου μαρτυρίας τῶν κατὰ πνεῦμα τούτους ὠδινησάντων παρείληφε· καὶ ταῦτα, πολλάκις ἐπί τινων προφανῶς ἐναντιουμένης τῆς ὄψεως περὶ τὴν τῶν χρόνων τέως ἐντέλειαν· καὶ τὸν τριακοντούτην εἶναι ὀφείλοντα, πολλῷ τῆς τοιαύτης λείπεσθαι προθεσμίας· προσμαρτυρούσης προδήλως ἔκ τε τῆς κατὰ τὴν ἡλικίαν τοῦ σώματος φαινομένης ἀτελοῦς καταστάσεως, καὶ ἐξ αὐτῆς τοῦ πώγωνος τῆς ἐπιψιλώσεως, ἐφ' ὧν δὲ βραχείας πάνυ καὶ ἐνδεεστέρας πολλῷ τοῦ προσήκοντος τριακοντούτῃ πωγωνιήτῃ τριχώματος. Ταῦτα λέγων, καὶ τὴν ὑφέρπουσαν τοῦτον ἀμφιβολίαν καὶ ἀπορίαν, ὡς οὐκ ἀνεύλογον, ἐξ ἔργων αὐτῶν παρεδήλωσε· παραστησάμενος τῇ ἡμῶν μετριότητι συνοδικῶς προκαθημένῃ, τὴν σήμερον δύο καὶ τρεῖς οὕτως ἔχοντας ὄψεως καὶ καταστάσεως, καὶ εἰς ἱερατικὸν προβιβασθέντας βαθμόν· ὃν μὲν, παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Δέρκου· οὓς δὲ, παρὰ τῶν θεοφιλῶν ἐπισκόπων, τοῦ τε Πραινέτου καὶ τοῦ Χαλκίδος· καὶ ἄλλους δὲ παρὰ διαφόρων οὕτω κεχειροτονημένους φάμενος εἶναι, καὶ διατρίβειν ἐνταῦθα, καὶ ἱερουργεῖν ἐθέλειν ὡς ἱερεῖς. Τὸ γοῦν τοιοῦτον τοῦ θεοφιλεστάτου ἡμῶν χαρτοφύλακος ἀξιοζήτητον πρόβλημα, οὐδὲ ἡ μετριότης ἡμῶν καταλιπεῖν ἐθέλουσα ἄλυτον, ἐπὶ κοινοῦ συνδιασκεψαμένη τῇ ἐνδημούσῃ θείᾳ καὶ ἱερᾷ ἐπέτρεψεν ἀδελφότητι. Τοίνυν καὶ περὶ τοῦ προκειμένου διαγνωμονῆσαι

A urbem imperialem sedes episcopales sortiti sunt, diaconorum et sacerdotum suis diœcesibus non subjectorum ordinationes citra ullam observationem facere deprehensi sunt. Qui etiam de eo, quod a sanctissimo patriarcha nostro, domino Luca, annuntiatum est, et admoniti [a], ut hæc contra canones facere desinerent : extra, inquam, suæ regionis limites ordinare, et iis, qui ex aliena regione ad se veniunt, tam libere manus imponere : oblivionem eorum, quæ ante factæ erant, declarationum [o], non cessaverunt imponere usque in hodiernum diem. Quia autem nostræ mediocritati a nostro pio chartophylace renuntiatum est, multos ex nostra regione præter ejus voluntatem ad episcopos et archiepiscopos, qui sunt circum circa B magnam hanc civitatem, accedentes, sacerdotali munere ab eis dignos haberi, deinde rursus reverti ad hanc nostram regionem cum litteris forte commendatitiis : quid sibi agendum sit in iis, a nostra intelligere mediocritate postulavit. Dixit enim se non parum dubitare, ne ipse alienis forte judicils communicet, permittens eos ad sacra admitti, quos ipse non examinavit : de quibus nec testes, ut ipsi mos est, astantes interrogavit ; nec an præfinitos annos nati sint, certior factus est, nec eorum vitam examinavit : nec fides sibi facta est ex scripto eorum testimonio : qui illos secundum spiritum pepererunt, eos esse sua professione dignos, idque, cum sæpe in nonnullis manifeste adversetur C aspectus, quod ad annorum complementum attinet, et qui xxx annos natus esse deberet, ab eo tempore longe absit, corporis constitutione, qua cernitur, ætatem aperte testante, ipsaque barbæ raritate : cum in aliis quidem pili nullo modo appareant, in aliis vero brevis, et multo minor quam triginta annorum pilos esse oporteat. Hæc dicens, etiam ei occurrentem dubitationem non esse injustam factis ipsis ostendit, nostræ mediocritati synodice hodie præsidenti, duos vel tres, qui hoc erant aspectu et constitutione, et ad sacros ordines promoti erant, exhibens : hos quidem, a Dei amantissimo Derci episcopo : illos vero, a Dei amantibus episcopis Præneti et Chalcidis ; et dicens, alios a diversis sic ordinatos hic esse et versari, et velle uti D sacerdotes sacra celebrare. Hanc ergo religiosissimi nostri chartophylacis quæsitu dignam propositionem nec nostra mediocritas volens insolutam relinquere, communiter considerandam divinæ et sacræ, quæ hic agit fraternitati permisit. Ergo et de proposito disceptare volentes, prius ut discernatur petivimus, quænam sunt antistitum, qui sunt ubique, communia et quæ sint spectalia, id est, quænam ejusdem regionis episcopi peragero non prohibentur in iis, qui ad illos undecumque accedunt, et quænam extra suæ diœcesis terminos facere prohibentur.

VARIÆ LECTIONES.

[a] *qui etiam hoc nomine interpellati a decessore nostro, sanctiss. patriar. domino Luca, et admoniti.*
[o] *interdictorum.*

θέλοντες, διακριθῆναι πρότερον ἐζητήσαμεν, τίνα μὲν τὰ τῶν ἁπανταχοῦ ἀρχιερέων εἰσὶ κοινότερα ἐνεργήματα, τίνα δὲ ἰδικώτερα· τουτέστι, ποῖα μὲν οἱ ἐγχώριοι τῶν ἀρχιερέων οὐ κωλύονται διαπράττεσθαι, ἐπὶ τοῖς ὁθενδήποτε σφισι προσερχομένοις· τίνα δὲ ἀπείργονται ποιεῖν ὑπερόρια.

Deinde [P] de ea re sententiam ferre cupientes, invenimus eos quidem, qui mysteriis non sunt initiati, fidei rationem docere, et catechizare : deinde sit etiam illuminatione dignari, ac divina etiam et vivifica mysteria communicare fidelibus, qui sunt ex quacunque regione; hoc esse commune officium judicavimus, et iis, qui ex propria regione accedunt, et iis etiam qui ex aliena regione veniunt. Manus autem imponere, et sacros ordines conferre, non iis, qui undequaque veniunt, sed iis solis, qui sunt ejus diœcesis, unicuique antistiti canone cautum est : ne inter eos confusio seditioque versetur, a quibus et ordo et pacis bonum aliis quoque certa debet regula tradi. Quoniam ergo hæc inquisita sic habere se invenimus, eos quidem, qui ante fuerunt, propemodum condemnare, et sacerdotalia munera, quæ jam obierunt, infirmare et vel eos, qui ordinarunt, segregationi subjicere, vel eos, qui ordinati sunt, sacerdotali nudare dignitate, durum omnino et inhumanum existimavimus : sed eos non amplius ferre, qui in nostrum [Q] præjudicium tam a ratione aliena fecerunt, et quæ prius quidem facta sunt, humane transmittere; id autem, quod futurum est, corrigendo tutum reddere ut quod nobis ipsisque conferat, censuimus : et deinceps unanimes [r] omnes pronuntiamus, ne quis deinceps ex finitimis audeat antistitibus, nec ex ulterioribus, sive ex nostra sint, sive ex aliena synodo, manum sacros ordines conferentem imponere alicui eorum, qui sunt hujus imperialis et magnæ civitatis diœcesis, nec ullo sacratorum loco et gradu eos dignos judicare, sed sciat unusquisque sua jura, et iis solis sit contentus. Episcopalia autem jura, quæ ad alios pertinent, ne impudenter et omnino contemptim invadant. Monendique sunt qui a nobis sic canonice constituta, infirmare et negligere ausi fuerint, et qui ad eos accedunt, et sacerdotio digni habiti sunt; eos quidem qui præter canones ordinati fuerint, nullam hic munus sacerdotale exercituros : sed in illis regionibus secure sacra celebraturos, in quibus etiam sacerdotii unctionem acceperunt : qui autem ordinaverunt, ex quacumque sint synodo, non celebrandorum sacrorum pœnæfore deinceps obnoxios, ut qui nec post primam vel secundam admonitionem (primam autem dicimus, quæ a sanctissimo nostro prædecessore domino Lucæ synodaliter facta est, denuntiationem) ab ea actione canonibus repugnante sejungi voluerint. Quocirca etiam cautum est, hanc emitti, et dari declarationem.

Καὶ ἐπειδὴ τὰ περὶ τούτων φιλοχρινοῦντες ἐφεύρομεν, τὸ μὲν ἀμυήτους τὸν περὶ πίστεως λόγον διδάσκειν, καὶ κατηχεῖν, εἶθ' οὕτω καὶ φωτίσματος ἀξιοῦν, ἀλλὰ καὶ τῆς τῶν θείων καὶ ζωοποιῶν μυστηρίων μεταλήψεως μεταδιδόναι τοῖς ἐξ οἰασοῦν ἐνορίας πιστοῖς, ἐνέργημα εἶναι τοῦτο κοινότερον διεγνώκειμεν, ἐπί τε τῶν ἐκ τῆς οἰκείας ἐνορίας ὡρμημένων, ἀλλὰ καὶ ἐπὶ τῶν ἐξ ἀλλοδαπῆς ἐρχομένων. Χειροθεσίας δὲ ἱερατικῆς ἀξιοῦν, οὐ τοὺς ἁπανταχόθεν ἐρχομένους, ἀλλ' ἢ μόνους τοὺς ἐκ τῆς οἰκείας ἐνορίας ἑνὶ ἑκάστῳ ἀρχιερεῖ κεκανόνισται· ἵνα μὴ τὸ ἄτακτον τούτοις καὶ στασιῶδες ἐμπολιτεύοιτο, ἐξ ὧν τὸ εὔτακτον καὶ τὸ τῆς εἰρήνης καλὸν καὶ τοῖς ἄλλοις ὀφείλεται κανονίζεσθαι. Ἐπὶ οὖν οὕτω ταῦτα ζητήσαντες, εὕρομεν, τὸ μὲν σχολὴν τῶν προγεγονότων καταψηφίσασθαι, καὶ ἀκυρῶσαι τὰς ἤδη σφίσι προτετελεσμένας ἱερατικὰς ἐνεργείας, καὶ εἴτε ἀφορισμῷ τοὺς χειροθετήσαντας καθυποβαλεῖν, εἴτε τοὺς χειροτονηθέντας τῆς ἱερατικῆς ἀξίας ἀπογυμνῶσαι, σκληρόν τι καὶ ἀπηνὲς ὅλως ἐλογισάμεθα· τὸ δὲ καὶ ἔτι [21] ἀνασχέσθαι τῶν ἐπὶ κρίματι σφετέρῳ τὰ τοιαῦτα διαπραξαμένων παράλογα, καὶ τὰ μὲν προτετυγμένα φιλανθρώπως παραδραμεῖν, τὸ δὲ μέλλον ἐπιδιορθωτικῶς, ἀσφαλίσασθαι, ἅτε κοινῇ συμφέρον καὶ ἡμῖν αὐτοῖς ἐπεκρίναμεν· λοιπὸν καὶ ὁμοφρονοῦντες ἀποφαινόμεθα ἅπαντες, μηκέτι τὸ ἀπὸ τοῦδε τολμῆσαί τινα τῶν πλησιοχώρων εἴτε καὶ προτέρωτέρων ἀρχιερέων, τῶν τε ἐκ τῆς ἡμετέρας συνόδου, τῶν τε ἐξ ἑτέρας, χεῖρα τελεστικὴν ἐπιθεῖναι ἐπί τινι τῶν τῆς ὑπὸ τὴν βασιλίδα ταύτην καὶ μεγαλόπολιν ὄντων ἐνορίας, καὶ οἱουδήτινος αὐτὸν ἀξιῶσαι τῶν ἱερωμένων τόπου τε καὶ βαθμοῦ· ἀλλ' ἕκαστον εἰδέναι τὰ ἑαυτοῦ δίκαια, καὶ τούτοις ἀρκεῖσθαι καθ' μόνοις· τῶν δ' ἄλλοις ἀνηκόντων ἀρχιερατικῶν δικαίων μὴ κατεπεμβαίνειν ἀναιδῶς, καὶ τὸ ὅλον καταφρονητικῶς. Εἰδέναι ὀφειλόντων τῶν ἀθετῆσαι τολμησόντων τὰ οὕτω κανονικῶς παρ' ἡμῶν διατεταγμένα, ἀλλὰ καὶ τῶν προσερχομένων αὐτοῖς καὶ ἱερωσύνης ἀξιουμένων, ὡς οὗτοι μὲν, ὡς παρὰ κανόνας χειροτονηθέντες, οὐδὲν ἱερατικὸν λειτούργημα ἐνταῦθα διενεργήσουσιν, ἀλλ' ἐν ἐκείναις ταῖς ἐνορίαις ἀδεῶς ἱεράσονται, ἐν αἷς καὶ τὸ χρίσμα τῆς ἱερωσύνης ἐδέξαντο· οἱ δὲ χειροτονήσαντες, ἐξ οἵας ἂν εἶεν συνόδου, ἀλειτουργησίας ἐπιτιμίῳ ἀπενεχθέν ἔσονται ὑποκείμενοι· ὡς μηδὲ μετὰ πρώτην ἢ δευτέραν παραίνεσιν (πρώτην δέ φαμεν τὴν καὶ παρὰ τοῦ πρὸ ἡμῶν ἁγιωτάτου κυρίου Λουκᾶ συνοδικῶς περὶ τούτου γενομένην ἔγγραφον ἐπιφώνησιν) ἀποσχέσθαι τῆς τοιαύτης ἀκανονίστου θελήσαντες πράξεως. Διὸ καὶ τετύπωται παρεκβληθῆναι καὶ

VARIÆ LECTIONES.

[21] καὶ ἔπειτα. [22] δὲ μηκέτι.

[P] *Deinde studiosius hæc inquirentes, invenimus : tradere non initiatis fidei doctrinam, et catechesin exercere, atque ita baptismum impertiri, ac divina.* [Q] *proprium.* [r] *id vero publice ac nobis ipsis profuturum censuimus : ac proinde unanimes.*

δοθῆναι τὴν τοιαύτην σημείωσιν. Ἀφορισμοῦ δὲ προσεπιτιθέαμεν ἐπιτίμιον, καὶ ὃς ἂν πρῶτος τῶν τὰς τοιαύτας διενεργούντων ἀκανονίστους χειροτονίας τὰ παρ' ἡμῶν διωρισμένα ταῦτ' ἐπιγνώσεται, εἰ μὴ καὶ τοῖς πλησίον αὐτοῦ ἱερωτάτοις ἀρχιερεῦσι τὰ ὁρισθέντα γνωρίσειεν· ἃ δὴ καὶ ἐπὶ πασῶν τῶν ἐνοριῶν τῶν ὑπὸ τὰς ἁπανταχοῦ ἁγιωτάτας Ἐκκλησίας, ἤγουν μητροπόλεις, ἀρχιεπισκοπάς, τὸ ἐνεργόν τε καὶ ἀναλλοίωτον ἕξουσι. Καὶ οὐδεὶς τῶν ἱεράσθαι τὸ ἀπὸ τοῦδε μελλόντων εἰς ἕτερον ἀρχιερέα παρ' ἐνορίαν ἀφίξεται, καὶ παρ' ἐκείνου τοῦ τῆς ἱερωσύνης ἀξιωθήσεται χαρίσματος. Ἀπεντεῦθεν γὰρ ὑπόδικοι ἔσονται καὶ ἀμφότεροι, ὅ τε χειροτονηθεὶς ἱερεὺς, καὶ ὁ χειροτονήσας τοῦτον ἀρχιερεύς, τοῖς οἷς περὶ τούτων ἤδη συνοδικῶς διωρισάμεθα φθάσαντες. Ἵνα δὲ μὴ πρόφασις εἴη, καὶ τοῦτο δῆθεν εὐάφορμος, τοῖς μὴ βουλομένοις ἐνταῦθα χειροτονεῖσθαι, προσερχομένοις τῷ θεοφιλεστάτῳ ἡμῶν χαρτοφύλακι, τὸ καινοτομίαν ἴσως ὑφίστασθαι πλείονα τῆς εἰωθυίας συνηθείας ἐκπαλαι δίδοσθαι· καὶ τοῦτο παρὰ τῆς ἡμῶν μετριότητος συνοδικῶς διωκονόμηται σήμερον. Διωρισάμεθα γὰρ, τὸ ἀρχαῖον ἔθος ἐπὶ τούτοις μὴ παραβαίνεσθαι· ἀλλ' ἐκεῖνα δίδοσθαι μόνα τοῖς τε ἐπισκοπειανοῖς καὶ τῷ κατὰ καιροὺς θεοφιλεστάτῳ χαρτοφύλακι, τὰ εἰωθότα παρὰ τῶν χειροτονουμένων ἀνέκαθεν καταβάλλεσθαι.

A Segregationis autem pœnam et imponimus, qui primus contra has canonicas ordinationes facientium, hæc a nobis definita cognoverit, nisi etiam finitimis suis antistitibus, quæ decreta sunt, nota fecerit. Quæ quidem in omnibus regionibus quæ sunt sub sanctissimis ubique Ecclesiis, nimirum metropolibus, archiepiscopatibus et episcopatibus, exercebuntur, et immutabilia permanebunt. Et nemo eorum, qui deinceps sunt sacrandi [s], ad alium antistitem ultra regionem accedet, et ab illo sacerdotali unctione dignus judicabitur. Deinceps enim abhinc erunt obnoxii utrique tam qui ordinavit antistes, quam qui ordinatus est sacerdos, iis quæ de his jam prius synodaliter statuimus. Ne autem sit prætextus, isque satis elegans, iis, qui B nolunt hic ordinari, ad religiosum nostrum chartophylacem accedentibus, quod majorem forte subeant innovationem, quam olim dari fuerit consuetudo : ei quoque rei a nostra mediocritate hodie provisum est. Cautum est enim, ne antiqua in iis consuetudo transiliatur : sed illa sola dentur episcopi ministris, et religiosissimo hujus temporis chartophylaci, quæ ab iis, qui ordinantur, jam olim dari consuevere.

Γ'. *Περὶ συνηθείας μὴ βεβαιωθείσης διὰ δικαστικῆς διαγνώσεως.*

Συνηθείας οὔσης, τοὺς ἀπὸ ἱερέων λαϊκῶν μονάσαντας, καὶ ὄντας πρότερον καταγεγραμμένους εἰς διακονίαν ἱερέων, καὶ μετὰ τὸν μονάδα βίον τῷ τῶν διακόνων συγκαταλέγεσθαι σώματι, καὶ μετὰ λαϊκῶν ἱερέων· πειρωμένους συναναστρέφεσθαι· ὁ παναγιώτατος ἡμῶν δεσπότης, κύριος Μιχαὴλ, τὴν μακρὰν τοιαύτην συνήθειαν ὡς οὐδὲν ἐλογίσατο· καὶ διωρίσατο, ἀπὸ μόνων λαϊκῶν ἱερέων τὰς διακονίας συνίστασθαι, καὶ τοὺς μοναχοὺς παρὰ ταῖς οἰκείαις προσεδρεύειν μοναῖς.

III. *De consuetudine non confirmata judiciali sententia.*

Cum moris fuisset, ut qui ex laicis sacerdotibus monachi facti essent, quoniam prius ministerio C sacerdotum ascripti fuissent, post susceptam vitam monachicam in corpore et collegio ministeriorum recenserentur, et cum sacerdotibus laicis conversarentur : sacrosanctissimus dominus noster Michael hanc longam consuetudinem pro nihilo reputavit, ac decrevit ut ex laicis sacerdotibus solum ministeria constituerentur, monachi autem in recessibus suis assidui essent.

Δ'. *Περὶ γάμου μετὰ συγγενοῦς τῆς προμνηστευθείσης.*

Κακῶς ἐξεχωρήθη ὁ Πλευρῆς κύριος Μιχαὴλ συζυγῆναι τῇ Σπανοπωλίνῃ κυρίᾳ Ἄννῃ, πρώτῃ οὔσῃ ἐξαδέλφῃ τῆς προμνηστευθείσης αὐτῷ Μαρίας τῆς τοῦ Σερβιλίου. Κἂν γὰρ νόμῳ θανάτου πρὸ τοῦ γάμου διεζύγη τῆς τοιαύτης μνηστῆς, καὶ οὐδὲ συνεμίγη αὐτῇ· ἀλλ' οὐκ ὤφειλεν ἐξαδέλφην αὐτῆς πρώτην λαβεῖν. Οὐδὲ γὰρ ἡ συνάφεια, ἀλλ' ἡ τῆς εὐχῆς τελετὴ ποεῖ τὴν μνηστείαν ὡς γάμον λογίζεσθαι. Εἰ γοῦν λαϊκὸς τοιοῦτόν τι ποιεῖν κεκώλυται, πολλῷ μᾶλλον ἱερωμένος. Ὁ τοιοῦτος γὰρ ἐκωλύθη διὰ σημειώματος συνοδικοῦ ἐπὶ τῆς ἐφημερίας τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Μιχαὴλ τοῦ Ἀγχιάλου, συνάπτεσθαι νομίμως γυναικὶ συγγενεῖ οὔσῃ, τῇ διὰ δεσμωτικῶν μόνων ἐγγράφων κατεγγυηθείσῃ τούτῳ, καὶ μὴ φθασάσῃ λαβεῖν μνηστείας εὐχὴν μετ' αὐτοῦ, ἢ ὡς θανούσῃ, ἢ ὡς ἑτέρῳ ἀνδρὶ συναφθείσῃ,

IV. *De nuptiis cum cognata prius desponsata.*

Male permissum fuit domino Michaeli Pleuræ, matrimonio conjungi cum domina Anna Spanopolina, quæ patruelis [t] erat Mariæ Serbilii filiæ, antea illi desponsæ. Nam tametsi lege mortis ante D nuptias ab ea sponsa separatus est, neque cum illa se commiscuit : attamen ipsius patruelem [u] uxorem ducere non debuit. Neque enim conjunctio, sed precationum cæremoniæ, ut sponsalia tanquam nuptiæ reputentur, faciunt. Si igitur laicus tale quidpiam facere prohibetur, profecto consecratus [v] multos magis. Tali namque temporibus sanctissimi illius patriarchæ, domini Michaelis Anchiali, per synodalem commentarium vetitum est legitime conjungi cum ea muliere, quæ cognata ejus fuerat, quæ obligatoriis scriptis duntaxat illi obstricta fuisset, neque sponsaliorum preces cum

VARIÆ LECTIONES.

[s] *sacris initiandi sunt.* [t] *consobrina.* [u] *consobrinam.* [v] *sacerdos.*

ipso excepisset : quod aut mortua, aut pœnitudine ducta alteri viro conjuncta esset : extra quam si eam nec dum sexennem mors, arrhabonis instar, abstulerit. Visum est enim concilio, in sexennem mulierem copulæ [x] concupiscentiam non cadere. Verum hoc in laicis non obtinebit. Nam qui altari deserviunt, soli unius uxoris ejusdemque virginis viri nominari ipsique ejusdem status esse debent.

A ἐκ μεταμελείας · εἰ μή πω ταύτην ἐξαετῆ οὖσαν ὁ θάνατος ἡρράβωνίσατο. Ἔδοξε γὰρ τῇ συνόδῳ μετὰ ἑξαετοῦς γυναικὸς ἐπιθυμίαν φθορᾶς μὴ μεσολαβεῖν. Τοῦτο δὲ ἐπὶ λαϊκῶν οὐ κρατήσει. Μόνοι γὰρ οἱ τοῦ βήματος μιᾶς γυναικὸς, καὶ ταύτης παρθένου, ἄνδρες ὀφείλουσιν ὀνομάζεσθαι, καὶ αὐτοὶ δὲ τῆς αὐτῆς εἶναι καταστάσεως.

V. *De nuptiis duorum fratrum cum filia fratris sororisve uxoris Joannis, et filia ejus, ex alio suscepta* [y].

Patriarchæ Michaelis decretum, Joannis [z] forte filiam, et filiam fratris sororisve uxoris ejus, duobus fratribus jungi permittit, utpote quam Joannes ex altera uxore susceperit.

Ε'. *Περὶ γάμου δύο ἀδελφῶν μετὰ ἀνεψιᾶς τῆς γυναικὸς Ἰωάννου καὶ θυγατέρος αὐτοῦ ἐξ ἑτέρας γυναικὸς ἤτοι Θεοδώρου* [23].

Τὸ σημείωμα τοῦ πατριάρχου Μιχαὴλ, τὴν θυγατέρα τοῦ Ἰωάννου τυχὸν, καὶ τὴν ἀνεψιὰν τῆς γυναικὸς αὐτοῦ, δυσὶν ἀδελφοῖς ἐπιτρέπει συζευχθῆναι· ἦν ἐξ ἑτέρας ἔσχεν ὁ Ἰωάννης γυναικὸς δηλονότι.

B

THEODOSII.

ΘΕΟΔΟΣΙΟΥ.

I. *De nuptiis cum prius desponsata sobrino.*

Scito, tempore sanctissimi et universalis patriarchæ domini Theodosii, XXX Julii mensis, XII indictionis, factam esse subnotationem synodalem, quæ ad verbum sic habet :

Sanctissimus metropolitanus Apro, frater et comministeri nostræ mediocritatis, Romanus Artabasdus, allato synodaliter scripto, quod hæc his verbis continebat : Puella quædam, quæ Irene dicitur, sponsalia contraxit cum quodam Joanne, nata decem annos. Cum autem dicta essent illicita illius sponsalia, facta est judiciaria declaratio, permittens eos utique separari qui sponsalia contraxissent, quod essent, ut dictum est, sponsalia contra leges facta. Vult ergo Irene hodie legitime conjungi Theodoro, qui est Joannis secundus patruelis [a] et interrogat, an habeat aliquod impedimentum. Rogavit nostram mediocritatem, et sacram fraternitatem, ut ab ea disceret, an nullum habeat impedimentum contractus, de quo scriptura facta est. Ab ea ergo audivit, etiam præsente fratrum congregatione, ejusmodi contractum nullo modo esse prohibitum. Quia enim quæ cum Joanne contracta sunt sponsalia, ut quæ propter Irenes ætatem consistere non possent, soluta sunt, recte Irene secundo ejus patrueli lege matrimonii conjungetur. Neque enim Irenem cognatam personam reputat Theodorus, nec cognationis [b] vinculis ac finibus constringitur,

Α'. *Περὶ γάμου μετὰ τῆς προμνηστευθείσης τῷ δευτέρῳ ἐξαδέλφῳ.*

Ὀφείλεις εἰδέναι, ὅτι γέγονεν εἰς τὴν ἐφημερίαν τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Θεοδώρου [24], κατὰ τὴν λ' τοῦ Ἰουλίου μηνὸς τῆς ιϐ' ἐπινεμήσεως, σημείωμα συνοδικὸν, ἔχον κατὰ ῥῆμα οὕτως ·

Ὁ ἱερώτατος μητροπολίτης Ἄπρω, ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, Ῥωμανὸς ὁ Ἀρταβασδὸς, ἔγγραφον προκομίσας [25] συνοδικῶς, τάδε κατὰ ῥῆμα διαλαμβάνον · Κόρη τις Εἰρήνη καλουμένη ἔλαβεν εὐχὴν τῆς μνηστείας μετά τινος Ἰωάννου, δεκαετὴς οὖσα τότε τὴν ἡλικίαν. Λαληθείσης δὲ τῆς περὶ τούτου ἀθεμίτου μνηστείας [26], γέγονε σημείωμα δικαστικὸν, ἐπιτρέπον διαζυγῆναι τοὺς τάχα μνηστευσαμένους · διὰ τὸ εἶναι τὴν μνηστείαν, ὡς εἴρηται, παράνομον. Βούλεται οὖν σήμερον ἡ Εἰρήνη νομίμως συναφθῆναι τῷ Θεοδώρῳ, δευτέρῳ ὄντι ἐξαδέλφῳ τοῦ Ἰωάννου · καὶ ἐρωτᾷ εἴ ἔχει τινὰ παρεμποδισμόν · ἠξίωσε τὴν ἡμῶν μετριότητα καὶ τὴν ἱερὰν ἀδελφότητα μαθεῖν, ὥσπερ οὐκ ἔχει κωλύμην τινὰ τὸ περὶ οὗ γέγονεν ἡ γραφὴ συνάλλαγμα πανταχόθεν ἀκώλυτόν ἐστιν. Ἐπεὶ γὰρ ἡ μετὰ τοῦ Ἰωάννου τελεσθεῖσα μνηστεία, ὡς ἀνυπόστατος λέλυται, διὰ τὴν τῆς Εἰρήνης ἀνηβότητα, καλῶς ἡ εἰρήνη δευτέρῳ ἐξαδέλφῳ αὐτοῦ κατὰ νόμον γάμου συζευχθήσεται. Οὔτε γὰρ συγγενικὸν πρόσωπον τὴν Εἰρήνην [27] λογίζεται ὁ Θεόδωρος, οὔτε τοῖς ἐξ ἀγχιστείας δεσμοῖς καὶ ὅροις συσφίγγεται.

C

D

II. *De sponsalibus non sufficientibus pro perfecto matrimonio.*

Sanctissimus patriarcha, dominus Theodosius, concessit Mesopotamitano, domino Michaeli, cui Maria quædam forte desponsa fuerat, et quod ea

Β'. *Περὶ μνηστείας μὴ ἀρκούσης ἀντὶ τελείου γάμου.*

Ὁ ἁγιώτατος πατριάρχης κύριος Θεοδόσιος ἐξεχώρησε τῷ Μεσοποταμίτῃ κυρίῳ Μιχαὴλ, μνηστευσαμένῳ Μαρίαν τινὰ τυχὸν, καὶ διὰ τὸ τελευτῆ-

VARIÆ LECTIONES.

[23] Θεοδώρας. [24] Θεοῦ δοσίου. [25] προεκόμισε. [26] παρανόμου συνοδικόν. [27] τῇ εἰρήνῃ.

[x] *coitus.* [y] *ex alia, puta Theodora, suscepta.* [z] *(verbi causa)* [a] *sobrinus.* [b] *affinitatis.*

NOTÆ.

(13) Tertius hic a Michaele Anchialino patriarchatu potitus est.

15) Successor fuit Nicolai Muzalonis, sub imperio Manuelis Comneni.

σαι ταύτην πρὸ τοῦ γάμου, ἑτέραν λαβόντι, ἀπροκριματίστως μετὰ τὸν ταύτης θάνατον ἑτέρᾳ συναφθῆναι, ἔχοντι καὶ ταῦτα παῖδας, καὶ τὸν τριακοστὸν ὑπεραναβάντι χρόνον· εἰπὼν, μὴ λογίζεσθαι τοῦτο τριγαμίαν, ὡς τῆς μνηστείας μὴ ἀρκούσης ἀντὶ τελείου γάμου.

A ante matrimonium, aliam acceperat, ut alii sine præjudicio post mortem ejus conjungeretur, maxime cum et liberos haberet, et XXX annum excessisset, dicens, non reputari trigamiam [c], utpote cum sponsalia pro perfecto matrimonio non sufficerent.

ΓΕΡΜΑΝΟΥ.

Α'. Σημείωμα τοῦ παναγιωτάτου πατριάρχου κυρίου Γερμανοῦ κατὰ τοῦ μητροπολίτου Ναυπάκτου κυρίου Ἰωάννου, περί τινων μοναστηρίων ἐπισκοπικῶν, καὶ περὶ παρθένου τῆς ἱερολογηθείσης πρὸ τῆς ὕβης.

Ὁ Θεοφιλέστατος ἐπίσκοπος Ἄρτης Ἰωάννης, ἀρτιώσεως ἤδη τετυχηκὼς καὶ ἀναπληρώσεως, εἶτ' οὖν ἀποκαταστάσεως εἰς τὴν προτέραν ἐπιτιμίαν διὰ συνοδικοῦ σημειώματος, ἀφ' ἧς καὶ, ὡς ἀπέδειξεν, ἐκ διαβολῆς ὑπέστη ὑφέσεως, καὶ πρὸς ἀντίληψιν ἄρτι τῶν ἐπισκοπικῶν αὐτοῦ δικαίων διαναστὰς, ἐπὶ τοῦ μέσου παρίσταται συνοδικῶς, καὶ νῦν προκαθημένῃ τῇ ἡμῶν μετριότητι. Καὶ πρῶτα μὲν τὸν μητροπολίτην ἐκεῖνον τῆς Ναυπάκτου Ἰωάννην κατηγορεῖται ἅρπαγα χεῖρα τοῖς ἐπισκοπικοῖς αὐτοῦ μοναστηρίοις ἐπιβαλόντα, ἔστι δὲ οἷς καὶ οἰκεῖα πήξαντα σταυροπήγια, προφάσει τοῦ καὶ τὴν μονὴν τοῦ ἁγίου Δημητρίου ἐν τῇ ἐνορίᾳ κειμένην τῆς Ἄρτης, παρ' ἐγχωρίου ἐπισκόπου ἀνεγερθεῖσαν ἐπὶ σταυροπηγίῳ ἐκτίθεσθαι (συνορᾷν ὅπως, οὐκ ἔχω) τοῦ τότε μητροπολίτου. Καὶ περὶ μὲν ἐκείνου ταυτὶ προὐβάλλετο εἰς αἰτίασιν. Οὐ μὴν ἀπέκρυπτεν οὐδὲ τὸν μετάμελον, ὃν ἐκεῖνος εἰσήνεγκεν ἐπὶ διορθώσει τοῦ πλημμελήματος. Ἐπιδεδώκει γὰρ τοῦτο κόπου, ἐξενεγκὼν τοῦ αὐτοῦ μητροπολίτου ὁμολογίαν κατὰ τὸν Ἀπρίλλιον μῆνα προδᾶσαν τῆς β' ἐπινεμήσεως. Ἥτις ἀναγνωσθεῖσα ἐπ' ἀκροάσει συνοδικῇ, ὁρισμῷ τῆς ἡμῶν μετριότητος, εἶχεν ἐπὶ λέξεων οὕτως·

Πανιερώτατε Ἄρτης ἐν Κυρίῳ συνάδελφε, πολλάκις ἐγένετό μοι δι' ὄχλου ἡ ἀγιωσύνη σου περὶ τῆς ἐν Ἄρτῃ μονῆς τοῦ Κατζούρη, ὡς συστάσης ἐπὶ σταυροπηγίῳ ἐμῷ, καὶ τῆς ἑτέρας μονῆς τοῦ τιμίου Προδρόμου, τῆς δομηθείσης παρὰ τοῦ πανευγενεστάτου Κομνηνοῦ κυρίου Κωνταντίνου, ἐν τῇ ἀρχοντίᾳ τοῦ Σμοκόβου, χωρίου Βαλτίτζης, καὶ τοῖς λοιποῖς· καὶ ἐδόκουν μηδὲν προσπταίειν τοῖς κανόσιν ἐκ τούτου. Συνεὶς δὲ κατὰ τὸν ἐνδεχόμενον λόγον, ὅτι σοὶ ἀνήκουσιν, ὡς ἐπισκόπῳ ἐγχωρίῳ, αἱ τοιαῦται μοναὶ, ἁπλοῦν ταύτας τῆς ἐμῆς χειρὸς ἀπεντεῦθεν. Καὶ ἔξεστί σοι ἐπιλαβέσθαι αὐτῶν ἁπάρτι, καὶ τὰ ἐπισκοπικὰ δίκαια ἐν ταύταις διενεργεῖν, καὶ διεξάγειν ταύτας, καὶ διοικεῖν κατὰ τὴν κανονικὴν ὑποτύπωσιν. Ὅθεν καὶ ἡ μὲν ἐμὴ ἀναφορὰ σχολάσαι ἀπεντεῦθεν ὀφείλει ἀπὸ τῶν τοιούτων μονῶν· διαγνωσθῆναι δὲ ταύταις ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς, τῆς σῆς ἱερότητος. Μηνὶ Ἀπριλλίῳ, ἐπινεμήσει β', ὑπογέγραπτο δὲ καὶ αὐτοχειρίᾳ τοῦ ῥηθέντος, καὶ συνοδικῇ ἐξακολουθήσει συνεπληροῦτο,

GERMANI (16).

I. Subnotatio sanctissimi patriarchæ, domini Germani, contra metropolitanum Naupacti, dominum Joannis, de quibusdam episcopalibus monasteriis, et de virgine, quæ ante pubertatem nuptialem benedictionem accepit.

Deo charissimus episcopus Artæ Joannes, redintegrationem et complementum adeptus, id est, restitutionem in priorem statum, per synodalem subnotationem, ab ea remissione [e], in quam, ut demonstravit, per fraudem inductus est: et cum ad receptionem episcopalium suorum jurium nuper exsurrexisset in medio, nunc etiam præsens adest synodaliter, præsidenti meæ mediocritati. Et primum quidem metropolitanum illum Naupacti Joannem accusat, quod rapacem manum in ipsius monasterium injecerit, et nonnullis etiam suis fixerit cruces, eo prætextu, quod sancti Demetrii monasterium in diœcesi Artæ situm, a loci episcopo proponatur exstructum, sub cruce (nescio quomodo) ejus, qui tunc erat, metropolitani. Et de illo quidem hanc querelam proponebat. Neque vero pœnitentiam celavit, quam ille egit ad maleficii emendationem. Difficultatem enim auxerat, quod protulisset ejusdem metropolitani confessionem mense Aprili emissam, II indictione, quæ jussu nostræ mediocritatis lecta in synodali audientia, sic habet ad verbum.

Sacratissime Artæ in Domino frater, sanctitas tua mihi sæpe fuit molesta propter Catzuræ monasterium, quod est Artæ, ut conditum sub mea crucifixione, propterque aliud monasterium venerandi Præcursoris, ædificatum a generosissimo Comneno, domino Constantino, in præfectura a Smocobi, agro Baltitzæ, et aliis: et ex eo mihi in canones offendere videbar. Cum autem probabili ratione intellexissem, ea monasteria ad te, ut loci episcopum pertinere: ea exinde a manu mea liberavi, ita ut posthac tibi liceat apprehendere, et episcopalia jura in iis exsequi, eaque regere et administrare juxta [f] regularem dispositionem. Quamobrem et mea relatio exinde ab ejusmodi monasteriis cessare debet, tuæ autem sanctitatis ab hoc tempore deinceps agnosci. Mense Aprili, indictione II subscripta autem propria manu prædicti, et synodali consecutione completa, per subscriptiones episcoporum, qui ei suberant, Joannis Bonditzæ, Nicodemi Aetensis, Manuelis Bellæ, Thomæ Drui-

VARIÆ LECTIONES.

[e] *non hoc pro tertiis haberi nuptiis.* [d] *buccinator imperatorius.* [e] *suspensionis,* [f] *juxta canonicam.*

NOTÆ

(16) Antea pontifex hic Adrianopolitanus fuerat.

nopolis, Demetrii Buthroti. Quorum singuli et cum additione subscripserunt, hanc synodalem jurisdictionem optimam videri, utpote canonicam. De metropolitano autem qui nunc est Naupactiorum gravius conquestus est. Ingressus est enim (inquit) et vi facta sacrificavit [g] in mihi subjecto monasterio Catzuræ, et quidem post cognitionem provincialis sessionis synodicæ, quæ mihi meæ diœceseos monasteria juxta canones restituit, et episcopalem relationem illinc sustulit : præfecit etiam priorem [h], dicens synodalem illam actionem factam esse, cum metropolitanus moreretur, nulliusque momenti esse. Occupavit etiam monasterium venerandi Præcursoris, et sancti Demetrii monasterium, in quo adjudicata est et restituta mihi subjecta ecclesia per provincialis synodi actionem : defensione videlicet illa utens, quod hujus repetitio tempore mihi exclusa sit, et in eo præfectum sigillavit [i]. Dejecit etiam ecclesiasticas cruces a meis monasteriis, inclusæ et sanctæ Resurrectionis. Propria nunc fecit stauropegia : in duobus quibusdam oratoriis erigere volentibus per chartulas [j] permisit. Et ordinati sunt sacerdotes territoriorum [k] meæ diœceseos, Nisistæ videlicet, Prinistæ Dobrolistæ et Planicobistæ, numero circiter duo [l], præter eos, quorum notitiam [m] non habet. Ordinarunt autem ex diœcesi mea et quidam mei coepiscopi. Sed et sacratissimus Leucadis archiepiscopus sæpe ingressus est, et intra meos fines propria auctoritate sacra celebravit. Velim igitur a vestra sanctitate percipere, quæ sit in enumeratis capitibus singulis sacrorum canonum et institutorum Ecclesiæ sententia. A sancta nostra synodo hujusmodi responsiones statim tulit : Ut videlicet, et si forte facta sit ab ejus temporis metropolitano moriente redhibitio episcopalium Artensis crucium, quas sibi attribuerat, et ipsius monasterii sancti Demetrii [n] : sed cum, ut ipse confessus est, in sacros canones incurrere se intellexit et vitium correxit, firmitatem habet quod factum est) et episcopalia [o] monasteria hæc in perpetuum maneant, cessante præscriptione temporis, in eo, quod circa sancti Demetrii monasterium innovatum est : quia crucifixionum, quæ sunt per diœcesim, soli patriarchali amplitudini relictum est privilegium, metropolitanorum autem nemini. Quod autem in Catzuræ monasterio sacra celebravit, post actionis synodalis notitiam, siquidem cum tu Artæ episcopus otio indulgeres [p], per subnotationem a provincialibus episcopis ad id inductus est, extra culpam erit, per 14 apostolicum canonem, dicentem episcopo qui suam parœciam reliquerit, non licere in alienam insilire, quamvis a multis compellatur : nisi justa aliqua causa eum cogat : ut

A δι' ὑποσημανσιῶν [28] τῶν ὑπ' αὐτὸν ἐπισκόπων, τοῦ Βονδίτζης Ἰωάννου, τοῦ Ἀετοῦ Νικοδήμου, τοῦ Βελλᾶς Μανουὴλ, τοῦ Δρυϊνουπόλεώς τε Θωμᾶ, καὶ τοῦ Βοθρωτοῦ Δημητρίου· ὧν ὁ καθέκαστος μετὰ καὶ προσθήκης ὑπέγραψε, τοῦ ἀρεστὴν ἡγήσασθαι τὴν τοιαύτην συνοδικὴν δικαιοδοσίαν, ὡς [ἅτε] κανονικήν. Τῷ δὲ νῦν μητροπολίτῃ τῆς Ναυπακτίων μάλιστα ἐπεμέμφετο ἐξοχώτερον. Εἰσῆλθε γὰρ (φησὶ) καὶ ἱερούργησεν ἐπιβατικῶς ἐν τῇ ὑπ' ἐμὲ μονῇ τοῦ Κατζούρη, μετὰ τὴν ἐπίγνωσιν καὶ ταῦτα τῆς συνοδικῆς ἐπαρχιώτιδος πράξεως, τῆς ἀποκαθιστώσης μοι κατὰ κανόνας τὰ τῆς ἐνορίας μου μοναστήρια. Καὶ τὴν μὲν ἐπισκοπικὴν ἀναφορὰν ἐκεῖθεν ἐσχόλασε· προσεχειρίσατο δὲ καὶ ἡγούμενον, λέγων ὡς ἡ πρᾶξις αὕτη ἐν τῷ τελευτᾷν τὸν μητροπολίτην ἐκεῖνον B γέγονε, καὶ οὐκ ἔῤῥωται. Ἐξιδιώσατο δὲ τὴν μονὴν τοῦ τιμίου Προδρόμου, καὶ τὴν ἐν ᾗ ἐδικαιώθη καὶ ἀποκατέστη ἡ κατ' ἐμὲ ἐκκλησία, πράξει συνοδικῇ ἐπαρχιώτιδι τοῦ ἁγίου Δημητρίου μονήν· δικαιολογούμενος δῆθεν ἀποκεκλεῖσθαί μοι τὴν ταύτης ἀνάκλησιν ἐκ τοῦ χρόνου· καὶ ἐσφράγισε καὶ ἐν ταύτῃ ἡγούμενον· ἐξέβαλε καὶ ἐκκλησιαστικὰ σταυροπήγια ἀπὸ τῶν μοναστηρίων μου, τοῦ τῆς ἐγκλειστῆς καὶ τῆς ἁγίας ἀναστάσεως. Ἐποίησε νῦν οἰκεῖα σταυροπήγια. Δύο τισὶ τῶν εὐκτηρίων οἴκων μέλλουσιν ἀνεγεῖραι προέτρεψε διὰ πιττακίων· καὶ ἐχειροτονήθησαν ἱερεῖς τῶν χωρίων τῆς ἐνορίας μου, ἡγουν τῆς Νισίστης, τῆς Πρινίστης, τῆς Δοβρολίστης, καὶ τῆς Πλανικοβίστης· ἀνὰ δύο τὸν ἀριθμόν· παρεκτὸς ὧν οὐκ ἔφθασε λαβεῖν εἴδησιν. Ἐχειροτόνησαν δὲ ἀπὸ τῆς ἐνορίας μου καί τινες τῶν συνεπισκόπων μου. Ἀλλὰ καὶ ὁ ἱερώτατος τῆς Λευκάδος ἀρχιεπίσκοπος εἰσῆλθε πολλάκις, καὶ ἱερούργησεν ἐν τῇ ἐνορίᾳ μου αὐτοβούλως. Δέομαι οὖν παραλαβεῖν ἐκ τῆς ὑμῶν ἁγιότητος τὸ ἐφ' ἑκάστῳ τῶν ἀπαριθμουμένων κεφαλαίων δοκοῦν τοῖς ἱεροῖς κανόσι, καὶ τῇ θεσμοθεσίᾳ τῆς Ἐκκλησίας. Καὶ δὴ ἀποφέρεται τοιάσδε τὰς ἀποκρίσεις ἀπὸ τῆς καθ' ἡμᾶς ἁγίας συνόδου· ἵνα δηλαδὴ κἂν ἴσως ἐπιτελεύτιος γέγονε τῷ τότε μητροπολίτῃ ἡ τῶν ἐπισκοπικῶν σταυροπηγίων τοῦ Ἄρτης τῶν ἐκείνῳ σφετερισθέντων ἀντιστροφὴ, καὶ αὐτῆς τῆς τοῦ ἁγίου Δημητρίου μονῆς· ἀλλ' ἐπειδὴ, ὡς καὶ αὐτὸς ὡμολόγησεν, εἰς τοὺς ἱεροὺς κανόνας παίων συνῆκε, καὶ τὰ τοῦ πταί- D σματος διωρθώσατο, τὸ κῦρος ἔχει τὸ γεγονὸς, καὶ ἐπισκοπικὰ τὰ τοιαῦτα, μοναστήρια εἰς ἀεὶ διαμείνωσιν, ἀργούσης καὶ τῆς ἀπὸ χρόνου περιγραφῆς ἐπὶ τῇ κατὰ τὴν μονὴν τοῦ ἁγίου Δημητρίου καινοτομίᾳ· διὰ τὸ προνόμιον τῶν παρ' ἐνορίαν σταυροπηγίων μόνῃ τῇ πατριαρχικῇ ἐφεῖσθαι μεγαλειότητι, τῶν δὲ μητροπολιτῶν οὐδενί. Ὅτι δὲ καὶ ἱερούργησεν εἰς τὴν τοῦ Κατζούρη μονὴν μετὰ τῆς πράξεως τὴν ἐπίγνωσιν, εἰ μὲν ἐν τῷ σχολάζειν σε τὸν ἐπίσκοπον Ἄρτης, ὑπὸ τῶν ἄλλων ἐπαρχιωτῶν

VARIÆ LECTIONES.

[28] ὑποσημασιῶν.

[g] *per usurpationem sacra peregit.* [h] *abbatem.* [i] *in eo quoque confirmavit abbatem.* [j] *per breves* [k] *locorum.* [l] *in singulis duo.* [m] *necdum habet.* [n] *Demetrii; quia tamen, ut ipse confessus,* etc. [o] *quod factum est, et episcopalia.* [p] *vacares.*

ἐπισκόπων διὰ σημειώματος εἰς τοῦτο προτρέπεσθαι, ἀνεύθυνος ἔσται, διὰ τὸν τῶν ἀποστολικὸν κανόνα, τὸν λέγοντα, ἐπίσκοπον μὴ ἐξεῖναι, καταλείψαντα τὴν ἑαυτοῦ παροικίαν, ἑτέρᾳ ἐπιπηδᾶν, κἂν ὑπὸ πλειόνων ἀναγκάζηται· εἰ μή τις εὔλογος αἰτία εἴη τοῦτον βιαζομένη· ὡς εἰ πλέον τι κέρδος δυναμένους αὐτοῦ τοῖς ἐκεῖσε λόγῳ εὐσεβείας ἐμβαλέσθαι, καὶ τοῦτο οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ κρίσει πολλῶν ἐπισκόπων, καὶ παρακλήσει μεγίστῃ. Εἰ δ' ἄλλως πως αὐτοκέλευστος εἰς τοῦτο καὶ παρωρμήθη, τέως μὲν ὁ ε' καὶ λ' ὁ ἀποστολικὸς κανὼν παραιτείσθω, διὰ συγγνώμην· παῤῥησιαζέσθω δὲ ὁ κ' καὶ ὁ β' τῆς ἐν Ἀντιοχείᾳ, ἐπίσκοπον μὴ ἐπιβαίνειν ὁρίζων ἀλλοτρίᾳ πόλει τῇ μὴ ὑποκειμένῃ αὐτῷ, μηδὲ χώρᾳ τῇ μὴ αὐτῷ διαφερούσῃ, ἐπὶ χειροτονίᾳ τινός· μηδὲ καθιστᾷν πρεσβύτερον ἢ διάκονον εἰς τόπους ἑτέρῳ ἐπισκόπῳ ὑποκειμένους· εἰ μὴ ἄρα μετὰ γνώμης τοῦ οἰκείου τῆς χώρας ἐπισκόπου. Εἰ δὲ τολμήσειέ τις τοιοῦτόν τι, ἄκυρον εἶναι τὴν χειροθεσίαν, καὶ αὐτὸν ἐπιτιμίων ὑπὸ τῆς συνόδου τυγχάνειν. Καὶ ἡ ἐπιτιμία δὲ συμμετρείσθω εἰς ἀλειτουργησίαν ἐνιαυσιαίαν κατ' ἐπιείκειαν. Καὶ τοὺς ἡγουμένους δὲ οὓς ὁ μητροπολίτης προεχειρίσατο εἰς τὰ σὰ μοναστήρια, ἐξέσται σοι παραστεῖλαι, καὶ ἀνθετέρους σφραγίσαι· εἰ μή πως ἀρεστοί σοι δοκῶσιν οἱ προεσφραγισμένοι διὰ πνευματικὴν ἱκανότητα. Σταυροπήγια δὲ τὰ μὲν ἐκβληθέντα ἀπὸ τῶν μοναστηρίων σου, αὖθις ἐν αὐτοῖς ἀποκαταστήσονται· τὰ δὲ καινισθέντα παρ' ἐνορίαν, ὑπαλλαγήσονται. Μελήσει δέ σοι καὶ περὶ τῶν ἐνορίως χειροτονηθέντων ἀπὸ τῆς ὑπὸ σὲ ἐνορίας· ὡς ἂν ἀκριβῶς δοκιμάσῃς αὐτοὺς, εἴπερ ἀνεπιλήπτου βίου τυγχάνουσι, καὶ τὰ ἱερὰ μεμύηνται γράμματα. Καὶ τοὺς μὲν εὑρισκομένους τοιούτους ἐπιτιμῆσαι ἀλειτουργησίᾳ, ἐφ' ὅσον ἂν σοι καὶ δόξειε· τῶν δὲ μὴ οὕτως ἐχόντων, ἀργίαν τελείαν καταψηφίσασθαι. Ἐπὶ δὲ τοῖς ἐπισκόποις καὶ τῷ ἀρχιεπισκόπῳ Λευκάδος ἡ αὐτὴ κρατήσειεν ὑποτύπωσις, ἥτις καὶ περὶ τοῦ ἱερωτάτου Ναυπάκτου ἀνωτέρω ἐξεφωνήθη.

si iis, qui ibi sunt, possit pietatis ratione plus lucri afferre, idque non a seipso, sed multorum episcoporum judicio, maximisque precibus. Sin autem aliter memine impellente ad id incitatus sit, tunc xxxv [q] canon apostolicus per [r] deprecationem placetur. Audaeter autem prodeat vicesimus secundus Antiochenæ synodi, definiens, ne episcopus invadat alienam civitatem non sibi subjectam, neque regionem ad se non pertinentem : nec presbyterum, vel diaconum ordinet quemquam ad loca alii episcopo subjecta, nisi forte cum sententia proprii regionis episcopi. Quod si ausus sit quidpiam ejusmodi, irrita sit ordinatio, et ipse censuram synodalem patiatur : et censuram per benignitatem modum accipiat ad annuam a sacris vacationem. Licebitque tibi retinere [r*], et pro aliis sigillare præfectos, quos metropolitanus tuis præfecit monasteriis. Nisi propter spiritualem sufficientiam, qui prius designati sunt, accepti esse tibi videantur. Cruces autem, quæ quidem ex tuis monasteriis sunt dejectæ, iterum in iis restituentur : quæ autem per diœcesim [s] innovata sunt, reformabuntur. Cura autem tibi erit de iis, qui intra limites ex tua diœcesi creati sunt, ut etiam diligenter examines, num inculpatæ vitæ sint, et sacris imbuti litteris. Et eos quidem qui hujusmodi inventi fuerint, a sacro ministerio removeas, quatenus tibi visum fuerit : alios autem plena depositione condemnes. In episcopis autem, et archiepiscopo Leucadis, eadem obtinebit dispositio ; quæ et de sanctissimo Naupacti superius enuntiata est.

Ἔτι δὲ ἐζήτησεν ὁ Ἄρτης ἐπίσκοπος, ὁρισθῆναι τὸ ποιητέον καὶ ἐπὶ τῷ ἱερολογηθέντι πρὸ τῆς ἥβης τελείαν ἱερολογίαν κορασίῳ ἐν τῇ κατ' αὐτὸν ἐνορίᾳ, καὶ παιδοφθορίαν παθόντι· καὶ μὴν ἀλλὰ καὶ ἐπὶ τῷ ἱερολογήσαντι ἱερεῖ. Καὶ ἤκουσεν ὡς ἡ τὴν παρθενικὴν λυθεῖσα ζώνην ἐν ἀώρῳ τῇ ἡλικίᾳ, τοῦ φθορέως διαζυγήσεται, καὶ ὁ ἱερολογήσας αὐτοὺς ἐν γνώσει, καθαιρεθήσεται. Ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων, καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας συνήθως βεβαιωθέντα, ἐπεδόθη μηνὶ καὶ ἐπινεμήσει τοῖς προγεγραμμένοις, ἔτους ,ϛψμγ'. Ἡ ὑπογραφή.

Amplius autem quæsivit Artensis episcopus, ut definiatur quid faciendum sit de puella, quæ ante pubertatem in ipsius diœcesi perfectam, benedictionem accepit, et corruptionem passa est : quid etiam de sacerdote, qui sacras preces concepit. Et audivit eam, quæ virgineam solvit zonam non matura ætate, a corruptore separandam esse ; eumque qui sciens sacram precationem pronuntiaverit, deponendum. Hæc emissa ex diurnis synodalibus [t] annotationibus, et pro more confirmata subscriptione, ac signo imprimis venerandi chartophylacis sanctissimæ Dei Magnæ Ecclesiæ, data sunt mense et indictione supra scriptis, anno 6743. Subscriptio.

Ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας, Κωνσταντῖνος ὁ Αὐληνός. Ἡ συνήθης μολιβδίνη βοῦλλα. Καὶ ὄπισθεν ἐν τῇ συμπήξει τῆς βούλλης, τῷ μηνὶ Ἰουλίῳ, ἐπινεμήσει η'.

Chartophylax sanctissimæ Dei Magnæ Ecclesiæ, Constantinus Aulenus. Solita plumbea bulla, et retro, qua bulla cohærebat : mense Julio, indictione octava.

VARIÆ LECTIONES.

[a] συμβάλλεσθαι.

[q] *tunc* v, *et* c xxxv [r] *recuset ur ignoscendo*, [r*] *inhibere abbates, et pro eis alios confirmare, quos.* [s] παρ, *extra.* [t] *descripta ex diariis synodalibus.*

II. *Sigillum sanctissimi et œcumenici patriarchæ, Domini Germani, de paralauriis patriarchalium monasteriorum ad quem pertinere debeant. Factum mense Junio V indictionis, et insinuatum secreto sacri chartophylacii.*

Β. *Σιγίλλιον τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Γερμανοῦ, ἐπὶ τοῖς παραλαυρίοις τῶν πατριαρχικῶν μονῶν, τίνι ἂν διαφέρειν ὀφείλουσι. Γεγονὸς κατὰ μῆνα Ἰούνιον τῆς ε' ἐπινεμήσεως, καὶ καταστρωθὲν τῷ σεκρέτῳ τοῦ ἱεροῦ χαρτοφυλακίου.*

Quæ de patriarchalibus stauropegiis metropolitanorum per diversas provincias, archiepiscoporum, et episcoporum nostræ administrationis fixis, definita et disposita sunt, actis synodalibus sanctissimi illius inter patriarchas domini Germani : (quorum alia quidem XXVII mensis Novembris, alia autem VIII Januarii, ejusdem indictionis, novit facta) bene et pie habere cogitans mediocritas nostra, definit ; immutabile inviolatumque servari unumquodque eorum capitum, quæ illis actis comprehensa sunt, alias ubique et maxime de ipsa provincia Naupacti. Ut patriarchalis nominis relatio in illis solis obtineat et clarius exprimatur, in quibus exstructio per patriarchalia crucifixa facta fuerat, sive monasteria sint, sive ecclesiæ catholicæ, sive oratoria. Et in hujusmodi nihil sit commune regionis antitisti [u], sive ad sacrorum confectionem, sive ad præfecti [v] designationem, sive ad animalium peccatorum inquisitionem [x], neque aliud quidquam, usque ad canonicarum illationum exactionem. Etenim qui in his [y], consecrationem sortiuntur, patriarchales erunt et nominabuntur, et patriarchalium jurium exarcho subjicientur, eique solita canonica persolvent. Ipse autem exarchus eos, qui sacris in posterum initiabuntur, per gradus singulos ad id promovebit, cum legitimis [z] tam vitæ, quam ætatis ipsorum testimoniis, et alio omni regulari observatione [a]. Præterea nuptialibus præcerit contractibus permittendis aut vetandis. Et ratiociniorum susceptores spiritales Patres in patriarchalibus juribus assidentes, ab eo probabuntur, ac veniam accipient. Ubi autem patriarchale Stauropegium præstructum non fuerit, regionis antistes illius potestatem habebit : sive monasterii suburbanum sit, sive paralaurium, sive domus oratoria. Et illius erit relatio sigillum [b], inquisitio, proventus canonicorum, ordinationes, venia et prohibitio contractuum, et si quod sit aliud episcopale privilegium. Sicubi etiam forte tempus interruperit et abstulerit, occasione archetyporum, et ipsis subjecta fecerit, ut censerentur patriarchalia, quæ ab initio patriarchicum non habuere Stauropegium. Sed mediocritas nostra regionum antistitibus talium jure cedit. Etsi enim studiose amplectatur, quæcumque patriarchali conveniunt potestati, aliena tamen non appetit, ut quæ ad eam non pertinent, sibi vindicet. Subjicimus autem locorum et antistitibus eos, qui ante exstructionem divinorum templorum, quæ sub patriarchalibus crucibus prædificata sunt, vel postea ædificabuntur, locum inhabitarunt, aut

Τὰ περὶ τῶν πατριαρχικῶν σταυροπηγίων τῶν κατὰ διαφόρους ἐπαρχίας μητροπολιτῶν, ἀρχιεπισκόπων τε καὶ ἐπισκόπων τῆς ἐφ' ἡμᾶς διοικήσεως πεπηγότων, ὡρισμένα τε καὶ τετυπωμένα δι' ὑπομνημάτων συνοδικῶν τοῦ ἐν πατριάρχαις ἐκείνου ἁγιωτάτου κυρίου Γερμανοῦ, ὧν τὸ μὲν κζ' τοῦ Νοεμβρίου μηνὸς, θάτερον δὲ ἡ η' τοῦ Ἰανουαρίου, τῆς αὐτῆς ἐπινεμήσεως, οἵδε γεγενημένα, καλῶς καὶ θεοφιλῶς ἔχειν κατανοήσασα ἡ μετριότης ἡμῶν, ἀμετάθετον καὶ ἀπαράβατον διορίζεται συντηρεῖσθαι τὸ καθ' ἓν ἕκαστον τῶν ἐν τοῖς αὐτοῖς ὑπομνήμασι διειλημμένων κεφαλαίων, ἀλλαχόσε πανταχῆ, καὶ δὴ καὶ ἐπ' αὐτῆς τῆς ἐπαρχίας Ναυπάκτου. Ὥστε τὴν ἀναφορὰν τοῦ πατριαρχικοῦ ὀνόματος ἐν ἐκείνοις μόνοις καὶ κρατεῖν καὶ ἐκπεφωνῆσθαι τρανότερον, ἐν οἷς ἡ ἀνέγερσις διὰ σταυροπηγίων πατριαρχικῶν ἐγεγόνει· κἂν μοναστήρια ὦσι, κἂν ἐκκλησίαι καθολικαί· κἂν εὐκτήριοι οἶκοι· κάν τοι τοιούτοις μηδὲν εἶναι μεθεκτὸν τῷ κατὰ χώραν ἀρχιερεῖ, εἴτε εἰς ἱεροπραξίαν, εἴτε εἰς ἡγουμένου σφραγῖδα, εἴτε εἰς ψυχικῶν σφαλμάτων ἀνάκρισιν, οὐδ' ἄλλο οὐδ' ὁτιοῦν, μέχρι καὶ τῆς τῶν κανονικῶν εἰσφορῶν ἀπαιτήσεως. Καὶ γὰρ οἱ ἱερᾶσθαι λαχόντες ἐν τούτοις, πατριαρχικοὶ καὶ ἔσονται καὶ ὀνομασθήσονται, καὶ τῷ τῶν πατριαρχικῶν δικαίων ἐξάρχῳ ὑποκείσονται, καὶ τὰ συνήθη κανονικὰ πρὸς αὐτὸν ἀποτίσουσι. Ὁ δ' αὐτὸς ἔξαρχος καὶ τοὺς ἐξ ἱερᾶσθαι μέλλοντας διὰ τῶν κατὰ μέρος βαθμῶν εἰς τοῦτ' αὐτὸ προβιβάσει, μετὰ τῶν νενομισμένων μαρτυριῶν τοῦ τε βίου καὶ τῆς ἡλικίας αὐτῶν, καὶ πάσης ἑτέρας κανονικῆς παρατηρήσεως. Ἔτι γε μὴν καὶ τῇ τῶν γαμικῶν συναλλαγμάτων ἐπιστατήσει προτροπῇ καὶ ἀποτροπῇ. Καὶ οἱ τῶν λογισμῶν δὲ ἀνάδοχοι πνευματικοὶ Πατέρες οἱ ἐν τοῖς πατριαρχικοῖς δικαίοις προσκαθήμενοι, παρ' αὐτοῦ καὶ δοκιμασθήσονται, καὶ τὸ ἐνδόσιμον λήψονται. Ἔνθα δὲ μὴ κατεβλήθη πατριαρχικὸν σταυροπήγιον, ὁ κατὰ χώραν ἀρχιερεὺς ἐκεῖσε ἐξουσιάσει· κἂν προάστειον ᾖ μοναστηρίου, κἂν παραλαύριον, κἂν οἶκος εὐκτήριος· καὶ αὐτοῦ ἔσται ἡ ἀναφορὰ, ἡ σφραγὶς, ἡ ἐξέτασις, ἡ πρόσοδος τῶν κανονικῶν, αἱ χειροτονίαι, ἡ ἔνδοσις καὶ ἡ κώλυσις τῶν συναλλαγμάτων· καὶ εἴ τι ἄλλο προνόμιον ἐπισκοπικόν. Κἂν τί που ἴσως ὁ χρόνος διέκοψε καὶ ἀφείλετο, προφάσει τῶν πρωτοτύπων, καὶ αὐτοῖς ὑποκείμενα, πατριαρχικὰ λογίζεσθαι κἀκεῖνα πεποίηκε τὰ μηδὲ τὴν ἀρχὴν ἐσχηκότα πατριαρχικὸν σταυροπήγιον. Ἀλλ' ἡ μετριότης ἡμῶν τοῖς ἐγχωρίοις ἀρχιερεῦσι τῶν τοιούτων παραχωρεῖ. Κἂν γὰρ ἐξόχως ἀντέχηται τῶν ὅσα τῇ πατριαρχικῇ προσήρμοσεν ἐξουσίᾳ, ἀλλ' οὐχὶ καὶ τῶν ἀλλοτρίων ἐρᾷ, ὥστε τὰ μηδὲν αὐτῇ προσήκοντα σφετερίζεσθαι.

VARIÆ LECTIONES.

[u] *pontifici.* [v] *abbatis.* [x] *animæ delictorum examen.* [y] *sacerdotes fiunt:* [z] *cum visitatis.* [a] *canonica* [b] *confirmatio.*

Ὑποτιθέμεν δὲ τοῖς ἐγχωρίοις ἀρχιερεῦσι κἀκείνους, οἵτινες πρὸ τῆς ἀνεγέρσεως τῶν ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς προῳκοδομημένων, ἢ καὶ μετὰ τοῦτο οἰκοδομηθησομένων θείων σηκῶν, τὸν τόπον κατῴκησαν, ἢ καὶ ὕστερον κατοικήσαντες, ἀπὸ τῶν ἀλλαγενῶν καὶ ἐγχωρίων εὑρίσκονται ὄντες· ὥστε καὶ τοὺς τοιούτους τῷ κατὰ χώραν ὑποκεῖσθαι ἀρχιερεῖ, εἰς πᾶσαν ἐπισκοπικὴν διεξαγωγήν. Περὶ μέντοι τῶν ἐξ ἀλλοδαπῆς ἐληλυθότων καὶ ἐλευσομένων πρὸ τῆς πήξεως τοῦ σταυροπηγίου, καὶ μετὰ τοῦτο κἀκεῖσε τὴν οἴκησιν ποιουμένων, οὐδεὶς ἀντερεῖ τῷ τῶν πατριαρχικῶν δικαίων ἐξάρχῳ, ὡς δῆθεν οὐκ αὐτῷ προσηκόντων. Ἀναμφίλογος γὰρ ἔσται καὶ αὐτῶν ἔξαρχος ὁ τοιοῦτος. Ἐπιγνωσθήτω τοίνυν ὁ παρὼν ὁρισμὸς τῆς ἡμῶν μετριότητος τῷ σεκρέτῳ τοῦ ἱεροῦ χαρτοφυλακίου. Καὶ ἀντιγραφήτω τῷ ἀπὸ τοῦ μέρους τῆς ἐπισκοπῆς Ἄρτης αἰτησαμένῳ, καὶ πορισαμένῳ αὐτὸν, ἐπὶ τῷ ἐμφανισθῆναι καὶ τῷ ἱερωτάτῳ μητροπολίτῃ Ναυπάκτου, εἰς εἴδησιν. Εἶχε τὸ, Μηνὶ Ἰουνίῳ, ἐπινεμήσεως ε', διὰ τῆς πατριαρχικῆς καὶ θείας χειρός. Ἀπῆώρητο δὲ καὶ κάτωθεν μολιβδίνη βοῦλλα, παλάμαις φέρουσαν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ἐν δὲ τῷ ἑτέρῳ γράμματα ταῦτα, Γερμανὸς ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

qui, cum posterius inhabitarint, ab indigenis, vel incolis originem ducere reperiuntur: ut regionis antistiti tales subjiciantur, in omnem episcopalem sollicitudinem. De iis tamen, qui ex aliena regione venerunt, aut venturi sunt ante fixionem stauropegii, et postea illic domicilium collocarunt, nemo repugnabit quin ad patriarchalium jurium exarchum prorsus pertineant. Indubitatus enim et eorum talis erit exarchus. Innotescat [c] ergo præsens nostræ moderationis definitio secreta sacri chartophylacii, et rescribatur ei, qui a parte episcopatus Artæ postulavit eam, et exhibuit, ut [d] intimetur notitiæ sacratissimi metropolitani Naupacti. Habuit subscriptum, mense Junio, indictionis 5, patriarchali et divina manu. Pendebat autem inferne plumbea bulla, habens ex una parte sanctissimam Deiparam in ulnis gestantem Dominum nostrum Jesum Christum, ex altera autem has litteras, Germanus Dei miseratione archiepiscopus Constantinopoleos, novæ Romæ, et œcumenicus patriarcha.

Ἕτερον τοῦ αὐτοῦ.

Τὰ κατὰ συναρπαγὴν λαβόντα σύμπηξιν, οὔθ' ὁ καιρὸς περιτρέχει ἀπερικλόνητα, καὶ αὐτοὶ δὲ οἱ τῆς αὐτῶν συμπήξεως αἴτιοι τὴν ἀνατροπὴν αὐτῶν τελεσιουργοῦσι προφθάνοντες. Προβαίνει τι καὶ παρ' ἡμῖν τοιουτότροπον, καὶ ταχέως ἡ μετριότης ἡμῶν τὴν αὐτοῦ ποιεῖται διόρθωσιν. Ἐν τῇ χώρᾳ τῆς Παφλαγονίας, πατριαρχικαὶ μοναὶ σποράδην διάκεινται· ταῖς μοναῖς ὑπόκεινται καὶ προάστεια, χωρία τε ὁμοῦ καὶ ἀγρίδια· λαὸς τοῖς κτήμασι διάφορος κατοικεῖ. Περὶ τούτων, ἐπὶ τῆς καθ' ἡμᾶς συνόδου, γεγενημένης πρό τινος καιροῦ συζητήσεως, ὁπότερον ἄρα εἶναι δεῖ τὸν τῆς αὐτῶν διεξαγωγῆς ἀντιποιησόμενον· εἴτε τὸν κατὰ χώραν ἀρχιερέα (ὅτι τῆς ἐνορίας τούτου μέρος τυγχάνουσιν), εἴτε τὸν ἀπὸ τῆς πατριαρχικῆς ἐξουσίας ἀποστελλόμενον ἔξαρχον, ὅτι ταῖς μοναῖς, ἃς ἐτάχθη διέπειν, τυγχάνουσιν ὑποκείμενα· ἐλαθέ πως καὶ τῇ τοῦ πατριαρχικοῦ ἐξάρχου ἐπεκυρώθησαν διεξαγωγῇ. Τῇ προσκυρώσει ταύτῃ καὶ πρᾶξις ἐπηκολούθησεν, ἐκφωνοῦσα καὶ ἀφορισμὸν, διὰ τὴν τῶν διειλεγμένων ταύτῃ βεβαίωσιν. Τὴν σήμερον δὲ ὑπὸ ἀκριβεστέραν πεσούσης τῆς ὑποθέσεως βάσανον, εἶχε μὲν καὶ αὐτόθεν ἡ μετριότης ἡμῶν κατανοεῖν τὸ τοῦ πράγματος ἄτοπον, κἀντεῦθεν τῇ ἐπιδιορθώσει τούτου παραυτίκα ἐπένευεν, ἐπ' ἐκείνοις διαγινώσκουσα τὸν πατριαρχικὸν κεκτῆσθαι δίκαιον ἔξαρχον, ὅσα ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς τὴν βάσιν ἐσχήκασιν, εἴτε μοναστήρια εἰσιν, εἴτε εὐκτήρια. Εὗρηκε δὲ καὶ πρᾶξιν συνοδικὴν παλαιὰν ἐπὶ τῆς πατριαρχίας τοῦ μακαρίτου ἐκείνου κυρίου Γερμανοῦ γεγενημένην, τὴν αὐτὴν περὶ πολλοῦ ποιοῦσαν ὑπόθεσιν· καὶ διατεττομένην (εἰ δεῖ συντόμως εἰπεῖν) μὴ ἔχειν

Aliud de eodem [e].

Quæ per vim afflixionem ceperunt [f], nec tempus percurrit inconcussa, et qui ipsorum affixionis [g] sunt auctores, eversionem, tandem eorum perficiunt. Accidit quidpiam apud nos hujusmodi, cujus correctionem mediocritas nostra celeriter facit. In regione Paphlagoniæ, patriarchalia monasteria sparsim sita sunt: monasteriis subjiciuntur et suburbana, prædiaque simul et agelli. Populus multiplex possessiones incolit. De his in synodo, quæ sub nobis habita, cum ante aliquod tempus facta esset quæstio, uter administrationem eorum vindicare sibi deberet, isne qui est regionis antistes [h] (quod diœceseos et pars sit) an qui a patriarchali potestate mittitur exarchus, quod subjecta sint monasteriis, quæ ab ipso gubernari statutum est: incertum erat, quomodo patriarchalis exarchi administrationi attributa essent. Attributionem hanc actio subsecuta est, pronuntians et exterminationem ad ea quæ tractata sunt, confirmanda. Hodie autem incidente causa in exactiorem disquisitionem, potuit quidem mediocritas nostra rei absurditatem ex eo perspicere, indeque ejus emendationi statim annuit, cognoscens exarchum jus acquisiisse patriarchale, in iis, quæ sub crucibus patriarchalibus fundamentum habuerunt, sive monasteria sint, sive oratoria. Sed et invenit veterem actionem synodalem sub patriarchatu beati illius domini Germani factam, idem negotium plurimi facientem, constituentemque (si paucis verbis dicendum sit) patriarchalium monasteriorum quæ ubique sunt, exarchos non habere licentiam vindicandi sibi prædia his subjecta, aut

VARIÆ LECTIONES.

[c] *Insinuetur.* [d] *et impetravit, ut.* [e] *Aliud ejusdem.* [f] *per obreptionem confecta sunt, ea nec.* [g] *confectionis.* [h] *Exarchus.*

qui in iis est populum, aut oratoria, quæ patriarchales cruces sortita non sunt, sed neque suscipiendi eos, qui illinc consecrandi sunt, et ut proprios ad sacerdotii dignitatem provehendi, sed ab iis omnino abstinere, ut a regionis episcopo administrentur. Et secuta est actionem. Eademque et ipsa, cum assidente fraternitate, in præsente causa pronuntiavit, dicens, non esse consentaneum ut episcopus a proprio expellatur populo, eo quod patriarchalibus monasteriis, quibus adhærent prædia, vel suburbana subjecta sint. Sed nec a suis oratoriis, nisi sub patriarchalibus stauropegiis et ipsa fundata sint, sive etiam paralauria forte sint, aut metochia. Quamobrem prædictam illam actionem inde synodaliter abrogans, quæ in ea conprehensa sunt, omni modo cessare constituit, et quam pronuntiavit excommunicationis vinculum solvit. Paphlagoniæ igitur antistites hæc prædia et suburbana sine interruptione gubernabunt, illa utique quæ non sub stauropegiis patriarchalibus exstructa sunt. Inveniuntur quidem et aliqua ejusmodi, cum iis autem et oratoria patriarchalibus his monasteriis subjecta, nisi sint quibus patriarchicæ cruces fundamentum præstiterint. Etenim et ab his debent quæ sunt suæ pastionis transferre, et patriarchali exarcho transitum ad ea concedere. Qui autem ea sic regere probabuntur, neque ab iis, qui patriarchalibus monasteriis præsunt [1], turbabuntur neque a patriarchicæ potestatis metochiis. Debent enim iis, quæ definita sunt, acquiescere, nec ullo modo conari cuiquam antistitum parti molesti esse, ob administrationem et curam prædictorum prædiorum, et eorum, qui in his sedes collocarunt: præterea etiam oratoriorum, metochiorum et paralauriorum, quæ sub patriarchalibus stauropegiis exstructionem non ceperunt.

A ἐξουσίαν τοὺς τῶν ἐκκλησιαστικοῦ πατριαρχικῶν μονῶν ἐξαρχεύοντας, ὑποποιεῖσθαι καὶ τὰ ὑποδεδλημένα ταύταις χωρία, ἢ τὸν ἐν τούτοις λαὸν, ἢ τὰ εὐκτήρια ὅσα μὴ σταυροπηγίων πατριαρχικῶν ἠύμοιρήκασιν. Ἀλλὰ μηδὲ τοὺς ἐκεῖθεν ἱεράσθαι μέλλοντας ἀναδέχεσθαι, καὶ ὡς ἰδίους πρὸς τὸ τῆς ἱερωσύνης ἀνάγειν ἀξίωμα· ἀλλὰ ἀπέχειν πάντη αὐτῶν, ὡς παρὰ τοῦ ἐπισκόπου τῆς χώρας διέποντο. Καὶ ἠκολούθησε τῇ πράξει· καὶ τὰ αὐτὰ καὶ αὕτη μετὰ τῆς συνεδριαζούσης αὐτῇ ἀδελφότητος πρὸς τὴν ὑπόθεσιν ἀπεφήνατο, μὴ δέον εἶναι εἰποῦσα, ἀπωθεῖσθαι τοῦ ἰδίου λαοῦ τὸν ἐπίσκοπον, προφάσει τοῦ πατριαρχικαῖς μοναῖς ὑποκεῖσθαι τὰ χωρία, ἢ τὰ προάστεια ἔνθα προσκάθηνται· ἀλλὰ μηδὲ τῶν ἐν αὐτοῖς εὐκτηρίων, ἐὰν μὴ ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς καὶ αὐτὰ ἐφηδράσθησαν· κἂν καὶ παραλαύρια τυχὸν τυγχάνουσι τῶν μονῶν, ἢ μετόχια. Ὅθεν καὶ τὴν εἰρημένην ἐκείνην πρᾶξιν ἀπεντεῦθεν συνοδικῶς ἀκυρώσασα, ἀπραξίαν τε παντελῆ τῶν ἐν αὐτῇ διειλημμένων κατεψηφίσατο, καὶ τῷ ἀφορισμῷ δὲ λύσιν ἐπήγαγεν, ὃν ἐκφωνοῦσα ἐτύγχανεν. Ἔσονται οὖν οἱ κατὰ τὴν Παφλαγονίαν οὗτοι ἀρχιερεῖς τὰ χωρία ταῦτα καὶ τὰ προάστεια ἀπερισκόπως διέποντες. Ἐκεῖνα μέντοιγε ὅτε μὴ ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς συνῳκίσθησαν, εὑρίσκονται μὲν καί τινά που τοιαῦτα, σὺν αὐτοῖς δὲ καὶ τὰ ὑποτεθειμένα τοῖς πατριαρχικοῖς μοναστηρίοις τούτοις εὐκτήρια· πλὴν εἰ μή τισι καὶ αὐτῶν πατριαρχικὰ ὑποδέδληνται σταυροπήγια. Κἀκ τούτων γὰρ ὀφείλουσι τὰ τῆς ἑαυτῶν μεταίρειν ποιμάνσεως, καὶ τῷ πατριαρχικῷ ἐξάρχῳ τῆς εἰς τὰ τοιαῦτα παρόδου παραχωρεῖν. Διέπειν δὲ οὕτω ταῦτα δικαωθέντες, οὔτε παρὰ τῶν τοῖς πατριαρχικοῖς μοναστηρίοις ἡγουμενευόντων εἰς τοῦτο ἐνοχληθήσεται, οὔτε παρὰ τῶν τῆς πατριαρχικῆς ἐξουσίας ὄντων μετοχίων. Ὀφείλουσι γὰρ οἱ τοιοῦτοι τοῖς ὡρισμένοις ἐμμένειν, καὶ μηδόλως πειρᾶσθαί τινι τοῦ μέρους τῶν ἀρχιερέων παρενοχλεῖν, ἐπὶ τῇ διεξαγωγῇ καὶ ποιμάνσει τῶν εἰρημένων χωρίων, καὶ τῶν ἐν τούτοις προσκαθημένων· πρὸς δὲ καὶ τῶν εὐκτηρίων, μετοχίων τε καὶ παραλαυρίων, ὅσα μὴ ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς εἰλήφασι τὴν ἀνέγερσιν.

MANUELIS (17).

I. *Solutiones quarumdam quæstionum.*

Sacratissimus Dyrrachii metropolita Romanus, dilectus in Domino frater, et nostræ mediocritatis comministrer, nostræ hodie assidens mediocritati synodice præsidenti cum sacratissimis suis fratribus, Cæsareæ, Cappadociæ, Metrophane; Sardium, Andronico: Philadelphiæ, Phoca: Pontoheracleæ, Nicephoro: Smyrnæ, Georgio: Methymnæ, Michaele: chartam in medium, ut legeretur, protulit, in qua erant interrogationes piissimi Bellæ episcopi, quærentes synodicas solutiones. Erant autem interrogationes hujusmodi.

MANOYHA.

Α'. *Λύσεις ἐρωτήσεών τινων.*

Ὁ ἱερώτατος μητροπολίτης Δυρραχίου Ῥωμανὸς, κατὰ Κύριον ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, τῇ ἡμῶν σήμερον συνεδριάζων μετριότητι προσκαθημένῳ συνοδικῶς μετὰ τῶν ἱερωτάτων αὐτῆς ἀδελφῶν, τοῦ Καισαρείας, Καππαδοκίας Μητροφάνους, τοῦ Σάρδεων Ἀνδρονίκου, τοῦ Φιλαδελφείας Φωκᾶ, τοῦ Ποντοηρακλείας Νικηφόρου, τοῦ Σμύρνης Γεωργίου, τοῦ Μηθύμνης Μιχαὴλ, χάρτην ἐπὶ τοῦ μέσου προέτεινε εἰς ἀνάγνωσιν. Καὶ ὁ χάρτης ἐρωτήσεις ἦν τοῦ θεοφιλεστάτου ἐπισκόπου Βελλᾶ, συνοδικῶν δεόμεναι λύσεων. Εἶχε δὲ οὕτω τὰ τῶν ἐρωτήσεων.

VARIÆ LECTIONES.

[1] *abbates sunt.*

NOTÆ.

(17) *Charitopuli* cognomentum hic habuit.

Τινὲς τῶν οἰκείων γυναικῶν ὑποχωρήσαντες διὰ μῖσος, ἢ ἄλλην ὁποίαν δή τινα αἰτίαν, καὶ ἐν ἀλλοτρίᾳ διάγοντες, μένουσιν οὕτως αἱ γυναῖκες τῶν τοιούτων ἐπὶ πέντε ἢ καὶ πλείοσιν ἔτεσι, τῶν ἀνδρῶν αὐτῶν ἀνεπιστρόφων ὄντων, καὶ ἀδήλων ποῦ ἄρα διάγοιεν· εἰ δεῖ τοίνυν ἀνδράσιν ἑτέροις ταύτας συζεύγνυσθαι;

Τινὲς τῶν ἱερωμένων ἐν τῇ μεγάλῃ Τεσσαρακοστῇ, προηγιασμένους θείους ἄρτους κρύψαντες ἐν ἀρτοφορίοις, εἶτα συνεργίᾳ δαίμονος ἐκ τοῦ σηκοῦ τοῦ θείου συληθέντων ὑπὸ μυῶν, καὶ κυνὸς παρανοίξαντος τὴν θύραν, ἢ καὶ ἐν τῷ ἱερουργεῖν τὸν ἱερέα καὶ ἐν τῇ τραπέζῃ τὰς εὐχὰς ὑπαναγινώσκειν, λαθὼν μῦς τις μετὰ τὴν προσκομιδὴν ἀφήρπασε τὸ ἱερουργούμενον θεῖον σῶμα· πῶς χρὴ εἰς τὰ τοιαῦτα ἐπιτιμηθῆναι τοὺς ἱερεῖς.

Ἱερεῖς τινες ἀφοριζόμενοι παρὰ τῶν οἰκείων ἀρχιερέων τοῦ ἀφορισμοῦ καταφρονοῦσι· καὶ ἐπιτετιμημένοι ὄντες, εἰσέρχονται καὶ ἱερουργοῦσι. Πῶς δεῖ τούτους κολασθῆναι;

Λαϊκοὶ διγαμήσαντες καὶ παιδοποιήσαντες, ὑπερβάντες τὰ τεσσαράκοντα ἔτη, παρενοχλοῦσι καὶ εἰς τρίτον ἐλθεῖν συνοικέσιον, ἕνεκα τῆς ἀνατροφῆς τῶν προϋπαρχόντων παίδων αὐτοῖς, καὶ τοῦ μὴ χύδην ἁμαρτάνειν, εἰ ἀνέγκλητον αὐτοῖς τριγαμῆσαι;

Ἀντιμήνσεα ἴσμεν γινόμενα, ἐπὰν ὁ ἀρχιερεὺς δι' ἑαυτοῦ ἐνεργήσῃ τὸν ἐγκαινισμὸν, καὶ ἐκ τοῦ πανίου τοῦ ὑποστρωθέντος καὶ περιειλήσαντος τὴν τράπεζαν, εἰς βραχέα τεμνομένου καὶ γραφομένου, τοῖς ἱερεῦσι δίδοσθαι· καὶ ἄνευ τούτων μὴ δύνασθαι ἱερουργεῖν. Ἔνθα οὖν ἐστι τούτων ἔνδεια, τί δεῖ πραχθῆναι· ἵνα μὴ μένωσιν οἱ ἱερεῖς ἄνευ ἱερουργιῶν;

Τινὲς ἱερεῖς λανθανόντως ἐποίησαν τῇ μεγάλῃ Τεσσαρακοστῇ εὐλογήσεις· ποταπὸς ἄρα ὁ γάμος οὗτος, καὶ ποίοις ἐπιτιμίοις ἁλίσκονται οἱ οὕτως ἱερολογήσαντες ἱερεῖς;

Πρὸς γοῦν ταύταις ταῖς ἐρωτήσεσι ἡ μετριότης ἡμῶν τοιαύτας τὰς λύσεις ἐπήνεγκεν.

Οἱ ἀπὸ τῶν οἰκείων ὑποχωρήσαντες γυναικῶν ἄνδρες δι' ὁποιανδήτινα αἰτίαν, καὶ ἐν ἀλλοτρίᾳ διάγοντες, ἀφορισμοῦ εἰσιν ἄξιοι, εἰ ἀνεπιστρόφως ἔχουσι, καὶ πρὸς τὰς οἰκείας γυναῖκας οὐ προαιροῦνται πάλιν νοστῆσαι· εἰ δὲ ἄδηλοι εἶεν, καὶ προέδῃ καὶ ἔρευνα τούτων ἐξ ἀποστολῆς τῶν γυναικῶν αὐτῶν, καὶ πενταετία παρῆλθεν ἐξότου ἀφανεῖς οἱ ἄνδρες τούτων ἐγένοντο, αἰχμάλωτοι τυχὸν γεγονότες, ἢ ἄλλῳ τινὶ τρόπῳ ἀφανισθέντες· τῶν τοιούτων αἱ γυναῖκες ἀκωλύτως κατὰ τὸν ἐκχωροῦντα νόμον ἑτέροις συναφθεῖεν ἀνδράσιν· αἱ δ' ἄλλαι ὧν οἱ ἄνδρες ἔτι περίεισι, τοὺς οἰκείους ἄνδρας ζητείτωσαν.

Οἱ πταίσαντες ἱερεῖς, οἱ τοὺς προηγιασμένους ἄρτους πεποιηκότες τοὺς ὑπὸ κυνῶν τῶν παρανοιξάντων τὴν τοῦ ναοῦ πύλην ἀφανισθέντας, τῆς ἱερουργίας πρὸς καιρὸν τὸν παρὰ τὴν διάκρισιν κείμενον τοῦ αὐτῶν ἀρχιερέως παυσάσθωσαν, ὡς μὴ τὴν ἱκανὴν πεποιηκότες ἀσφάλειαν. Οἱ δ' ἄλλοι οἱ τοὺς

A Quidam cum per odium aut aliam quamlibet ob causam a suis uxoribus discessissent, peregre degentes, non revertuntur: et cum incertum sit, ubi agant, sic eorum uxores durant per quinque annos vel plures. An eas oporteat aliis conjungi viris?

Quidam sacrificuli [j] in magna Quadragesima præsanctificatos divinos panes in panariis recondentes, iis deinde opera dæmonis ex septo divino subreptis a muribus, et cane ostium aperiente, vel etiam cum sacerdos sacrificaret, et ad mensas precationes legeret, delitescens mus, post oblationem, consecratum divinum corpus subripuit; Quam censuram merentur sacerdotes?

B

Sacerdotes quidam a suis antistitibus excommunicati excommunicationem contemnunt; et sub pœnis cum sint, ingrediuntur et sacrificant. Quonam modo sint hi plectendi?

Laici cum secundas contraxerunt nuptias, liberis procreatis post quadragesimum annum, postulant ad tertias convolare, ob præexsistentem liberorum educationem, et ne passim [k] peccent. An sine reprehensione id faciant?

Antimensia [l] scimus facta, postquam antistes per se operatus fuerit dedicationem, et ex panno substrato circumvolventeque mensam, in frusta dissecto et scripto [m], sacerdotibus dari: nec posse sine his sacrificare. Ubi igitur horum est defectus, quid faciendum, ne sine sacrorum celebratione sacerdotes maneant?

C

Quidam sacerdotes in magna Quadragesima benedictiones clam fecerunt: quales tandem sunt nuptiæ, et quibus tenentur pœnis sacerdotes, qui sic sacras preces conceperunt?

Ad has igitur interrogationes mediocritas nostra tales solutiones protulit.

Qui ob quamlibet causam ab uxoribus suis recesserunt, et alibi degunt, excommunicationem merentur, si perseverent, nec velint ad uxores reverti. Si vero incertum ubi sint, et mandato earum inquisitio processerit, præterieritque quinquennium, ex quo viri disparuerunt, in bello forte capti, aut

D quo alio modo de medio sublati: uxores eorum per legem non prohibentur aliis conjungi viris. Aliæ autem, quarum adhuc viri supersunt, suos viros quærant.

Qui sic deliquerunt sacerdotes, ut præsanctificatos panes, a se factos, canes templi ostium aperientes de medio sustulerint, ad tempus in cognitione antistitis positum, a sacrorum operatione cessent, quod diligenter non caverint. Alii autem, qui panes in oblatione per mures amiserunt, inculpati

VARIÆ LECTIONES.

[j] *sacerdotes* [k] *promiscue.* [l] *Suid.* ἀντιμίσιον [m] *picto.*

maneant (multa enim ejusmodi sæpe accidunt), qui etiam aliam oblationem mensæ sacræ apponent oblationeque facta sacrificium perficient.

Excommunicati, qui sacrificant, depositione sunt digni, idque in episcopi ipsorum cognitione positum esto.

Qui tertiis nuptiis implicari volunt, post annum ætatis quadragesimum, ut polygamiam Christianis non convenientem quærentes, re infecta dimittentur : quod si etiam vim inferant, censuram subibunt.

Antimensia in omnibus sanctis mensis poni necesse non est, sed in iis, de quibus incertum consecratæ sint, necne. Nam antimensia consecratarum sanctarum mensarum locum obtinent : nec iis opus est, ubi mensas consecratas esse constat.

Sacerdotes, qui in magna Carrena [n] nuptiales fecerunt benedictiones, si per simplicitatem id fecerint, mediocri correctione sunt digni ; sin autem per malitiam et clam commiserint, majore pœna, quæ antistitis judicio irrogabitur. Ab iis autem facta connubia, ut sacra precatione munita, rata inconcussaque manebunt. Habuit illud, mense Julio, indict. 8, et viridis ceræ sigillum.

II. *De translatione episcoporum.*

Mense Julio, decima die [o], 1, indict. 20, præsidente sanctissimo domino nostro œcumenico patriarcha, domino Manuele, in celeberrima et super illustri synodo imperialis [p] mansionis, quæ honorata est nomine immaculatæ Dei Matris Gorgopecoi, Sandrorum cognominata : assidentibus magnæ sanctitati ejus et sacratissimis antistitibus, Cæsareæ Cappadociæ, Metrophane : Sardium et totius Lydiæ exarcho, Andronico : Philadelphiæ et locum Syracusani obtinente Phoca : Pontoheracleæ et Claudiopolitani legato Nicephoro : Smyrnæ, Georgio : Dyrrachii, Romano : Methymnæ, Michaele : assistentibus et plissimis dominicis magistratibus.

Quod in corporibus animæ, id in negotiis temporum occasiones : et illa hæc movent, et aliter interdum mutant, probabilibus causis cedentes. Quorsum vero temporalis ista transpositio, rerumque mutatio et transitus ? Oratio, tempore exigente, has transferat, et in apertius immutet. Joannes pontificatum adeptus sanctissimi episcopatus Ezeri, qui est sub Larissa metropoli, longumque perpessus iter, præruptum, et equitibus difficile, et senex, mundanum adiens Luciferum, optimum et

ἄρτους ὑπὸ μυῶν ἐν τῇ προσκομιδῇ ὀλέσαντες, ἀνεπιτίμητοι διαμεινάτωσαν· ἐπεὶ πλεῖστα τοιαῦτα πολλάκις γίνονται· οἳ καὶ ἑτέραν προσφορὰν ἐν τῇ ἁγίᾳ τραπέζῃ εἰστάξουσι καὶ προσκομιδὴν ποιήσουσι, καὶ τὴν ἱερουργίαν τελειώσουσιν.

Οἱ ἀφωρισμένοι καὶ ἱερουργοῦντες, καθαιρέσεώς εἰσιν ἄξιοι· καὶ εἰς τὴν τοῦ ἐπισκόπου αὐτῶν τοῦτο κεῖσθω διάκρισιν.

Οἱ τρισὶ γάμοις συμπλακῆναι βουλόμενοι μετὰ τὴν τεσσαρακονταετίαν, ὡς πολυγαμίαν τοῖς Χριστιανοῖς οὐκ ἀνήκουσαν ζητοῦντες, ἄπρακτοι ἀποπεμφθήσονται· εἰ δὲ καὶ βίαν ἐπάγουσι, καὶ ἐπιτιμηθήσονται.

Τὰ ἀντιμίνσια οὐκ εἰς πάσας ἀνάγκη κεῖσθαι τὰς ἁγίας τραπέζας, ἀλλ' εἰς ἃς οὐ γνώριμόν ἐστιν εἴτε καθιερωμέναι εἰσὶν, εἴτε οὔ· τὰ γὰρ ἀντιμίνσια καθιερωμένων ἁγίων τραπεζῶν τόπον ἐπέχουσι· καὶ ἔνθα εἰσὶ γνώριμοι καθιερωμέναι τράπεζαι, οὐ χρεία ἀντιμινσίων ἐκεῖ.

Οἱ πεποιηκότες τὰς γαμικὰς ἱερολογίας ἱερεῖς ἐν τῇ μεγάλῃ Τεσσαρακοστῇ, εἰ μὲν ἐξ ἀφελείας τοῦτο πεποιήκασι, μετρίων ἐπιτιμίων εἰσὶν ἄξιοι· εἰ δ' ἐκ σκαιοτροπίας καὶ κρύφα, μειζοτέρων ἐπιτιμίων, τῶν παρὰ τῇ διακρίσει κειμένων τοῦ ἀρχιερέως αὐτῶν. Τὰ δὲ παρ' αὐτῶν γινόμενα συνοικέσια, ὡς ἱερολογίαν δεξάμενα, τὸ στέργον ἔξουσι καὶ ἀπερικλόνητον. Εἶχε τὸ, μηνὶ Ἰουλίῳ, ἐπινεμήσεως ἡ', καὶ τὴν κηρίνην πρασίνην σφραγῖδα.

B. *Περὶ μεταθέσεως ἐπισκόπων.*

Μηνὶ Ἰουλίῳ ι', ἡμέρᾳ α', ἐπινεμήσεως κ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου Μανουὴλ ἐντὸς τῆς περιωνύμου καὶ πανυπερλάμπρου συνόδου [20] βασιλικῆς μονῆς, τῆς ἐπὶ ὀνόματι μὲν τιμωμένης τῆς ὑπεραμώμου Θεομήτορος τῆς Γοργεπηκόου, τῶν Σάνδρων δὲ ἐπικεκλημένης· συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Καισαρείας, Καππαδοκίας, Μητροφάνους· τοῦ Σάρδεων καὶ ἐξάρχου πάσης Λυδίας, Ἀνδρονίκου· τοῦ Φιλαδελφίας, καὶ τὸν τόπον ἐπέχοντος τοῦ Συρακούσης, Φωκᾶ· τοῦ Ποντοηρακλείας, καὶ τὸν τόπον ἐπέχοντος τοῦ Κλαυδιουπόλεως, Νικηφόρου· τοῦ Σμύρνης, Γεωργίου· τοῦ Δυρραχίου, Ῥωμανοῦ· καὶ τοῦ Μηθύμνης, Μιχαήλ· παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

Ὁ ἐν σώμασιν αἱ ψυχαὶ, τοῦτ' ἐν πράγμασιν οἱ καιροί· καὶ κινοῦσιν αὐτὰ, καὶ ἄλλως ἄλλοτε ταῦτα μετατιθέασιν, εὐπροσώποις αἰτίαις ὑπείκοντες. Εἰς τί δὲ ἡ καιρικὴ αὕτη μετάθεσις, καὶ ἡ τῶν πραγμάτων ἐναλλαγὴ καὶ μετάβασις ; Ὁ λόγος, καιροῦ καλοῦντος, μετατιθέσθω ταύτας, καὶ ἐναλλαττέσθω πρὸς τὸ σαφέστερον. Ὁ τῆς ὑπὸ τὴν τῆς Λαρίσσης μητρόπολιν ἁγιωτάτης ἐπισκοπῆς Ἑζεροῦ ἀρχιερατικῶς προϊστάμενος Ἰωάννης, μακράν τ' ἀνατλὰς ὁδοιπορίαν ἔγκοπόν τε καὶ δύσιππον, καὶ πρέσβυς

VARIÆ LECTIONES.

[20] σεβασμίαι.

[n] *quadragesima* [o] *mensis Julii die* x, *feria prima.* [p] *et splendidissima venerabili mansione regia.*

ἀφικόμενος πρὸς τὸν κοσμικὸν φωσφόρον, τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα, ἐξ ἀποστολῆς τοῦ πανευτυχεστάτου δεσπότου καὶ ποθεινοτάτου υἱοῦ τῆς ἡμῶν μετριότητος, καὶ ἀμέσως τούτῳ προσομιλήσας, καὶ πρὸς τὸ καθ' ἡμᾶς ἐκκλησιαστικὸν ἐπεχωρίασε στερέωμα· καὶ τοὺς φαιδρὸν ἴσα καὶ ἀστράσι λάμποντας ἱεράρχας, ἀδελφοὺς καὶ συλλειτουργοὺς τῆς ἡμῶν μετριότητος, τῇ ἡμῶν εὑρὼν συνεδριάζοντας μετριότητι, χάρτην ἐπὶ τοῦ μέσου προέτεινε, καὶ ἀπολογίαν ἐζήτει ἐγκάνονον. Εἶχε δὲ οὕτω τὰ τοῦ προβλήματος·

A sanctum meum imperatorem, mandato felicissimi domini et dilectissimi [q] nostræ mediocritatis filii, et per seipsum cum eo collocutus, ad ecclesiasticum nostrum appulit firmamentum, et non aliter ac astra, clare fulgentes pontifices, fratres et comministros nostræ mediocritatis : cui assidentes eos inveniens, chartam in medium protulit, canonicam [r] defensionem requirens. Quæstio autem sic habebat :

Φῶς γνώσεως δοῦναί μοι ἐξαιτοῦμαι παρὰ τοῦ παναγιωτάτου δεσπότου μου καὶ κυρίου, τοῦ οἰκουμενικοῦ φωστῆρος, καὶ τῆς κατ' αὐτὸν θείας καὶ ἱερᾶς τῶν ἱεραρχῶν ὁμηγύρεως, ἐπὶ τῇ ἀναφορᾷ, ἣν πρὸς τὸ ὕψωμα τούτων ποιήσασθαι κατετόλμησα, τῷ B θείῳ πεισθεὶς ῥήματι. Ἐπερώτησον (γάρ, φησί), τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι.

Lucem notitiæ [s] dari mihi postulo a sanctissimo hero meo et domino, œcumenico luminari, et a divina sacraque pontificum, quæ sub eo fit, congregatione : ad relationem, quam divino confidens [t] verbo, eorum celsitudini facere ausus sum. Interroga (inquit) patrem tuum, et renuntiabit tibi, et seniores tuos, et dicent tibi.

Ἔξεστι τοῖς μητροπολίταις, γνώμῃ τῶν ὑπ' αὐτοὺς ἐπισκόπων, δι' αἰτίαν εὐπρόσωπον, ἣν ὁ καιρὸς ἀπαιτεῖ καὶ τὰ πράγματα, μεταθεῖναι ἐπίσκοπον ἀπὸ ἐπισκοπῆς εἰς ἐπισκοπὴν, ὑπὸ τὴν αὐτὴν μητρόπολιν τελούσας ἄμφω τὰς ἐπισκοπάς, ἢ οὔ ; Ἐπιτετράφθαι γὰρ τὴν μετάθεσιν, καὶ πολλοὺς τῶν ἀρχιερέων, κατὰ διαφόρους καιροὺς, οὐκ εἰς ὁμοτίμους, ἀλλ' ἤδη καὶ εἰς ὑπερβεβηκότας θρόνους μετατεθῆναι, οἱ τῶν ἱερῶν πυκτίδων λέγουσιν ἐπιστήμονες. Ἀλλ' ἡμεῖς ἐκ τῆς ὑμῶν μεγαλειότητος τὸ περὶ τούτου βέβαιον γνωρίσαι δεόμεθα. Ἔλεγε ταῦτα C τὸ πρόβλημα· καὶ ὁ Ἐζεροῦ ἐζήτει ἐπ' αὐτῷ ἀπολογίαν ἔγγραφον. Ἡ γοῦν μετριότης ἡμῶν, μετὰ τῆς ἱερᾶς αὐτῆς ἀδελφότητος τὰ περὶ τούτου κοινολογηςαμένη, τοιαῦτά τινα συνοδικῶς ἀποφαίνεται· ὡς, εἴπερ ὁ τῆς συνόδου μητροπολίτης, συναινέσει τῶν ὑπ' αὐτὸν ἐπισκόπων, δοῦναί τινι θελήσει, κατὰ τὸν τῆς ἐπιδόσεως λόγον, καὶ ἑτέραν ἐπισκοπὴν, ὑπὸ τὴν ἐπαρχίαν αὐτοῦ καὶ ταύτην τελοῦσαν, ἀπροκριματίστως τοῦτο ποιήσει ἐπεὶ καὶ παρ' ἡμῖν τοιαῦτα διὰ τὸν τῆς φιλαδελφίας ὁσημέραι τρόπον ἐνεργεῖται· καὶ ποιήσεται ὁ ἐπίσκοπος καὶ ἐν τῇ τοιαύτῃ ἐπισκοπῇ καὶ πάσῃ τῇ ταύτης ἐνορίᾳ τὴν διεξαγωγὴν τῶν ἱεραρχικῶν ἁπάντων δικαίων, ὅσα καὶ γνήσιος ἀρχιερεὺς αὐτῆς· παρὲξ τοῦ ἐν τῷ ἱερῷ συνθρόνῳ ἐγκαθιδρύεσθαι. Εἰ δ' αὖ γε μετὰ τῆς οἰκείας D συνόδου ὁ μητροπολίτης, δι' αἰτίαν ἐπαινουμένην, καὶ ἀπολογίαν εὐπρόσωπον (ὠφέλεια δ' αὕτη ψυχῶν, καὶ κυβέρνησις ἐκκλησιαστικῆς καταστάσεως;) εὐδοκήσει ἀποθέσθαι μὲν τὸν θρόνον καὶ τὸ τῆς ἐπισκοπῆς ὄνομά τινα τῶν ὑπ' αὐτὸν ἐπισκόπων· μεταθεῖναι δὲ τοῦτον ἐν ἑτέρᾳ ἐπισκοπῇ ὑπ' αὐτὸν δὴ τὸν μητροπολίτην τελούσῃ· ἀνενδοιάστως τοῦτο καὶ ἀκωλύτως διαπράξεται, ὡς τῆς τῶν ἀνθρώπων σωτηρίας καὶ τῆς ἐκκλησιαστικῆς εὐκοσμίας ποθητῆς

Licetne metropolitanis, episcoporum, quos sub se habent, sententia, justam ob causam, quam tempus et res postulant, ab episcope in episcopen [u], cum ambæ sint sub ejus metropoli, episcopum transferre, necne ? Concessam enim fuisse translationem, et multos antistites, variis temporibus non impares conditione, sed et sublimiores sedes translatos fuisse dicunt sacrarum tabularum periti. Sed nos hujus rei certitudinem a vestra amplitudine scire avemus. Hæc quæstione continebantur : et Ezerensis scriptam de eo responsionem postulabat. Nostra igitur mediocritas, cum sacra ipsius fraternitate [v] hæc communi consilio tractans, talia quædam synodice pronuntiavit. Si quidem synodi metropolitanus, suorum episcoporum consensu, dare cuipiam voluerit, incrementi ratione, aliam episcopen, in sua provincia sitam : sine præjudicio [x] id faciet. Nam et a nobis [y] talia per modum fraternæ dilectionis quotidie fiunt. Et faciet episcopus etiam in ea episcope totaque ejus diœcesi administrationem omnium pontificalium jurium, quæcunque et genuinus antistes ejus : excepto eo, ne in sacro conthrono collocetur. Quod si rursus cum sua synodo metropolitanus ob causam laudabilem, et probabilem prætextum (utilitas autem hæc animarum et ecclesiastici status administratio) comprobaverit, ut quis episcoporum sub se positorum deponat quidem sedem et episcopi nomen, ad aliam autem sub ipso metropolitano exsistentem transferatur episcopen : id sine dubio et impedimento faciet, quod hominum salutem et ecclesiasticum decus nostra mediocritas, sacraque ipsius fraternitas, cum affectione requirat. Quamobrem et admittenda censebitur translatio, ob prædictam causam ; et rata firmaque manebit, ut cui nihil

VARIÆ LECTIONES

[q] *desideratissimi.* [r] *Responsum canonibus consentaneum.* [s] *Intellectus.* [t] *obtemperant.* [u] *ab episcopatu ad episcopatum.* [v] *cum sacro suo fratrum cœtu.* [x] *sine cujusquam præjudicio.* [y] *et apud nos.*

adversetur. Canonica enim observatio novit diversis temporibus translationes antistitum, episcoporum, et metropolitanorum factas, non in æquales sedes, sed et in sublimiores et excellentiores, propter rationalium Ecclesiæ Christi ovium refocillationem, et ecclesiasticarum rerum gubernationem. Hæc e diariis synodicis annotationibus emissa, et subscriptione signoque sanctissimi domini nostri et œcumenici patriarchæ, domini Manuelis, confirmata : data sunt mense et indictione subscriptis anni 6758. Habuerunt hoc, mense Julio, indictione 8, per patriarchalem divinamque manum, et solitam plumbeam bullam.

A οὔσης καὶ παρὰ τῇ ἡμῶν μετριότητι καὶ τῇ ἱερᾷ αὐτῆς ἀδελφότητι. Ὅθεν καὶ δεκτὴ λογισθήσεται ἡ μετάθεσις, διὰ τὴν εἰρημένην αἰτίαν, καὶ ἕξει τὸ στέργον, καὶ ἐνεργὸν ὡς μηδὲν τὸ προσιστάμενον κεκτημένη. Ἐπείπερ οἶδεν ἡ ἐγκάνονος παρατήρησις κατὰ διαφόρους καιροὺς μεταθέσεις γενομένας ἀρχιερέων, ἐπισκόπων καὶ μητροπολιτῶν, οὐκ εἰς ἰσοστασίους θρόνους, ἀλλά γε δὴ καὶ εἰς ὑψηλοτέρους καὶ ὑπερέχοντας, διὰ καταρτισμὸν τῶν λογικῶν Ὁρεμμάτων τῆς Ἐκκλησίας Χριστοῦ, καὶ ἐκκλησιαστικῶν πραγμάτων κυβέρνησιν. Ταῦτα παρεκβηθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων, καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Μανουὴλ βεβαιωθέντα, ἐπεδόθη μηνὶ καὶ ἐπινεμήσει τοῖς προγεγραμμένοις, ἔτους ,ςψνη'. Εἶχε τὸ, μηνὶ Ἰουλίῳ ἐπινεμήσεως η', διὰ τῆς πατριαρχικῆς καὶ θείας χειρὸς, καὶ τὴν συνήθη μολιβδόβουλλαν.

III. *De jure patronatus.*

Moderationi nostræ [z] relatum est a piissimo episcopo Dominico Demetrio, qui sub provincia metropolitani Larissæi, eos qui jus fundationis revocant [a] in monasterio, quod ab initio sub ejus episcope fuit, magni inter sanctos martyris Demetrii, Procovico indigenarum lingua cognominato, cupientes quidem hujusmodi monasterium in suam potestatem redigere, et consecratis eis rebus ut propriis uti, sed per prædictum episcopum eo, qui præter rationem erat, impetu inhibitos, et non data facultate hujusmodi absurdum perpetrandi, ad ultionem ejus videlicet excitatos, templum aliud exstruere conari sub patriarchali stauropegio : et ab episcopali monasterio divellere possessiones, quæ a majoribus eorum, aut quibusdam Christi amantibus cognatis illorum, ei tributæ sunt : templo autem ab eis sub patriarchali cruce exstruendo consecrare. Nostra igitur moderatio iniquam hujusmodi ipsorum cogitationem radicitus exscindere volens, ut sacris canonibus omni modo prohibitam, per præsentes suas litteras definit, quascunque possessiones, vel res, episcopali monasterio sancti Demetrii semper ab eo indivulsas [b] manere, idque ab episcopo Dominico administrari, et spiritualiter dirigi [b*]. Nec enim ædificatoribus, neque alii cuiquam licet ab episcopali monasterio possessiones divellere, easque patriarchali monasterio vel oratorio templo jure proprietatis tribuere. Quod si quis monasterium vel oratorium septum sub patriarchali [c] stauropegio exstruere velit, a nemine quidem prohibebitur : prius tamen ei possessiones ex propriis assignari curet. Quas enim possessiones episcopale monasterium habet, ab eo divelli (ut dictum est) nullo umquam tempore poterunt. Et hæc quidem de eo.

B

Γ'. *Περὶ οἰκτητορικοῦ* [21] *δικαίου.*

Ἀνηνέχθη τῇ ἡμῶν μετριότητι παρὰ τοῦ ὑπὸ τὴν ἐπαρχίαν τῆς μητροπόλεως Λαρίσσης θεοφιλεστάτου ἐπισκόπου Δομινίκου Δημητρίου, ὡς οἰκτητορικὸν [22] δίκαιον ἀναλαμβάνοντες ἐν τῷ ὑπὸ τὴν ἐπισκοπὴν αὐτοῦ τελοῦντι ἀνέκαθεν μοναστηρίῳ τοῦ ἐν ἁγίοις μεγαλομάρτυρος Δημητρίου, τῷ Προκοβίκῳ ἐγχωρίως ἐπονομαζομένῳ · ὀρεγόμενοι μὲν κατεξουσιάζειν τέλεον τῆς τοιαύτης μονῆς, καὶ τοῖς ἀφιερωμένοις αὐτῇ πράγμασιν ὡς οἰκείοις χρῆσθαι, τῆς δὲ παραλόγου ταύτης ὁρμῆς παρὰ τοῦ ῥηθέντος ἐπισκόπου ἀνακοπτόμενοι, καὶ μὴ ἐγχωροῦμενοι τὸ τοιοῦτον ἄτοπον διαπράττεσθαι, εἰς ἄμυναν τούτου δῆθεν διεγειρόμενοι, πειρῶνται ἕτερον ἀνεγεῖραι ναὸν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ, καὶ ἀποσπᾶσαι ἀπὸ τοῦ C ἐπισκοπικοῦ μοναστηρίου τὰ παρὰ τῶν προγόνων αὐτῶν, ἢ τινων προσγενῶν αὐτῶν φιλοχρίστων, προσκυρωθέντα αὐτῇ κτήματα · ἀφιερῶσαι δ' αὐτὰ τῷ παρ' αὐτῶν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἀνεγερθησομένῳ ναῷ. Ἡ γοῦν μετριότης ἡμῶν τὸ τοιοῦτον αὐτῶν παράλογον διανόημα πρόῤῥιζον ἀποτεμεῖν βουλομένη, ὡς τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένον παντάπασι, διορίζεται διὰ τοῦ παρόντος αὐτῆς γράμματος ἀναπόσπαστα μέχρι παντὸς μένειν παρὰ τῇ ἐπισκοπικῇ μονῇ τοῦ ἁγίου Δημητρίου τὰ προσόντα αὐτῇ ὁποιαδή τινα κτήματά τε καὶ πράγματα · καὶ παρὰ τοῦ ἐπισκόπου Δομινίκου διεξάγεσθαι ταύτην, καὶ πνευματικῶς διϑύνεσθαι. Οὔτε γὰρ τοῖς δομήτορσιν, οὔθ' ἑτέρῳ τινὶ ἔξεστιν ἀπὸ ἐπισκοπικῆς D μονῆς ἀποσπᾶν κτήματα, καὶ προσκυροῦν ταῦτα πατριαρχικῇ μονῇ, ἢ εὐκτηρίῳ ναῷ. Εἰ δέ τις βούλεται ἀνεγεῖραι μονὴν ἢ εὐκτήριον σηκὸν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ, εἰς μὲν τούτου ἀνέγερσιν οὐ κωλυθήσεται παρά τινος · φροντισάτω δὲ πρότερον προσκυρῶσαι αὐτῷ κτήματα ἀπὸ τῶν οἰκείων. Τὰ γὰρ τῇ ἐπισκοπικῇ μονῇ προσόντα κτήματα, ἀναπόσπαστα παρ' αὐτῇ, ὡς εἴρηται, ἐς τὸ διηνεκὲς ἔσονται. Καὶ ταῦτα μὲν περὶ τούτου.

VARIÆ LECTIONES.

[21] κτητορικοῦ. [22] κτητορικόν.

[z] *Mediocritati.* [a] *repetant.* [b] *apud episcopale monasterium S. Demetrii semper indivulsas.* [b*] *gubernari.* [c] *oratoriam ædem.*

Ἐπεὶ δὲ καὶ περὶ ἑτέρας μονῆς ἀρχῆθεν διαφερούσης τῇ τοῦ Δομινίκου ἐπισκοπῇ, εἰς Κρομποὺς μὲν οὔσης, ἐπ' ὀνόματι δὲ τῶν ἁγίων μεγάλων μαρτύρων Θεοδώρων τιμωμένης ἀνέφερε τῇ ἡμῶν μετριότητι ὁ αὐτὸς ἐπίσκοπος, ὡς φθάσειε καὶ ταύτην ὁ δεσπότης ἐκεῖνος κύριος Μανουὴλ ὑποθεῖναι εἰς μετόχιον τῇ ἐν τῷ θέματι τῶν Σερβίων πατριαρχικῇ μονῇ τῶν ἁγίων Θεοδώρων· οἱ δὲ μοναχοὶ τῆς τοιαύτης πατριαρχικῆς μονῆς, τοῦ ἐπισκόπου κατεξανιστάμενοι, καὶ τὴν αὐτοῦ ἀπαναινόμενοι ποίμανσιν, τὴν μὲν ἀναφορὰν αὐτοῦ ἀπὸ τοῦ ῥηθέντος ἐπισκοπικοῦ μοναστηρίου, τοῦ εἰς μετόχιον, ὡς εἴρηται, ἐκδοθέντος αὐτοῖς, τέλεον ἐξώθησαν, τὴν πατριαρχικὴν δὲ ἀντεισήγαγον· καὶ τὸ τοιοῦτον ὡς ἀκανόνιστον πάντῃ ἀπείργουσα ἡ μετριότης ἡμῶν, διορίζεται, ὡς ἐὰν (ὡς ὁ ἐπίσκοπος ἀνήνεγκε) πρὸ τοῦ εἰς μετόχιον ὑποτεθῆναι τῇ πατριαρχῇ μονῇ, τὸ εἰς Κρομποὺς μοναστήριον ἐπισκοπικὸν ἦν, καὶ παρὰ τοῦ κατὰ καιροὺς ἐπισκόπου Δομινίκου διεξήγετο, ἵνα ἔχῃ καὶ αὖθις ὁ ἐπίσκοπος τὴν οἰκείαν ἀναφορὰν ἐν αὐτῷ, ὡς γνήσιος ἀρχιερεύς. Ὁ γὰρ ἐκδεδωκὼς τοῦτο τοῖς μοναχοῖς εἰς μετόχιον, τὴν χρηματικὴν μόνην δεσποτείαν ἐκδοῦναι ἠδύνατο, οὐ μὴν δὲ καὶ τὴν πνευματικὴν τοῦ ἐπισκόπου ἀναφοράν, καὶ τὴν τῶν ψυχικῶν σφαλμάτων ἀνάκρισιν. Ἔσεῖται γοῦν ἡ ῥηθεῖσα τῶν ἁγίων Θεοδώρων μονὴ εἰς Κρομποὺς διακειμένη, ὑπὸ τὴν ἐπισκοπικὴν ἐξουσίαν καὶ διοίκησιν· εἰ μή πως δυνηθῶσιν οἱ τῆς πατριαρχικῆς μονῆς μοναχοὶ δεῖξαι ὡς καὶ τὸ τοιοῦτον μοναστήριον ἀνηγέρθη ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ. Εἶχε τὸ, μηνὶ Ἰουλίῳ, ἐπινεμήσεως η', διὰ τῆς πατριαρχικῆς θείας χειρὸς, καὶ τὴν κηρίνην πρασίνην σφραγῖδα.

A Cum autem et de alio monastério pertinente ab initio ad Dominici episcopen, in Crompis quidem exsistente, ornato autem sanctorum magnorum martyrum Theodorum nomine, mediocritati nostræ idem episcopus retulerit, herum illum [d] dominum Manuelem hoc subjecisse in metochium patriarchali monasterio sanctorum Theodororum, quod est in Serviorum provincia : monachos autem illius patriarchalis monasterii in episcopum insurgentes, ejusque passionem renuentes [e], relationem quidem ejus a prædicto episcopali monasterio, ipsis (ut dictum est) in metochium concesso, tandem rejecisse; patriarchalem autem pro ea introduxisse : rem hujusmodi, ut canonibus adversantem, omnino prohibens nostra moderatio definit, si (ut B episcopus retulit) Crompórum monasterium, antequam in metochium patriarchali subjiceretur monasterio, episcopale fuit, et ab illius temporis Dominico regebatur ; habeat rursum episcopus propriam in eo relationem, utpote legitimus antistes. Nam qui illud monachis in metochium [f] largitus est, pecuniarium solum dominium tribuere potuit, non autem spiritalem episcopi relationem, et animalium peccatorum cognitionem [g]. Prædictum igitur sanctorum Theodororum monasterium in Crompis situm, sub episcopali potestate et administratione dimittetur : nisi patriarchicæ mansionis monachi ostendere potuerint, tale monasterium sub cruce patriarchica exstructum fuisse. Habuit subscriptum, mense Julio, indictione octava, C patriarchali divina manu, et cereo viridi sigillo [h].

ΑΔΗΛΩΝ ΠΑΤΡΙΑΡΧΩΝ.

Α'. *Τοῦ ἁγιωτάτου πατριάρχου κυρίου περὶ τῆς κατὰ τὴν καθέδραν τάξεως τῶν μητροπολιτῶν καὶ ἀρχιεπισκόπων, καθὼς ἐν τῷ χαρτοφυλακίῳ ἐπιγραφονται.*

Ἔδει τὰς πόλεις αἳ τῷ τῆς ἀρχιερωσύνης τετίμηνται ἀξιώματι καὶ αἷς ἱεροὶ ποιμένες παρὰ τῆς πατριαρχικῆς προχειρίζονται δεξιᾶς, ἐνταυθοῖ διαγράφεσθαι, ὥσπερ τινὶ οἰκουμένῃ βραχείᾳ συνεχομένας, καὶ τῷ βουλομένῳ ἀταλαιπώρως προσφαινομένας. Τῇ γὰρ ἀναμάκτῳ ἀνηκούσας ἀρχῇ ἀξιόχρεων ταύτας τῷ ἰδίῳ σηκῷ κατατάττεσθαι· ὡσαύτως τε καὶ πᾶσι τοῖς ἄλλοις τὴν ἐπ' αὐταῖς ἐξουσίαν καὶ τὴν τάξιν αὐτῶν εὐσύνοπτον εἶναι καὶ εὐεπίγνωστον. Σὺν ταῖς πρὸς ἀνίσχοντα δὲ ἡλιον, καὶ αἱ πρὸς δυόμενον καταγράφονται. Ἐκ παλαιοῦ γὰρ αὐτὰς οὔπω μέχρι τῆς δεῦρο ταῖς ἄλλαις συντετάχαμεν, ὧν οἱ τὴν ἐφορείαν πεπιστευμένοι ἡνίκα καθέδρας καιρὸς ἐκάλει, παρὰ τῶν ὁμοταγῶν διωθοῦντο, καὶ ἀντώθουν τούτους, φεῦ τῆς ὕβρεως ! τῷ ἴσῳ μέτρῳ τῆς ἐπιπλήξεως. Ἀλλ' ὅγε φιλόχριστος πανευσεβὴς βασιλεὺς ἡμῶν προὐκάθητο μὲν ἅμα ἡμῖν ἐν τῷ σεβασμίῳ ναῷ τῆς ἁγίας Εἰρήνης, ἡνίκα τε τῶν ἀοιδίμων πατριαρχῶν μνήμην ἐπετελοῦμεν· σὺν D

INCERTORUM PATRIARCHARUM.

I. *Sanctissimi patriarchæ domini de sessionis ordine metropolitanorum et archiepiscoporum, ut in chartophylacio describuntur*

Oportebat civitates, quæ antistitis [i] dignitates decoratæ sunt, et quibus sacri pastores dextra patriarchali præficiuntur, hic describi, velut quodam brevi orbe comprehensas, et cuilibet sine labore conspicuas. Nam, ut quæ ad incruentum pertinent principatum, proprio septo recenseri consentaneum est : sic omnibus aliis potestatem, quæ in ipsis est earumque ordinem manifestum esse et cognitu facilem. Cum iis autem, quæ ad orientem solem, eæ quæ ad occasum, describuntur. Jampridem enim ad hodiernum diem nondum aliis annumeravimus illas, quarum qui tutelam susceperunt, cum sessionis tempus vocabat, ab ejusdem ordinis antistitibus expulsi sunt, et eos vicissim, proh dolor ! pari indignationis mensura expulerunt. Sed religiosissimus Christi cultor, imperator noster, in venerando sanctæ Irenæ [j] templo simul nobiscum præsidebat, quando etiam inclytorum patriarcharum mentionem faceremus : cum eo autem et Deo acceptissimi metropo-

VARIÆ LECTIONES

[d] *Despotam illum.* [e] *pastoralem gubernationem.* [f] *Ad usumfructum.* [g] *Animæ delictorum examen.* [h] *Cereum viride sigillum.* [i] *pontificis.* [j] *Pacis.*

litani, cum quibus uniuscujusque throni considerantes reverentiam, convenientem cuique locum attribuimus : quemadmodum præsens ordo nostræ commonitionis verbis circumspecte [k] scriptus declarat. Absurdum enim videbatur eos sedis primatum usurpare, et decoris causa, quod est dedecus, vel, ut potius dicam, infamia, primarii sacerdotii reverentiam [l] posthac contumelia afficere, cum solam immortalem gloriam curare deberemus, quæ marcorem non admittit, sed semper efflorescit, et sui studiosos gloria incorrupta exornat et illustrat

A τούτῳ δὲ καὶ μητροπολῖται θεοφιλεῖς, μεθ' ὧν τὸ ἑκάστου θρόνου αἰδέσιμον συνδιασκεψάμενοι, πρόσφορον πᾶσι χώραν ἀπεκληρώσαμεν· καθὰ καὶ ἡ παροῦσα τάξις ἡ τῷ ἡμετέρῳ τῆς προτροπῆς λόγῳ περιεσκεμμένως γραφεῖσα, δηλοῖ. Ἄτοπον γὰρ ἐδόκει, τοὺς τοῦ βήματος πρωτείων ἀντιποιεῖσθαι, καὶ δόξης ἕνεκα, ἥτις ἐστὶν ἀδοξία, εἰπεῖν δὲ μᾶλλον αἰσχύνη, τὸ τῆς ἀρχιερωσύνης τίμιον, τοῦ λοιποῦ καθυβρίζεσθαι· μόνης τῆς ἀθανάτου δόξης φροντίζειν ὀφειλόντων ἡμῶν, ἡ μαρασμὸν οὐ προσίεται· ἀλλ' ἀεὶ ἐπανθεῖ, καὶ τοὺς ἐραστὰς δόξῃ ἀκηράτῳ κατακοσμεῖ καὶ ἀποσεμνύνει.

Αἱ μητροπόλεις.	*Metropoles.*
α' ἡ Καισάρεια.	1 Cæsaria.
β' ἡ Ἔφεσος	2 Ephesus.
γ' ἡ Ἡράκλεια.	3 Heraclea.
δ' ἡ Ἄγκυρα.	4 Ancyra.
ε' ἡ Κύζικος.	5 Cyzicus.
ς' αἱ Σάρδεις.	6 Sardes.
ζ' ἡ Νικομήδεια.	7 Nicomedia.
η' ἡ Νίκαια.	8 Nicæa.
θ' ἡ Χαλκηδών.	9 Chalcedon.
ι' ἡ Σίδη.	10 Side.
ια' ἡ Σεβάστεια.	11 Sebastea.
ιβ' ἡ Ἀμάσεια.	12 Amasea.
ιγ' ἡ Μελιτήνη.	13 Melitene.
ιδ' τὰ Τύανα.	14 Tyana.
ιε' ἡ Γάγγρα.	15 Gangra.
ις' ἡ Θεσσαλονίκη.	16 Thessalonica.
ιζ' ἡ Κλαυδιούπολις.	17 Claudiopolis.
ιη' ἡ Νεοκαισάρεια.	18 Neocæsarea.
ιθ' ἡ Πεσσινοῦς.	19 Pisynus.
κ' τὰ Μύρα.	20 Myra.
κα' ἡ Καρία.	21 Caria.
κβ' ἡ Λαοδίκεια.	22 Laodicea.
κγ' τὰ Σύναδα.	23 Synada.
κδ' τὸ Ἰκόνιον.	24 Iconium.
κε' ἡ Ἀντιόχεια.	35 Antiochia.
κς' τὸ Σύλαιον.	26 Sylæum.
κζ' ἡ Κόρινθος.	27 Corinthus.
κη' αἱ Ἀθῆναι.	28 Athenæ.
κθ' ἡ Μωκισός.	29 Mocisus.
λ' ἡ Σελεύκεια.	30 Seleucia.
λα' ἡ Καλαυρία.	31 Calauria.
λβ' αἱ Πάτραι.	32 Patræ.
λγ' ἡ Τραπεζοῦς.	33 Trapezus.
λδ' ἡ Λάρισσα.	34 Larissa.
λε' ἡ Ναύπακτος.	35 Naupactus.
λς' ἡ Φιλιππούπολις.	36 Philippopolis.
λζ' ἡ Τραϊανούπολις.	37 Trajanopolis.
λη' ἡ Ῥόδος.	38 Rhodus.
λθ' ἡ Φιλίππου [32]	39 Philippi.
μ' ἡ Ἀδριανούπολις.	40 Adrianopolis.
μα' ἡ Ἱεράπολις.	41 Hierapolis.
μβ' τὸ Δυρράχιον.	42 Dyrrhachium.
μγ' ἡ Σμύρνη.	43 Smyrna.
μδ' ἡ Κατάνη.	44 Catana.
με' τὸ Ἀμόριον.	45 Amorium.
μς' ἡ Κάμαχος.	46 Camachus.
μζ' τὸ Κοτύαιον.	47 Cotyæum.
μη' ἡ Ἁγία Σεβηριανή.	48 Sancta Severiana.
μθ' ἡ Μιτυλήνη.	49 Mitylene.
ν' αἱ Νέαι Πάτραι.	50 Novæ Patræ.
να' τὰ Εὐχάϊτα.	51 Euchaita.
νβ' ἡ Ἀμαστρις.	52 Amastris.
νγ' αἱ Χῶναι.	53 Chonæ.
νδ' ἡ Ὕδρους.	54 Hydrus.
νε' ἡ Κελεσηνή.	55 Celesena.
νς' ἡ Κολώνεια.	56 Colonia.
νζ' αἱ Θῆβαι.	57 Thebæ.
νη' αἱ Σέρραι.	58 Serræ.
B νθ' ἡ Πομπηϊούπολις.	59 Pompeiopolis.
ξ' ἡ Ῥωσία.	60 Rosia.
ξα' ἡ Ἀλασία [34].	61 Alasia.
ξβ' ἡ Αἶνος.	62 Ænus.
ξγ' ἡ Τιβεριούπολις.	63 Tiberiopolis.
ξδ' ἡ Εὐχανία.	64 Euchania.
ξε' ἡ Κερασοῦς.	65 Cerasus.
ξς' ἡ Νακώλεια.	66 Nacolia.
ξζ' ἡ Γερμανία.	67 Germania.
ξη' τὰ Μάδυτα.	68 Madyta.
ξθ' ἡ Ἀπάμεια.	69 Apamea.
ο' τὸ Βασίλειον.	70 Basileum.
οα' ἡ Δρίστρα.	71 Dristra.
οβ' ἡ Ναζιανζός.	72 Nazianzus.
ογ' τὰ Κέρκυρα.	73 Cercyra.
οδ' ἡ Ἄβυδος.	74 Abydus.
οε' ἡ Μήθυμνα.	75 Methymna.
ος' ἡ Χριστιανούπολις.	76 Christianopolis.
οζ' τὸ Ῥούσιον.	77 Rhusium.
C οη' ἡ Λακεδαιμονία.	78 Lacedæmonia.
οθ' ἡ Ναξία.	79 Naxia.
π' ἡ Ἀτάλεια.	80 Atalia.

Αἱ ἀρχιεπισκοπαί.	*Archiepiscopatus.*
α' ἡ Βιζύη.	1 Bizya.
β' ἡ Λεοντόπολις.	2 Leontopolis.
γ' ἡ Μαρώνεια.	3 Maronea.
δ' τὰ Γέρμια.	4 Germia.
ε' ἡ Ἀρκαδιούπολις.	5 Arcadiopolis.
ς' τὸ Πάρειον.	6 Pareum.
ζ' ἡ Μίλητος.	7 Miletus.
η' ἡ Προικόνησος.	8 Præconesus.
θ' ἡ Σηλυμβρία.	9 Selymbria.
ι' ἡ Κῖος.	10 Cius.
ια' ἡ Ἄπρως.	11 Apros.
ιβ' τὰ Κύψελλα.	12 Cypsella.
ιγ' ἡ Νίκη.	13 Nica.
D ιδ' ἡ Νεάπολις.	14 Neapolis.
ιε' ἡ Σέλγη.	15 Selgæ.
ις' ἡ Χερσών.	16 Cherson.
ιζ' ἡ Μεσήνη.	17 Mesene.
ιη' ἡ Γαρέλα.	18 Garela.
ιθ' ἡ Βρύσις.	19 Brysis.
κ' ἡ Δέρκος.	20 Dercus.
κα' ἡ Καραβυζύη.	21 Carabyzye.
κβ' ἡ Λῆμνος.	22 Lemnus.
κγ' ἡ Λευκάς.	23 Leucas.
κδ' ἡ Μίσθεια.	24 Mistea.
κε' αἱ Κοῦδραι.	25 Cudræ.
κς' ἡ Σωτηριούπολις.	26 Soteriopolis.
κζ' ἡ Πηδαχθών.	27 Pedachton.
κη' ἡ Γέρμη.	28 Germæ.
κθ' ἡ Βόσπορος.	29 Bosporus.

VARIÆ LECTIONES.

[32] Φιλίππων. [34] Ἀνανία.

[k] *Nobis hortantibus circumspecte.* [l] *pontificatus dignitatem.*

λ' ἡ Κότραδις. 30 Cotradis.
λα' ἡ Ἐρωΐνη. 31 Eroine.
λβ' ἡ Κάρπαθος. 32 Carpathus.
λγ' ἡ Μεσημβρία. 33 Mesembria.
λδ' ἡ Γοτθία. 34 Gothia.
A λε' ἡ Σουγδία. 35 Sugdia.
λς' αἱ Φοῦλλοι. 36 Phulli.
λζ' ἡ Αἴγινα. 37 Ægina.
λη' τὰ Φάρσαλα. 38 Pharsala.
λθ' τὰ Μέτραχα. 39 Metracha.

Β'. *Περὶ τῶν ἐκτιθεμένων τὰ οἰκεῖα βρέφη.*

Περὶ τοῦ κολάζεσθαι, εἴτε καὶ μή, τὰς ἐκτιθεμένας τὰ οἰκεῖα βρέφη εἰς τὰς εἰσόδους τῶν θείων ναῶν, λόγος ἐγένετο διαφόρως ἐπὶ συνελεύσει συνοδικῇ· καὶ ἤρεσεν, ὡς φονευτρίας ταύτας κολάζεσθαι, κἂν παρά τινων τὰ βρέφη ζωογονηθῶσιν.

II. *De iis, quæ proprios infantes exponunt.*

An autem essent puniendæ quæ proprios filios in divinorum templorum [m] aditibus exponunt, annon, in synodali congressione varie disceptatum est : et placuit eas, ut homicidas, puniri, etsi infantes ab aliquibus educentur.

Γ'. *Περὶ τῶν κατὰ βίαν ἀποκαρεισῶν γυναικῶν.*

Τὴν Κομνηνὴν κυρὰν Θεοδώραν, τὴν χρηματίσασαν σύζυγον τοῦ Λαπαρδᾶ ἐκείνου κυρίου Ἀνδρονίκου, ἀποκαρεῖσαν κατὰ βίαν τοῦ τυράννου, ἡ ἐν Κωνσταντινουπόλει σύνοδος οὐ παρεχώρησε μεταschηματισθῆναι καὶ συζυγῆναι τῷ Κράλῃ Οὐγγρίας, ἐκθύμως τοῦτο ζητήσαντι· διὰ τὸ μετὰ θάνατον τοῦ ἀνδρὸς αὐτῆς στοιχῆσαι τῇ ἀποκάρσει, κἂν κατὰ βίαν ἐγένετο, καὶ ἐν κοινοβιακῇ διάγειν μονῇ. Ἑτέρας δὲ γυναῖκας εὐγενεῖς οὕτως ἀποκαρεῖσας ἐδικαίωσεν ἡ αὐτὴ σύνοδος μετὰ θάνατον τοῦ τυράννου μεταschηματισθῆναι, ἢ, ὡς ἔτι περιόντων τῶν ἀνδρῶν αὐτῶν, ἢ διὰ τὸ μὴ καταδέξασθαι ὅλως τὴν ἀπόκαρσιν μετὰ θάνατον τοῦ τυράννου.

III. *De mulieribus per vim tonsis.*

Comnenam dominam Theodoram, quæ dicta est Lapardæ illius domini Andronici conjux, ut illius tyranni Andronici tonsam, Constantinopolitana synodus non sivit mutare habitum, nec cum Crale Hungariæ, qui hoc vehementissime petebat, conjungi; eo quod post ejus viri mortem processisset tonsura, etiamsi vi facta esset, et in cœnobiaco monasterio vitam egisset. Jam vero et alias quoque nobiles feminas sic tonsas, æquum censuit hæc synodus ad pristinum habitum reverti : vel quod eorum mariti superessent, vel quod tonsuram omnino non admisissent post mortem tyranni.

VARIÆ LECTIONES.

[m] *sacrorum.*

SENTENTIARUM SYNODALIUM

ET

SANCTIONUM PATRIARCHALIUM

LIBER SECUNDUS.

ΝΕΚΤΑΡΙΟΥ.

Περὶ Ἀγαπίου καὶ Γαβαδίου, ἑκατέρου ἀντεχομένου τῆς ἐπισκοπῆς Βόστρης, ἐκ τῶν πραχθέντων ἐν Κωνσταντινουπόλει ὑπομνημάτων.

Ὑπατείας τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων βασιλέων ἡμῶν Φλαβίου Ἀρκαδίου Αὐγούστου τὸ τρίτον, καὶ Ὁνορίου τὸ δεύτερον, τῇ πρὸ τριῶν Καλανδῶν Ὀκτωβρίων, ἐν τῷ φωτιστηρίῳ τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης καθολικῆς Ἐκκλησίας, καθεσθέντων τῶν ἁγιωτάτων ἐπισκόπων, Νεκταρίου τῆς αὐτῆς Κωνσταντινουπόλεως, Θεοφίλου Ἀλεξανδρείας, Φλαβιανοῦ Ἀντιοχείας, Ἑλλαδίου Καισαρείας Καππαδοκίας, Γελασίου Καισαρείας Παλαιστίνης, Γρηγορίου Νύσσης, Ἀμφιλοχίου Ἰκονίου, Παύλου Ἡρακλείας, Ἀραβιανοῦ Ἀγκύρας,

NECTARII (18).

De Agapio et de Gabadio, quorum uterque Bostrensem episcopatum sibi vindicabat, ex monumentis actorum Constantinopoli.

Consulatu piissimorum et religiosissimorum imperatorum nostrorum, Fl. Arcadii Aug. tertium, et Honorii iterum, a. d. III Kalend. Octobreis, in photisterio sanctissimæ Catholicæ Constantinopolitanæ Ecclesiæ, cum consedissent sanctissimi episcopi, Nectarius ejusdem Constantinopolis, Theophilus Alexandrinus, Flavianus Antiochenus, Helladius Cæsariensis in Cappadocia, Gelasius Cæsariensis in Palæstina, Gregorius Nyssenus, Amphilochius Iconiensis, Paulus Heracliensis, Arabianus Ancyrensis, Ammon Adrianopolitanus, Fa-

NOTÆ.

(18) Successit Gregorio Nazianzeno, sub Theodosio Magno imp.

lerius Tarsensis, Lucius Hierapolitanus, Elpidius Laodicensis, Paulus Xeensis, Dioscorus Hermopolitanus, Probatius Beronicensis, Theodorus Mopsuestenus, Bizus Seleuciensis, Epagathus Marcianopolitanus, Gerontius Claudiopolitanus, aliique diversi episcopi, et sacerdotum cœtus universus : ingressis Gabadio et Agapio, Nectarius episcopus Constantinopolitanus dixit :

Cum hæc sacra synodus per Dei gratiam rursus in hoc sancto loco collecta sit, placetne eidem sanctorum fratrum et comministrorum concilio, quandoquidem stantes hic video fratres nostros Gabadium et Agapium qui de Bostrenorum episcopatu inter se dissident, ut de juribus suis agere incipiant?

Ac postquam acta quædam ab eis essent, ad eamdem causam pertinentia, et insinuata depositio dicti Gabadii, facta per duos duntaxat episcopos, eosque, jam vita functos, ejusdem concilii tempore : Arabianus episcopus Ancyranus dixit :

Non de præsenti duntaxat lite, sed etiam de omni posteritate sollicitus, uti de hoc sancta synodus decernat, peto. Liceatne fieri depositionem a duobus episcopis, necne? num adversus absentem id fieri liceat, necne? Nullum hoc præjudicium ad causam præsentem attulerit. Vereor autem, ne his ex monumentis aliqui potestate usurpata, ejusmodi tentent. Rogo vos ut respondeatis.

Nectarius episcopus Constantinopolis dixit : Laudabiliter monuit reverendissimus episcopus Arabianus. Sed cum lis per confessionem tolli nequeat, præteritum non condemnantes, futuro caveamus.

Arabianus episcopus Ancyranus dixit : Quod præteriit, sanctorum Nicææ coactorum Patrum synodus condemnat, quæ præcipit, ne pauciores sint tribus, qui ordinant nec id faciant absente metropolitano. Ego vero de futuro sollicitus, hanc interrogationem proposui. Quapropter rogo, ut perspicue statuamus, non suspense nec ambigue, quod non liceat a duobus hominibus episcopum ordinari, nec deponi, Nicænæ synhodi auctoritatem in hoc sequendo.

Post alia, Theophilus episcopus Alexandrinus dixit :

De mortuis fieri nequit ut indignationis sententia feratur, quandoquidem non præsentes sunt condemnati. Verum si futura quis considerat, nimirum qui deponere debeant, mihi quidem videtur, non solum tres adesse debere, verum etiam (si fieri possit) universos episcopos provinciales, ut plurium calculo condemnatio hominis depositione digni majori cum accuratione fiat, etiam reo præsente.

Nectarius episcopus Constantinopolis dixit : Quum legitimæ fiunt expositiones atque decreta,

Ἀμμωνος Ἀδριανουπόλεως, Φαλερίου Θαρσοῦ, Λουκίου Ἱεραπόλεως, Ἐλπιδίου Λαοδικείας, Παύλου Ξέως, Διοσκόρου Ἑρμουπόλεως, Προβατίου Βερονίκης, Θεοδώρου Μοψουεστίας, Βίζου Σελευκείας, Ἐπαγάθου Μαρκιανουπόλεως, Γεροντίου Κλαυδιανουπόλεως, καὶ ἑτέρων διαφόρων ἐπισκόπων, καὶ παντὸς τοῦ ἱερατείου· καὶ εἰσελθόντων Γαβαδίου καὶ Ἀγαπίου, Νεκτάριος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπε·

Τῆς ἁγίας ταύτης συνόδου κατὰ Θεοῦ χάριν πάλιν ἐν τῷ ἁγίῳ τόπῳ τούτῳ συνειλεγμένης, εἰ δοκιμάζει ἡ αὐτὴ τῶν ἁγίων ἀδελφῶν καὶ συλλειτουργῶν σύνοδος, ἐπειδὴ καὶ ἑστῶτας ὁρῶ τοὺς διαφερομένους πρὸς ἑαυτοὺς περὶ τῆς Βοστρηνῶν ἐπισκοπῆς τοὺς ἀδελφοὺς ἡμῶν Γαβάδιον καὶ Ἀγάπιον, τῶν πρὸς ἀλλήλους ἐνάρξασθαι δικαίων;

Καὶ μετὰ τὸ πραχθῆναί τινα παρ' αὐτῶν, χάριν τῆς αὐτῆς ὑποθέσεως, καὶ ἐμφανιαθῆναι καθαίρεσιν τοῦ ῥηθέντος Γαβαδίου, γενομένην ὑπὸ δύο καὶ μόνων ἐπισκόπων, τῶν καὶ τετελευτηκότων ἤδη, κατὰ τὸν καιρὸν τῆς αὐτῆς συνόδου. Ἀραβιανὸς ἐπίσκοπος Ἀγκύρας εἶπεν·

Οὐ τῆς παρούσης ἕνεκα δίκης, ἀλλὰ τοῦ ἐφεξῆς βίου παντὸς δεδοικώς, τοῦτο ἀξιῶ τὴν ἁγίαν σύνοδον διαλαλῆσαι· Ἔξεστι γενέσθαι καθαίρεσιν παρὰ δύο ἐπισκόπων, ἢ οὔ; καὶ κατὰ ἀπόντος ἔξεστιν, ἢ οὔ; Οὐδὲν πρόκριμα πρὸς τὴν παροῦσαν ὑπόθεσιν. Δέδοικα δὲ, μὴ ἐκ τῶν ὑπομνημάτων τούτων τινὲς λαβόμενοι ἐξουσίας, τοιαῦτα τολμήσωσιν. Ἀξιῶ ὑμᾶς ἀποκρίνασθαι.

Νεκτάριος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν. Ἐπαινετῶς εἰσηγήσατο ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀραβιανός. Οὐ μὴν δυναμένης δίκης ἐξωμολογῆσθαι, τὸ παρελθὸν μὴ κατακρίνοντες, τὸ ἐξῆς ἀσφαλισώμεθα.

Ἀραβιανὸς ἐπίσκοπος Ἀγκύρας εἶπε· Τὸ παρελθὸν ἡ τῶν μακαρίων Πατέρων τῶν ἐν Νικαίᾳ σύνοδος κατακρίνει, ἡ κελεύουσα μὴ ἐλάττους εἶναι τριῶν τοὺς χειροτονοῦντας, μηδὲ ἀπόντος μητροπολίτου. Τοῦ δὲ μέλλοντος ἕνεκεν δεδοικὼς ἐγὼ τὴν ἐρώτησιν ἐποιησάμην. Ἀξιῶ οὖν ὑμᾶς σαφῶς διαλαλῆσαι, καὶ μήτε ἠρτημένως, μήτε ἀμφιβόλως, ὥστε μὴ ἐξεῖναι ὑπὸ δύο ἀνθρώπων μήτε χειροτονεῖσθαι μήτε καθαιρεῖσθαι ἐπίσκοπον, ἀκολούθως τῇ ἐν Νικαίᾳ συνόδῳ.

Καὶ μεθ' ἕτερα, Θεόφιλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν·

Ἐπὶ τῶν ἀπελθόντων οὐ δυνατὸν ψῆφον ἐκφέρειν ἀγανακτήσεως, ἐπείπερ μὴ παρόντες κατεκρίθησαν. Εἰ μέντοιγε περὶ τῶν μελλόντων διασκοπεῖ τις τῶν ὀφειλόντων καθελεῖν, φαίνεταί μοι, μὴ μόνον τρεῖς παρεῖναι προσήκειν, ἀλλὰ καὶ (εἰ δυνατὸν) τοὺς πάντας ἐπαρχεώτας, ἵνα τῇ τῶν πολλῶν ψήφῳ ἀκριβεστέρα ἡ κατάκρισις τοῦ ἀξίου τῆς καθαιρέσεως δεικνύηται, παρόντος καὶ κρινομένου.

Νεκτάριος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Εἰσηγήσεων νομίμων καὶ δογμάτων πρυτανευομέ-

νων, ἀκόλουθον οὐ διὰ προσώπων τινὰς αἰτίας τὰ τοιαῦτα δογματίζεσθαι. Τοιγαροῦν καθάπερ ὁ ἁγιώτατος ἐπίσκοπος Ἀραβιανὸς εἰσηγήσατο, τὰ μέλλοντα ἀσφαλίσασθαι βουλόμενος, ἀκόλουθος καὶ φιλάνθρωπος ἡ τοῦ ἁγιωτάτου ἐπισκόπου Θεοφίλου ψῆφος, διορισαμένη μὴ χρῆναι πρὸς τὸ ἐξῆς, μηδὲ παρὰ τριῶν, μήτιγε παρὰ δύο, τὸν ὑπεύθυνον δοκιμαζόμενον καθαιρεῖσθαι· ἀλλὰ γὰρ πλείονος συνόδου ψήφῳ, καὶ τῶν τῆς ἐπαρχίας· καθὼς καὶ οἱ ἀποστολικοὶ κανόνες διωρίσαντο.

Φλαβιανὸς ἐπίσκοπος Ἀντιοχείας εἶπεν· Ἅπερ κατέθεντο οἱ περὶ τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἐπίσκοπον Θεόφιλον, δῆλα. Καὶ στέργομεν πάντες οἱ ἐκκλησιαστικοί.

A consentaneum est talia non statui propter culpas quasdam personarum. Itaque sicut exposuit sanctissimus episcopus Arabianus, futuris cavere volens, consentanea benignaque sententia est sanctissimi episcopi Theophili, quæ statuit, non debere in posterum nequidem a tribus, nedum a duobus, reum examinari ac deponi; sed frequentioris concilii, et provincialium episcoporum communi sententia; quemadmodum et apostolici canones definiverunt.

Flavianus episcopus Antiochenus dixit: Quæ deposuerunt episcopi, qui sanctissimum et piissimum episcopum Theophilum sequuntur, manifesta sunt. Ea probamus omnes ecclesiastici.

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΠΑΛΑΙΟΥ

Περὶ τοῦ, τὰς πατριαρχικὰς ἐπιστολὰς ἀμισθὶ δίδοσθαι τοῖς αἰτοῦσιν· ὡς γέγραπται ἐν τῷ χαρτοφυλακίῳ.

Χαλεπὸν μὲν, πάθος σαρκὸς, χρόνιον ἤδη γενόμενον, ἐκμοχλεῦσαι. Χαλεπώτερον δὲ χρονικῇ παρόδῳ βεβαιωθὲν ἔθος ἀποσκευάσασθαι. Ἄμφω γὰρ πρὸς ἕξιν τινὰ μεταστοιχειοῦνται, πρᾶγμα γινόμενα μονιμώτερον, καὶ ῥᾳδίως ἥκιστα δυνάμενον μεθαρμόζεσθαι. Ἀλλ' εἰ καὶ ταῦθ' οὕτω τῷ ὄντι δοκεῖ, ἀλλ' ἡμεῖς γε ῥᾷον παλαιὰν συνήθειαν, τὸ φαῦλον πρόδηλον ἔχουσαν, τοῦ εὐαγοῦς τοῦδε τόπου ἐξεφορήσαμεν, τὸ ἀκαπήλευτον αὐτῷ μνηστευσάμενοι. Καὶ γὰρ ὁ τοῦδε τὴν φυλακὴν ἐμπεπιστευμένος, ὃν ὀστιάριον ἡ Ῥωμαίων γλῶσσα καλεῖ, τοὺς πατριαρχικὰς αἰτουμένους ἐπιστολὰς, μισθοὺς (ὡς οὐκ ὤφελεν) ἀπῄτει τῆς παραλήψεως. Καὶ ἦν τὸ πρᾶγμα λίαν ἐφύβριστόν τε καὶ καταγέλαστον, οὐ μόνον Θεὸν παροργίζον, ἀλλὰ καὶ τὸν σεμνὸν τόπον ἐξατιμοῦν, καὶ αὐτὸ τὸ τῆς ἱερωσύνης ἐκφαυλίζον αἰδέσιμον. Ἀλλ' ἡμεῖς γε τὴν ὀστιαρίου σκῆψιν ἐκφυλοφοροῦντες, τούτῳ μὲν βόγαν ἐτήσιον δίδοσθαι ἐτάξαμεν· τὴν πονηρὰν δὲ συνήθειαν, λήθῃ βαθείᾳ, καὶ ἀΐδίῳ ὑπερορίᾳ παρεπεμψάμεθα· ἣν μηδαμῶς χώραν ἔχειν ἔτι, ἐν ἁγίῳ διοριζόμεθα Πνεύματι· ἐντελλόμενοι τοῖς τε κατὰ καιροὺς χαρτοφύλαξι, καὶ τοῖς ἀμφ' αὐτοὺς νοταρίοις, ἄθραυστον τὸν παρόντα τύπον διατηρεῖν, καὶ τούτου ἐπιμελεῖσθαι ἀεί· ὡς μὴ ῥᾳστώνῃ τινὶ καὶ ὀλιγωρίᾳ (ὃ δὴ καὶ ὑπολαμβάνειν, μήτιγε πράττειν, ἐφάμαρτον) κἂν τὸ βραχύτατον περιτρέπεσθαι. Εἰ δὲ παρόπται τινὲς τοῦ τοσούτου ἀγαθοῦ ἐκ μεγάλης περὶ τὰ θεῖα φωραθεῖεν καταφρονήσεως, τοῦτον μὲν γνώμη φιλόθεος πρὸς τὴν ἀξιέπαινον ἐπανάξει εὐγένειαν, αὐτοὶ δ' εὖ ἴστωσαν, ὡς δίκας Θεῷ δώσουσι, νῦν τε καὶ ὀπηνίκα οὐ τὰ μείζω μόνον τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ αὐτά γε τὰ μέτρια πυρὶ ταλαντεύεται καὶ διακρίνεται. Ὡς γὰρ τὰ θεῖα τῆς ἀξιολόγου καθεστήκασιν ἀντιδόσεως ἄξια, οὕτω καὶ τὰ τῆς ἐναντίας μοίρας, τὴν ἰσοπαλῆ τοῖς ἔργοις παρέχεται ἀμοιβήν.

NICOLAI ILLIUS PRISCI (19).

Quod litteræ patriarchales gratis concedantur petentibus eas, uti descriptum exstat in scrinio.

Difficile quidem est vitium carnale, quod diu duravit, exscindere: sed difficilius, consuetudinem longi temporis irreptione firmatam amoliri. Etenim ambo in habitum quemdam transeunt, et durabile quiddam fiunt, quod haudquaquam reformari facile possit. Quæ licet ita se habere reapse videntur, nos tamen facili momento consuetudinem veterem, quæ vitiositatem manifestam habebat ex hoc religioso loco removimus, cauponandi licentiam coercentes. Hactenus enim is, cui credita est ejus custodia (Romani ostiarium lingua sua vocant), ab illis, qui litteras patriarchales petebant, eo nomine mercedem (quod minime factum oportuit) poscebat. Quæ quidem res erat injuriæ ludibriique plena, neque Dei duntaxat offensam commovebat; verum etiam huic augusto loco pariebat infamiam, et venerandam ipsius sacerdotii dignitatem imminuebat. Nos autem hoc institutum ostiarii de medio tollentes, ipsi quidem annuum salarium constituimus: malam vero consuetudinem oblivioni profundæ, ac perpetuo tradidimus exsilio: nec eam locum deinceps ullo habituram modo, in Spiritu sancto decernimus: mandantes tam quorumlibet temporum chartulariis, quam eorum notariis, ut sanctionem hanc inviolatam servent, ejusque curam perpetuo gerant: ne socordia quadam et negligentia (quod sane vel cogitare, nedum agere, delicto non vacat), vel minima ex parte subvertatur. Quod si qui tantum negligere bonum deprensi fuerint, ex magno erga res divinas contemptu, sanctionem quidem ipsam religiosa mens nitori suo laudabiliter restituet, verum ipsi plane norint, se pœnas Deo daturos, tam nunc, quam id temporis, quo non majora tantummodo peccata, verum etiam leviora per ignem examinabuntur et dijudicabuntur. Ut enim divina facinora se dignam remunerationem merentur, sic etiam iis contraria respondentem factis ipsis compensationem tribuere solent.

NOTÆ.

(19) Fuerat hic antea mysticus in aula. Vixit sub Leone Philosopho, Alexandro, Constantino et Lecapeno Augg.

ALEXII (20).

1. *Monumentum sanctissimi patriarchæ Alexii, de diversis causis ecclesiasticis, pertinentibus ad universas metropoles et archiepiscopatus.*

Alexius miseratione Dei archiepiscopus Constantinopolis, novæ Romæ, et universalis patriarcha.

Cum divini sacrique canones unicuique religiosissimorum episcoporum potestatem rerum ecclesiasticarum permittant, ea tamen lege, ut et indigentibus adhibita cautione de iis suppeditent, et ipsemet res necessarias percipiant : episcopi quidam indifferenter, ut ita dixerim, et magna licentia res eas invadentes, et usui suo vindicantes, non ipsos duntaxat episcopatus per occasionem difficultatis temporum in extremam perniciem præcipitarunt ; verum etiam metropoles illas, quibus subsunt, intolerandis detrimentis ac novitatibus subjecerunt, dum onera ad episcopatus pertinentia, metropoles sustinent, ac paulatim ad interitum consimilem adiguntur. Quamobrem nostra mediocritas una cum venerabili hac ad urbem synodo re deliberata, omnino rata grave, dubioque procul injustum, ut talia tantaque damna metropoles episcopatuum nomine sustineant, a quibus nullum ad ipsas lucrum redit : modum inveniendum censuit a sacris constitutionibus haud alienum, imo magnopere ad finem et consentaneum, quo earum indemnitati, et onerum relaxationi, quantum ejus fieri poterit, consulatur. Unde ex auctoritate sacrorum canonum statuit, ut a religiosissimis metropolitanis œconomi sive rerum administratores pro episcopatibus iis constituantur, a quibus illorum culpa, qui eos adepti sunt, detrimentum metropoles capiunt ; donec acceptum singulorum nomine damnum metropolibus resartum fuerit, et judiciaria sententia definitum, undenam ad eam egestatem et inopiam redigantur. Et quoniam ne aliorum episcopatus, ob improbitatem et malitiam ipsorum præsidum, consimilia patiantur, vereri se perhibent metropolitani ; eorumque nonnulles qui sacrorum canonum contemptu in laude ponunt, nihilominus imminentem ex eis condemnationem metuentes, tam fructus, quam reditus ecclesiarum cæteros aiunt auferre, quoque velint ipsi transportare, defixisque in adventum exactorum oculis, suis ecclesiis excedere, atque alio commigrare, et ad metropoles debitorum ad se pertinentium exactionem defensionis titulo transmittere : necessarium est ut in his etiam prius, quam quod moliuntur, ad exitum perducatur, certitudinis gratia, quasique correctionis et cautionis, eadem ratio servetur adeoque curatores similiter a metropolitanis dentur, qui ecclesiis omni adhibita sollicitudine cum episcopis earum prospiciant, et administrationis annuæ rationes exigant : quodque superfluum est ex reditibus, siquidem aliquid

ΑΛΕΞΙΟΥ.

A. *Ὑπόμνημα τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξίου, περὶ διαφόρων ἐκκλησιαστικῶν ὑποθέσεων, ἀνηκουσῶν πάσαις ταῖς μητροπόλεσι καὶ ἀρχιεπισκοπαῖς.*

Ἀλέξιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Τῶν θείων καὶ ἱερῶν κανόνων ἑκάστῳ τῶν θεοφιλεστάτων ἐπισκόπων τὴν ἐξουσίαν τῶν ἐκκλησιαστικῶν ἐπιτρεπόντων πραγμάτων, οὕτω μέντοι, ὥστε καὶ τοῖς δεομένοις σὺν εὐλαβείᾳ ἐπιχορηγεῖν, καὶ αὐτοὺς τῶν δεόντων μεταλαμβάνειν, τινὲς τῶν ἐπισκόπων ἀδιαφόρως, ὡς ἄν τις εἴποι, καὶ ἀδεῶς τοῖς πράγμασι προσφερόμενοι, καὶ τῆς ἑαυτῶν χρήσεως ταῦτα ποιούμενοι, οὐ μόνον αὐτὰς τὰς ἐπισκοπὰς προφάσει δῆθεν τῆς τῶν καιρῶν δυσκολίας εἰς B ἔσχατον κατήνεγκαν ὄλεθρον, ἀλλὰ καὶ τὰς μητροπόλεις, ὑφ' ἃς τελοῦσιν, ἀφορήτοις τοῖς ζημιώμασι καὶ ταῖς καινοτομίαις ὑπέβαλον, ἐκ τοῦ τὰ ἀνήκοντα ἐκείναις βάρη ταύτας εἰσπράττεσθαι, καὶ συνωθεῖσθαι κατὰ μικρὸν εἰς τὴν ὁμοίαν καταστροφήν. Διόπερ ἡ μετριότης ἡμῶν ἅμα τῇ ἐνδημούσῃ σεβασμίᾳ συνόδῳ τὰ τοῦ πράγματος διασκεψαμένη, χαλεπὸν ὄντως κρίνασα καὶ ἀτεχνῶς ἄδικον, τὸ τηλικαύτας ζημίας ὑφίστασθαι τὰς μητροπόλεις ὑπὲρ τῶν ἐπισκοπῶν, ἐξ ὧν οὐδὲν κέρδος ταύταις προσγίνεται, δεῖν ἔγνω τρόπον ἐξευρεῖν, οὐ ξένον τῶν ἱερῶν διατάξεων, ἀλλὰ καὶ λίαν οἰκεῖον καὶ σύμφωνον, ᾧ τὸ ἀζήμιον ταύταις καὶ ἀβαρὲς κατὰ τὸ ἐνδεχόμενον περιποιηθήσεται. Ἔνθεν τοι καὶ διωρίσατο ἀπὸ τῆς τῶν ἱερῶν κανόνων αὐθεντίας, οἰκονόμους καθίστασθαι παρὰ τῶν θεοφιλεστάτων μητροπολιτῶν, ἐφ' ὅσαις τῶν ἐπισκοπῶν, ὀφειλέτις τῶν C λαβόντων αὐτάς, αἱ μητροπόλεις ἐζημίωνται, ἄχρις οὗ τὸ ὑπὲρ ἑκάστου αὐτῶν ζημίωμα ταῖς μητροπόλεσι πορισθῇ, καὶ διάγνωσις γένηται, ὁπόθεν εἰς ἀπορίαν καὶ στένωσιν καταφέρονται. Ἐπεὶ δὲ ἑτέρων ἐπισκοπὰς διὰ μοχθηρίαν καὶ κακοήθειαν τῶν προέδρων αὐτῶν, ὅμοια πείσεσθαι ὑποπτεύειν φασὶν οἱ μητροπολῖται, καί τινας αὐτῶν σπουδάσματα ποιουμένων τὴν τῶν θείων κανόνων παρόρασιν, εἶτα τὴν ἐξ αὐτῶν καταδίκην ὑφορωμένους, τούς τε καρποὺς καὶ τὰς ἄλλας προσόδους τῶν ἐκκλησιῶν ὑφαιρεῖσθαι καὶ μετακομίζειν ἔνθα καὶ βουλητόν ἐστιν αὐτοῖς, καὶ σκοπὸν ἔχοντας ἐπιδημοῦντων ἀπαιτητῶν, ἀποδημεῖν τῶν λαχουσῶν, καὶ ἀλλαχοῦ που D μεθίστασθαι, κἀντεῦθεν πρὸς τὰς μητροπόλεις ἀμώνης τρόπον τῶν αὐτοῖς προσηκόντων ὀφλημάτων τὴν εἰσπραξιν παραπέμπειν, ἀναγκαῖον κἂν ταύταις πρὸ τοῦ εἰς τέλος ἀχθῆναι τὸ σπουδαζόμενον, ἀσφαλείας χάριν, καὶ οἷον θεραπείας, καὶ φυλακῆς, τὸν αὐτὸν τηρηθῆναι τύπον· καὶ φρονιστὰς ὁμοίως παρὰ τῶν μητροπολιτῶν δοθῆναι, τοὺς ὀφείλοντας ἅπασάν τε τὴν πρόνοιαν τῶν ἐκκλησιῶν ποιεῖσθαι, ἅμα τοῖς αὐτῶν ἐπισκόποις, καὶ λόγους τῆς κατ' ἐνιαυτὸν εἰσπράττεσθαι διοικήσεως· καὶ τὸ περιττεῦον τῶν

NOTÆ.

(20) De hujus ætate dictum lib. præcedente (*supra col.* 743).

προσόδων, εἴ γε καὶ περισσεύοι, τὸ μὲν, ἐκ τῶν ζημίας αἰτίων γινομένων τῇ μητροπόλει, ταύτῃ δηλονότι ἀναδίδοσθαι· τὸ δ' ἐκ τῶν λοιπῶν συντηρεῖν τὴν ἐκκλησίαν ἀκαινοτόμητον.

Ὅτι δὲ κανονικῆς ἔχονται ἀχριβείας τὰ ὁρισθέντα, ἐξ αὐτῶν τῶν θείων κανόνων δείκνυται. Καὶ γὰρ ὁ ε' καὶ κ' τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν, τοῖς ἐπισκόποις τὴν ἐξουσίαν τῶν ἐκκλησιαστικῶν ἐπιτρέπων πραγμάτων, κωλύει μεταβάλλειν αὐτὰ εἰς ἰδίας χρείας, καὶ οἰκείοις αὐτῶν συγγενέσι παρέχειν, εἰς τὸ διὰ τούτου λεληθότως βλάπτεσθαι τοὺς λόγους τῶν ἐκκλησιῶν. Διὸ καὶ ὑπευθύνους ταῖς κατ' ἐπαρχίαν συνόδοις τιθεὶς, τὸ πρέπον αὐτοὺς δοκιμάζειν ἐπιτρέπει. Καὶ τοίνυν κάνταῦθα, ἐπεὶ κατὰ τὸ λεληθὸς πρὸς τὰς μητροπόλεις ἔρχεται τὰ τῆς βλάβης, τὸ πρέπον ἡ καθ' ἡμᾶς ἁγία σύνοδος δοκιμάσασα, ἀναγκαίως τὴν τῶν οἰκονόμων προχείρισιν διετάξατο, κατὰ τὸν ια' δηλονότι τῆς ἑβδόμης συνόδου κανόνα. Ἄδειαν γὰρ ἐκεῖνος δίδωσι καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ, καὶ τοῖς ἱερωτάτοις μητροπολίταις, οἰκονόμους καθιστᾷν ἐν ταῖς ἐκκλησίαις, ὧν οἱ μητροπολῖται καὶ οἱ ἐπίσκοποι τοῦτο ποιεῖν οὐκ ἀνέχονται· ἢ καὶ κακῶς τὰ τῶν Ἐκκλησιῶν διέπουσιν. Ὅτι δὲ ὁ τοιοῦτος κανὼν τῷ τοῦ προτέρου συνᾴδει σκοπῷ, οὐδένα οἶμαι διαμφιβάλλειν τῶν μὴ παρέργως αὐτοῖς τὸν νοῦν ἐφιστώντων. Ἐπεὶ οὖν ἐνταῦθα, ὡς σαφῶς ἀποδέδεικται, τοῖς θείοις κανόσιν ἑπόμενοι τὰ ἀνωτέρω εἰρημένα διετυπώσαμεν, δεῖ ταῦτα διενεργεῖσθαι ἀναμφιλέκτως, ἐπί τε τῶν ἤδη προξένων γεγονότων ζημίας ταῖς μητροπόλεσιν ἐπισκόπων, καὶ ἐπὶ τῶν ἤδη προσδοκωμένων, καὶ κακῶς τὰ τῶν ἐκκλησιῶν καταχρωμένων, καὶ ἐκποιουμένων, καὶ σκορπιζόντων ἀνελευθέρως, ἃ οὐκ ἐπισυνήγαγον αὐταῖς, καὶ μάλιστα τῶν τὰ ἀλλότρια κτήματα ἐκλαμβανομένων, ἢ καὶ κοσμικὰς ἀναξίως μεταχειριζομένων φροντίδας, τῶν δὲ τῆς λαχούσης αὐτοὺς καταφρονούντων. Ἀλλὰ καὶ τῶν τοιούτων, εἰ μὴ μεταβάλλοιντο, καὶ καθαίρεσιν τελείαν οἱ τοῦ λόγου μύσται καὶ μυσταγωγοὶ τῶν Πατέρων σὺν αὐτοῖς ἐκείνοις καταψηφίζονται, μηδενὸς ἐμποδίου παρὰ τῶν ἐπισκόπων ἐπαγομένου τοῖς πράγμασιν, ἄχρις οὗ τά τε ζημιώματα ταῖς μητροπόλεσιν ἱκανωθῇ, ἐξ ὧν καὶ ἐπηνέχθη, καὶ διάγνωσις γένηται τοῦ λοιποῦ, εἴτε πρὸς τὰ ἐπικείμενα ταύταις ἐξαρκοῦσι βάρη, εἴτε καὶ μή. Εἰ δέ γε πρὸ τοῦ ταῦτα γενέσθαι, τολμήσειέ τις τῶν ἐπισκόπων πρόφασιν ἐμποδισμοῦ τοῖς οἰκονόμοις ἐπενεγκεῖν, ἢ παρενοχλῆσαι τοῖς πράγμασι, πλὴν τοῦ ἀναδιδάσκειν εἴ τι τῶν πρὸς ὠφέλειαν τῶν ἐκκλησιῶν ἐπίστανται συντελεῖν, αὐτὸς ἑαυτῷ τῆς μείζονος καταδίκης γενήσεται πρόξενος, ὡς τοῖς συνοδικῶς καὶ κανονικῶς ὁρισθεῖσιν ἐναντιούμενος. Ἀλλὰ μηδὲ τῆς κατὰ τὴν ἐπαρχίαν συνόδου ἀπολιμπάνεσθαι τοὺς ἐπισκόπους, χωρὶς ἀναγκαίας τινὸς καὶ ἀπαραιτήτου αἰτίας, συνοδικῇ ψήφῳ καὶ κρίσει διοριζόμεθα. Ὡς γὰρ ἐπὶ λυσιτελείᾳ πολλῶν καὶ οἰκοδομῇ, τάχα δὲ καὶ διορθώσει ἐναντίων τινῶν συμπιπτόντων ἑκασταχῇ, δεῖ ἐκ παντὸς τόπου τὴν συνέλευσιν γίνεσθαι· καὶ ὁ ἀνευλόγως ταύτης ἀφυστερῶν, ἢ καλούμενος ἀπειθῶν, εἰ μὴ εὐπροφάστιστον

superat partim iis ademptum, qui metropoli auctores accepti detrimenti sunt, eidem reddatur: reliquum ecclesia, nulla innovatione facta, sibi servet.

Quod autem hæc a nobis ita definita, consentanea sint accuratæ canonum menti, ex ipsis canonibus sacris constat. Nam quintus et vicesimus Antiochenæ synodi canon, potestatem in res ecclesiasticas episcopis concedens, quominus eas in usus suos convertant, cognatisque suis præbeant, ut hoc modo rationes ecclesiarum tacite detrimentum capiant, prohibet. Ideoque rationibus ad synodos provinciales reddendis obnoxios faciens, decori explorandi curam eis injungit. Quapropter hic etiam, cum tacite damnum ad ipsas metropoles redeat, hæc sancta synodus nostra, decori ratione habita, necessario constituendos administratores decrevit, secundum XI scilicet concilii septimi canonem. Is enim licentiam dat tum sanctissimo patriarchæ, tum sacratissimis metropolitanis œconomos in iis ecclesiis constituendi, quarum metropolitani et episcopi hoc facere non sustinent, aut male res ecclesiarum administrant. Quod autem canon ille cum scopo prioris consentiat, neminem ex iis ambigere arbitror, qui non otiose mentem in eos defigunt. Cum igitur hic, uti liquido demonstratum est, sacrorum canonum vestigiis insistentes, superius indicata sanciverimus, oportet ea citra contradictionem exsequi, tam in iis episcopis, qui hactenus auctores exstiterint accepti metropolibus damni, quam qui deinceps exspectantur, et male rebus ecclesiarum abutuntur, easque alienant, et illiberaliter dissipant, quæ pro eis ipsi non collegerunt; ac præsertim, qui aliena prædia conducunt aut indignum in modum mundanas curationes in sese suscipiunt, cum res ecclesiæ sibi commendatæ negligant. Quin etiam tales, nisi mutentur, depositionis plenæ sententia mystæ verbi Patres, et mysteriorum doctores, una cum ipsis damnant: nullo impedimento rebus per episcopos afferendo, donec et de damnis satisfactum metropolibus fuerit ab iis, a quibus illata sunt, et cognitione facta, constiterit in posterum, an incumbentibus sibi sufficiant oneribus metropoles, necne. Quod si prius, quam hæc fiant, episcoporum quispiam fuerit ausus impedimenti causam œconomis objicere, vel molestiam negotiis afferre: extra quam si docere velit aliquid eorum, quæ commodo ecclesiarum servitura norint: is ipsus sibi gravioris condemnationis conciliator erit, ut qui definitis ex auctoritate synodorum et canonum adversetur. Quin etiam ne provincialibus episcopi synodis interesse negligant, absque necessaria quadam et minime rejicula causa synodali decreto sententiaque statuimus. Quippe tanquam ad utilitatem multorum et ædificationem, ac fortassis etiam correctionem contrariorum quorumdam, singulis temporibus incidentium, e quovis conveniendum est loco: et qui absque justa causa a conventu abest, aut vocatus

non paret, nisi probabilem rationem absentiæ suæ reddiderit, et impedimenti futurum sciat, ut in eum sententia feratur, sicut inter cæteros multos etiam LXXVII synodi Carthaginensis canon decernit. Neque vero fines alienos hi ambitiose invadant, et extra limites suos ordinent, atque hac ratione confusionis auctores sint, qui boni ordinis exemplum alii fieri debent, et primum virtutis exemplari neque clericos alterius provinciæ quocunque modo admittant, absque sententia et scripto episcopi sui commendatitio, quemadmodum sacri diviniqne canones requirunt. Quod magis etiam in hac custodita divinitus urbe rite servabitur, utpote ad quam constituti ubique terrarum clerici, rei pariter et non rei, ordinati et non ordinati, confluunt, neminemque prohibente sacra peragunt. Nec item secundis illigati nuptiis, quod passim jam fieri accepimus, vel criminibus vetitis obnoxii, vel adhuc impuberes, vel accuratissimo testimonio destituti, vel qui prius alias sibi desponderunt, et aliis postea juncti sunt matrimonio prorsus ad sacerdotium admittantur. Nam qui hæc non observant episcopi dum canones violant, a canonibus abdicabuntur, et interminatis per eos pœnis inevitabiliter subjicientur. Clericos autem cum clericis disceptantes, aut monachos cum monachis, apud episcopum suum debere jus petere, sacros canones sequendo, pronuntiamus. Clerici vero cum episcopis, vel episcopi cum episcopis, apud metropolitanum provinciæ, synodo interveniente, agant. Sin aliquod incidens offendiculum, suspicionem alterutri partium gignat: ad sanctissimum cujusque temporis patriarcham, et ad sacrum magnumque concilium reservata lis, decidatur: non tamen absque sententia et commendatitio metropolitani scripto, urbem imperatricem episcopus ingrediatur, vel alio peregrinationem instituat, si qua necessaria res ita flagitet. Quippe canonibus obnoxium reumque sese reddet. Episcopum autem, qui temere metropolitani pœnam contemnit, inaudita causa removeri jubemus.

Et personam sacerdotalem, vel personam monachicam mundanos adire judices, et petere, de quacunque ut lite per ipsos cognoscatur, omnino non permittimus: sed in episcopos, episcopatus; in clericos, clericatus; in monachos, amissi hoc facto monasterii justam sententiam ferimus: et adversus judices, qui hos suscipiunt, vel etiam ad se vi pertrahunt, præter justam numinis iram, imperatoriæ quoque majestatis indignationem, legumque pœnas implorabimus. Et vinculum, quo per nos illigabuntur, insolutum eis ad finem usque vitæ porrigetur; si videlicet animum non mutaverint, et ab hoc impio proposito non abstiterint. Nam et religiosæ leges, et præpotens atque sanctus imperator noster, in Porphyra natus (20'), una cum beatæ memoriæ fratre suo germano, in publicatis edictis

A λόγον ἀποδώσει τῆς ἑαυτοῦ ἀπολείψεως, καὶ τοῦ ἐμποδισμοῦ, ἔστω εἰδὼς, ψῆφον νομοθετησομένην κατ' αὐτοῦ, ὡς μεθ' ἑτέρων πολλῶν καὶ ὁ ἐν Καρθαγένῃ οζ' ὁρίζει κανών. Μήτε δὲ ἀλλοτρίαις τούτους ἐνορίαις πλεονεκτικῶς ἐπεμβαίνειν, καὶ χειροτονεῖν ὑπερόρια, καὶ νομοθετεῖν οὕτως τὴν ἀταξίαν, τοὺς ὀφείλοντας εὐταξίας καὶ ἑτέροις ὑπόδειγμα γίνεσθαι καὶ ἀρχέτυπον ἀρετῆς· μήτε κληρικοὺς ἑτέρας ἐπαρχίας προσίεσθαι καθ' οἱονδήτινα τρόπον, παρὲξ γνώμης καὶ ἐγγράφου συστατικοῦ τοῦ ἰδίου αὐτῶν ἐπισκόπου, ὡς οἱ ἱεροὶ καὶ θεῖοι κανόνες προσαπαιτοῦσιν. Ὃ καὶ μᾶλλον ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει καλῶς φυλαχθήσεται, ἅτε τῶν ἁπανταχοῦ γῆς κληρικῶν, ὑπευθύνων τε ἅμα καὶ ἀνευθύνων, καὶ κεχειροτονημένων καὶ ἀχειροτονήτων, εἰς αὐτὴν συν-

B τρεχόντων, καὶ ἀκωλύτως ἱερουργούντων. Μήτε μὴν διγάμους, ὃ πολλαχοῦ ἀκηκόαμεν γίνεσθαι νῦν, ἢ ἐν αἰτίαις τισὶν ἀπηγορευμέναις γεγενημένους, ἢ ἔτι ἀφήλικας, ἢ χωρὶς μαρτυρίας ἀκριβεστάτης, ἢ προμνηστευσαμένους ἑτέρας, καὶ ἑτέραις συναφθέντας, εἰς ἱερωσύνην παραδέχεσθαι ὅλως. Ἐπεὶ οἱ ταῦτα μὴ παρατηροῦντες ἐπίσκοποι, ἀθετοῦντες τοὺς κανόνας, ἀθετηθήσονται παρ' αὐτῶν, καὶ ταῖς ἠπειλημέναις ὑπ' ἐκείνων εὐθύναις ἀφεύκτως ὑποβληθήσονται. Κληρικοὺς δὲ κληρικοῖς διαμφισβητοῦντας, ἢ καὶ μοναχοὺς μοναχοῖς, παρὰ τῷ οἰκείῳ κρίνεσθαι ἐπισκόπῳ, ἀκολούθως τοῖς θείοις κανόσιν ἀποφαινόμεθα. Κληρικοὺς δὲ ἐπισκόποις, ἢ ἐπισκόπους ἐπισκόποις, παρὰ τῷ τῆς ἐπαρχίας μητροπολίτῃ συν-

C οδικῶς. Εἰ δὲ σκάνδαλον ὑποτρέχον, ὑποψίαν θατέρῳ ἐμποιεῖ τῶν μερῶν, παρὰ τῷ κατὰ τὴν ἡμέραν ἁγιωτάτῳ πατριάρχῃ, καὶ τῇ ἱερᾷ καὶ μεγάλῃ συνόδῳ τηρεῖσθαι καὶ τέμνεσθαι τὸ ἀμφισβήτημα. Πλὴν μὴ ἄνευ γνώμης καὶ συστατικῆς τοῦ μητροπολίτου γραφῆς, ἐπιβαίνειν τῆς βασιλευούσης ἐπίσκοπον, ἢ ἀλλαχοῦ που στέλλεσθαι ἀποδημίαν, εἴ τι δ' ἂν καὶ εἴη τὸ καλοῦν ἀναγκαῖον. Ἐπεὶ ἔνοχον ἑαυτὸν ἀπεργάσεται τοῖς κανόσιν. Ἐπίσκοπον δὲ προπετῶς ἐπιτιμίου ὀλιγωροῦντα μητροπολίτου, καθαιρεῖσθαι ἀναπολογήτως προστάσσομεν.

Κοσμικοῖς δὲ δικασταῖς ἱερατικὸν πρόσωπον, ἢ καὶ μοναχικὸν πρόσωπον προσιέναι, καὶ ζητεῖν ὑπ' ἐκείνων δικάζεσθαι δίκην ἥντινα τύχῃ, ὅλως οὐκ ἐφίεμεν· ἀλλὰ τῶν μὲν ἐπισκόπων, τῆς ἐπισκοπῆς· τῶν δὲ κληρικῶν, τοῦ κλήρου· καὶ τῶν μοναχῶν, τοῦ μοναστηρίου δικαίαν αὐτόθεν καταψηφιζόμεθα ἔκπτωσιν· καὶ κατὰ τῶν παραδεχομένων τούτους δικαστῶν, ἢ καὶ βιαίως ἑλκόντων, μετὰ τῆς ἐκ Θεοῦ δικαίας ὀργῆς, ἔτι καὶ τὴν τῆς βασιλικῆς μεγαλειότητος ἀγανάκτησιν ἐπικαλεσόμεθα, καὶ τὰς ἐκ τῶν νόμων εὐθύνας. Ὁ δὲ ἀφ' ἡμῶν δεσμὸς, ἄλυτος αὐτοῖς μέχρις ἐξόδου παρεκταθήσεται, εἴπερ δῆλον μὴ μεταβουλεύσαιντο, καὶ τῆς ἀνοσίου ταύτης ἀπόσχοιντο προαιρέσεως. Ὅτι καὶ οἱ εὐσεβεῖς νόμοι, καὶ ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς ὁ πορφυρογέννητος, μετὰ τοῦ ἐν μακαρίᾳ τῇ λήξει αὐταδέλφου

NOTÆ.

(20') Constantinus scil. Basilii junioris frater.

τοῦ, ἐν τοῖς ἐγγράφοις αὐτῶν τυπικοῖς, ἀναστέλλουσι τοὺς δικαστὰς τοιαῦτα εἰς τὰ ἐκκλησιαστικὰ νεανιεύεσθαι πρόσωπα. Ὑφαρπάζεσθαι γὰρ τὰ ἐκκλησιαστικὰ, καὶ ἱερὰ, καὶ θεῖα προνόμια, παρὰ τῶν θεματικῶν ἢ πολιτικῶν δικαστῶν, ὅλως οὐκ ἀνεχόμεθα. Ἀλλὰ καὶ πρὸ ἡμῶν ὁ ὑπὸ τούτων καταφρονούμενος καὶ μυκτηριζόμενος Θεὸς, ἔκδικον τοῖς ἐποίσει τὴν ἀγανάκτησιν, καὶ τὴν ῥομφαίαν δικαίαν στιλβώσει τῆς ἐκδικήσεως. Αἰσχύνη γὰρ καὶ ὕβρις, τοὺς τῆς θειοτέρας καὶ κρείττονος μοίρας, ἐπὶ κοσμικῶν διαπληκτίζεσθαι, καὶ τὰς λοιδόρους διερεθίζειν γλώσσας κατὰ παντὸς τοῦ τῆς Ἐκκλησίας πληρώματος. Ὃ καὶ μάλιστα οἱ τῶν βασιλικῶν λεγομένων μονῶν καὶ κλήρων κληρικοὶ καὶ μονάζοντες ἀνευλαβῶς ποιεῖν καὶ ἀνοσίως θρασύνονται, ὑπὸ κοσμικῶν αἱρούμενοι ἐπὶ καταγνώσει ἑαυτῶν κρίνεσθαι καὶ κατακρίνεσθαι, οὓς βελτιοῦν αὐτοὶ καὶ ῥυθμίζειν ἐτάγησαν, ἢ ἀρχιερεῦσι Θεοῦ εἰς γνῶσιν τὰ διάφορα προτιθέναι, καὶ τὰς τούτων αἰτίας, καὶ τὴν ἁρμόζουσαν ἐκεῖθεν θεραπείαν ὡς ἐξ ἐπιστημόνων κομίζεσθαι ἰατρῶν, καὶ πρὸς τὴν τοῦ καλοῦ μελέτην ἐπιθαῤῥύνεσθαι τὴν ἀρετήν. Ἀλλὰ τοὺς τῶν τοιούτων μοναστηρίων μοναχοὺς τοιαῦτα τολμῶντας συνοδικῶς ἀποφαινόμεθα, μήτε τοὺς τῆς ἐπαρχίας ἐκείνης ἐπισκόπους, μήτε τοὺς παρ' ἑνορίαν, ἢ χειροθεσίας καταξιοῦν, ἢ εὐλογίας ἑτέρας καὶ κοινωνίας μεταδιδόναι. Οὐ γὰρ πάροδον ἑαυτοῖς ἐπὶ ταῦτα πραγματευόμενοι, ἀλλὰ τὸ σεμνὸν ἐκ παντὸς τρόπου καὶ τὸ τίμιον τῆς μοναδικῆς πολιτείας διώκοντες, τὰ παρόντα διοριζόμεθα. Ὥστε εἰ μὴ τὴν ἀναφορὰν ἐκεῖνοι, καὶ τὴν ἄλλην τιμὴν τοῖς τῆς ἐπαρχίας ἀποδώσουσιν ἐπισκόποις, οὐκ ἀντιλήψονται παρ' αὐτῶν ἢ παρ' ἑτέρων ἱερωσύνης ἄξιωμα οὐδὲ ἕν. Κληρικοὺς δὲ ἀπειθοῦντας τοῖς οἰκείοις μητροπολίταις, ἐπίταγμα αὐτοῖς ἐκκλησιαστικὸν ἀμνησικάκως τὸ δυνατὸν ἐπιτάττουσιν, εὐθύνεσθαι· ἐπιτάσσομεν. Οὐ γὰρ ἀνυποταξίαν καὶ ἀνηκοΐαν ἡ Κυριακὴ νομοθετεῖ ἐντολὴ, ἀλλ' εὐπείθειαν καὶ ὑπακοήν. Ὥστε ὁ μὴ ταύτῃ στοιχῶν, καὶ τῆς κλήσεως καὶ τῆς Ἐκκλησίας ἀλλότριος. Τοὺς δὲ διακονίας ἐκκλησιαστικὰς ἐμπεπιστευμένους, καὶ λόγους ὧν ἐπιστεύθησαν, δοῦναι μὴ ἀνεχομένους, κανονικῶς εὐθύνεσθαι, καὶ ἐκλογισμοῖς καὶ ἄκοντας ὑποβάλλεσθαι μετὰ κληρονόμων καὶ λοιπῶν τοῦ γένους διαδόχων, κατὰ τοὺς ἱεροὺς κανόνας καὶ πολιτικοὺς νόμους, ὁρίζομεν. Ἐπεὶ δὲ καὶ περὶ μοναστηρίων ἐκδιδομένων διὰ δωρεᾶς οἱ ἱερώτατοι ἀδελφοὶ ἀνήγγειλαν καὶ συλλειτουργοὶ, ὡς ἐπιβλαβῶς πρὸς ταῦτα διατεθέντες οἱ τὰς δωρεὰς εἰληφότες, εἰς ἔσχατον αὐτὰ συνήλασαν ἀφανισμὸν, τὰς τούτων προσόδους οἴκοι μετακομίζοντες, καὶ γυμνὰ τῶν οἰκείων ἐῶντες ἀγαθῶν, ἕτερα δὲ καὶ εἰς κοσμικὰ τελείως μεταμείβουσι κἀταγώγια, τοὺς τούτων μοναχοὺς πάσῃ ἐνδείᾳ καὶ στενοχωρίᾳ μετανάστεῦσαι καὶ ἄκοντας ἐκεῖθεν καταναγκάσαντες, ἐξέσται αὐτοῖς, τοὺς τοιούτους εὐθύνειν κατὰ πᾶσαν ἕδειαν εἰς ὅτι ἂν εὑρεθεῖεν τὰ μοναστήρια καινοτο-

suis judices coercent, quominus in personas ecclesiasticas talia juveniliter audeant committere. Quippe subripi nobis ecclesiastica, et sacra, divaque privilegia, sive a provincialibus, sive urbanis judicibus, omnino non patimur. Imo etiam ante nos ipse Deus, qui ab eis contemnitur et subsannatur, ultricem in eos indignationem stringet, et justum vindictæ gladium coruscare faciet. Est enim et dedecus et probrum, divinioris ac melioris sortis homines coram mundanis litigare, linguasque contumeliosas hominum in universum Ecclesiæ corpus acuere. Quod sane vel imprimis imperatoriarum (quæ dicuntur) mansionum et clerorum, tam clerici, quam monachi profane atque impie facere per summam audaciam gestiunt, dum ad suimet condemnationem judicari damnarique malunt a mundanis, quibus corrigendis et in ordinem redigendis ipsi præfecti sunt, quam Dei pontificibus variorum negotiorum cognitionem permittere, atque illorum causas et sanationem idoneam tanquam a peritis medicis accipere, ipsorumque virtutem ab iisdem excitari ad recti meditationem. Sed auctoritate synodali decernimus, ut nec illius episcopi provinciæ, nec diversi territorii, monachos ejusmodi monasteriorum, qui talia committunt, vel impositione manuum dignentur, vel eis aliam benedictionem aut communionem impertiant. Non enim hæc ideo sancimus, ut nobismetipsis aditum ad talia patefaciamus; sed omni modo vitæ monasticæ dignitatem et honestatem quærimus. Adeo quidem, ut nisi relationem [a-1] illi atque alios honores episcopis suæ provinciæ tribuerint; vicissim ab eis, vel ab aliis, nec unam quidem sacerdotii dignitatem accipiant. Clericos autem contumaces erga metropolitanos suos, qui mandatum aliquod ecclesiasticum eis, non injuriandi animo, quodque præstari possit, imponunt, in ordinem cogi jubemus. Non enim contumaciam et inobedientiam dominico præcepto docemur, sed facilitatem in parendo, et subjectionem. Quo sane qui se non dirigit, tam vocatione, quam Ecclesia excidit. Eos autem, quibus ecclesiastica ministeria credita sunt, nec rationes sibi commissorum reddere sustinent, secundum canones in jus debere vocari, et ad reddendas rationes etiam invitos, una cum suis hæredibus, ac cæteris successoribus adigi, secundum sacros canones et leges civiles, decernimus. Quia vero etiam de monasteriis, quæ per donationem locantur, sanctissimi fratres et comministri ad nos retulerunt, quod qui donationes illas acceperunt, ipsa monasteria parum æquis affecti ad extremum ea redigant interitum, domum suam reditus eorum deportantes, ipsaque bonis suis nudata relinquentes, quodque nonnulla prorsus in hospitia mundana commutent, coactis eorum monachis per omnis generis rerum inopiam et angustiam, ut

VARIÆ LECTIONES.

[a-1] *nominis commemorationem in sacris.*

inde vel inviti abscedant : licitum eis esto, ejusmodi homines impune reos peragere de quibusvis damnis et innovationibus quibus nocuisse monasteriis deprehensi fuerint : atque etiam, ut malis eorum curatoribus ex eis cum contumelia expulsis, libere juribus ea metropolitanum vindicent. Quod si fortasse curatores eorum aliquid habeant probabile, quod his objiciant : non adeant mundana tribunalia. Quippe hoc facto seipsos omni jure suo excludent. Sed ad sacram synodum nostram accedant, quodque fas æquum fuerit, impetrabunt. Neque vero credimus quemquam sacratissimorum metropolitanorum, et cæterorum pontificum, absque causa et immerito, perque solam injuriam, beneficiorum mansione expellere : nisi quis indigne se gerere velit, et injustitiam amplecti. Quod si quibus monasteriis ratione priscæ sanctionis alicujus erat injunctum, ut collationem aliquam metropolibus præstarent, sive personis singularibus eam præbendo, sive judicum et exactorum fisci alimentis exhibendis, sive alioquin ; atque illa forte deinceps onera contigit aliis esse imposita : statuimus, ut ea collatio sine defraudatione, nec ulla innovatione facta, metropolibus præstetur. Quæcunque vero quadam ex parte commune quid cum metropolibus habent, aut quæ jus aliquid viciniæ et permissionis, cum eis copulat, nec ante hac aliquibus jure beneficiario concessa sunt : ea nobis haud placet ullis personis donari. Imo vero si maxime donata sint, eas donationes irritas, et nullius esse roboris volumus ; ipsaque monasteria metropolibus e vestigio, vel episcopatibus restitui. Nam longe dissita, suisque descripta finibus ut donentur, præclare tum Patribus qui ante nos exstitere, tum nobis placuit : nullo autem modo ea, quæ metropolitanorum et episcoporum quasi domicilia sunt, et fulcro sustentaculaque sanctarum ecclesiarum : nec nostra id prorsus admittit mediocritas.

Per locationis autem contractum, et (verbi gratia) ad annos XX et IX monasterium, vel certis pactis metropolim et episcopatum locari ; tanquam alienum ad evangelico mandato, et apostolicis patriisque traditionibus omnino interdicimus : et pariter tum eos, qui hoc audent facere, tum qui, si fiat, negligunt ; indignos pontificia perfunctione judicamus, et sacrorum canonum adversarios : nec hisce rebus ultionem convenientissimam secundum canones adhibere singulari cum providentia cessabimus. Non enim patiemur ut sacra illa gratia venalis habeatur, et ipsi consortes eorum simus, qui sacra contra canones profanant, utque lucri causa dona spiritualia profanorum instar distrahantur. De sessione autem episcoporum sancimus, ut episcopi secundum ordinem suorum metropolitanorum sedeant, idque in consessibus sacris, et in synodis et in conviviis : neque superiores sedes et primatus studium affectent indignis sese modis inferiorum metropolium episcopi : sed in suos metropolitanos, tanquam in canones et sanctiones quasdam, oculos dirigant ; secundum quos in consessibus et

A μήσαντές τε καὶ καταβλάψαντες· εἶτα καὶ τοὺς δικαίοις τῶν μητροπόλεων ἀνασώζειν ἐπ' ἐξουσίᾳ, τοὺς κακοὺς αὐτῶν φροντιστὰς μεθ' ὕβρεως ἐξ αὐτῶν ἀπελάσασιν. Εἰ δέ τι τυχὸν ἔχοιεν πρὸς ταῦτα εὔλογον προτείνειν οἱ τούτων προνοηταὶ, μὴ κοσμικοῖς προσίτωσαν δικαστηρίοις. Ἐπεὶ ἐκκλείσουσι παντὶς δικαίου ἑαυτούς. Ἀλλὰ τῇ καθ' ἡμᾶς ἱερᾷ προσφοτάτωσαν συνόδῳ, καὶ τῆς ἐνδεχομένης οὐκ ἀμοιρήσουσι δικαιώσεως. Ἀναιτίως δὲ, καὶ ἀνεγκλήτως, καὶ διὰ μόνην ἐπήρειαν, οὐδένα πιστεύομεν τῶν ἱερωτάτων μητροπολιτῶν καὶ λοιπῶν ἀρχιερέων, χαριστηκάριον ἐξωθῆσαι μονῆς· εἰ μή τις ἀναξίως ἑαυτοῦ βούλοιτο πολιτεύεσθαι, καὶ τὴν ἀδικίαν ἀσπάζεσθαι. Εἰ δέ τινα τῶν φροντιστηρίων τύπον εἶχον ἐκ παλαιοῦ συνεισφοράν τινα συνεισφέρειν ταῖς μη-

B τροπόλεσιν, εἴτε ἐπὶ μονοπροσώπων παροχῇ, εἴτε ἐπὶ τροφαῖς κριτῶν καὶ τῶν τοῦ δημοσίου ἀπαιτητῶν, εἴτε καὶ ἀλλαχοῦ, καὶ ἔτυχε ταῦτα ὕστερον ἀνατεθῆναί τισι, τὴν συνεισφορὰν διοριζόμεθα παρέχειν πρὸς τὰς μητροπόλεις ἀνυστερήτως ἀκαινοτόμητον. Ὅσα δὲ κοινωνεῖ κατά τι ταῖς μητροπόλεσιν, ἢ πλησιασμὸν ἐν ταύταις ἔχει, καὶ ἀνακοίνωσιν, καὶ οὐκ ἀπεχαρίσθη πρὸ τούτου τισὶν, εἰς δωρεὰς δίδοσθαι προσώποις οὐκ εὐδοκοῦμεν. Ἀλλ' εἰ καὶ ἐδόθη, ἀκύρους εἶναι καὶ ἀνισχύρους τὰς δωρεὰς βουλόμεθα· καὶ τὰ φροντιστήρια αὐτόθεν ἀντιστρέφεσθαι, πρὸς τὰς μητροπόλεις, ἢ ἐπισκοπάς. Τὰ γὰρ μήκοθεν καὶ ἰδιοπεριόριστα δωρεῖσθαι, καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις πατράσι καλῶς ἔδοξε, καὶ ἡμῖν· τὰ δὲ οἷον ἐνδιαιτήματα τῶν μητροπολιτῶν καὶ ἐπισκόπων, καὶ

C ὑπερείσματα καὶ συγκροτήματα τῶν ἁγίων ἐκκλησιῶν, οὐδαμῶς· οὐδὲ ἡ ἡμῶν τοῦτο παραδέχεται μετριότης τὸ σύνολον.

Ἐκδοτικῶς δὲ, καὶ οἷον ἐπὶ χρόνοις εἴκοσι καὶ ἐννέα μοναστήριον, ἢ πακτικῶς μητρόπολιν ἐκδίδοσθαι, καὶ ἐπισκοπὴν, ὡς ξένον τῆς εὐαγγελικῆς διατάξεως, καὶ τῶν ἀποστολικῶν τε καὶ πατρικῶν παραδόσεων, πάντη ἀπαγορεύομεν· καὶ τοὺς τε τολμῶντας ἅμα, καὶ τοὺς τὸ γινόμενον παρορῶντας, ἀναξίους τῆς ἀρχιερατικῆς κρίνομεν τελειότητος, καὶ τῶν ἱερῶν κανόνων ἐναντιόφρονας·

D καὶ τοῖς πράγμασιν ἐκδίκησιν τὴν πρεπωδεστάτην κανονικῶς προμηθεύσασθαι οὐκ ἀποκνήσομεν. Οὐ γὰρ καπηλεύεσθαι τὴν ἱερὰν χάριν, καὶ κοινωνεῖν τοῖς κοινοῦσιν ἀκανονίστως τὰ ἅγια, καὶ τὰς πνευματικὰς δωρεὰς ὡς κοινὰς ἐμπορεύεσθαι ἀνεξόμεθα ἐμπορίας χάριν. Περὶ δὲ τῆς τῶν ἐπισκόπων καθέδρας, διοριζόμεθα . Κατὰ τὴν τάξιν αὐτοὺς τῶν οἰκείων καθέζεσθαι μητροπολιτῶν, καὶ ἐν συνθρόνοις, καὶ ἐν συνόδοις, καὶ ἐν ἑστιάσεσι· καὶ μὴ τὰς πρεσβρίας ἁρπάζειν, καὶ τὸ φιλόπρωτον, ἀναξίως ἑαυτῶν, τοὺς τῆς ὑποβεβηκυίας μητροπόλεως ἐπισκόπους· ἀλλ' ὡς πρὸς κανόνας καὶ ὅρους, τοὺς ἰδίους ὁρᾶν μητροπολίτας, καὶ τυποῦν ἑαυτοὺς ἔν τε καθέδραις, καὶ πανταχοῦ. Ἐπεὶ δὲ καί τινες τῶν κατὰ τόπους δυνατῶν ἐν τοῖς τῶν οἴκων εὐκτηρίοις σῆ-

μαίνειν τε καὶ συνάγειν φιλονεικοῦσι, καὶ ἱερολογίας καὶ βαπτίσματα, καὶ ἕτερα ἐπιτελεῖν, πατριαρχικοῖς ὄθεν σταυροπηγίοις ἢ καὶ ἐπισκοπικοῖς θαρροῦντες, τὰς καθολικὰς παραιτούμενοι, καὶ τῶν ἐπὶ ταύταις συνάξεων καταφρονοῦντες, ἄξιον καὶ περὶ τούτων διορίσασθαι, ὥστε μηκέτι τοιοῦτόν τι συγχωρεῖν τοὺς τῆς ἐπαρχίας ἐπισκόπους γίνεσθαι· ἀλλὰ τοὺς μὲν ἱερεῖς, τοὺς πλὴν πρὸ λειτουργίας, κἀκείνην τυχὸν ἐν ἑορτῇ, καὶ κατ' ἐπιτροπὴν τοῦ ἐπισκόπου, ἑτέραν ἀκολουθίαν ἱερὰν ἐν εὐκτηρίοις ἐπιτελέσαι τολμήσοντας, καθαιρέσει· τοὺς δὲ μὴ καταδεχομένους τοῦτο τῶν δυνατῶν ἀναθέματι ὑποβάλλειν. Φησὶ γάρ· Εἴ τις διδάσκοι τὸν οἶκον τοῦ Θεοῦ εὐκαταφρόνητον εἶναι, καὶ τὰς ἐν αὐτῷ συνάξεις, καὶ παρὰ τὴν καθολικὴν Ἐκκλησίαν ἰδίᾳ ἐκκλησιάζοι, καὶ μὴ συνόντος παντὸς τοῦ πρεσβυτερίου, ἀνάθεμα ἔστω. Ταῦτα οὕτω συγκεφαλαιωθέντα καὶ ὁρισθέντα, καὶ ἐπὶ συνεδρίων τῶν θεοφιλεστάτων μητροπολιτῶν, Κυριακοῦ, Ἐφέσου· Δημητρίου, Κυζίκου· Κωνσταντίνου, Νικαίας· Θεοδώρου, Χαλκηδόνος· Κωνσταντίνου, Σίδης· Ἰωάννου, Μελιτηνῆς· Κωνσταντίνου, Τυάνων· Ἰωάννου, Κλαυδιουπόλεως· Θεοφυλάκτου, Νεοκαισαρείας· Ἰωάννου, Ἰκονίου· Γεωργίου, Κορίνθου· Μιχαὴλ, Ἀθηνῶν· Θεογνώστου, Μωκισοῦ· Κωνσταντίνου, Πατρῶν· Κωνσταντίνου, Τραπεζοῦντος· Ἰωάννου, Φιλίππων· Ἀγαπητοῦ, Ἀδριανουπόλεως· Θεοδώρου, Καμάχου· Κωνσταντίνου, Χωνῶν· Στεφάνου, Κρήτης· Νικήτα, Ὑδροῦντος· Σισινίου, Κελτζηνῆς· καὶ ἀρχιεπισκόπων, Νικήτα, Βιζύης· Διονυσίου, Προικονήσου· Νικηφόρου, Κίου· Στρατηγίου, Ἄπρω· Ἀνδρέου, Χερσῶνος· Λέοντος, Βρύσεως· Νικολάου, Λήμνου· Ἰωάννου, Βοσπόρου Ἀρσενίου, Σουγδαίας· ἐν ὑπομνήμασιν ἐντεθέντα, τῇ συνήθει διὰ μολίβδου σφραγῖδι ἐβεβαιώθη, καὶ ἐπεδόθη μηνὶ Ἰανουαρίῳ, ἐπινεμήσεως ια', ἔτους ςφλς'.

ubique, sese conforment. Et quoniam alicubi quidam potentes in oratoriis imperium habere, cœtusque cogere nituntur, et sacras preces, baptismos, aliaque talia peragere, patriarchalibus scilicet crucium defixionibus aut episcopalibus freti, generales interim Ecclesias repudiantes, et cœtus, qui in eis habentur, contemnentes : operæ pretium est, de his etiam decernere, ut episcopi provinciales tale quid amplius fieri non permittant, sed sacerdotes quidem, qui præterquam ante ministerium sacrum, ibique fortasse die feriato, et episcopi permissu, aliud quid rei sacræ in oratoriis peragere fuerint ausi, depositioni : potentes autem, qui hoc non amplectuntur, anathemati subjiciant. Hæc enim canonis [m] verba sunt : Si quis doceat ædem Dei contemni posse, et qui fiunt in ea congressus ; sique scorsum quis extra generalem Ecclesiam cœtus cogat, toto presbyterio [n] non simul præsente, anathema esto. Hæc ita summatim exposita et definita, inque consessibus religiosissimorum metropolitanorum, Cyriaci, Ephesini ; Demetrii, Cyziceni ; Constantini, Nicæni ; Theodori, Chalcedonensis ; Constantini, Sidensis ; Joannis, Melitenæ ; Constantini, Tyanensis ; Joannis, Claudiopolitani ; Theophilacti, Neocæsariensis ; Joannis, Iconiensis ; Georgii, Corinthii ; Michaelis, Atheniensis ; Theognosti, Mocisii ; Constantini, Patrensis ; Constantini, Trapezuntii ; Joannis, Philippensis ; Agapeti, Adrianopolitani ; Theodori, Camacheni ; Constantini, Chonensis ; Stephani, Cretensis ; Nicetæ, Hydruntini ; Sisinii, Celzenæ ; et archiepiscoporum Nicetæ, Bizyensis ; Dionysii, Præconesii ; Nicephori, Ciensis ; Strategii, Aprei ; Andreæ, Chersonis ; Leonis, Brysei ; Nicolai, Lemnii ; Joannis, Bosporani ; Arsenii, Sugdæensis ; monumentis illata, consueto plumbeo sigillo corroborata sunt, et data mense Januario, indictionis XI, anni VI CIↃ IↃ XXXVI.

Β'. *Ἴσον ὑπομνήματος ἐναποτεθειμένου τῷ ἐν Κωνσταντινουπόλει εὐαγεῖ χαρτοφυλακείῳ τοῦ πατριάρχου κυροῦ Ἀλεξίου, περὶ τῶν διὰ δωρεᾶς λαμβανόντων μοναστήρια, περί τινων ἄλλων ἀναγκαίων ἐκκλησιαστικῶν ὑποθέσεων, ταῖς μητροπόλεσι, ταῖς ἀρχιεπισκοπαῖς, καὶ ταῖς ἐπισκοπαῖς ἀρηκουσῶν.*

II. *Exemplum [o] monumenti, in venerabili scrinio Constantinopolitano recondili, quod est domini Alexii patriarchæ, de iis, qui per donationem monasteria consequuntur, et de aliis quibusdam necessariis ecclesiasticis causis, quæ ad metropoles, archiepiscopatus et episcopatus pertinent.*

Μετὰ τῶν ἄλλων ἁπάντων παρατρέχων ὁ χρόνος καὶ τὰς πατριαρχικὰς ἐκαινοτόμησε δωρεάς· καὶ τὰς ἐπὶ διαμονῇ καὶ εὐθηνίᾳ, καὶ πλατυσμῷ τῶν ἱερῶν φροντιστηρίων πράξεις τῶν μακαριωτάτων πατριαρχῶν, πράσεις ἀνελευθέρους, καὶ μεταφορὰς ἀπὸ προσώπου εἰς πρόσωπα, καπήλους καὶ πάσης βωμολοχίας πεπληρωμένας. Καὶ εἰκότως. Ἐκλειπόντων γὰρ τῶν ἀμέμπτως πορευομένων, ἐπλήθυναν οἱ ἀροτριῶντες τὰ ἄτοπα, κατὰ τὸν Ἰὼβ, καὶ τὴν ἀρετὴν παρευημέρησεν ἡ κακία. Πᾶς δέ τις κέχηνεν εἰς ἀργύριον, οὐδένα πόρον αἰσχρὸν, ἢ κέρδος ἄδικον παραιτούμενος, ἀλλὰ καὶ ἀπὸ εὐαγῶν καὶ ἀπὸ ἐν-

Ut temporis progressus alia solet omnia, sic patriarchales etiam donationes innovavit : et tendentes ad durationem et felicitatem, et amplificationem sacrorum monasteriorum actiones beatissimorum patriarcharum, convertit in mercaturas illiberales, ac translationes ab una persona in aliam, cauponaria levitate, atque omni nequitia plenas. Nec abs re quidem. Dum enim deficiunt, qui citra reprehensionem ambulant, auctus est eorum numerus, qui arant absurda, quemadmodum Jobus loquitur, et virtutem improbitas fertilitate sua superavit. Quilibet inhiat argento,

VARIÆ LECTIONES.

[m] *Apostolorum scilicet.* [n] *presbyterorum ordine.* [o] *Vulgo copiam dicunt.*

nullum turpem quæstum vel lucrum injustum repudians, sed ex religiosis pariter ac piacularibus ditescere cupiens. Quo fit ut periculum sit, ne sacra eodem habeantur loco, quo impura, et ne sancta profanentur ; et qui discrimen inter rem sacram profanamque faciat, vel virtutem colat, et videat, et recte ambulet, prope nemo sit in hominum vita reliquus. Ac vide, quæso, quid sibi velit hoc meum exordium. Omnis in hominum vitam modo vitiositas irrepsit, et inhonesta per summam licentiam impune committuntur. Simulatio et larva, pro re honesta laudabilique ducitur : nec aliud quidquam universi prope mortales magis sollicito complectuntur studio, quam unde quis, et quomodo lucrari possit, et avaritiæ quæstum inveniat, ac præsentibus aliquid adjiciendi viam sibi muniat, easque subtilitates excogitet, quæ haud dubie captos animos abducant a Deo. Pecuniam majori, quam animas nostras, in pretio habemus. Attigere jam nonnulli etiam non tangenda, nec eis pepercere ; sed inexplebilem animi sui libidinem porrexerunt ad minime attentanda, Deoque dedicatis cupiditatem avaram et infrenem appetitum injecerunt, ædes sanctas reddiderunt inutiles, monasteria sacra in solitudinem redegere, templa divina donariis sacris spoliarunt : dum castum Dei timorem, et horum scelerum vindictam, suis ab oculis longe remotam habent.

Ita factum est, ut sancta Dei verba mendacii arguant, et legem ejus irrideant. Quinetiam nonnulli ob ea, quæ designantur, ingemiscere perspicacem illum oculum justitiæ per errorem non putantes, ad id operam dederunt, ut animi occulto dolo, et lingua fraudulenta sanctorum quoque patriarcharum, reliquorumque sacerdotum simplicitati et sanctæ modestiæ insultarent, ac peterent ipsi quidem monasteria per donationem ab eis consequi, cum promisso nullum non beneficentiæ genus in ea declarandi, et illatam eis ipsorum ratione temporum cæterorumque casuum infelicitatem dissipandi, formamque pulcherrimam restituendi : sed tantum abfuit, ut ea nacti, verba factis præstarent, et promissa implerent, ut etiam inverecunde omnia contraria designent, et vastationes eorum vastationibus cumulent : dum bonis iis, quæ auferunt, ad satietatem fruuntur, eorum vero, quibus indigent ipsi, ne minimum quidem rependant, donec ea tandem ad eversionem ac vastitatem extremam redegerint. Atque hoc modo perdita monasteria perinde divendunt, atque communia profanaque prædia, vel aliis ea gratis locant, ut erucæ residua devoret locusta, et plagam extremam plenus excipiat interitus : ac si quid illos effugit, ab his consumatur : in quo sane facinus admittunt incursui barbarico simile, sed Christiana tum honestate, tum modestia prorsus indignum. Jam quod etiam his ipsis et inhonestius est, et alienus a decoro, virilibus monasteriis mulieres præsunt,

Οὕτω ῥήματα τὰ ἅγια ἐψεύσαντο τοῦ Θεοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐμυκτήρισαν. Ἤδη δέ τινες καὶ μὴ ἐπιστενάζειν τοῖς πεπραγμένοις τὸν τῆς δίκης ἥλιστον ἐξαπατώμενοι ὀφθαλμὸν, ἔσπευσαν μεθ' ὑποκεκρυμμένου φρονήματος, καὶ γλώσσης ἀπατηλῆς, καὶ πατριαρχῶν ἁγίων καὶ ἱερέων ἑτέρων ἁπλότητος καὶ ἐπιεικείας ἁγιοπρεποῦς κατορχήσασθαι, καὶ αἰτήσασθαι μὲν φροντιστήρια διὰ δωρεᾶς λαβεῖν παρ' αὐτῶν, ἐφ' ὑποσχέσει τοῦ πᾶν εὐποιίας εἶδος εἰς αὐτὰ ἐπιδείξασθαι, καὶ ἀποσκεδάσαι τὴν ἐπισυμβᾶσαν τούτοις δυστυχίαν ἔκ τε τῶν καιρῶν καὶ τῶν ἄλλων ἐπιφορῶν, καὶ ὄψιν αὐτοῖς εὐπρεπεστάτην ἐπισκευάσαι. Λαβόντας δὲ, τοσούτου δεῆσαι εἰς ἔργα τοὺς λόγους ἀποτελέσαι, καὶ τὰς ἐπαγγελίας ἀποπληρῶσαι, ὅτι καὶ τἀναντία πάντα ἀνερυθριάστως νεανιεύονται· καὶ ταῖς ἐρημώσεσι τούτων, ἐρημώσεις ἀπεργάζονται· τῶν μὲν, ὧν φέρουσιν, ἀγαθῶν εἰς κόρον ἀπολαύοντες· τῶν δὲ, ὧν δέονται, οὐδὲ τὸ εὐτελὲς ἀντεισφέροντες. Ἕως εἰς ἐσχάτην αὐτὰ καταστροφὴν καὶ ἐρήμωσιν συνελάσουσιν. Ἐπειδὰν δὲ οὕτω ταῦτα καταλυμήνηται, ἐπίσης κοινῆς[26] κτησειδίοις ἀπεμπολοῦσιν, ἢ δωρεὰν ἄλλοις ἐκδόασιν, ὡς ἂν τὰ κατάλοιπα τῆς κάμπης καταφάγα ἡ ἀκρὶς καὶ τὴν ἐσχάτην πληγὴν ὁ παντελὴς διαδέξηται ὄλεθρος· καὶ εἴ τι ἐκείνους διέφυγεν, ὑπὸ τούτων ἀναλωθείη· τόλμημα τολμῶντες βαρβαρικῆς ἐπιδρομῆς ὅμοιον, Χριστιανικῆς δὲ σεμνοπρεπείας καὶ κοσμιότητος πάντη ἀνάξιον. Καὶ τὸ ἔτι τούτων ἀσεμνότερόν τε καὶ ἀπρεπέστερον, γυναῖκες μὲν ἀνδρῶν ἐπιστατοῦσι φροντιστηρίων, ἄνδρες δὲ

VARIÆ LECTIONES.

[26] κοινοῖς.

Προκαθημένου Εὐστρατίου τοῦ ἁγιωτάτου πατριάρχου ἐν τῷ μικρῷ σεκρέτῳ, συνεδριαζόντων αὐτῷ, Πέτρου τοῦ περιφανεστάτου πρωτοσπαθαρίου καὶ ἐπάρχου, καὶ θεοφιλεστάτων μητροπολιτῶν, τοῦ Νεοκαισαρείας, τοῦ Σεβηρίνης, τοῦ Χωνῶν, καὶ ἀρχιεπισκόπου τοῦ Ζηκχίας, καὶ πολιτικῶν ἀρχόντων, Πόθου πρωτοσπαθαρίου καὶ μεγάλου οἰκονόμου, Θεοδοσίου πρωτοσπαθαρίου καὶ οἰκονόμου τῶν εὐαγῶν Ἰωάννου πρωτοσπαθαρίου καὶ χαρτουλαρίου, τοῦ γενικοῦ, τοῦ ἐπὶ τῶν δεήσεων, Βασιλείου σπαθαροκανδιδάτου καὶ συμπόνου, καὶ Ῥωμανοῦ ἀσηκρῆτις καὶ σκρίβα, καὶ Λέοντος ἀσηκρῆτις καὶ λογοθέτου τοῦ πραίτωρος, εἰσήχθη ὅ τε Μαλακηνὸς, καὶ ὁ Βάρδας, καὶ ὁ Θεόδωρος, οἱ Ἑλλαδικοὶ, πρωτοσπαθάριοι, ἐπιφερόμενοι καὶ γράμματα τοῦ τε μητροπολίτου Ἀθηνῶν, καὶ τοῦ μητροπολίτου Θηβῶν, καὶ τοῦ ἐπισκόπου Εὐρίπου. Ὧν εἰς ἐπήκοον τῆς ἱερᾶς συνόδου καὶ τῶν συνεδριαζόντων πολιτικῶν δικαστῶν ἀναγνωσθέντων, ἐπεὶ περὶ ἀθεμιτογαμίας διελάμβανον γεγονυίας παρά τε Εὐθυμίου τοῦ Καπουλῆ, καὶ Μαρίας τῆς θυγατρὸς Βάρδα πρωτοσπαθαρίου καὶ ταξιάρχου, οἷα δύο δισεξαδέλφων, μητέρα καὶ θυγατέρα εἰς γάμου κοινωνίαν λαβόντων· ὡρίσθη, τόν τε γάμον ἀθέμιτον ὄντα ἀκυρωθῆναι, καὶ διαζύγιον περὶ αὐτὸν γενέσθαι. Μὴ μέντοι εἰς ἀμφότερα τὰ μέρη, ἀλλὰ εἴς τε τὸν Εὐθύμιον καὶ τὴν Μαρίαν, ὡς ἔσχατον καὶ μετὰ τὸν πρῶτον γάμον συναφθέντων αὐτῶν. Πλὴν μέντοι ἀνεύθυνα διατηρεῖσθαι εἰς τὰ πρόσιμα τὰ τοιαῦτα πρόσωπα, ὡς συνοδικῶς τοῦ διαζυγίου προβαίνοντος. Ἀποκαρῆναι δὲ τὴν Μαρίαν ἔν τινι τῶν κατὰ τόπον μοναστηρίων.

NICOLAI (24).

1. *De præstatione canonicorum.*

Mense Novembri, die x, inditionis x, præsidente Nicolao sanctissimo universali patriarcha, in mi-

ΝΙΚΟΛΑΟΥ.

Α'. *Περὶ τῶν κανονικῶν.*

Μηνὶ Νοεμβρίῳ, ιε', ἐπινεμήσεως ι', προκαθημένου Νικολάου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πα-

VARIÆ LECTIONES.

[r] *scilicet ratiocinii, vel.*

NOTÆ.

(23) Hic cognomento dictus est Garidas ; vixit imperante Alexio Comneno.

(24) Cognomento Grammatici, de cujus ætate lib. dictum præcedente (*col.* 766).

τριάρχου ἐν τῷ μικρῷ σεκρέτῳ, συνεδριαζόντων αὐτῷ τῶν θεοφιλεστάτων μητροπολιτῶν, τοῦ Ἀγκύρας, τοῦ Κυζίκου, τοῦ Κλαυδιουπόλεως, τοῦ Χριστιανουπόλεως, τοῦ Ῥωσίας· καὶ ἀρχιεπισκόπων, τοῦ Λεοντοπόλεως, τοῦ Σουγδαΐας, τοῦ Ῥωσίου· παριστα- A
μένων καὶ δεσποτικῶν ἀρχόντων.

nore secretario, assidentibus ei religiosissimis metropolitanis, Ancyrano, Cyziceno, Claudiopolitano, Christianopolitano, Rosiæ, atque item archiepiscopis, Leontopolitano, Sugdaiæ, Rosii, astantibus et dominicis magistratibus [1].

Ἔφοντο μέν τινες τῶν κατὰ χώραν θεοφιλεστάτων ἐπισκόπων ἐκ τοῦ συνοδικοῦ ἐπιστάλματος, ὃ πάλαι μὲν περὶ τῆς τοῦ κανονικοῦ δόσεως ἐπὶ τοῦ μακαρίτου πατριάρχου κυροῦ Ἀλεξίου ἐξετέθη, οὐ μικρῶς καταβλάπτεσθαι, ὡς ταῖς μετέπειτα γενομέναις θείαις καὶ βασιλικαῖς κατὰ τὰς πάσης τῆς οἰκουμένης πόλεις ἐναντιοῦσθαι δοκοῦντος χρυσοβούλλοις διαταγαῖς· παρόσον τὸ μὲν συνοδικὸν ὑπὲρ κανονικοῦ, νόμισμα ἓν χρυσοῦν ἐκ μόνου τοῦ ἱερέως εἰσπράττεσθαι διορίζεται, τῶν διακόνων καὶ ὑποδιακόνων μηδέν τι παρεχομένων· καὶ ἀφ' ἑκάστου τῶν χειροτονουμένων, εἰ μὲν ἀναγνώστης εἴη, νόμισμα ἓν χρυσοῦν· εἰ δὲ διάκονος, νομίσματα τρία ὅμοια· εἰ δὲ πρεσβύτερος, ἕτερα νομίσματα τρία ὅμοια, τὸν χειροτονοῦντα ὑπὲρ διατροφῆς λαμβάνειν διατάττεται· ὅτι μηδὲ ἀδάπανον, κἂν ἄμισθον ἐστὶ τὸ Εὐαγγέλιον. Οἱ δὲ παρὰ τῶν εὐσεβῶν τεθέντες χρυσόβουλλοι λόγοι, προσθήκην τέ τινα τοῖς παρὰ τῶν χειροτονουμένων παρεχομένοις ἐξεῦρον μετέπειτα, καὶ τὰς ἀπὸ τῶν λαϊκῶν ἀπαρχὰς κανονικὸν ὀνομάσαντες, ὡρίσαντο παρ' ἑκάστου τούτων ἀναλόγως τῇ αὐτῶν εὐπορίᾳ εἰσπράττεσθαι, καὶ τοῖς εὐλαβεστάτοις ἱερεῦσι παρέχεσθαι. Ἀλλὰ συνοδικῶς παρεστάντες, καὶ τὰ βασιλικὰ διατάγματα εἰς μέσον προθέμενοι, καὶ τοὺς παλαιοτέρους συνοδικοὺς ὁρισμοὺς ἀναγνωσθῆναι πρὸς τούτοις καθικετεύσαντες, ἐφίντησαν μηδ' ὁτιοῦν ἐντεῦθεν ἐπὶ τῇ τῶν κανονικῶν εἰσπράξει πράκριμα ὑφιστάμενοι. Ὅτι τὰ μὲν συνοδικὰ τὴν ἐκ τῶν λαϊκῶν τοῦ κανονικοῦ εἴσπραξιν ἀπείργοντα φαίνεται, δι' ὃ οὐδὲ μνήμην τινὰ τούτων ὡς ἀπαγορευομένων, ἐν Γραφαῖς τίθεται. Τὰ δὲ μὴ κώλυσιν ὀφενοῦν δεξάμενα, πῶς ἐναντιότητά τινα ἐπάξει γινόμενα; Οἱ δέ γε θειότατοι βασιλεῖς πρὸς τὸν καιρὸν (ὡς ἔοικεν) ἀποβλέψαντες, καὶ τῇ πρὸς τοὺς ἀρχιερεῖς τιμῇ, διὰ τῆς τῶν πραγμάτων εἰσκρᾶς χώραν παρέχοντες, καὶ τοὺς λαϊκοὺς τῇ παρχῇ ταύτῃ ὑπέθεντο. Ἔνθεν τοι καὶ δικαιότατον, ὄφελεν, ἀμφοτέρωθεν τοὺς ἀρχιερεῖς, ἔκ τε τῶν ἱερέων, καὶ τῶν λαϊκῶν, τὰ ὑπὲρ τοῦ κανονικοῦ τυπωθέντα, κομίζεσθαι· ὅτι μηδὲ στρατεύεταί τις, κατὰ τὸν θεῖον Ἀπόστολον, ὀψωνίοις ἰδίοις. Ἀλλὰ καὶ ποίμην τις ποιμαίνων, ἐκ τοῦ γάλακτος ἐσθίειν οὐκ ἀπέτραπται· καὶ ἀμπελῶνα φυτεύων ἐκ τοῦ καρποῦ δρέπεσθαι οὐ κεκώλυται. Καὶ ὁ παλαιὸς δὲ νόμος, ἐμβαλεῖν ἐκ τῶν καρπῶν εἰς τὴν κάρταλιν παρακελεύεται, καὶ εἰσοίσειν εἰς τὸν τοῦ Θεοῦ οἶκον· ἔφεσθαί τε ταῦτα ἐκ τῶν χειρῶν τοῦ προσοίσοντος τὸν ἱερέα, καὶ τεθῆναι ἀπέναντι τοῦ θυσιαστηρίου· εὐλογῆσαί τε καὶ εὔξασθαι, καὶ οὕτως εὐλογημένον ἀπιέναι τὸν προσενέγκαντα, καὶ τὸν οἶκον αὐτοῦ, καὶ

Existimabant quidem nonnulli per provinciam religiosissimi episcopi, se non parum ex synodali præcepto, quod olim de canonici præstatione sub beatæ memoriæ patriarcha, domino Alexio, fuit expositum, damni percipere; veluti quod factis deinceps sacris et imperatoriis ad orbis universi civitates sanctionibus, per aureas bullas munitis, adversari videretur: quatenus illud decretum synodale canonici nomine nummum aureum unum a sacerdote duntaxat exigendum statuit, B
diaconis et subdiaconis nihil præbentibus: et a quolibet eorum, qui ordinantur, si lector sit, nummum aureum unum; si diaconus, nummos tres similes; si presbyter, alios tres nummos consimiles sumendos, alimenti nomine, decernit abeo qui ordinat: quandoquidem si maxime mercedem, non tamen et vivendi sumptus excludit Evangelium. Aureæ vero bullæ piis a principibus promulgatæ, tum appendicem quamdam invenere deinceps ad ea, quæ ab ordinandis præstantur: tum debitas a laicis primitias, canonici nomine iis indito, statuerunt ab eorum quolibet exigendas, pro modo facultatum ejus, ac reverendissimis sacerdotibus præstandas. Sed cum in synodo hi comparuissent C
et imperatorias sanctiones in medium proposuissent, prætereaque vetustiora decreta synodalia relegi petiissent: nullum eis paruit in exactione canonicorum præjudicium inde afferri. Quippe synodalia quidem decreta exactionem canonici a laicis prohibere videntur, dum mentionem horum nullam faciunt, veluti sacris Litteris interdictorum. Quæ autem nulla prohibitione vetantur, quonam pacto si fiant, adversationi causam aliquam præbebunt? At vero sacratissimi principes temporis (uti quidem apparet) ratione habita, et honori pontificibus exhibendo, per oblationem rerum, occasionem præbentes, etiam laicos præstationi hujus obnoxios esse voluerunt. Eaque de causa visum D
est æquissimum esse, ut utrinque pontifices, tam a sacerdotibus, quam a laicis, canonici nomine sancita ferant; quandoquidem stipendiis propriis, secundum divinum illum Apostolum, nemo militat, sed et pastor aliquis, pastoriciam faciens, lacte vesci non vetatur: et qui vineam plantat, de fructu decerpere non prohibetur. Præterea lex etiam vetus conjici fructuum partem in quas illum jubet, et in Dei templum deportari: ubi de manibus offerentis ea sacerdos accipiat, et ex adverso altaris collocet, votisque conceptis benedicat: quibus peractis, benedictus ille futurus sit, qui obtulit,

VARIÆ LECTIONES.

[1] *officialib.*

una cum domo sua, et fundo, et reliquis facultatibus. Quod si hæc illorum talia, quo pacto non majorem ista benedictionem consequantur, cum divina sacrosanctior sit atque perfectior? In hunc ergo modum cum prius indicatum synodale decretum, et insecuta imperatoria sacra sanctio, in nullo inter se discrepent, statutum est ut præter hæc nihil aliud fiat : sed quæcunque præceptum est a sacerdotibus solvi, ea solventur ; si nummi sint, in nummis ; sin autem, in proportionali quantitate rerum sanctionibus imperatoriis expresse insertarum ; nec his amplius aliquid nomine alimentorum illius, qui ordinat, ab ordinando expendetur. Quæcunque vero requiruntur a laicis, solventur in nummis, et speciebus, et argenteis, prout dictis sanctionibus inseruntur. Sic enim nec olim in synodis decreta violari videbuntur, nec deinceps imperatorio sancita jussu, rejicula fient : sed utraque inter se conciliata, cunctis in locis atque urbibus, citra ullum impedimentum observabuntur. Atque hæc excerpta, moreque munita solito, data sunt mense Maio, indictione x.

Subscriptio.

Petrus, humilis diaconus et chartularius sanctissimæ Dei majoris Ecclesiæ.

Nicetas diaconus et chartularius sanctissimæ Dei majoris Ecclesiæ, præsenti exemplo cum insinuato mihi originali, collato, et invento per omnia æquivalenti, subscripsi, et sigillum appendi.

την χώραν αὐτοῦ, καὶ τὰ ἐγκαταλείμματα αὐτοῦ. Εἰ δὲ τοιαῦτα τὰ ἐκείνων, πῶς οὐχὶ μείζονες τεύξεται εὐλογίας, ἱερωτέρας οὔσης τῆς θείας, καὶ τελεωτέρας ; Οὕτω γοῦν, τῷ προεκφωνηθέντος συνοδικοῦ ἐπιστάλματος καὶ τοῦ ἀκολουθήσαντος βασιλικοῦ θείου προστάγματος κατ' οὐδὲν διαφωνούντων πρὸς ἄλληλα, οὐδὲ παρὰ ταῦτα ἕτερόν τι γίνεσθαι ὥρισται· ἀλλ' ὅσα μὲν ἐκ τῶν ἱερέων τετύπωται καταβάλλεσθαι, ταῦτα δὴ καὶ καταβληθήσεται· νομισμάτων μὲν ὄντων, διὰ νομισμάτων· μὴ ὄντων δὲ, διὰ τῆς ἀναλόγου ποσότητος τῶν ἐν τοῖς βασιλικοῖς τυπικοῖς ἀνατεταμένων· καὶ οὐ πλέον τούτων, ὑπὲρ διατροφῆς τοῦ χειροτονοῦντος, ἐκ τοῦ χειροτονουμένου κ τοῦ καταβληθήσεται. Ὅσα δὲ αὖθις ἐκ τῶν λαϊκῶν, διὰ νομισμάτων, εἰδῶν τε καὶ ἀργυρίων, τῶν ἀνατεταγμένων ἐν τούτοις. Οὔτε γὰρ τὰ πάλαι συνοδικῶς ὁρισθέντα παραβαίνεσθαι δόξει, οὔτε τὰ μετέπειτα ἐκ βασιλικῆς τυπωθέντα προστάξεως, ἀθετητέα γενήσεται. Ἀλλὰ καὶ ἀμφότερα συμβιβασθέντα πρὸς ἄλληλα, κρατητέα ἔσται ἀκωλύτως, ἐπὶ πάσαις χώραις καὶ πόλεσι. Ταῦτα παρεκβληθέντα καὶ συνήθως πιστωθέντα, ἐπεδόθη μηνὶ Μαΐῳ, ἐπινεμήσεως ι'.

Ἡ ὑπογραφή.

Πέτρος ὁ εὐτελὴς διάκονος καὶ χαρτοφύλαξ τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας.

Νικήτας διάκονος καὶ χαρτοφύλαξ τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, τὸ παρὸν ἴσον ἀντιβαλὼν μετὰ τοῦ ἐμφανισθέντος μοι πρωτοτύπου, καὶ εὑρὼν κατὰ πάντα ἰσάζον, ὑπέγραψα καὶ ἐσφράγισα.

II. *Synodalis epistola sanctissimi et universalis patriarchæ, domini Nicolai, ad piissimum imperatorem dominum Alexium Comnenum, probans ex sacris canonibus atque legibus, non esse fas, ut episcopatus a metropolibus auferantur.*

Pro divina lege ducens piæ majestatis tuæ jussa, quando etiam reapse justa sunt et digna, quæ studiose serventur, coronate divinitus sancteque domine mi, et præpotens ac sublimis imperator noster, posteaquam accepi datum ad oblatas majestati tuæ preces a religioso Ancyræ metropolitano Niceta sacrum rescriptum, per sigillum cereum puniceasque propriæ manus litteras idonee munitum, quo hæc continebantur : « Sanctissimus « dominus meus et universalis patriarcha, una « cum sacra synodo, quæ ad urbem est, ac præ« terea cum ordinis senatorii magistratibus, quos « requisivisti, causam hanc audiat, eique finem « imponat, legibus et canonibus consentaneum, « nihil eum impediente scripto, quod prius a ma« jestate mea factum est : atque ubi hæc causa « pervestigata fuerit, majestati meæ scribat, a qua « quod opus facto fuerit, curabitur. Mense Augusto, « indictione VII : » pro mea virili operam dedi, ut divino huic mandato satisfacerem. Ideoque arcessitis viris senatoriis, qui mecum exercendo

Β'. *Συνοδικὸν γράμμα τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, κυρίου Νικολάου, πρὸς τὸν εὐσεβέστατον βασιλέα, κῦρον Ἀλέξιον τὸν Κομνηνόν, παριστῶν ἐκ τῶν ἁγίων κανόνων καὶ νόμων, ὅτι οὐκ ἔξεστιν ἀφαιρεῖσθαι τὰς ἐπισκοπὰς ἀπὸ τῶν μητροπόλεων.*

Θεῖον νόμον ἡγούμενος τὰ τῆς εὐσεβοῦς σου βασιλείας ἐπιτάγματα (εἰσὶ γὰρ καὶ τῷ ὄντι δίκαια καὶ ἀξιοσπούδαστα), θεόστεπτε ἅγιε δέσποτά μου, καὶ κραταιὲ καὶ ὑψηλὲ ἡμῶν βασιλεῦ, δεξάμενος τὴν ἐν τῇ προσενεχθείσῃ δεήσει τῷ κράτει σου παρὰ τοῦ θεοφιλοῦς μητροπολίτου Ἀγκύρας Νικήτα δοθεῖσαν θείαν ἐπλυσιν, διὰ σφραγῖδος ἐκ κηροῦ καὶ φοινικῶν αὐτοχείρων γραμμάτων τὸ ἀξιόπιστον[48] κεκτημένη, τήν τε καὶ περιέχουσαν οὕτως· « Ὁ ἁγιώτατός μου « δεσπότης καὶ οἰκουμενικὸς πατριάρχης, ἅμα τῇ « ἐνδημούσῃ ἱερᾷ συνόδῳ, πρὸς δὲ καὶ τοῖς συγκλη« τικοῖς ἄρχουσιν, οὓς ἐζήτησας, ἵνα ἀκροάσηται « τῆς τοιαύτης ὑποθέσεως, καὶ πέρας ἐπιθήσῃ « ταύτῃ νόμῳ καὶ τοῖς κανόσι συνᾴδον, μὴ κωλύ« μενος ἀπὸ τοῦ προγεγονότος σημειώματος τῆς βα« σιλείᾳ μου· μετὰ δὲ τὸ ταύτην τὴν ὑπόθεσιν λη« τηθῆναι, γράψῃ καὶ τῇ βασιλείᾳ μου, καὶ παρ' « ταύτης τὸ δέον οἰκονομηθήσεται. Μηνὶ Αὐγούστῳ « ἐπινεμήσεως ζ· » Ἔσπευσα κατὰ τὸ ἐγχωροῦν τὴν θεσπεσίαν ταύτην πληρῶσαι ἐπιταγήν. Καὶ ἐξ μετακληθέντων τῶν σὺν ἐμοὶ ταχθέντων πονῆσαι

VARIÆ LECTIONES.

[48] κεκτημένην.

ζητήσει συγκλητικῶν, καὶ τῆς ἐνδημούσης τηνικαῦτα συναθροισθείσης συνόδου, συνέδριον γέγονε. Καὶ τῆς ἐξετάσεως ἀρχὴν ἤδη λαμβάνειν μελλούσης, παράδοξόν τι παρὰ προσδοκίαν ἀπήντησε· τῶν κληρικῶν τῆς ἁγίας καὶ μεγάλης τοῦ Θεοῦ Ἐκκλησίας αὐθαιρέτως ἐξάπινα στασιασάντων, ὡς μηδὲ ἀνασχέσθαι ζήτησιν ὅλως περὶ τοῦ σκέμματος προτεθῆναι· ἀλλ' ἐφ' ἱκανὰς ὥρας κόπτεσθαι τὸ συνέδριον μάτην, μὴ δι' ὑποδεχομένων τῶν ἐκκλησιαστικῶν τὴν τῆς ὑποθέσεως ἀγωνίαν, μήτε μὴν ἀποκρουομένων. Ἦν δὲ μόνον φωνὴ παμμιγὴς, ὑπὸ τοῦ λίαν ἐνηχεῖν ταῖς ἀκοαῖς, ἀδιάκριτος. Ὡς καὶ κατασιγάζουσι τοῖς ἱεροκήρυξι τὴν ἄσημον κραυγὴν, καὶ σιγὴν παραγγέλλουσιν, ἐπισχεθῆναι [89] τὰς φωνάς. Ὁ συνενοηκὼς ἐγὼ μετὰ τῶν δοθέντων μοι συνεργῶν τῆς σκέψεως, καὶ τηνάλλως τρίβεσθαι τὸν καιρὸν οὐκ ἐθελήσας, ἔλυσα τὴν ἐκκλησίαν, καὶ εἰς ἑτέραν ἦκειν παρήγγειλα, παρεσκευασμένους ὄντας, καὶ ἐπαγομένους τὰ μεθ' ὧν οἴονται νικᾷν, βοηθήματα· ἐπιτιμίαις καὶ παλαμναίαις ἀραῖς καὶ φρικωδεστάταις (ὡς ᾠόμην) ἀσφαλισάμενος τοὺς εἰς τὴν μέλλουσαν θορυβήσειν ἐπιχειρήσοντας, ἢ φθέγξασθαί τι κατὰ χρείαν, ἢ χάριν, ἢ πάθος ἕτερον, κοινῶς ἢ ἰδίᾳ διαφέρον αὐτοῖς, τῶν τεινόντων εἰς παράβασιν τῶν θείων καὶ παρακοὴν κανόνων, καὶ σύστασιν ψεύδους. Ἦκεν εἰς δευτέρα [90]. Καὶ πάλιν ἀφίκοντο οἱ τῆς ἐκκλησίας ἐνστάναι, καὶ ἐναγόμενοι, Οἳ οὐδὲ περιέμειναν πεῦσιν, ἀλλ' εὐθὺς ἐπίμπλαντο τὰ πάντα ἀκοσμίας καὶ ταραχῆς, καὶ τοῦ προτέρου συνεδρίου μείζων ἀταξία κατέσχε τὸ δεύτερον. Λοιπὸν ἔλυσα καὶ πάλιν τὴν ἐκκλησίαν, καὶ τὴν ζήτησιν ἀνήρτησα, προχειρίσασθαι παραγγείλας εἰς ἀπολογίαν ἀφ' ἑκάστου τῶν ἐκκλησιαστικῶν ταγμάτων, δύο τυχὸν ἢ καὶ τρεῖς, τοὺς λόγον στρογγύλειν εἰδήμονας, καὶ εἰπεῖν καὶ ἀκοῦσαι δοκιμωτάτους· ἐπάγεσθαί τε κελεύσας καὶ θείους κανόνας, εἰ ἔχουσιν ἐναντίους τοῖς παρὰ τῶν ἀπεναντίας προφερομένοις, ἢ ἕτερά τινα δικαιώματα. Ἐπισχεῖν δὲ τὸ πλῆθος καὶ τὸν σύριγγα ὄχλον, οὐ σὺν τῷ δικαίῳ, σὺν βίᾳ δὲ τῆς δίκης ἀποπειρώμενον, καὶ συγχέοντα, καὶ θλίβοντα τὸ ἀκροατήριον. Εὐτρεπίσθη καὶ πάλιν ἐκκλησία τρίτη. Καὶ συμπαρῆσαν ἅπαντες οἱ προτεταγμένοι, ἠνεῳγμένας ἔχοντες καὶ ἑστώσας ὡς πρὸς ἀκρόασιν τὰς ἑαυτῶν ἀκοάς, καὶ οἰόμενοι ἀκούσεσθαί τι λαμπρὸν νοῦ γενναῖον. Ἀλλ' ἦν οὐδὲν οὐδαμοῦ τοιοῦτον· ὄχλος δὲ, καὶ θροῦς, καὶ ἐνθουσιώδης ὁρμὴ, καὶ δῆμος πάλιν παράβακχόν τι βλέπων καὶ μανικὸν, καὶ πολλῶν λόγων ματαία τριβὴ, ὡς τοπρότερον. Τελευταῖον δὲ μετὰ πολλὰς τῆς ἡμέρας ὥρας, καὶ περὶ δείλην ὀψίαν, ἤδη δόξαν οὕτως αὐτοῖς, εἰς μέσον προετέθη χρυσόβουλλον προσκυνητὸν τοῦ θειοτάτου κράτους σου, τῇ μεγάλῃ φιλοτιμηθὲν Ἐκκλησίᾳ, ἐπί τισι μὲν καὶ ἄλλοις κεφαλαίοις διαφόροις, περιέχον δὲ καὶ περὶ τῆς ζητουμένης ταύτης, προσέπος ταῦτα· « Ὅσαι δὲ ἀρχῆθεν ἐπισκοπαὶ εἰς ὕψος ἀνήχθησαν ἤδη μητροπόλεων, ἢ καὶ ἐπισκοπαὶ εἰς ἀρχιεπισκο-

A examini destinati erant, et synodo, quæ tunc ad urbem erat, congregata ; concilium est coactum. Cumque jamjam habitura principium esset indagatio, quiddam inopinatum præter exspectationem contigit : cum clerici sanctæ magnæque Dei Ecclesiæ sponte sua subito seditionem commovissent tantam, ut ne quidem paterentur omnino de re consideranda investigationem proponi, sed pluribus horis concilium frustra laboraret, nec accipientibus ecclesiasticis causæ disceptationem, nec etiam rejicientibus. Tantum clamor quidam promiscuus erat, et quod vehementer feriret aures, indiscretus adeo quidem, ut etiam præconibus sacris obscurum clamorem compescentibus, et silentium indicentibus, minime voces cohibitæ fuerint. Quo ego animadverso cum iis, qui mihi dati erant investigandæ rei socii, quod tempus frustra conteri nollem, concionem dimisi, et in alterum diem venire jussi paratos, eaque secum afferentes, adjumenta, quibus se superiores evasuros putarent : pœnis et exsecrationibus diris maximeque horrendis (ut equidem arbitrabar) implicans eos, qui postridie ausuri essent tumultuari, aut quidquam proloqui, vel ex usu, vel ex gratia, vel alio affectu, quod publice vel privatim eos tangeret, atque ad violationem contemptumque sacrorum canonum, et mendacio stabiliendo faceret. Ventum ergo postridie, jamque rursus ecclesiastici aderant ad instandum, etiam cum rei essent. Nec jam ut interrogarentur, expectabant ; sed mox omnia complebantur indecora facie rerum ac perturbatione, majorque confusio erat in altero, quam in priore concilio. Quamobrem denuo concionem solvi, et examen sustuli ; cum jussissem, ut exponendæ causæ duo vel tres e quolibet ecclesiasticorum ordinum seligerentur, qui rotunde rem proponere nossent, ac tum loquendi, tum audiendi modum recte tenerent. Simul edixi, sacros adducerent canones, si quos haberent contrarios iis, qui ab adversa parte proferrentur, aut alia jurium admicula : multitudinem interim promiscuamque turbam cohibentes, quæ non ex æqui et boni ratione, sed vi causam disceptet, ipsumque auditorium turbet ac vexet. Itaque rursus instituta concione tertia, convenerunt universi de quibus dictum, jamque apertas et erectas ad auscultandum aures habebant, quod aliquid rei splendidæ ac præclaræ se audituros putarent. Verum nihil usquam erat tale, sed merus omnio tumultus, et strepitus, et incitatus animorum impetus, et populus iterum more bacchantium furentes ostentans oculos, et multorum verborum ceu prius etiam acciderat, vana consumptio. Tandem post multas diei horas, et sero jam vespero, quod eis ita visum esset, prolata est in medium venerabilis aurea bulla sacratissimæ majestatis tuæ, majori concessa Ecclesiæ, cum de

VARIÆ LECTIONES.

[89] οὐκ ἐπισχεθῆναι. [90] ἦκον εἰς δευτέραν.

his quibusdam diversis capitulis, tum de quæstione proposita complectens hæc ad verbum : « Quicunque vero episcopatus jamdudum evecti sunt ad metropolium sublimitatem, vel si episcopatus ad archiepiscopatuum, aut metropolium dignitatem ascenderunt : manebunt et ipsi eadem in dignitate ac gradu, nec eos quisquam ad inferiorem rediget locum, sed habere debebunt hoc jus, ut innovari nequeant, quemadmodum et sanctum est et obtinuere ; nisi forte beneficium ejusmodi ceu temporarium, et personis circumscriptum, ab aliquo eis imperatore concessum sit. »

Præter hanc vero sacram bullam auream, insinuatum est etiam scriptum constitutæ divinitus majestatis tuæ, jus dicentis inter indicatum religiosum metropolitanum Ancyræ, ac reverendissimum chartularium, atque nonnullos e majore Dei Ecclesia, decessoris nostri jussu, missos ob causam propositam, quod quidem secundum majorem Ecclesiam pronuntiat.

Cumque tum hæc ipsa, tum longi temporis durationem, instar alicujus teli objicerent : negabant abrogandam rem quæ tanto jam temporis intervallo ex longa minimeque interturbata consuetudine obtinuisset. Quæ cum ad tollendos canones nobis haud sufficere visa fuissent, ipsique metropolitani permoleste ferrent tam alienas a ratione contradictiones ecclesiasticorum ; ac vicissim acclamarent ecclesiastici, et ad sacrum imperatorium tribunal provocarent, nec prius se causam suam acturos asseverarent, nisi hæc abrogata fuissent : suspensa denuo fuit quæstio, tuæque majestatis examini reservata. Ut autem sacra quoque majestas tua cognoscat, non ob nullum pretium operæ nobis hoc datum fuisse mandatum, nec obiter aut negligenter tractatum, visum est mediocritati nostræ, omnem librum sacrum (si fieri posset) evolvere, sacrosque canones universos curiose perquirere, deque his ejus, quo de agitur, intelligentiam percipere, postque cognitionem hanc, scripto exhibere divæ majestati tuæ quæ inventa essent. Quæ sane recensenti a principio ad finem usque..... ut et singulis et particulatim propositis juribus cujusque partis instructa tua majestas æquissima et incorrupta, certo cognoscat religiosos metropolitanos, qui de his litigant, non de rebus iniquis contendere. Quapropter audi, quæso, serenissime imperator. Cum multi canones in medium allati fuissent multique libri sacri, repertum ex eis est, uti deinceps indicabitur, multos sacros ac divinos canones, legesque civiles, et acta sanctarum universalium synodorum vetare, ne ad metropolium sublimitatem episcopatus evehantur : cum ordinem singulis modumque statuant, nec ulli rerum fines transilire, vel appetere non convenientia, permittant. Atque uti minime producendis omnibus orationem prolixiorem faciens, sacris auribus tuis molestus sim, saltem prolatis in medium majoris momenti canonibus et ex quibus solis elucescere veritas poterit, cæteros omittam. Cum patriarcha quidam Antiochenus olim ordinationem

πῶν ἢ μητροπόλεων ἀξίωμα ἀνεβιβάσθησαν, ἔσονται καὶ αὗται ἐπὶ τῆς αὐτῆς ἀξίας, ἑστῶσαι καὶ βάσεως, καὶ οὐδεὶς ταύτας ὑποβιβάσει, τὸ ἀμετακίνητον καὶ πάλιν ὀφειλούσας κεκτῆσθαι, ὥσπερ δὴ καὶ τετύπωται, καὶ γεγόνασιν· εἰ μή που χρονικὸν ἴσως, καὶ προσώποις περιγραπτὸν τὸ τοιοῦτον δεδώρηται φιλοτίμημα παρά τινος βασιλέως. »

Πρὸς τῷ θείῳ δὲ τούτῳ χρυσοβουλλίῳ, ἐνεφανίσθη καὶ τὸ σημείωμα τοῦ θεοπροβλήτου κράτους σου, μεταξὺ δικάσαντος τοῦ τε ῥηθέντος θεοφιλοῦς μητροπολίτου Ἀγκύρας, καὶ τοῦ εὐλαβεστάτου χαρτοφύλακος, καί τινων τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας ἐκ προστάξεως τοῦ πρὸ ἡμῶν τὰ τῆς Ἐκκλησίας ὁλακίζοντος ἐκπεμφθέντων περὶ τῆς προκειμένης ὑποθέσεως, δικαιοῦν τὴν μεγάλην Ἐκκλησίαν.

Ὡς τι δὲ ὅπλον προβαλλόμενοι πρόβλημα, ταῦτά τε καὶ τὸν μακρὸν χρόνον, μὴ δεῖν τὴν ἐπὶ τοσοῦτον χρόνον κρατήσασαν ἐκ μακρᾶς καὶ ἀπαραποδίστου συνηθείας πρᾶξιν ἀθετηθῆναι ἔλεγον. Ὧν οὐχ ἱκανῶν ἡμῖν εἰς κανόνων καθαίρεσιν ἀναφανέντων, ἀγανακτούντων δὲ τῶν μητροπολιτῶν ἐπὶ ταῖς τοιαύταις ἀλόγοις τῶν ἐκκλησιαστικῶν ἀντιῤῥήσεσιν, ἐπιβοωμένων δὲ καὶ τῶν ἐκκλησιαστικῶν, καὶ τὸν θεῖον βασιλικὸν ἐπικαλουμένων βῆμα, καὶ μὴ πρότερον ἀπολογήσασθαι βεβαιουμένων, εἰ μὴ ταῦτα ἀθετηθείεν, μετεωρίσθη πάλιν τὰ τῆς ζητήσεως, καὶ τῇ τῆς σῆς μεγαλειότητος ἐξετάσει ἐταμιεύθη. Ἵνα δὲ καὶ τὸ ἁγιόν σου κράτος γνῷ, ὡς ἐκ ἐν παρέργῳ ἡμῖν ἐδόθη τὰ τῆς προστάξεως, οὐδὲ παρέργως ἢ ἀμελῶς ἐξητάσθη, δεῖν ἔγνω ἡ μετριότης ἡμῶν πᾶσαν ἱερὰν βίβλον (εἰ οἷόν τε) ἀναπτύξασθαι, καὶ πάντα θεῖον κανόνα πολυπραγμονῆσαι, καὶ ἐξ αὐτῶν λαβεῖν τοῦ ζητουμένου κατάληψιν· καὶ μετὰ γνῶσιν, γράμματι παραστῆσαι τῷ θεσπεσίῳ κράτει σου τὰ εὑρεθέντα πᾶσιν. Ἅπερ ἐπεξιόντι τοῖς ἀπ' ἀρχῆς μέχρι τέλους..... ὅπως ἀπὸ τῶν καθέκαστα καὶ κατὰ μέρος δικαιολογιῶν ἑκάστου τῶν μερῶν λαβοῦσα εἴδῃσιν ἡ δικαιοτάτη καὶ ἀῤῥεπὴς βασιλεία σου, μάθοι καὶ πληροφορίαν λάβοι, ὡς οὐκ ἐπ' ἀδίκοις οἱ περὶ τούτων μαχόμενοι θεοφιλεῖς μητροπολῖται φιλονεικοῦσιν. Οὐκοῦν καὶ ἄκουσον, γαληνότατε βασιλεῦ. Πολλῶν κανόνων εἰς μέσον τεθέντων καὶ ἱερῶν βίβλων, εὑρέθη ἐκ τούτων, ὡς ἐξῆς δηλωθήσεται, ὡς τὸ τὰς ἐπισκοπὰς εἰς μητροπόλεων ὕψος ἀνάγεσθαι, πολλοὶ καὶ ἱεροὶ καὶ θεῖοι κανόνες, καὶ πολιτικοὶ νόμοι, καὶ πράξεις καθολικῶν ἁγίων συνόδων κωλύουσι, τάξιν ἑκάστῳ καὶ τύπον ἐπιτιθέντες, καὶ μὴ πηδᾷν ὑπερόρια, μηδ' ἐφίεσθαι ἐπιτρέποντες τῶν οὐ προσηκόντων. Καὶ ἵνα μὴ μηκύνων τῇ τῶν πάντων παραγωγῇ, ταῖς σαῖς ἁγίαις ἐνοχλῶ ἀκοαῖς, τοὺς καιριωτέρους προθεὶς εἰς μέσον, καὶ ἐξ ὧν μόνων δυνατόν ἐστι τὴν ἀλήθειαν ἀναφανῆναι, τοὺς ἄλλους καταλιμπάνω. Πατριάρχου γάρ τινος Ἀντιοχείας, τῶν ἐν Κύπρῳ Ἐκκλησιῶν τῆς χειροτονίας πάλαι ἀντεχομένου, καὶ ζητήσεως περὶ τούτου ἐν τῇ ἁγίᾳ καὶ καθολικῇ τρίτῃ συνόδῳ γενομένης, ἀπόφασις

τῶν θείων ἐδόθη Πατέρων, ὡς ὁ ζ' ταύτης κανὼν παρίστησι, τοιαύτη· « Πρᾶγμα παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ τοὺς κανόνας τῶν ἁγίων Πατέρων καινοτομούμενον, καὶ τῆς πάντων ἐλευθερίας ἁπτόμενον, προσήγγειλεν ὁ θεοφιλέστατος ἐπίσκοπος Ῥηγῖνος, καὶ οἱ σὺν αὐτῷ εὐλαβέστατοι ἐπίσκοποι τῆς Κυπρίων ἐπαρχίας Ζήνων καὶ Εὐάγριος. Ὅθεν ἐπειδὴ τὰ κοινὰ πάθη μείζονος δεῖται θεραπείας, ὡς καὶ μείζονα τὴν βλάβην φέροντα, καὶ μάλιστα, εἰ μηδὲ ἔθος ἀρχαῖον παρηκολούθησεν, ὥστε τὸν ἐπίσκοπον τῆς Ἀντιοχέων πόλεως τὰς ἐν Κύπρῳ ποιεῖσθαι χειροτονίας, καθὰ διὰ τῶν λιβέλλων καὶ τῶν οἰκείων φωνῶν ἐδίδαξαν οἱ εὐλαβέστατοι ἄνδρες, οἱ τὴν πρόσοδον τῇ ἁγίᾳ συνόδῳ ποιησάμενοι, ἔξουσι τὸ ἀνεπηρέαστον καὶ ἀβίαστον οἱ τῶν ἁγίων Ἐκκλησιῶν τῶν κατὰ τὴν Κύπρον προεστῶτες, κατὰ τοὺς κανόνας τῶν ὁσίων Πατέρων, καὶ τὴν ἀρχαίαν συνήθειαν, δι' ἑαυτῶν τὰς χειροτονίας τῶν εὐλαβεστάτων ἐπισκόπων ποιούμενοι. Τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων διοικήσεων καὶ τῶν ἀπαρατάκτων ἐπαρχιῶν φυλαχθήσεται, ὥστε μηδένα τῶν θεοφιλεστάτων ἐπισκόπων ἐπαρχίαν ἑτέραν οὐκ οὖσαν ἄνωθεν καὶ ἐξαρχῆς ὑπὸ τὴν αὐτοῦ, ἤγουν τῶν πρὸ αὐτοῦ χεῖρα, καταλαμβάνειν. Ἀλλ' εἰ καί τις κατέλαβε, καὶ ὑφ' ἑαυτὸν πεποίηται βιασάμενος, τοῦτον ἀποδιδόναι, ἵνα μὴ τῶν Πατέρων οἱ κανόνες παραβαίνωνται, μηδὲ ἐν ἱερουργίας προσχήματι, ἐξουσίας τῦφος κοσμικὸς παρεισδύηται, μηδὲ λάθωμεν τὴν ἐλευθερίαν καταμικρὸν ἀπολέσαντες, ἣν ἡμῖν ἐδωρήσατο τῷ ἰδίῳ αἵματι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ πάντων ἐλευθερωτὴς ἀνθρώπων. Ἔδοξε τοίνυν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ, σώζεσθαι ἑκάστῃ ἐπαρχίᾳ καθαρὰ καὶ ἀβίαστα τὰ αὐτῇ προσόντα δίκαια ἐξαρχῆς καὶ ἄνωθεν, κατὰ τὸ πάλαι κρατῆσαν ἔθος, ἄδειαν ἔχοντος ἑκάστου μητροπολίτου, τὰ ἴσα τῶν πεπραγμένων πρὸς τὸ οἰκεῖον ἀσφαλὲς ἐκλαβεῖν. Εἰ δέ τις μαχόμενον τύποις τοῖς νῦν ὡρισμένοις προκομίσοι, ἄκυρον τοῦτον εἶναι ἔδοξε τῇ ἁγίᾳ πάσῃ καὶ οἰκουμενικῇ συνόδῳ. » Καὶ τοῦτο μὲν ὥριστο παρὰ τῆς ἁγίας τρίτης συνόδου. Καὶ δεήσεως ταύτῃ προσενεχθείσης παρά τινος Εὐνομίου τῆς Νικομηδέων ἁγίας Ἐκκλησίας ἐπιστατοῦντος, κατὰ Ἀναστασίου τῆς κατὰ Νίκαιαν Ἐκκλησίας ἐπάρχοντος, τὴν ἐπισκοπὴν Βασινουπόλεως ὑφαρπάσαντος, διὰ τὸ ἔναγχος τὴν εἰρημένην μητρόπολιν [51] τῆς Νικαίας παρὰ Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος τῶν βασιλέων εἰς μητροπόλεως ἀναχθῆναι τάξιν, ἀναχθέντος [52] ἄρτι ἐν αὐτῇ πρὸς τὴν τοῦ βασιλείου κράτους πεποίησιν, καὶ ἀναβοῶντος ὡς ἀδικοῖτο, ἡ ἁγία σύνοδος ἐζήτησε περὶ τούτου, παρόντων καὶ τῶν προσώπῳ τοῦ βασιλέως Μαρκιανοῦ συνεδρευόντων συγκλητικῶν ἀρχόντων· καὶ δεῆσαν οὗτω, τὸ βασιλικὸν διάταγμα, τὸ τὴν εἰρημένην μητρόπολιν, [53] τῆς Νικαίας ἀναβιβάζον εἰς μητροπόλεως ὕψος, ὑπανεγνώσθη· καὶ εἶχεν οὕτως·

ecclesiarum Cypri sibi vindicaret, deque hoc in sancta et universali tertia synodo quæsitum fuisset : sententia divorum Patrum edita est hujusmodi, sicuti canon eisdem septimus declarat : « Rem quæ novo more præter leges ecclesiasticas, « et sanctorum Patrum canones admittitur, omniumque libertatem tangit, nuntiavit religiosissimus episcopus Reginus, eique adjuncti reverendissimi episcopi provinciæ Cypriorum, Zeno atque Evagrius. Unde, cum morbi communes majoris curationis egeant, ut qui majus quoque damnum ferant, præsertim si neque mos antiquus accesserit, ut episcopus urbis Antiochenæ ordinationes in Cypro faciat, quemadmodum per libellos et orationes suas docuere viri reverendissimi, qui concilium hoc nomine adierunt ; immunitatem ab omni habebunt injuria et violentia sanctarum ecclesiarum, quæ in Cypro sunt, præsides, secundum canones sanctorum Patrum, et antiquam consuetudinem, per seipsos ordinationes reverendissimorum episcoporum facientes. Idem vero et in aliis diœcesibus provinciarum, quæ ubique sunt, observabitur : ut nullus religiosissimorum episcoporum provinciam alienam, quæ olim et ab initio sub ejus, vel antecessorum ipsius manu non fuerit, occupet. Quinetiam si quis occupaverit, et sibi subjecerit, adhibita vi, restituat eam, ne Patrum canones violentur, nec sacri muneris prætextu, potestatis mundanæ fastus irrepat, neve nobis hæc observantibus libertatem eam paulatim amittamus, quam nobis largitus est per sanguinem suum Dominus noster Jesus Christus, omnium liberator ille mortalium. Placuit ergo sancto et universali concilio, ut cuique provinciæ pura serventur et inviolata jura, quæ a principio et jam olim habet, secundum consuetudinem priscam ; metropolitano quolibet licentiam habituro, ut copias actorum suam in securitatem accipiat. Quod si quis sanctionem pugnantem cum iis, quæ modo decreta sunt, protulerit, eam irritam esse debere placuit huic universo sancto et universali concilio. » Et hoc quidem decretum fuit a sancto tertio concilio. Cum eidem preces essent oblatæ ab Eunomio quodam, sanctæ Nicomediensis ecclesiæ præside, adversus Anastasium Nicænæ pontificem ecclesiæ, qui Basinopolitanum [u] episcopatum per surreptionem invaserat propterea, quod haud ita pridem dicta civitas Nicæna per Valentinianum et Valentem imperatores ad metropolis ordinem evecta fuisset, qui recens ad imperii regii culmen in ea fuerant elati ; exclamante Eunomio, injuriam sibi fieri : perquisivit rem sancta synodus, iis etiam præsentibus senatoribus magistratibus, qui nomine Marciani Augusti concilio intererant : quodque sic esset facto, decretum imperatorium, quo dicta Nicæna civitas ad metropolis sublimitatem vehebatur, perlectum fuit ; quod in hanc perscriptum erat sententiam :

VARIÆ LECTIONES.

[51] πόλιν τῆς. [52] ἀναχθέντων. [53] πόλιν.

[u] *Constantinopolitanum.*

« Imperatores, Cæsares, Valentinianus et Va- A
« lens pii, felices, perpetui augusti, victores, Ni-
« cænis. »

« Licet studium nostrum jam inde manifestum et
« conspicuum factum sit omnibus, ex quo imperii
« culmen, et reipublicæ gubernacula voluntate Nu-
« minis suscepimus : tamen præter hæc referemus
« etiam ad felicitatis ipsius initium, quod civitas
« vestra referta mortalibus et exsultans ob felicita-
« tem nostram, gaudii lætitiæque causam universo
« populo præbuit. Quare cum metropolis olim ap
« pellata fuerit,' idque leges antiquæ contineant :
« eadem, quæ Nicomedienses, nobis sancientibus,
« consecuti sunt, quin inconcussa rataque mansura
« sint, et in posterum augenda quoque civitati
« vestræ, nullum esse dubium potest. Duret igitur B
« in perpetuum hæc consuetudo, et civitas vestra
« metropolis sit : ea consuetudine, quæ in proces-
« sione Bithyniarchæ servatur, permanente. Nam
« nemo quid aliis adimit. Augescat, ita volente Nu-
« mine, civitatis vestræ dignitas. Ideoque læti vota
« duplicate, atque ob ea gaudete, quæ honor ipse
« vobis largitus est, omni deinceps ambiguitate ces-
« sante : considerantes, quo pacto æterna mansue-
« tudo et providentia vobis ex sanctionibus nostris
« obtigerit. »

Et hæ quidem illæ fuerunt imperatorum litteræ, Nicænis concessæ. Cum autem eas indigne (velut apparet) tulissent Nicomediensες, edictum aliud eorumdem imperatorum pro Nicomediensibus fa- C
ctum fuit, ex episcopi Nicomediensis petitione : quod ipsum quoque lectum fuit in synodo, hanc perscriptum in sententiam :

« Valentinianus, pius, felix, augustus, Nicome-
« diensibus salutem.

« Consuetudo vetus, quæ circa privilegia vestræ
« civitatis jam olim obtinet, servabitur. Non enim
« incrementum honoris Nicænæ civitatis juri ve-
« stro potest officere, quandoquidem hoc ipso Ni-
« comediensis urbis augetur dignitas, quod illa
« secundo consistens loco, metropolis appellatione
« vocetur. »

« Illustrissimi præsides, qui nomine Marciani
« augusti concilio intererant, dixerunt : Neutræ ex D
« his sacris Litteris de episcopo loquuntur, sed
« ambæ civitatibus honorem largiuntur. Et sacræ
« Litteræ divæ memoriæ Valentiniani ac Valentis,
« quæ tum temporis Nicenorum civitati jus metro-
« policum tribuebant, peculiariter præcipiunt, ne
« quid aliis civitatibus adimatur. Et sanctorum
« apostolorum canon de uno metropolitano per
« quamlibet provinciam loquitur. Quid igitur sanctæ
« synodo de hoc videtur? Exclamavit sancta syno-
« dus. Canones rati sunto. Canonibus satis fiat.
« Atticus, religiosissimus episcopus Nicopolis au-

« Αὐτοκράτορες, Καίσαρες, Οὐαλεντινιανὸς καὶ
« Οὐάλης, εὐσεβεῖς, εὐτυχεῖς, σεβαστοὶ αἰώνιοι, νι-
« κηταὶ, Νικαεῦσιν.

« Εἰ καὶ ἡ σπουδὴ ἡ ἡμετέρα ἐξ ἐκείνου δῆλη πᾶσι
« καὶ περίβλεπτος γέγονεν, ἐξ οὗ τῆς βασιλείας τὸ
« ὑπεραναβεβηκὸς καὶ τῶν δημοσίων θεῖς οἴακας
« βουλήσει τοῦ Κρείττονος ὑπεδεξάμεθα, ὅμως πρὸς
« τούτοις ἀποσώσομεν καὶ εἰς τὴν ἀρχὴν τῆς εὐτυ-
« χίας αὐτῆς, ὅτι γε ἡ ὑμετέρα πόλις προσαναπλη-
« σθεῖσα καὶ γαυριωθεῖσα ἐπὶ τῇ ἡμετέρᾳ εὐτυχίᾳ,
« χαρᾶς καὶ εὐφροσύνης παντὶ δήμῳ αἰτία γέγονε.
« Διὸ δὴ ἐπειδὴ μητρόπολις πάλαι ὠνομάσθη, καὶ
« τοῦτο νόμοι παλαιοὶ περιέχουσι, τὰ αὐτὰ, ἅπερ
« Νικομηδεῦσι νομοθετούντων ἡμῶν ὑπῆρξεν, οὐδε-
« μίαν ἀμφιβολίαν ἔχειν δύναται, τὸ, ἀσάλευτα καὶ
« ἰσχυρὰ μένειν, καὶ εἰς τὸ ἑπειτα αὐξηθησόμενα
« τῇ ὑμετέρᾳ πόλει. Διαμενέτω τοίνυν εἰς τὸ διηνε-
« κὲς ἡ συνήθεια αὕτη, καὶ ἡ πόλις ὑμῶν μητρόπο-
« λις ἔστω, τῆς συνηθείας τῆς ἐπὶ τῇ προόδῳ τοῦ
« Βιθυνιάρχου διαμενούσης. Οὐδεὶς γὰρ ἀφαιρεῖταί
« τι τῶν ἄλλων. Βουλήσει τοῦ Κρείττονος, αὐξηθείη
« τῆς ὑμετέρας πόλεως τὸ ἀξίωμα. Χαίροντες τοίνυν
« τὰς εὐχὰς διπλασιάζετε, καὶ ἥδεσθε ἐφ' οἷς αὐτὴ
« ἡ τιμὴ ὑμῖν παρέσχηται, πάσης ἀμφιβολίας εἰς
« τοεξῆς σχολαζούσης· συνορῶντες, ὅπως αἰωνίου
« πραότητος καὶ προνοίας ἐκ τῶν ἡμετέρων θεσπισμά-
« των τετυχήκατε. »

Καὶ τὸ μὲν γράμμα τῶν βασιλέων, ὅπερ τοῖς Νι-
καεῦσι πεφιλοτίμητο, τοῦτο. Σχετλιασάντων δὲ πρὸς
αὐτὸ (ὡς φαίνεται) Νικομηδέων, γέγονε καὶ ἕτερον C
πρόσταγμα τῶν αὐτῶν βασιλέων Νικομηδεῦσιν, ἐξ
αἰτήσεως τοῦ ἐπισκόπου Νικομηδείας. Ἀνεγνώσθη
δὲ καὶ αὐτὸ ἐν τῇ συνόδῳ. Καὶ ἀναγνωσθὲν, εἶχεν
οὕτως·

« Οὐαλεντινιανὸς, εὐσεβὴς, εὐτυχὴς, αὔγουστος,
« Νικομηδεῦσι χαίρειν.

« Ἡ περὶ τὰ πριβιλίγια τῆς πόλεως τῆς ὑμετέρας
« πάλαι ὑπάρχουσα ἀρχαία συνήθεια φυλαχθήσεται.
« Οὔτε γὰρ ἡ προσθήκη τῆς τιμῆς τῆς Νικαέων
« πόλεως τὸ δίκαιον τὸ ὑμέτερον βλάψαι δύναται,
« ὁπότε ἐπαύξεται τὸ ἀξίωμα τῆς Νικομηδέων,
« ὅπερ [a] ἐκείνη ἡ ἐν δευτέρῳ τόπῳ οὖσα, μητροπό-
« λεως ὀνόματι καλεῖται. »

« Οἱ ἐνδοξότατοι ἄρχοντες, οἱ προσώπῳ τοῦ βασι-
« λέως Μαρκιανοῦ τῇ συνόδῳ συνεδριάζοντες, εἶπον·
« Οὐδὲ ἓν μὲν θεῖον Γράμμα περὶ ἐπισκόπου διαλέγε-
« ται· ἑκάτερον δὲ τὴν τιμὴν ταῖς πόλεσι παρέχει. Τὸ δὲ
« θεῖον Γράμμα τοῦ τῆς θείας λήξεως Οὐαλεντινιανοῦ
« καὶ Οὐάλεντος, τηνικαῦτα τῇ Νικαέων παρασχὸν
« τὸ μητροπολικὸν δίκαιον, ἰδικῶς παρακελεύεται,
« τῶν ἄλλων μηδὲν ὑφαιρεῖσθαι πόλεων. Καὶ ὁ κα-
« νὼν τῶν ἁγίων ἀποστόλων, περὶ ἑνὸς μητροπολίτου
« καθ' ἑκάστην τῶν ἐπαρχιῶν διαγορεύει. Τί τοίνυν
« τῇ ἁγίᾳ συνόδῳ παρίσταται περὶ τούτου; Ἡ ἁγία
« σύνοδος ἐβόησεν· Οἱ κανόνες κρατείτωσαν. Τοῖς
« κανόσι τὸ ἱκανὸν γενέσθω. Ἀττικὸς ὁ εὐλαβέστα-

VARIÆ LECTIONES

[a] ὅτι περ.

« τος ἐπίσκοπος Νικοπόλεως παλαιᾶς Ἠπείρου, A « tiquæ Epiri, dixit : Canonis hæc verba sunt : Ut
« εἶπεν· Ὁ κανὼν οὕτω διαγορεύει. Ὥστε ἐν μιᾷ « in unaqualibet provincia metropolis episcopus
« ἑκάστῃ τῶν ἐπαρχιῶν τὸ κῦρος ἔχειν τὸν τῆς μη- « auctoritatem habeat, atque is ipse constituat
« τροπόλεως, καὶ αὐτὸν καθιστᾷν πάντας τοὺς ὑπὸ « omnes, qui sub eadem provincia sunt, episcopos.
« τὴν αὐτὴν ἐπαρχίαν ὄντας ἐπισκόπους. Καὶ αὕτη « Et hæc canonis mens est. At Nicomediensi epi-
« ἐστὶν ἡ διάνοια τοῦ κανόνος. Τῷ δὲ τῆς Νικομη- « scopo, quoniam hæc urbs a priscis sæculis est
« δείας, ἐπειδὴ ἐξ ἀρχαίου αὕτη μητρόπολίς ἐστι, « metropolis, hoc ipsum debetur, ut omnes episco-
« κεχρεώστηται, πάντας τοὺς ὑπὸ τὴν ἐπαρχίαν « pos qui ejus provincia continentur, ordinet.
« αὐτοῦ ὄντας ἐπισκόπους χειροτονεῖν. Ἡ ἁγία σύν- « Sancta synodus dixit : Hæc omnes volumus. Hæc
« οδος εἶπε· Ταῦτα πάντες βουλόμεθα. Ταῦτα παν- « ubique rata sunto. Hæc placent universis. Joan-
« ταχοῦ κρατείτω. Ταῦτα πᾶσιν ἀρέσκει. Ἰωάννης, « nes et Constantinus, patricii, cæterique religio-
« Κωνσταντῖνος, πατρίκιοι, καὶ οἱ λοιποὶ εὐλαβέστα- « sissimi episcopi Ponticæ diœcesis, dixerunt : Ca-
« τοι ἐπίσκοποι τῆς Ποντικῆς διοικήσεως, εἶπον· Οἱ « nones unum illum agnoscunt metropolitanum
« κανόνες ἕνα ἴσασι μητροπολίτην, τὸν ἀρχαιότερον. « qui antiquior est. Adeoque manifesto patet, ad
« Καὶ δῆλον, ὡς τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Νικο- « religiosissimum Nicomediensem episcopum per-
« μηδείας διαφέρουσιν αἱ χειροτονίαι. Ἐπειδὴ καὶ B « tinere ordinationes. Quandoquidem hæ leges, id
« αἱ νομοθεσίαι, ὡς σύνοιδε καὶ ἡ ὑμετέρα μεγαλο- « quod etiam vestræ constat magnificentiæ, nomine
« πρέπεια, ὀνόματι μητροπόλεως μόνῳ ἐτίμησαν « duntaxat metropolis Nicænam civitatem ce-
« τὴν Νικαέων· προτιμᾶται δὲ τῶν λοιπῶν ἐπισκόπων « honestarunt : cujus antistes episcopis provinciæ
« τῆς ἐπαρχίας τῇ τιμῇ μόνῃ· ἡ ἁγία σύνοδος εἶπε· « cæteris honore solo præfertur : sancta synodus
« Κανονικῶς ἐδίδαξαν. Καλῶς ἐδίδαξαν. Πάντες « dixit : Illi canonice rem exposuerunt. Recte rem
« τὰ αὐτὰ λέγομεν, Καὶ αὖθις οἱ κανόνες κρατεί- « exposuerunt. Omnes eadem dicimus. Et rursum
« τωσαν. Τοῖς κανόσι τὸ ἱκανὸν γενέσθω. Ὧν οὕτω « canones rati sunto. Canonibus satisfiat. Quibus
« συνδοξάντων, συμπέρασμα ἐπήγαγον οἱ ἄρχοντες, « ita communiter approbatis, conclusionem intu-
« καὶ ἀπόφασιν, ἔχουσαν οὕτως· Τὴν μὲν αὐθεντίαν « lere præsides, atque sententiam hujusmodi :
« τοῦ μητροπολίτου ἐν ταῖς κατὰ Βιθυνίαν Ἐκκλη- « Auctoritatem metropolitani in Ecclesiis Bithyniæ
« σίαις ὁ Νικομηδείας εὐλαβέστατος ἐπίσκοπος ἕξει· « religiosissimus Nicomediensis episcopus habebit,
« τοῦ Νικαίας, τὴν τιμὴν μόνην τοῦ μητροπολίτου « Nicæno metropolitani duntaxat honorem obti-
« ἔχοντος, ὑποκειμένου δὲ κατὰ μίμησιν τῶν ἄλλων « nente, nihiloque minus ad imitationem cætero-
« ἐπισκόπων τῆς ἐπαρχίας, τῷ τῆς Νικομηδείας. C « rum provinciæ episcoporum, Nicomediensi sub-
« Τοῦτο γὰρ καὶ τῇ ἁγίᾳ παρέστη συνόδῳ. » « dito. Nam hoc ita sacræ visum est synodo. »

Τῇ τοιαύτῃ ψήφῳ καὶ ἁγία σύνοδος ἐπακολουθήσασα, τὸν ιβ' κανόνα ὑπηγόρευσεν, ἀπαγορεύοντα τὴν μίαν ἐπαρχίαν εἰς δύο κατατέμνεσθαι, καὶ μητροπολίτας δύο ἐν μιᾷ ἐπαρχίᾳ εἶναι· καὶ καθαίρεσιν ἀπεντεῦθεν ἀπειλοῦσα τῷ ἐκ περιδρομῆς τολμήσοντι ἐπισκόπῳ διὰ θείου τύπου τοῦτο λαβεῖν· καὶ θεσπίζουσα, τὸν ἐπίσκοπον τὸν ἐκ βασιλικῆς ἐξουσίας ἤδη μητροπολιτικὸν εἰληφότα δίκαιον, μόνης ἀπολαύειν τῆς τιμῆς, σωζομένων ἀκεραίων τῇ κατὰ ἀλήθειαν μητροπόλει τῶν οἰκείων δικαίων. Ἔχει δὲ ὁ κανὼν οὕτως·

Hoc eadem sancta synodus secuta decretum, canonem duodecimum dictavit, prohibentem, ne una provincia scindatur in duas, neve metropolitani duo in una provincia sint. Simul abdicationem episcopo comminatur in posterum, qui circumcursitando per apicem sacrum id tentaturus sit consequi : sanciens, ut is episcopus, qui ab imperatoria potestate jus metropoliticum jam nactus sit, honore duntaxat fruatur, salvis et integris veræ metropoli suis juribus. Ejus canonis hæc verba sunt :

« Ἦλθεν εἰς ἡμᾶς, ὥς τινες παρὰ τοὺς ἐκκλη- « Pervenit ad nos, quosdam præter ecclesiasti-
« σιαστικοὺς θεσμοὺς προσδραμόντες δυναστείαις, « cas leges ad eos, qui rerum potiuntur, accur-
« διὰ πραγματικῶν τὴν μίαν ἐπαρχίαν εἰς δύο κα- D « risse, perque pragmaticas sanctiones unam pro-
« τέτεμον. Ὡς ἐκ τούτου δύο μητροπολίτας εἶναι « vinciam in duas divisisse. Quo fiat ut in eadem
« ἐν τῇ αὐτῇ ἐπαρχίᾳ. Ὥρισε τοίνυν ἡ ἁγία σύν- « provincia duo sint metropolitani. Decrevit ergo
« οδος, τοῦ λοιποῦ μηδὲν τοιοῦτον τολμᾶσθαι παρὰ « sancta synodus, in posterum ab episcopo nihil
« ἐπισκόπου. Ἐπειδὴ τὸν τοιοῦτῳ ἐπιχειροῦντα, « tale tentandum. Quippe qui hoc molietur,
« ἐκπίπτειν τοῦ ἰδίου βαθμοῦ, Ὅσαι δὲ πόλεις διὰ « gradu suo excidet. Quæcunque vero civitates
« γραμμάτων βασιλικῶν τῷ τῆς μητροπόλεως ἐτι- « per imperatorias litteras metropolis nomine
« μήθησαν ὀνόματι, μόνης ἀπολαυέτωσαν τῆς τιμῆς, « cohonestate fuerint, honoris duntaxat fructum
« καὶ ὁ τὴν Ἐκκλησίαν αὐτῆς διοικῶν ἐπίσκοπος, « percipiant, una cum episcopo, qui cujuslibet
« σωζομένων δηλονότι τῇ κατὰ ἀλήθειαν μητροπόλει « civitatis Ecclesiam regit ; salvis scilicet veræ
« τῶν οἰκείων δικαίων. » Οἷς σύμψηφος ἐγένετο καὶ ὁ « metropoli suis juribus. » Atque his assensus est
βασιλεὺς Μαρκιανὸς, τὴν θείαν ταύτην ὑπαγορεύσας διάταξιν. etiam Marcianus imperator hoc sacro edicto condito.

« Τὸν ἀφαιρούμενον πόλεως οἱασδήποτε, πάλαι « Eum, qui cuicunque civitati, vel jamdudum
« οὖσης, ἢ νῦν πολισθείσης. τὸ τῆς ἰδικῆς ἐπισκοπῆς « exsistenti, vel modo conditæ, jus episcopatus sui,

« vel aliud quodpiam privilegium adimit, etiam « imperatorio permissum infamia notat hæc constitutio, honorumque publicatione multat, ipsum « etiam conatum improbans. »

Excipit autem sitas in Scythia provincias et Leontopolim Isauriæ. Lex item exstat alia, cujus hæc verba sunt :

« Firma sint ecclesiastica privilegia universa. »

Itemque rursus alia.

« Sacros canones non minus, quam ipsas leges « valere, leges volunt. Et quod canones prohibent, « id etiam prohibent leges. »

Et hæc quidem sufficiunt ad probandum, non duos metropolitanos in una esse provincia, sed tempore priorem, itemque jam pactos metropolitanos, honore duntaxat aliis episcopis præstare, cæteros qui subditos ei, qui reapse metropolitanus est ; deinceps vero, cum ipse rei conatus etiam prohibeatur, episcopum id ausum facere, gradu suo dejici : nullum denique privilegium ex iis, quæ prius alicui adhæserunt episcopatui, a quoquam adimendum. Quod autem non fas sit ea, quæ concernunt episcopos, secundum sacram sanctionem pragmaticam procedere, sed juxta Patrum duntaxat determinationes, quos et canones vocant : id ex alia sanctæ hujus universalis quartæ synodi actione percipi potest. Nam cum civitas Berytus metropoliticum jus impetrasset ab eo Theodosio principe (24-25), qui ad discrimen illius majoris, minor dicitur, Eustathius, ejus urbis episcopus, illa concessione metropolitici juris elatus, adversus Photium metropolitanum Tyri, quæ Phœnicum metropolis est, insurrexit : cumque duos quosdam ei subjectos episcopos, veluti metropolitanus deposuisset, et ad presbyterorum gradum detrusisset, alios ordinavit. Quod minime ferens Photius, ad sanctam synodum sese contulit. Ac lite mota, sententiam secundum se pronuntiatam tulit, cum nihil Eustathio Berytensi profuisset, quod imperatoriis se litteris munitum diceret, quæ sibi potestatem ejus rei facerent: Non enim attendebat iis synodus, quæ ab ipso dicebantur ; sed in examine causæ, cum præsides, synodum prius disertis hisce verbis interrogassent : « Placuit orbis sacratissimo « domino, ne secundum sacras epistolas, aut sanctiones pragmaticas, episcoporum negotia procedant, sed juxta Patrum canones. Dicat ergo sancta « synodus, an fas sit, ut per sacram pragmaticam sanctionem alterius jura Ecclesiæ alii rapiant episcopi? « Sancta synodus respondit. Adversus canones nihil « pragmaticum valebit. Canones Patrum rati sunto. « Cumque præsides iterum dixissent : Jam tempus « est, ut a synodo erudiamur, an fas sit, ut secun-

« δίκαιον, ἢ ἕτερόν τι προνόμιον, κἂν ἀπὸ βασιλικῆς « ἐπιτροπῆς, ἀτιμοῖ καὶ δημεύει ἡ διάταξις, ἀκυροῦσα καὶ τὴν ἐγχείρησιν. »

Ὑπεξαιρεῖ δὲ καὶ τὰς ἐν Σκυθίᾳ ἐπαρχίας, καὶ Λεοντόπολιν τῆς Ἰσαυρίας. Ἔστι δὲ καὶ ἕτερος νόμος, οὕτω διεξιών·

« Βεβαιούσθω τὰ ἐκκλησιαστικὰ πάντα προνόμια. »

Καὶ πάλιν ἄλλος·

« Τοὺς θείους κανόνας οὐκ ἔλαττον τῶν νόμων « ἰσχύειν, οἱ νόμοι βούλονται. Καὶ ὅπερ οἱ κανόνες « κωλύουσι, τοῦτο καὶ οἱ νόμοι. »

Καὶ ταῦτα μὲν ἀπόχρη πρὸς τὸ δεῖξαι, οὐ δύο μητροπολίτας εἶναι ἐν μιᾷ ἐπαρχίᾳ, ἀλλὰ τὸν ἀρχαιότερον. Καὶ τὸ, τοὺς φθάσαντας γενέσθαι, τῇ τιμῇ μόνον τῶν ἄλλων ἐπισκόπων ὑπερέχειν· ὑποκειμένους μέντοιγε τῷ κατὰ ἀλήθειαν μητροπολίτῃ· εἰς τοεξῆς δὲ καὶ αὐτῆς τῆς ἐγχειρήσεως κωλυομένης, καὶ τὸν τοῦτο τολμήσαντα ποιῆσαι ἐπίσκοπον, ἔκπτωσιν πάσχειν τοῦ οἰκείου βαθμοῦ· καὶ τὸ μηδὲν τῶν φθασάντων προσπαγῆναι ἐπισκοπῇ τινι προνομίων, ἀφαιρεῖσθαι παρ' οἰουδήτινος. Ὅτι δὲ οὐ κατὰ πραγματικὸν θεῖον ἔξεστι τύπον τὰ τῶν ἐπισκόπων προβαίνειν, κατὰ μόνους δὲ τοὺς Πατρικοὺς ὅρους, τοὺς καὶ κανόνας, ἐξ ἑτέρας πράξεως τῆς τοιαύτης ἁγίας οἰκουμενικῆς τετάρτης συνόδου καταμαθεῖν δυνατόν. Τῆς γὰρ πόλεως Βηρυτοῦ, μητροπόλεως δίκαιον εἰληφυίας παρὰ Θεοδοσίου τοῦ βασιλέως, τοῦ πρὸς ἀντιδιαστολὴν τοῦ μεγάλου, λεγομένου μικροῦ, Εὐστάθιος ὁ ταύτης τῆς πόλεως ἐπίσκοπος τῷ τοιούτῳ φιλοτιμήματι τῆς μητροπόλεως κατεπαρθείς, κατεξανέστη Φωτίου τοῦ μητροπολίτου τῆς Τύρου, τῆς τῶν Φοινίκων μητροπόλεως· καὶ δύο τινὰς ὑποκειμένους αὐτῷ ἐπισκόπους καθελὼν, ὡς δῆθεν μητροπολίτης, καὶ εἰς πρεσβυτέρων βαθμὸν κατασπάσας, ἑτέρους κεχειροτόνηκεν. Ὁ μὴ φέρων ὁ Φώτιος, τῇ ἁγίᾳ προσέδραμε συνόδῳ. Καὶ δίκης κροτηθείσης, τὴν δικαιοῦσαν ἀπείληφε, μηδὲν ὠφεληθέντος Εὐσταθίου τοῦ τῆς Βηρυτοῦ, ἐκ τοῦ βασιλικοῖς ὠχυρῶσθαι γράμμασι λέγειν, τοῖς ἐπιτρέπουσι τοῦτο. Οὐ γὰρ πρόσεσχεν ἡ σύνοδος τοῖς παρ' αὐτοῦ λεγομένοις, ἀλλὰ τῆς ὑποθέσεως δοκιμαζομένης, τῶν ἀρχόντων πρότερον ἐρωτησάντων τὴν σύνοδον ῥητῶς οὕτως· « Τῷ θειοτάτῳ δεσπότῃ τῆς οἰκουμένης « ἤρεσε, μὴ κατὰ θεῖα γράμματα, ἢ κατὰ πραγμα- « τικοὺς τύπους, τὰ τῶν ἐπισκόπων προβαίνειν, « ἀλλὰ κατὰ τοὺς κανόνας τῶν Πατέρων. Εἰπάτω οὖν ἡ ἁγία σύνοδος, εἰ ἔξεστι κατὰ θεῖον πραγματικὸν τύπον ἀλλοτρίας ἐκκλησίας δίκαια ἑτέρου « ἐπισκόπους παραιρεῖσθαι; ἡ ἁγία σύνοδος ἀπεκρίνατο. Κατὰ τοὺς κανόνας [53] πραγματικὸν μηδὲν ἰσχύσειν. Οἱ κανόνες τῶν Πατέρων κρατείτωσαν. Καὶ αὖθις τῶν ἀρχόντων εἰπόντων· Νῦν καὶ-

VARIÆ LECTIONES.

[53] τῶν κανόνων.

NOTÆ

(24-25) Exstat edictum l. un. C. *De metrop. Beryto*, lib. XI.

« ρός ἐστι διδαχθῆναι ἡμᾶς παρὰ τῆς συνόδου εἰ A « dum sacram sanctionem pragmaticam jura eccle-
« ἔξεστι κατὰ θεῖον πραγματικὸν, ἀλλοτρίας Ἐκκλη- « siæ alterius, alii rapiant episcopi : sancta synodus
« σίας δίκαια ἑτέρους ἐπισκόπους παραιρεῖσθαι· ἡ « exclamavit : Non licet. Hoc præter canones ad-
« ἁγία σύνοδος ἀνεβόησεν· Οὐκ ἔξεστι. Τοῦτο παρὰ « mittitur. Est etiam lex, quæ hoc ipsum vult,
« τοὺς κανόνας ἐστί. Ἔστι δὲ καὶ νόμος ὁ τοῦτο « his verbis exposita : Pragmaticæ sanctiones, quæ
« βουλόμενος, οὕτω διεξιών· Οἱ τοῖς κανόσιν ἐναν- « canonibus adversantur, irritæ sunt. » Vide, ob-
« τιούμενοι πραγματικοὶ τύποι, ἄκυροί εἰσι. » Καὶ secro, maxime imperator, quomodo per hæc omnia
ὅρα, μέγιστε βασιλεῦ, ὅπως διὰ πάντων τούτων ἀπο- clarissime demonstratum sit, non debere principis
δέδεικται τηλαυγῶς, τὸ μὴ δεῖν αὐθεντεῖν τὸν βασι- in hujusmodi rebus auctoritatem valere, sed eccle
λέα ἐν τοῖς τοιούτοις, κανονικῶς δὲ τὰ ἐκκλησιαστικὰ siastica secundum canones peragi. Ac sunt qui-
διεξάγεσθαι. Εἰσὶ μὲν οὖν καὶ ἄλλοι πολλοὶ κανόνες dem et alii multi canones coronatorum divinitus
τῶν θεοστέπτων ἀποστόλων, καὶ ὑπηρετῶν τοῦ λό- apostolorum, ministrorumque verbi, et secutarum
γου, καὶ τῶν ἐφεξῆς ἁγίων συνόδων, αὐτὰ ταῦτα deinceps sanctarum synodorum, hæc ipsa decla-
διατρανοῦντες, οὓς παραθεῖναι τῷδε τῷ γράμματι, rantes ; quos huic scripto adjungere velle, stolidum
εὐηθες ἔδοξε, καὶ μὴ πόῤῥω φιλοτιμίας ἀνωφελοῦς. visum fuit, nec ab inutili ambitione longe remotum.
Ἱκανῶν γὰρ τῶν προβληθέντων εἰς ἀπόδειξιν ὄντων, B Nam cum ea, quæ producta sunt, ad demonstra-
τί δεῖ καὶ προσεπεξεργάζεσθαι; καὶ τῆς ἀληθείας tionem rei sufficiant, cur amplius laboretur ? et
δυναμένης ἀναλάμψαι, καὶ τοῖς πᾶσι γενέσθαι δῆλης, cum veritas elucere possit, atque omnibus innotescere : non multis opus est verbis. Quippe veritas ad sui patrocinium ipsamet sufficit. Itaque ratione communi, et generaliter hæc dicta sunt. Seorsum vero, et particulatim, etiam aliis quisque munitus est juribus. Nam et is ipse qui certamen hoc universum occepit, et verborum hoc alveare commovit, religiosus, inquam, metropolitanus ille Ancyranus, instrumento munitus est felicis memoriæ principis Ducæ [v], qui episcopatum Basilæi metropolitico jure donavit, quod instrumento sancitur, ut honorem adepti metropolitani morte, dicta : Ecclesia redeat ad statum inferiorem episcopatus cum valde prudenter hunc principem non puduerit lapsum et ignorantiam suam tum palam spectandam exhibere, tum corrigere ; idemque Thessali adolescentis exemplo, et vulnus inflixerit, et benigne humaniterque sanationem agnoverit. Præter hanc bullam auream, munitus est alia quoque filii hujus [x], et imperatoris, quæ priorem confirmat : itemque monumento synodali, quod factis manu propria subscriptionibus est confirmatum ab omnibus tunc viventibus metropolitanis, si paucos demas, quorum et major pars superstes est, universis sententiam canonicam secutis. Alter autem ille pontifex Heracleæ, præter jura communia ; profert ad sui defensionem illud ipsum synodale monumentum, et munitus est aurea bulla, cujus auctor est felicis recordationis imperator Botaniates, qua sancitur, ut illius morte, qui nunc Madyti pontificatum gerit, jus ejus metropoliticum exspiret, ac dicta ecclesia pristino more sub Heracleam redeat. Præter hæc, religiosissimus quoque metropolitanus Patrensis compluribus ac variis munitus est juribus in hoc, ut sibi adjunctos, et minime separatos, individulsosque habeat episcopatus, ecclesiæ suæ a Nicephoro principe, qui ex generali procuratore factus est imperator, attributos

Ἰκανῶν γὰρ τῶν προβληθέντων εἰς ἀπόδειξιν ὄντων, τί δεῖ καὶ προσεπεξεργάζεσθαι; καὶ τῆς ἀληθείας δυναμένης ἀναλάμψαι, καὶ τοῖς πᾶσι γενέσθαι δῆλης, τῶν πολλῶν οὐδαμῶς χρεία. Αὐτάρκης γὰρ εἰς συνηγορίαν ἑαυτῆς ἡ ἀλήθεια. Κοινῷ μὲν οὖν λόγῳ καὶ καθολικῶς ἐλέχθη ταῦτα. Ἰδίᾳ δὲ, καὶ κατὰ μέρος, καὶ ἑτέροις ἕκαστος φράγνυται δικαιώμασιν. Αὐτὸς μὲν γὰρ ὁ καὶ τὸν περὶ τῶν ὅλων συστήσας ἀγῶνα, καὶ τὸ σμῆνος τῶν λόγων κινήσας, τὸν θεοφιλῆ δὲ λέγω μητροπολίτην Ἀγκύρας, ὑπομνήματί τε πέφρακται τοῦ μακαρίτου βασιλέως τοῦ Δούκα, ὅπτις τὴν τοῦ Βασιλείου ἐπισκοπὴν εἰς μητροπολιτικὸν ἀνήγαγε δίκαιον, διοριζομένῳ, τῷ θανάτῳ τοῦ τιμηθέντος μητροπολίτου, εἰς ἐπισκοπὴν κατεσπάσθαι τὴν εἰρημένην ἐκκλησίαν· μὴ ἐπαισχυνθέντος λίαν C νουνεχῶς τοῦ βασιλέως τὸ οἰκεῖον ὀλίσθημα καὶ τὴν ἄγνοιαν καὶ θριαμβεῦσαι, καὶ διορθώσασθαι· ἀλλὰ κατὰ τὸν Θετταλὸν μειρακίσκον, καὶ τρώσαντος, καὶ συμπαθῶς καὶ φιλανθρώπως ἐπεγνωκότος τὴν ἴασιν. Καὶ πρὸς τούτῳ χρυσοβούλλῳ ὥπλισται ἄλλῳ τοῦ υἱοῦ τούτου καὶ βασιλέως, τὸ φθάσαν ὑποστηρίζοντι· καὶ ὑπομνήματι συνοδικῷ, τῶν τότε ζώντων μητροπολιτῶν, ὀλίγων δὲ ὄντων [aa], ταῖς αὐτοχειρίοις ὑποσημασίαις τὸ ἔμπεδον ἀποφέροντι, ὧν καὶ οἱ πλείους περίεισι, στοιχησάντων ἁπάντων τῇ κανονικῇ ἀποφάσει. Ἄτερος δὲ ὁ Ἡρακλείας πρὸς τοῖς κοινοῖς δικαιώμασιν, αὐτό τε τὸ συνοδικὸν ὑπόμνημα προβάλλεται εἰς συνασπισμὸν, καὶ χρυσοβούλλῳ τεθωράκισται, οὗ δημιουργὸς ὁ μακαρίτης βασιλεὺς ὁ Βοτανειάτης, διοριζομένῳ τῇ τελευτῇ τοῦ νυνὶ ἀρχιερατεύοντος, ἐν Μαδύτῳ, τὸ ὑπ' αὐτῷ μητροπολιτικὸν παύεσθαι δίκαιον, καὶ ὑπὸ τὴν Ἡράκλειαν ἐπαναστρέφειν τὴν εἰρημένην Ἐκκλησίαν, ὡς τοπρότερον. Προσεπιτούτοις καὶ ὁ θεοφιλέστατος μητροπολίτης Πατρῶν, πολλοῖς καὶ διαφόροις τετείχισται δικαιώμασιν, εἰς τὸ συμφυεῖς, καὶ ἀτμήτους, καὶ ἀναποσπάστους ἔχειν τὰς τῇ κατ' αὐτὸν ἐκκλησίᾳ δωρηθείσας ἐπισκοπὰς, παρὰ Νικηφόρου βασιλέως τοῦ ἀπὸ γενικῶν, διὰ τὸ ἐν τῇ καταστροφῇ τῶν Ἀβάρων παρὰ τοῦ κορυφαίου τῶν ἀποστόλων καὶ πρωτοκλή-

VARIÆ LECTIONES.

[aa] δεόντων.

[v] *Constantini.* [x] *Michaelis Ducæ.*

ejus miraculi gratia, quod ocularitur factum fuit ab illo eximio primoque vocato apostolo Andrea, in Abarum eversione, qui totis CCXVIII annis Peloponnesum obtinuerant, usque adeo ab imperio Romano avulsi, ut nemo Romanus in Peloponnesum vel pedem inferre posset; tunc autem unius horæ spatio fuerunt exterminati per solam apparitionem hujus primo vocati apostoli, et ipsa regio tota Romanis restituta sceptris.

Ac primum quidem profert auream bullam indicati principis, qui et hanc ipsam sanctissimam Patrensem Ecclesiam ex archiepiscopatu ad metropolis gloriam evexit ob illius eximii prodigium apostoli, quæ diximus; et tres episcopatus ei largitus est, Methonensem, Lacedæmonium, et Sarsocoronensem: deinde alteram huic consonam, Leonis et Alexandri augustorum: ac tertiam Romani, Christophori, et Constantini, reliquarum vestigiis inhærentem; itemque præter has aliam, Nicephori Phocæ: quintam denique Botaniatæ illius, qui paulo ante rerum potitus fuit, quæ recensitæ omnes obsignantur. Neocæsariensis quoque similiter monumento domini Michaelis patriarchæ, beatæ memoriæ nititur; et aurea bulla domini Michaelis Ducæ. Inveniuntur et acta, quæ tradunt quod episcopatus, quicunque ad metropolium dignitatem provehendi erant, non aliter id assequebantur; nisi publicæ utilitatis id suaderet ratio, et synodus assentiretur, et ecclesiæ honorem accepturæ metropolitanus remunerationes se dignas ex imperatoris manu consecutus, ea quæ gererentur, approbaret. Tot igitur atque talia cum adminicula sint, tam universis communia, quam singulis peculiaria: mihi sane, meique similibus videtur, humanissime princeps, esse factum hujus modi et iniquum et enorme, contraque sacros canones, et decretis spiritualibus ac legibus adversum: nec satis habere virium, quæ ab adversaria parte opponantur. Nam neque sacra pragmatica sanctio, veluti superius est declaratum, adversus divinos canones valebit: neque condemnatio, quæ contra leges canones tendit, laudabilis esse poterit. Quamvis enim scriptum a constituta divinitus majestate tua subnotatum, artificiose atque oratorie factum est, ac vulgo fidem mereri videtur: non tamen et leges atque canones evertere potest, et veritatem succutere. Nam argutatio et ratiocinationes, ex iis sumptæ, quæ hominum opinioni consentaneæ videntur, cum non sint; longe absunt a vero atque scientia. Nec longa consuetudo efficiet unquam, ut id, quod ab initio subsistere non potuit, locum habeat. Tunc enim longa quoque consuetudo vim legis obtinet, quando præterquam quod curatione non pugnat, nec legem everti. At cum hoc modo sacri canones evertantur, quanam ratione consuetudo, quæ sic irrepsit, admittetur? Nam audi legis verba « : Quod non cum ratione introductum est, sed per errorem et consuetudinem obtinuit in similibus valere non debet.»

του Ἀνδρέου ὀφθαλμοφανῶς γενόμενον θαῦμα, ἐπὶ διακοσίοις δεκαοκτὼ χρόνοις ὅλοις κατασχόντων τὴν Πελοπόννησον, καὶ τῆς Ῥωμαϊκῆς ἀρχῆς ἀποτεμομένων, ὡς μηδὲ πόδα βαλεῖν ὅλως δύνασθαι ἐν αὐτῇ Ῥωμαῖον ἄνδρα· ἐν μιᾷ δὲ ὥρᾳ τούτων μὲν ἀφανισθέντων ἐκ μόνης ἐπιφανείας τοῦ πρωτοκλήτου, τῆς δὲ χώρας ἁπάσης τοῖς Ῥωμαίοις σκήπτροις ἐπανελθούσης.

Καὶ πρῶτον μὲν προβάλλεται τὸ τοῦ ῥηθέντος βασιλέως χρυσόβουλλον, τοῦ καὶ τὴν αὐτὴν ἁγιωτάτην ἐκκλησίαν Πατρῶν, ἐξ ἀρχιεπισκοπῆς εἰς μητροπόλεως δόξαν ἀναγαγόντος, διὰ τὸ ῥηθὲν τεράστιον τοῦ κορυφαίου, καὶ τρισὶν ἐπισκοπαῖς αὐτὴν δωρησαμένου, τῇ Μεθώνῃ, τῇ Λακεδαίμονι, καὶ τῇ Σαρσοκορώνῃ· καὶ ἕτερον τούτῳ συνᾴδον, Λέοντος καὶ Ἀλεξάνδρου τῶν βασιλέων· καὶ τρίτον Ῥωμανοῦ, Χριστοφόρου, καὶ Κωνσταντίνου, κατ' ἴχνος τοῖς ἄλλοις βαῖνον· καὶ ἄλλο ἐπὶ τούτοις, Νικηφόρου τοῦ Φωκᾶ· καὶ πέμπτον ἐπὶ τούτοις, τοῦ πρὸ μικροῦ βεβασιλευκότος τοῦ Βοτανειάτου, τοὺς εἰρημένους πάντας ἐπισφραγίζοντος. Καὶ ὁ Νεοκαισαρείας δὲ ἐστήρικται ὁμοίως ὑπομνήματι τοῦ ἐν μακαρίᾳ τῇ λήξει πατριάρχου, κυροῦ Μιχαὴλ, καὶ χρυσοβούλλῳ κυροῦ Μιχαὴλ τοῦ Δούκα. Εὑρίσκονται δὲ καὶ πράξεις διαγορεύουσαι, ὅτι περ ὅσοι τῶν ἐπισκοπῶν εἰς μητροπόλεων ἔμελλον ἀναβιβασθῆναι κλέος, οὐκ ἄλλως τούτου ἐπέτυχον, εἰ μὴ κοινωφελὴς προὔκειτο οἰκονομία, καὶ ἡ σύνοδος κατεδέξατο, καὶ ὁ μητροπολίτης τῆς μελλούσης τιμηθῆναι ἐκκλησίας ἀντιδόσεις ἀξίας εἰληφὼς τῆς βασιλικῆς δεξιᾶς, τοῖς πραττομένοις συνῄνεσε. Τοσούτων τοίνυν ὄντων βοηθημάτων, καὶ κοινῶν τοῖς πᾶσι, καὶ τῶν καθέκαστον ἰδίων, ἐμοί τε καὶ τοῖς ὁμοίοις δοκεῖ, φιλανθρωπότατε βασιλεῦ, παράνομον εἶναι καὶ ἄῤῥυθμον τὴν τοιαύτην πρᾶξιν, καὶ τῶν ἱερῶν κανόνων ἀπεναντίαν, καὶ τοῖς πνευματικοῖς ὅροις καὶ νόμοις ἀντίθετον, καὶ οὐχ ἱκανὰ τὰ παρὰ τοῦ ἀντιῤῥόπου μέρους ἀντιτιθέμενα. Οὔτε γὰρ πραγματικὸς θεῖος τύπος κατὰ τῶν θείων κανόνων ἰσχύσει, ὡς ἄνωθεν διατετράνωται, οὔτε μὴν καταδίκη, ὁμόσε νόμων καὶ κανόνων χωροῦσα, ἐπαινετή. Εἰ γὰρ καὶ τὸ σημείωμα τῆς ἐκ Θεοῦ βασιλείας σου, τεχνικῶς καὶ ῥητορικῶς κατεσκεύασται, καὶ πιθανὸν δοκεῖ τοῖς πολλοῖς· ἀλλ' οὕπω καὶ δυνατὸν, νόμους ἀνελεῖν καὶ κανόνας, καὶ τὴν ἀλήθειαν κατασεῖσαι. Σοφιστεία γὰρ, καὶ συλλογισμοὶ, ἐκ φαινομένων ἐνδόξων, μὴ ὄντων δὲ, πόῤῥω τοῦ ὄντος καὶ ἐπιστήμης εἰσίν. Ἀλλ' οὐδὲ μακρὰ συνήθεια, τὸ ἀπαρχῆς ἀνυπόστατον, εἰς ὑπόστασιν ἄξει ποτέ. Τότε γὰρ καὶ ἡ μακρὰ συνήθεια οὐδὲν ἧττον νόμου κρατεῖ, ὅταν πρὸς τῷ μὴ ἀλόγιστος εἶναι, καὶ νόμον οὐκ ἀναιρῇ. Ὧδε δὲ τῶν θείων ἀνατρεπομένων κανόνων, ποίῳ λογισμῷ συνήθεια λαμβάνουσα παρείσδυσιν προσδεχθήσεται; Ἀκούσῃ γὰρ τοῦ νόμου λέγοντος· «Τὸ μὴ μετὰ λογισμοῦ εἰσενεχθὲν, ἀλλὰ κατὰ πλάνην καὶ συνήθειαν κρατῆσαν, οὐ δεῖ κρατεῖν ἐν τοῖς ὁμοίοις.» Οὐκ ἀγνοοῦμεν δὲ καὶ τὰ παρ' ἐνίων προσφερόμενα πικρὰ ῥήματα τὰ σπουδάζοντα δωρεὰν ἀποδεικνύειν βασιλικὴν, τὴν

τῶν Ἐκκλησιῶν ἐπανάβασιν· καὶ μὴ δεῖν φάσκοντα ταύτην ἀνατρέπεσθαι, λόγου ἀχαριστείας μὴ παρεμπίπτοντος. Εἰ γὰρ ἀνθρώπῳ, φησὶ, δωρούμενος ὁ βασιλεὺς, οὐκ ἄλλως ἀναλαμβάνει τὴν δωρεὰν, εἰ μὴ ἀχαριστίας παρεμπέσοι λόγος, πολλῷ μᾶλλον ἐπὶ τῶν ἁγίων Ἐκκλησιῶν, ἐφ' ὧν ἀχαριστίαν λέγειν, οὐκ εὔλογον. Πρῶτον μὲν γὰρ πρὸς τὰς πόλεις, οὐ πρὸς τὰς ἐκκλησίας ἡ βασιλικὴ δωρεά. Εἰ δὲ καὶ θείη τις τοῦτο βιαζόμενος δωρεὰν εἶναι, ἄδικον αὐτὴν εὑρήσει, καὶ νόμοις ἀπρόσδεκτον. Οὗτοι γὰρ κωλύουσι καὶ τὰς ἀδίκους αἰτήσεις, καὶ τὰς προχείρους εὐεργεσίας, εἰς ἄλλων βλάβην αἰτουμένας, χαρίζεσθαι. Καὶ ἔτι, οὐκ ὀφείλουσιν ἑτέροις εἶναι ἐπιζήμιοι αἱ ἑτέρων τιμαί.

A Neque vero ignoramus acerba isthæc verba, quæ a nonnullis proferuntur quibus probare nituntur, ecclesiarum ad altiora provectionem, munus esse imperatorium; quod rescindendum negant ratione ingratitudinis non interveniente. Nam si homini largiens aliquid imperator, inquiunt, non aliter beneficium suum revocat, nisi causa ingratitudinis inciderit, multo magis id locum habet in sacris sanctis ecclesiis, quas ingratitudinis insimulare velle, absurdum fuerit. Etenim primum non ad ecclesias, sed ad civitates hoc imperatorium beneficium spectat. Quod si maxime quis ponat, per vim extorquens, esse donationem. Reperiet injustam, et legibus vetitam. Quippe leges prohibent injustas preces, ac faciles donationes, in aliorum petitas detrimentum, concedi. Præterea non debent aliorum honores aliis esse damnosi.

Τῆς ὑποθέσεως οὖν οὕτως ἐπιμελῶς ζητηθείσης, χρειὼν πάντως, θεσπέσιε βασιλεῦ, τὴν ἀλόγιστον ταύτην καὶ ἄδικον πρᾶξιν τέως εἰς τὴν ἐξῆς ἀνακόψαι, θείων θεσπισμάτων ἐκτιθεμένων παρὰ τῆς σῆς ἡμερότητος, γίνεσθαι ταύτην τουλοιποῦ κωλυόντων καθάπαξ· τῶν προηγησαμένων δὲ προσήκουσαν καὶ κατάλληλον τῇ μεγαλεπηβόλῳ συνέσει σου, ποιῆσαι οἰκονομίαν. Καὶ ὅσαι τῶν ἐκκλησιῶν ἐξ ἐπισκοπικῶν δικαίων εἰς ὑπεροχὴν μητροπόλεων ἀναχθεῖσαι, ὑπερήλασαν ἀδιακόπως καὶ τὴν χρονίαν παραγραφὴν τῆς τριακονταετηρίδος, μενέτωσαν ἐπὶ σχήματος, καὶ τῇ ἁγίᾳ καὶ μεγάλῃ τοῦ Θεοῦ Ἐκκλησίᾳ ἑστωσαν ὑποκείμεναι. Ἐπειδὴ καὶ τοῦτο προνόμιον ἐπισκοπικὸν, καὶ κανόνες εἰσὶν ἐπιτρέποντες, δεσπόζειν ἐπίσκοπον προνομίου ἑτέρας Ἐκκλησίας διὰ παραδρομῆς τῶν εἰρημένων ἐνιαυτῶν. Φησὶ γὰρ ὁ ιζ' κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου, τὰς καθ' ἑκάστην ἐκκλησίαν ἀγροικικὰς παροικίας, ἢ ἐγχωρίους, μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς ἐπισκόποις, καὶ μάλιστα, εἰ τριακονταετῆ χρόνον ταύτας ἀδιάστως διακατέχοντες ὠκονόμησαν. Εἰ δὲ ἐντὸς τῶν τριάκοντα ἐνιαυτῶν γένηταί τις ἢ γένοιτο περὶ αὐτῶν ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἠδικῆσθαι, περὶ τούτων κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας. Ὧ τινι θείῳ κανόνι καὶ ἡ ἐν τῷ Τρούλλῳ τοῦ παλατίου συστᾶσα ἁγία σύνοδος διὰ τοῦ κε' κανόνος ἐπηκολούθησε. Τὰς δὲ τοῦτο παθούσας, μηδὲ χρόνῳ βοηθουμένας, ἐπαναστρέφειν ἀναμφιλέκτως εἰς τὰ τῶν οἰκείων μητροπόλεων δίκαια. Μὴ ταραττέτω δὲ τὴν κραταιὰν καὶ ἁγίαν βασιλείαν σου, τὸ κατὰ φαντασίαν παρεισαγόμενον ἄτοπον, καὶ ἡ δοκοῦσα προσγίνεσθαι ταῖς ἐκκλησίαις ὕβρις, ἀτιμαζομέναις ὥσπερ τῷ ὑφαιρεῖσθαι τοῦ μητροπολιτικοῦ ἀξιώματος.

B Quapropter hac causa tam diligenter examinata, oportet omnino, divine imperator, morem absurdum et injustum saltem in posterum abolere, sacras mansuetudine tua sanctiones proponente, quibus edicatur in universum, ne deinceps locum habeat: ac de iis, quæ ante hac contigerunt, pro sua singulari et heroica prudentia, disponente. Quotquot etiam ecclesiæ jus episcopale prius habentes, et ad eminentiam metropoliticam evectæ, citra inter turbationem ullam præteriere terminum longæ præscriptionis annorum triginta: in eadem conditione maneant, et sanctæ magnæque Dei Ecclesiæ subditæ sint. Quandoquidem hoc etiam episcopale privilegium est, et exstant canones, qui permittunt, ut episcopus alterius ecclesiæ C prærogativam dictorum annorum decursu sibi vindicet. Inquit enim canon XVII synodi Chalcedonensis, rurales vel provinciales parœcias singularum ecclesiarum inconcussas in eorum episcoporum potestatem manere, qui eas possideant: ac præsertim, si eas annorum triginta spatio, nulla interveniente vi, possidentes, administrarint. Si vero intra illos annos 30 vel inciderit, vel incidat aliqua de eis dubitatio; licere dicentibus, se passos injuriam, ut de his apud synodum provincialem agant. Quem sacrum canonem sancta quoque synodus in Trullo palatii habita, canone XXV est secuta. Quibus autem hoc contigerit, si temporis adminiculum nullum habeant; citra contra- D dictionem ad suarum metropolium jura redeant. Neque vero præpotentem sanctamque majestatem tuam ea turbet absurditas, quæ specie tenus prætenditur, nec contumelia, quæ videtur Ecclesiis irrogari; cum infamia quasi notari videantur, dum metropolica dignitas ei adimitur.

Οὐκ ἔστι γὰρ τοῦτο ὕβρις, τὸ ὑφαιρεῖσθαι ἐνθέσμως· τοὐναντίον δὲ μᾶλλον τὸ ἕτερον, τὸ ἐκφύλως καὶ ἐκθέσμως γινόμενον. Εὑρέθη γάρ τι καὶ τοιοῦτον γενόμενον κρίσει συνοδικῇ, καὶ ἐπικρίσει βασιλικῇ κυρωθέν. Τῆς γὰρ ἐπισκοπῆς τοῦ Ῥοιζαίου ὑπὸ τὸν Καισαρείας τελούσης, καὶ ἀρχιεπισκοπῆς γενομένης παρὰ Γερμανοῦ τοῦ ὁμολογητοῦ καὶ πατριάρχου, καὶ τοῦ ἐπ' ἐκείνου βασιλεύοντος, χρόνοις

Non enim probrum est legitime quidpiam amittere: sed e contrario potius illud alterum, quod more novo, et præter leges committitur. Et deprehensum est aliquid tale factum de sententia synodali, et imperatorio decreto corroboratum. Nam cum episcopatus Rhœzæi sub Cæsareæ pontifice fit, et archiepiscopatus fuisset a Germano, confessore ac patriarcha; subque principe qui Germani

tempore præfuit imperio : ducentis post annis, sub celebri patriarcha Theophylacto, jussu Romani senioris imperatoris, preces offerente Nicephoro quodam, pastore principe Neocæsariensi, constitutum est tribunal mistum ex pontificibus, et doctis viris senatoriis, eodem patriarcha, quem diximus, præsidente. Quo in judicio secundum metropolitanum est pronuntiatum. Hoc manifesto paret ex illorum subnotatione, qui de causa cognoverunt ; deque monumento dicti patriarchæ, et aurea bulla imperatorum, Romani, Christophori, et Constantini obsignante judicata. Nec abs re quidem benigne imperator. Nam quod factum est male, corrigendum est bene. Sic equidem sentio. Sic pronuntio, doctrinis a majoribus quasi per manus acceptis sanctorum afflatorumque divinitus Patrum insistens, et sacrosanctos canones sequens. Nec enim sanctum, nec justum duco ; quod juste sancteque factum non est. Non etiam multorum opiniones metuo, qui me volunt concessæ mihi divinitus Ecclesiæ privilegiorum rationem habere, nec ea vel negligere, vel temere prodere. Non enim hoc pontificum est, ut necessario putent ecclesiæ suæ privilegia sibi citra discrimen tuenda, tam justa, quam injusta : sed quæ justa sunt, inviolabilia præstare debent ; injustis vero cedere. Nam qui sermonem veritatis recte secare de doctrinis sermonis Dei Servatorisque nostri Jesu Christi, qui veritas ipsa est, omnino jussi sumus, non plane apud Deum experies erimus culpæ. si ob animi nostri affectum hæc lucra sectabimur. Ac nos quidem, a quibus necessario flagitatur, ut divinis præceptis et traditionibus Patrum, nihil ducamus antiquius, sed ea pro viribus nostris illibata servemus ; sic et sentimus, et decernimus. Velim vero, tua quoque pia serenissimaque majestas rem consideret, quodque facto fuerit opus, faciat : atque hoc modo majestas tua id, quod omnino et reprehensionis et scandali expers erit, tam ipsius Dei, quam sacrorum canonum respectu, servet.

διακοσίοις ὕστερον, ἐπὶ Θεοφυλάκτου τοῦ ἁγιωτάτου πατριάρχου, κελεύσει βασιλέως Ῥωμανοῦ τοῦ πρεσβυτέρου, ἐξ αἰτήσεως Νικηφόρου τινός, ποιμενάρχου Νεοκαισαρείας τυγχάνοντος, δικαστήριον ἀνέστη συμμιγὲς, ἔκ τε ἀρχιερέων, καὶ ἐλλογίμων συγκλητικῶν, προκαθημένου καὶ αὐτοῦ τοῦ εἰρηνεύου πατριάρχου. Καὶ ἡ νικῶσα τῷ μητροπολίτῃ ἐδόθη· παρίστησι τοῦτο τρανῶς, τὸ τῶν δικαιωσάντων σημείωμα, καὶ ὑπόμνημα τοῦ ῥηθέντος πατριάρχου, καὶ χρυσόβουλλος λόγος τῶν βασιλέων, Ῥωμανοῦ, Χριστοφόρου, καὶ Κωνσταντίνου, ἐπισφραγίζων τὰ κεκριμένα. Καὶ εἰκότως, φιλάγαθε βασιλεῦ. Τὸ γὰρ κακῶς γενόμενον, δέον διορθωθῆναι καλῶς. Οὕτω φρονῶ. Οὕτως ἀποφαίνομαι, ταῖς πατροπαραδότοις διδασκαλίαις τῶν ἁγίων θεοφόρων Πατέρων ἑπόμενος, καὶ τοῖς ἱεροῖς καὶ θείοις κανόσι στοιχῶν. Οὐ γὰρ ὅσιον, οὐδὲ δίκαιον ἡγημαι, τὸ μὴ δικαίως τι καὶ ὁσίως γενόμενον· οὐκοῦν οὐδὲ πέφρικα τὰς τῶν πολλῶν ὑπολήψεις, ἀξιούντων με τῶν τῆς ἐκ Θεοῦ δεδομένης μοι ἐκκλησίας ἀντιποιεῖσθαι καὶ μὴ καταμελεῖν προνομίων, καὶ εὐκόλως ταῦτα προΐεσθαι. Οὐ γάρ ἐστι τῶν ἀρχιερέων, ὡς ἐπάναγκες εἶναι τῶν τῆς οἰκείας ἐκκλησίας προνομίων ἀδιαφόρως ἀντέχεσθαι, δικαίων τε ἅμα καὶ ἀδίκων· ἀλλὰ τὰ μὲν δίκαια φυλάττειν ἀλώβητα, τῶν δὲ ἀδίκων ὑπεκχωρεῖν καὶ ἐξίστασθαι. Οἱ γὰρ τὸν τῆς ἀληθείας λόγον ὀρθοτομεῖν ἐκ τῶν διδαγμάτων τῆς αὐτοαληθείας τοῦ Λόγου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καθάπαξ κεκελευσμένοι, οὐκ ἀναίτιοι πάντως ἐσόμεθα τῷ Θεῷ, εἰ προὔργου ταῦτα διὰ πάθος τὰ κέρδη ποιήσομεν. Καὶ ἡμεῖς μὲν μηδὲν προτιμότερον τῶν θείων ἐντολῶν καὶ τῶν Πατρικῶν παραδόσεων ποιεῖν ἐξανάγκης ὀφείλοντες, ἀλλ' ἀμετάπτωτα ταῦτα φυλάττειν, ὡς δύναμις, οὕτω καὶ νοοῦμεν καὶ ὁριζόμεθα. Σκοπησάτω δὲ καὶ τὸ εὐσεβὲς καὶ παγγάληνον κράτος σου, καὶ οἰκονομησάτω τὸ δέον· καὶ ὃ πάντως ἄμεμπτον, καὶ ἀπρόσκοπον, καὶ πρὸς Θεὸν αὐτὸν, καὶ πρὸς τοὺς ἱεροὺς κανόνας, διαφυλάξοι ἡ βασιλεία σου.

LUCÆ (25).

Ne clerici auferant ea, quæ ad ecclesias vel episcopos morientes pertinent.

Mensis Martii die x, feria ı, præsidente sanctissimo domino nostro et universali patriarcha, domino Luca, in dextris Alexiacis catechumeniis, assidentibus in concilio magnæ ipsius sanctitati sacratissimis pontificibus Cæsariensi, Heracliensi, Amasiensi, Melitenæ, Thessalonicensi, Neocæsariensi, Myrensi, Mocisso, Cretensi, Trajanopolitano, Hierapolitano, Æni, Dristræ, Nazianzeno, Abydeno, Milesio, Selybriæ, Bizyæ, Maroneæ, Parii, Cii, Apro, Nicæ, Gothiæ, Metrachorum,

ΛΟΥΚΑ.

Περὶ τοῦ μὴ ἁρπάζεσθαι τοὺς κληρικοὺς τὰ ταῖς ἐκκλησίαις, ἢ ἐπισκόποις τελευτῶσιν ἀνήκοντα.

Μηνὶ Μαρτ.φ ι', ἡμέρᾳ β', προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Λουκᾶ, ἐν τοῖς δεξιοῖς Ἀλεξιακοῖς κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, τοῦ Καισαρείας, τοῦ Ἡρακλείας, τοῦ Ἀμασείας, τοῦ Μελιτηνῆς, τοῦ Θεσσαλονίκης, τοῦ Νεοκαισαρείας, τοῦ Μύρων, τοῦ Μωκισσοῦ, τοῦ Κρήτης, τοῦ Τραϊανουπόλεως, τοῦ Ἱεραπόλεως, τοῦ Αἴνου, τοῦ Δρίστρας, τοῦ Ναζιανζοῦ, τοῦ Ἀβύδου, τοῦ Μιλήτου, τοῦ Σηλυβρίας, τοῦ

NOTÆ.

(25) Cognomento *Chrysobergis*, de cujus ætate lib. præcedente dictum (*col.* 769).

Βιζύης, τοῦ Μαρωνείας, τοῦ Παρίου, τοῦ Κίου, τοῦ Ἄπρω, τοῦ Νίκης, τοῦ Γοτθίας, τοῦ Ματράχων, τοῦ Σουγδοφούλλων, καὶ τοῦ τῶν Ἡρακλέος· παριστα- A μένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

Sugdophullorum, et ··· Herculis : astantibus et religiosissimis dominicis magistratibus γ.

Ὁ ἱερώτατος ἀρχιεπίσκοπος τῆς μητροπόλεως Θεσσαλονίκης Κωνσταντῖνος περιηχήθη, ὅτι τὰ τῆς λαχούσης αὐτὸν μητροπόλεως διάφορα πράγματα, οὐχ ἧττον δὲ καὶ τὰ τῷ πρὸ αὐτοῦ μητροπολίτῃ ἀνήκοντα, ἀφήρπασάν τινες τῶν ὑπ' αὐτὸν κληρικῶν. Καὶ ἤρετο συνοδικῶς προκαθημένης τῆς ἡμῶν μετριότητος, τί ἄρα μέλλει διαπράξεσθαι ἐπὶ τοῖς οὕτω παραλόγως εἰς τὴν τοιαύτην πρᾶξιν ἐξενεχθεῖσι. Καὶ ἤκουσεν, ὡς ἐπεὶ ἀπὸ διαφόρων κανόνων καὶ νόμων, ὧν καὶ ὁ λόγος κατωτέρω μνησθήσεται, οἱ τοιαῦτα πράττοντες εὐθύναις προσηκούσαις ὑπόκεινται, καὶ οἱ τῆς κατ' αὐτὸν Ἐκκλησίας κληρικοί, B μετὰ ἐξέτασιν ἀκριβῆ, καὶ τῆς ἀληθείας διάγνωσιν, τοιαύταις πράξεσιν εὑρεθησόμενοι ἔνοχοι, κατὰ τὴν τῶν τοιούτων νόμων καὶ κανόνων περίληψιν, εὐθυνθήσονται. Οἱ δὲ κανόνες καὶ οἱ νόμοι, οἱ τοὺς τὰ τοιαῦτα πράττοντας εὐθύνοντες, ἔχουσιν οὕτως·

Sanctissimus archiepiscopus metropolis Thessalonicensis Constantinus indigne se ferre clamabat, quod diversas metropolis suæ res, itidemque pertinentes ad metropolitanum decessorem suum, clerici quidam sibi subditi diripuissent. Et interrogabat in synodo, præsidente mediocritate nostra, quid agendum esset in eos, qui tam nequiter ad ejus modi facinus exorbitassent. Responsum est quod, cum ex diversis canonibus et legibus, quarum inferius in hoc scripto fiet mentio, talia committentes convenientibus pœnis obnoxii sint; etiam Thessalonicensis Ecclesiæ clerici, accurato prius examine habito, et veritate cognita, si talibus facinoribus obnoxii reperiantur, prout ejusmodi legibus et canonibus contineatur, rei peragendi sint; canonum vero, et legum, quarum pœnas incurrunt hujusmodi facinorum auctores, hæc est sententia.

Κανὼν οβ' τῶν ἁγίων ἀποστόλων· Εἴ τις κληρικὸς ἢ λαϊκὸς ἀπὸ τῆς ἁγίας ἐκκλησίας ἀφέληται κηρὸν ἢ ἔλαιον, ἀφοριζέσθω· καὶ τὸ ἐπίπεμπτον προστιθέσθω μεθ' οὗ ἔλαβεν.

Canon LXXII sanctorum apostolorum : Si quis clericus aut laicus ex sancta ecclesia ceram abstulerit, vel oleum segregator; et præter id, quod accepit, sesquiquintum adjiciat.

Τῆς ἐν Γάγγρᾳ συνόδου κανὼν ζ'· Εἴ τις τὰς καρποφορίας τὰς ἐκκλησιαστικὰς ἐθέλοι λαμβάνειν, ἢ διδόναι ἔξω τῆς ἐκκλησίας, παρὰ γνώμην τοῦ ἐπισκόπου, ἢ τοῦ ἐγκεχειρισμένου τὰ τοιαῦτα, καὶ μὴ C μετὰ γνώμης αὐτοῦ ἐθέλοι πράττειν, ἀνάθεμα ἔστω.

Canon VII synodi Gangrensis : Si quis fructus ecclesiasticos accipere voluerit, aut dare extra ecclesiam, præter sententiam episcopi, vel ejus, qui talia commissa sunt, nec agere cum illius voluntate velit : anathema sit.

Τῆς ἐν Χαλκηδόνι συνόδου κανὼν β'· Μὴ ἐξεῖναι κληρικῷ, μετὰ θάνατον τοῦ ἰδίου ἐπισκόπου, διαρπάζειν τὰ διαφέροντα αὐτῷ πράγματα, καθὼς καὶ τοῖς πάλαι κανόσιν ἀπηγόρευται. Ἢ τοὺς τοῦτο ποιοῦντας, κινδυνεύειν εἰς τοὺς ἰδίου; βαθμούς.

Canon II synodi Chalcedonensis. Non liceat clerico, post mortem episcopi sui, res ad eum pertinentes deripere : quemadmodum priscis quoque canonibus est prohibitum. Vel qui hoc faciunt, de gradu suo periclitentur.

Τῆς ἐν Κωνσταντινουπόλει ἐν τῷ Τρούλλῳ τοῦ παλατίου συνόδου κανὼν λε'· Μὴ ἐξέστω τινὶ τῶν μητροπολιτῶν, τελευτῶντος ἐπισκόπου τελοῦντος ὑπὸ τὸν κατ' αὐτὸν θρόνον, τὰ αὐτοῦ πράγματα ἢ τῆς κατ' αὐτὸν Ἐκκλησίας, ἁφαιρεῖσθαι ἢ σφετερίζεσθαι· ἀλλ' ὑπὸ παραφυλακὴν ἔστωσαν τοῦ κλήρου τῆς Ἐκκλησίας, ἧς ὁ τελευτήσας ἐτύγχανε πρόεδρος, μέχρι τῆς ἑτέρου ἐπισκόπου προβολῆς· ἐκτὸς, D εἰ μὴ κληρικοὶ ἐν τῇ ἐκκλησίᾳ οὐχ ὑπελείφθησαν. Τηνικαῦτα γὰρ ὁ μητροπολίτης ταῦτα φυλάξει ἀμείωτα, τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ πάντα ἀποδοῦς.

Canon XXXV synodi Constantinopolitanæ, in Trullo palatii celebratæ. Non liceat alicui metropolitano, cum episcopus throno suo subditus moritur, ejus res atque bona, vel etiam ecclesiæ ipsius, auferre, sibive vindicare : sed sub ejus ecclesiæ cleri custodia sint, cujus is præses erat, qui diem oblit; donec alius episcopus præficiatur : excepto, si nulli sint in ea ecclesia clerici superstites. Tunc enim metropolitanus ea non deminuta servabit, ac ordinando episcopo universa restituet.

Βιβλίον ξ', τίτλος με', κεφάλαιον α', θεμάτιον β'· Τὸ δὲ πεκουλάτους κινεῖται κατὰ τοῦ ἀφελομένου ἐκ τῶν ἱερῶν, ἢ μνημείων, ἢ δημοσίων χρημάτων, ἢ στρέψαντος εἰς ἰδίας χρείας.

Liber Basilicorum LX, titulo XLV, capite I, thematio II. Crimen peculatus intentatur ei, qui surripit e templis, aut sepulcris, aut pecuniis publicis, vel eas in usus suos convertit.

Καὶ κεφ. δ', τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου· Τῷ δὲ πεκουλάτους ὑπόκειται, καὶ ὁ ἱερὰ, ἢ ἐκ μνημείου χρήματα λαμβάνων, ἢ τὸ δωρηθὲν Θεῷ.

Item cap. IV, ejusdem tituli et libri : Crimine peculatus tenetur, et qui sacras, vel ex sepulcro pecunias, vel Deo dicatum quid accipit.

VARIÆ LECTIONES.

γ *officialibus.*

GEORGII XIPHILINI (26).

De juribus territoriorum.

Mensis Februarii die IV, feria II indictione XV, præsidente sanctissimo domino nostro, et universali patriarcha, domino Georgio, in Thessalo, assidentibus in concilio magnæ ipsius sanctitati sacratissimis pontificibus, Stephano Amaseno, Joanne Melitenæ, Michaele Tyanensi, Theodoro Gangrensi, Euphemiano Philippopolitano, Theophane Madytensi, Theodoro Abydeno, Romano Aproico, Manuele Philadelphiensi et Protosyncello, Constantino Pyrgii, Joanne Cii, Georgio Nicensi, Basilio Lemnio, Joanne Anchialino, Gregorio Dercoo, astantibus et reverendissimis dominicis magistratibus.

Comparens hodierno die coram mediocritate nostra synodaliter præsidente religiosus episcopus Limnæ Michael, hujusmodi proposuit quæstionem. Mansiones quædam, inquit, et oratoria, condita sunt ab initio sub stauropegis patriarchalibus. Ad ea pertinent possessiones quædam immobiles, sitæ in episcopatus sanctitatis meæ territorio. Et qui habitant ad ea sacerdotes, neque nomen meum referunt, cum sacra peraguntur, et in aliis divinis hymnorum carminibus; neque dant mihi canonicum illud, quod ex more pontificibus universis solvitur. Simul obsecrabat, ut ad hæc sibi responsum a nobis daretur. Et audivit a mediocritate nostra, et sacrosancta synodo, licet ipsæ possessiones immobiles sub aliorum pontificum dominio sint, tamen eos, qui domicilium in eis habeant, sub provinciæ pontificis, veluti qui pastoris jus habeat, gubernatione positos esse. Propterea videri canonicæ subtilitati consentaneum esse, ut nominis ejus pontificis ejus relatio, qui provinciæ præest, ab iis peragatur, qui in ipsius territorio domicilium habent, eosque ab ipso ceu pastore regendos. Præterea solutionem canonici, quod ex more pontificibus præstatur, ad provincialem episcopum spectare. Nam hoc sanctissimo cujusque temporis patriarchæ Constantinopolis, novæ Romæ, concessum est ut in sitis ubi vis locorum territoriis reverendissimi nominis ejus fiat relatio, tam in mansionibus, quam sacris oratoriis, quæ sub stauropegiis patriarchalibus ab initio et ipsis a fundamentis condita fuerunt. Non hæc vero solum, sed etiam sacræ venerabilesque domus, itidemque monasteria, quæ de fundamentis exstructa sunt quocunque in territorio, sub jure pontificis alterius sito, siquidem sub stauropegio patriarchali ab initio condi ceperunt; in iis illius sanctissimi et universalis patriarchæ, qui pro tempore præest, nomen referetur. Sin eorum structura non eo processit modo, plane pontifex is, qui pro tempore gubernationi præerit, in eis referetur, canonici quoque præstationem

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΞΙΦΙΛΙΝΟΥ.

Περὶ ἐνοριακῶν δικαίων.

Μηνὶ Φεβρουαρίῳ δ', ἡμέρᾳ β', ἐπινεμήσεως ιε, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, κυρίου Γεωργίου, ἐν τῷ Θετταλῷ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἀμασείας Στεφάνου, τοῦ Μελιτηνῆς Ἰωάννου, τοῦ Τυάνων Μιχαήλ, τοῦ Γαγγρῶν Θεοδώρου, τοῦ Φιλιππουπόλεως Εὐφημιανοῦ, τοῦ Μαδύτων Θεοφάνους, τοῦ Ἀβύδου Θεοδώρου, τοῦ Ἄπρω Ῥωμανοῦ, τοῦ Φιλαδελφείας καὶ Πρωτοσυγκέλλου Μανουὴλ, τοῦ Πυργίου Κωνσταντίνου, τοῦ Κίου Ἰωάννου, τοῦ Νίκης Γεωργίου, τοῦ Λήμνου Βασιλείου, τοῦ Ἀγχιάλου Ἰωάννου, καὶ τοῦ Δέρκω Γρηγορίου, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

Παραστὰς τὴν σήμερον συνοδικῶς προκαθημένῃ τῇ ἡμῶν μετριότητι ὁ θεοφιλὴς ἐπίσκοπος Λίμνης Μιχαὴλ, τοιαύτην ἐποιήσατο τὴν ἐρώτησιν. Ὅτι μοναί τινες, φησὶ, καὶ εὐκτήριοι οἶκοι, ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς ἐξαρχῆς ἀνηγέρθησαν. Τούτοις κτήσεις ἀκίνητοι διαφέρουσι, διακείμεναι κατὰ τὴν τῆς ἐμῆς ἁγιότητος ἐπισκοπῆς ἐνορίαν. Καὶ οἱ ἐν τούτοις προσκαθήμενοι ἱερεῖς, οὔτε τὸ ἐμὸν ἀναφέρουσιν ὄνομα ἐν ταῖς ἱεραῖς ἁγιστείαις, καὶ ἐν ταῖς ἄλλαις τοῦ Θεοῦ ὑμνῳδίαις, οὔτε μὴν πρὸς ἐμὲ διδόασι τὸ συνήθως πᾶσι τοῖς ἀρχιερεῦσι παρεχόμενον ἐξ ἔθους κανονικόν. Καὶ παρεκλήτευε δοθῆναι αὐτῷ παρ' ἡμῶν ἐπὶ τούτοις ἀπόκρισιν. Καὶ ἤκουσεν ἀπό τε τῆς ἡμῶν μετριότητος, καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου, ὡς αἱ ἀκίνητοι κτήσεις κἂν ὑπὸ ἄλλων ἀρχιερέων δεσποτείαν τελῶσιν, ἀλλ' ὅμως οἱ ἐν αὐταῖς προσκαθήμενοι, ὑπὸ τοῦ κατὰ χώραν ἀρχιερέως ποιμαντικῶς διευθετῶνται καὶ διεξάγονται. Καὶ διαταῦτα κανονικῆς δοκεῖ ἐξέχεσθαι ἀκριβείας, τὸ τὴν ἀναφορὰν τοῦ ὀνόματος τοῦ κατὰ χώραν ἀρχιερέως τελεῖσθαι παρὰ τῶν ἐν τῇ ὑπ' αὐτὸν ἐνορίᾳ προσκαθημένων, καὶ παρ' αὐτοῦ ποιμαντικῶς διεξάγεσθαι. Ἔτι δὲ καὶ τὴν καταβολὴν τοῦ διδομένου συνήθως κανονικοῦ τοῖς ἀρχιερεῦσι, πρὸς τὸν κατὰ χώραν ἐπίσκοπον δίδοσθαι. Τοῦτο γὰρ τῷ κατὰ καιροὺς ἁγιωτάτῳ πατριάρχῃ Κωνσταντινουπόλεως, νέας Ῥώμης ἀπονενέμηται, τὸ ἐν ταῖς ὁπουδήποτε διακειμέναις ἐνορίαις ἀναφορὰν τελεῖσθαι τοῦ τιμιωτάτου ὀνόματος, ἐν μοναῖς τε, καὶ ἱεροῖς εὐκτηρίοις οἴκοις, ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς ἐξ ἀρχῆς καὶ βάθρων αὐτῶν λαβοῦσι τὴν πῆξιν. Οὐ μόνον δὲ, ἀλλὰ καὶ οἱ ἱεροὶ καὶ σεβάσμιοι οἶκοι, εἴτε δὴ καὶ σεμνεῖά τινα ἐξαρχῆς λαβόντα τὴν τῆς οἰκοδομῆς ὑποβάθραν, ὁπουδήποτε ἐνορίας, ὑπὸ ἄλλον τελούσης ἀρχιερέα, εἰ μὲν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἐξαρχῆς τὴν σύστασιν ἔλαβον, τὸ τοῦ κατὰ καιροὺς ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ὄνομα ἐν τοῖς τοιούτοις ἐσεῖται ἀναφερόμενον. Εἰ δὲ ἡ σύμπηξις τῶν τοιούτων οὐχ οὕτω προέβη, πάντως ὁ κατὰ καιροὺς ἀρχιερεὺς ἐν τοῖς τοιούτοις ἐσεῖται ἀναφερόμενος, καὶ τὴν τοῦ κανονικοῦ ἀποφερόμενος

NOTÆ.

(26) Vixit sub Isaaco Angelo et Alexio fratribus Augg.

δόσιν. Ἀλλὰ καὶ οἱ παροικοῦντες ἐν προαστείοις, ὑπὸ ἐνορίαν τελοῦσιν ἀρχιερέως τινὸς, ἃ δεσποτικῶς διαφέρουσιν ἱεροῖς τισι σεμνείοις καὶ εὐκτηρίοις οἴκοις, εἰ μὴ ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς ἀρχῆθεν ἔσχον τὴν σύστασιν. Ταῦτα ἐκ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων παρεκβληθέντα, καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος καὶ ὑπερτίμου, κυρίου Ἰωάννου τοῦ Καματηροῦ βεβαιωθέντα. ἐπεδόθη μηνὶ καὶ ἐπινεμήσει τοῖς προγεγραμμένοις, ἔτους ,ϛψε'.

A sibi vindicans. Quinetiam sub territorio pontificis alicujus degunt ii, qui domicilium habent in suburbanis, quæ jure dominii pertinent ad sacra quædam monasteria, et oratoria; nisi forte ab initio sub stauropegiis patriarchalibus exstructa fuerint. Hæc de diurnis synodalibus adnotationibus excerpta, et per subscriptionem ac sigillum reverendissimi a chartularii et Hypertimi domini Joannis Camateri, confirmata; data sunt mense ac indictione supra scriptis, anno VI CIↃ IↃCCV.

Ἡ ὑπογραφή.

Ἰωάννης χαρτοφύλαξ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, καὶ Ὑπέρτιμος, ὁ Καματηρός.

Subscriptio.

Joannes chartularius sanctissimæ majoris ecclesiæ, et Hypertimus, Camaterus.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΑΜΑΤΗΡΟΥ.

JOANNIS CAMATERI (27).

Συνοδικὸν ψήφισμα, κωλύον τὸν αὐτὸν καὶ ἅμα λαβεῖν εἰς γυναῖκα δισεξαδέλφας δύο· ᾧ καὶ μᾶλλον στοιχεῖν δεῖ, κἂν οἱ πολιτικοὶ δικασταὶ τοῦτο οὐ κωλύουσιν ἐν τῷ ἀκολουθοῦντι ἑξῆς ψηφίσματι.

B *Decretum synodale, quod prohibet unum et eumdem sobrinas duas, uxores ducere: quod magis sequendum licet, judices civiles hunc casum in proxime sequenti decreto non prohibeant.*

Ἰωάννης ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης, τῷ ἐν κυρίῳ ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ, τῷ ἱερωτάτῳ μητροπολίτῃ Δυῤῥαχίου, καὶ ὑπερτίμῳ· καὶ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Δεαβόλεως.

Joannes miseratione Dei archiepiscopus Constantinopolis, novæ Romæ, et universalis patriarcha, dilecto in domino fratri et comministro, sanctissimo et honoratissimo Dyrrachii, metropolitano, itemque religiosissimo episcopo Deabolis.

Ἐν Κυρίῳ ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ, ἱερώτατε μητροπολίτα Δυῤῥαχίου καὶ ὑπέρτιμε, καὶ σὺ θεοφιλέστατε ἐπίσκοπε Δεαβόλεως, ὁ Καπανδρίτης Ἀλέξιος ἐπὶ τοῦ πρὸ ἡμῶν ἁγιωτάτου πατριάρχου παραστὰς τῷ ἱερῷ συνεδρίῳ τῆς καθ' ἡμᾶς ἁγίας συνόδου, κατὰ τὸν Φεβρουάριον μῆνα, τῆς παρελθούσης πρώτης ἐπινεμήσεως, ἀφηγήσατο· ὡς νομίμῳ γάμῳ συνεζύγη τῇ ἀπὸ τοῦ θέματος Δυῤῥαχίου ὁρμωμένῃ Εὐδοκίᾳ, τῇ αὐταδέλφῃ τοῦ πανσεβάστου Σεβαστοῦ, κυροῦ Κωνσταντίνου τοῦ Βοϊωάννου, ἀποβαλούσῃ τὸν πρότερον ὁμευνέτην αὐτῆς, τὸν Δυῤῥαχίτην ἐκεῖνον ἄρχοντα, Βάρδαν τὸν Μακρόμματον· καὶ προέβησαν ἐπ' αὐτῇ καὶ γαμικὰ συνήθη συμβόλαια. Καὶ ἐπὶ τούτοις ἱερὰ εὐχὴ τῆς τε μνηστείας καὶ τοῦ γάμου ἐπεδόθη αὐτῷ· μετὰ δὲ μῆνας ζ' τῆς αὐτῶν τοιαύτης συμβιώσεως, ἐσχηματίσατο ὁ διαληφθεὶς σεβαστὸς ὁ Βωϊάννης, προκαλεῖσθαι αὐτόν τε [καὶ] τὸν Καπανδρίτην, καὶ τὴν αὐτοῦ μὲν κατὰ νόμους γεγονυῖαν σύζυγον, αὐταδέλφην δὲ οὖσαν ἐκείνου, ὡς εἴρηται, εἰς τὴν οἰκίαν αὐτοῦ, συνεστιαθησομένους συγγενικῶς. Προσφοιτησάντων δὲ τούτων τῇ κατοικίᾳ αὐτοῦ, τοῦτον μὲν σιδηροῖς δεσμοῖς κατασφαλισάμενος, ἔμφρουρον εἶχεν, ἀποδιελὼν τῆς τοιαύτης συζύγου αὐτοῦ, προσαφελόμενος καὶ ἃ ἐπεφέρετο οὗτος πράγματα· τὴν δὲ τούτου σύζυγον ἄκουσαν βιασάμενος, ἑτέρῳ ἡρμόσατο. Ταῦτα ἀφηγησάμενος, καὶ σημείωμα ἐνεφάνισέ σου τοῦ θεοφιλεστάτου ἐπισκόπου Δεαβόλεως, δηλοῦν ἐκ συμφώνου ὁμολογίας τῶν Κολωνειατῶν ἀρχόντων, τῶν καὶ κατόνομα ἐν τῷ τοιούτῳ δηλουμένων σημειώματι, ὡς ὁ τοιοῦτος προσγενὴς αὐτῶν ὁ Καπανδρίτης, θανάτῳ ἀποβαλὼν τὴν ἐκ πρώτου συνοικεσίου

Dilecte in domino frater et comminister, sanctissime Dyrrachii metropolitane et hypertime, tuque religiosissime Deabolis episcope, cum Alexius Capandrites sub decessore nostro sanctissimo patriarcha comparuisset coram sacro consessu sanctæ synodi nostræ, mense Februario, præterita prima indictione: narravit se matrimonio legitimo fuisse copulatum Eudociæ, ortæ ex ditione Dyrrachina, sorore germana venerabilis illius Sebasti domini Constantini Boioannis, quæ amiserat priorem consortem suum, præsidem illum Dyrrachitam, Bardam Macrommatum: et hoc nomine confecta fuisse consueta instrumenta matrimonialia. Præterea preces sacras tam sponsalium, quam nuptiarum intervenisse. Verum post septem menses a tali horum vitæ societate, memoratum Sebastum Bojoannem invitasse per simulationem in domum suam tum ipsum Capandritam, tum sororem suam germanam, ceu dictum est, illius conjugem secundum leges factam, velut excipiendos convivio, pro more affinium. Qui cum ad domum ejus accessissent, Boioannem a se quidem vinculis constrictum ferreis in custodiam dedisse, diremptum ab illa conjuge sua, spoliatumque præterea rebus iis, quas secum attulisset: at illam conjugem suam invitam alteri copulasse, vi adhibita. Quibus recensitis etiam instrumentum insinuavit tuum, religiosissimi Deabolis episcopi, quo significabatur ex consentiente magistratuum Coloniatarum confessione, qui et nominatim eo in instrumento exprimebantur, cognatum illum suum Capandritam mortis interventu amissa uxore, quæ primo ipsi

NOTÆ.

(27) Successit Xiphilino, eodem Alexio imperante, captamque Constantinopolim a Flandris vidit.

matrimonio juncta fuerat, copulatum esse secundis nuptiis, nulla interveniente vi, mulieri commemoratæ : prætereaque adorandum edictum imperatorium, quo sanciebatur, siquidem indicata Eudocia nulla intercedente vi, per sacras preces ei copulata fuisset ; ut nemo molestias auderet exhibere dicto Capandritæ. Secundum igitur hæc omnia, synodale tunc instrumentum factum fuit, quo juxta Capandritæ petitionem pronuntiatum est, ac decretum, quid in ea causa esset agendum. Atque huic instrumento synodali etiam productæ (ceu dictum est) a Capandrita chartæ, videlicet adorandum illud edictum imperatorium, et instrumentum abs te, religiosissimo Deabolis episcopo, profectum, ad verbum erant inserta. Quia vero nunc rursum mediocritati nostræ relatum est ex parte mulieris istius, sororis scilicet venerabilis illius Boioannis, quod cum prius legitime junctus ipsi maritus, primicerius ille Bardas Macromatus, naturæ debitum persolvisset ; ipsa quæstoriam verita potestatem, quod talia sæpius in rebus hujusmodi evenire soleant, ad tempus in ditionem Coloniensem migraverit ad cognati cujusdam sui domum, deferens eo secum res suas potiores, et ad transportandum faciliores, quascunque potuisset avehere. Tum Capandritam hunc non paucis armatis hominibus coactis, prædonis in morem advenisse, raptumque sui commisisse, ablatis etiam rebus iis, quas secum habuisset ; atque ita de loco in locum eam transportasse, captivamque traxisse quocunque vellet, cum ne quidem et permitteret aspicere sorores suas germanas ; quæ hoc facto cognito, ad eam quærendam venerant. Hoc modo Capandritam per vim contraque leges ei fuisse copulatum haudquaquam consentienti, tum propter ipsius absurditatem facti, tum quod accurate ipsa nosset sobrinam suam fuisse priorem Capandritæ conjugem, quam morte amiserat. Ideoque ipsam occasione captata, maluisse fuga cohabitationem ejus deserere, ne damnationem animæ sciens prudensque sibi conciliaret ex tali vitæ consortio, propter sanguinis cum ejus priore conjuge propinquitatem, quæ Eudociæ sobrina (velut ipsa prædicat) fuerit. Quibus expositis per quemdam ex suis interrogabat mediocritatem nostram, in concilio præsidentem, quid de conjugio in hunc modum contracto faciendum esset. Responsum est tum mediocritate nostra tum sacro cœtu fratrum ; siquidem ita comparata sit rei veritas, ipso facto diremptum esse matrimoninm sic contractum. Et ille quidem, qui vim intulit, omnino ea perpeti meretur, quæ sacræ piæque leges statuunt, agnoscens et illas pœnas, quæ per sacros canones irrogantur iis, qui scientes ac prudentes cum duabus sobrinis copulantur, cum is gradus ex sanguinis conjunctione sextus esse

A συναφθεῖσαν αὐτῷ γυναῖκα, συνεζύγη δευτέρῳ γάμῳ βίας ἁπάσης ἐκτὸς τῇ διαληφθείσῃ γυναικί· ἀλλὰ δὴ καὶ βασιλικὸν προσκυνητὸν πρόσταγμα, αὐτὸ τοῦτο διοριζόμενον, τὸ, εἴπερ ἡ ῥηθεῖσα Εὐδοκία βίας ἁπάσης ἐκτὸς, μεθ' ἱερᾶς εὐχῆς συνεζύγη αὐτῷ, μηδένα τολμᾷν ὀχλήσεις ἐπάγειν τῷ δηλωθέντι Καπανδρίτῃ. Ἐπὶ τούτοις γοῦν πᾶσι καὶ σημείωμα τηνικαῦτα προέβη συνοδικὸν, δι' οὗ κατὰ τὴν Καπανδρίτου παράκλησιν ἀπεφάνθη καὶ ἐγνωματεύθη, τὸ ἐπὶ τῇ τοιαύτῃ ὑποθέσει ποιητέον. Ὧ δὴ συνοδικῷ σημειώματι καὶ τὰ παρὰ τοῦ Καπανδρίτου, ὡς εἴρηται, προκομισθέντα χαρτία, τό τε βασιλικὸν προσκυνητὸν δηλονότι πρόσταγμα, καὶ τὸ σοῦ, τοῦ θεοφιλεστάτου ἐπισκόπου Δεαβόλεως σημείωμα, ἐνεγράφησαν κατὰ ῥῆμα. Ἐπεὶ δὲ νῦν πάλιν ἀνηνέχθη τῇ ἡμετέρᾳ με-

B τριότητι παρὰ τοῦ μέρους τῆς τοιαύτης γυναικὸς, τῆς αὐταδέλφης ἐηλονότι τοῦ πανσεβάστου Βοϊωάννου, ὡς τοῦ πρότερον συζυγέντος νομίμως ταύτῃ ἀνδρὸς, τοῦ πριμμικηρίου ἐκείνου Βάρδα τοῦ Μακρομμάτου τῷ χρεὼν λειτουργήσαντος, τὴν πρακτορικὴν δειλιάσασα δυναστείαν, ὁποῖα πολλάκις ἐν τοῖς τοιούτοις φιλεῖ γίνεσθαι, πρὸς καιρὸν εἰς τὸ θέμα Κολωνείας μετετοπίσθη πρὸς οἰκίαν τινὸς τῶν αὐτῇ προσγενῶν, ἐπιφερομένη καὶ ὅσα τέως ἴσχυσεν ἐπάγεσθαι χρείττω καὶ εὐμετακόμιστα τῶν ταύτης πραγμάτων. Ὁ δὲ τοιοῦτος Καπανδρίτης λαὸν ἔνοπλον οὐκ ὀλίγον συναγαγὼν, ληστρικῶς ἐπελθὼν, ἁρπαγὴν αὐτῆς ἐπλημμέλησεν, ἀφελόμενος καὶ ὅσα προσῆσαν αὐτῇ

C πράγματα, ἀπὸ τόπου εἰς τόπον μετάγων αὐτὴν, καὶ αἰχμάλωτον ἕλκων ὅπου ἠβούλετο, μὴ συγχωρουμένην ἰδεῖν μηδὲ τὰς αὐταδέλφας αὐτῆς, τοῦτο μαθούσας, καὶ εἰς ἀναζήτησιν ταύτης ἐλθούσας. Καὶ οὕτω βιαίως καὶ παρανόμως συνεζύγη αὐτῇ μὴ συνπαθεμένῃ, διά τε τὸ αὐτόθεν τοῦ πράγματος ἄτοπον, καὶ διὰ τὸ ἀκριβῶς εἰδέναι, ὡς δισεξαδέλφη ταύτης ἦν ἡ πρότερον σύζυγος τοῦ τοιούτου Καπανδρίτου, ἣν θανάτῳ αὐτὸς ἀπεβάλετο. Διὸ καὶ καιροῦ δραξαμένη, τὴν μετ' αὐτοῦ συνοίκησιν ἐκφυγεῖν εἵλετο, ἵνα μὴ κρῖμα ψυχικὸν ἐν συνειδήσει ἐπισπῶτο ἐκ τῆς μετ'

D αὐτοῦ συμβιώσεως, διὰ τὴν καθ' αἷμα ταύτης ἐγγύτητα πρὸς τὴν πρότερον σύζυγον τούτου, τὴν καὶ δευτέραν (ὥς φησιν) ἐξαδέλφην οὖσαν αὐτῆς. Καὶ ἐρώτησιν ἔθετο ἐπὶ τούτοις διά τινος τῶν αὐτῆς πρὸς τὴν ἡμῶν μετριότητα προκαθημένην συνοδικῶς, τοῦ ἐπὶ τῷ τοιουτοτρόπως προβάντι συνοικεσίῳ ποιητέου. Ἤκουσεν ἀπό τε τῆς ἡμῶν μετριότητος, καὶ τῆς ἱερᾶς ἀδελφότητος, ὡς εἰ οὕτως ἔχει τὰ τῆς ἀληθείας, αὐτόθεν ἔχει τὸ διεσπασμένον τὸ οὕτω προβὰν συνοικέσιον. Καὶ ὁ μὲν βίαν πλημμελήσας, ἐκεῖνα πάντως ἄξιός ἐστι παθεῖν, ἅπερ οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι διακελεύονται, ἐπιγνοὺς καὶ τὰ ἀπὸ τῶν ἱερῶν κανόνων ἐπιτιμώμενα τοῖς ἐν συνειδήσει δυσὶ δισεξαδέλφαις συζευγνυμένοις, ὡς ἕκτου ἐξ αἵματος εὑρισκομένου βαθμοῦ. Ἡ δὲ ἀποστᾶσα τούτου διὰ τὰς τοιαύτας αἰτίας, οὐδέν τι πρόκριμα ὑποστήσεται. Ὅθεν καὶ παραδηλοῦμεν ὑμῖν, μεταχαλέσασθαι καὶ ἀμφότερα τὰ μέρη, καὶ ἀκριβῆ κατὰ συστάδην [55] θέσθαι ἐξέτασιν

VARIÆ LECTIONES.

[55] κατασυστάδην.

τῶν παρ' αὐτῶν λεγομένων, καὶ συνοδικῶς ἀφηγηθέντων· καὶ ἐν οἷῳ τούτων εὑρήσετε τὴν ἀλήθειαν ἐπιφαίνουσαν, ποιῆσαι κατὰ τὴν ἐπὶ τούτῳ ἐξενεχθεῖσαν συνοδικὴν ἀπόφασιν. Ἔρρωσθε. Μηνὶ Φεβρουαρίῳ· ἐπινεμήσει δευτέρᾳ.

A deprehendatur : hæc vero, quæ propter hujus modi causas ab eo divertit, nullum præjudicium sustinebit. Quamobrem vobis etiam significamus, ut utramque partem arcessatis, et ambobus coram constitutis, accuratum examen habeatis eorum, quæ ab eis dicuntur, et exposita sunt in synodo : ac utra tandem in parte veritatem evidentem inveneritis, secundum pronuntiatam de ea synodalem sententiam agetis. Valete. Mense Februario, indictione II.

ΨΗΦΙΣΜΑ ΠΟΛΙΤΙΚΩΝ ΔΙΚΑΣΤΩΝ.

Περὶ συγγενείας, ὅτε δύο δισεξαδέλφας εἰς γάμου κοινωνίαν ἠγάγετό τις. Καὶ ὧδε μὲν παρὰ τούτων συγκεχώρηται τὸ τοιοῦτον, παρὰ δὲ τῆς συνόδου κεκώλυται.

Τὸ μέρος τοῦ μεγαλεπιφανεστάτου κυροῦ Ἀλεξίου τοῦ Καπανδρίτου ἔσχε πρῶτον νόμιμον γυναῖκα, τὴν θυγατέρα τοῦ Προβατᾶ ἐκείνου κυροῦ Θεοφάνους. Μετὰ δὲ θάνατον ἐκείνης, ἐμίγη μεθ' ἱερολογίας νομίμου τῇ δευτέρᾳ ἐξαδέλφῃ ἐκείνης. Καὶ ἐζήτησε μαθεῖν ἐξ ἡμῶν, εἴπερ ὁ ῥηθεὶς γάμος ἐκ νόμων ἔχει τὸ βέβαιον καὶ ἰσχυρόν. Ἡμεῖς οὖν ἐξείπομεν πρὸς αὐτὸν, ὡς ὁ νόμος ἐν βιβλίῳ τῶν Βασιλικῶν κη', τίτλ. ε', κεφ. β', φησίν· Οἱ κεκωλυμένοι γάμοι γινώσκονται οὕτως· Ἐπὶ τῶν ἀνιόντων, καὶ κατιόντων, εἰς ἀπέραντον ὁ γάμος κεκώλυται, κἂν μὴ ἐκ νομίμων ὦσι γάμων. Οὐ δύναται γάρ τις τὴν ἰδίαν λαμβάνειν θυγατέρα, ἢ ἐγγόνην, ἢ μητέρα, ἢ μάμμην, εἴτε φυσικαὶ ὦσιν αἱ θυγατέρες, εἴτε θεταί. Καὶ μεταξὺ δὲ τῶν ἐκ πλαγίου προσώπων ἔστι τις κώλυσις. Τὴν γὰρ τοῦ ἀδελφοῦ μου, ἢ τῆς ἀδελφῆς μου θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις. Ἀλλ' οὐδὲ τὴν τούτων ἐγγόνην. Ὁμοίως οὐδὲ τὴν θυγατέρα τοῦ θείου, ἢ τῆς θείας, τουτέστι τὴν ἐξαδέλφην μου. Ἀλλ' οὐδὲ ὁ υἱός μου τὴν ἐγγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι. Καὶ βιβλίον ξ', τίτλ. λζ', κεφ. ογ', ταῦτα διαγορεύοντα· Οἱ πρὸς γάμον συναπτόμενοι, ἢ σαρκικῶς ἄλλως συμπλεκόμενοι ἐξάδελφοι, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνον, ἢ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, ἢ δύο ἀδελφοὶ εἰς δύο ἀδελφάς, ἢ δύο ἀδελφοὶ εἰς μητέρα καὶ θυγατέρα, ἢ ἀνεψιὸς εἰς γεγαμημένην τῷ θείῳ γυναῖκα, εἴτε θεῖος εἰς γεγαμημένην τῷ ἀνεψιῷ γυναῖκα, πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν. Καὶ ἐν μέρει δὲ τοῦ τόμου τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου Σισιννίου, κεκωλυμένοι εἰσὶν οἱ γάμοι οὗτοι. Οἷον, ὅταν ἀδελφοὶ ἐξαδέλφας ἀλλοτρίας λαμβάνωσιν, ἢ δύο ἀδελφοὺς ἐξάδελφαι δύο, ἢ θεῖος καὶ ἀνεψιὸς ἀδελφὰς δύο, ἢ ἀδελφοὺς δύο θεία καὶ ἀνεψιά. Ἀλλὰ καὶ ἀπὸ συνοδικῶν πράξεων καὶ διαγνώσεων τοῦ ἁγιωτάτου πατριάρχου, κυροῦ Λουκᾶ, καὶ προσταγμάτων βασιλικῶν, ἐπὶ μὲν τῶν ἐκ πλαγίου, ὁ ἕβδομος βαθμὸς κεκώλυται· ἐπὶ δὲ τῶν ἐξ ἀγχιστείας, ποτὲ μὲν συγχωρεῖται ὁ ἕκτος, ποτὲ δὲ κεκώλυται. Ὅτε γάρ εἰσιν ἐκ τοῦ ἑνὸς μέρους βαθμοὶ δύο, ἐκ δὲ τοῦ ἑτέρου τέσσαρες· ὡς, ὅταν δύο ἀδελφοὶ θέλωσι συναφθῆναι πρὸς γάμον δυσὶ πρώταις ἐξαδέλφαις· ἔστιν ὁ γάμος κεκωλυμένος. Ἐὰν δὲ θεῖος καὶ ἀνεψιὸς ἕλωσι [88] συναφθῆναι θείᾳ καὶ ἀνεψιᾷ ἐξ ἄλλου

DECRETUM JUDICUM CIVILIUM.

e cognatione, cum duas quidam sobrinas in societatem matrimonii ascivisset. Et hoc quidem ab eis permissum fuit, verum a synodo prohibitum.

Ex parte sua illustrissimus dominus Alexius Capandrites habuit primo legitimam uxorem, filiam domini Theophanis illius Provatæ. Post ejus vero mortem, sese commiscuit, interveniente legitima precum conceptione, cum ejus sobrina. Scire cupit ex nobis, an dictum matrimonium ex jure ratum sit ac firmum. Itaque nos ei respondimus, quod lex in libro Basilicorum XXVIII, tit. V, cap. 11. dicat : Nuptiæ prohibitæ sic cognoscuntur : In ascendentibus, et descendentibus in infinitum nuptiæ sunt prohibitæ, licet ipsæ personæ non sint ex legitimis nuptiis ortæ. Quippe non potest aliquis suam ducere filiam, vel neptem, vel matrem, vel aviam : sive naturales sint filiæ, sive adoptivæ. Itidem inter personas ex transverso prohibitio quædam est. Non fratris mei, vel sororis meæ filiam, non fas est mihi ducere uxorem. Nec etiam horum neptem. Similiter nec filiam patrui vel avunculi, aut amitæ vel materteræ, hoc est, consobrinam meam. Nec item filius meus eorum neptem qui sobrini vocantur. Item lib. LX, tit. XXXVII, cap. 73 hæc verba leguntur : Qui junguntur matrimonio, vel alioqui carnaliter copulantur consobrini, et qui ex eis duntaxat nascuntur liberi, vel pater et filius cum matre ac filia, vel duo fratres cum duabus sororibus vel duo fratres cum matre ac filia, vel fratris sororisve filius cum muliere patruo avunculove nupta, vel patruus avunculusve cum muliere nupta sui fratris sororisve filio, præter divortium verberibus quoque cæduntor. Præterea in parte scripti, quod est sanctissimi patriarchæ Sisinnii, hæ sunt prohibitæ nuptiæ, videlicet cum fratres consobrinas extraneas ducunt, vel duobus fratribus consobrinæ duæ nubunt; vel cum patruus et fratris ejus filius ducunt sorores duas, aut duobus fratribus amita fratrisque filia nubunt. Quinetiam ex synodalibus actis et cognitionibus sanctissimi patriarchæ, domini Lucæ, atque imperatoriis edictis, in iis, qui sunt ex transverso gradus septimus est prohibitus : in affinitate junctis, aliquando sextus permittitur, aliquando prohibitus est. Quippe cum ex una parte sunt duo gradus, ex altera quatuor; veluti cum duo fratres

VARIÆ LECTIONES.

[88] θέλωσι.

matrimonio copulari volunt cum duabus consobrinis : prohibitæ nuptiæ sunt. Si vero patruus avunculusve, ac fratris sororisve filius, copulari velint cum amita materterave, ac fratris sororisve filia, diverso genere natis : matrimonium licitum est. Enimvero cum propositum ab eo interrogatum et quæstio, non numeretur nec referatur inter prohibitas nuptias, quæ supra recensentur, sed spectet ad gradum ex affinitate septimum (nam sobrinæ sexto sibi gradu junguntur, et quæ copulatur his persona, gradum alium constituit, et ad septimum ex affinitate gradum removetur), decernimus atque dicimus hujus modi matrimonium non esse vetitum ; quando gradus ex affinitate septimus, indistinctus est, ac omnino non prohibetur. Hæc ad supra commemoratum.

A γένους, ἔστιν ὁ γάμος ἀκώλυτος. Ὅτι γοῦν καὶ τὸ παρ' αὐτοῦ προτεθὲν ἐρώτημα, καὶ ζήτημα, καὶ πρόβλημα, οὐ συναριθμεῖται καὶ συγκατάττεται τοῖς ἄνωθεν δηλουμένοις κεκωλυμένοις γάμοις, ἀλλὰ ἀφορᾷ εἰς τὸν ἐξ ἀγχιστείας ἕβδομον βαθμόν, (αἱ γὰρ δεύτεραι ἐξάδελφαι ἕκτου βαθμοῦ εἰσιν· ἀλλὰ καὶ τὸ συναπτόμενον πρόσωπον, βαθμὸς ἕτερος, καὶ ἀποτείνεται εἰς ἕβδομον ἐξ ἀγχιστείας βαθμόν), ψηφιζόμεθα καὶ λέγομεν τὸν τοιοῦτον γάμον ἀκώλυτον· ὡς τοῦ ἐξ ἀγχιστείας ἑβδόμου βαθμοῦ ἀδιαστίκτου καὶ ἀκωλύτου πάντη ὄντος. Ταῦτα πρὸς τὸν ἀφηγηθέντα.

Subscriptiones.

Judex Veli, Gabriel Splenarius, decretis assentiens subscripsi.

Judex Veli, Joannes Apotyras, decretis assentiens subscripsi.

Judex Veli, Nicetas, primus ac supremus ille Nobilissimus [z], Hispanopolus, eadem sentiens subscripsi.

Item a tergo.

Joannes, judex Veli et Circi præfectus, Dishypatus, assentiens et ipse decretis intus expositis, subscripsi.

Αἱ ὑπογραφαί.

B Ὁ κριτὴς τοῦ Βήλου, Γαβριὴλ ὁ Σπληνάριος, τῇ ψηφισθείσῃ στοιχῶν, ὑπέγραψα.

Ὁ κριτὴς τοῦ Βήλου, Ἰωάννης ὁ Ἀποτυρας, τοῖς ψηφισθεῖσι στοιχῶν, ὑπέγραψα.

Ὁ κριτὴς τοῦ Βήλου, Νικήτας Πρωτονωβελλισιμουπέρτατος, ὁ Σπανοπῶλος [67], τὰ αὐτὰ φρονῶν, ὑπέγραψα.

Καὶ ὄπισθεν.

Ἰωάννης, ὁ κριτὴς τοῦ Βήλου καὶ ἐπὶ τοῦ Ἱπποδρόμου, ὁ Δισύπατος, στοιχῶν καὶ αὐτὸς ταῖς ἐντὸς γνωματευθείσιν, ὑπέγραψα.

PHILOTHEI.

Sanctissimi patriarchæ, domini Philothei, refutatio scriptarum apud Harmenopolum (27) exsecrationum.

Cum peritus sis hujusmodi rerum, venerabilis Nomophylax et judex generalis Harmenopule, cur non hoc quoque scriptis adjecisti, quod videlicet propter aureas et sanctas leges illius magni luminis Ecclesiæ Joannis, ab aurea lingua dicti Chrysostomi, quibus prohibentur anathemati subjici Christiani, quam diu rectæ de Deo sententiæ adhærent, esse desierint in usu illi tomi qui defectionum auctores, et imperatoribus perduelles anathemati devovent? Hoc enim tradit eruditus ille Nomophylax, et consimilium tuis studiorum particeps Balsamo, tam in legibus quam canonibus maximam adeptus scientiam atque doctrinam qui et magna illius Antiochiæ patriarcha tandem designatus fuit : id quod ne te quidem ignorare dixerim, virum doctum, et hujusmodi rerum in primis studiosum. Aut igitur et illa ascribenda erant iis, quis hisce abs te dicta sunt : aut hæc pulcherrimis et accuratis illis scriptis tuis nequaquam inferenda. Verum ego jam complere volo, quod amici scripto deest : meque minime onerosum, nec superfluum fore arbitror, dum necessaria et æqua, sic ipsa poscente necessitate, suscipio.

ΦΙΛΟΘΕΟΥ.

Τοῦ ἁγιωτάτου πατριάρχου, κυρίου Φιλοθέου, ἀνατροπὴ τῶν γεγραμμένων παρὰ τῷ Ἁρμενοπούλῳ ἀναθεματισμῶν.

C Ὁ περὶ τὰ τοιαῦτα σοφὸς, σεβαστὲ νομοφύλαξ καὶ καθολικὲ κριτὰ Ἁρμενόπουλε, πῶς οὐ κἀκεῖνο τοῖς γεγραμμένοις προσέθηκας, ὅτι διὰ τοὺς χρυσοῦς καὶ ἁγίους νόμους τοῦ μεγάλου τῆς Ἐκκλησίας φωστῆρος Ἰωάννου τοῦ τὴν γλῶτταν χρυσοῦ, περὶ τοῦ μὴ δεῖν Χριστιανοὺς ἀναθεματίζεσθαι, ἕως ἂν δηλονότι τῆς ὀρθῆς ἔχωνται περὶ Θεοῦ δόξης, ἐπράκτησαν οἱ τόμοι, οἱ τοὺς ἀποστατοῦντας καὶ ἐπανισταμένους τοῖς βασιλεῦσιν ἀναθεματίζοντες ; Τοῦτο γάρ φησιν ὁ σοφὸς νομοφύλαξ καὶ τῶν ὁμοίων σοι σπουδαστὴς Βαλσαμὼν, ὁ ἐν νόμοις τε καὶ κανόσι μάλιστα πολυμαθέστατος καὶ σοφώτατος, ὁ καὶ πατριάρχης Ἀντιοχείας τῆς μεγάλης ἀναδειχθεὶς ὕστερον, ὅπερ οὐδέ σε διαλανθάνειν εἰποιμι ἂν ἐγωγέ ποτε, σοφόν τε D ὄντα καὶ σπουδαῖον τὰ τοιαῦτα, εἴπερ τινά. Ἢ γοῦν κἀκεῖνα προσγράψαι σε τοῖς ῥηθεῖσιν ἐκείνοις περὶ τῶν τόμων ἐχρῆν, ἢ μηδὲ ταῦτα τοῖς καλλίστοις σου καὶ σπουδαίοις ἐντάξαι συγγράμμασιν. Ἀλλ' ἐγὼ τὸ ἐλλεῖπον τῷ τοῦ φίλου συγγράμματι προσαναπληρῶ ἤδη· καὶ οἶμαι ὡς οὐ φορτικὸς, ἀλλ' οὐδὲ περιττός τις δόξω, τἀναγκαῖα καὶ δίκαια κατὰ πᾶσαν ἀνάγκην ποιῶν.

VARIÆ LECTIONES.

[67] ὁ Σπανοπλόος, male.

[z] *Dignitatis Palatinæ nomen.*

NOTÆ.

(27) In epitome juris civilis.

Ὁ τοίνυν προρρηθεὶς πατριάρχης Ἀντιοχείας ὁ σοφὸς Βαλσαμὼν τοὺς ἱεροὺς ἐξηγούμενος κανόνας, τάδε φησὶν ἐν τῷ προοιμίῳ τῆς ἐξηγήσεως τῶν κανόνων τῆς ἐν Γάγγρᾳ συνόδου·

Ἡ μὲν παροῦσα σύνοδος προφάσει τῶν γενομένων παρὰ τοῦ Εὐσταθίου κακῶν, ὑπεναντίως τοῖς δογματισθεῖσιν ὀρθῶς παρὰ τῆς καθολικῆς Ἐκκλησίας, ἀναθεματίζεσθαι τοὺς ὁμόφρονας ἐκείνῳ διορίζεται.

Καὶ μετά τινα.

Ὁ δὲ χρυσοῦς τὴν γλῶτταν καὶ τῆς οἰκουμένης διδάσκαλος, παρακελευόμενος μὴ ἀναθεματίζεσθαι ἄνθρωπον πιστὸν, φησὶ ταῦτα ῥητῶς· « Τί οὖν ἐστι « τοῦτο, ὃ λέγεις, τὸ ἀνάθεμα; Ἀλλ' ὅτι ἀνατιθέσθω « οὗτος τῷ διαβόλῳ, καὶ μηκέτι σωτηρίας χώραν « ἐχέτω. Γενέσθω ἀλλότριος τοῦ Χριστοῦ. Καὶ τίς « εἶ σύ; ταῦτα τῆς ἐξουσίας καὶ τῆς μεγάλης δυνά- « μεως. Τότε γὰρ καθίσει ὁ βασιλεὺς, καὶ στήσει « τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύ- « μων. Τί οὖν τῆς τοσαύτης ἐπελάθου ἀξίας; « καὶ μετ' ὀλίγα φησὶν ὁ αὐτὸς Χρυσόστομος· » Τοιγαροῦν « ὁ Ἀπόστολος ἐν δυσὶ μόνοις τόποις ἐξανάγκης τὴν « φωνὴν ταύτην φαίνεται εἰπών. Οὐχ ὁριστικῷ δὲ « τρόπῳ ταύτην προήγαγεν, ἐν μὲν τῇ πρὸς Κορινθίους εἰπών· Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν « Ἰησοῦν Χριστὸν, ἤτω ἀνάθεμα· καὶ, εἴ τις ὑμᾶς « εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. « Τί οὖν; ἃ μηδεὶς τῶν εἰληφότων ἐξουσίαν πεποίη- « κεν, εἰ μὴ μόνος ὃς ἔλαβε, σὺ τολμᾷς ταῦτα ποιεῖν, « ἐναντίως τῷ δεσποτικῷ παραγγέλματι, καὶ προ- « λαμβάνεις τὴν κρίσιν τοῦ βασιλέως; Τὸ ἀνάθεμα « τοῦτο τοῦ Χριστοῦ ἀποκόπτει. Δίδαξον ἐν πραό- « τητι. » Καὶ τὰ ἑξῆς.

Καὶ ταῦτα μὲν τὰ τοῦ Χρυσοστόμου Πατρός. Ὁ δὲ Βαλσαμὼν ἐπιφέρει· Διὰ τοῦτο, ὡς ἔοικεν, ἀπράκτει καὶ ὁ γεγονὼς συνοδικὸς τόμος ἐπὶ τῆς βασιλείας τοῦ πορφυρογεννήτου κυροῦ Κωνσταντίνου, καὶ τοῦ πατριάρχου κυροῦ Ἀλεξίου, χάριν τοῦ ἀναθεματίζεσθαι τοὺς ἀποστάτας, καὶ μουλταρίους, καὶ κατὰ τῶν βασιλέων ὅπλα ἐγείροντας, καὶ τυραννίδα μελετῶντας. Εἰ δὲ τὰ παρὰ τοῦ μεγάλου Πατρὸς καὶ διδασκάλου ἡμῶν τοῦ Χρυσοστόμου γραφέντα ὑπερτερεῖν ὀφείλουσι καὶ τῶν διορισθέντων παρὰ τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ τῆς ἐν Γάγγρᾳ, ἐροῦσι πάντως οἱ τὰ τοιαῦτα διευθετεῖν ἐξουσίαν ἔχοντες

Καὶ ταῦτα μὲν ὁ πατριάρχης Βαλσαμών. Δείκνυσι γοῦν ἐκ τῶν εἰρημένων, προηγουμένως μὲν ἐξ ἐκείνου, μᾶλλον δὲ καὶ πρὸ τῶν ἑαυτοῦ ἡμερῶν, ἄπρακτον τὸν προρρηθέντα ἐπὶ τοῦ πορφυρογεννήτου καὶ τοῦ πατριάρχου κυροῦ Ἀλεξίου τόμον. Ἠπράκτησε γάρ, φησίν. Ἐκείνου δὲ καθάπερ τινὸς ἐρείσματος ἢ θεμελίου ὑποσπασθέντος, καὶ οἱ μετ' ἐκεῖνον γεγονότες δύο, ὅ τε ἐπὶ τοῦ Κομνηνοῦ φημὶ, κυροῦ Μανουὴλ, καὶ ὁ ἐπὶ τοῦ Παλαιολόγου, συγκαταπίπτουσιν ἐξανάγκης. Ἔπειτα σὺν τούτῳ δείκνυσιν, ὅτι οὐδὲ οἱ ἀναθεματισμοὶ τῶν συνόδων ἐκείνων ἔχουσι τὸ ἀσφαλὲς, εἰ καὶ ἐπὶ μεγάλοις καὶ ἀναγ-

Prædictus igitur Antiochenus patriarcha, sapiens ille Balsamo, dum sacros exponit canones, hæc in præfatione expositione canonum synodi Gangrensis dicit :

Præsens ista synodus pro occasione illatorum ab Eustathio malorum, ratione quadam contraria recte statutis ab Ecclesia catholica, cum Eustathio sentientes anathemate feriendos decernit.

Et paulo post :

At aurea prædituslle lingua, orbisque terrarum doctor, dum anathemate percuti vetat hominem fidelem, verbis disertis hæc ait : « Quid igitur est « illud, quod dicis anathema ? Nimirum ut devo- « veatur iste diabolo, nec salutis amplius sit parti- « ceps. Fiat alienus a Christo denique. Et quisnam, « quæso, tu es? Majestatis hæc scil. magnæque po- « testatis sunt. Quippe tunc considebit rex, et « statuet oves a dextris, hædos a sinistris. Cur « tantam ipse tibi dignitatem usurpas ? » Et paucis interjectis, idem ille Chrysostomus inquit : « Enim- « vero duobus duntaxat in locis Apostolus hanc « vocem necessario videtur expressisse, nec tamen « modo quodam definitivo eam produxisse : dum in « epistola ad Corinthios ait : Si quis non amat Do- « minum nostrum Jesum Christum, anathema sit : « et, Si quis evangelium vobis tradat præter id, quod « accepistis, anathema sit. Quid ergo ? quæ illorum « nemo fecit, qui potestatem sunt adepti, nisi dun- « taxat is, qui eam accepit, illa tu audes facere « contra mandatum Domini, et ipsius regis judicium « anticipas ? Nimirum hoc anathema hominem a « Christo abscindit. Doceto in mansuetudine. » Et quæ sequuntur. »

Atque hæc quidem verba sunt Patris Chrysostomi. Subjicit autem Balsamo : Propterea, ceu credi par est, desiit esse in usu tomus ille synodalis, factus sub imperio domini Constantini in Porphyra nati, cum esset patriarcha dominus Alexius, de feriendis anathemate defectionum ac tumultuum auctoribus et adversus imperatores arma suscitantibus ac tyrannidem molientibus. An vero potiora debeant esse, quæ ab hoc magno Patre doctoreque nostro Chrysostomo scripta sunt, tam decretis a Chalcedonensi, quam Gangrensi concilio : dicendum illis omnino relinquimus, qui talia recte disponendi potestatem habent.

Et hæc quidem patriarchæ Balsamonis verba sunt. Ostendit autem per ea, quæ dicit, primum quidem ab illo tempore, vel potius etiam ante suam ætatem esse in usu desiisse prædictum illum tomum, sub Porphyrogenneta et Alexio patriarcha factum. Dicit enim : Desiit esse in usu. Eo vero ceu fulcro vel fundamento quodam subruto, etiam alii duo tomi postea facti, tum domini Manuelis Comneni, tum Palæologi tempore, necessario cum eis corruunt. Deinde præter hoc, etiam illud innuit ; quod videlicet ne illarum quidem synodorum anathematismi valeant, licet magnis et necessariis quibusdam in

negotiis promulgati sint, siquidem communi Patri Chrysostomo, et aliis sanctis doctoribus obsequendum sit, qui eadem cum illo sentiunt ac docent, maximæque Christi clementiæ potius patrocinantur. Sed enim de his quidam hæc, alii fortasse diversa prolaturi sunt, conciliis illis semet adjungentes. Ego vero ea missa faciens (non enim in præsetia altercari volo), saltem hoc aio, clare ac dubio procul hactenus esse demonstratum, et copiose quidem, quod primus ille tomus, tanquam non consentiens cum Ecclesiæ scopo, maximeque cum illo communi doctore Chrysostomo, inquam, et cessaverit et in usu desierit, secundum sapientem illum Balsamonem : quod nobis etiam propositum erat ostendere. Illius autem usu exspirante, cæteri quoque deinceps facti necessario robur suum consimili modo emittent et exspirabunt, uti jam antea diximus.

A καίοις τισὶν ἐγένοντο πράγμασιν, εἴπερ τῷ κοινῷ Πατρὶ Χρυσοστόμῳ, καὶ τοῖς ἄλλοις ἁγίοις διδασκάλοις πείθεσθαι δεῖ, τὰ αὐτὰ καὶ φρονοῦσιν ἐκείνῳ, καὶ διδάσκουσι, καὶ τῇ τοῦ Χριστοῦ μεγίστῃ φιλανθρωπίᾳ μᾶλλον συνηγοροῦσιν. Ἀλλὰ περὶ μὲν τῶν τοιούτων, οἱ μὲν ταῦτα, οἱ δ' ἀλλοῖα τυχὸν ἐροῦσι, ταῖς συνόδοις ἐκείναις συνιστάμενοι. Ἐγὼ δ' ἐκείνων ἀφέμενος (οὐδὲ γὰρ ἐρίζειν ἐπὶ τοῦ παρόντος βούλομαι), ἐκεῖνό φημι, ὅτι τέως λαμπρῶς καὶ ἀναμφιβόλως ἐπεδείχθη ἐκ περιουσίας, ὅτι ὁ πρῶτος ἐκεῖνος τόμος, ὡς μὴ συνᾴδων τῷ σκοπῷ τῆς Ἐκκλησίας, καὶ μάλιστα τῷ κοινῷ διδασκάλῳ, τῷ Χρυσοστόμῳ, φημὶ, ἀργὸς καὶ ἄπρακτος μεμένηκε, κατὰ τὸν σοφὸν Βαλσαμὼν, ὅπερ καὶ ἡμῖν ὁ σκοπὸς ἦν δεῖξαι. Ἐκείνου δ' ἀπρακτοῦντος, καὶ B οἱ μετ' ἐκεῖνον ἐξανάγκης ὡσαύτως τὸ ἀνενέργητον καὶ ἄπρακτον ἔχουσι, καθὰ δὴ καὶ φθάσαντες εἴπομεν.

INCERTORUM PATRIARCHARUM.

I. *Epistola scripta Constantinopoli ad Martyrium episcopum Antiochenum explicans, quo pacto sint recipiendi hæretici ad sanctam universalem Ecclesiam accedentes.*

Collocutus est quædam mecum religiosissimus presbyter Antonius de iis, qui ab hæreticis desciscentes se recte sentientum cœtui, eorumque consortio, qui salvantur, adjungunt ; quonam eos pacto recipiamus. Cui licet coram exposuerim, quidquid hic sequamur, et in more positum habeamus : tamen etiam vestræ sanctitati necessario signilicandum duxi, Patri videlicet Patrum, et successori sancti Joannis Theologi, qui vester archiepiscopus fuit ; quod nimirum Arianos, et Macedonianos, et Novatianos, qui seipsos appellant Puros ac Puriores, et Tessares decatitas sive Tetraditas, et Apollinaristas recipiamus, si dent libellos, et omnem hæresim exsecrentur, non ita sentientem, uti sentit sancta nostra catholica Ecclesia, cujus tu præses et caput es, vir beatissime. Prius tamen eis signatur sive inungitur frons unguento sacro, et nares, et aures, et pectus, et omnes sensus : atque inter signandum dicimus, Signaculum donationis Spiritus sancti. Secundum hæc tanquam egregii laici ad eum gradum ordinantur, in quo prius apud suos erant : sive presbyteri, sive diaconi, sive subdiaconi, sive psaltanagnostæ[a]. Eunomianos, qui una mersione baptizantur ; et Montanistas, qui appellantur hic Phryges et Sabellianos, qui Patris et Filii docent eamdem personam, aliaque gravia quædam committunt ; et omnes hæreses alias, quando complures hic sunt, ex Galatarum præsertim regione venientes : omnes ergo, qui ex his ad veritatem volunt accedere, tanquam paganos recipimus. Ac primo quidem die facimus eos Christianos, altero Catechumenos. Tertio adhibemus eis exorcismum, ter emittentes afflatum in faciem et aures eorum : atque ita reposcimus ab eis

ΑΔΗΛΩΝ ΠΑΤΡΙΑΡΧΩΝ.

Α'. *Ἐπιστολὴ γραφεῖσα ἀπὸ Κωνσταντινουπόλεως Μαρτυρίῳ ἐπισκόπῳ Ἀντιοχείας, περὶ τοῦ, ὅπως χρὴ δέχεσθαι τοὺς αἱρετικοὺς, προσερχομένους τῇ ἁγίᾳ καθολικῇ Ἐκκλησίᾳ.*

Τινὰ διειλέχθη μοι ὁ θεοφιλέστατος πρεσβύτερος Ἀντώνιος, περὶ τῶν προστιθεμένων τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν, τὸ πῶς δεχόμεθα αὐτούς. Καὶ κατὰ πρόσωπον μὲν αὐτῷ διειλέχθην πᾶσαν ἐνταῦθα ἀκολουθίαν καὶ συνήθειαν. Καὶ τῇ ὑμετέρᾳ δὲ ἁγιωσύνῃ ἀναγκαῖον ἐνόμισα σημᾶναι τῷ Πατρὶ τῶν Πατέρων, τῷ ἀπογόνῳ τοῦ ἁγίου, C Ἰωάννου τοῦ Θεολόγου, τοῦ γενομένου ἀρχιεπισκόπου ἡμῶν, ὅτιπερ Ἀρειανοὺς, καὶ Μακεδονιανοὺς, καὶ Ναυατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς καὶ Καθαρωτέρους, καὶ τοὺς Τεσσαρεσκαιδεκατίτας ἤτοι Τετραδίτας, καὶ Ἀπολιναριστὰς, δεχόμεθα διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν, τὴν μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία ἡμῶν καθολικὴ Ἐκκλησία, ἧς πρόεδρος καὶ κεφαλὴ ὑπάρχεις, μακαριώτατε, σφραγιζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τὸ μέτωπον, καὶ τὰς ῥῖνας, καὶ τὰ ὦτα, καὶ τὸ στῆθος, καὶ πάσας τὰς αἰσθήσεις· καὶ σφραγίζοντες αὐτοὺς λέγομεν· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Καὶ μετὰ ταῦτα ὡς σπουδαῖοι λαϊκοὶ χειροτονοῦνται ἐκεῖνο, ὃ ἦσαν παρ' αὐτοῖς τοπρότερον· D εἴτε πρεσβύτεροι, εἴτε διάκονοι, εἴτε ὑποδιάκονοι, εἴτε ψαλταναγνῶσται. Εὐνομιανοὺς μέντοι, τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς, τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανοὺς τοὺς υἱοπατορίαν διδάσκοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας, καὶ πάσας τὰς ἄλλας αἱρέσεις, ἐπειδὴ πολλαί εἰσιν ἐνταῦθα, μάλιστα ἀπὸ τῆς τῶν Γαλατῶν χώρας ἐρχόμενοι· πάντας τοὺς ἀπ' αὐτῶν θέλοντας προστίθεσθαι τῇ ἀληθείᾳ, ὡς Ἕλληνας δεχόμεθα. Καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανοὺς, καὶ τὴν δευτέραν κατηχουμένους. Εἶτα τὴν τρίτην ἐξορκίζομεν αὐτοὺς μετὰ τοῦ ἐμφυσᾶν τρίτον εἰς

VARIÆ LECTIONES.

[a] *qui canunt hymnos, et lectores sunt.*

τὸ πρόσωπον καὶ τὰ ὦτα, καὶ οὕτω κατηχοῦμεν αὐτούς, καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν Γραφῶν. Καὶ τότε αὐτοὺς βαπτίζομεν. Ταῦτα, ὡς ὑμέτερος, ἐσπούδακα σημᾶναι.

A dictata, et in ecclesia commorari permittimus, ac Scripturas audire. Deinde baptismum eis impertimur. Hæc, tanquam vester, studiose vobis significare volui.

Β'. *Πιττάκιον πατριαρχικὸν, ἐκτεθὲν παρὰ Ἰωάννου Χαρτοφύλακος, τοῦ Ἰωροπούλου, περὶ τοῦ, τῇ δισεξαδέλφῃ τῆς ἰδίας μητρὸς συναφθέντος, καὶ τῶν ὀφειλόντων δοθῆναι αὐτῷ ἐπιτιμίων.*

II. *Brevis patriarchalis ac quodam, qui matris suæ sobrinam uxorem duxerat, deque pœnis illi irrogandis Joannes Chartularius, Ionopuli filius, exposuit.*

Λαμπούδιος οὗτος, ὁ ἀπὸ τῆς κατὰ σὲ ἐνορίας Χρυσοπόλεως ὁρμώμενος, θεοφιλέστατε, διηγήσατο · ὅτι ἐπὶ γαμικῷ συναλλάγματι συνέζευκται Ἄννῃ τῇ δισεξαδέλφῃ Θεοδότης τῆς αὐτοῦ μητρὸς, ἤδη πρὸ πολλοῦ μετ' αὐτῆς ἱερολογηθείς · καὶ ἠρώτησεν, εἰ ὁ τοιοῦτος γάμος ἐπιτέτραπται, ἢ μή. Ἔμαθεν οὖν, ὡς ὁ νόμῳ γάμου τῇ δισεξαδέλφῃ τῆς ἰδίας μητρὸς συναπτόμενος, οὐ διαζεύγνυται μὲν ἀπὸ τῆς οἰκείας γαμετῆς, εἴ γε ταῖς ἀληθείαις ὁ τοιοῦτος γάμος φθάσει προβῆναι · ἐπιτιμίοις δὲ καθυποβάλλεται, αὐτός τε καὶ ἡ συναφθεῖσα αὐτῷ. Διὸ καὶ γράφοντες ὑφηγούμεθά σου τῇ ἱερότητι, ἵνα ἐρευνήσῃς, εἰ οὕτως ἔχει ὁ τῆς συγγενείας βαθμὸς, ὡς αὐτὸς διηγήσατο, καὶ εἰ προέβη ὁ γάμος. Καὶ εἴπερ οὕτως ἔχουσαν τὴν ἀλήθειαν ἀπαραλλάκτως εὑρήσεις, ἐάσῃς μὲν τὸ συνοικέσιον ἐπὶ σχήματος · ἐπιτιμήσει δὲ καθυποβάλῃς αὐτόν τε, καὶ τὴν συναφθεῖσαν αὐτῷ, ὅπως ἐφ' ὅλῃ διετίᾳ ἀπέχωνται κρέατος, ἐν δὲ τετράδι καὶ πέμπταις μηδὲ οἴνου μετέχωσι. Τῆς μέντοι κοινωνίας μεταλαμβάνωσιν, ἐν μόναις ταῖς Δεσποτικαῖς ἑορταῖς. Γίνωσκε γὰρ, ὡς ὁ τοιοῦτος γάμος, πρὸ μὲν τοῦ γενέσθαι, οὐκ ἐπιτρέπεται · μετὰ δὲ τὸ γενέσθαι, οὐ διαζεύγνυται μὲν, ἐπιτιμίοις δὲ ὑποβάλλεται. Πλὴν διαμάρτυραι παντὶ τῷ ὑπὸ σὲ λαῷ, ὡς ἂν ὅτε μέλλει προβῆναι συνάλλαγμα, ἀμφιβολίαν τινὰ τοσύνολον ἔχον, μηδαμῶς ἄνευ τῆς σῆς προστάξεως τί ποιῶσιν · ἀλλ' ἀναφέρωσι τὰ περὶ τοῦ πράγματος τῇ θεοφιλείᾳ σου. Καὶ οὕτως, ἢ σὺ τέμνῃς τὴν ζήτησιν, ἢ, εἴπερ ἀμφιβάλλεις, πρὸς ἡμᾶς ἀναφέρῃς, καὶ ἐντεῦθεν δέχῃ τὴν λύσιν. Δεῖ δὲ εἰδέναι, ὅτι ἐπειδὰν οἱ πρὸς ἀλλήλους οἱονεὶ ἕβδομον βαθμὸν ἐπινοούμενον ἐξ ἀγχιστείας σώζοντες συνάπτονται, τὰ αὐτὰ ἐπιτίμια ὀφείλουσι κρατεῖν καὶ ἐπ' αὐτῶν, ἅπερ ἐν τῷδε τῷ ψηφίσματι εἴρηνται · ἐφ' ἑνὶ μέντοι καὶ μόνῳ ἐνιαυτῷ.

Lampudius hic, ortus e vicinia tua Chrysopolitana, vir religiosissime, nobis exposuit ; se matrimoniali contractum junctum esse cum Anna, Theodotæ matris suæ sobrina, interveniente jamdudum sacrarum precum benedictione : ac interrogavit, concessumne sit tale matrimonium, nec ne. Responsum tulit, eum, qui lege matrimonii cum sobrina matris suæ copuletur, non dirimi quidem ab uxore sua, si reapse tales nuptiæ jam contractæ sint : pœnis tamen subjici tam ipsum, quam mulierem ei copulatam. Propterea litteras hasce scribentes, sanctitatem tuam monemus, ut perscruteris, an ita se gradus cognationis habeat, ut ipse narrat, et an peractæ sint nuptiæ. Quod si veritatem haud dubie sic se habere deprehenderis, matrimonium quidem in statu suo relinques ; at pœnæ subjicies tum ipsum, tum mulierem ei copulatam, nimirum ut a carnis esu toto biennio semet abstineant, et quarta quintaque feria ne vinum quidem bibant. Communionis tamen participes sint, his duntaxat diebus, qui Domino sunt sacri. Scias enim, ejusmodi nuptias prius quidem, quam contrahantur, non permitti ; post vero, quam contractæ sint, non dirimi quidem illas, sed pœnis tamen subjici. Attestaberis autem universo tibi subdito populo, ut cum matrimonium contrahendum erit, quod omnino nonnihil ambiguitatis habet ; nequaquam absque jussu tuo quid faciant, sed ad pietatem tuam de negotio referant. Atque hoc modo, vel tu quæstionem solves, vel, si dubius hæres, ad nos referes ; atque hinc rescriptum accipies. Sciendum vero, quod cum ii, qui septimo sese gradu affinitatis ratione contingunt, matrimonio copulantur ; eadem pœna in illis quoque locum sint habituræ, quæ hoc decreto sunt expositæ ; sed ad unum duntaxat annum.

Γ'. *Συνοδικαὶ ἀποκρίσεις εἰς τὰ τῷ Σίδης ἐρωτηθέντα.*

III. *Synodales responsiones ad interrogata Sidensis episcopi.*

Ψηφίσματός τινος κατὰ θείαν καὶ βασιλικὴν πρόσταξιν ἐκτεθέντος παρὰ τοῦ μεγαλεπιφανεστάτου Κουροπαλάτου καὶ κοιαίστορος, Βασιλείου τοῦ Πεκούλη, ἐπὶ ἐρωτήσεσι διαφόροις παρὰ τοῦ νῦν ἱερωτάτου μητροπολίτου Σίδης προβάσαις, περί τε δωρεῶν ἀκινήτων τινῶν, ἐκδόσεών τε καὶ ἐμφυτεύσεων, καὶ μὴν ἀλλὰ καὶ τυπικῶν δόσεων ἐτησίων παρὰ τοῦ πρὸ αὐτοῦ μητροπολίτου, τοῦ ἀποιχομένου ἐκείνου Θεοδοσίου γεγενημένων, εἰς ἐπήκοόν τε τῆς ἡμῶν μετριότητος καὶ τῶν συνεδριαζόντων αὐτῇ ἱερωτάτων μητροπολιτῶν ἀναγνωσθέντων τὴν σήμερον, ὁ δηλωθεὶς οὗτος μητροπολίτης Σίδης

Posteaquam decretum quoddam, sacro et imperatorio jussu promulgatum ab illustrissimo Curopalata et quæstore, Basilio Pecule, ad interrogationes varias ab hujus temporis sanctissimo Sidæ metropolitano propositas, de donationibus quorumdam immobilium, deque locationibus et emphyteusibus, atque etiam de formularibus donationibus annuis, ab ipsius decessore, Theodosio illo metropolitano defuncto factis ; mediocritate nostra, et in concilio assidentibus ei sanctissimis metropolitanis audientibus, hodierno die perlectum esset : indicatus Sidæ metropolitanus Nicetas petebat, ut

alia quoque sententia de iis, quæ decretum illud accepissent, ferretur. Itaque pronunciatum a nobis est, ut de donationibus suburbanorum, vel ædificiorum, exposita per scripturam ad aliquos ab ipso instrumenta, pro nullis ducantur eam ob causam, quod illas nec augustæ leges, nec sacri canones agnoscant. Annuarum vero donationum assignationes, quæ particulares sunt, nec admodum metropolim gravant, si factæ sint ad nonnullos, quos in confesso sit, esse dignos commiseratione, sive quod prorsus inopes sint, sive quod præstandis metropoli servitiis, aut ipsi metropolitano, prosint; itidemque semirutorum locationes, quæ temporariæ, non perpetuæ sint, locorum cæteroqui prorsus inutilium metropoli, siquidem et ipsæ annua donatione, prout sacris legibus continetur, expositæ sint, nequaquam revocandas statuimus.

IV. *De translationibus episcoporum.*

Magnus ille Pater et lumen orbis, sanctus Gregorius Theologus, cum Sasimorum fuisset episcopus, factus est etiam Nazianzenus antistes. Deinde in secunda synodo CL sanctorum Patrum, regnante Theodosio Magno, in præsentia pontificum, Dalmatæ, inquam, papæ Romani, Timothei Alexandrini, Meletii Antiocheni, et Cyrilli Hierosolymitani, eidem huic magno lumini confirmatus est episcopatus Constantinopolitanus, episcopis illum invitum in patriarchali solio collocantibus adhibita vi, quo in solio conspicuus fuit annis XII, anno XIII imperii Theodosii minoris, Arcadii filii, magnus ille Proclus ordinatus episcopus Cyzici sub Sisinnio patriarcha, non admissus, in otio vixit. Post depositionem vero Nestorii, decretus ei quidem est episcopatus Constantinopolitanus, sed in solio non est collocatus, ob invidiam pontificum, qui potentia sua tunc abutebantur. Postea vero, cum ordinatus isthic Maximianus diem obiisset; nec dum sepulto ipsius cadavere, arcessitus est, et in solio collocatus, etiam Cœlestino, papa Romano assentiente, ac episcopatum ei decernentibus magno illo Cyrillo et Joanne Antiocheno. Anno secundo imperii Artemii, qui et Anastasius et Dicorus fuit dictus (28), metropolitanus Cyzici, magnus ille Germanus translatus est in solium Constantinopolitanum. Hermias Sozomeni filius scribit episcopum Trapezuntis Anthimum factum esse patriarcham Constantinopolitanum sub Constantio. Meletius episcopus Sebasteæ, in Armenia, translatus est Antiochiam. Alexander episcopus civitatis cujusdam Cappadociæ, translatus est Hierosolyma. Eustathius episcopus magnæ illius Berrhœæ, sive Chalepi (29), translatus est Antiochiam Syriæ. Perigenes ordinatus episcopus Patrensis, auctoritate Papæ, nec receptus, cum mansisset

A Νικήτας ἐζήτει καὶ ἑτέραν γνώμην ἐπὶ τοῖς ψηφισθεῖσιν ἐξενεχθῆναι. Τοίνυν καὶ διεγνώσθη ἡμῖν, τὰ μὲν ἐπὶ δωρεαῖς προαστείων ἢ οἰκημάτων συνισταμένων ἐκτεθέντα ἔγγραφα πρός τινας παρ' ἐκείνου, ἀντ' οὐδενὸς λογισθῆναι· διὰ τὸ μήτε θείοις νόμοις αὐτὰς, μήτε μὴν ἱεροῖς κανόσιν ἐπιγινώσκεσθαι. Δόσεων δὲ ἐτησίων τυπώσεις, μερικαὶ μέντοι καὶ αὗται, καὶ μὴ ἐπιπολὺ βαρύνουσαι τὴν μητρόπολιν, εἰ προέβησαν πρός τινας τῶν ὁμολογουμένως συμπαθείας ἀξίων, εἴτε διὰ τὸ ἐκείνων παντάπορον, εἴτε μὴν διὰ τὸ ἐπί τισι δουλείαις τῆς μητροπόλεως, ἢ καὶ αὐτοῦ τυχὸν τοῦ μητροπολίτου συμβαλέσθαι αὐτοὺς, ἀλλὰ καὶ ἐρειποτοπίων ἐκδόσεις, καιρικάς τε καὶ οὐ διηνεκεῖς, ἀσυντελῶν τῇ μητροπόλει παντάπασιν, εἰ ἐπὶ ἐτησίῳ καὶ αὗται δόσει κατὰ τὴν
B τῶν θείων νόμων περίληψιν ἐξετέθησαν, οὐμενοῦν ταύτας ἀθετηθῆναι διαγινώσκομεν.

Δ'. *Περὶ μεταθέσεων.*

Ὁ Μέγας Πατὴρ καὶ φωστὴρ τῆς οἰκουμένης ἅγιος Γρηγόριος ὁ Θεολόγος, ἐπίσκοπος γενόμενος Σασίμων, ἐγένετο καὶ Ναζιανζοῦ. Εἶτα ἐν τῇ δευτέρᾳ συνόδῳ τῶν ρν' ἁγίων Πατέρων, βασιλεύοντος τοῦ μεγάλου Θεοδοσίου, συνόντων καὶ ἀρχιερέων, φημὶ δὴ, Δαλμάτου πάπα Ῥώμης, Τιμοθέου Ἀλεξανδρείας, Μελετίου Ἀντιοχείας, καὶ Κυρίλλου Ἱεροσολύμων, αὐτῷ τῷ μεγάλῳ φωστῆρι ἐκυρώθη ἡ ἐπισκοπὴ Κωνσταντινουπόλεως, καὶ ἄκοντα τοῦτον τῷ πατριαρχικῷ θρόνῳ ἐνίδρυσαν βιασάμενοι ἐν ᾧ διέτρεψε χρόνους ιβ'. Ἐν τῷ ιγ' ἔτει τῆς βασιλείας
C Θεοδοσίου τοῦ μικροῦ, τοῦ υἱοῦ Ἀρκαδίου, ὁ μέγας Πρόκλος, ἐπίσκοπος Κυζίκου χειροτονηθεὶς ἐπὶ Σισιννίου πατριάρχου, ἐσχόλασε μὴ δεχθείς. Μετὰ δὲ τὴν καθαίρεσιν Νεστορίου, ἐψηφίσθη μὲν Κωνσταντινουπόλεως, οὐκ ἐνεθρονίσθη δὲ διὰ φθόνον τῶν παραδυναστευόντων τότε ἀρχιερέων. Μετὰ δὲ τοῦτο, τοῦ χειροτονηθέντος Μαξιμιανοῦ τελευτήσαντος, ἔτι κειμένου τοῦ λειψάνου αὐτοῦ, προσεκλήθη καὶ ἐνεθρονίσθη Κωνσταντινουπόλεως, συναινέσει καὶ τοῦ Κελεστίνου πάπα Ῥώμης, συμψήφων γενομένων καὶ
D τοῦ μεγάλου Κυρίλλου, καὶ Ἰωάννου Ἀντιοχείας. Ἐν τῷ δευτέρῳ ἔτει τῆς βασιλείας Ἀρτεμίου, τοῦ καὶ Ἀναστασίου τοῦ Δικόρου, ὁ μητροπολίτης Κυζίκου μέγας Γερμανὸς, μετετέθη εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον. Ὁ Σωζομενοῦ Ἑρμείας γράφει, ὅτι ὁ Τραπεζοῦντος Ἄνθιμος γέγονε πατριάρχης Κωνσταντινουπόλεως, ἐπὶ Κωνσταντίου. Μελέτιος [88] ἐπίσκοπος Σεβαστείας τῆς Ἀρμενίας, μετετέθη εἰς Ἀντιόχειαν. Ἀλέξανδρος ἐπίσκοπος μιᾶς τῶν ἐκ Καππαδοκίας πόλεων, μετετέθη εἰς Ἱεροσόλυμα. Εὐστάθιος ἐπίσκοπος τῆς μεγάλης Βερρόης ἤτοι τοῦ Χάλεπ, μετετέθη εἰς Ἀντιόχειαν τῆς Συρίας. Περιγένης ἐπίσκοπος χειροτονηθεὶς Πατρῶν, παρὰ τοῦ Πάπα, καὶ μὴ δεχθεὶς, ἀλλὰ μείνας σχολάζων, παρὰ τοῦ Πάπα μετετέθη εἰς Κόρινθον τὴν

VARIÆ LECTIONES.

[88] μελίτιος.

NOTÆ.

(28) Quod diversi coloris pupulas in oculis haberet. Constant. Manasse auctore.
(29) Vulgo nunc Alepo vocant.

μητρόπολιν χηρεύουσαν, καὶ διὰ βίου τῆς τοιαύτης προέστη Ἐκκλησίας. Ὁ Ἀντιοχείας ἐπίσκοπος μετήγαγεν εἰς Ταρσὸν τῆς Κιλικίας, Δοσίθεον τὸν Σελευκείας ἐπίσκοπον. Ῥεβενὸς ἐπίσκοπος, ἄρχων τῆς Φοινίκης [59-60], μετετέθη εἰς Τύρον. Ἰωάννης ἐπίσκοπος Γόρδου τῆς Λυδίας, μετετέθη εἰς Προικόνησον. Παλλάδιος Ἑλένου [61] μετηνέχθη εἰς Ἄππωνα [62]. Ἀλέξανδρος Ἑλενουπόλεως μετηνέχθη εἰς Ἀδρανούς. Θεοσέβιος τῆς ἐν Ἀσίᾳ Ἀπαμείας, μετηνέχθη εἰς Εὐδοξιανόπολιν Καλαβρίας καλουμένην [63]. Ὀπτίμιος, ἀπὸ Γδαμάβης [64] τῆς Φρυγίας, μετηνέχθη εἰς Ἀντιόχειαν τῆς Πισιδίας. Ἱεροφύλαξ Τραπεζοπόλεως τῆς Φρυγίας, μετηνέχθη εἰς Πλουτινόπολιν [65] τῆς Θρᾴκης. Ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου, τῶν Ἀγαρηνῶν κρατησάντων τὴν Κύπρον, ἐδόθη ἡ μητρόπολις Κυζίκου σὺν ταῖς ἐπισκοπαῖς αὐτῆς τῷ ἀρχιεπισκόπῳ Κύπρου. Μετὰ δὲ τὴν ἑβδόμην σύνοδον, ἐπὶ τῆς βασιλείας Εἰρήνης, παρόντων καὶ ἀρχιερέων, Ἀδριανοῦ πάπα Ῥώμης διὰ τοποτηρητῶν, τοῦ Ἀλεξανδρείας, τοῦ Ἀντιοχείας, καὶ πολλῶν μητροπολιτῶν, ἑῴων τε καὶ ἑσπερίων, διὰ τὴν χειροτονίαν τοῦ πατριάρχου Κωνσταντινουπόλεως Ταρασίου τοῦ Πρωτοσεβαστοῦ, γέγονεν ὑπὸ πάντων πατριάρχης Ἀλεξανδρείας ὁ μητροπολίτης Θεσσαλονίκης, ὡς φησι Θεοφάνης ὁ ὁμολογητής, ὁ μεγαλοαγρίτης. Πολύκαρπος Δεξανταπριστῶν [66] τῆς Μυσίας, μετηνέχθη εἰς Νικόπολιν τῆς Θρᾴκης. Ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ Μακεδόνος, Βασίλειος ὁ Κρήτης μετετέθη εἰς Θεσσαλονίκην παρὰ Ἰγνατίου πατριάρχου, ὡς γέγραπται ἐν τῷ βίῳ τοῦ αὐτοῦ Ἰγνατίου. Ἰωάννης τῆς Βαϊμᾶ ἐπίσκοπος μετετέθη εἰς Ἀλεξάνδρειαν πατριάρχης ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Φιλοσόφου, καὶ Φωτίου πατριάρχου. Γρηγόριος ἐπίσκοπος Συρακουσίων, μετετέθη εἰς Νίκαιαν. Καὶ Ἰωάννης Λαρίσσης, μετετέθη εἰς τὰ Σύναδα. Καὶ Ἀμφιλόχιος Κυζίκου, εἰς Νίκαιαν. Ὁ Μάκρης Θεόδωρος μετετέθη εἰς Λαοδίκειαν. Καὶ Νίκων τῆς αὐτῆς πόλεως ἐπίσκοπος, μετετέθη εἰς Ἱεράπολιν. Καὶ ὁ τῆς ἐν Ἑλλάδι Νικοπόλεως ἐπίσκοπος Δανιήλ, μετετέθη εἰς Ἄγκυραν τῆς Γαλατίας. Καὶ Συμεὼν ὁ Νέων Πατρῶν ἐπίσκοπος, μετετέθη εἰς Λαοδίκειαν. Ἐπὶ τῆς βασιλείας Ῥωμανοῦ τοῦ Λακαπηνοῦ, ἐγένετο πατριάρχης Κωνσταντινουπόλεως Στέφανος εὐνοῦχος, ὁ Ἀμασείας μητροπολίτης. Καὶ ὁ ἀοίδιμος βασιλεὺς κῦρος Νικηφόρος ὁ Φωκᾶς, ἀπὸ τῆς Φλαμιάδος [67] ἀγαγὼν τὸν ἐπίσκοπον Εὐστάθιον, κοινῇ ψήφῳ ἐποίησε πατριάρχην Ἀντιοχείας τῆς μεγάλης. Ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ Πορφυρογεννήτου ἐδόθη τῷ μητροπολίτῃ Πατρῶν ἡ ἐπισκοπὴ Κορίνθου, ὡς γράφει ὁ Σεβαστείας Θεόδωρος, καὶ Λέων Συνάδων. Ἐπὶ τῆς αὐτῆς βασιλείας, κατὰ τὴν τοῦ Σκληροῦ ἀποστασίαν, ὡς γράφει ὁ αὐτὸς Θεόδωρος, Ἀγάπιος ὁ Σελευκείας τῆς Πιερίας

vacans, translatus est a Papa Corinthum, metropolim tunc episcopo viduatam, quamque diu vixit, ei præfuit Ecclesiæ. Antiochenus episcopus transtulit Tarsum Ciliciæ Dositheum Seleuciensem episcopum. Rebenus episcopus [b], cum Phœniciæ præesset, translatus est Tyrum. Joannes episcopus Gordi Lydiæ, translatus est Prœconesum. Palladius episcopus Heleni, translatus est Apponem. Alexander Helenopolitanus translatus est Adranos [c]. Theosebius episcopus Apameæ in Asia, translatus est Eudoxianopolim Calabriæ vocatam [d]. Optimus a Gdamaba [e] Phrygiæ, translatus est Antiochiam Pisidiæ. Hierophylax episcopus Trapezopolis in Phrygia, translatus est Plotinopolim Thraciæ. Imperante Constantino Barbato, cum Agareni Cyprum occupassent, data est metropolis Cyzici, cum episcopatibus ejus, archiepiscopo Cypri. Post septimam vero synodum, sub imperio Irenæ, præsentibus et pontificibus, Adriano papa Romano per locum tenentes, Alexandrino, Antiocheno, multisque metropolitanis, tam Orientalibus quam Occidentalibus ob ordinationem patriarchæ Constantinopolitani Tarasii, prius Protosebasti factus est ab omnibus Alexandrinus patriarcha, qui Thessalonicensis erat metropolitanus, sicut narrat Theophanes confessor, magnus ille Agri præfectus. Polycarpus episcopus Dexantapristensis [f] in Mysia, translatus est Nicopolim Thraciæ. Imperante Basilio Macedone, Basilius episcopus Cretensis translatus est Thessalonicam ab Ignatio patriarcha, sicut in ejusdem Ignatii Vita scriptum est. Joannes episcopus Baimæ, translatus est Alexandriam, ut esset patriarcha, sub imperio Leonis Philosophi, et Photii patriarchæ. Gregorius episcopus Syracusanus, translatus est Nicæam. Et Joannes Larissenus, translatus est Synada. Et Amphilochius Cyzicenus, Nicæam. Episcopus Macræ Theodorus, translatus est Laodiceam. Et ejusdem civitatis episcopus Nico, translatus est Hierapolim. Et in Græcia sitæ Nicopolis episcopus Daniel, translatus est Ancyram Galatiæ. Et Symeon Neopatrensis episcopus, translatus est Laodiceam. Imperante Romano Lacapeno, factus est patriarcha Constantinopolitanus Stephanus eunuchus, Amaseæ metropolitanus. Et inclytus imperator ille, dominus Nicephorus Phocas, Phlamiade [g] deductum Eustathium episcopum, communi decreto patriarcham magnæ illius Antiochiæ fecit. Imperante Basilio in porphyra nato, datus est metropolitano Patrensi episcopatus Corinthius, ut scribit episcopus Sebasteæ Theodorus, et Leo Synadensis. Sub ejusdem imperio, tempore defectionis Scleri, sicut idem ille Theodorus me-

VARIÆ LECTIONES.

[59-60] Ῥεβερέντιος ἐπίσκοπος ἀπὸ ἀρχῶν τῆς φοινίκης. [61] Ἑλενουπόλεως. [62] Ἀσπώναν. [63] Εὔδοξ οὐπολίν, Σαλαβρίαν καλουμένην. [64] Ἀγδαμίας. [65] Πλωτινόπολιν. [66] ἐξ ἀνταπριστῶν. [67] Φλαβιάδος.

[b] *al. Reverentius episcopus ab Arcis Phœniciæ, et cæt.* [c] *Aspona.* [d] *Eudoxiopolim, quæ Salabria dicitur.* [e] *al. ab Agdamia.* [f] *al. Polycarpus ex Antapristis* [g] *al. Flaviade.*

moriæ prodit, Agapius archiepiscopus Seleuceæ, civitatis in Pieria sitæ, factus est Hierosolymorum patriarcha : qui hanc in urbem profectus, ministerium sacrum obivit una cum beatissimo sanctissimoque patriarcha, domino Nicolao, et cum sacra synodo. Celestinus papa Romanus scribit epistolis tribus ad Cyrillum Alexandrinum, Joannem Antiochenum, Rufum Thessalonicensem, nullo modo canonibus adversari translationem episcoporum, ab una civitate in aliam, quemadmodum Sozomeni filius Hermias ait. Quippe migratio prohibita est[h], non translatio. Silvanus ille miraculorum opifex a Philippopoli Thraciæ translatus est Troadem. Eudoxius Antiochiam translatus ex Germanica, factus est etiam patriarcha Constantinopolitanus. Joannes Codonatus a patriarchatu magnæ illius Antiochiæ translatus est ad metropolim Torensem[i]. Aliique plures ad alias atque alias. In diebus autem sancti Patris nostri Nicetæ patriarchæ Constantinopolitani, monachus ille Pentactenes et Pentailas, primum a Rosianis translatus est ad archiepiscopatum Lemnium : deinde data est etiam ei Maronea. Imperante Alexio Comneno, Sabas episcopus Cæsareæ Philippi, factus est Hierosolymorum patriarcha et huc profectus, obivit ministerium sacrum una cum sanctissimo patriarcha Nicolao, et synodo. Nicolaus Muzalo, cum erat archiepiscopus Cypri, renuntiavit ei throno : dataque est ei mansio Cosmidii, cui præfuit annis... deinde factus est etiam patriarcha Constantinopolitanus. Sub sanctissimo patriarcha, domino Michaele, præsentibus etiam Antiocheno, et Hierosolymitano, et imperatoriis magistratibus, in synodo, Michael quidam renuntiatus episcopus Amaseæ, qui deinde tanquam vacans acceperat Ancyram, loco illius Cerasuntem translatus fuit, cujus throno potitus est, ad inferiora detrusus. Nicephorus metropolitanus Gangræ, factus prior Cosmidii, tanquam vacans, accepit et metropolim Amastrim. Leontopolitanus accepit, ut vacans, Arcadiopolim. Episcopus Athyræ accepit Sergentzam[j]. Axiopolitano[k] vacanti, data primum est Abydus : postea vero, etiam Apros. Episcopo Alaniæ data est Soteriopolis. Petrus Mongus mandato Acacii patriarchæ Constantinopolitani, translatus est ab Euchaitis ad patriarchatum Alexandrinum. Narcissus Hierosolymorum patriarcha, ex episcopatu Fladiadi[l] qui subest metropoli Navarzæ, abduxit virum sanctum Alexandrum et Hierosolymorum patriarcham ordinavit, imperante Alexandro Mamææ filio, sicut inquit Eusebius Pamphilides suis in historiis ecclesiasticis, ac non in libro Demonstrationis ecclesiasticæ. Ex eodem episcopatu Fladiadis dominus Nicephorus Phocas, communi decreto per auream

A ἀρχιεπίσκοπος, γέγονε πατριάρχης Ἱεροσολύμων. Ὃς εἰσελθὼν ἐνταῦθα, συνελειτούργησε τῷ μακαριωτάτῳ καὶ ἁγιωτάτῳ πατριάρχῃ κυρῷ Νικολάῳ, καὶ τῇ ἱερᾷ συνόδῳ. Ὁ Ῥώμης πάπας Κελεστῖνος γραφει δι' ἐπιστολῶν τριῶν πρός τε τὸν Ἀλεξανδρείας Κύριλλον, Ἰωάννην τὸν Ἀντιοχείας, καὶ Ῥοῦφον Θεσσαλονίκης, καταμηδέντι προσίστασθαι τοῖς κανόσι τὴν μετάστασιν τῶν ἐπισκόπων, ἀπὸ ἑτέρας πόλεως εἰς ἑτέραν, ὡς ὁ Σωζομενοῦ λέγει Ἑρμείας. Ὅτι ἡ μετάβασις κεκώλυται, οὐ μὴν ἡ μετάθεσις. Σιλβανὸς ὁ θαυματουργὸς ἀπὸ Φιλιππουπόλεως τῆς ἐν Θράκῃ, εἰς Τρωάδα. Εὐδόξιος ὁ μετατεθεὶς ἐκ Γερμανικῆς εἰς Ἀντιόχειαν, ἐγένετο καὶ πατριάρχης Κωνσταντινουπόλεως, Ἰωάννης ὁ Κωδωνᾶτος, μετετέθη ἀπὸ τοῦ πατριαρχείου τῆς μεγάλης Ἀν-
B τιοχείας, εἰς τὴν μητρόπολιν Τόρων[68]· καὶ πολλοὶ ἕτεροι, εἰς ἄλλας καὶ ἄλλας. Ἐπὶ δὲ τῶν ἡμερῶν τοῦ ὁσίου Πατρὸς ἡμῶν Νικήτα πατριάρχου Κωνσταντινουπόλεως, ὁ μοναχὸς Πεντακτένης καὶ Πενταΐλᾶς, ἀπὸ Ῥωσιάνων πρότερον μετετέθη εἰς τὴν ἀρχιεπισκοπὴν Λήμνον· εἶτα ἐδόθη αὐτῷ καὶ ἡ Μαρώνεια. Ἐπὶ τῆς βασιλείας Ἀλεξίου τοῦ Κομνηνοῦ Σάβας Καισαρείας τῆς Φιλίππου, γέγονε πατριάρχης Ἱεροσολύμων· καὶ ἐλθὼν ἐνταῦθα, συνελειτούργησε τῷ ἁγιωτάτῳ πατριάρχῃ Νικολάῳ καὶ τῇ συνόδῳ. Νικόλαος ὁ Μουζάλων, ἀρχιεπίσκοπος Κύπρου γενόμενος, παρῃτήσατο τὸν θρόνον τῆς Κύπρου· καὶ ἐδόθη αὐτῷ ἡ μονὴ τοῦ Κοσμιδίου, καὶ προέστη αὐτῆς ἐπὶ χρόνοις. . . . . ἔπειτα γέγονε καὶ πατριάρχης Κωνσταντινουπόλεως. Ἐπὶ τοῦ
C ἁγιωτάτου πατριάρχου, κυροῦ Μιχαήλ, συμπαρόντων καὶ τοῦ Ἀντιοχείας, καὶ τοῦ Ἱεροσολύμων, καὶ ἀρχόντων βασιλικῶν, συνοδικῶς, Μιχαήλ τις ἐπικηρυχθεὶς Ἀμασείας, εἶτα ὡς σχολάζων τὴν Ἀγκυραν λαβὼν, καὶ τὸν τόπον αὐτῆς, τῇ τοῦ Κερασοῦντος μετετέθη. Καὶ τοῦ θρόνου ταύτης ἐγκρατὴς γέγονεν ὑποβιβασθείς. Νικηφόρος μητροπολίτης Γάγγρας, ἡγούμενος γεγονὼς τοῦ Κοσμιδίου, ἔλαβεν ὡς σχολάζων καὶ τὴν μητρόπολιν Ἀμαστριν. Ὁ Λεοντοπόλεως ἔλαβεν ὡς σχολάζων τὴν Ἀρκαδιούπολιν. Ὁ ἐπίσκοπος Ἀθύρα ἔλαβε τὴν Σεργέντζην[69]. Τῷ Ἀξιουπόλεως[70] σχολάζοντι, ἐδόθη πρότερον ἡ Ἄβυδος· ὕστερον δὲ, καὶ ὁ Ἄπρως. Τῷ Ἀλανίας ἐδόθη ἡ Σωτηριούπολις. Πέτρος ὁ Μογγὸς ἐντολῇ
D Ἀκακίου πατριάρχου Κωνσταντινουπόλεως, μετετέθη ἀπὸ Εὐχαΐτων εἰς Ἀλεξάνδρειαν πατριάρχης. Ὁ πατριάρχης Ἱεροσολύμων Νάρκισσος, ἀπὸ τῆς ἐπισκοπῆς Φλαδιάδου[71], ἥτις ἐστὶν ὑπὸ τὴν μητρόπολιν Ναυάρζης, ἤγαγε τὸν ἐν ἁγίοις Ἀλέξανδρον, καὶ ἐχειροτόνησε πατριάρχην Ἱεροσολύμων, ἐπὶ τῆς βασιλείας Ἀλεξάνδρου τοῦ Μαμαίας, ὡς φησιν Εὐσέβιος ὁ Παμφίλου ἐν ταῖς ἐκκλησιαστικαῖς αὐτοῦ ἱστορίαις, καὶ οὐχὶ ἐν τῇ βίβλῳ τῆς ἐκκλησιαστικῆς αὐτοῦ ἀποδείξεως. Ἀπὸ τῆς αὐτῆς ἐπισκοπῆς Φλαδιάδος ὁ κῦρος Νικηφόρος ὁ Φωκᾶς κοινῇ ψήφῳ δι-

VARIÆ LECTIONES.

[68] Τυρίων, [69] Σεργενίτζην. [70] Ἀλεξιουπόλεως. [71] Φλαδιάδος, forte Φλαδιάδος.

[h] *quam sponte quis instituit.* [i] *Tyriensem.* [j] *Sergenitzam.* [k] *Alexiopolitano.* [l] *Fladiadis forte Flaviadis.*

χρυσοβούλλου αὐτοῦ ἀγαγὼν τὸν ἐπίσκοπον Εὐστράτιον, ἐποίησε χειροτονηθῆναι πατριάρχην Ἀντιοχείας τῆς μεγάλης, ἀποσπασθείσης τῆς δηλωθείσης ἐπισκοπῆς Ναουάρζου, καὶ ἑνωθείσης τῷ πατριαρχείῳ Ἀντιοχείας.

bullam suam, deductum episcopum Eustratium, curavit ordinari patriarcham Antiochiæ magnæ; cum is episcopatus avulsus esset ab indicato episcopatu Navarzæ, atque unitus Antiocheno patriarchatui.

ΤΟ ΚΑΘΗΚΟΝ ΚΑΙ ΟΡΟΣ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ.

Ἀπὸ τοῦ νομίμου βιβλίου Βασιλείου, Κωνσταντίνου, καὶ Λέοντος, ἀπὸ τοῦ β' τίτλου, κεφαλ. α'.

Πατριάρχης ἐστὶν εἰκὼν Χριστοῦ ἔμψυχος, δι' ἔργων καὶ λόγων ἐν ἑαυτῇ χαρακτηρίζουσα τὴν ἀλήθειαν.

Σκοπὸς τῷ πατριάρχῃ, πρῶτον μὲν, οὓς ἐκ Θεοῦ παρέλαβεν, ἐν εὐσεβείᾳ καὶ σεμνότητι βίου διαφυλάξαι. Ἔπειτα δὲ καὶ πάντας τοὺς αἱρετικοὺς κατὰ τὸ δυνατὸν αὐτῷ, πρὸς τὴν ὀρθοδοξίαν καὶ τὴν ἕνωσιν τῆς Ἐκκλησίας ἐπιστρέφειν. Αἱρετικοὶ δὲ τοῖς νόμοις καὶ τοῖς κανόσι καλοῦνται, οἱ τῇ καθολικῇ μὴ κοινωνοῦντες Ἐκκλησίᾳ, ἔτι δὲ καὶ τοὺς ἀπίστους, διὰ τῆς λαμπρᾶς, καὶ περιφανεστάτης, καὶ θαυμασίας αὐτοῦ πράξεως ἐκπλήττων, μιμητὰς ποιῆσαι τῆς πίστεως.

Τέλος τῷ πατριάρχῃ, ἡ τῶν καταπεπιστευμένων αὐτῷ ψυχῶν σωτηρία, καὶ τὸ ζῆν μὲν Χριστῷ, ἐσταυρῶσθαι δὲ τῷ κόσμῳ.

Ἴδια πατριάρχου, τὸ εἶναι διδακτικὸν, τὸ πρὸς πάντας, ὑψηλούς τε καὶ ταπεινοὺς, ἀστενοχωρήτως ἐξισοῦσθαι. Καὶ πρᾷον μὲν εἶναι πρὸς ἅπαντας τοὺς ἐντυγχάνοντας, κἂν ταῖς διδασκαλίαις· ἐλεγκτικὸν δὲ, πρὸς τοὺς ἀπειθοῦντας. Ὑπὲρ δὲ τῆς ἀληθείας, καὶ τῆς συντηρήσεως τοῦ δικαίου, καὶ τῆς εὐσεβείας, λαλεῖν ἐνώπιον βασιλέως, καὶ μὴ αἰσχύνεσθαι.

Τῆς πολιτείας ἐκ μερῶν καὶ μορίων, ἀναλόγως τῷ ἀνθρώπῳ, συνισταμένης· τὰ μέγιστα καὶ ἀναγκαιότατα μέρη ὁ βασιλεύς ἐστι, καὶ ὁ πατριάρχης. Διὸ καὶ ἡ κατὰ ψυχὴν καὶ σῶμα τῶν ὑπηκόων εἰρήνη καὶ εὐδαιμονία, βασιλείας ἐστὶ καὶ ἀρχιερωσύνης ἐν πάσῃ ὁμοφροσύνῃ συμφωνία.

OFFICIUM ET DEFINITIO PATRIARCHÆ.

Ex libro de jure, qui est Basilii, Constantini, et Leonis, tit. II, *cap.* I.

Patriarcha est imago Christi viva et animata, operibus et verbis in se ipsa veritatem exprimens.

Scopus patriarchæ propositus, est primum quidem, ut quos a Deo accepit, in pietate ac honestate vitæ conservet. Deinde, ut omnes hæreticos pro virili sua convertat ad rectam veritatis sententiam, et unitatem Ecclesiæ. Vocantur autem hæretici tam in legibus quam canonibus qui Ecclesiæ catholicæ societate non continentur. Præterea ut infideles quoque claris, et illustrissimis, et admirabilibus factis suis stupefaciens, imitatores fidei reddat.

Finis patriarchæ, creditarum sibi animarum salus, et Christo quidem vivere, mundo vero crucifixum esse.

Propria patriarchæ, facultate docendi pollere, atque erga universos tam sublimes, quam humiles, æquabiliter absque animi contractione semet gerere. Ac mansuetum quidem esse erga omnes se convenientes, etiam in docendo: at in redarguendis contumacibus, acrem. Pro veritate, ac æqui justique conservatione, proque pietate, coram imperantibus loqui, nec erubescere.

Cum respublica ex partibus et membris, ad similitudinem corporis humani, constet, amplissimæ hujus maximeque necessariæ partes sunt, imperator et patriarcha. Ideoque subditorum pax atque felicitas, tam animi ratione, quam corporis, est imperii atque pontificatus in omni unanimitate consensus.

ΟΣΟΙ ΕΠΕΣΚΟΠΕΥΣΑΝ ΕΝ ΒΥΖΑΝΤΙΩ.

Πρῶτος ὁ μέγας ἀπόστολος Ἀνδρέας ἐν αὐτῷ τὸν λόγον κηρύξας, καὶ εὐκτήριον οἶκον πέραν ἐν Ἀργυροπόλει δειμάμενος, χειροτονεῖ ἐπίσκοπον τῆς αὐτῆς πόλεως Στάχυν, οὗ μέμνηται ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ· Στάχυς οὖν, ἔτη ις'.

SERIES EPISCOPORUM BYZANTII (30).

Primus ille magnus apostolus Andreas, cum Byzantii doctrinam [christianam] prædicasset, ac domum precum habendarum ad Argyropolim e regione urbis condidisset, eidem urbi Stachym ordinat episcopum, cujus meminit apostolus in epistola ad Romanos. Itaque Stachys præfuit annis XVI.

Ὀνήσιμος, ἔτη ιδ'.
Πολύκαρπος, ἔτη ιη'.
Πλούταρχος, ἔτη ις'.
Σεδεκίων, ἔτη θ'.
Διογένης, ἔτη ιε'.
Ἐλευθέριος, ἔτη ζ'.
Φῆλιξ, ἔτη ε'.
Ἀθηνογένης, ἔτη δ'. Οὗτος ἕτερον οἶκον ἔκτισεν

Onesimus, an. XIV.
Polycarpus, an. XVIII.
Plutarchus, an. XVI.
Sedecio, an. IX.
Diogenes, an. XV.
Eleutherius, an. VII.
Felix, an. V.
Athenogenes, an. IV. hic alteram domum condi-

NOTÆ.

(30) Qui deinde sub Constantino Magno Aug. facti sunt patriarchæ.

dit, eo loco, qui Elæa, dicitur; ibique conventus hominum habuit.

Euzoius, an. XVI.

Laurentius, an. XI, mens. VI.

Alypius, an. XIII, mens. VI.

Pertinax consularis e senatu Romano, an. XIX. Hic aliam exstruxit ecclesiam in loco maritimo, quem Sycas [m] vocant, eique Pacis nomen indidit.

Olympianus, an. XI.

Marcus, an. XIII.

Cyriacus, an. XVI.

Castinus, an. VII. Hic intra ipsum Byzantium, ad Petrium (id nomen loci est) exstruxit oratorium sanctæ Euphemiæ, quæ tunc martyr facta fuerat.

Tratus, an. XXXV, mens. VI.

Domitianus [n], frater imperatoris Probi, an. XXIV. mens. VI.

Probus, ejusdem Domitii filius, annis XII.

Metrophanes, frater ejusdem Probi, Domitii filii, qui, regnante Constantino magno, factus est ab eodem imperatore Patriarcha Constantinopolis. Præfuit an. X.

Alexander, imperante Constantino, an. XXIII.

Paulus, confessor, an. X. Hic ejectus, et in confessione mortuus est.

Eusebius Arianus, primo Berytl, deinde Nicomediæ, postea Constantinopolis, annis XII.

Macedonius presbyter ejusdem Ecclesiæ, sancti spiritus oppugnator, an. XII.

Eudoxius Arianus, Germanicea, hinc Antiochea, postea Constantinopolis, imperante Juliano, rursumque Joviano, an. VIII.

Demophilus Arianus, Beroæ in Thracia, postea Constantinopolis, annis XI, mensibus V.

Evagrius orthodoxus, ordinatus ab Eustathio Antiocheno, confestim actus est in exsilium a Valente, cum pontificatum gessisset an. IV.

Gregorius Theologus, cum antea Sasimorum fuisset episcopus, Theodosio magno imperium obtinente, renuntiatus est antistes Constantinopolis; confirmato ipsi throno auctoritate synodi, ut qui labores sustinuisset graves, et ab hæresium lepra liberasset eam Ecclesiam. Cum autem nonnullos pontifices Ægyptios intellexisset vir beatissimus invidere negotio suo, pronuntiata de componendis rebus oratione, throno urbis imperatricis ultro cessit, cum pontifex annis XII fuisset.

Nectarius magistratum gerens, a CL Patribus simul et baptizatur, et ordinatur; Arcadio quoque regnante, pontificatum gerens, an. XVI, mens. VI.

Joannes Chrysostomus, an. V, mens. VI.

Arsacius presbyter, Nectarii frater, an. II.

Atticus presbyter Constantinopolitanus, imperante Theodosio minore, an. XX.

ἐν τῇ τοποθεσίᾳ τῇ λεγομένῃ Ἐλαίᾳ, καὶ ἐκεῖ τὰς συνάξεις ἐποίει.

Εὐζώϊος, ἔτη ις'.

Λαυρέντιος, ἔτη ια', μῆνας ς'.

Ἀλύπιος, ἔτη ιγ', μῆνας ς'.

Περτίναξ ὑπατικὸς τῆς ἐν Ῥώμῃ συγκλήτου, ἔτη ιθ'. Οὗτος ἑτέραν ἐκκλησίαν ἀνέστησεν ἐν παραθαλασσίῳ λεγομένῳ Συκαῖς, Εἰρήνην τὸν οἶκον προσαγορεύσας.

Ὀλυμπιανὸς, ἔτη ια'.

Μάρκος, ἔτη ιγ'.

Κυριακὸς, ἔτη ις'.

Καστῖνος, ἔτη ζ'. Οὗτος ἐν αὐτῷ τῷ Βυζαντίῳ, ἐν τῷ ἐπιλεγομένῳ Πετρίῳ, εὐκτήριον τῆς ἁγίας Εὐφημίας ἤγειρε, τότε μαρτυρησάσης.

Τράτος, ἔτη λε', μῆνας ς'.

Δομετιανὸς, ἀδελφὸς Πρόβου βασιλέως, ἔτη κδ, μῆνας ς'.

Πρόβος, τοῦ αὐτοῦ Δομετίου [n] υἱὸς, ἔτη ιβ'.

Μητροφάνης, ὁ ἀδελφὸς τοῦ αὐτοῦ Πρόβου, τοῦ υἱοῦ Δομετίου· ὃς ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου γέγονε παρ' αὐτοῦ Πατριάρχης Κωνσταντινουπόλεως, ἔτη ι'.

Ἀλέξανδρος, ἐπὶ Κωνσταντίνου, ἔτη κγ'.

Παῦλος, ὁ ὁμολογητὴς, ἔτη ι'. Οὗτος ἐξεβλήθη, καὶ ἐτελεύτησεν ἐν ὁμολογίᾳ.

Εὐσέβιος ὁ Ἀρειανὸς, πρῶτον Βηρυτοῦ, εἶτα Νικομηδείας, μετὰ ταῦτα Κωνσταντινουπόλεως, ἔτη ιβ'.

Μακεδόνιος πρεσβύτερος τῆς αὐτῆς Ἐκκλησίας, πνευματομάχος, ἔτη ιβ'.

Εὐδόξιος Ἀρειανὸς, Γερμανικείας, εἶτα Ἀντιοχείας, μετὰ ταῦτα Κωνσταντινουπόλεως, ἐπὶ Ἰουλιανοῦ, καὶ πάλιν ὁ αὐτὸς ἐπὶ Ἰοβιανοῦ, ἔτη η'.

Δημόφιλος ὁ Ἀρειανὸς, Βερόης τῆς Θρᾴκης, μετὰ τοῦτο Κωνσταντινουπόλεως, ἔτη ια', μῆνας ε'.

Εὐάγριος ὀρθόδοξος, χειροτονηθεὶς ὑπὸ Εὐσταθίου τῆς Ἀντιοχείας, παρευθὺς ἐξωρίσθη ὑπὸ Οὐάλεντος, ἀρχιερατεύσας ἔτη δ'.

Γρηγόριος ὁ Θεολόγος, πρότερον Σασίμων γενόμενος ἐπίσκοπος, ἐπὶ Θεοδοσίου τοῦ μεγάλου Κωνσταντινουπόλεως ἐπεκηρύχθη, ἐπικυρωθέντος αὐτῷ τοῦ θρόνου παρὰ τῆς συνόδου, ὡς πολλὰ καμόντι, καὶ τῆς λώβης τῶν αἱρέσεων τὴν Ἐκκλησίαν ἐλευθερώσαντι. Ὡς δέ τινας τῶν ἐξ Αἰγύπτου ἀρχιερέων μάθοι ὁ μακαριώτατος τῷ πράγματι φθονήσαντας, τὸν συντακτήριον ἐξέθετο λόγον, καὶ ἑκουσίως τοῦ τῆς βασιλίδος θρόνου ἐξίσταται, ἔτη ιβ' ἀρχιερατεύσας.

Νεκτάριος ἀξιωματικὸς, ὑπὸ τῶν ρν' Πατέρων ἅμα καὶ βαπτίζεται καὶ χειροτονεῖται, καὶ ἐπὶ Ἀρκαδίου ἀρχιερατεύει, ἔτη ις', μῆνας ς'.

Ἰωάννης ὁ Χρυσόστομος ἔτη ε', μῆνας ς'.

Ἀρσάκιος πρεσβύτερος, ἀδελφὸς Νεκταρίου, ἔτη β'.

Ἀττικὸς πρεσβύτερος Κωνσταντινουπόλεως ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, ἔτη χ'.

VARIÆ LECTIONES.

[n] Δομετιανοῦ.

[m] *hodie Pera, sive Galata.* [n] *al. Domitius.*

Σισίνιος πρεσβύτερος τῆς αὐτῆς Ἐκκλησίας, ἔτος α', μῆνας ι'.

Νεστόριος ὁ ἀνθρωπολάτρης, πρεσβύτερος Ἀντιοχείας, εἶτα Κωνσταντινουπόλεως, ἔτη γ', μῆνα; β'. Οὗτος καθαιρεθεὶς εὐλόγως ἐξωρίσθη ἐν Ὀάσει.

Μαξιμιανὸς πρεσβύτερος Κωνσταντινουπόλεως', ἔτη β', μῆνας ε'.

Πρόκλος, ὑπὸ Σισινίου χειροτονηθεὶς ἐπίσκοπος Κυζίκου, καὶ μὴ δεχθεὶς, ἐσχόλασε. Μετὰ δὲ θάνατον Μαξιμιανοῦ, γέγονε Κωνσταντινουπόλεως, κειμένου τοῦ λειψάνου αὐτοῦ ἐν τῷ διακονικῷ · ἀρχιερατεύσας ἔτη ιβ'.

Φλαβιανὸς πρεσβύτερος Κωνσταντινουπόλεως, ἔτη β', μῆνας ς'. Οὗτος ἐξεβλήθη ὑπὸ Διοσκόρου ἐν τῇ λῃστρικῇ συνόδῳ Ἐφέσου.

Ἀνατόλιος πρεσβύτερος, ἀποκρισιάριος Ἀλεξανδρείας, ἐπὶ Μαρκιανοῦ, καὶ ἐπὶ Λέοντος τοῦ μεγάλου. Ἀρχιερατεύσας ἔτη η', μῆνας η'.

Γεννάδιος πρεσβύτερος Κωνσταντινουπόλεως, ἔτη ιγ', μῆνας β'. Ἐπὶ τούτου ὁ Στούδιος ἔκτισε τὸν ναὸν τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου, καὶ μοναχὸν ἐκ τῶν Ἀκοιμήτων ἐγκατέστησεν εἰς αὐτόν. Ἐβασίλευε δὲ τότε Λέων ὁ Μέγας.

Φλαβίτας πρεσβύτερος τῆς ἁγίας Ἐκκλησίας Συκῶν, ἐπὶ Ζήνωνος, μῆνας γ', ἡμέρας ζ'.

Ἀκάκιος πρεσβύτερος, αἱρετικὸς, ἐπὶ Ἀναστασίου, ἔτη ιζ', μῆνας θ'.

Εὐφήμιος πρεσβύτερος Κωνσταντινουπόλεως, καὶ πτωχοτρόφος Νεαπόλεως, ἐξεβλήθη ὑπὸ Ἀναστασίου, ἀρχιερατεύσας ἔτη ις', μῆνας ζ'.

Μακεδόνιος, ἐξεβλήθη καὶ αὐτός.

Τιμόθεος πρεσβύτερος Κωνσταντινουπόλεως καὶ σκευοφύλαξ, ἐπὶ Ἀναστασίου καὶ Ἰουστίνου, ἔτη ς', ἥμισυ.

Ἰωάννης ὁ Καππαδόκης, πρεσβύτερος καὶ σύγκελλος τῆς αὐτῆς Ἐκκλησίας, ἐπὶ Ἰουστινιανοῦ, ἔτος α', μῆνας ι'.

Ἐπιφάνιος πρεσβύτερος Κωνσταντινουπόλεως καὶ σύγκελλος, ἔτη ις', μῆνας γ'.

Ἄνθιμος Τραπεζοῦντος ἐπίσκοπος πρότερον, εἶτα Κωνσταντινουπόλεως, μῆνας δ'. Οὗτος καθῃρέθη ὑπὸ τῆς κατὰ τοῦ Σεβήρου συνελθούσης συνόδου.

Μηνᾶς πρεσβύτερος Κωνσταντινουπόλεως καὶ Ξενοδόχος τῶν Σαμψὼν, ἔτη ις', μῆνας ς'.

Εὐτύχιος πρεσβύτερος καὶ μοναχὸς τοῦ ἐν Ἀμασείᾳ μοναστηρίου, ἔτη ιβ', μῆνας ε'. Οὗτος ἐξεβλήθη ὑπὸ Ἰουστινιανοῦ τῷ λ' ἔτει τῆς αὐτοῦ βασιλείας.

Ἰωάννης πρεσβύτερος Ἀντιοχείας, ὁ ἀπὸ σχολαστικῶν, ἔτη ιβ', μῆνας ς'. Οὗτος ἐπὶ Ἰουστίνου υἱοῦ Ἰουστινιανοῦ, καὶ ἐπὶ Τιβερίου.

Εὐτύχιος πάλιν ἀποκατέστη, ὁ πρότερον, ἐπὶ τοῦ αὐτοῦ Τιβερίου· ἀρχιερατεύσας αὖθις ἔτη δ', μῆνας ς'.

Ἰωάννης διάκονος τῆς μεγάλης Ἐκκλησίας, ὁ Νηστευτὴς, ἐπὶ Μαυρικίου, ἔτη ιγ', μῆνας ε'.

Κυριακὸς πρεσβύτερος τῆς αὐτῆς μεγάλης Ἐκ-

A Sisinius presbyter ejusdem Ecclesiæ an. I, mens. X.

Nestorius, hominis cultor, presbyter Antiochenus, postea Constantinopolitanus. an III, mens. II. Hic justa de causa depositus, in Oasim deportatus fuit.

Maximianus presbyter Constantinopolitanus, an. II, mens. V.

Proculus, a Sisinio Cyzici episcopus ordinatus, et non admissus, vacavit. A morte vero Maximiani, factus est antistes Constantinopolis, cum illius cadaver in diaconico jaceret. Præfuit sacerdotio primo an. XII.

Flavianus presbyter Constantinopolitanus, an II, mens. VI. Hic a Dioscoro fuit ejectus in Ephesino

B latronum concilio.

Anatolius presbyter, apocrisarius Alexandrinus, tam imperante Marciano, quam Leone magno, pontificatum an. VIII, mens. VIII, gessit.

Gennadius presbyter Constantinopolitanus, an. XIII, mens. II. Hoc pontifice, Studius ædem sancti Joannis Præcursoris exstruxit, et monachum e collegio somno abstinentium in eam constituit. Erat tunc imperator Leo magnus.

Flavitas presbyter sanctæ Ecclesiæ Sycenæ, imperante Zenone, mensibus III, diebus VII.

Acacius presbyter, hæreticus, imperante Anastasio, an. XVII, mens. IX.

Euphemius presbyter Constantinopolitanus, et ptochotrophus Neapolitanus, ejectus est ab Ana-

C stasio cum gessisset pontificatum ann. XVI, mens. VII.

Macedonius, ejectus et ipse.

Timotheus presbyter Constantinopolitanus, et vasorum custos, imperantibus Anastasio et Justino, an. VI S.

Joannes Cappadox, presbyter et syncellus ejusdem Ecclesiæ, regnante Justiano, an. I, mens. X.

Epiphanius presbyter Constantinopolitanus et syncellus, an. XVI, mens. III.

Anthimus, primo Trapezuntis episcopus, deinde Constantinopolitanus, mensib. IV. Depositus fuit a concilio contra Severum coacto.

Menas presbyter Constantinopolitanus et Xeno-

D dochii Sampsonici præfectus, an. XVI, mens. VI.

Eutychius presbyter et monachus in Amaseno monasterio, an. XII, mens. V. Hic expulsus fuit a Justiniano anno imperii ejus XXX.

Joannes presbyter Antiochenus, quondam patronus causarum, an. XII, mens. VI. Præfuit imperante Justino filio [adoptivo] Justiniani, et Tiberio.

Eutychius olim antistes, iterum restitutus, eodem Tiberio regnante, pontificatum rursus an. IV. mens. IV, gessit.

Joannes diaconus majoris Ecclesiæ, cognomine jejunator, imperante Mauricio, an. XIII, mens. V.

Cyriacus presbyter ejusdem majoris ecclesiæ et

œconomus, eodem imperante Mauricio, et Phoca tyranno, an. XI.

Thomas diaconus et sacellarius Majoris Ecclesiæ, regnante Phoca eodem, pontificatum gessit an. III, mens. II.

Sergius diaconus ejusdem Ecclesiæ. regnante Heraclio augusto, an. XXVIII, mens. VII.

Pyrrhus presbyter ejusdem Ecclesiæ, monachus, et præses monasteriorum, et abbas Chrysopolitanus, seditione commota, renuntiavit : cum pontifex fuisset an. II, mens. IX, diebus IX.

Paulus presbyter ejusdem Ecclesiæ, et œconomus, Heraclio regnante an. XII.

Pyrrhus iterum restitutus, mens. IV.

Petrus diaconus et œconomus ejusdem Ecclesiæ, regnante Constantino [o], Heraclii nepote, an. XII, mens. IV.

Thomas diaconus et chartularius ejusdem Ecclesiæ, an. IX, mens. VII.

Joannes presbyter et chartularius ejusdem Ecclesiæ, an. V, mens. IX.

Constantinus diaconus ejusdem Ecclesiæ, vasorumque custos, et œconomus, eodem Constantino [p] imperante, cum pontificatum an. II, mens. III, gessisset, ejectus est.

Georgius presbyter, syncellus, et vasorum custos, eodem Constante imperatore et Constantino, Constantis filio, cognomen Barbati gerentis, an. III. mens. III.

Theodorus presbyter ejusdem Ecclesiæ, syncellus, et vasorum custos, annis II, et deinde pulsus.

Theodorus idem, Barbato eodem imperante, restitutus in integrum, tanquam verus patriarcha pontificatum gessit an. I, mens. X.

Paulus, ex laicis, primus a secretis, eodem imperante Barbato, an. VI. mens. VIII.

Callinicus presbyter, et custos vasorum in Blachernis, imperante Justiniano, Barbati filio, naribus mutilato, an. XII.

Cyrus presbyter, et monachus ex insula Amastride, eodem Justiniano imperante, itemque an. VI, deinde pulsus.

Joannes diaconus, et chartularius domus œconomi, eodem Philippico imperante, ac Artemio, primo a secretis, qui nomine mutato dictus est Anastasius, an. III.

Germanus magnus, antea Cyzici episcopus, deinde Constantinopolitanus, imperante eodem Anastasio, et Theodosio Augusto, et Leone, cognomento Cone ne, cum pontificatum gessisset an. XV, ab hoc impio Leone Aug. ejectus est.

Anastasius presbyter et syncellus, vir impius, eodem Leone regnante, atque Constantino Caballino, an. XXIV.

Constantinus monachus et episcopus Sylæi,

κλησίας, καὶ οἰκονόμος, ἐπὶ τοῦ αὐτοῦ Μαυρικίου, καὶ ἐπὶ Φωκᾶ τοῦ τυράννου, ἔτη ια'.

Θωμᾶς διάκονος καὶ σακελλάριος τῆς Μεγάλης Ἐκκλησίας, ἐπὶ τοῦ αὐτοῦ Φωκᾶ, ἀρχιερατεύσας ἔτη γ', μῆνας β'.

Σέργιος διάκονος τῆς αὐτῆς Ἐκκλησίας, ἐπὶ Ἡρακλείου βασιλέως, ἔτη κη', μῆνας ζ'.

Πύρρος πρεσβύτερος τῆς αὐτῆς Ἐκκλησίας, μοναχὸς καὶ ἄρχων τῶν μοναστηρίων, καὶ ἡγούμενος Χρυσοπόλεως, στάσεως γενομένης παρητήσατο, ἀρχιερατεύσας ἔτη β', μῆνας θ', ἡμέρας θ'.

Παῦλος πρεσβύτερος τῆς αὐτῆς Ἐκκλησίας, καὶ οἰκονόμος, ἐπὶ τοῦ αὐτοῦ Ἡρακλείου, ἔτη ιβ'.

Πύρρος πάλιν ἀποκατέστη, μῆνας δ'.

Πέτρος διάκονος καὶ οἰκονόμος τῆς αὐτῆς Ἐκκλησίας, ἐπὶ Κωνσταντίνου [τα], ἐκγόνου τοῦ Ἡρακλείου, ἔτη ιβ', μῆνας δ'.

Θωμᾶς διάκονος καὶ χαρτοφύλαξ τῆς αὐτῆς Ἐκκλησίας, ἔτη θ', μῆνας ζ'.

Ἰωάννης πρεσβύτερος καὶ χαρτοφύλαξ τῆς αὐτῆς Ἐκκλησίας, ἔτη ε', μῆνας θ'.

Κωνσταντῖνος διάκονος τῆς αὐτῆς Ἐκκλησίας, καὶ σκευοφύλαξ, καὶ οἰκονόμος, ἐπὶ τοῦ αὐτοῦ Κωνσταντίνου [τβ], ἀρχιερατεύσας ἔτη β', μῆνας γ', ἐξεβλήθη.

Γεώργιος πρεσβύτερος, σύγκελλος, καὶ σκευοφύλαξ, ἐπὶ τοῦ αὐτοῦ Κώνσταντος, καὶ ἐπὶ Κωνσταντίνου τοῦ υἱοῦ Κώνσταντος, τοῦ Πωγωνάτου, ἔτη γ', μῆνας γ'.

Θεόδωρος πρεσβύτερος τῆς αὐτῆς Ἐκκλησίας, σύγκελλος, καὶ σκευοφύλαξ, ἔτη β', καὶ ἐξεβλήθη.

Ὁ αὐτὸς Θεόδωρος ἐπὶ τοῦ αὐτοῦ Πωγωνάτου ἀποκατέστη, ἀρχιερατεύσας ὡς ἀληθινὸς πατριάρχης ἔτος α', μῆνας ι'.

Παῦλος ὁ ἀπὸ λαϊκῶν πρωτασηκρῆτις, ἐπὶ τοῦ αὐτοῦ Πωγωνάτου, ἔτη ς', μῆνας η'.

Καλλίνικος πρεσβύτερος, καὶ σκευοφύλαξ Βλαχερνῶν, ἐπὶ Ἰουστινιανοῦ, υἱοῦ τοῦ Πωγωνάτου, τοῦ ῥινοτμήτου, ἔτη ιβ'.

Κῦρος πρεσβύτερος, καὶ μοναχὸς ἀπὸ τῆς νήσου Ἀμάστριδος, ἐπὶ τοῦ αὐτοῦ Ἰουστινιανοῦ, καὶ ἐπὶ τοῦ Φιλιππικοῦ, ἔτη ς', καὶ ἐξεβλήθη.

Ἰωάννης διάκονος, καὶ χαρτοφύλαξ τοῦ οἰκονομείου, ἐπὶ τοῦ αὐτοῦ Φιλιππικοῦ, καὶ ἐπὶ Ἀρτεμίου πρωτασηκρῆτις, τοῦ μετονομασθέντος Ἀναστασίου, ἔτη γ'.

Γερμανὸς ὁ μέγας, ἐπίσκοπος Κυζίκου πρότερον, εἶτα Κωνσταντινουπόλεως, ἐπὶ τοῦ αὐτοῦ Ἀναστασίου, καὶ ἐπὶ Θεοδοσίου τοῦ βασιλέως, καὶ ἐπὶ Λέοντος τοῦ καὶ Κόνωνος, ἀρχιερατεύσας ἔτη ιε', ἐξεβλήθη ὑπ' αὐτοῦ τοῦ ἀσεβοῦς βασιλέως Λέοντος.

Ἀναστάσιος πρεσβύτερος καὶ σύγκελλος, ὁ δυσσεβής, ἐπὶ τοῦ αὐτοῦ Λέοντος, καὶ ἐπὶ Κωνσταντίνου τοῦ Καβαλλίνου, ἔτη κδ'.

Κωνσταντῖνος μοναχὸς καὶ ἐπίσκοπος τοῦ Συλαίου,

VARIÆ LECTIONES.

[τα] Κώνσταντος. [τβ] Κώνσταντος.

[o] *Constante.* [p] *Constante.*

ὁ ἀποκεφαλισθείς, ἐπὶ Κωνσταντίνου τοῦ Καβαλλίνου, ἔτη ιβ'.

Νικήτας, ὁ ἀπὸ Σθλάβων, εὐνοῦχος, πρεσβύτερος τῶν ἁγίων Ἀποστόλων, καὶ ἄρχων τῶν μοναστηρίων, ἐπὶ τοῦ αὐτοῦ Κωνσταντίνου, καὶ ἐπὶ τοῦ υἱοῦ αὐτοῦ Λέοντος, τοῦ ἐκ τῆς Χαζάρας, ἔτη ιγ', μῆνας δ'.

Παῦλος ὁ Κύπριος, διάκονος, καὶ ἐλεήμων ὁ νέος, ἐπὶ τοῦ αὐτοῦ Λέοντος, καὶ ἐπὶ Κωνσταντίνου καὶ Εἰρήνης, τῆς αὐτοῦ μητρὸς, ἔτη ε', μῆνας ς'.

Ταράσιος ὁ ἀπὸ ἀσηκρητῶν, ὁ ἕξαρχος τῆς ζ' συνόδου, ἐπὶ τῶν αὐτῶν βασιλέων Κωνσταντίνου καὶ Εἰρήνης, καὶ ἐπὶ Νικηφόρου τοῦ ἀπὸ γενικῶν, ἀρχιερατεύσας ἔτη κα', μῆνας β'.

Νικηφόρος ὁ ἀπὸ ἀσηκρητῶν γενόμενος μοναχὸς, ἐπὶ τοῦ αὐτοῦ βασιλέως Νικηφόρου, καὶ ἐπὶ Σταυρακίου, καὶ ἐπὶ Μιχαὴλ, καὶ ἐπὶ Λέοντος τοῦ Ἀρμενίου, ἀρχιερατεύσας ἔτη θ', ἐξεβλήθη ὑπὸ τοῦ αὐτοῦ Λέοντος τοῦ δυσσεβοῦς.

Θεόδοτος ὁ Μελισσηνὸς, ὁ καὶ Κασσιτηρᾶς, εἰκονομάχος, ἐπὶ τοῦ αὐτοῦ Λέοντος, ἔτη ς'.

Ἀντώνιος ἐπίσκοπος τοῦ Συλαίου, ὁ καὶ Κασιματᾶς, ἐπὶ τοῦ αὐτοῦ Λέοντος, καὶ ἐπὶ Μιχαὴλ τοῦ Τραυλοῦ, καὶ ἐπὶ Θεοφίλου, ἔτη ιγ'.

Ἰωάννης, ὁ καὶ Ἰανῆς, ὁ δυσσεβὴς καὶ εἰκονομάχος, ἐπὶ τοῦ αὐτοῦ Θεοφίλου, καὶ ἐπὶ Θεοδώρας καὶ Μιχαὴλ. Καθῃρέθη, ἀρχιερατεύσας ἔτη γ'.

Μεθόδιος μοναχὸς καὶ πρεσβύτερος, ἐπίσκοπος γενόμενος Κυζίκου, εἶτα Κωνσταντινουπόλεως, ἐπὶ τῶν αὐτῶν βασιλέων, Θεοδώρας καὶ Μιχαὴλ, ἔτη δ', μῆνας β'.

Ἰγνάτιος ὁ ἁγιώτατος, ἐπὶ τῶν αὐτῶν βασιλέων Θεοδώρας καὶ Μιχαὴλ, ἔτη δ', μῆνας β'.

Φώτιος ὁ ἀπὸ ἀσηκρητῶν γενόμενος μοναχὸς, ἐπὶ Μιχαὴλ, καὶ ἐπὶ Βασιλείου τοῦ Μακεδόνος, ἔτη θ', καὶ ἐξεβλήθη ὑπὸ τοῦ Μακεδόνος.

Ἰγνάτιος πάλιν, ἐπὶ τοῦ αὐτοῦ βασιλέως τοῦ Μακεδόνος, ἔτη ια'.

Φώτιος πάλιν, ἐπὶ Λέοντος τοῦ φιλοσόφου.

Στέφανος ὁ ἀδελφὸς Λέοντος, ἐπὶ τῆς βασιλείας τοῦ αὐτοῦ Λέοντος, ἔτη γ'.

Ἀντώνιος ὁ Καυλέας, ἐπὶ τοῦ αὐτοῦ Λέοντος, ἔτη β'.

Νικόλαος ὁ ἀπὸ μυστικῶν, ἐπὶ τοῦ αὐτοῦ Λέοντος, ἔτη ια', καὶ κατεβιβάσθη.

Εὐθύμιος μοναχὸς, ὁ ἀπὸ συγκέλλων, ἐπὶ Ἀλεξάνδρου, ἔτη ε', μῆνας ς'.

Νικόλαος αὖθις ὁ ἀπὸ μυστικῶν, ἐπὶ τοῦ αὐτοῦ Ἀλεξάνδρου, καὶ Κωνσταντίνου, καὶ Ῥωμανοῦ τοῦ Λακαπηνοῦ, ἔτη ιγ'.

Στέφανος μητροπολίτης Ἀμασείας, ἐπὶ τοῦ αὐτοῦ βασιλέως τοῦ Ῥωμανοῦ, ἔτη β', μῆνας ια'.

Τρύφων μοναχὸς, ἐπὶ Ῥωμανοῦ, ἀρχιερατεύσας ἐπὶ χρόνῳ ῥητῷ, μέχρις ἂν Θεοφύλακτος ὁ τοῦ βασιλέως υἱὸς εἰς μέτρον φθάσῃ νομίμου ἡλικίας, ἔτη γ'.

capite plexus, imperante Constantino Calalhano an. XII.

Nicetas, eunuchus, Slavorum gente natus, SS. Apostolorum presbyter, et præses monasteriorum, regnantibus eodem Constantino, ejusque filio Leone, qui Chazara matre fuit editus. an. XIII, mens. IV.

Paulus Cyprius, diaconus, et alter cognomento misericors, eodem Leone regnante, et Constantino atque Irena matre, an. V, mens. VI.

Tarasius, unus ex secretariis præses VII concilii, regnantibus iisdem augg. Constantino et Irena, itemque Nicephoro, quondam Generali, pontificatum gessit an. XXI, mens. II.

Nicephorus, ex secretario factus monachus, sub ejusdem Nicephori aug. et Stauracii, et Michaelis, et Armenii Leonis imperio, pontificatum gessit an. IX, ab hoc impio Leone pulsus.

Theodotus Melissenus, cognomento Cassiteras, simulacrorum eversor, eodem Leone regnante, an. VI.

Antonius episcopus Sylæi, cognomento Casimatas, eodem Leone imperante, itemque Michaele Balbo, et Theophilo an. XIII.

καὶ οἱ τούτων ἀπόγονοι· οἷγε μὴν ἐκ πλαγίου, θεῖοι, ἀνεψιοί, ἐξάδελφοι, καὶ οἱ λοιποί. Ἡ μὲν οὖν τῶν ἀνιόντων καὶ κατιόντων πρὸς γάμου κοινωνίαν συναρμογὴ εἰς ἀπέραντον παρὰ τοῦ νόμου κεκώλυται. Οὐ γὰρ πατρὶ, ἢ πάππῳ, ἢ προπάππῳ, εἴτε μητρὶ, ἢ μάμμῃ, ἢ προμάμμῃ ἐστὶ θεμιτὸν γάμον συναλλάξαι μετὰ υἱοῦ, ἢ ἐκγόνου, ἢ δισεκγόνου, τὸ σύνολον· οὔτε μὴν τὸ ἀνάπαλιν υἱὸς ἢ ἔκγονος ἢ δισέκγονος, πατρὶ ἢ μητρὶ ἢ πάππῳ ἢ μάμμῃ ἢ προπάππῳ ἢ προμάμμῃ. Ἡ τῶν ἐκ πλαγίου δὲ, μέχρι καὶ ἑβδόμου βαθμοῦ τὴν κώλυσιν ἔχουσα, ἔκτοτε τοῖς βουλομένοις συνάπτεσθαι τὸ ἄνετον παρὰ τοῦ νόμου λαμβάνει καὶ ἀνεμπόδιστον. Οἱ βαθμοὶ μέντοιγε ἀπὸ συγγενικῆς ῥιζουχίας λαμβάνοντες τὴν ἀρχὴν, ἐκ τῶν βαθμίδων τῆς κλίμακος ὠνομάσθησαν. Ὥσπερ γὰρ αἱ βαθμῖδες ἐξ ἐπιπέδου τινὸς τὴν ἀρχὴν λαμβάνουσαι, καὶ εἰς τὰ πρόσω προβαίνουσαι, τὴν ἄνοδον ἢ τὴν κάθοδον συμπεραίνουσιν· οὕτω καὶ οἱ βαθμοὶ ὡς ἐκ ῥίζης ὁμοφυεῖς κλάδοι τοῦ πρώτου γεννήτορος προϊόντες, τὴν συγγένειαν ἀπαρτίζουσιν. Ἑκάστη οὖν γέννησις ἕνα βαθμὸν ἀποτελεῖ. Πατὴρ γοῦν πρὸς υἱὸν οὐδαμῶς βαθμιδοῦνται, καθότι ῥίζα τούτου πέλει καὶ καταρχή. Εἷς δὲ βαθμὸς ὁ υἱὸς πρὸς τὸν πατέρα λογίζεται. Οἵ γε μὴν δύο αὐτάδελφοι, διότι ἐκ δύο γεννήσεων προέρχονται, καὶ δύο ἀποτελοῦσι βαθμούς. Ἑκάστη γὰρ γέννησις (ὡς εἴρηται) βαθμὸν ἕνα ἀποτελεῖ. Οἱ μέντοι πρωτεξάδελφοι τετάρτου βαθμοῦ τυγχάνουσιν, ὡσαύτως καὶ οἱ δισεξάδελφοι ἕκτου κατ' ἀναλογίαν καταριθμοῦνται βαθμοῦ· οἱ δέ γε τρισεξάδελφοι, τοιουτοτρόπως ὀγδόου. Ἡ τοιαύτη τοίνυν συγγένεια καλεῖται ἐξ αἵματος. Ἔνθεν καὶ τὸ τῆς κωλύσεως ὅριον μέχρι τοῦ ἑβδόμου βαθμοῦ ἐκληρώσατο· ὡς ἔστιν ἐξὸν κατσμαθεῖν τὸν φιλομαθῆ ἀπό τε τῆς νομικῆς περιλήψεως καὶ τῆς συνοδικῆς διατάξεως. Ὁ μὲν γὰρ νόμος ἐν ε' τίτλῳ τοῦ κη' βιβλίου οὕτω φησὶ, Μεταξὺ τῶν ἐκ πλαγίου προσώπων ἔστι τις κώλυσις. Τὴν γὰρ τοῦ ἀδελφοῦ μου ἢ τῆς ἀδελφῆς μου θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις, οὐδὲ τὴν τούτων ἐγγόνην· ὁμοίως οὐδὲ τὴν θυγατέρα τοῦ θείου ἢ τῆς θείας, τουτέστι τὴν ἐξαδέλφην μου. Ἀλλ' οὐδὲ ὁ υἱός μου τὴν ἐκγόνην αὐτῶν, οἵτινες λέγανται δισεξάδελφοι. Καὶ οὕτω μὲν τοὺς τῶν ἐξαδέλφων παῖδας, ἤγουν τοὺς δισεξαδέλφους, οἵτινές εἰσιν ἕκτου βαθμοῦ, τὸ τῶν κεκωλυμένων γάμων ἡ νεαρὰ αὕτη τέθεικεν ὁροθέσιον. Ὁ δὲ ἕβδομος βαθμὸς, διὰ τὸ ἐκ τούτων παρασιωπηθῆναι, χώραν ἐλάμβανε, καὶ εἰς γάμου κοινωνίαν οὐκ ἐκωλύετο. Ἡ δέ γε συνοδικὴ διάγνωσις, ἡ ἐπὶ τῆς ἐφημερίας γενομένη τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Λουκᾶ, ὡς αἰσχρὸν καὶ ἄσεμνον καὶ τοῦτον τὸν ἕβδομον βαθμὸν, διὰ τὴν τῶν προσώπων ἐγγύτητα, τοῖς ἀπηγορευμένοις καὶ ἀποτετραμμένοις ἐνέκρινε, καὶ τῆς τῶν Χριστιανῶν πολιτείας ἐξέκοψεν. Ἐπηκολούθησε δὲ τῇ συνοδικῇ ταύτῃ πράξει καὶ νεαρὸν θέσπισμα τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου καὶ πορφυρογεννήτου, κυρίου Μανουὴλ, καὶ τὰ ψηφισθέντα ἐκύρωσεν ἀσφαλῶς.

VARIÆ LECTIONES.

[b] *Scilicet Basilicorum.*

Ἔκτοτε οὖν μέχρι καὶ νῦν οἱ κεκωλυμένοι τῶν ἐξ αἵματος βαθμῶν ἕως τοῦ ἑβδόμου βαθμοῦ καταλήγουσιν. Οὐδὲ γὰρ οἷόν τε ἐστὶ λαβεῖν τὸν δισεξάδελφον τὴν τοῦ δισεξαδέλφου αὐτοῦ θυγατέρα, ἀνεψιὰν τούτου τυγχάνουσαν. Τὸ φύσει δίκαιον καὶ εὔπρεπὲς καὶ σεμνὸν, ὥσπερ τινὰ χαλινὸν, ὁ νόμος τοῖς γάμοις ἐπέθηκεν· ὡς ἂν τούτου ἐχόμενοι οἱ συναλλάττοντες, μὴ, ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις, ἐπὶ τὸ συγγενὲς χρεμετίζωσι. Τὰ μέντοι ἐπέκεινα τοῦ ἑβδόμου τούτου βαθμοῦ πρόσωπα ἀκωλύτως ἐλεύσονται πρὸς γάμων συναρμογήν. Εἰς γὰρ τὴν ἐξ αἵματος συγγένειαν, ὡς προέκκειται, ὁ ἕβδομος βαθμὸς τῆς τῶν γάμων κοινωνίας κωλυτικὸν ὅριον πέφηνε. Τὰ μὲν οὖν περὶ τῆς ἐξ αἵματος συγγενείας, ἐν τούτοις. Ἐπεὶ δὲ καὶ ἡ ἀγχιστεία κατὰ τὴν νομικὴν ἀκρίβειαν προσώπων ἡμῖν οἰκειότητα ἐμποιεῖ, ἐκ γάμων συνημμένων ἄνευ συγγενείας, οὐδὲ ταύτην τὸ τοῦ νόμου ἀκριβὲς ἀφῆκεν ἀόριστον. Φησὶ γὰρ ἐν γ' κεφαλαίῳ τοῦ ἀναπεφωνημένου ε' τίτλου τοῦ κη' βιβλίου, ταῦτα· Πενθερὰ ἐστὶν ἡ μήτηρ, καὶ ἡ μάμμη, καὶ ἡ προμάμμη τῆς γαμετῆς μου, καὶ οὐδεμίαν αὐτῶν λαμβάνω. Καὶ νύμφη λέγεται ἡ τοῦ υἱοῦ, καὶ τοῦ ἐκγόνου, καὶ τοῦ προεκγόνου γαμετή· καὶ προγόνη λέγεται ἡ ἐξ ἄλλου θυγάτηρ, καὶ ἐκγόνη, καὶ προεκγόνη τῆς γαμετῆς μου· καὶ οὐδεμίαν αὐτῶν λαμβάνω. Τὰ τοιαῦτα γοῦν πρόσωπα τετάρτῳ περιλαμβανόμενα βαθμῷ τὸν γάμον ἔχουσι, κατὰ τὴν νεαρὰν, ἀσυγχώρητον. Ὥσπερ δὲ ἐν τοῖς ἐξ αἵματος βαθμοῖς ὁ ἕβδομος βαθμὸς (ὡς ἄνωθεν εἴρηται) διὰ τὸ εὔπρεπὲς καὶ σεμνὸν κεκώλυται ὕστερον· οὕτω καὶ ἐν τοῖς ἐξ ἀγχιστείας ὁ πέμπτος καὶ ὁ ἕκτος μετὰ ταῦτα παρὰ τοῦ ἐν ἁγίοις πατριάρχου Σισιννίου ἐπετιμήθη· καὶ δηλοῦται τὰ περὶ τούτων τρανῶς ἐν τῷ παρ' αὐτοῦ ἐντεθέντι τόμῳ· καὶ οὕτω μέχρι τοῦ ἕκτου βαθμοῦ οἱ κεκωλυμένοι τῶν ἐξ ἀγχιστείας γάμων καταλαμβάνονται. Δύο γὰρ ἀδελφοὺς δύο πρώτας ἐξαδέλφας, ἢ τὸ ἀνάπαλιν δύο πρώτους ἐξαδέλφους δύο ἀδελφὰς λαβεῖν εἰς γάμον, ἀδύνατον. Οἱ μὲν γὰρ δύο πρῶτοι ἐξάδελφοι, τετάρτου εἰσὶ βαθμοῦ· οἱ δέ γε δύο αὐτάδελφοι, δευτέρου· καὶ διὰ τὴν τῶν προσώπων ἐγγύτητα οὐδόλως πρὸς γάμου ἔρχεσθαι κοινωνίαν συνεχωρήθησαν. Ἐκ γὰρ δύο τεσσάρων ἕκτος βαθμὸς συμπεραίνεται, καὶ τὸ ἀνάπαλιν· καὶ διὰ τοῦτο κεκώλυται· ὡσαύτως καὶ θεῖος καὶ ἀνεψιὸς πρὸς δύο ἑτέρου γένους αὐταδέλφας γαμικὸν συνιστᾷν συναλλαγμα κωλύονται. Πέμπτος γὰρ ἐκ τούτων τῶν προσώπων βαθμὸς συνάγεται. Ὁ μὲν γὰρ θεῖος πρὸς τὸν ἀνεψιὸν τρίτον ἐπέχει βαθμόν. Αἱ δέ γε δύο αὐτάδελφαι, πρὸς ἀλλήλας δεύτερον. Οὕτω τοίνυν καὶ εἰς τὴν ἐξαγχιστείας συγγένειαν μέχρι πέμπτου καὶ ἕκτου βαθμοῦ τὸ κωλυτικὸν ὅριον ἔστηκεν. Ἔστι δὲ καὶ ἕτερος ἕκτος βαθμὸς ἐξ ἀγχιστείας ἄλλως συναγόμενος· ὃν ἀκώλυτον εἶναι παντάπασιν ἥ τε τοῦ ῥηθέντος νόμου σιωπὴ, οὐ μόνον δὲ, ἀλλὰ καὶ θεσπίσματα βασιλικὰ, καὶ πράξεις συνοδικαὶ

Exinde igitur ad hoc usque tempus, vetiti gradus sanguinis ad septimum gradum desinunt. Neque enim licet sobrino sobrini sui filiam accipere, cum sit hujus ἀνεψιά. Quod natura justum est, decens, et honestum, velut frenum quoddam, lex nuptiis adhibuit; ut his detenti contrahentes, non ut equus aut mulus, quibus non est intellectus, ad genus suum hinniant. Quæ vero deinceps personæ sunt post septimum hunc gradum, sine prohibitione ad nuptiarum copulam procedent. Nam ad sanguinis cognationem (ut superius positum est) septimus gradus nuptiarum societatis prohibitorius terminus apparuit. Et hæc de sanguinis cognatione. Quoniam autem et affinitas juxta legalem disciplinam [c], personarum per nuptias conjunctarum propinquitatem sine cognatione conciliat, neque hanc sine definitione reliquit exacta legis disciplina. Ait enim in 3 c. prædicti 5 tituli 28 libri quæ sequuntur: Socrus est mater, et avia, et proavia uxoris meæ: nullamque earum accipio. Et nurus dicitur filii, et nepotis, et pronepotis uxor. Et privigna dicitur, ex alio suscepta filia, neptisque, et proneptis uxoris meæ: et nullam earum uxorem accipio. Tales igitur personæ quarto gradu comprehensæ, non habent juxta Novellam nuptias permissas. Quemadmodum autem in sanguinis gradibus septimus, (ut superius dictum est) propter decorum et honestatem, tandem vetitus est: sic in gradibus affinitatis, quintus et sextus post hæc a sancto patriarcha Sisinnio censuræ subjectus est; ut aperte declaratur in ejus decisione [d], quæ de his exposita est. Atque ita ad sextum usque gradum prohibitæ inter affines nuptiæ comprehenduntur. Etenim fieri non potest, ut duo fratres duas consobrinas, aut vice versa duo consobrini duas sorores uxores ducant. Nam consobrini sunt quarti gradus, germani autem, secundi: et propter personarum propinquitatem ad nuptiarum societatem venire nequaquam permissi sunt. E duobus enim et quatuor, sextus gradus terminatur, et e converso: ob eamque causam vetitus est. Eodemque modo patruus seu avunculus, et fratris sororisve filius, cum sororibus alterius cognationis [e] connubialem contractum inire prohibentur. Ex his enim personis quintus gradus conficitur. Nam patruus seu avunculus ad fratris sororisve filium, tertium gradum obtinet: duæ autem sorores ad se invicem, secundum. Sic igitur et in cognatione affinitatis, ad quintum sextumque gradum usque, prohibitorius stetit terminus. Cæterum alius etiam est ex affinitate gradus, aliter collectus: quem permissum esse omni modo, non tantum prædictæ legis silentium, sed et constitutiones imperatoriæ, et actiones synodales notum omnibus fecerunt. Patruus enim seu avunculus, et fratris sororisve filius, tertio exsistentes gradu, cum amita materterave, et fratris sororisve filia per nuptias copulati, nequaquam pœnis

VARIÆ LECTIONES.

[c] *subtilitatem.* [d] *scripto, quod.* [e] *generis.*

obnoxii sunt ; non enim judicatur illicitus hujusmodi contractus, quod ad sextum gradum externis porrigatur. Neque eadem fratrum proximitas, quæ patrui avunculive cum fratris sororisve filio, et consobrini aliorumque cognatorum. Sed ex uno quidem fonte primi genitoris procedunt, paulatim autem ab invicem elongantur, veluti in diversos scissi rivulos. Est et alia species cognationis ex affinitate, quæ gradibus quidem non continetur, propterea quod trium generum habet complexum. Prohibitarum autem personarum tantum lex nominatim mentionem faciens, sequentes extra prohibitionem et accusationem sivit. Etenim 4 c. 5, tit. 28 lib. sic ait ad verbum : Neque eam, quæ fuit uxor privigni mei, accipio, neque noverca virum quondam suæ privignæ, accipit. Et hæc quidem habemus de cognatione ex sanguine, et affinitate : et ut equidem arbitror, juxta exactam juris disciplinam : quamvis plurimæ canonicæ et civiles sanctiones, quod in multorum versuum scripta diffundantur, sint prætermissæ. Quod autem et major cognatio ex spiritali consequentia nascens, inter nos pios intercedit : de ea sic summarie tractandum.

Canon 56 synodi 6, de hujusmodi cognatione hæc promulgat : Quoniam spiritalis necessitudo, seu affinitas, corporum conjunctione major est : in nonnullis autem locis cognovimus quosdam, qui ex sancto et salutari baptismate infantes suscipiunt, postea quoque cum matribus illorum viduis matrimonium contrahere : statuimus, ut in posterum nihil fiat ejusmodi. Si qui autem [f] per præsentem canonem hoc facere deprehensi fuerint, ii quidem primo ab hoc illicito et injusto matrimonio [g] desistant ; deinde et fornicatorum pœnis subjiciantur. Cum igitur præsens canon majorem vocet spiritalem cognationem, quam carnalem : necesse habent, qui per eam devincti sunt, in tot gradus veneratione ejus et decus observare, quot et ex sanguine cognationis. Nam Deo, inquit, per baptisma intercedente, eorum animæ conjunguntur, et unus homo fit, qui ex sacro baptismate infantem suscepit, hujusque naturalis pater. Unde et consequenter eorum liberi, fratres nominantur, quemadmodum et illi, compatres : similiter et quæ ex his deinceps producuntur personæ, cognationis ex sanguine sortiuntur appellationes.

Ὡσαύτως καὶ τὰ ἐκ τούτων καταγόμενα ἐφεξῆς μεταλαγχάνουσι, καὶ εἰσὶν ἀληθῶς καὶ ὀνομάζονται

Suntque vere, et nominantur cognati. Sancti enim Spiritus uniendi potestas omnes conciliavit in veram propinquitatem, quæ contractibus illicitis confundi non potest. Prohibitorius ergo terminus in hac, ut in sanguinis cognatione, usque ad septimum gradum observabitur. Est et alia cognatio

πᾶσιν ἐγνώρισαν. Θεὸς γὰρ καὶ ἀνεψιὸς, τρίτου ὄντες βαθμοῦ, θείᾳ καὶ ἀνεψιᾷ ἐξ ἑτέρου γένους τὸν αὐτὸν ἐχούσαις βαθμὸν γαμικῶς συναπτόμενοι, οὐδόλως ἐπιτιμῶνται. Οὐδὲ γὰρ ἀθέμιτον τὸ τοιοῦτον συνάλλαγμα κρίνεται, ὡς εἰς ἕκτον βαθμὸν ἐκ τριῶν καὶ τριῶν ἀναγόμενον. Οὐδὲ γὰρ ἡ αὐτὴ τῶν ἀδελφῶν ἐγγύτης καὶ ἡ τοῦ θείου πρὸς τὸν ἀνεψιὸν, καὶ ἡ τοῦ ἐξαδέλφου καὶ τῶν ἄλλων συγγενῶν· ἀλλ' ἐκ μὲν πηγῆς μιᾶς τοῦ πρώτου γεννήτορος ἐξέρχονται, κατὰ μικρὸν δὲ ἀλλήλων μακρύνουσιν, ὥσπερ εἰς διαφόρους σχιζόμενοι ῥύακας. Ἔστι δὲ καὶ ἄλλο εἶδος συγγενείας ἐξ ἀγχιστείας, ὅπερ βαθμοῖς μὲν οὐδαμῶς περιέχεται, διὰ τὸ συμπλοκὴν τριῶν ἔχειν γενῶν· κεκωλυμένων δὲ μόνων προσώπων ῥητῶς ὁ νόμος μνησθεὶς, τὰ ἐξῆς ἀκώλυτα καὶ ἀνέγκλητα εἴασεν. Ἐν γὰρ τῷ δ' κεφαλαίῳ τοῦ ε' τίτλου τοῦ κη' βιβλίου φησὶν αὐτολεξεὶ οὑτωσί· Οὐδὲ τὴν ποτὲ γυναῖκα λαμβάνω τοῦ προγόνου μου, οὔτε ἡ μητρυιὰ λαμβάνει τὸν γενόμενον ἀνδρα τῆς προγόνης αὐτῆς. Καὶ οὕτω μὲν ἔχομεν περὶ τῆς ἐξ αἵματος καὶ ἀγχιστείας συγγενείας· καὶ, ὡς ἐγῷμαι, ἐχομένως τῆς ἀκριβείας· εἰ καὶ τὰ πλεῖστα τῶν κανονικῶν καὶ νομικῶν θεσπισμάτων ἐν τούτοις, διὰ τὸ τῆς πολυγραφίας πολύστιχον, κατελείφθησαν. Ὅτι δὲ καὶ μείζων συγγένεια ἐκ πνευματικῆς ἀκολουθίας ἀνακύπτουσα ἐν ἡμῖν τοῖς εὐσεβέσι μεσολαβεῖ, καὶ περὶ ταύτης χρεὼν οὕτω διαλαβεῖν.

Ὁ νς' κανὼν τῆς ς' συνόδου περὶ τῆς τοιαύτης συγγενείας ταῦτα διαγορεύει· Ἐπειδὴ μείζων ἐστὶν ἡ κατὰ πνεῦμα οἰκειότης τῆς τῶν σωμάτων συναφείας, ἐγνωμεν δὲ ἔν τισι τόποις τινὰς ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος παῖδας ἀναδεχομένους, καὶ μετὰ τοῦτο ταῖς ἐκείνων μητράσι χηρευούσαις γαμικὸν συναλλάττοντας συνοικέσιον· ὁρίζομεν, ἀπὸ τοῦ παρόντος μηδὲν τοιοῦτον πραχθῆναι. Εἰ δέ τινες καὶ μετὰ τὸν παρόντα κανόνα φωραθείεν τοῦτο ποιοῦντες, πρωτοτύπως μὲν οἱ τοιοῦτοι ἀφιστάσθωσαν τοῦ τοιούτου παρανόμου συνοικεσίου, ἔπειτα δὲ καὶ τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβληθήτωσαν. Ὅτι τοίνυν ὁ παρὼν κανὼν μείζονα καλεῖ τὴν πνευματικὴν συγγένειαν παρὰ τὴν σαρκικὴν, ἀνάγκην ἔχουσιν οἱ διὰ ταύτης συνδεθέντες εἰς τοσούτους βαθμοὺς συντηρεῖν τὸ ταύτης σεβάσμιον καὶ εὐπρεπὲς, εἰς ὅσους καὶ τὸ τῆς ἐξ αἵματος συγγενείας. Διὰ γὰρ τοῦ βαπτίσματος, Θεοῦ, φησὶ, μεσάζοντος, αἱ ψυχαὶ αὐτῶν συνάπτονται, καὶ εἷς ἄνθρωπος, ὅ, τε ἐκ τοῦ ἁγίου βαπτίσματος τὸν παῖδα δεξάμενος, καὶ ὁ κατὰ σάρκα τούτου πατὴρ, γίνονται. Ὅθεν ἀκολούθως καὶ οἱ τούτων παῖδες, ἀδελφοὶ ὀνομάζονται, καθὰ καὶ ἐκεῖνοι, σύντεκνοι, πρόσωπα τὰ; τῆς ἐξ αἵματος συγγενείας κλήσεις συγγενεῖς.

Ἡ γὰρ τοῦ ἁγίου Πνεύματος ἑνωτικὴ δύναμις εἰς γνησίαν ἐγγύτητα πάντας συνήρμοσεν, ἣν συνθολοῦσθαι συναλλάγμασιν ἀθέσμοις πάντη ἀδύνατον. Διατηρηθήσεται δὲ ἐν ταύτῃ τὸ κωλυτικὸν ὅριον, κατὰ τὴν ἐξ αἵματος συγγένειαν, μέχρι καὶ ἑβδόμου βαθμοῦ. Ἔστι δὲ καὶ ἑτέρα συγγένεια διὰ θέσεως;

VARIÆ LECTIONES.

[f] *latum hunc post canonem.* [g] *ab hac nefaria cohabitatione.*

εἴτουν υἱοθεσίας· ἣν δὴ καὶ αὐτὴν οὕτω παραφυλάττειν ὀφείλομεν, καθάπερ καὶ τὴν ἐξ αἵματος, καὶ τὴν διὰ τοῦ θείου βαπτίσματος. Ταύτας γὰρ ἔκ τε τῶν ἱερῶν κανόνων, καὶ τῶν φιλευσεβῶν νόμων τηρεῖν παρειλάβομεν, ὡς προέκκειται. Ἡ δέ γε διὰ θέσεως ἀδελφότης, ὡς ἀσύστατος καὶ ἀβέβαιος, καὶ τῇ φύσει ἀνακόλουθος, καὶ τῷ νόμῳ ἀπόβλητος, οὐδόλως οὐδὲ εἰς γαμικὰ συνοικέσια ἐμποδοστατεῖ. Φησὶ γὰρ τὸ λε' κεφάλαιον τοῦ ιγ' τίτλου τοῦ ε' βιβλίου ῥητῶς οὕτωσί· Μηδὲ παρὰ ξένοις τοῖς ἔξω Ῥώμης οἰκοῦσι διὰ θέσεως ἀδελφότης συνιστάσθω. Κἂν τις ὡς ἀδελφὸς προσληφθεὶς, κληρονόμος γραφῇ, ἐκπιπτέτω τῆς κληρονομίας. Ὅθεν ἐπειδὴ οὕτω παρὰ τῶν νόμων ἡ διὰ θέσεως ἀδελφότης ἀποσκορακίζεται, οὐδὲ πρὸς συναλλαγὰς γαμικὰς ἔχει κώλυσιν ἁπωσοῦν, ὡς ἔξω τῆς τῶν ἱερῶν κανόνων καὶ τῶν φιλευσεβῶν νόμων πίπτουσα· ἀλλ' ἐᾷ ταύτας προβαίνειν, ὡς μηδαμόθεν κώλυσίν τινα ἢ μέμψιν ἐπισυρομένας. Ἡ θέσις γὰρ μιμεῖται τὴν φύσιν. Ἡ φύσις δὲ υἱὸν ἐπιγινώσκει διὰ γεννήσεως, ἀδελφὸν δὲ οὐδαμῶς. Εἰ δὲ ἀδελφὸν ἡ φύσις οὐ πέφυκεν ἀποτίκτειν, ἄρα καὶ ἡ θέσις, ὡς μιμουμένη τὴν φύσιν, οὐκ ἐξισχύει πρὸς ποίησιν ἀδελφότητος. Ἀκώλυτα οὖν, καὶ ἀκατηγόρητα, καὶ παντάπασιν ἄμεμπτα τὰ συναλλάγματα τὰ ἔξωθεν τῶν ἄνωθεν εἰρημένων, ἔκ τε αἵματος, ἔκ τε ἀγχιστείας, καὶ ἐκ θέσεων ἀμφοτέρων, τῆς τε διὰ τοῦ ἁγίου βαπτίσματος, καὶ τῆς υἱοθεσίας. Καὶ οὔτε δι' ἀδελφοποιΐας, οὔτε δι' ἄλλης αἰτίας ὅλως πορατραπήσονται, ὡς πρὰ τῆς τοῦ νόμου σιωπῆς τὸ ἔμπρακτον ἔχειν σαφῶς καταλαμβανόμεναι. Αὕτη σοι παρ' ἡμῶν ἡ τῆς σῆς ἀξιώσεως ἐκπλήρωσις, τιμιωτάτη μοι καὶ τριπόθητε κεφαλή. Ἥτις εἰ μὲν τοῦ κατ' ἀξίαν ἔφικοιτο, χάρις τῷ Θεῷ, τῷ τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ τὴν ἑαυτοῦ ἰσχὺν μεγαλύνοντι· εἰ δὲ πολὺ τοῦ δέοντος ἀπολίποιτο, καὶ οὕτω χάρις τῷ ἑκάστῳ πρὸς τὸ συμφέρον τὴν τοῦ πνεύματος διδόντι φανέρωσιν. Ἐπεὶ οὐδὲ πάντες, ἀπόστολοι, ἢ διδάσκαλοι, ἢ προφῆται, κατὰ τὸν μέγαν ἀπόστολον. Ἡμῖν δὲ συγγνώμη πάντως ἔσται παρὰ τῶν τοὺς οἰκείους λόγους οἰκονομούντων ἐν κρίσει, εἴτουν διακρίσει, κατὰ τὸν ψάλλοντα, ὡς οὐ θράσους, ἢ ἐπιδείξεως, ἀλλ' ὑπακοῆς καὶ ἀγάπης πνευματικῆς, καὶ σαρκικῆς οἰκειότητος προθεμένοις ἀποδοῦναι ὄφλημα. Γένοιτο δὲ καὶ τὴν σὴν τιμιότητα ἐν τῷ φωτὶ τῶν τοῦ Κυρίου ἐντολῶν πορευθῆναι ἀμεταστρέπτως, καὶ ἡμᾶς διὰ τῶν σῶν ἱλαστηρίων δεήσεων, καὶ τυχεῖν τῆς ἐκ δεξιῶν αὐτοῦ τάξεώς τε καὶ στάσεως, μετὰ τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων αὐτῷ. Ὃ πρέπει δόξα, τιμὴ καὶ κράτος αἰώνιον, νῦν καὶ εἰς τὸν ἀπέραντον αἰῶνα τῶν αἰώνων. Ἀμήν.

A per adoptionem, quam eodem plane modo observare debemus, quo et eam, quæ est ex sanguine, et quæ ex divino lavacro. Has enim ut superius positum est, ex sacris canonibus, religiosisque legibus accepimus observandas. Quæ autem per adoptionem fraternitas contingit, ut imbecillis et incerta, nec consentanea naturæ, et lege rejicienda [h], nullum prorsus ad nuptiales cohabitationes impedimentum præstat. Ait enim 35 c. 13 tit. 5 libri, sic ad verbum : Nec [i] apud peregrinos, qui extra Romam habitant, fraternitas per adoptionem consistat : et si quis assumptus ut frater, hæres scriptus sit, excidat ab hæreditate. Unde cum sic a legibus fraternitas adoptionis reprobetur, neque ad matrimoniales conventiones prohibitionem habet ullam, utpote, B extra eam cadens quæ ex sacris canonibus est, et religiosis [i] legibus. Verum sinit has procedere, ut nulla ex parte prohibitionem aliquam, vel reprehensionem attrahentes. Adoptio enim imitatur naturam : natura autem filium novit per generationem, fratrem nequaquam. Quod si fratrem natura procreare non potest, nec adoptio igitur, ut imitatrix naturæ, ad faciendam fraternitatem valet. Eiciti sunt igitur, nec accusationi vel reprehensioni subjecti contractus, qui extra eos sunt, quos superius diximus, ex sanguine, ex affinitate, et utraque affiliatione, tam quæ per sacrum baptisma, quam quæ per adoptionem. Et neque per fratris adoptionem, neque per aliam causam prorsus evertentur, C quæ per legis silentium deprehendantur effectum habere. Hæc tibi a nobis tuæ petitionis impletio, pretiosissimum mihi et charissimum caput. Quæ si propositum finem pertingat, Deo sit gratia, qui humanæ imbecillitati suam virtutem copiose elargitur : quod si a debito longe absit officio, etiam sic gratia cuique, qui ad id, quod conducibile, dat [k] spiritus manifestationem. Nam neque omnes, apostoli, aut doctores, aut prophetæ, juxta magnum Apostolum. Nobis autem venia omnino dabitur ab iis, qui suam orationem disponunt [l] cum judicio seu consideratione, juxta eum qui psallit : quod non audaciæ, vel ostentationis, sed obedientiæ et spiritualis dilectionis, carnalisque proximitatis proposuerimus debitum reddere. Tua reverenD tia in luce præceptorum Domini perpetuo ambulet : et nos per tuas propitiatorias preces, assequamur a dextris ejus ordinem et locum, cum iis, qui ab æterno electi ei sunt. Cui competit gloria, honor, et potentia æterna, nunc, et in infinitum sæculum sæculorum. Amen.

VARIÆ LECTIONES.

[h] *rejicula.* [i] *l. 7. C. de hæred. instit. l. 57. D. eod.* [j] *sacris canonibus et piis legibus ignota.* [k] *gratia ei, qui cuique ex usu suo dat spiritus.* [l] *suas rationes administrant cum judicio, sive discretione, ut cum Psalmorum auctore loquar.*

11. *Beatissimi ac sanctissimi archiepiscopi Bulgariæ, domini Demetrii Chomateni* [m], *ad Constantinum Cabasilam archiepiscopum metropolis Dyrrhachii, responsiones.*

Β. *Τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Βουλγαρίας, κυρίου Δημητρίου τοῦ Χωματηνοῦ* [99], *πρὸς Κωνσταντῖνον ἀρχιεπίσκοπον τῆς μητροπόλεως Δυρραχίου, τὸν Καβάσιλαν, ἀποκρίσεις.*

Obedientia et pigritia [n] seu timiditas adhæserunt mihi repente, divinum mihi et sacrum caput, postquam admissi tuæ amplitudinis dignitatem [o] ad me de quibusdam interrogationibus paulo ante frequentantem [p]. Quod neque mihi licebat hoc recusare, ut probe scienti, interrogationes responsionibus consentaneas ex necessitate [q] procedere : sive ut decuit sive sequius forte prolatæ sint. Et ita horum utrumque a meipso, ut facerem, vehementer contendit [r] : ita ut iis conterminus fierem, nullo videlicet facto, vel exaudito. Obedientia enim mirabilis exsistens partus humilitatis, ad dignitatis me permovebat [s] comitatem benignamque susceptionem : dubitatio [t] suadebat, ut ad conatus magnitudinem et difficultatem respicerem, et ita horrerem, desponderemque animum : certe etiam ad impudentissimum reprehensorem suspicerem, quomodo soleat etiam ea, quæ tangi non debent, contrectare. Hinc ego amborum hujusmodi extremorum novam mistionem demonstravi, quemadmodum ex timido et audace Aristotelis compositus est θρασύδειλος. Atque ita neutrum in se servare insolidum periclitatus sum, velut ad obedientiam [u] ingrescens et pigritiam per obedientiam exsuscitans [x]. Cum vero nati suis patribus similes esse soleant, en noster hic fetus, tuæ videlicet petitionis implementum, ut se habet, prodit : consistentiam [y] quidem aut substantiam ex obedientia, formam autem ex cunctatione sortitus : ab ea enim ad pallorem est coloratus, ut eorum more qui timent, caveat revocare gressum [z] a facie eorum, qui in oratione [y] et in utraque sapientia maximam propositarum quæstionum vim sortiti sunt. Quod si qua forte laus ex improviso palloris deformitatem in ruborem huic mutaverit, ut pulchra facie et gratiosa conspiciatur, et fiduciæ convenientis particeps, æqui bonique consulamus. Quem enim patrem (ut sapientis Salomonis verbo utar) filius non oblectat formosissimus et sapiens ? Sed si permanserit (proh immutabilis deformitas) necesse omnino erit, ad paternum hunc converti [a] sinum, ut illic de medio sublata, quod non cernatur [a], turpitudinis saltem opprobrium abscondat.

Ὑπακοὴ καὶ ὄκνος, εἴτ᾽ οὖν δειλία, παρεπάγησάν μοι ἐξάπινα, θεσπεσία μοι καὶ ἱερὰ κεφαλή, τὸ πρός με περί τινων πεύσεων πρωΐζὰ φοιτῆσαν εἰς δεξαμένῳ ἀξίωμα τῆς σῆς τελειότητος. Ὅτι μηδὲ ἐξῆν μοι τοῦτο ἀποδιοπομπήσασθαι, οἶα, εὖ εἰδότι ἀκολούθους τὰς ἐρωτήσεις ἐξ ἀνάγκης ταῖς ἀποκρίσεσι προβαίνειν· κἂν ἢ κατὰ μοῖραν ἢ οὐχ οὕτως προέρχωνται ἴσως. Καὶ οὕτω τούτου ἑκάτερον πρὸς ἑαυτοῦ με ποιῆσαι σφόδρα, ἐφιλονείκησεν, ὡς γενέσθαι με τούτων μεθόριον, μηδενὸς δηλονότι γινόμενον, ἢ ἀκουόμενον. Ἡ μὲν γὰρ ὑπακοὴ, τῆς ταπεινοφροσύνης οὖσα θαυμάσιον ἀποκύημα, πρὸς τὴν τοῦ ἀξιώματός με παρεκίνει φιλοφροσύνην τε καὶ δεξίωσιν· ὁ δέ γε ὄκνος ἀποβλέπειν ἔπειθε πρὸς τὸ ἐργῶδες καὶ δυσεξάνυστον τοῦ ἐπιχειρήματος, καὶ οὕτως ὀρρωδεῖν καὶ συστέλλεσθαι· ναὶ δὲ καὶ αὐτὸν ὑποβλέπεσθαι τὸν ἀναιδέστατον μῶμον, ὡς εἴωθε καὶ αὐτῶν τῶν ἀψαύστων ἐπιλαμβάνεσθαι. Ἐντεῦθεν ἐγὼ ἑκατέρων τουτωνὶ τῶν ἄκρων μίγμα τι καινὸν ἀναπέφηνα· ὃν τρόπον ἐκ τοῦ δειλοῦ καὶ τοῦ θρασέος ὁ κατὰ Ἀριστοτέλην συνετέθη θρασύδειλος. Καὶ οὕτω μηδέτερον ἀποσώζειν πρὸς ἑαυτὸν πρὸς ὁλόκληρον κεκινδύνευκα. Οἷα τὴν μὲν ὑπακοὴν ὀκνῶν, τὸν δὲ ὄκνον τῇ ὑπακοῇ καταργῶν. Ἐπεὶ δὲ τὰ γεννήματα τοῖς οἰκείοις πατράσιν ἐοικέναι πεφύκασιν, ἰδοὺ καὶ τὸ ἡμέτερον τουτὶ κύημα, τὸ τῆς σῆς δηλονότι αἰτήσεως πλήρωμα, ὡς ἄρα καὶ ἔχει, πρόεισι, τὴν μὲν σύστασιν ἢ ὑπόστασιν ἐκ τῆς ὑπακοῆς, τὸ δὲ μόρφασμα ἐκ τοῦ ὄκνου λαχόν. Κέχρωσται γὰρ ὑπὸ τούτου πρὸς ὦχρον. Ὡς εὐλαβεῖσθαι, κατὰ τοὺς φοβουμένους, καὶ ἀναπόδομα [99] χωρεῖν ἀπὸ προσώπου τῶν μεγίστην λαχόντων ἐν λόγῳ καὶ σοφίᾳ ἑκατέρᾳ προβεβλημένων, ἰσχύν. Εἰ δέ τις ἔπαινος ἴσως ἐκ παραβόλου τὸ ἀπὸ τοῦ ὠχρου εἰδεχθὲς εἰς ἔρευθος τοῦτο μεταβαλεῖ, ὡς ὁραθῆναι τοῦτο καὶ καλλιπάρηον ἅμα, καὶ χαροπὸν, καὶ παῤῥησίας τῆς καθηκούσης μέτοχον, ἀγαπῴμεν ἄν. Τίνα γὰρ πατέρα (τὸ τοῦ σοφοῦ Σολομῶντος εἰπεῖν) υἱὸς εὐφαίνει [t] καὶ κάλλιστος καὶ σοφός ; Εἰ δὲ παραμενεῖ τοῦτο (φεῦ τὸ δύσμορφον ἀναλλοίωτον), πᾶσα ἀνάγκη πρὸς τὸν πατρῷον τοῦτο κόλπον ἀποστραφῆναι, ὡς ἂν ἐκεῖσε ἀφανισθὲν, ἔκ γε τοῦ μὴ ὁρᾶσθαι, τὸν γοῦν τοῦ αἴσχους ὀνειδισμὸν ἀποκρύπτοιτο.

Interrogatio. An oporteat eum, qui electus est, et suscepit dignitatem, amplexusque est, transferri in aliam episcopen.

Ἐρώτησις. Εἰ δεῖ τὸν ψηφισθέντα, καὶ καταδεξάμενον, καὶ ἀσπασάμενον, μετατεθῆναι εἰς ἑτέραν ἐπισκοπήν.

Res. Hoc canonicum quidem non est, neque

Ἀπ. Τοῦτο κανονικὸν μὲν οὐκ ἔστιν, οὔτε μὴν τῆς

VARIÆ LECTIONES.

[99] Χωματεισανοῦ. [99] ἀνὰ πόδα μέν. [t] υἱὸς οὐκ εὐφραίνει.

[m] *Chomatiani.* [n] *cunctatio.* [o] *tuæ perfectionis petitionem.* [p] *haud ita pridem missam.* [q] *necessario convenientes responsiones ad interrogationes requiri :* [r] *atque ita horum utrumque vehementer ad suas me partes traducere contendit : ut in confinio quasi tandem hærerem, neutri addictus ac neutri parens.* [s] *ad petitionis me permovebat admissionem, benignamque.* [t] *cunctatio* [u] *velut obedientia cunctabundam efficiens, et cunctationem per obedientiam abolens.* [x] *ortum quidem.* [y] *cautus sit, et gressum revocet.* [y] *doctrina.* [z] *reverti.* [a] *sublatus ex eo quod non cernatur.*

ἐγγράφου ἢ ἀγράφου ἐκκλησιαστικῆς παραδόσεως· γίνεται δὲ πολλάκις, βασιλέως κελεύοντος, διά τινα οἰκονομίαν λυσιτελοῦσαν κοινῇ. Καὶ γέγονε τοῦτο ἐπὶ τῶν ἡμερῶν τοῦ ἀοιδίμου βασιλέως κυρίου Μανουὴλ καὶ Πορφυρογεννήτου Κομνηνοῦ. Τοῦ γὰρ σοφωτάτου ἐκείνου Εὐσταθίου τοῦ κατὰ Φλῶρον διακόνου ὄντος τῆς μεγάλης Ἐκκλησίας, καὶ μαΐστορος τῶν ῥητόρων, εἰς τὴν Ἐκκλησίαν τῶν Λυκίων Μυρέων ψηφισθέντος, καὶ καταδεξαμένου, καὶ ἀσπασαμένου, καὶ ἤδη καὶ πρὸς τὴν χειροτονίαν ἑτοιμασθέντος, πρόσταγμα τοῦ μακαρίτου βασιλέως ἐκείνου πρὸς τὴν σύνοδον καταπεφοίτηκε, διακελευόμενον, δέξασθαι ταύτην παραιτούμενον τὸν Εὐστάθιον, προσαγαγεῖν δὲ τοῦτον εἰς τὴν περίκλυτον τῶν Θεσσαλονικέων μητρόπολιν, ὡς τηνικάδε χηρεύουσαν. Τὰ τοιαῦτα οὖν, ὡς εἴπομεν, κέλευσις μόνη βασιλικὴ δύναμιν ἔχει μεταλλάττειν τε καὶ καινοτομεῖν. Ὁ βασιλεὺς γάρ, οἷα κοινὸς τῶν Ἐκκλησιῶν ἐπιστημονάρχης καὶ ὢν καὶ ὀνομαζόμενος, καὶ συνοδικαῖς γνώμαις ἐπίσταται, καὶ τὸ κύρος ταύταις χαρίζεται· ἐκκλησιαστικὰς τάξεις ῥυθμίζει, καὶ νομοθετεῖ βίῳ καὶ πολιτείᾳ τῶν τοῦ βήματος, καὶ μὴν καὶ δίκαις ἐπισκόπων καὶ κληρικῶν, καὶ πρός γε χηρευουσῶν ψήφοις Ἐκκλησιῶν. Ἐνάγει δὲ καὶ ἀπὸ ἐλάττονος τιμῆς εἰς μείζονα, δηλαδὴ ἀπὸ ἐπισκοπῶν εἰς μητρόπολιν, ἢ ἀνδρὸς ἀρετὴν ἢ πόλιν τιμῶν. Ταῦτα δὲ πάντα ῥᾴδιόν ἐστι καταμαθεῖν τὸν φιλομαθῆ ἀπό γε τῆς τῶν ἱερῶν καὶ θείων κανόνων περιλήψεως, καὶ ἀπὸ τῆς Ἰουστινιανείου νεαρᾶς νομοθεσίας, τῆς κειμένης ἐν ὅλῳ τῷ τρίτῳ βιβλίῳ τῶν Βασιλικῶν· τὰ περὶ ἐπισκόπων καὶ κληρικῶν, καὶ προνομίων αὐτῶν, καὶ βίου καταστάσεως, καὶ δικῶν ἐγκληματικῶν τε καὶ χρηματικῶν εἰς πλάτος διαλαμβάνοντι. Καί, ὡς ἔπος εἰπεῖν, πλὴν μόνου τοῦ ἱερουργεῖν, τὰ λοιπὰ ἀρχιερατικὰ προνόμια σαφῶς εἰκονίζει ὁ βασιλεὺς ἐφ' οἷς πράττει νομίμως τε καὶ κανονικῶς. Εὕρηται δὲ καὶ ἐν ιθ' λόγῳ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας Φλαβίου Ἰωσήπου, ὑπογραφὴ βασιλικὴ οὕτως ἔχουσα· Τιβέριος Κλαύδιος Καῖσαρ Σεβαστός, Γερμανός [a], ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας, ὕπατος χειροτονηθεὶς τὸ δεύτερον. Ὅτι οὖν καὶ Χριστὸς Κυρίου ὁ κατὰ καιροὺς βασιλεύς ἐστι, διὰ τὸ χρίσμα τῆς βασιλείας· ὁ δὲ Χριστὸς, καὶ Θεὸς ἡμῶν, μετὰ τῶν ἄλλων, καὶ ἀρχιερεὺς ἡμῶν, καὶ γέγονε καὶ ἀναχηρύττεται· εὐλόγως καὶ αὐτὸς ἀρχιερατικοῖς κατακοσμεῖται χαρίσμασιν.

A scriptæ, aut non scriptæ ecclesiasticæ traditionis. Fit autem sæpe, jubente principe, per aliquam dispensationem [b] publice conducentem : et factum est tempore inclyti imperatoris domini Manuelis Comneni Prophyrogennetæ. Cum enim sapientissimus ille Eustathius, qui, secundum Florum, magnæ Ecclesiæ diaconus et rhetorum magister, in Ecclesiam Lyciorum Myreorum electus esset, et electionem admisisset, amplexatusque fuisset, jamque ad ordinationem paratus : jussio beati principis illius ad synodum prodiit, qua præcipiebatur, ut Eustathius [c] ad inclytam Thessalonicensium metropolim, quam suscipere recusabat, accederet, utpote tunc vacantem. Sola igitur, ut diximus, imperatoria jussio mutandi hæc innovandique potestatem habet. Imperator enim, ut communis Ecclesiarum ἐπιστημονάρχης exsistens et nominatus, synodalibus præest sententiis, et robur tribuit. Ecclesiasticos ordines componit, et legem dat vitæ politiaque eorum, qui altari serviunt : hoc amplius, judiciis [d] episcoporum clericorumque, et vacantium Ecclesiarum suffragiis [e]. E minore etiam honore ad majorem reducit, ab episcopo videlicet in metropolim, vel viri virtutem vel civitatem ornans. Hæc autem omnia studioso facile est discere ex sacrorum divinorumque canonum comprehensione [f], et Justinianea novella constitutione [g], posita in toto libro tertio Basilicorum. Qui quæ sunt de episcopis et clericis, eorumque privilegiis, et vitæ statu, et causis criminalibus et pecuniariis, fuse disputat. Et (ut uno verbo dicam) solo sacrificandi excepto ministerio, reliqua pontificalia privilegia imperator repræsentat, quando legitime canoniceque facit. Inveniturque decimo nono libro Judaicarum antiquitatum Flavii Josephi, subscriptio imperialis sic habens : Tiberius Claudius Cæsar Augustus, Germanicus, pontifex maximus, tribunitiæ potestatis, consul creatus iterum. Quod igitur unctus Domini sit et is, qui pro tempore est imperator propter unctionem imperii : Christus autem, et Deus noster, cum aliis, et pontifex noster factus est, et prædicatur; merito et ipse pontificalibus decoratur gratiis.

Ἐρ. Εἰ δέον ἐστὶ καὶ ἐν τοῖς πορφυροῖς ἀρχιερατικοῖς ἐσθήμασι τεθῆναι, καθάπερ καὶ ἐν τοῖς λευκοῖς· ἐν μὲν τῷ στιχαρίῳ τοὺς ποταμούς, ἐν δὲ τῷ φαινολίῳ σταυρούς· καὶ εἰ δεῖ καὶ πορφύρεον γενέσθαι σάκκον.

Interrogatio. An consentaneum sit [g*] in purpureis pontificalibus vestimentis poni, quemadmodum et in albis : in στιχαρίῳ [h] quidem flumina, in φαινολίῳ [i] autem cruces. Et an purpureus saccus fieri debeat.

Ἀπ. Τὸ ἔθος τῆς Ἐκκλησίας τὰ πορφυρᾶ ἀρχιερατικὰ θεῖα ἐσθήματα ἁπλᾶ βούλεται εἶναι, καὶ χωρὶς προσθήκης τῶν εἰρημένων ποταμῶν καὶ σταυ-

Res. Consuetudo Ecclesiæ purpurea pontificalia indumenta simpla vult esse, et sine prædictorum fluminum cruciumque adjectione. Saccum autem

VARIÆ LECTIONES.

[a] Γερμανικός.

[b] *propter aliquam rationem.* [c] *ut reciperent Eustathium illi renuntiantem, et perducerent ad inclytam Thessalonicensium metropolim, tunc vacantem.* [d] *litibus.* [e] *electionibus.* [f] *volumine.* [g] *legislatione.* [g*] *opus sit.* [h] *palla* [i] *perula.*

purpureum nequaquam novit, quandoquidem saccus in tribus duntaxat anni celebribus Dominicis festis suum usum præbet, nimirum magno Paschatis Dominico, Pentecoste, et Natali Christi. Hoc igitur satis plenam fidem facit, saccus ut sit purpureus, necesse non esse : cum etiam sint luctus insignes purpurea hujusmodi vestimenta. In solis enim jejunii diebus, et mortuorum memoriis.

A ρῶν. Σάκκον δὲ πορφυροῦν οὐδόλως ἐπιγινώσκει· ἐπειδὴ ὁ σάκκος ἐν τρισὶ μόναις τοῦ ἔτους λαμπραῖς Δεσποτικαῖς ἑορταῖς τὴν ἑαυτοῦ χρῆσιν παρέχει· ἤγουν ἐν τῇ μεγάλῃ τοῦ πάσχα Κυριακῇ, ἐν τῇ Πεντηκοστῇ, καὶ ἐν τῇ γεννήσει τοῦ Χριστοῦ. Αὐτὴ γοῦν τοῦτο πληροφορεῖν ἐξαρκεῖ ὡς οὐ χρεὼν εἶναι σάκκον πορφύρεον. Καὶ ἅμα ὅτι πένθους εἰσὶ τὰ πορφυρᾶ τοιαῦτα ἐσθήματα, σήμαντρον. Ἐν μόναις γὰρ νηστίμοις ἡμέραις, καὶ ἐν μνημοσύνοις ἀπελθόντων.

Interrogatio. Quo jure censentur consecrata a Latinis azyma, profana, an sancta? Item eorum ministerio servientia vasa, et sacerdotales amictus, et si quid hujusmodi, et an consentaneum sit annulum ab iis gestari [i].

Ἐρώτησις. Πῶς λογίζονται τὰ παρὰ τῶν Λατίνων ἱερουργούμενα ἄζυμα, κοινὰ, ἢ ἅγια· ὡσαύτως καὶ τὰ ὑπουργούμενα αὐτοῖς σκεύη, καὶ ἱερατικὰ ἄμφια, καὶ εἴ τι τοιοῦτον· καὶ εἰ ἔλλογόν ἐστι τὸ τούτους δακτυλιοφορεῖν.

Resp. Sanctorum quidem apostolorum 70 canon, B et 37, et 38 Laodicenæ synodi, et 60 Carthaginensis, azymorum meminerunt Judaicorum, et festivitatum [k], quæ fidelibus mittuntur ab hæreticis. Et hæc sumere fideles dehortantur, simulque cum iis festum celebrare. Latinicorum autem azymorum nullus canon meminit usquam, quippe quod posterius (ut probabile est) eorum mos Romanæ Ecclesiæ se luxuriose insinuaverit. Ex quo vero talis mos emersit, multi nostrorum, eximio affectu ducti, suis scriptis per se hoc, ut alienum, reprobaverunt. Neque id modo, sed et quod de sancti Spiritus processione a Latinis traditur, absonum dissentaneumque omni modo coarguerunt : et multas eorum alias consuetudines, ut catholicæ Ecclesiæ non convenientes, abominandas reputaverunt et rejecerunt. Nonnulli tamen benignius rem excipientes [l], quod ad alia quidem, in eamdem cum iis sententiam descenderunt, duritiem et superbiam cognoscentes nationis, et frequentem barbaricorum morum contagionem. In solo autem articulo de sancti Spiritus processione nequaquam adstipulati sunt, aut consenserunt. Quorum unus est et sapientissimus Bulgariæ beatus Theophylactus, qui in oratione a se missa ad Nicolaum diaconum et Castrensem, qui postea fuit Melesobæ episcopus, postquam eos reprehendit, qui indistincte eis adhærent, et eorum sacra omnino rejiciunt [m] : et post enumerationem apparentium defectuum, persequitur et hæc in hunc modum : Ego autem horum D alia quidem nulla animadversione indigere arbitror, alia autem mediocri, et quæ possit, si quidem perfecerit quispiam, parum Ecclesiæ indulgere [n] : sin minus, neque damnum afferre, quod imperfectum remansit. Quod autem maxime mihi videtur Latinorum societatem bene sentientibus exsecrandam reddere, et quod non emendatum, magnum conciliat [o] damnum filii hæreditati, quam in gentibus accepit : hoc tibi ostendam, et demonstrabo, quantum in me erit. *Et paulo post :* Est igitur maxi-

Ἀπ. Ὁ μὲν ὁ τῶν ἁγίων ἀποστόλων κανὼν καὶ ὁ λζ' καὶ ὁ λη' τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ ξ' τῆς ἐν Καρθαγένῃ, ἀζύμων μέμνηνται τῶν Ἰουδαϊκῶν καὶ ἑορταστικῶν, πεμπομένων τοῖς πιστοῖς παρὰ τῶν αἱρετικῶν· καὶ ἀποτρέπουσι καὶ τὸ λαμβάνειν ταῦτα, καὶ τὸ συνεορτάζειν αὐτοῖς τοὺς πιστούς. Λατινικῶν δὲ ἀζύμων οὐδεὶς οὐδαμοῦ κανὼν μέμνηται· οἷα ὕστερον, ὡς ἔοικε, τοῦ τῶν ἀζύμων ἔθους ἐν τῇ τῶν Ῥωμαίων Ἐκκλησίᾳ ἐπεισκωμάσαντος. Ἐξ οὗ μέντοι τὸ τοιοῦτον ἔθος ἀνέκυψε, πολλοὶ τῶν ἡμετέρων, κατὰ ζῆλον ὑπερβάλλοντα, συγγράμμασιν ἰδίοις καθ' ἑαυτοὺς ὡς ἔκφυλον τοῦτο ἀπεσκοράκισαν. Οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος τοῖς Λατίνοις C δογματιζόμενον, ἀπᾷδον καὶ ἀπεμφαῖνον παντάπασιν ἤλεγξαν. Καὶ πολλὰ δὲ ἕτερα ἔθη τούτων, ὡς τῇ καθολικῇ Ἐκκλησίᾳ μὴ ἀκολουθοῦντα, βδελυκτὰ ἐλογίσαντο, καὶ ἀπώσαντο. Ἔνιοι μέντοι φιλανθρωπότερον τῷ πράγματι χρησάμενοι, ἐπὶ μὲν τοῖς ἄλλοις συγκατέβησαν αὐτοῖς, τὸ τοῦ ἔθνους εἰδότες σκληρὸν καὶ ἀγέρωχον, καὶ βαρβαρικοῖς ὡς ταπολλὰ συναναχρωννύμενον ἤθεσιν, ἐπὶ μόνῳ δὲ τῷ περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως οὐδαμῶς συγκεχωρήκεσαν καὶ συνῆνεσαν. Ὧν εἷς ἐστι καὶ ὁ σοφώτατος Βουλγαρίας ὁ μακαριστὸς Θεοφύλακτος· ὃς ἐν τῷ πρὸς Νικόλαον διάκονον, καὶ Καστρήσιον, τὸν ὕστερον ἐπίσκοπον Μελεσόβης, πεμφθέντι παρ' αὐτοῦ λόγῳ, μετὰ τὸ μέμψασθαι τοῖς ἀδιακρίτως προσφερομένοις αὐτοῖς, καὶ τὰ αὐτῶν ἀποβαλλομένοις καθόλου· καὶ μετὰ τὴν ἀπαρίθμησιν τῶν δοκούντων ἐλαττωμάτων αὐτῶν, καὶ ταῦτα οὕτω διέξεισιν· Ἐγὼ δὲ καὶ τούτων τὰ μὲν οὐδεμιᾶς ἐπιστροφῆς δεῖσθαι νομίζω, τὰ δὲ, μετρίας, καὶ οἵας, εἰ μὲν ἀνύσειέ τις, μικρὰ τῇ Ἐκκλησίᾳ χαρίζεσθαι· εἰ δ' οὖν, ἀλλὰ μηδὲ ζημίαν γε τιθέναι τὸ ἀνεξάνυστον. Ὅ μάλιστά μοι δὲ δοκεῖ τὴν πρὸς Λατίνους κοινωνίαν τοῖς εὖ φρονοῦσι ποιεῖν ἀπώμοτον, καὶ ὃ μὴ κατορθούμενον, μεγάλην προξενεῖ τὴν ζημίαν τῇ τοῦ υἱοῦ κληρονομίᾳ, ἣν ἐν τοῖς ἔθνεσιν ἔλαβε. Τοῦτό σοι καὶ δείξω καὶ διελέγξω, καθόσον ἔνεστι. *Καὶ μετά τινα·* Ἔστιν

VARIÆ LECTIONES.

[i] *an aliquam rationem habeat, quod annulum gestant.* [k] *et festivorum.* [l] *rem aggressi.* [m] *sine judicio ad illos accedunt, et sua prorsus abjiciunt.* [n] *largiri.* [o] *conciliabit.*

οὖν τὸ μέγιστον ἐκεῖνο σφάλμα, καὶ τοῦτο δὴ τὸ τοῦ Σολομῶντος, ᾄδου πεταύρου ποιοῦν συναντᾷν, ἡ ἐν τῷ τῆς πίστεως συμβόλῳ καινοτομία· ἣν ἐποιήσαντο, ἀνακηρύττοντες τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι. *Καὶ μετὰ πολλά·* Ἐπεὶ δὲ καὶ περὶ τῆς προσφορᾶς τῶν ἀζύμων πολὺς ὁ ζῆλος τοῖς πολλοῖς, καὶ πυρὸς θερμότερος, ὃ δὴ λέγεται· καὶ πρότερον ἂν τὰς ψυχὰς πρόοιντο, ἢ τὴν περὶ τούτων δόξαν αὐτῶν παραλύσαιεν· οἱ δέ τινες καὶ οἰκείῳ πάθει καταχαρίζονται, καὶ παγὶς τοῦ διαβόλου τῷ Παύλῳ δοκεῖ· ἃ μὲν δεῖ πρὸς τούτους εἰπεῖν, ἐν ὑστέρῳ λέξομεν, τὸ μὲν, τὸ ἄμετρον τοῦ ζήλου κολάζοντες, τοῖς δὲ ταπεινὸν δεικνύντες τὸ ἀταπείνωτον. *Καὶ αὖθις μετὰ πολλά·* Καὶ τοῖς Δυτικοῖς τοίνυν εἴτι μὲν περὶ τὸ δόγμα διαμαρτάνεται, τὴν πατρικὴν πίστιν σαλεῦον, οἷον δὴ τὸ ἐν τῷ συμβόλῳ περὶ τοῦ ἁγίου Πνεύματος προστιθέμενον· ἔνθα ὁ κίνδυνος μέγιστος· τοῦτο μὴ διορθώσεως ἀξιούμενον συγχωρῶν, ἀσυγχώρητος· κἂν ἀπὸ τοῦ θρόνου τοὺς λόγους ποιῶνται, ὃν ὑψηλὸν ὑψηλοὶ προτιθέασι· κἂν τὴν τοῦ Πέτρου ὁμολογίαν προβάλλωνται, κἂν τὸν ἐπ' ἐκείνῃ μακαρισμὸν περιφέρωσι· κἂν τὰς κλεῖς τῆς βασιλείας ἡμῖν ἐπισείωσι. *Καὶ πάλιν μετὰ πολλά·* Οὔ τοίνυν οὔτε περὶ τῶν ἀζύμων, οὔτε περὶ τῶν νηστειῶν ἀντισκληρυνθησόμεθα τῷ ἀκαμπεῖ τοῦ ἔθνους φρονήματι. Τοῦτο γάρ ἐστιν ὀστράκῳ συγκολλᾶν ὄστρακον, μηδὲν ἦθος [s] ὑγροτέρου παρεντιθέντας, ὥσπερ ἐγένετ' ἂν ἴσως ἐχέκολλον. Οὐδὲ πολλοῦ δεῖ περὶ τῶν ἀπηριθμημένων λοιπῶν· ἅπερ ὁμολογοῦντες καὶ αὐτοὶ τηρεῖν, ἐκτὸς τῆς πνικτοφαγίας (ταύτης γὰρ οὐδὲ τοὔνομα Λατίνοις σώφροσιν ἀνεκτὸν, ὥσπερ οὐδὲ παρ' ἡμῖν, οὐδὲ τὸ τῆς πορνείας, καὶ τῆς νηστείας· κἂν οἱ θηριώδεις καὶ κτηνώδεις ταύτην ἐπιτηδεύωσι) δοκοῦσι πολλοῖς ἀσύγγνωστα σφάλλεσθαι. Ὧν μὴ συντίθεσθαι τοῖς λόγοις, ἀνδρός ἐστιν, ὡς οἶμαι, ταῖς ἐκκλησιαστικαῖς ἱστορίαις ἐγγυμνασθέντος, καὶ μαθόντος. Ὡς οὐ πᾶν ἔθος ἀποσχίζειν Ἐκκλησίας ἰσχύει, ἀλλὰ τὸ πρὸς διαφορὰν ἄγον δόγματος. Ἔθη δὲ πάντως καὶ ταῦτα, τὰ παρὰ τοῖς θαυμαστοῖς κριταῖς σφάλματα· τὰ μὲν ἐξ εὐλαβείας, ὡς τὸ προσάγειν τοὺς ἀσπασμοὺς τοῖς θείοις ἐδάφεσι (μὴ γὰρ δὴ παραδεξαίμεθα τὴν σατανικὴν ἐκείνην συκοφαντίαν, ὡς ἄρα Λατίνοις οὐ παραδεκτέα ἡ τῶν εἰκόνων προσκύνησις) τὰ δὲ ἐξ οἰκονομίας, οἰκονομούσης ἀσθένειαν, τάχα μὲν καὶ ψυχῆς, πάντως δὲ τὴν σωματικήν· ὡς τὸ τοὺς μοναχοὺς ἐν τοῖς νόσοις μεταλαμβάνειν κρεῶν· καὶ τοῦτο, κεκολασμένως, καὶ τῷ ὄντι πνευματικῶς. Εἰ δέ τινες αὐτὸ χυδαιοῦσι ταῖς ἀδιαφορίαις, ἕτερος οὗτος λόγος πρὸς τούτους, οὐ πρὸς τοὺς πρώτως τοῦτο κατὰ λόγον οἰκονομήσαντας, καὶ ἄλλα κατ' ἄλλους τινὰς λόγους ἐμπαγέντα ταῖς δυτικαῖς Ἐκκλησίαις. Ὧν

A mum illud erratum, et, ut Salomonis utar verbis, incurrere faciens in laqueum inferni, innovatio in fidei symbolo, quam fecerunt, promulgando Spiritum ex Patre et Filio procedere. *Et post multa :* Quoniam autem et de azymorum oblatione multis magnus est zelus, et igne ardentior, quod aiunt, et prius animas amiserint, quam opinionem de his suam destituerint. Quidam autem et proprio blandiuntur affectui, et laqueus diaboli Paulo videtur Quæ in hos dicenda sunt, posterius proferemus : aliorum quidem immoderatum zelum punientes [p], aliis autem abjectum ostendentes quod non est abjectum [q] *Et rursus post multa :* Et occidentalibus igitur si quid in dogmate peccatur, quod de Patre fidem [r] conculiat (quale, quod in symbolo de Spiritu
B sancto adjectum, ubi periculum maximum), hoc qui non dignum correctione [s] concesserit, venia indignus : etsi a throno verba faciant [t], quem sublimem sublimes proponunt [u], et si Petri confessionem proferant, et si ejus beatificationem circumferant, et si claves regni minaciter nobis quatiant. *Et rursus post multa :* Igitur neque propter azyma, neque jejunia obdurescemus contra rigidam gentis pertinaciam : (Hoc enim est testam testæ conglutinare, si nihil naturæ flexibilioris interponas, quæ forsitan glutinosam vim habeat) : neque fere propter reliqua enumerata, quæ se observare confitentes, præter suffocati esum (hujus enim neque nomen Latinis temperantibus tolerabile [v], sicut nec nobis; neque fornicationis
C et jejunii, etiam si ferini et bestiales homines id studiose colant) videntur multis ea, quæ veniam non merentur, peccare. Quorum verbis non assentiri, viri est, ut opinor, in ecclesiasticis historiis exercitati, et qui didicerit, non omnem morem [x] ad divellendum ab Ecclesia valere, sed qui doctrinam in contentionem deducit. Mores [y] autem omnino sunt et hæc apud illos præclaros judices errata : alia quidem ex religione, ut exhibere oscula sacris pavimentis (non enim sane admittamus satanicam illam calumniam, nempe ut Latinis [z] non admittenda imaginum veneratio) alia autem ex dispensatione, quæ infirmitatem regit [a], forsitan quidem et animæ, omnino autem corporalem ; ut monachos in ægrotationibus sumere carnes : idque sobrie, et revera
D spiritualiter. Quod si qui id accumulent rebus indifferentibus, alius hic in istos sermo, non in eos, qui primum illud ratione dispensarunt [b], et alia, quæ quibusdam aliis rationibus Ecclesiis occidentalibus sunt infixa. Quorum nihil distrahere nos potest. Neutiquam : si quidem judices habeat, sententiam ferentes paternis legibus consentaneam. Et nisi longa mihi futura esset oratio, et ad histo-

VARIÆ LECTIONES.

[s] ἦθους.

[p] *coercentes.* [q] *abjecti esse animi, ostendentes nolle humiliari.* [r] *quod a patribus acceptam fidem.* [s] *qui corrigi non petens.* [t] *a throno rationes afferant.* [u] *aliis prætulerunt.* [v] *Latinis hominibus modestis est tolerabile.* [x] *consuetudinem.* [y] *consuetudines.* [z] *Latinos adorationem imaginum non admittere.* [a] *quæ cum infirmitate dispensat.* [b] *Quod si qui licentius agendo nimis hoc pervulgatum faciant.*

riam accedens [c], antiquorum Patrum mores tibi ostenderem innumerabiles in fraternarum animarum acquisitionem cedentes. Noverant enim illi non sibi ipsis placere, sed unusquisque proximo, in bonum et ædificationem. Verum nunc : (heu fastum hydropicum !) Et quis est proximus meus ? inquimus : et stantium decem millia dejicimus [d], ut nostram impleamus voluntatem. Deinde graviter insectatur eos, qui indistincte et impudenter [e] Latinicos mores reprehendunt, eosque maximis et rejiciendis erroribus adscribunt. Ex sententia igitur hujus sapientissimi scripti, videre est, in omni gente, quæ Christi prædicationem susceperit, minimos [f] morum ipsorum defectus observandos esse. Eos sane, qui a fidei articulis alieni et dissidentes, valde despiciendos fugiendosque ut gangrænas [g], quarum divus Paulus meminit, et ut alius generis malos inveteratos morbos. Quandoquidem mores non eam vim habent ab iis divellendi, quam dogmata perversa. Unde neque consecrata a Latinis azyma, neque hæc suscipientia et sacrificio servientia [h] eorum vasa, et consequenter neque sacras eorum stolas, neque hujusmodi quidpiam, immundum pollutumque existimabimus. Quo enim pacto ? cum Dominici nominis invocatio eis signum imprimat, divique Jacobi fratris Domini, sacra cantica, hostiam, ut didicimus, eis consecrent ? Cæterum si quis dicat, si quidem Latinorum azyma profana non sint, nullum nobis fore præjudicium, si ea sumamus : is audiet, quia, quemadmodum superius diximus, cum aliis et hic azymorum mos occidentalibus Ecclesiis inhæsit sicut nobis fermenta offerre et consecrare : impossibilis erit in utriusque propriorum morum transgressio : nisi quando altera pars ad alteram transire maluerit, communionem ejus amplectendo. Eo excepto, quod quemadmodum illi quæ a nobis consecrata [i], et nos pariter quæ ab iis, sancta æstimamus. Neque fallimur. Etenim hæreticorum quoque ordinationes ab orthodoxis recipiuntur, juxta Patrum traditionem, si orthodoxi sint vel fiant, qui ab iis ordinantur. Annulum autem ferre, iis quidem, qui secundum spiritum ambulant, spiritaliter accipitur. Quemadmodum enim Christus Ecclesiæ, mundarumque et virginearum animarum nominatur sponsus : sic qui ubique sunt sanctarum Ecclesiarum præsules, sponsi appellantur, annulo accepto, ut Spiritus sigillo. Quod et Salvator in digito, id est sancto Spiritu, se dæmonia ejicere incredulis dicebat Judæis, qui eum convitio, quasi Beelzebul haberet, consectabantur. Et prodigum filium reversum aureo annulo exornavit, totum videlicet hunc faciens spiritualem pro carnali. At Latinis non spiritualiter,

οὐδὲν διασπᾷν ἡμᾶς δύναται. Οὐκ· ἦν γε τοὺς κρίνοντας ἔχῃ τὴν ψῆφον ἐκφέροντας πατρικοῖς νόμοις ἀκόλουθον. Καὶ εἴ γε μὴ μακρός μοι ὁ λόγος ἐμέλλεν ἔσεσθαι, καὶ ἱστορίας ἐγγὺς, ἔδειξα ἂν σοι μυρίοις ἐπὶ μυρίοις ἔθη τοῖς παλαιοῖς πατράσι παραχωρηθέντα, πρὸς τὴν τῶν ἀδελφικῶν ψυχῶν περιποίησιν. Ἤδεσαν γὰρ ἐκεῖνοι μὴ ἑαυτοῖς ἀρέσκειν, ἀλλ' ἕκαστος τῷ πλησίον εἰς τὸ ἀγαθὸν, πρὸς οἰκοδομήν. Ἀλλὰ νῦν · (φεῦ τοῦ ὑδερικοῦ ἡμῶν ὄγκου !) Καὶ τίς ἐστί μου πλησίον ; λέγομεν, καὶ μυρίους καταβάλλομεν ἰσταμένους, ἵνα τὸ οἰκεῖον συστήσωμεν θέλημα. Καὶ ἐφεξῆς κατατρέχει σφοδρῶς τῶν ἀδιακρίτως καὶ ἀναίδην [b] μεμφομένων τοῖς Λατινικοῖς ἔθεσι, καὶ εἰς μέγιστα καὶ ἀπόβλητα σφάλματα ἐγγραφόντων αὐτά. Ἔστιν οὖν ἐκ τῆς ἐγκειμένης ἐννοίας τῷ σοφωτάτῳ τούτῳ συγγράμματι συνιδεῖν, ὡς ἐλάχιστα μὲν χρὴ ἐπὶ παντὸς ἔθνους προσδεξαμένου τὸ κατὰ Χριστὸν κήρυγμα, ἐπιτηρεῖν τὰ τῶν ἐν αὐτοῖς ἐθῶν ἐλαττώματα · τά γε μὴν ἐκφυλα τῶν δογμάτων, καὶ ἀπεμφαίνοντα, καὶ λίαν ὑποβλέπεσθαι, καὶ φεύγειν ὡς γαγγραίνας, ὧν ὁ θεῖος μέμνηται Παῦλος, καὶ ὡς ἑτεροῖα κακοήθη νοσήματα. Ἐπεὶπερ τὰ μὲν ἔθη οὐ τοσοῦτον, τὰ δέ γε πονηρὰ δόγματα διασπᾷν ἡμᾶς τούτων δύνανται. Ὅθεν οὔτε τὰ ἱερουργούμενα παρὰ τῶν Λατίνων ἄζυμα, οὔτε τὰ ὑποδεχόμενα ταῦτα καὶ ὑπηρετούμενα τῇ τούτων ἱερουργίᾳ σκεύη, καὶ ἀκολούθως οὔτε τὰς ἱερὰς αὐτῶν στολὰς, οὔτε τι τοιοῦτον, κοινὰ λογισόμεθα. Πῶς γάρ ; τῆς τοῦ Δεσποτικοῦ ὀνόματος ἐπικλήσεως ἐπισφραγιζούσης ταῦτα, καὶ τῶν τοῦ θείου Ἰακώβου τοῦ ἀδελφοθέου ἱερῶν ἐπῳσμάτων τὴν ἁγιστείαν, ὡς μανθάνομεν, ἱερολογούντων αὐτοῖς. Εἰ δέ τις ἐρεῖ ὡς εἴπερ κοινὰ τὰ τῶν Λατίνων ἄζυμα οὐκ εἰσὶν, οὐ προκριματισθησόμεθα καὶ ἡμεῖς τούτων μεταλαμβάνοντες · ἀλλ' ἀκούσεται ὡς ἐπειδὴ, καθὼς ἄνωθεν εἴρηται, μετὰ τῶν ἄλλων ταῖς δυτικαῖς Ἐκκλησίαις καὶ τὸ ἐπὶ τοῖς ἀζύμοις ἔθος ἐμπέπηκται, καθὰ καὶ ἡμῖν τὸ προσφέρειν καὶ ἱερουργεῖν ἔνζυμα, ἀδύνατος ἑφ' ἑκατέροις ἔσται ἡ τῶν οἰκείων ἐθῶν παράβασις · εἰ μήποτε θάτερον μέρος μεταθέσθαι πρὸς θάτερον αἱρετίσεται, τὴν κοινωνίαν αὐτοῦ ἀσπασάμενον. Πλὴν, ὥσπερ ἐκεῖνοι τὰ παρ' ἡμῶν ἱερουργούμενα, καὶ ἡμεῖς οὕτω τὰ παρ' ἐκείνων, ἅγια λογιζόμεθα · καὶ οὐ σφαλλόμεθα. Καὶ αἱρετικῶν γὰρ χειροτονίαι τοῖς ὀρθοδόξοις δεκταί εἰσι, κατὰ τὴν τῶν πατέρων παράδοσιν, ὀρθοδόξων ἤ ὄντων ἤ γινομένων τῶν ὑπ' αὐτῶν χειροτονουμένων. Τὸ δακτυλιοφορεῖν δὲ, τοῖς μὲν κατὰ πνεῦμα περιπατοῦσι, πνευματικῶς ἐκλαμβάνεται. Ἐπειδὴ γὰρ νυμφίος ὁ Χριστὸς καὶ τῆς Ἐκκλησίας, καὶ τῶν καθαρῶν καὶ παρθένων ψυχῶν ὀνομάζεται, τὸν αὐτὸν τρόπον καὶ οἱ ἑκασταχοῦ τῶν ἁγίων Ἐκκλησιῶν προστάται, νυμφίοι προσαγορεύονται, ὡς δακτύλιον τὴν σφραγῖδα λαβόντος τοῦ

VARIÆ LECTIONES.

[b] ἀνέδην.

[c] *et instar historiæ.* [d] *infinitos etiam stantes prosternimus.* [e] *sine discretione ac promiscue.* [f] *quam minime.* [g] *Dogmata tamen peregrina, nec veris similia, valdè habenda suspecta fugiendaque ceu gangræna.* [h] *sacris peragendis.* [i] *verumtamen ut illi quæ a nobis sunt consecrata, sic nos quæ ab ipsis sancta.*

Πνεύματος. Ὅτι καὶ ὁ Σωτὴρ ἐν δακτύλῳ, τουτέστι τῷ ἁγίῳ Πνεύματι, τὰ δαιμόνια ἐκβάλλειν πρὸς τοὺς ἀπειθεῖς ἔλεγεν Ἰουδαίους, οἳ Βεελζεβοὺλ ἐκερτόμουν ἔχειν αὐτόν. Καὶ τὸν ἐπάνελθόντα δὲ ἄσωτον υἱὸν δακτυλίῳ χρυσῷ ἐπεκόσμησεν· ὅλον δηλαδὴ τοῦτον ἐκτελέσας πνευματικὸν, ἀντὶ σαρκικοῦ. Τοῖς γε μὴν Λατίνοις οὐ πνευματικῶς, ἀλλὰ σαρκικῶς, οὐδ' ὑπερκοσμίως, ἀλλὰ κοσμικῶς τὴν τοῦ δακτυλίου προσηγορίαν ἐκλαμβανομένοις, περισπούδαστον γίνεται τὸ δακτυλιοφορεῖν, ὡς τῶν Ἐκκλησιῶν δήπουθεν μνήστορσιν· ὅθεν οὐδὲ τοῦτο προσάπτει μέμψιν αὐτοῖς.

A sed carnaliter, neque supramundane, sed mundane annuli appellationem accipientibus, studio magno affectatum est annulo gestare, utpote Ecclesiarum sponsis. Ideoque neque hoc illis notam inurit

Ἐρώτησις. Εἰ πρόκριμα τῷ ἀρχιερεῖ τὸ εἰσέρχεσθαι εἰς τὰς Λατινικὰς ἐκκλησίας, καὶ προσκυνεῖν ἡνίκα ἂν προσκληθείη παρ' αὐτῶν. Καὶ εἰ μεταδώσει τούτοις κατακλαυστοῦ, ὅταν εἰς τὴν ἁγίαν καὶ καθολικὴν ἐκκλησίαν ἐν τῇ λειτουργίᾳ παραγίνωνται.

Interrogatio. An præjudicium antistiti, ingredi Latinorum ecclesias, et ibi adorare, cum ab iis evocatus fuerit. Et an iis fractionem [j] distribuet, cum in sancta et catholica Ecclesia sacro ministerio interfuerint.

Ἀπ. Τινὲς τῶν Λατίνων εὑρίσκονται μὴ καθόλου διαφερόμενοι πρὸς τὰ καθ' ἡμᾶς ἔθη, τά τε δογματικὰ καὶ τὰ ἐκκλησιαστικά· καὶ εἰσὶν, ὡς ἄν τις εἴπῃ, κατὰ τοῦτο ἐπαμφοτερίζοντες. Ὥσπερ τοίνυν τὸ ἀντισκληρύνεσθαι τοῖς ἐπίπαν διαφερομένοις ἡμῖν, ἐξαιρέτως ἐπὶ τῷ δόγματι τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, καθῆκον καὶ ὅσιον· οὕτω τὸ συγκαταβαίνειν τοῖς μὴ τοιούτοις, καὶ συνέρχεσθαι, οὐ προκρινεῖ τῷ ἀρχιερεῖ, ὡς οἰκονομίαν πεπιστευμένῳ καὶ μετερχομένῳ τὴν πρέπουσαν οἰκονόμοις ψυχῶν. Ὅθεν καὶ εἰς τὰς ἐκκλησίας αὐτῶν προσκληθεὶς οὗτος, ἀνενδοιάστως ἀφίξεται. Τῶν ἁγίων γὰρ εἰκόνων εἰσὶ καὶ οὗτοι προσκυνηταὶ, καὶ ἐν τοῖς κατ' αὐτοὺς ναοῖς ἀναστηλοῦσιν αὐτάς. Καὶ προθύμως προσερχομένοις τούτοις μεταδώσει κατακλαστοῦ, ὅταν ἐν τῇ καθολικῇ ἐκκλησίᾳ παραγίνωνται. Ἡ τοιαύτη γὰρ συνήθεια δύναμιν ἔχει κατὰ μικρὸν μαθελκύσαι αὐτοὺς καθόλου πρὸς τὰ καθ' ἡμᾶς ἱερὰ ἔθη καὶ δόγματα. Πυκνοῦται δὲ καὶ ἡ Ἰταλία θείων ἀποστόλων καὶ μαρτύρων ναοῖς· ὧν κορυφαῖος ὁ ἐν τῇ Ῥώμῃ περίκλυτος τοῦ ἐν ἀποστόλοις κορυφαίου Πέτρου ναός. Ἐν οἷς ἡμέτεροι εἰσερχόμενοι ἔκ τε τῆς ἱερατικῆς μερίδος καὶ τῆς λαϊκῆς, προσευχάς τε ποιοῦνται πρὸς Θεὸν, καὶ τοῖς ἐν αὐτοῖς τιμωμένοις ἁγίοις τὴν σχετικὴν προσκύνησιν καὶ τιμὴν ἀπονέμουσι· καὶ πρόκριμα ἐντεῦθεν οὐδόλως ὑφίστανται, ἐφ' οἷς δηλαδὴ ὑπὸ τοὺς Λατίνους εἰσὶ ναοῖς. Μεμνήμεθα δὲ ὡς γεγόνασιν ἐρωτήσεις πρὸ ἐτῶν ἤδη ἱκανῶν παρὰ Μάρκου τοῦ τῆς ὁσίας μνήμης πατριάρχου Ἀλεξανδρείας· καὶ ἐπ' αὐταῖς ἀποκρίσεις Θεοδώρου τοῦ μακαρίτου πατριάρχου Ἀντιοχείας τοῦ Βαλσαμών· αἷς συντεταγμένη ἦν καὶ περὶ Λατίνων αἰχμαλώτων ἐρώτησις, εἰ χρὴ δηλαδὴ τούτους προσδέχεσθαι παρουσιάζοντας εἰς τὰς καθολικὰς ἐκκλησίας, καὶ ζητοῦντας μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων. Καὶ ἀκολούθως ἐπὶ ταύτῃ ἀπόκρισις, καθόλου ἀπαγορεύουσα τοὺς εἰρημένους Λατίνους διὰ χειρῶν τῶν καθ' ἡμᾶς ἱερέων τῆς θείας κοινωνίας ἀξιοῦσθαι. Ἥτις δὴ ἀπόκρισις τὸν οἰκεῖον λόγον συγκροτοῦσα ἀπὸ τῆς θείας Γραφῆς, τῷ Κυριακῷ ἐκείνῳ ἐχρήσατο ῥήματι· Ὁ μὴ ὢν (λέγον) μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει. Τῇ τοιαύτῃ δὲ ἀποκρίσει τηνικαῦτα πολλοὶ τῶν ἐλλογί-

susceptorum ministerium prodirent, etiam ardentius invitati. Cum vero ignorent, videamus autem quotidie et mulieres sine differentia susceptorum onus recipientes ; quid vetat, juxta consuetudinem, quæ hic obtinuit, viro peregrinante, qui primogenitum horum parentem filiolum suscepit, illius uxorem invitatam suscipere eum, qui eisdem postea fuit natus ?

Sextum autem, quod de infante quæsitum est, ut paucis dicam, est hujusmodi :

Infans, inquisti, morbo correptus, et jam morti proximus, sacerdoti cuidam oblatus est per sacram Dei generationem regenerandus. Hic cum exilem spiritum eum ducere videret, et veritus, ut solemnibus precibus et adjurationibus non decantatis præriperetur, antequam baptismatis regenerationem esset adeptus : precationes ante baptismum decantandas, et adjurationes præcidens, initiat illum triplici demersione, et triplici Patris, Filii et Spiritus sancti invocatione. Quid post hæc ? Convalescit infans, abeunte morbo. Accedit iterum sacerdos, adjurationes, quas præterierat, et preces impleturus. Quod restat, quæsiisti discere, liceret id facere, necne. Et puto ea, quæ baptismum præcedunt, post baptismum accinenda non esse ei, qui jam baptismo initiatus est, per triplicem immersionem, et trium personarum invocationem, in quibus est baptismus. Nusquam enim ab ullo sacrorum canonum tale quid definitum invenimus. Et 47 canon divinitus afflatorum Patrum, qui Laodiceæ convenerunt, de iis loquens, qui ob necessitatem in morbis baptizantur, nihil horum meminit, neque ut preces dicantur, neque ut adjurationes post baptisma fiant : sed illius modo, quod fides ediscenda sit etiam post baptisma, ab eo, qui morbo prohibitus est, antequam eam disceret. Ait enim, eos, qui in morbo baptizati sunt, fidem ediscere oportere, et agnoscere, se divina largitione dignos habitos esse [b].

Septimam et ultimam interrogationem hujusmodi proposuisti. Puella quædam, quintum agens annum, in impubere ætate despondetur cuidam viro, qui propter ætatem impuberem jure eam repudiat. Hæc autem rursus septimo ætatis anno despondetur alteri : qui iterum eamdem causam habens cum priore, dissidium cum ea facit. Quid tum deinde ? Tertium decimum agens annum vult alii viro legitime conjungi, et benedictione sacra initiari. Hæc per narrationem exponens, quærebas, prohibita essent, necne. Et dicimus, non prohiberi eam ; tum quod præter ætatem desponsata sit, et hujusmodi sponsalia nullo connumerentur modo sponsalibus novella constitutione cognitis : tum quod prædicti sponsi (si quidem sponsos vocari oporteat

νον, σχολῇ γ' ἂν πρὸς τὴν τῶν ἀναδόχων λειτουργίαν ἀπήντων, καὶ θερμότερον προσκαλούμενοι· ἐπεὶ δὲ οὐκ ἴσασιν, ὁρῶμεν δὲ καθ' ἑκάστην καὶ γυναῖκας ἀδιαφόρως τὸ τῶν ἀναδόχων βάρος ὑποδεχομένας· τί κωλύει, κατὰ τὴν ἐπικρατήσασαν ταύτῃ συνήθειαν, τοῦ ἀνδρὸς ἀποδημοῦντος τοῦ τὸ πρωτογενὲς παιδίον τῶνδε τῶν γονέων ἀναδεξαμένου, τὴν ἐκείνου γυναῖκα κληθεῖσαν τὸ μετ' ἐκεῖνο τούτοις τεχθὲν ἀναδέξασθαι ;

Τὸ δὲ περὶ τοῦ παιδὸς ἕκτον ἐρώτημα, ὡς βραχεῖ φάναι, τοιοῦτόν ἐστιν·

Παιδίον (ἔφης) νόσῳ κρατηθὲν, καὶ ἐγγίσαν ἤδη τῷ θανάτῳ, προσήχθη τινὶ τῶν ἱερέων, διὰ τῆς ἱερᾶς θεογενεσίας ἀναγεννηθησόμενον. Ὁ δὲ λεπτὸν τοῦτο ἰδὼν ἔμπνεον, καὶ φοβηθεὶς μήπως τῶν συνήθων εὐχῶν καὶ ἐφορκισμῶν ἐπᾳδομένων προαναρπασθῇ, μὴ τυχὸν τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως· περιελὼν τὰς εὐχὰς τὰς πρὸ τῆς τελειώσεως ἐπᾳδομένας καὶ τοὺς ἐφορκισμοὺς, τελειοῖ τοῦτο διὰ τῆς τρίτης καταδύσεως, καὶ τῆς ἐπικλήσεως τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Τί τὸ ἐπὶ τούτοις ; ῥώννυται τὸ παιδίον, τῆς νόσου δραπετευσάσης. Πρόσεισιν αὖθις ὁ ἱερεὺς, τοὺς ἀφορκισμοὺς [a] οὓς παραλέλοιπε, καὶ τὰς εὐχὰς ἀναπληρώσων. Λοιπὸν ἐζήτησας μαθεῖν, εἰ ἔξεστι τοῦτο ποιεῖν, ἢ μή. Καὶ δοκεῖ μοι, ὅτι οὐ δεῖ μετὰ τὴν τελείωσιν τὰ πρὸ τῆς τελειώσεως προσᾴδεσθαι τῷ ἤδη τετελειωμένῳ διὰ τῆς φρικτῆς καταδύσεως, καὶ τῆς ἐπικλήσεως τῶν τριῶν προσώπων, ἐν οἷς ἡ τελείωσις. Οὐδαμοῦ γὰρ ὑπ' οὐδενὸς τῶν ἱερῶν κανόνων τοιοῦτόν τι εὑρίσκομεν διωρισμένον. Καὶ ὁ τῶν ἐν Λαοδικείᾳ δὲ συνελθόντων θεοφόρων Πατέρων μζ' κανὼν, περὶ τῶν περιστατικῶς ἐν νόσοις βαπτιζομένων διεξιὼν, οὐδενὸς τούτων ἐμνημόνευσεν, οὐ τοῦ εὐλογεῖν, οὐ τοῦ ἐφορκίζειν μετὰ τὸ βάπτισμα· μόνον δὲ τοῦ δεῖν τὴν πίστιν ἐκμανθάνειν, καὶ μετὰ τὸ βάπτισμα, τὸν ὑπὸ τῆς νόσου κωλυθέντα πρὸ τοῦ ταύτην ἐκμαθεῖν. Φησὶ γὰρ, ὅτι δεῖ τοὺς ἐν νόσῳ βαπτισθέντας, ἤτοι ἀναστάντας, ἐκμανθάνειν τὴν πίστιν, καὶ γινώσκειν, ὅτι θείας δωρεᾶς ἠξιώθησαν.

Ἕβδομον καὶ τελευταῖον ἐρώτημα τοιοῦτόν τι προβέβληκας. Κόρη τις, πέμπτον ἄγουσα ἔτος τῆς ἐν ἀνηβότητι ἡλικίας, μνηστεύεται τινὶ ἀνδρί. Ὃς καλῶς ποιῶν, διὰ τὴν τῆς μνηστευθείσης ἀνηβότητα, ἀφίσταται αὐτῆς. Ἡ δὲ καὶ πάλιν ἐν τῷ ἑβδόμῳ χρόνῳ τῆς ἡλικίας αὐτῆς μνηστεύεται ἀνδρὶ ἑτέρῳ· ὃς δὴ πάλιν τὰ ἴσα τῷ προτέρῳ φρονήσας ἀποῤῥήγνυται αὐτῆς. Εἶτα τί ; τρισκαιδέκατον ἐλαύνουσα χρόνον βούλεται νομίμως ἀνδρὶ ἑτέρῳ συναφθῆναί τε καὶ ἱερολογηθῆναι. Ταῦτα διηγηματικῶς ἐκθεὶς, ἐζήτεις μαθεῖν, εἰ κεκώλυται, ἢ μὴ κεκώλυται. Καὶ λέγομεν, μὴ κεκωλύσθαι ταύτην, διά τε τὸ παρ' ἡλικίαν μνηστευθῆναι, καὶ μὴ συναριθμεῖσθαι ὅλως τὰς τοιαύτας μνηστείας ταῖς ἐγνωσμέναις τῇ νεαρᾷ νομοθεσίᾳ μνηστείαις. Καὶ προσέτι δὲ, διὰ τὸ τοὺς

VARIÆ LECTIONES.

[a] ἐφορκισμούς.

[b] *quod divinum munus adepti sint.*

προηγησαμένους μνηστῆρας (εἴγε μνηστῆρας δεῖ καλεῖν, τοὺς τὴν κλῆσιν διαψευσαμένους, διὰ τὸ ἐκθεσμον) δικαίως ἤδη διαστῆναι αὐτῆς. Καίτοι εἰ καί τις ἐκείνων τῆς μνηστείας ἀντεποιεῖτο, ἱκανὸν τῇ πόρῃ βοήθημα πρὸς ἀθέτησιν ἐκείνου, τὸ μὴ δοκεῖν συναινεῖν, διὰ τὴν ἀνηβότητα.

A eos, qui per illicitum appellationem ementiti sunt) jure jam ab ea discesserint. Nam et si quis eorum sponsalia vindicet [c], sufficiat puellæ auxilium ad eum repellendum, quod non videatur consentire, propter ætatem pupillarem.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΑΡΤΟΦΥΛΑΚΟΣ.

Ἐπιστολὴ τοῦ χαρτοφύλακος κυρίου Νικηφόρου πρός τινα μοναχὸν Θεοδόσιον καὶ ἔγκλειστον Κορίνθου, περιέχουσα λύσιν τινῶν ζητημάτων.

NICEPHORI CHARTOPHYLACIS.

Epistola Chartophylacis domini Nicephori ad monachum quemdam Theodosium, et inclusum Corinthi, continens quarumdam quæstionum solutionem.

Exstat inter Opera Nicephori CP. patriarchæ, *Patrologiæ* tom. C, col. 1061.

—

ΝΙΚΗΤΑ ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ.

Ὑπόμνησις τινὸς μοναχοῦ Καππαδόκου, Βασιλείου τοὔνομα, πρὸς τὸν Θεσσαλονίκης, κῦρον Νικήταν τὸν Μιτυληναῖον, περὶ δούλων, ἵνα ἱερολογῶνται.

B

NICETÆ METROPOLITANI THESSALONICES.

Suggestio monachi cujusdam Cappadocis, Basilii nomen habentis, ad episcopum Thessalonicæ, dominum Nicetam Mitylenæum, de servis, ut sacræ preces eorum nuptiis adhibeantur.

Δέσποτά μου ἅγιε, ἐν τῷ κόσμῳ τὴν οἴκησιν ποιούμενος, καὶ τῶν προσερχομένων μοι τοὺς λογισμοὺς ἀναδεχόμενος, εὗρον ἐξ αὐτῶν τινας, δούλους καὶ δουλίδας ἔχοντας, καὶ τοὺς δούλους αὐτῶν ἐκτὸς ἱερολογίας πορνικῶς συναφθέντας. Τῇ δὲ δευτέρᾳ διατάξει τοῦ μεγάλου Παύλου ἐντυχών, τῇ λεγούσῃ· Εἰ δὲ ἐθνικοῦ εἴη [17] ὁ οἰκέτης, διδασκέσθω εὐαρεστεῖν τῷ δεσπότῃ, ἵνα μὴ βλασφημῆται ὁ λόγος. Εἰ μὲν [18] οὖν ἔχει γυναῖκα, ἢ ἡ γυνὴ ἄνδρα, διδασκέσθωσαν ἀρκεῖσθαι ἑαυτοῖς [19]· εἰ δὲ ἄγαμοί εἰσι, μανθανέτωσαν μὴ πορνεύειν, ἀλλὰ γαμεῖν νόμῳ. Εἰ δὲ ὁ δεσπότης αὐτοῦ, πιστὸς ὢν, καὶ εἰδὼς, ὅτι πορνεύει, οὐ δίδωσιν αὐτῷ γυναῖκα, ἢ τῇ γυναικὶ ἄνδρα, ἀφοριζέσθω. Ταύτῃ, ὡς εἴρηται, ἐντυχών, παρῆνεσα τοὺς δεσπότας, εὐλογῆσαι τοὺς οἰκέτας αὐτῶν· ἀλλὰ καὶ αὐτὴν τὴν διάταξιν ὑπέδειξα αὐτοῖς. Οἱ δὲ τὴν μὲν διάταξιν τοῦ Ἀποστόλου ἐδέξαντο, ὡς ἁγίαν, καὶ τὰ τῷ Θεῷ [20] φίλα λέγουσαν· ἀπελογοῦντο δὲ, ὅτι Φοβούμεθα, εἰ πεισθῶμεν τῇ διατάξει εὐλογῆσαι τοὺς δούλους, μήπως ἐλευθερωθέντες ὑπὸ τῆς εὐλογίας, στερηθῶμεν [21] τῆς αὐτῶν δουλείας. Ταῦτα αὐτῶν λεγόντων [22], ἦμην πάλιν ἐναγώνιος πρὸς τὸ προκείμενον· καὶ ὅμως πολλὰ σπουδάσας, εὗρον καὶ τοῦ τρισμακαρίστου βασιλέως, κυρίου [23] Ἀλεξίου Νεαρὰν, κελεύουσαν εὐλογεῖσθαι τοὺς δούλους, καὶ μένειν αὐτοὺς πάλιν δούλους καὶ μετὰ τὴν εὐλογίαν. Ὑπέδειξα οὖν ταύτην αὐτοῖς. Οἱ δὲ πάλιν ἀπελογοῦντο, μὴ εἶναι ταύτην τὴν νομοθεσίαν τοῦ μακαρίτου βασιλέως. Μὴ ἔχων οὖν τί ποιῆσαι, δέομαι τῆς σῆς ἁγιότητος, ἵνα εἰ ἀληθῶς ἡ νεαρὰ παρ' ἐκείνου γέγονεν, ὅπισθεν ἐπικυρωθῇ δι' ὑπογραφῆς [24] σῆς, καὶ ὑπογραφῇ διὰ τῆς ἁγίας χειρός σου, πρὸς σύστασιν καὶ πληροφορίαν τῶν ἀπιστούντων αὐτῇ, καὶ ὠφέλειαν πολλῶν.

Sancte domine mi, in mundo habitationem faciens, et adeuntium me confessiones suscipiens, reperi ex iis aliquos, qui servos et ancillas haberent, et servos eorum sine sacra precatione, scortatorum more, conjunctos. Cum autem legissem secundum magni Pauli præceptum, dicens : Quod si ethnici sit servus, doceatur placere domino, ne sermo calumniis [d] appetatur. Si igitur habet uxorem vir, aut uxor virum, doceantur seipsis esse contenti. Quod si innupti sint, discant non scortari, sed nuptias lege contrahere. Quod si dominus ejus, qui fidelis sit, sciatque eum scortari, non det ei uxorem, aut mulieri virum, excommunicetur. Cum, inquam, id legissem, admonui dominos, ut benedicerentur eorum servi. Præceptum etiam eis ostendi. Qui præceptum quidem probarunt Apostoli, ut sanctum, et Deo grata continens : id vero pro defensione causabantur, se vereri, ne si præcepto pareant, ut servi benedictionem accipiant, liberati per benedictionem, eorum servitute priventur. Cum hæc illi dicerent, eram rursus in certamine ad propositum dubius : multoque tamen adhibito studio, inveni etiam ter [e] beati imperatoris domini Alexii Novellam, jubentem, ut servi benedicantur, rursusque post benedictionem servi maneant. Eam igitur illis ostendi. Qui iterum defendebant, non esse hanc constitutionem beati illius principis. Cumque nesciam quid opus facto sit, sanctitatem tuam rogo, ut si vere ea novella ab eo facta sit, a tergo firmetur subscriptionis tuæ auctoritate. Subscribaturque [f] sancta manu tua, ad probationem certitudinemque eorum, qui illi fidem non habent, et ad multorum utilitatem.

C

D

VARIÆ LECTIONES.

[17] εἰ καὶ ἐθνικοῦ. [18] καὶ εἰ μέν. [19] αὐτοῖς. [20] καὶ θεῷ φίλα. [21] μήπως ἐλευθερωθῶσιν ἀπὸ τῆς εὐλογίας, καὶ στερηθ. [22] τούτων λαλούντων. [23] κύρου. [24] δι' ἐπιγραφῆς.

[c] *ex eis sponsalia secum asserat esse contracta.* [d] *etiamsi pagani servus sit, hero suo placere discat, ne doctrina c.* [e] *plurimum laudandi.* [f] *firmetur per adnotationem tuam et subscribatur.*

Hoc amplius discere velim a tua sanctitate, quid de iis faciendum sit, qui unum habent servum. Est enim qui unum tantum habeat servum : et cum emere non possit ancillam, servus extranea et vaga libidine scortatur. Est qui ancillam habeat, quæ, quia dominus servum comparare non potest, scortetur similiter. Peto et me tuam institutionem doceas [g], et quæ sit talium medela ; et an dominis, qui post Ecclesiæ judicium non emendantur, offerre Deo munus sit fas ; et an liceat sacerdoti horum munera accipere : maxime, cum scortantes mulieres oblationes fermentaverint.

Ἔτι δέομαι μαθεῖν παρὰ τῆς ἁγιωσύνης σου, τί ὀφείλω ποιῆσαι εἰς τοὺς πρὸς ἕνα ἔχοντας οἰκέτην. Ὁ μὲν γὰρ ἔχει ἕνα δοῦλον, καὶ μὴ δυνάμενος ἐξωνήσασθαι [25] καὶ δούλην, πορνεύει ὁ δοῦλος ἀπολελυμένος [26] ἔξω· ὁ δὲ δούλην, καὶ μὴ δυνάμενος ὠνήσασθαι καὶ δοῦλον, πορνεύει καὶ αὐτὴ ὁμοίως. Καὶ αἰτῶ μαθεῖν τὴν σὴν οἰκονομίαν, καὶ τίς ἡ θεραπεία τῶν τοιούτων· καὶ εἰ ἄξιόν ἐστι τοὺς δεσπότας αὐτῶν μετὰ τὴν κρίσιν τῆς Ἐκκλησίας μὴ ποιήσαντας διόρθωσιν, προσφέρειν δῶρον τῷ Θεῷ· καὶ εἰ ἐνδέχεται τὸν ἱερέα δέχεσθαι τὰ τούτων δῶρα, καὶ μάλιστα, ὅτε αἱ πορνεύουσαι τὰς προσφορὰς ζυμώσουσι.

Responsum episcopi Thessalonicensis, domini Nicetæ Mitylenæi.

Quis tu, amice, qui hæc longo ex intervallo interrogas, nescio ; qui nec te viderim, nec tecum sim collocutus. Quæ autem errata comprehendit admonitio tua [h], necessario corrigenda sunt, tuamque de iis interrogationem accipio. Peccata eorum, qui dominis inserviunt, sive servi sint, sive liberi, et potius servi, aut omnino constituti in potestate, in dominos [i] conferuntur, si eorum correctionem nullo modo curent. Et si quidem sint latentia, rationem Deo reddet, qui fecit : sin autem aperta, paterfamilias ipse : qui etiam ecclesiæ loci hæc declarare tenetur, ut episcopus, et qui illic sunt sacerdotes, ac monachi, de eorum correctione disceptent. Tunc enim paterfamilias si quidem admonitus id neglexerit, nec fecerit ad emendationem, quidquid in se est, increpandus est pro sui ordinis qualitate, et exterminandus [j]. Cum igitur servi et ancillæ cujuspiam scortantur, et accepta ejus notitia dominos non coercet ullo modo tale peccatum, nec permittit eos benedictionem accipere : excommunicatione dignus est, juxta sacros et divinos canones, quemadmodum tu exquisite considerasti. Illud autem frustra formidant domini, ne si servis concedatur, ut cum legitimis uxoribus sacris benedicantur precibus, aut ancillæ cum viris, suos servos amittant : quasi sacrarum precum recitatio eos in libertatem rapiat. Hanc enim formidinem inclytus imperator, dominus Alexius sustulit, per novellam, quam etiam Ecclesiæ receperunt. Et reliquum, ne scortentur [k], receptum est, ut sacra precatione serviles initientur personæ, iterumque in servitute maneant. Nec ullam causam habent domini, quin suos servos servis mulieribus, et ancillas servis viris, cum sacra precatione legitime conjungant. Quod nisi fecerint, canonicis obnoxii sunt pœnis, exterminationibus [l] videlicet, et excommunicationibus. Eorum autem neque oblationes accipiendæ, donec corrigantur.

Αὔσις τοῦ Θεσσαλονίκης, κυροῦ Νικήτα τοῦ Μιτυληναίου.

Τίς μὲν εἶ, ἄνθρωπε, ἀγνοῶ, ὁ ταῦτα ἐπερωτῶν, ἐκ μακροῦ διαστήματος, μήτε ἰδών σε, μήτε ἐντυχών σοι· ἐξ ἀνάγκης δὲ, ἃ διαλαμβάνει ἡ ὑπόμνησίς σου σφάλματα, διορθωτέα εἰσί. Καὶ ἀποδέχομαί σου τὴν περὶ τούτων ἐρώτησιν, ὅτι τὰ ἁμαρτήματα τῶν ὑπηρετούντων τοῖς δεσπόταις, εἴτε δοῦλοί εἰσιν, εἴτε ἐλεύθεροι, καὶ μᾶλλον δοῦλοι, ἢ ὅλως ὑπεξούσιοι, ἐπὶ τοὺς δεσπότας [28] φέρονται· εἴ γε μὴ παντοίως φροντίζει [29] τῆς τούτων διορθώσεως, καὶ εἰ μέν εἰσιν ἀφανῆ, τῷ Θεῷ δώσει λόγον ὁ πράττων· εἰ δὲ φανερὰ, αὐτὸς ὁ οἰκοδεσπότης· ὃς καὶ ὀφείλει τῇ κατὰ τόπον Ἐκκλησίᾳ ταῦτα φανεροῦν, ἵνα ὁ ἐπίσκοπος, καὶ οἱ ἐκεῖσε ἱερεῖς, καὶ μοναχοί, περὶ τῆς τούτων διορθώσεως ἀγωνίσωνται. Τότε γὰρ ὁ οἰκοδεσπότης, εἴπερ ἀμελοίη ὑπομνησθείς, καὶ οὐχὶ τὰ παρ' αὐτοῦ πάντα ποιοῖ πρὸς διόρθωσιν, ἐπιτιμητέος ἐστὶ κατὰ τὴν αὐτοῦ τάξιν, καὶ ἀφοριστέος. Ὅτε γοῦν οἱ δοῦλοι καὶ αἱ δουλίδες τινὸς πορνεύουσι, καὶ εἰδησιν λαμβάνων ὁ κύριος αὐτῶν, οὐ παντοίως διορθοῦται τὸ τοιοῦτον ἁμάρτημα, καὶ ἐπιτρέπει αὐτοῖς τὴν ἱερολογίαν, ἀφορισμοῦ ἐστιν ἄξιος κατὰ τοὺς ἱεροὺς καὶ θείους κανόνας, καθὼς αὐτὸς [29] ἠκριβολογήσω· ἐκεῖνο δὲ μάτην ὑποπτεύεται παρὰ τῶν δεσποτῶν, ὅτι ἐὰν συγχωρηθῶσιν οἱ δοῦλοι ἱερολογηθῆναι μετὰ γυναικῶν νομίμων, ἢ αἱ δουλίδες μετὰ ἀνδρῶν, τοὺς οἰκείους οἰκέτας ἀπολέσουσιν· ὡς τῆς ἱερολογίας ἁρπαζούσης αὐτοὺς εἰς ἐλευθερίαν. Ταύτην γὰρ τὴν ὑποψίαν ἀνεῖλεν ὁ ἀοίδιμος βασιλεὺς κύριος [30] Ἀλέξιος, διὰ Νεαρᾶς, ἣν καὶ αἱ Ἐκκλησίαι ἐδέξαντο· καὶ λοιπὸν, ἵνα μὴ πορνεύωσιν [31], ἐδέχθη τὸ ἱερολογεῖσθαι τὰ δουλικὰ πρόσωπα, καὶ μένειν πάλιν ὑπὸ τὴν δουλείαν. Καὶ οὐδεμίαν ἔχουσιν οἱ δεσπόται πρόφασιν εἰς τὸ συζευγνύειν τοὺς οἰκείους δούλους νομίμως ταῖς δουλίσι [32] γυναιξὶ, καὶ τὰς δουλίδας ἀνδράσι δούλοις, μετὰ ἱερολογίας. Καὶ εἰ μὴ τοῦτο ποιοῦσιν, ὑπεύθυνοί εἰσι τοῖς κανονικοῖς ἐπιτιμίοις, ἤγουν ἀφορισμοῖς καὶ ἀποκοινωνη-

VARIÆ LECTIONES.

[25] μὴ δυναμένου τοῦ δεσπότου ἐξων. [26] ἀπολελυμένως. [27] δυναμένου ὠνήσασθαι καὶ δοῦλον τοῦ δεσπότου. [28] ἐπὶ τοὺς οἰκοδεσπότας. [29] φροντίζοι. [29'] καθὼς καὶ αὐτός. [30] κῦρος. [31] ἵνα μὴ πορνεύωσιν οἱ δοῦλοι. [32] ταῖς δούλαις.

[g] *cognoscere cupio consilium tuum.* [h] *suggestio.* [i] *in patresfamilias.* [j] *segregandus.* [k] *Ideoque ne servi scortentur.* [l] *segregationibus.*

σίαις. Τῶν δὲ τοιούτων οὐδὲ αἱ προσφοραὶ δεκταὶ, ἕως ἂν διορθώσωνται. Ἀλλὰ καὶ οἱ ἐπιτεταγμένοι [33] ἐπιτηρεῖν τὰ τοιαῦτα, καὶ διορθοῦν, εἰ μὴ τοιοῦτο ποιοῦσι, καὶ αὐτοὶ τοῖς ἱεροῖς κανόσιν ὑπεύθυνοι γίνονται. Εἰ δέ τις εὐπορεῖ ἑνὸς δούλου ἢ δουλίδος, ἀπορεῖ δὲ ἕτερον κτήσασθαι, πρὸς τὸ συζεῦξαι αὐτοὺς, καὶ διὰ τοῦτο ἀνέχεται ὃν ἔχει [34] ὑπὸ τὴν ἰδίαν ἐξουσίαν, ἔστω ὡς τοῦτο οὐκ ἐκβάλλει αὐτοὺς τῆς ἐκκλησιαστικῆς καὶ κανονικῆς ἐπιτιμήσεως· ἀλλὰ καὶ αὐτὸς παντοίως αἰτείσθω [35] διδάξαι τὸν οἰκεῖον οἰκέτην σωφρονεῖν, ἢ κωλύσαι [36] τὴν πορνείαν διὰ τρόπου παντὸς, γάμῳ ὅπως δήποτε συζεύξας τὸ πορνεῦον πρόσωπον· καὶ οὕτως ἔστω ἀνεύθυνος [37].

Ἡ ὑπογραφή· Ὁ μητροπολίτης Θεσσαλονίκης Νικήτας.

A Sed et qui ad ea observanda emendandaque [m] deputati sunt [n], nisi id fecerint, sacris canonibus obnoxii erunt. Quod si cui sit facultas habendi servum unum, vel ancillam, desit autem facultas alterius comparandi, ut eos conjungat, et ob id indulget ei [o], quem in sua potestate habet : sciat ipsos non ideo liberari ab ecclesiastica et canonica censura. Sed et ipse omnino tenetur docere servum suum continenter agere, aut omni modo scortationem prohibere [p], nuptiis utcunque conjungens scortantem personam ; atque ita extra culpam esto [q].

Subscriptio : Nicetas metropolitanus Thessalonicæ.

Ἐρωτήσεις καὶ ἀποκρίσεις διάφοροι, γενόμεναι παρὰ διαφόρων ἀρχιερέων πρὸς τὸν χαρτοφύλακα κύριον Νικήταν, τὸν γεγονότα ἀρχιεπίσκοπον τῆς μητροπόλεως Θεσσαλονίκης.

B *Interrogationes et responsiones diversæ, a variis antistitibus factæ ad dominum Nicetam chartophylacem, qui fuit archiepiscopus metropolis Thessalonices.*

Ἐρώτησις πρώτη. Διάκονος ὀφφικιάλιος κατηγορηθείς, ὅτι προέδωκέ τι ἀκίνητον τῆς Ἐκκλησίας, ἐπετιμήθη παρὰ τοῦ μητροπολίτου· ἐτελεύτησεν ὁ μητροπολίτης, ἦλθεν ὁ ἕτερος, καὶ εἶασε τοῦτον ἐπιτετιμημένον· καὶ ἐρωτῶ εἰ δυνατόν ἐστι τοῦτον λυθῆναι παρ' ἡμῶν τοῦ ἐπιτιμίου.

Interrogatio prima. Diaconus officialis, accusatus, quod per collusionem amiserit rem Ecclesiæ immobilem, censuræ ecclesiasticæ subjectus est a metropolitano : obiit metropolitanus, successit alius, qui eum in pœnis esse sivit. Quæro, an hic a nobis pœna absolvi possit.

Ἐρώτησις β'. Κληρικὸς, λαβὼν γυναῖκα, καὶ μνηστευσάμενος αὐτὴν, καὶ τὰς εὐχὰς τῆς μνηστείας δεξάμενος, συνεγένετο ταύτῃ. Εἶτα ἐχειροτονήθη ἱερεὺς, ἐλπίζων ὅτι αἱ εὐχαὶ τῆς μνηστείας ἀρκοῦσιν εἰς γάμον, ἀγνοοῦντος καὶ τοῦ ἀρχιερέως, ὅτι οὐκ ἐγένετο τέλειος γάμος. Μετὰ τοῦτο ἔλαβε καὶ τὰς εὐχὰς τοῦ γάμου· καὶ ἐρωτῶ εἰ ὀφείλει ἱερουργεῖν, ἢ στῆναι [38] τῆς ἱερουργίας, ἢ ἐπιτιμηθῆναι πρὸς καιρόν.

Interr. 2. Clericus uxorem ducens, precatione tantum sponsaliorum suscepta, cum ea congressus est : deinde creatus est sacerdos, credens sponsaliorum preces ad nuptias sufficere, cum antistes ignoraret perfectas nuptias non fuisse contractas. Postea nuptiarum etiam precationem accepit. Quæro, an debeat sacra celebrare, aut a celebratione desistere, aut temporalibus pœnis coerceri.

Ἐρώτησις γ'. Ὁ δευτερογαμήσας δεποτάτος εἰ ὀφείλει ἐν τῷ καιρῷ τῆς εἰσόδου συνεισοδεύειν τῷ ἀρχιερεῖ.

Interr. 3. An deputatus, qui secundas nuptias contraxit, debeat tempore introitus simul introire cum antistite.

Ἀπόκρισις πρώτη. Ὁ κατηγορηθεὶς, εἴτε καὶ ἁπλῶς, εἴτε καὶ κατὰ νόμους διαβληθεὶς ἐπὶ τῇ τοῦ κτήματος τῆς Ἐκκλησίας προδοσίᾳ, οὐ μέντοι καὶ ἐλεγχθεὶς, εἰ καὶ εἰάθη ἐπιτετιμημένος, τοῦ ἐπιτιμήσαντος αὐτὸν διὰ τὴν τοιαύτην κατηγορίαν τελευτήσαντος, καὶ παρὰ τῶν μετ' αὐτὸν δύο ἀρχιερέων καὶ ἔτι ἐπιτετιμημένος μέχρι τοῦ νῦν· ὅμως ἐὰν οὐδεὶς ἐλέγχῃ αὐτὸν οὐδὲ νῦν, οὔτε αὐτὸς ὁμολογεῖ τὴν προδοσίαν, δύναται λυθῆναι παρὰ τοῦ νῦν ἀρχιερέως αὐτοῦ, καὶ εἶναι ἐν τῇ οἰκείᾳ ἐνεργείᾳ, καὶ ἐνεργεῖν καὶ τὰ τοῦ ὀφφικίου αὐτοῦ.

Responsio prima. Qui incusatus est, sive simpliciter, sive secundum leges accusatione instituta, ob collusionem de prædio Ecclesiæ factam, non tamen etiam convictus, etsi sub pœnis (cum is qui propter talem accusationem eas irrogaverat, sit mortuus) relictus fuerit, et a duobus, qui post illum fuerunt, antistitibus, sitque hactenus sub iis : tamen si nunc nullus eum convincat, nec fateatur proditionem, potest a suo antistite, qui nunc est, absolvi ; et esse in proprio ministerio, officioque suo fungi.

Ἀπ. β'. Ὁ δὲ τῇ οἰκείᾳ μνηστῇ πρὸ τῆς τοῦ γάμου ἱερολογίας κληρικὸς συναφθεὶς, εἰ καὶ μὴ ὡς κλεψιγαμήσας λογίζεται, διὰ τὸ νομίζειν ὅτι ἀρκεῖ αὐτῷ πρὸς τὴν τῆς μνηστῆς συνάφειαν ἡ τῆς μνηστείας συνάφεια· ἀλλ' ὅτι ἠγνόησεν ὅλως ἅπερ

Resp. 2. Clericus autem, qui cum sua sponsa ante nuptiarum consecrationem coiit, licet non censeatur clandestinas [r] contraxisse nuptias, quia sufficere existimet sponsaliorum conjunctionem ad sponsæ copulam : quia tamen omnino ignoravit ea, quæ

VARIÆ LECTIONES.

[33] οἱ ἐπιτεταμμένοι διορᾷν. [34] ἀνέχεται πορνεύειν ὃν ἔχει, ἢ ἣν ἔχει. [35] ἀπαιτεῖται. [36] κωλύσει. [37] ἔσται ἀνεύθυνος. Μηνὶ Σεπτεμβρίῳ, ἰνδικτιῶνος ια'. [38] ἢ ἐκστῆναι.

[m] *inspiciendaque.* [n] *mandatum habent.* [o] *patitur scortari eum eamve, quem quamve in sua potestate habet.* [p] *prohibebit.* [q] *addendum Mense septembri, indictione* XI. [r] *furtivas.*

ipsum non ignorare oportuit, ob eam causam præjudicium patitur, etsi post ordinationem, benedictionem nuptiarum susceperit. Duo enim ignoravit, et solam sponsaliorum precationem non sufficere ad copulam, et post ordinationem benedictione conjugali non initiari quemquam. Dicam et tertium, neminem qui cum sponsa ante nuptias congressus sit, ordinatione dignum haberi.

A αὐτὸν οὐκ ἐχρῆν ἀγνοεῖν, διὰ τοῦτο προκριματίζεται, κἂν μετὰ τὴν χειροτονίαν καὶ τὴν ἱερολογίαν τοῦ γάμου ἐδέξατο. Δύο γὰρ ἠγνόησεν, ὅτι οὐκ ἀρκεῖ αὐτῷ μόνη ἡ εὐχὴ τῆς μνηστείας πρὸς τὴν συνάφειαν· καὶ ὅτι μετὰ τὴν χειροτονίαν οὐδεὶς ἱερολογεῖται μετὰ γυναικός. Εἶπω δὲ καὶ τρίτον, ὅτι οὐδεὶς τῇ μνηστῇ συναφθεὶς πρὸ τοῦ γάμου, χειροτονίας ἀξιοῦται.

Resp. 3. Deputatus vero, qui secundas contraxit nuptias, servans (ut opinor) binubi priorem pœnam, quæ ei canonice imposita est (videlicet excommunicatus anno uno aut altero, prout ipse judicaveris), postea rursus benigne restituetur ad deputati ministerium.

Ἀπ'. γ'. Ὁ μέντοι δευτερογαμήσας δεποτάτος, φυλάξας, οἶμαι, τὸ τοῦ διγάμου πρότερον ἐπιτίμιον, ὅπερ αὐτῷ κανονικῶς ἐπιτίθεται ἦγουν ἕνα ἐνιαυτὸν εἴτε δύο γενόμενος ἀκοινώνητος, ὡς ἂν αὐτὸς δοκιμάσῃς μετὰ τοῦτο πάλιν φιλανθρώπως ἀποκαταστήσεται εἰς τὴν τοῦ δεποτάτου ἐνέργειαν.

Interr. Cum donatum esset cuipiam monasterium a quodam eorum, qui ante me fuerunt, metropolitano; facta est monasterio et possessionis[a] ad meam metropolim pertinentis concessio. An hoc possit fieri, et possessiones metropolitanorum[b] monasteriis, concedi, nomine tantum sic appellatis, non re.

Ἐρώτησις. Δωρηθέντος τινὶ μοναστηρίου παρά B τινος τῶν πρὸ ἐμοῦ μητροπολιτῶν, ἐγένετο ἐπὶ τῷ μοναστηρίῳ καὶ κτήματος ἐπίδοσις τῇ ὑπ' ἐμὲ μητροπόλει διαφέροντος. Εἰ οὖν δύναται τοῦτο γίνεσθαι, καὶ τὰ τῶν μητροπόλεων ἐπιδίδοσθαι τοῖς μοναστηρίοις κτήματα, ὀνόμασι μόνον κεκλημένοις, οὐ πράγμασι.

Resp. Possessionis ad metropolim pertinentis monasterio facta concessio, etsi monasterium metropoli dominice subsit, aut velut domus[c] sit metropolitani, aut nullo modo donari possit, aut reditus ad metropolim proveniat (ut plerumque fit), recta ratione nec cognita est, nec recipienda. Multo autem magis, si nihil horum fuerit. Manifesta enim alienatio aut frustra et inconsiderate a metropoli in monasterium possessio translata videtur[v]. Quod autem frustra et in vanum sit, nec rationi nec legi est consentaneum. Cujusque enim monasterii peculiaris est administratio, et ad propriam constitutionem spectans[x]. Verum etiam peculiaris ipsius metropolis, nisi ex synodica dispensatione ad utilitatem Ecclesiæ tale quid datum sit. At vero alienatio sine synodica cognitione fieri non permittitur.

Ἀπ'. Ἡ τοῦ κτήματος τῆς μητροπόλεως πρὸς μοναστήριον ἐπίδοσις, κἂν ὑπὸ τὴν μητρόπολιν δεσποτικῶς ὑπάρχῃ τὸ μοναστήριον, κἂν ὡς ἐνδιαίτημα ᾖ τοῦ μητροπολίτου, κἂν ὅλως ἀδώρητον, κἂν τὰ τῶν προσόδων εἰς τὴν μητρόπολιν εἰσοδιάζηται (οἷα πολλάκις γίνεται) τῷ ὀρθῷ λόγῳ ἀνεπίγνωστός ἐστι καὶ ἀνεπίδεκτος· πολλῷ δὲ πλέον ἐὰν οὐδὲν τούτων ᾖ. Ἐκποίησις γὰρ φανερὰ, ἢ μάτην καὶ ἀλογίστως ἀπὸ τῆς μητροπόλεως εἰς τὸ μοναστήριον τὸ κτῆμα μετατιθέμενον[a-b] φαίνεται. Τὸ δὲ μάταιον, οὐκ ἔλλογον οὐδὲ ἔννομον. Ἑκάστου γὰρ μοναστηρίου διοίκησις ἰδιάζουσά ἐστι, καὶ εἰς τὴν αὐτοῦ σύστασιν ὁρῶσα, ἀλλὰ καὶ ἡ τῆς μητροπόλεως, ἰδιάζουσα, εἰ μὴ ἐκ συνοδικῆς οἰκονομίας πρὸς τὸ λυσιτελὲς τῆς Ἐκκλησίας τοιοῦτόν τι δέδοται. Καὶ ἐκποίησις δὲ ἄνευ συνοδικῆς διαγνώσεως οὐ συγκεχώρηται γίνεσθαι.

Interr. Si quis sacerdos, aut etiam laicus, deprehensus sit contra proprium episcopum, aut magistratum, aut privatum simpliciter, et vulgarem hominem cruces in charta manu propria fecisse, aut etiam insidias in ipsos, vel cœtus[y] populi meditatus, cui pœnæ subjicitur?

Ἐρώτησις. Εἴ τις ἱερωμένος, ἢ καὶ λαϊκὸς ᾑρεθείη κατὰ τοῦ οἰκείου ἐπισκόπου, ἢ καὶ ἄρχοντος, ἢ καὶ ἰδιώτου ἁπλῶς, καὶ τοῦ τυχόντος ἀνθρώπου, σταυροὺς ἐν χάρτῃ οἰκειοχείρως ποιῶν, ἢ καὶ συσκευὰς κατ' αὐτῶν, ἢ καὶ λαοσυναξίας ἐκμελετῶν, τίνι ἄρα ἐπιτιμίῳ ὑπόκειται;

Resp. Qui tale quidpiam perpetrant, et ab extraneis legibus, ut tu ipse scis Deo charissime, plectuntur, velut criminis conjurationis et sodalitii rei[z]. Multo autem magis ab Ecclesia emendationi subjiciuntur[a], juxta decimum octavum canonem Chalcedonensis sanctæ synodi. Et si quidem clerici sint, de proprio gradu excidunt juxta tricesimum quartum conc. Trull. canonem: sin autem laici, excommunicantur. In quibus enim clerici deponuntur, laici excommunicantur.

Ἀπ. Οἱ τοιοῦτόν τι διαπράττοντες, καθὼς D οἶδας καὶ αὐτὸς, θεοφιλέστατε, καὶ παρὰ τῶν ἔξω νόμων τιμωροῦνται, ὡς ὑπεύθυνοι τῷ τῆς συνωμοσίας καὶ φρατρίας ἐγκλήματι· πολλῷ δὲ πλέον παρὰ τῆς Ἐκκλησίας εὐθύνονται, κατὰ τὸν ιη' τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου κανόνα. Καὶ εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτουσι τοῦ οἰκείου βαθμοῦ, κατὰ τὸν λδ' τῆς ἐν τῷ Τρούλλῳ· εἰ δὲ λαϊκοὶ, ἀφορίζονται. Ἐν οἷς γὰρ οἱ κληρικοὶ καθαιροῦνται, οἱ λαϊκοὶ ἀφορίζονται.

VARIÆ LECTIONES.

[a-b] μετατιθεμένη.

[a] *prædii.* [b] *metropolium.* [c] *domicilium.* [v] *Nam alienationem manifestam esse patet, quæ tamen utraque rationem prædium a metropoli ad monasterium transferi. Quod autem temere fit.* [x] *conservationem spectans. Itidem et metropolis administratio peculiaris est.* [y] *concursus.* [z] *factionis.* [a] *puniuntur*

Ἐρώτησις. Εἴ τις ἱερωμένος ἢ καὶ λαϊκὸς φωραθείη ἐπαοιδὸς, ἢ καὶ φαρμακὸς, ἢ καὶ τριοδεύων, ποίῳ ἐπιτιμίῳ ὑποπεσεῖται; A

Ἀπ. Καὶ τὰ τοιαῦτα τῆς ἐθνικῆς εἰσὶ συνηθείας, οὐ τῆς Χριστιανικῆς πολιτείας, οὔτε μὴν τῆς ὀρθοδόξου Ἐκκλησίας. Ὅθεν ὁ τούτοις ἄλοὺς τοῖς ἐπιτηδεύμασι καὶ κακοτεχνήμασιν, εἰ μὲν κληρικός ἐστι, καθαιρεῖται, καὶ τῆς Ἐκκλησίας ἀπορρίπτεται, κατὰ τὸν λς' τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα· ὡσαύτως δὲ καὶ ὁ λαϊκὸς ἐκβάλλεται τῆς Ἐκκλησίας τελείως. Μετανοοῦντες δὲ οἰκονομοῦνται δι' ἐξαετίας, ἢ πενταετίας· τρία μὲν ἔτη ὑποπίπτοντες, καὶ τὰ λοιπὰ συνευχόμενοι μόνον, χωρὶς προσφορᾶς, κατὰ τὸν κδ' τῆς ἐν Ἀγκύρᾳ. Οὕτως δὲ μετανοήσαντες γνησίως, ἢ ὡς ἂν ὁ ἀρχιερεὺς συνορᾷ, πρὸς τὴν μετάνοιαν αὐτῶν (ἔχει γὰρ ἐξουσίαν καὶ B μειοῦν τὸν καιρὸν), τῆς θείας καταξιοῦνται μεταλήψεως.

Ἐρώτησις. Εἴ τις ἱερωμένος παραδυναστεύειν τῷ τῆς χώρας ἄρχοντι σπεύδει, κάντεῦθεν προσαγγέλλει τινὰ κατά τινων, καὶ τὸν ἄρχοντα κατ' ἐκείνων διανιστᾷ, τί κανονικῶς ὁ τοιοῦτος πείσεται;

Ἀπ. Ὁ ἱερωμένος τῷ ἱερῷ προσεδρεύειν ὀφείλει, καὶ ταῖς ἐκκλησιαστικαῖς ὑπηρεσίαις ἐνασχολεῖσθαι, καὶ οὐ παραδυναστεύειν κοσμικαῖς ἐξουσίαις καὶ ἄρχουσιν. Ἐκ δὲ τῆς νομίμου παραγγελίας οὐ βλάπτεται εἴ ποτε τοῦτο ποιήσει, εἰ μὴ κατὰ τῆς Ἐκκλησίας ἐστὶν ἡ προσαγγελία ἡ ψευδὴς καὶ συκοφαντική. Τότε γὰρ ἢ ὡς ἀσεβὴς ἢ ὡς συκοφάντης καταγινώσκεται ἐλεγχθείς. Δῆλαι δέ εἰσιν αἱ κανονικαὶ τῶν τοιούτων τιμωρίαι. C

Ἐρώτησις. Εἴ τις ἱερωμένος, παρὰ τὸ προσῆκον ἀμφιέννυται ἔνδυμα, καὶ κοσμικὰ περιβαλλόμενος φωραθῇ, καὶ ῥαβδοφορῶν ἢ καὶ νυκτοπορῶν, πῶς οὗτος κανονικῶς συσταλήσεται;

Ἀπ. Τὸ ἀμφιέννυσθαι ἀκατάλληλα τῷ οἰκείῳ σχήματι, καὶ ῥαβδοφορεῖν, καὶ νυκτοπορεῖν, ὅσον μὲν κατὰ τὸ φαινόμενον, οὐκ ἐπαινετόν ἐστιν. Οὐδὲν γὰρ ἀγαθὸν ὑποβάλλει νοεῖν κατὰ τοῦ οὕτω πράττοντος. Μετὰ παραγγελίαν [61] γὰρ ὁ τοῦτο ποιῶν, καθαιρεθήσεται πάντως· εἰ μὴ δι' ἀνάγκην τινὰ, ἢ περίστασιν, ἢ πενίαν, ἢ ἄλλην τινὰ εὔλογον, [62] ἢ καὶ διὰ τὴν τοῦ τόπου ἀγριότητα, καὶ ἀκαταστασίαν, καὶ βάρβαρον, πρὸς ὠφέλειαν ἑαυτοῦ ἢ ἑτέρου τινὸς, οὐ πρὸς ψυχικὴν βλάβην. Τότε γὰρ συγγνωσθήσεται, D ὡς μὴ ἀρνούμενος τὸ ἐπάγγελμα, μηδὲ καταφρονητικῶς ἔχων πρὸς τὸ σχῆμα, μηδέ τισιν ἑτέροις ἐπιτιθέμενος.

Ἐρώτησις. Εἴ τις ἱερωμένος συμμιγῆ λαὸν διανίστησιν ἢ κατὰ τοῦ οἰκείου ἐπισκόπου, ἢ κατά τινος ἑτέρου ἁπλῶς, καὶ ὀχλοποιεῖ, καὶ ἐκμελετᾷ κατ' αὐτοῦ, τί ὀφείλει οὗτος πείσεσθαι ἀπὸ κανόνος;

Interr. Si quis consecratus[b], aut etiam laicus deprehensus sit incantator aut veneficus, aut etiam triviorum circulator, cui pœnæ succidet?

Resp. Hæc sunt paganicæ consuetudinis, non Christianæ reipublicæ, et minus orthodoxæ Ecclesiæ. Unde qui de his studiis et malis artibus convictus fuerit, si quidem sit clericus; deponitur, et de Ecclesia ejicitur, juxta canonem tricesimum sextum Laodicenæ synodi. Similique modo laicus prorsus ab Ecclesia expellitur. Pœnitentiam autem agentes emendantur per sexennium, aut quinquennium: tribus quidem annis prostrati, et reliquis comprecantes tantum, sine oblatione, juxta vicesimum quartum canonem Ancyranæ. Atque ita ingenue pœnitentes, vel ut antistes ad eorum pœnitentiam animadverterit [c] (habet enim potestatem etiam minuendi temporis), divinam communicationem promerebuntur.

Interr. Si quis sacerdotalus[d] cum præside provinciæ potentatum habere studeat, indeque denuntiaverit quidpiam de aliquibus; et præsidem in eos excitaverit[e], quid secundum canones patietur?

Resp. Sacerdos templo assidere debet, et ecclesiasticis occupari ministeriis, non potentatum simul gerere cum mundanis potestatibus et magistratibus. Ex legitima autem denuntiatione non læditur, si quando id faciat, nisi contra Ecclesiam, fiat falsa et calumniosa delatio. Tunc enim aut ut impius, aut calumniator convictus, damnatur. Certæ autem sunt canonicæ horum pœnæ.

Interr. Si quis sacratus, præter decorum induatur vestem, et mundanis amictus deprehensus sit, et tela ferens[f], noctuque vagans, quonam modo coercebitur?

Resp. Indui non decenti habitu, et telum[g] ferre, noctuque vagari, ut prima specie videtur, laudabile non est. Nam de eo, qui sic agit, boni nihil suspicari licet. Post admonitionem enim[h] qui id facit, deponetur omnino: nisi per necessitatem aliquam, aut infortunium, vel paupertatem, aliamve quam justam causam, aut etiam loci ferocitatem, et instabilitatem, ac barbariem, ad utilitatem suam, vel alterius cujuspiam, non ad animæ damnum. Tunc enim ei venia dabitur, ut qui non sit inficiatus promissum, neque [i] contemptui habeat habitum, neque ullis aliis insidietur.

Interr. Si quis sacratus promiscuum vulgum excitet adversus suum episcopum, vel alium quemlibet simpliciter, et turbas congreget, ac moliatur in eum, quidnam a canone pati debet?

VARIÆ LECTIONES.

[61] παραγγελίαν γοῦν. [62] αἰτίαν εὔλογον.

[b] *sacerdos.* [c] *vere acta pœnitentia, vel prout pontifici videtur, habita pœnitentiæ ipsorum ratione.* [d] *in sacerdotio constitutus.* [e] *incitaverit.* [f] *fustes gerens.* [g] *fustem.* [h] *ergo.* [i] *qui professionem suam non neget.*

Resp. Responsum, quod ad primam interrogationem factum est, et ad hanc sufficiet, nec pluribus opus est verbis.

Interr. Si quis sacratus edoctus fuerit, quomodo omnia, quæ sunt secundum canones, facere oporteat, quæ autem præter ecclesiasticam institutionem et traditionem, aversari : et postquam vel nullo modo, vel ad tempus paruerit, rursus aliquando ad suos depravatos mores revertatur, et præter canones ecclesiasticamque traditionem alienis i moribus, et pro sua libidine utatur, cui pœnæ secundum canones subjicietur?

Resp. Quod contra divinos canones ecclesiasticamque traditionem fit, aut emendandum est, aut prorsus condemnandum : et transgredienti pœna a competenti canone definita est.

Interr. Si quis sacerdos donum sacramentorum communicantibus non gratuito largiatur, qua censura emendabitur?

Resp. Si hic post unam vel alteram admonitionem non corrigatur, benigna ratione excommunicabitur. Quod si postea absolutus excommunicatione cœleste donum non venale vendere perseveret, deponetur. Donatio enim Dei, donatio non venalis [k]. Si quis autem ei sponte offerat, in solatium forte paupertatis, vel honoris causa, vel in modum liberalitatis ; accipere, et pro offerente vota facere non prohibetur.

Interr. Si quis sacerdos salem benedicens, aut ovibus et bobus preces fundens inveniatur, eorumque pectuscula et coria recipiens, aut etiam columbas ad mortuorum sepulcra et memorias mactans, cui pœnæ subjicitur? An liceat autem ei et convivari in memoriis, et festis diebus, et nuptiis, cum laicis convivia habentibus ; ad hæc in eo quod interea responsum erit, acquiescam.

Resp. Animalia et oves in ecclesiis offerre, ut macteutur a sacerdotibus, qui velut eorum portiunculam accipiant, veteri more, pectuscula et coria, item columbos ad sepulcra mortuorum sacrificare, Judaicum omnino est, et Græcum[l], et censura correctioneque dignum. Ratione autem carentia dignari sale, et oves ac boves, ad utilitatem assumentium [m], sanitatemque ipsorum, et animalium, nihil habet absurdi : quin potius etiam fidei est illud. Ut animalia etiam sacerdotibus offerantur ab aliis, sive viva, sive mactata, in honorem [n] aliquem et expiationem, præter rationem non est, sed et pietate plenum : modo ne ad altare, vel intra ecclesiam. Ideoque pectuscula et coria allata sacerdos omnino citra repre-

Ἀπ. Ἡ πρὸς τὴν πρώτην σου ἐρώτησιν ἀπόκρισις ἀρκέσει καὶ πρὸς τὴν νῦν, καὶ οὐ χρεία λόγων πολλῶν.

Ἐρώτησις. Εἴ τις ἱερωμένος ἐκδιδαχθῇ τὰ κατὰ κανόνας πάντα ὡς δεῖ διαπράττεσθαι, τὰ δὲ παρὰ τὴν ἐκκλησιαστικὴν κατάστασιν καὶ παράδοσιν ἀποστρέφεσθαι· ὁ δὲ ἢ οὐδαμῶς ἢ πρὸς καιρὸν πείσθεις, πάλιν παρὰ καιρὸν πρὸς τὰ παράλογα αὐτοῦ ἦθη ὑποστρέφει, καὶ παρὰ κανόνας καὶ τὴν ἐκκλησιαστικὴν παράδοσιν ἀλλοκότοις ἔθεσι καὶ τοῖς δοκοῦσιν αὐτῷ χρᾶται· τίνι ἐπιτιμίῳ κανονικῶς ὑποκείσεται;

Ἀπ. Τὸ παρὰ τοὺς θείους κανόνας γινόμενον καὶ τὴν ἐκκλησιαστικὴν παράδοσιν, ἢ διορθωτέον ἐστὶν, ἢ τελείως καταγνωστέον· καὶ τῷ παραβαίνοντι ἀπὸ τοῦ προσφόρου κανόνος τὸ ἐπιτίμιον ὥρισται.

Ἐρώτησις. Εἴ τις ἱερεὺς μὴ κατὰ δωρεὰν τὴν δωρεὰν τῶν μυστηρίων τοῖς μεταλαμβάνουσι δίδωσιν, ὅπως ἐπιτιμηθήσεται οὗτος;

Ἀπ. Ὁ τοιοῦτος κατὰ φιλάνθρωπον λόγον μετὰ μίαν καὶ δευτέραν παραγγελίαν μένων ἀδιόρθωτος, ἀφορισθήσεται. Εἰ δὲ μετὰ ταῦτα λυθεὶς τοῦ ἀφορισμοῦ, ἐπιμένων πιπράσκει τὴν ἄπρατον οὐράνιον δωρεὰν, καθαιρεθήσεται. Δωρεὰ γὰρ ἡ τοῦ Θεοῦ δωρεὰ, οὐχὶ ὤνιον. Ἐκ προαιρέσεως δὲ εἴ τις αὐτῷ προσφέρει εἰς παρηγορίαν τυχὸν τῆς πενίας, ἢ τιμῆς ἕνεκεν, ἢ κατὰ τρόπον φιλοτιμίας τοῦτον [o] λαμβάνειν καὶ ὑπερεύχεσθαι τοῦ προσενεγκόντος, οὐ κεκώλυται.

Ἐρώτησις. Εἴ τις ἱερεὺς ἅλατα εὐλογῶν, ἢ καὶ προβάτοις εὐχὰς διδοὺς καὶ βουσὶν εὐρεθῇ, καὶ τὰ στηθύνια τούτων, καὶ τὰ δέρματα ἀναλαμβανόμενος, ἢ καὶ περιστερὰς ἐν τοῖς τάφοις τῶν τεθνεώτων καὶ τοῖς μνημοσύνοις αὐτῶν σφαγιάζων, τίνι ἐπιτιμίῳ ὑπόκειται; Εἰ ἔξεστι δὲ αὐτῷ καὶ συμποσιάζειν ἐν τοῖς μνημοσύνοις, καὶ ἐν ταῖς ἑορτασίμοις ἡμέραις, καὶ ἐν τοῖς γάμοις, μετὰ τῶν συμποσιαζόντων λαϊκῶν, πρὸς ταῦτα ἐν τῷ τέως ἀποκριθέντι ἔχω καλῶς.

Ἀπ. Τὸ εἰς τὰς ἐκκλησίας προσφέρειν ζῶα καὶ πρόβατα, καὶ σφαγιάζεσθαι παρὰ τῶν ἱερέων, καὶ οἷον ἀφαιρέματα τούτων λαμβάνειν, κατὰ τὸ παλαιὸν, τὰ στηθύνια καὶ τὰ δέρματα, καὶ τὸ περιστερὰς ἐν τοῖς τάφοις τῶν τεθνεώτων θύειν, Ἰουδαϊκὸν ἀντικρύς ἐστι, καὶ Ἑλληνικὸν, καὶ ἄξιον ἐπιτιμήσεως καὶ διορθώσεως. Τὸ δὲ ἅλογα ἀξιοῦν τῶν ἁλῶν, καὶ τὰ πρόβατα καὶ τοὺς βόας, πρὸς ὠφέλειαν τῶν μεταλαμβανόντων, καὶ ὑγείαν αὐτῶν τε καὶ τῶν ζώων, οὐδὲν ἔχει ἄτοπον, ἀλλὰ μᾶλλον καὶ πίστεώς ἐστι τοῦτο. Καὶ τὸ τὰ ζῶα δὲ τοῖς ἱερεῦσι παρὰ τῶν ἄλλων προσφέρεσθαι, εἴτε ζῶντα, εἴτε καὶ ἐσφαγμένα, κατά τιμήν τινα καὶ ἀφοσίωσιν, οὐ παράλογόν ἐστιν, ἀλλὰ καὶ εὐσεβές. Πλὴν μὴ εἰς τὸ θυσιαστήριον, ἢ εἰς τὴν ἐκκλησίαν ἐντός. Εἰ δὲ τοῦτο,

VARIÆ LECTIONES.

[o] τοῦτο.

[i] *peregrinis.* [k] *Nam donum hoc Dei, donum est : non res venalis.* [l] *paganum.* [m] *percipientium, salem.* [n] *honoris et devotionis causa.*

πάντως καὶ τὰ στηθύνια καὶ τὰ δέρματα προσαγόμενα, ἀκαταγνώστως λήψεται ὁ ἱερεύς. Ὁ γὰρ προσάγων τὸ ὅλον, οὐ κωλύεται μέρος προσάγειν τῷ ἱερεῖ, καὶ μέρος τὸ πιότατον. Καὶ μή μοι λέγε ὅτι τοῦ Μωσαϊκοῦ νόμου τοῦτό ἐστιν. Οὐ γὰρ τελείως ὁ νόμος ἀνῄρηται, ἀλλ' ἐπὶ τὸ βέλτιον καὶ ὑψηλότερον μετεσκεύασται. Αἱ μὲν γὰρ θυσίαι τῶν ζώων ἐπαύθησαν, πρὸς τὸν τότε συγχωρηθεῖσαι καιρόν· αἱ δὲ πρὸς τοὺς ἱερεῖς προσαγωγαὶ οὐ κωλύονται. Καὶ τὸ Χριστιανικῶς γινόμενον κατά τι ἔθος ἐγχώριον, ἢ καὶ ἐκ φιλοτιμίας ἀγροικικῆς, οὐχ ὡς Ἰουδαϊκῶς γινόμενον λογισθήσεται. Εἰ δὲ καὶ ἐν τοῖς μνημοσύνοις τῶν τεθνεώτων προσάγονται τοῖς ἱερεῦσι περιστεραὶ, ἀντὶ ἀδροτέρων ζώων, παρὰ τῶν πενεστέρων, εἰς ἀποτροφὴν αὐτῷ, οὐ κατὰ λόγον θυσίας, οὐδὲ ὥστε σφαγιασθῆναι ἐπὶ τῶν τάφων· τοῦτο οὐκ ἄν τις κωλύσειε. Χρὴ γὰρ τὸν ἱερέα ἀπὸ τῆς ἱερωσύνης τρέφεσθαι, καὶ τιμᾶσθαι παρὰ τῶν λαϊκῶν, ἄλλως τε πάντως, ὡς ἄν τις δύναιτο, καὶ ταῖς κατὰ δύναμιν προσαγωγαῖς. Εἰ μὴ βοῦν δύναιτο προσφέρειν ὁλόκληρον, μέρος ἂν προσενέγκῃ, ἢ τὸ στηθύνιον, ἢ ἄλλο τι, ἢ δέρμα τυχὸν μόνον. Εἰ δὲ μὴ τοῦτο, περιστερὰν, ἢ ἄλλην ὄρνιν τινά· οὐ μὴν Ἰουδαϊκῶς ἢ Ἑλληνικῶς, ἀλλὰ φιλοθέως καὶ εὐσεβῶς. Ἀλλὰ καὶ τὸ συνδειπνεῖν καὶ συνεσθίειν καὶ συμποσιάζειν τοὺς ἱερεῖς τοῖς λαϊκοῖς ἐν ταῖς ἑορταῖς καὶ ἐν τοῖς γάμοις, εὐλαβῶς, καὶ μετὰ σεμνότητος πρεπούσης αὐτοῖς, εὐλογοῦντας τὸν Θεὸν, ἀκώλυτόν ἐστιν. Εἰ μὴ ἐκ συμβουλῆς [44] ἐστι τὰ συμπόσια, εἰ μὴ δευτερογαμούντων εἶεν οἱ γάμοι, εἰ μὴ παίγνιά τινα ἐν τούτοις εἰσάγονται· τὰ γὰρ ἐκ συμβουλῆς [45] συμπόσια κατὰ τὸν νε' τῆς ἐν Λαοδικείᾳ κανόνα κωλύονται. Καὶ ἐν τῷ δευτέρῳ δὲ γάμῳ ὁ ἱερεὺς οὐ συνεσθίειν ἐπιτρέπεται· ἀλλὰ καὶ ἐν τοῖς πρώτοις γάμοις ἦν πυτε συμποσιάσῃ καὶ εὐφρανθήσεται, ἕως μέλλουσιν εἰσαχθῆναι (κατὰ τὸν νδ' κανόνα τῆς ἐν Λαοδικείᾳ συνόδου) οἱ θυμελικοὶ, καὶ τὰ παίγνια. Ὁ δὲ παρὰ ταῦτα ποιῶν ἀφορίζεται, καὶ ἐπιτιμᾶται κανονικῶς.

hensionem accipiet. Qui enim totum exhibet, non prohibetur partem sacerdoti exhibere, et quidem partem pinguissimam. Ne dixeris hoc esse legis Mosaicæ. Non enim lex prorsus abolita est, et in melius, sed et sublimius transmutata, Sacrificia enim animalium fieri desierunt, ad tempus tunc permissa : at oblationes, quæ sacerdotibus fiunt, non vetantur. Et quod Christiane fit innato [q], quodam more, vel etiam ex rusticana liberalitate, ut Judaice factum non censebitur. Quod si in mortuorum memoriis columbæ animalium grandiorum vice sacerdotibus exhibentur a tenuioribus in eorum alimoniam, non per rationem sacrificii, neque ut ad sepulcra mactentur, hoc nemo prohibuerit. Oportet enim sacerdotem ex sacerdotio ali, et honorari a laicis, et alias omnino [p], prout quis potuerit exhibitionibus [q] secundum facultates factis. Si bovem integrum offerre non possit, partem offerat, vel pectusculum, aut quidpiam aliud, vel corium forte solum; si neque hoc, columbam, aut aliam avem aliquam : non quidem Judaice aut Græce [r], sed pie ac religiose. Enimvero etiam sacerdotes simul cum laicis cœnam et cibum sumere, ac convivari in festis, et nuptiis, modeste, et cum decenti gravitate, Deo gratias agentes, non prohibentur. Nisi collatitia sint convivia, aut secundæ nuptiæ [s] aut aliqua in his ludicra inducantur : nam quæ ex collatione [t] fiunt convivia, prohibentur 55 canone Laodicenæ. Et in secundis nuptiis convivari sacerdoti non permittitur ; sed si quando in primis nuptiis convivetur, festivitati interierit, donec thymelici, juxta quinquagesimum quartum canonem Laodicenæ synodi) et ludicra introducantur. Qui præter hæc facit, excommunicatur, et canonicæ subjicitur censuræ.

Ἠρώτησας, εὐλαβέστατε, ὅτι Τρύφων τις, οὕτω καλούμενος, ἐμνηστεύσατο κόρην ἀτελῆ τὴν ἡλικίαν οὖσαν· καὶ μήπω ἱερολογίας γενομένης, μηδὲ συναφείας, ἐτελεύτησεν ἡ κόρη· καὶ ἔλαβεν ὁ Τρύφων ἑτέραν γυναῖκα, καὶ τέτοκε θυγατέρα. Καὶ ἡ θυγάτηρ αὕτη τοῦ Τρύφωνος συζεύγνυται τῷ πρωτεξαδέλφῳ τῆς κόρης ἐκείνης, ἥτις προμνηστευθεῖσα τῷ Τρύφωνι, ἐν ἀτελεῖ τῇ ἡλικίᾳ τετελεύτηκε· καὶ ἐζήτησας μαθεῖν, εἰ κωλύεται τὸ τοιοῦτον συνάλλαγμα. Καὶ ἰδοὺ γράφομέν σοι, ὅτι ἐὰν ἀτελὴς ἦν ἐκείνη ἡ μνηστὴ, καὶ οὕπω δεκτὴ γάμου, παράνομος ἦν ἡ μνηστεία, καὶ ἀντ' οὐδενὸς λογισθήσεται· καὶ οὐκέτι κώλυμα οὐδὲν εἰς τὸ τοιοῦτον συνάλλαγμα· καὶ ἡ θυγάτηρ τοῦ Τρύφωνος ἀκωλύτως λαμβάνει τὸν πρῶτον ἐκείνης ἐξάδελφον.

Interrogasti, religiosissime, de Tryphone quodam qui sic vocabatur, eum scilicet despondisse sibi imperfectæ ætatis puellam, eamque nondum secuta benedictione vel copula discessisse, et Tryphonem aliam duxisse uxorem, quæ peperit filiam. Ipsam Tryphonis filiam conjungi cum puellæ illius consobrino, quæ prius Tryphoni desponsata in imperfecta ætate obiit. Quæsiisti discere, an vetitus sit talis contractus. Et rescribimus : si sponsa illa non fuit viri potens, necdum nuptiarum capax, injusta esse sponsalia [t] et pro nullis haberi, nullumque obstare ei contractui impedimentum, quin Tryphonis filia licite nubat illius consobrino.

VARIÆ LECTIONES.

[44] συμβολῆς. [45] συμβολῆς.

[p] *provinciali.* [q] *cum aliis omnino rebus.* [r] *tum oblationibus.* [s] *pagano more.* [t] *secundo nubentium.* [t] *ex collecta.* [t] *illegitima fuisse sponsalia.*

JOANNIS ZONARÆ,

Magni quondam drungarii viglæ, et primi a secretis, Oratio ad eos, qui naturalem seminis fluxum immunditiem existimant.

Noli justus esse multum [a], neque regula ipsa rectior. Hæ sunt sententiæ præstantioris et nostræ sapientiæ. Quod si extraneorum quidpiam eis assuendum sit (nec enim quæ illorum sunt, omnia rejicienda) : Ne quid nimis. Quorsum autem hoc mihi præludium est, quamprimum dicetur. Multi enim eorum, qui exactiorem monachicam disciplinam sectari videntur, et veluti ad spiritalius inclinant, ut immunditiem aliquam, naturalem seminis fluxum arbitrantur : non solum quando cum imaginatione aliqua contigerit, sed et si absque imaginatione. Atque adeo pollutum existimant eum, qui id passus est ; ut non eum modo arceant a sanctificationum [r] participatione, sed jam aliqui attingere ipsum divinam [x] imaginem prohibeant [y]. Ita immunditiem judicant, naturalem seminis excretionem. Disputandum vero cum his, demonstrandumque, hunc affectum neque semper inculpatum esse, neque indistincte, qui eum passus est, puniendum. Illud enim exhortatio [z] ad libidinem : reliquum autem, viæ præparatio ad desperationem. Si enim qui non sua sponte necessitati naturæ subjectus, et sine perturbata [a] affectione passus excrementi egestionem, immundus judicatur, et ex sententia exactiorum doctorum repellitur a sanctificatione : quomodo propriam non desperaverit salutem, qui libidinis impetu in simile vitium inciderit, vel sponte in commistionem collapsus fuerit ? Si igitur, boni viri, ex canonum ignorantia, hæc vobis constituta et disposita sunt : docere, et ratiocinia [b] accipere, et peccatoribus irrogare pœnas, vobis non convenit : quemadmodum nec medicari, artis medicæ imperito. Quod si scientes, ubi canones genitale profluvium puniunt, et ubi non puniunt, eos tamen velut Platonicas leges, sinitis negligi, a vobis autem ipsis pœnas irrogatis iis, qui vobis subjecti sunt, et legislatoribus contraria sancitis, divinisque et sacris Patribus adversantia facitis : non modo animarum curationis privatio vobis irrogabitur, verum etiam canonicis pœnis subjiciendos esse vos decernetur, juxta sacras de his constitutiones. Nec enim quidquam iis addendum est, juxta divinam Scripturam, et ab iis demendum nihil. Magnus autem Paulus anathemate etiam condemnat eum, qui præter id, quod accepimus, evangelizaverit quidpiam, etiam si angelus esset. Vos autem, quamvis ad virtutis videamini pervenisse fastigium, longe ab angelica dignitate distatis. Quod si angelos aliud quidpiam inducentes præter ea, quæ tradita fuere, anathemati subjecit divinus Apostolus, nihil equidem ominosum dicam : vos

ΙΩΑΝΝΟΥ ΤΟΥ ΖΩΝΑΡΑ,

Τοῦ γεγονότος μεγάλου δρουγγαρίου τῆς βίγλας, καὶ πρωτοασηκρήτις. Λόγος πρὸς τοὺς τὴν φυσικὴν τῆς γονῆς ἐκροὴν μίασμα ἡγουμένους.

Μὴ γίνου δίκαιος πολὺ, μηδὲ γίνου τοῦ κανόνος εὐθύτερος. Γνῶμαι ταῦτα τῆς εὐγενεστέρας σοφίας καὶ ἡμετέρας εἰσίν. Εἰ δὲ δεῖ παρενεῖραι τούτοις τι καὶ τῶν ἔξωθεν (οὐδὲ γὰρ πάντα τὰ ἐκείνων ἀπόβλητα), Μηδὲν ἄγαν. Ἐφ' ᾧ δέ μοι ταῦτα προαναπέκρουσται, αὐτίκα δὴ μάλα ῥηθήσεται. Πολλοὶ τῶν ἀκριβέστερον τάχα μετιέναι δοκούντων τὴν μοναχικὴν πολιτείαν, καὶ ῥεπόντων οἷον πρὸς τὸ πνευματικώτερον, ὡς μίασμά τι τὴν φυσικὴν τῆς γονῆς νομίζουσιν ἐκροήν. Καὶ οὐ μόνον ὅτε μετά τινος φαντασίας συμβῇ, ἀλλ' ὁπηνίκα καὶ φαντασίας χωρίς· καὶ τοσοῦτον αὐτοῖς ὁ τοῦτο παθὼν μεμιάνθαι νενόμισται, ὡς μὴ μόνον τῆς τῶν ἁγιασμάτων εἴργειν αὐτὸν μεταλήψεως, ἀλλ' ἤδη τινὲς καὶ προσψαύειν αὐτὸν εἰκόνος θείας ἀπείργουσι. Οὕτω κέκριται τούτοις ἀκαθαρσία ἡ φυσικὴ τοῦ σπέρματος ἔκκρισις. Διαλεκτέον δὴ τούτοις, καὶ δεικτέον, ὡς οὔτ' ἀεὶ τὸ πάθος ἀνέγκλητον, οὔτ' ἀδιαφόρως ὁ τοῦτο παθὼν, ὑπὸ ἐπιτίμησιν. Τὸ μὲν γὰρ, εἰς ἐμπάθειαν προτροπή· τὸ δέ γε λοιπὸν, προοδοποίησις ἀπογνώσεως. Εἰ γὰρ ὁ ἀπροαιρέτως ἀνάγκῃ δουλεύσας τῆς φύσεως, καὶ διαθέσεως χωρὶς ἐμπαθοῦς ὑποστὰς περιττώματος ἔκκρισιν, ἀκάθαρτος κέκριται, καὶ τῆς ἁγιστείας, κατὰ τοὺς δοκοῦντας ἀκριβεῖς ἐκβέβληται τῶν καθηγητῶν, ὁ περιπεσὼν ἐξ ἐμπαθείας ὁμοίῳ παθήματι, ἢ καὶ γνώμῃ πρὸς μῖξιν κατολισθήσας, πῶς οὐκ ἂν ἀπογνοίη τὴν σωτηρίαν τὴν ἑαυτοῦ ; Εἰ μὲν οὖν, βέλτιστοι, τῶν κανόνων ἀγνοίᾳ ταῦθ' ὑμῖν νενομοθέτηταί τε καὶ ᾠκονόμηται, τὸ καθηγεῖσθαι, καὶ δέχεσθαι λογισμοὺς, καὶ τοῖς σφαλλομένοις ἐπιτιμᾷν, ὑμῖν οὐκ ἐπέοικεν· ὥσπερ οὐδ' ἰατρεύειν, τῷ τῆς ἰατρικῆς τέχνης ἀνεπιστήμονι. Εἰ δὲ τοὺς κανόνας εἰδότες, καὶ ὅπῃ τούτοις ἡ τῆς γονῆς κεκόλασται ἔκκρισις, καὶ ὅπῃ ἀνεπιτίμητος· ὑμεῖς τοὺς μὲν ἀργεῖν ἐᾶτε, κατὰ τοὺς νόμους τοῦ Πλάτωνος, ἀφ' ἑαυτῶν δ' ἐπιτιμᾶτε τοῖς ὑφ' ὑμᾶς, καὶ ἀντινομοθετεῖτε τοῖς νομοθέταις, καὶ τοῖς θείοις Πατράσι καὶ ἱεροῖς ἀντιδιατάττεσθε· οὐ προστασίας ψυχῶν ἔκπτωσις μόνον ὑμῶν καταψηφισθήσεται, ἀλλὰ καὶ κανονικοῖς ἐπιτιμίοις ὑποπεσεῖν ὑμᾶς ἐπιψηφισθήσεται, κατὰ τὰ περὶ τούτων ἱερὰ διατάγματα. Οὐ γάρ ἐστιν ἐν αὐτοῖς προσθεῖναι, κατὰ τὴν θείαν Γραφὴν, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. Ὁ δὲ μέγας Παῦλος καὶ ἀναθέματι κατακρίνει τὸν ἕτερόν τι παρ' ὅπερ ἐλάβομεν εὐαγγελιζόμενον, κἂν ἄγγελος ᾖ. Ὑμεῖς δὲ, κἂν εἰς τὴν τῆς ἀρετῆς ἀκρώρειαν ἐληλακέναι δοκῆτε, ἀλλὰ πολὺ τῆς ἀξίας τῆς ἀγγελικῆς διεστήκατε. Εἰ δ' ἀγγέλους ἕτερόν τι παρὰ τὰ δεδομένα εἰσάγοντας ἀναθέματι καθυπέβαλεν ὁ θεῖος Ἀπόστολος, ἐγὼ μὲν οὐδὲν φαῦλον ἐρῶ, ὑμεῖς δ' οἶδ' ὅτι συνίετε, κἂν αὐτὸς φείδωμαι. Ὅτι δὲ κανόσιν ἐναντιοῦσθε, ἀδιαφόρως τοὺς ὀνειρασθέν-

VARIÆ LECTIONES.

[a] *nimium.* [r] *sacramentorum.* [x] *sacram.* [y] *usque adeo.* [z] *excitatio.* [a] *sine vitiosa.* [b] *confessiones recipere.*

τας τῶν ἁγιασμάτων ἀπειργοντες (ἐῶ γὰρ λέγειν καὶ τῆς τῶν θείων ἐκτυπωμάτων προσψαύσεως) αὐτῶν τῶν ἱερῶν κανόνων προστιθεμένων, οἱ μὲν εἰδότες αὐτούς, βοῦν ἐπὶ γλώττης θέμενοι, τοῦτο δὴ τὸ παροιμιῶδες, σιγήσετε· οἱ δ' ἀγνοοῦντες μαθήσεσθε. Οἱ δὲ κανόνες, τῶν ἐγκεκριμένων Πατέρων, καὶ οὓς σύνοδοι ἐπεκράτυναν, καὶ βασιλεῖς εὐσεβεῖς τάξιν νόμων ἐπέχειν ἐθέσπισαν. Ἥ τε γὰρ οἰκουμενικὴ ἕκτη σύνοδος, ἡ ἐν τῷ Τρούλλῳ τῶν ἀνακτόρων συγκροτηθεῖσα, ἀπαριθμησιν τῶν κρατεῖν ὀφειλόντων κανόνων ποιησαμένη, καὶ τῶν αὐτοὺς ἐκτεθεικότων θείων καὶ ἱερῶν Πατέρων, μετὰ τῶν ἄλλων καὶ τοὺς περὶ τῆς νῦν ζητουμένης ὑποθέσεως ἐρωτηθέντας καὶ ἀποκριναμένους θεολήπτους ἄνδρας ἀπαριθμεῖ· τὸν μέγαν δηλαδὴ καὶ τὰ θεῖα σοφὸν Ἀθανάσιον, καὶ Διονύσιον, καὶ Τιμόθεον, τῆς ἐν Ἀλεξανδρείᾳ προστατεύσαντας Ἐκκλησίας. Ἥ τε τὸ δεύτερον ἐν Νικαίᾳ συναθροισθεῖσα σύνοδος οἰκουμενικὴ, ἀσπασίως τοὺς θείους κανόνας ἐνστερνίζεσθαι λέγουσα, τοὺς θ' ὑπὸ τῶν θείων σαλπίγγων τοῦ ἁγίου Πνεύματος, τῶν σοφῶν ἀποστόλων συντεθειμένους φημὶ, καὶ τοὺς ὑπὸ τῶν ἓξ ἁγίων καὶ οἰκουμενικῶν συνόδων, πρὸς ταύταις δὲ καὶ τοπικῶν· προστιθεῖσα δὲ καὶ τῶν ἁγίων Πατέρων ἡμῶν (ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ πνεύματος αὐγασθέντες, ὥρισαν [φησὶ] τὰ συμφέροντα), ἐπάγει· Καὶ οὓς μὲν ἀναθέματι παραπέμπουσι, καὶ ἡμεῖς ἀναθεματίζομεν· οὓς δὲ καθαιρέσει, καὶ ἡμεῖς καθαιροῦμεν· καὶ οὓς τῷ ἀφορισμῷ, καὶ ἡμεῖς ἀφορίζομεν· οὓς δὲ ἐπιτιμίοις παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως ὑποβάλλομεν.

Τούτων τοίνυν τῶν ὑπὸ τῶν ἁγίων συνόδων πρὸς τοῖς λοιποῖς ἐγκριθέντων θεολήπτων ἀνδρῶν, ὁ μὲν κλεινὸς Διονύσιος ἐν τῇ πρὸς Βασιλείδην ἐπιστολῇ ταυτὶ διατάττεται. Οἱ ἐν ἀπροαιρέτῳ νυκτερινῇ ῥύσει γενόμενοι, τῷ οἰκείῳ συνειδότι κατακολουθείτωσαν· καὶ ἑαυτοὺς, εἴτε διακρίνονται, εἴτε μὴ, σκοπείτωσαν. Ὡς ὁ ἐπὶ τῶν βρωμάτων, Ὁ διακρινόμενος, φησὶν, ἐὰν φάγῃ, κατακέκριται. Καὶ ἐν τούτοις εὐσυνείδητος ἔστω καὶ ἀπαρρήσιαστος, κατὰ τὸ ἴδιον ἐνθύμιον, πᾶς ὁ προσιὼν τῷ Θεῷ. Ὁ δέ γε θεοφόρος Τιμόθεος πρὸς τὸν ἐρωτήσαντα, εἰ ὁ ὀνειρασθεὶς ὀφείλει κοινωνῆσαι, ἢ οὔ, τοιαύτην ἀπόκρισιν δέδωκεν· Εἰ μὲν ὑπόκειται ἐπιθυμίᾳ γυναικὸς, οὐκ ὀφείλει· εἰ δὲ ὁ Σατανᾶς πειράζει αὐτὸν, ἵνα διὰ τῆς προφάσεως ταύτης ἀλλοτριῶται τῶν θείων μυστηρίων, ὀφείλει κοινωνῆσαι, ἐπεὶ οὐ παύσεται ὁ ἐπηρεάζων, κατ' ἐκεῖνον τὸν καιρὸν, ὅτε ὀφείλει κοινωνῆσαι, ἐπιτιθέμενος αὐτῷ.

Ὁ δὲ μέγας καὶ ἱερὸς Ἀθανάσιος πρὸς Ἀμοῦν ἐπιστέλλων περὶ τούτου μονάζοντα, πολύστιχον ἔθετο τὴν ἐπιστολήν· ἧς ἡμεῖς τῶν καιριωτέρων πρὸς τὴν ὑπόθεσιν νῦν μνησθέντες, παρήσομεν τὰ λοιπά. Φησὶ δ' οὕτω. Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς, τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις κατὰ πάντα μεμόλυνται. Ἄγαμαι δὲ τοῦ διαβόλου τὸ σόφισμα, ὅτιπερ φθορὰ καὶ λύμη ὑπάρχων, λογισμοὺς ὑπο-

autem, sat scio, intelligitis, licet non exprimam. Quod autem canonibus adversamini, cum imaginatos a sanctificationibus [c] indifferenter arcetis (mitto enim et divinarum effigierum contactum), ipsis sacris canonibus adjectis, qui quidem scitis ipsos, bovem in lingua ponentes, ut est in proverbio, tacebitis: qui autem ignoratis, discetis. Canones autem sunt delectorum [d] Patrum, et quos synodi roborarunt, piique imperatores legum vicem obtinere sanciverunt. Sexta non œcumenica synodus in Trullo palatii coacta, enumerationem faciens canonum, qui obtinere debent, et divinorum sacrorumque Patrum, qui eos ediderunt, cum aliis eos etiam Numine afflatos Patres enumerat, qui de præsenti quæstione interrogati, responderunt: magnum videlicet, et in divinis sapientem Athanasium, et Dionysium, et Timotheum, qui Alexandrinæ præfuerunt Ecclesiæ. Et secunda Nicæna synodus generalis, libenter divinos canones dicens amplectendos, eos qui a divinis sancti Spiritus buccinis, sapientibus, inquam, apostolis compositi sunt, et qui a sanctis et œcumenicis synodis [e], præterea etiam a provincialibus: addens autem, et a sanctis Patribus nostris (ex uno enim omnes illuminati Spiritu, definierunt, inquit, conducibilia), subdit: Et quos anathemati quidem transmittunt, nos quoque anathematizamus: quos vero depositioni, nos quoque deponimus: quos autem segregationi, nos itidem segregamus: quos autem pœnæ tradunt, nos quoque similiter subjicimus.

Cum igitur hi numine afflati viri a sanctis synodis simul cum reliquis approbati sint, celebris quidem Dionysius in sua ad Basilidem epistola hæc constituit. Qui in non voluntario nocturno fluxu fuere, propriam subsequantur conscientiam: et seipsos sive discernant [f], sive non, intueantur. Ut is, qui de cibis, Discernens [g] (inquit) si comederit, condemnatus est. Et in his bona præditus conscientia, nec obtrectator in propria cogitatione esto, omnis qui Deum accedit. Divino autem numine inspiratus Timotheus ad eum, qui quæsierat, an qui libidinosis stimulatus est somniis deberet communicare, necne, tale responsum dedit: Si quidem mulieris desiderio subjectus est, non debet. Quod si Satanas eum tentat, ne hac occasione a divinis alienetur sacramentis, debet communicare: quoniam calumniator non desinet illi struere insidias, quo tempore communicandum ei est.

Magnus autem et sacer Athanasius ad Amum monachum de hoc scribens, longam fecit epistolam, cujus nos commemorantes ea, quæ ad rem pertinent, reliqua prætermittemus. Sic autem ait: Omnia quidem munda mundis: immundorum autem et conscientia per omnia polluta est. Miror autem imposturam diaboli, quia cum corruptio sit et pernicies, cogitationes tamen suggerit, ut vide-

VARIÆ LECTIONES.

[c] *sacramentis.* [d] *receptorum.* [e] *et universalibus sex syn.* [f] *an ambigant, necne.* [g] *Ambigens.*

Hoc amplius discere velim a tua sanctitate, quid de iis faciendum sit, qui unum habent servum. Est enim qui unum tantum habeat servum : et cum emere non possit ancillam, servus extranea et vaga libidine scortatur. Est qui ancillam habeat, quæ, quia dominus servum comparare non potest, scortetur similiter. Peto et me tuam institutionem doceas [g], et quæ sit talium medela ; et an dominis, qui post Ecclesiæ judicium non emendantur, offerre Deo munus sit fas ; et an liceat sacerdoti horum munera accipere : maxime, cum scortantes mulieres oblationes fermentaverint.

A Ἔτι δέομαι μαθεῖν παρὰ τῆς ἁγιωσύνης σου, τί ὀφείλω ποιῆσαι εἰς τοὺς πρὸς ἕνα ἔχοντας οἰκέτην, Ὁ μὲν γὰρ ἔχει ἕνα δοῦλον, καὶ μὴ δυνάμενος ἐξωνήσασθαι [26] καὶ δούλην, πορνεύει ὁ δοῦλος ἀπολελυμένος [26] ἔξω· ὁ δὲ δούλην, καὶ μὴ δυνάμενος ὠνήσασθαι καὶ δοῦλον, πορνεύει καὶ αὐτὴ ὁμοίως. Καὶ αἰτῶ μαθεῖν τὴν σὴν οἰκονομίαν, καὶ τίς ἡ θεραπεία τῶν τοιούτων· καὶ εἰ ἄξιόν ἐστι τοὺς δεσπότας αὐτῶν μετὰ τὴν κρίσιν τῆς Ἐκκλησίας μὴ ποιήσαντας διόρθωσιν, προσφέρειν δῶρον τῷ Θεῷ· καὶ εἰ ἐνδέχεται τὸν ἱερέα δέχεσθαι τὰ τούτων δῶρα, καὶ μάλιστα, ὅτε αἱ πορνεύουσαι τὰς προσφορὰς ζυμώσουσι.

Responsum episcopi Thessalonicensis, domini Nicetæ Mitylenæi.

Αὐσις τοῦ Θεσσαλονίκης, κυροῦ Νικήτα τοῦ Μιτυληναίου.

B Quis tu, amice, qui hæc longo ex intervallo interrogas, nescio ; qui nec te viderim, nec tecum sim collocutus. Quæ autem errata comprehendit admonitio tua [h], necessario corrigenda sunt, tuamque de iis interrogationem accipio. Peccata eorum, qui dominis inserviunt, sive servi sint, sive liberi, et potius servi, aut omnino constituti in potestate, in dominos [i] conferuntur, si eorum correctionem nullo modo curent. Et si quidem sint latentia, rationem Deo reddet, qui fecit : sin autem aperta, paterfamilias ipse : qui etiam ecclesiæ loci hæc declarare tenetur, ut episcopus, et qui illic sunt sacerdotes, ac monachi, de eorum correctione disceptent. Tunc enim paterfamilias si quidem admonitus id neglexerit, nec fecerit ad emendationem, quidquid in se C est, increpandus est pro sui ordinis qualitate, et exterminandus [j]. Cum igitur servi et ancillæ cujuspiam scortantur, et accepta ejus notitia dominos non coercet ullo modo tale peccatum, nec permittit eos benedictionem accipere : excommunicatione dignus est, juxta sacros et divinos canones, quemadmodum tu exquisite considerasti. Illud autem frustra formidant domini, ne si servis concedatur, ut cum legitimis uxoribus sacris benedicantur precibus, aut ancillæ cum viris, suos servos amittant : quasi sacrarum precum recitatio eos in libertatem rapiat. Hanc enim formidinem inclytus imperator, dominus Alexius sustulit, per novellam, quam etiam Ecclesiæ receperunt. Et reliquum, ne scortentur [k], receD ptum est, ut sacra precatione serviles initientur personæ, iterumque in servitute maneant. Nec ullam causam habent domini, quin suos servos servis mulieribus, et ancillas servis viris, cum sacra precatione legitime conjungant. Quod nisi fecerint, canonicis obnoxii sunt pœnis, exterminationibus [l] videlicet, et excommunicationibus. Eorum autem neque oblationes accipiendæ, donec corrigantur.

Τίς μὲν εἶ, ἄνθρωπε, ἀγνοῶ, ὁ ταῦτα ἐπερωτῶν, ἐκ μακροῦ διαστήματος, μήτε ἰδών σε, μήτε ἐντυχών σοι· ἐξ ἀνάγκης δὲ, ἃ διαλαμβάνει ἡ ὑπόμνησίς σου σφάλματα, διορθωτέα εἰσί. Καὶ ἀποδέχομαί σου τὴν περὶ τούτων ἐρώτησιν, ὅτι τὰ ἁμαρτήματα τῶν ὑπηρετούντων τοῖς δεσπόταις, εἴτε δοῦλοί εἰσιν, εἴτε ἐλεύθεροι, καὶ μᾶλλον δοῦλοι, ἢ ὅλως ὑπεξούσιοι, ἐπὶ τοὺς δεσπότας [28] φέρονται· εἴ γε μὴ παντοίως φροντίζει [29] τῆς τούτων διορθώσεως, καὶ εἰ μέν εἰσιν ἀφανῆ, τῷ Θεῷ δώσει λόγον ὁ πράττων· εἰ δὲ φανερὰ, αὐτὸς ὁ οἰκοδεσπότης· ὃς καὶ ὀφείλει τῇ κατὰ τόπον Ἐκκλησίᾳ ταῦτα φανεροῦν, ἵνα ὁ ἐπίσκοπος, καὶ οἱ ἐκεῖσε ἱερεῖς, καὶ μοναχοὶ, περὶ τῆς τούτων διορθώσεως ἀγωνίσωνται. Τότε γὰρ ὁ οἰκοδεσπότης, εἴπερ ἀμελοίη ὑπομνησθεὶς, καὶ οὐχὶ τὰ παρ' αὐτοῦ πάντα ποιοῖ πρὸς διόρθωσιν, ἐπιτιμητέος ἐστὶ κατὰ τὴν αὐτοῦ τάξιν, καὶ ἀφοριστέος. Ὅτε γοῦν οἱ δοῦλοι καὶ αἱ δουλίδες τινὸς πορνεύουσι, καὶ εἴδησιν λαμβάνων ὁ κύριος αὐτῶν, οὐ παντοίως διορθοῦται τὸ τοιοῦτον ἁμάρτημα, καὶ ἐπιτρέπει αὐτοῖς τὴν ἱερολογίαν, ἀφοριστοῦ ἐστιν ἄξιος κατὰ τοὺς ἱεροὺς καὶ θείους κανόνας, καθὼς αὐτὸς [29] ἠκριβολογήσω· ἐκεῖνο δὲ μάτην ὑποπτεύεται παρὰ τῶν δεσποτῶν, ὅτι ἐὰν συγχωρηθῶσιν οἱ δοῦλοι ἱερολογηθῆναι μετὰ γυναικῶν νομίμων, ἢ αἱ δουλίδες μετὰ ἀνδρῶν, τοὺς οἰκείους οἰκέτας ἀπολέσουσιν· ὡς τῆς ἱερολογίας ἁρπαζούσης αὐτοὺς εἰς ἐλευθερίαν. Ταύτην γὰρ τὴν ὑποψίαν ἀνεῖλεν ὁ ἀοίδιμος βασιλεὺς κύριος [30] Ἀλέξιος, διὰ Νεαρᾶς, ἣν καὶ αἱ Ἐκκλησίαι ἐδέξαντο· καὶ λοιπὸν, ἵνα μὴ πορνεύωσιν [31], ἐδέχθη τὸ ἱερολογεῖσθαι τὰ δουλικὰ πρόσωπα, καὶ μένειν πάλιν ὑπὸ τὴν δουλείαν. Καὶ οὐδεμίαν ἔχουσιν οἱ δεσπόται πρόφασιν εἰς τὸ συζευγνύειν τοὺς οἰκείους δούλους νομίμως ταῖς δουλίσι [32] γυναιξὶ, καὶ τὰς δουλίδας ἀνδράσι δούλοις, μετὰ ἱερολογίας. Καὶ εἰ μὴ τοῦτο ποιοῦσιν, ὑπεύθυνοί εἰσι τοῖς κανονικοῖς ἐπιτιμίοις, ἤγουν ἀφορισμοῖς καὶ ἀποκοινωνη-

VARIÆ LECTIONES.

[26] μὴ δυναμένου τοῦ δεσπότου ἐξων. [26] ἀπολελυμένως. [27] δυναμένου ὠνήσασθαι καὶ δοῦλον τοῦ δεσπότου. [28] ἐπὶ τοὺς οἰκοδεσπότας. [29] φροντίζοι. [29*] καθὼς καὶ αὐτός. [30] κῦρος. [31] ἵνα μὴ πορνεύωσιν οἱ δοῦλοι. [32] ταῖς δούλαις.

[g] *cognoscere cupio consilium tuum.* [h] *suggestio.* [i] *in patresfamilias.* [j] *segregandus.* [k] *Ideoque ne servi scortentur.* [l] *segregationibus.*

σίαις. Τῶν δὲ τοιούτων οὐδὲ αἱ προσφοραὶ δεκταὶ, ἕως ἂν διορθώσωνται. Ἀλλὰ καὶ οἱ ἐπιτεταγμένοι [33] ἐπιτηρεῖν τὰ τοιαῦτα, καὶ διορθοῦν, εἰ μὴ τοιοῦτο ποιοῦσι, καὶ αὐτοὶ τοῖς ἱεροῖς κανόσιν ὑπεύθυνοι γίνονται. Εἰ δέ τις εὐπορεῖ ἑνὸς δούλου ἢ δουλίδος, ἀπορεῖ δὲ ἕτερον κτήσασθαι, πρὸς τὸ συζεῦξαι αὐτοὺς, καὶ διὰ τοῦτο ἀνέχεται ὃν ἔχει [34] ὑπὸ τὴν ἰδίαν ἐξουσίαν, ἑστω ὡς τοῦτο οὐκ ἐκβάλλει αὐτοὺς τῆς ἐκκλησιαστικῆς καὶ κανονικῆς ἐπιτιμήσεως· ἀλλὰ καὶ αὐτὸς παντοίως αἰτείσθω [35] διδάξαι τὸν οἰκεῖον οἰκέτην σωφρονεῖν, ἢ κωλύσαι [36] τὴν πορνείαν διὰ τρόπου παντὸς, γάμῳ ὅπως δήποτε συζεύξας τὸ πορνεῦον πρόσωπον· καὶ οὕτως ἔστω ἀνεύθυνος [37].

Ἡ ὑπογραφή· Ὁ μητροπολίτης Θεσσαλονίκης Νικήτας.

A Sed et qui ad ea observanda emendandaque [m] deputati sunt [n], nisi id fecerint, sacris canonibus obnoxii erunt. Quod si cui sit facultas habendi servum unum, vel ancillam, desit autem facultas alterius comparandi, ut eos conjungat, et ob id indulget ei [o], quem in sua potestate habet : sciat ipsos non ideo liberari ab ecclesiastica et canonica censura. Sed et ipse omnino tenetur docere servum suum continenter agere, aut omni modo scortationem prohibere [p], nuptiis utcunque conjungens scortantem personam ; atque ita extra culpam esto [q].

Subscriptio : Nicetas metropolitanus Thessalonicæ.

Ἐρωτήσεις καὶ ἀποκρίσεις διάφοροι, γενόμεναι παρὰ διαφόρων ἀρχιερέων πρὸς τὸν χαρτοφύλακα κύριον Νικήταν, τὸν γεγονότα ἀρχιεπίσκοπον τῆς μητροπόλεως Θεσσαλονίκης.

B *Interrogationes et responsiones diversæ, a variis antistitibus factæ ad dominum Nicetam chartophylacem, qui fuit archiepiscopus metropolis Thessalonices.*

Ἐρώτησις πρώτη. Διάκονος ὀφφικιάλιος κατηγορηθεὶς, ὅτι προέδωκέ τι ἀκίνητον τῆς Ἐκκλησίας, ἐπετιμήθη παρὰ τοῦ μητροπολίτου· ἐτελεύτησεν ὁ μητροπολίτης, ἦλθεν ὁ ἕτερος, καὶ εἶασε τοῦτον ἐπιτετιμημένον· καὶ ἐρωτῶ εἰ δυνατόν ἐστι τοῦτον λυθῆναι παρ' ἡμῶν τοῦ ἐπιτιμίου.

Interrogatio prima. Diaconus officialis, accusatus, quod per collusionem amiserit rem Ecclesiæ immobilem, censuræ ecclesiasticæ subjectus est a metropolitano : obiit metropolitanus, successit alius, qui eum in pœnis esse sivit. Quæro, an hic a nobis pœna absolvi possit.

Ἐρώτησις β'. Κληρικὸς, λαβὼν γυναῖκα, καὶ μνηστευσάμενος αὐτὴν, καὶ τὰς εὐχὰς τῆς μνηστείας δεξάμενος, συνεγένετο ταύτῃ. Εἶτα ἐχειροτονήθη ἱερεὺς, ἐλπίζων ὅτι αἱ εὐχαὶ τῆς μνηστείας ἀρκοῦσιν εἰς γάμον, ἀγνοοῦντος καὶ τοῦ ἀρχιερέως, ὅτι οὐκ ἐγένετο τέλειος γάμος. Μετὰ τοῦτο ἔλαβε καὶ τὰς εὐχὰς τοῦ γάμου· καὶ ἐρωτῶ εἰ ὀφείλει ἱερουργεῖν, ἢ στῆναι [38] τῆς ἱερουργίας, ἢ ἐπιτιμηθῆναι πρὸς καιρόν.

Interr. 2. Clericus uxorem ducens, precatione tantum sponsaliorum suscepta, cum ea congressus est : deinde creatus est sacerdos, credens sponsaliorum preces ad nuptias sufficere, cum antistes ignoraret perfectas nuptias non fuisse contractas. Postea nuptiarum etiam precationem accepit. Quæro, an debeat sacra celebrare, aut a celebratione desistere, aut temporalibus pœnis coerceri.

Ἐρώτησις γ'. Ὁ δευτερογαμήσας δεποτάτος εἰ ὀφείλει ἐν τῷ καιρῷ τῆς εἰσόδου συνεισοδεύειν τῷ ἀρχιερεῖ.

Interr. 3. An deputatus, qui secundas nuptias contraxit, debeat tempore introitus simul introire cum antistite.

Ἀπόκρισις πρώτη. Ὁ κατηγορηθεὶς, εἴτε καὶ ἁπλῶς, εἴτε καὶ κατὰ νόμους διαβληθεὶς ἐπὶ τῇ τοῦ κτήματος τῆς Ἐκκλησίας προδοσίᾳ, οὐ μέντοι καὶ ἐλεγχθεὶς, εἰ καὶ εἰάθη ἐπιτετιμημένος, τοῦ ἐπιτιμήσαντος αὐτὸν διὰ τὴν τοιαύτην κατηγορίαν τελευτήσαντος, καὶ παρὰ τῶν μετ' αὐτὸν δύο ἀρχιερέων καὶ ἔτι ἐπιτετιμημένος μέχρι τοῦ νῦν· ὅμως ἐὰν οὐδεὶς ἐλέγχῃ αὐτὸν οὐδὲ νῦν, οὔτε αὐτὸς ὁμολογεῖ τὴν προδοσίαν, δύναται λυθῆναι παρὰ τοῦ νῦν ἀρχιερέως αὐτοῦ, καὶ εἶναι ἐν τῇ οἰκείᾳ ἐνεργείᾳ, καὶ ἐνεργεῖν καὶ τὰ τοῦ ὀφφικίου αὐτοῦ.

Resp. Qui incusatus est, sive simpliciter, sive secundum leges accusatione instituta, ob collusionem de prædio Ecclesiæ factam, non tamen etiam convictus, etsi sub pœnis (cum is qui propter talem accusationem eas irrogaverat, sit mortuus) relictus fuerit, et a duobus, qui post illum fuerunt, antistitibus, sitque hactenus sub iis : tamen si nunc nullus eum convincat, nec fateatur proditionem, potest a suo antistite, qui nunc est, absolvi ; et esse in proprio ministerio, officioque suo fungi.

Ἀπ. β'. Ὁ δὲ τῇ οἰκείᾳ μνηστῇ πρὸ τῆς τοῦ γάμου ἱερολογίας κληρικὸς συναφθεὶς, εἰ καὶ μὴ ὡς κλεψιγαμήσας λογίζεται, διὰ τὸ νομίζειν ὅτι ἀρκεῖ αὐτῷ πρὸς τὴν τῆς μνηστῆς συνάφειαν ἡ τῆς μνηστείας συνάφεια· ἀλλ' ὅτι ἠγνόησεν ὅλως ἅπερ

Resp. 2. Clericus autem, qui cum sua sponsa ante nuptiarum consecrationem coiit, licet non censeatur clandestinas [r] contraxisse nuptias, quia sufficere existimet sponsaliorum conjunctionem ad sponsæ copulam : quia tamen omnino ignoravit ea, quæ

VARIÆ LECTIONES.

[33] οἱ ἐπιτεταραμμένοι διορᾷν. [34] ἀνέχεται πορνεύειν ὃν ἔχει, ἢ ἣν ἔχει. [35] ἀπαιτεῖται. [36] κωλύσει. [37] ἔσται ἀνεύθυνος. Μηνὶ Σεπτεμβρίῳ, ἐπινεμήσεως ια'. [38] ἢ ἐκστῆναι.

[m] *inspiciendaque.* [n] *mandatum habent.* [o] *patitur scortari eum eamve, quem quamve in sua potestate habet.* [p] *prohibeat.* [q] *addendum Mense septembri, indictione* XI. [r] *furtivas.*

ipsum non ignorare oportuit, ob eam causam præjudicium patitur, etsi post ordinationem, benedictionem nuptiarum susceperit. Duo enim ignoravit, et solam sponsaliorum precationem non sufficere ad copulam, et post ordinationem benedictione conjugali non initiari quemquam. Dicam et tertium, heminem qui cum sponsa ante nuptias congressus sit, ordinatione dignum haberi.

Resp. 3. Deputatus vero, qui secundas contraxit nuptias, servans (ut opinor) binubi priorem pœnam, quæ ei canonice imposita est (videlicet excommunicatus anno uno aut altero, prout ipse judicaveris), postea rursus benigne restituetur ad deputati ministerium.

Interr. Cum donatum esset cuipiam monasterium a quodam eorum, qui ante me fuerunt, metropolitano; facta est monasterio et possessionis [s] ad meam metropolim pertinentis concessio. An hoc possit fieri, et possessiones metropolitanorum [t] monasteriis, concedi, nomine tantum sic appellatis, non re.

Resp. Possessionis ad metropolim pertinentis monasterio facta concessio, etsi monasterium metropoli dominice subsit, aut velut domus [u] sit metropolitani, aut nullo modo donari possit, aut reditus ad metropolim proveniat (ut plerumque fit), recta ratione nec cognita est, nec recipienda. Multo autem magis, si nihil horum fuerit. Manifesta enim alienatio aut frustra et inconsiderate a metropoli in monasterium possessio translata videtur [v]. Quod autem frustra et in vanum sit, nec rationi nec legi est consentaneum. Cujusque enim monasterii peculiaris est administratio, et ad propriam constitutionem spectans [x]. Verum etiam peculiaris ipsius metropolis, nisi ex synodica dispensatione ad utilitatem Ecclesiæ tale quid datum sit. At vero alienatio sine synodica cognitione fieri non permittitur.

Interr. Si quis sacerdos, aut etiam laicus, deprehensus sit contra proprium episcopum, aut magistratum, aut privatum simpliciter, et vulgarem hominem cruces in charta manu propria fecisse, aut etiam insidias in ipsos, vel cœtus [y] populi meditatus, cui pœnæ subjicitur?

Resp. Qui tale quidpiam perpetrant, et ab extraneis legibus, ut tu ipse scis Deo charissime, plectuntur, velut criminis conjurationis et sodalitii rei [z]. Multo autem magis ab Ecclesia emendationi subjiciuntur [a], juxta decimum octavum canonem Chalcedonensis sanctæ synodi. Et si quidem clerici sint, de proprio gradu excidunt juxta tricesimum quartum conc. Trull. canonem: sin autem laici, excommunicantur. In quibus enim clerici deponuntur, laici excommunicantur.

A αὐτὸν οὐκ ἐχρῆν ἀγνοεῖν, διὰ τοῦτο προκριματίζεται, κἂν μετὰ τὴν χειροτονίαν καὶ τὴν ἱερολογίαν τοῦ γάμου ἐδέξατο. Δύο γὰρ ἠγνόησεν, ὅτι οὐκ ἀρκεῖ αὐτῷ μόνη ἡ εὐχὴ τῆς μνηστείας πρὸς τὴν συνάφειαν· καὶ ὅτι μετὰ τὴν χειροτονίαν οὐδεὶς ἱερολογεῖται μετὰ γυναικός. Εἶπω δὲ καὶ τρίτον, ὅτι οὐδεὶς τῇ μνηστῇ συναφθεὶς πρὸ τοῦ γάμου, χειροτονίας ἀξιοῦται.

'Απ'. γ'. Ὁ μέντοι δευτερογαμήσας δεποτάτης, φυλάξας, οἶμαι, τὸ τοῦ διγάμου πρότερον ἐπιτίμιον, ὅπερ αὐτῷ κανονικῶς ἐπιτίθεται ἤγουν ἕνα ἐνιαυτὸν εἴτε δύο γενόμενος ἀκοινώνητος, ὡς ἂν αὐτὸς δοκιμάσῃς μετὰ τοῦτο πάλιν φιλανθρώπως ἀποκαταστήσεται εἰς τὴν τοῦ δεποτάτου ἐνέργειαν.

B *Ἐρώτησις.* Δωρηθέντος τινὶ μοναστηρίου παρά τινος τῶν πρὸ ἐμοῦ μητροπολιτῶν, ἐγένετο ἐπὶ τῷ μοναστηρίῳ καὶ κτήματος ἐπίδοσις τῇ ὑπ' ἐμὲ μητροπόλει διαφέροντος. Εἰ οὖν δύναται τοῦτο γίνεσθαι, καὶ τὰ τῶν μητροπόλεων ἐπιδίδοσθαι τοῖς μοναστηρίοις κτήματα, ὀνόμασι μόνον κεκλημένοις, οὐ πράγμασι.

'Απ'. Ἡ τοῦ κτήματος τῆς μητροπόλεως πρὸς μοναστήριον ἐπίδοσις, κἂν ὑπὸ τὴν μητρόπολιν δεσποτικῶς ὑπάρχῃ τὸ μοναστήριον, κἂν ὡς ἐνδιαίτημα ᾖ τοῦ μητροπολίτου, κἂν ὅλως ἀδώρητον, κἂν τὰ τῶν προσόδων εἰς τὴν μητρόπολιν εἰσοδιάζηται (οἷα πολλάκις γίνεται) τῷ ὀρθῷ λόγῳ ἀνεπίγνωστός ἐστι καὶ ἀνεπίδεκτος· πολλῷ δὲ πλέον ἐὰν οὐδὲν τούτων ᾖ. Ἐκποίησις γὰρ φανερὰ, ἡ μάτην καὶ ἀλογίστως ἀπὸ τῆς μητροπόλεως εἰς τὸ μοναστήριον τὸ κτῆμα μετατιθέμενον [29.46] φαίνεται. Τὸ δὲ μάταιον, οὐκ ἔλλογον οὐδὲ ἔννομον. Ἑκάστου γὰρ μοναστηρίου διοίκησις ἰδιάζουσά ἐστι, καὶ εἰς τὴν αὐτοῦ σύστασιν ὁρῶσα, ἀλλὰ καὶ ἡ τῆς μητροπόλεως, ἰδιάζουσα, εἰ μὴ ἐκ συνοδικῆς οἰκονομίας πρὸς τὸ λυσιτελὲς τῆς Ἐκκλησίας τοιοῦτόν τι δέδοται. Καὶ ἐκποίησις δὲ ἄνευ συνοδικῆς διαγνώσεως οὐ συγκεχώρηται γίνεσθαι.

C *Ἐρώτησις.* Εἴ τις ἱερωμένος, ἢ καὶ λαϊκὸς φωραθείη κατὰ τοῦ οἰκείου ἐπισκόπου, ἢ καὶ ἄρχοντος, ἢ καὶ ἰδιώτου ἁπλῶς, καὶ τοῦ τυχόντος ἀνθρώπου, σταυροὺς ἐν χάρτῃ οἰκειοχείρως ποιῶν, ἢ καὶ συσκευὰς κατ' αὐτῶν, ἢ καὶ λαοσυναξίας ἐκμελετῶν, τίνι ἄρα ἐπιτιμίῳ ὑπόκειται;

D 'Απ. Οἱ τοιοῦτόν τι διαπράττοντες, καθὼς οἶδας καὶ αὐτὸς, θεοφιλέστατε, καὶ παρὰ τῶν ἔξω νόμων τιμωροῦνται, ὡς ὑπεύθυνοι τῷ τῆς συνωμοσίας καὶ φρατρίας ἐγκλήματι· πολλῷ δὲ πλέον παρὰ τῆς Ἐκκλησίας εὐθύνονται, κατὰ τὸν ιτ' τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου κανόνα. Καὶ εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτουσι τοῦ οἰκείου βαθμοῦ, κατὰ τὸν λδ' τῆς ἐν τῷ Τρούλλῳ· εἰ δὲ λαϊκοὶ, ἀφορίζονται. Ἐν οἷς γὰρ οἱ κληρικοὶ καθαιροῦνται, οἱ λαϊκοὶ ἀφορίζονται.

VARIÆ LECTIONES.

[29.46] μετατιθεμένη.

[s] *prædii.* [t] *metropolium.* [u] *domicilium.* [v] *Nam alienationem manifestam esse patet, quæ temere citraque rationem prædium a metropoli ad monasterium transfert. Quod autem temere fit.* [x] *conservationem spectans. Itidem et metropolis administratio peculiaris est.* [y] *concursus.* [z] *factionis.* [a] *punitionem*

Ἐρώτησις. Εἴ τις ἱερωμένος ἢ καὶ λαϊκὸς φωραθείη ἐπαοιδὸς, ἢ καὶ φαρμακὸς, ἢ καὶ τριοδεύων, ποίῳ ἐπιτιμίῳ ὑποπεσεῖται; A

Ἀπ. Καὶ τὰ τοιαῦτα τῆς ἐθνικῆς εἰσὶ συνηθείας, οὐ τῆς Χριστιανικῆς πολιτείας, οὔτε μὴν τῆς ὀρθοδόξου Ἐκκλησίας. Ὅθεν ὁ τούτοις ἁλοὺς τοῖς ἐπιτηδεύμασι καὶ κακοτεχνήμασιν, εἰ μὲν κληρικός ἐστι, καθαιρεῖται, καὶ τῆς Ἐκκλησίας ἀπορρίπτεται, κατὰ τὸν λς' τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα· ὡσαύτως δὲ καὶ ὁ λαϊκὸς ἐκβάλλεται τῆς Ἐκκλησίας τελείως. Μετανοοῦντες δὲ οἰκονομοῦνται δι' ἐξετείας, ἢ πενταετίας· τρία μὲν ἔτη ὑποπίπτοντες, καὶ τὰ λοιπὰ συνευχόμενοι μόνον, χωρὶς προσφορᾶς, κατὰ τὸν κδ' τῆς ἐν Ἀγκύρᾳ. Οὕτως δὲ μετανοήσαντες γνησίως, ἢ ὡς ἂν ὁ ἀρχιερεὺς συνορᾷ, πρὸς τὴν μετάνοιαν αὐτῶν (ἔχει γὰρ ἐξουσίαν καὶ B μειοῦν τὸν καιρὸν), τῆς θείας καταξιοῦνται μεταλήψεως.

Ἐρώτησις. Εἴ τις ἱερωμένος παραδυναστεύειν τῷ τῆς χώρας ἄρχοντι σπεύδει, κἀντεῦθεν προσαγγέλλει τινὰ κατά τινων, καὶ τὸν ἄρχοντα κατ' ἐκείνων διανιστᾷ, τί κανονικῶς ὁ τοιοῦτος πείσεται;

Ἀπ. Ὁ ἱερωμένος τῷ ἱερῷ προσεδρεύειν ὀφείλει, καὶ ταῖς ἐκκλησιαστικαῖς ὑπηρεσίαις ἐνασχολεῖσθαι, καὶ οὐ παραδυναστεύειν κοσμικαῖς ἐξουσίαις καὶ ἄρχουσιν. Ἐκ δὲ τῆς νομίμου παραγγελίας οὐ βλάπτεται εἴ ποτε τοῦτο ποιήσει, εἰ μὴ κατὰ τῆς Ἐκκλησίας ἐστὶν ἡ προσαγγελία ἡ ψευδὴς καὶ συκοφαντική. Τότε γὰρ ἢ ὡς ἀσεβὴς ἢ ὡς συκοφάντης καταγινώσκεται ἐλεγχθείς. Δῆλαι δέ εἰσιν αἱ κανονικαὶ τῶν τοιούτων τιμωρίαι. C

Ἐρώτησις. Εἴ τις ἱερωμένος, παρὰ τὸ προσῆκον ἀμφιέννυται ἔνδυμα, καὶ κοσμικὰ περιβαλλόμενος φωραθῇ, καὶ ῥαβδοφορῶν ἢ καὶ νυκτοπορῶν, πῶς οὗτος κανονικῶς συσταλήσεται;

Ἀπ. Τὸ ἀμφιέννυσθαι ἀκατάλληλα τῷ οἰκείῳ σχήματι, καὶ ῥαβδοφορεῖν, καὶ νυκτοπορεῖν, ὅσον μὲν κατὰ τὸ φαινόμενον, οὐκ ἐπαινετόν ἐστιν. Οὐδὲν γὰρ ἀγαθὸν ὑποβάλλει νοεῖν κατὰ τοῦ οὕτω πράττοντος. Μετὰ παραγγελίαν [a1] γὰρ ὁ τοῦτο ποιῶν, καθαιρεθήσεται πάντως· εἰ μὴ δι' ἀνάγκην τινά, ἢ περίστασιν, ἢ πενίαν, ἢ ἄλλην τινὰ εὔλογον, [a2] ἢ καὶ διὰ τὴν τοῦ τόπου ἀγριότητα, καὶ ἀκαταστασίαν, καὶ βάρβαρον, πρὸς ὠφέλειαν ἑαυτοῦ ἢ ἑτέρου τινὸς, οὐ πρὸς ψυχικὴν βλάβην. Τότε γὰρ συγγνωσθήσεται, D ὡς μὴ ἀρνούμενος τὸ ἐπάγγελμα, μηδὲ καταφρονητικῶς ἔχων πρὸς τὸ σχῆμα, μηδέ τισιν ἑτέροις ἐπιτιθέμενος.

Ἐρώτησις. Εἴ τις ἱερωμένος συμμιγῆ λαὸν διανίστησιν ἢ κατὰ τοῦ οἰκείου ἐπισκόπου, ἢ κατά τινος ἑτέρου ἁπλῶς, καὶ ὀχλοποιεῖ, καὶ ἐκμελετᾷ κατ' αὐτοῦ, τί ὀφείλει οὗτος πείσεσθαι ἀπὸ κανόνος;

Interr. Si quis consecratus[b], aut etiam laicus deprehensus sit incantator aut veneficus, aut etiam triviorum circulator, cui pœnæ succidet?

Resp. Hæc sunt paganicæ consuetudinis, non Christianæ reipublicæ, et minus orthodoxæ Ecclesiæ. Unde qui de his studiis et malis artibus convictus fuerit, si quidem sit clericus; deponitur, et de Ecclesia ejicitur, juxta canonem tricesimum sextum Laodicenæ synodi. Similique modo laicus prorsus ab Ecclesia expellitur. Pœnitentiam autem agentes emendantur per sexennium, aut quinquennium: tribus quidem annis prostrati, et reliquis comprecantes tantum, sine oblatione, juxta vicesimum quartum canonem Ancyranæ. Atque ita ingenue pœnitentes, vel ut antistes ad eorum pœnitentiam animadverterit [c] (habet enim potestatem etiam minuendi temporis), divinam communicationem promerebuntur.

Interr. Si quis sacerdotatus[d] cum præside provinciæ potentatum habere studeat, indeque denuntiaverit quidpiam de aliquibus; et præsidem in eos excitaverit[e], quid secundum canones patietur?

Resp. Sacerdos templo assidere debet, et ecclesiasticis occupari ministeriis, non potentatum simul gerere cum mundanis potestatibus et magistratibus. Ex legitima autem denuntiatione non læditur, si quando id faciat, nisi contra Ecclesiam, fiat falsa et calumniosa delatio. Tunc enim aut ut impius, aut calumniator convictus, damnatur. Certæ autem sunt canonicæ horum pœnæ.

Interr. Si quis sacratus, præter decorum induatur vestem, et mundanis amictus deprehensus sit, et tela ferens[f], noctuque vagans, quonam modo coercebitur?

Resp. Indui non decenti habitu, et telum[g] ferre, noctuque vagari, ut prima specie videtur, laudabile non est. Nam de eo, qui sic agit, boni nihil suspicari licet. Post admonitionem enim[h] qui id facit, deponetur omnino: nisi per necessitatem aliquam, aut infortunium, vel paupertatem, aliamve quam justam causam, aut etiam loci ferocitatem, et instabilitatem, ac barbariem, ad utilitatem suam, vel alterius cujuspiam, non ad animæ damnum. Tunc enim ei venia dabitur, ut qui non sit inficiatus promissum, neque[i] contemptui habeat habitum, neque ullis aliis insidietur.

Interr. Si quis sacratus promiscuum vulgum excitet adversus suum episcopum, vel alium quemlibet simpliciter, et turbas congreget, ac moliatur in eum, quidnam a canone pati debet?

VARIÆ LECTIONES.

[a1] παραγγελίαν γοῦν. [a2] αἰτίαν εὔλογον.

[b] *sacerdos.* [c] *vere acta pœnitentia, vel prout pontifici videtur, habita pœnitentiæ ipsorum ratione.* [d] *in sacerdotio constitutus.* [e] *incitaverit.* [f] *fustes gerens.* [g] *fustem.* [h] *ergo.* [i] *qui professionem suam non neget.*

Resp. Responsum, quod ad primam interrogationem factum est, et ad hanc sufficiet, nec pluribus opus est verbis.

Interr. Si quis sacratus edoctus fuerit, quomodo omnia, quæ sunt secundum canones, facere oporteat, quæ autem præter ecclesiasticam institutionem et traditionem, aversari : et postquam vel nullo modo, vel ad tempus paruerit, rursus aliquando ad suos depravatos mores revertatur, et præter canones ecclesiasticamque traditionem alienis i moribus, et pro sua libidine utatur, cui pœnæ secundum canones subjicietur?

Resp. Quod contra divinos canones ecclesiasticamque traditionem fit, aut emendandum est, aut prorsus condemnandum : et transgredienti pœna a competenti canone definita est.

Interr. Si quis sacerdos donum sacramentorum communicantibus non gratuito largiatur, qua censura emendabitur?

Resp. Si hic post unam vel alteram admonitionem non corrigatur, benigna ratione excommunicabitur. Quod si postea absolutus excommunicatione cœleste donum non venale vendere perseveret, deponetur. Donatio enim Dei, donatio non venalis [k]. Si quis autem ei sponte offerat, in solatium forte paupertatis, vel honoris causa, vel in modum liberalitatis ; accipere, et pro offerente vota facere non prohibetur.

Interr. Si quis sacerdos salem benedicens, aut ovibus et bobus preces fundens inveniatur, eorumque pectuscula et coria recipiens, aut etiam columbas ad mortuorum sepulcra et memorias mactans, cui pœnæ subjicitur? An liceat autem ei et convivari in memoriis, et festis diebus, et nuptiis, cum laicis convivia habentibus ; ad hæc in eo quod interea responsum erit, acquiescam.

Resp. Animalia et oves in ecclesiis offerre, ut mactentur a sacerdotibus, qui velut eorum portiunculam accipiant, veteri more, pectuscula et coria, item columbos ad sepulcra mortuorum sacrificare, Judaicum omnino est, et Græcum[l], et censura correctioneque dignum. Ratione autem carentia dignari sale, et oves ac boves, ad utilitatem assumentium [m], sanitatemque ipsorum, et animalium, nihil habet absurdi : quin potius etiam fidei est illud. Ut animalia etiam sacerdotibus offerantur ab aliis, sive viva, sive mactata, in honorem [n] aliquem et expiationem, præter rationem non est, sed et pietate plenum : modo ne ad altare, vel intra ecclesiam. Ideoque pectuscula et coria allata sacerdos omnino citra repre-

Ἀπ. Ἡ πρὸς τὴν πρώτην σου ἐρώτησιν ἀπόκρισις ἀρκέσει καὶ πρὸς τὴν νῦν, καὶ οὐ χρεία λόγων πολλῶν.

Ἐρώτησις. Εἴ τις ἱερωμένος ἐκδιδαχθῇ τὰ κατὰ κανόνας πάντα ὡς δεῖ διαπράττεσθαι, τὰ δὲ παρὰ τὴν ἐκκλησιαστικὴν κατάστασιν καὶ παράδοσιν ἀποστρέφεσθαι· ὁ δὲ ἢ οὐδαμῶς ἢ πρὸς καιρὸν πεισθείς, πάλιν παρὰ καιρὸν πρὸς τὰ παράλογα αὐτοῦ ἦθη ὑποστρέφει, καὶ παρὰ κανόνας καὶ τὴν ἐκκλησιαστικὴν παράδοσιν ἀλλοκότοις ἔθεσι καὶ τοῖς δοκοῦσιν αὐτῷ χρᾶται· τίνι ἐπιτιμίῳ κανονικῶς ὑπόκειται;

Ἀπ. Τὸ παρὰ τοὺς θείους κανόνας γινόμενον καὶ τὴν ἐκκλησιαστικὴν παράδοσιν, ἢ διορθωτέον ἐστὶν, ἢ τελείως καταγνωστέον· καὶ τῷ παραβαίνοντι ἀπὸ τοῦ προσφόρου κανόνος τὸ ἐπιτίμιον ὥρισται.

Ἐρώτησις. Εἴτις ἱερεὺς μὴ κατὰ δωρεὰν τὴν δωρεὰν τῶν μυστηρίων τοῖς μεταλαμβάνουσι δίδωσιν, ὅπως ἐπιτιμηθήσεται οὗτος;

Ἀπ. Ὁ τοιοῦτος κατὰ φιλάνθρωπον λόγον μετὰ μίαν καὶ δευτέραν παραγγελίαν μένων ἀδιόρθωτος, ἀφορισθήσεται. Εἰ δὲ μετὰ ταῦτα λυθείς τοῦ ἀφορισμοῦ, ἐπιμένων πιπράσκει τὴν ἄπρατον οὐράνιον δωρεὰν, καθαιρεθήσεται. Δωρεὰ γὰρ ἡ τοῦ Θεοῦ δωρεά, οὐχὶ ὤνιον. Ἐκ προαιρέσεως δὲ εἴ τις αὐτῷ προσφέρει εἰς παρηγορίαν τυχὸν τῆς πενίας, ἢ τιμῆς ἕνεκεν, ἢ κατὰ τρόπον φιλοτιμίας τοῦτον [o] λαμβάνειν καὶ ὑπερεύχεσθαι τοῦ προσενεγκόντος, οὐ κεκώλυται.

Ἐρώτησις. Εἴ τις ἱερεὺς ἅλατα εὐλογῶν, ἢ καὶ προβάτοις εὐχὰς διδοὺς καὶ βουσὶν εὐρεθῇ, καὶ τὰ στηθύνια τούτων, καὶ τὰ δέρματα ἀναλαμβανόμενος, ἢ καὶ περιστερὰς ἐν τοῖς τάφοις τῶν τεθνεώτων καὶ τοῖς μνημοσύνοις αὐτῶν σφαγιάζων, τίνι ἐπιτιμίῳ ὑπόκειται; Εἰ ἔξεστι δὲ αὐτῷ καὶ συμποσιάζειν ἐν τοῖς μνημοσύνοις, καὶ ἐν ταῖς ἑορτασίμοις ἡμέραις, καὶ ἐν τοῖς γάμοις, μετὰ τῶν συμποσιαζόντων λαϊκῶν, πρὸς ταῦτα ἐν τῷ τέως ἀποκριθέντι ἔχω καλῶς.

Ἀπ. Τὸ εἰς τὰς ἐκκλησίας προσφέρειν ζῶα καὶ πρόβατα, καὶ σφαγιάζεσθαι παρὰ τῶν ἱερέων, καὶ οἷον ἀφαιρέματα τούτων λαμβάνειν, κατὰ τὸ παλαιὸν, τὰ στηθύνια καὶ τὰ δέρματα, καὶ τὸ περιστερὰς ἐν τοῖς τάφοις τῶν τεθνεώτων θύειν, Ἰουδαϊκὸν ἀντικρύς ἐστι, καὶ Ἑλληνικὸν, καὶ ἄξιον ἐπιτιμήσεως καὶ διορθώσεως. Τὸ δὲ ἅλογα ἁγιοῦν τῶν ἁλῶν, καὶ τὰ πρόβατα καὶ τοὺς βόας, πρὸς ὠφέλειαν τῶν μεταλαμβανόντων, καὶ ὑγείαν αὐτῶν τε καὶ τῶν ζώων, οὐδὲν ἔχει ἄτοπον, ἀλλὰ μᾶλλον καὶ πίστεώς ἐστι τοῦτο. Καὶ τὸ τὰ ζῶα δὲ τοῖς ἱερεῦσι παρὰ τῶν ἄλλων προσφέρεσθαι, εἴτε ζῶντα, εἴτε καὶ ἐσφαγμένα, κατὰ τιμήν τινα καὶ ἀφοσίωσιν, οὐ παράλογόν ἐστιν, ἀλλὰ καὶ εὐσεβές. Πλὴν μὴ εἰς τὸ θυσιαστήριον, ἢ εἰς τὴν ἐκκλησίαν ἐντός. Εἰ δὲ τοῦτο,

VARIÆ LECTIONES.

[o] τοῦτο.

[i] *peregrinis.* [k] *Nam donum hoc Dei, donum est : non res venalis.* [l] *paganum.* [m] *percipientium, salem.* [n] *honoris et devotionis causa.*

πάντως καὶ τὰ στηθύνια καὶ τὰ δέρματα προσαγόμενα, ἀκαταγνώστως λήψεται ὁ ἱερεύς. Ὁ γὰρ προσάγων τὸ ὅλον, οὐ κωλύεται μέρος προσάγειν τῷ ἱερεῖ, καὶ μέρος τὸ πιότατον. Καὶ μή μοι λέγε ὅτι τοῦ Μωσαϊκοῦ νόμου τοῦτό ἐστιν. Οὐ γὰρ τελείως ὁ νόμος ἀνῄρηται, ἀλλ' ἐπὶ τὸ βέλτιον καὶ ὑψηλότερον μετεσκεύασται. Αἱ μὲν γὰρ θυσίαι τῶν ζώων ἐπαύθησαν, πρὸς τὸν τότε συγχωρηθεῖσαι καιρόν· αἱ δὲ πρὸς τοὺς ἱερεῖς προσαγωγαὶ οὐ κωλύονται. Καὶ τὸ Χριστιανικῶς γινόμενον κατά τι ἔθος ἐγχώριον, ἢ καὶ ἐκ φιλοτιμίας ἀγροικικῆς, οὐχ ὡς Ἰουδαϊκῶς γινόμενον λογισθήσεται. Εἰ δὲ καὶ ἐν τοῖς μνημοσύνοις τῶν τεθνεώτων προσάγονται τοῖς ἱερεῦσι περιστεραὶ, ἀντὶ ἀδροτέρων ζώων, παρὰ τῶν πενεστέρων, εἰς ἀποτροφὴν αὐτῷ, οὐ κατὰ λόγον θυσίας, οὐδὲ ὥστε σφαγιασθῆναι ἐπὶ τῶν τάφων· τοῦτο οὐκ ἄν τις κωλύσειε. Χρὴ γὰρ τὸν ἱερέα ἀπὸ τῆς ἱερωσύνης τρέφεσθαι, καὶ τιμᾶσθαι παρὰ τῶν λαϊκῶν, ἄλλως τε πάντως, ὡς ἄν τις δύναιτο, καὶ ταῖς κατὰ δύναμιν προσαγωγαῖς. Εἰ μὴ βοῦν δύναιτο προσφέρειν ὁλόκληρον, μέρος ἂν προσενέγκῃ, ἢ τὸ στηθύνιον, ἢ ἄλλο τι, ἢ δέρμα τυχὸν μόνον. Εἰ δὲ μὴ τοῦτο, περιστερὰν, ἢ ἄλλην ὄρνιν τινά· οὐ μὴν Ἰουδαϊκῶς ἢ Ἑλληνικῶς, ἀλλὰ φιλοθέως καὶ εὐσεβῶς. Ἀλλὰ καὶ τὸ συνδειπνεῖν καὶ συνεσθίειν καὶ συμποσιάζειν τοὺς ἱερεῖς τοῖς λαϊκοῖς ἐν ταῖς ἑορταῖς καὶ ἐν τοῖς γάμοις, εὐλαβῶς, καὶ μετὰ σεμνότητος πρεπούσης αὐτοῖς, εὐλογοῦντας τὸν Θεὸν, ἀκώλυτόν ἐστιν. Εἰ μὴ ἐκ συμβουλῆς [44] ἐστι τὰ συμπόσια, εἰ μὴ δευτερογαμούντων εἶεν οἱ γάμοι, εἰ μὴ παίγνιά τινα ἐν τούτοις εἰσάγονται· τὰ γὰρ ἐκ συμβουλῆς [45] συμπόσια κατὰ τὸν νε' τῆς ἐν Λαοδικείᾳ κανόνα κωλύονται. Καὶ ἐν τῷ δευτέρῳ δὲ γάμῳ ὁ ἱερεὺς οὐ συνεσθίειν ἐπιτρέπεται· ἀλλὰ καὶ ἐν τοῖς πρώτοις γάμοις ἦν ποτε συμποσιάσῃ καὶ εὐφρανθήσεται, ἕως μέλλουσιν εἰσαχθῆναι (κατὰ τὸν νδ' κανόνα τῆς ἐν Λαοδικείᾳ συνόδου) οἱ θυμελικοὶ, καὶ τὰ παίγνια. Ὁ δὲ παρὰ ταῦτα ποιῶν ἀφορίζεται, καὶ ἐπιτιμᾶται κανονικῶς.

hensionem accipiet. Qui enim totum exhibet, non prohibetur partem sacerdoti exhibere, et quidem partem pinguissimam. Ne dixeris hoc esse legis Mosaicæ. Non enim lex prorsus abolita est, et in melius, sed et sublimius transmutata, Sacrificia enim animalium fieri desierunt, ad tempus tunc permissa : at oblationes, quæ sacerdotibus fiunt, non vetantur. Et quod Christiane fit innato [r], quodam more, vel etiam ex rusticana liberalitate, ut Judaice factum non censebitur. Quod si in mortuorum memoriis columbæ animalium grandiorum vice sacerdotibus exhibentur a tenuioribus in eorum alimoniam, non per rationem sacrificii, neque ut ad sepulcra mactentur, hoc nemo prohibuerit. Oportet enim sacerdotem ex sacerdotio ali, et honorari a laicis, et alias omnino [p], prout quis potuerit exhibitionibus [q] secundum facultates factis. Si bovem integrum offerre non possit, partem offerat, vel pectusculum, aut quidpiam aliud, vel corium forte solum; si neque hoc, columbam, aut aliam avem aliquam : non quidem Judaice aut Græce [r], sed pie ac religiose. Enimvero etiam sacerdotes simul cum laicis cœnam et cibum sumere, ac convivari in festis, et nuptiis, modeste, et cum decenti gravitate, Deo gratias agentes, non prohibentur. Nisi collatitia sint convivia, aut secundæ nuptiæ [s] aut aliqua in his ludicra inducantur : nam quæ ex collatione [t] fiunt convivia, prohibentur 55 canone Laodicenæ. Et in secundis nuptiis convivari sacerdoti non permittitur ; sed si quando in primis nuptiis convivetur, festivitati intererit, donec thymelici, juxta quinquagesimum quartum canonem Laodicenæ synodi) et ludicra introducantur. Qui præter hæc facit, excommunicatur, et canonicæ subjicitur censuræ.

Ἠρώτησας, εὐλαβέστατε, ὅτι Τρύφων τις, οὕτω καλούμενος, ἐμνηστεύσατο κόρην ἀτελῆ τὴν ἡλικίαν οὖσαν· καὶ μήπω ἱερολογίας γενομένης, μηδὲ συναρείας, ἐτελεύτησεν ἡ κόρη· καὶ ἔλαβεν ὁ Τρύφων ἑτέραν γυναῖκα, καὶ τέτοκε θυγατέρα. Καὶ ἡ θυγάτηρ αὕτη τοῦ Τρύφωνος συζεύγνυται τῷ πρωτεξαδέλφῳ τῆς κόρης ἐκείνης, ἥτις προμνηστευθεῖσα τῷ Τρύφωνι, ἐν ἀτελεῖ τῇ ἡλικίᾳ τετελεύτηκε· καὶ ἐζήτησας μαθεῖν, εἰ κωλύεται τὸ τοιοῦτον συνάλλαγμα. Καὶ ἰδοὺ γράφομέν σοι, ὅτι ἐὰν ἀτελὴς ἦν ἐκείνη ἡ μνηστὴ, καὶ οὕπω δεκτὴ γάμου, παράνομος ἦν ἡ μνηστεία, καὶ ἀντ' οὐδενὸς λογισθήσεται· καὶ οὐκέτι κώλυμα οὐδὲν εἰς τὸ τοιοῦτον συνάλλαγμα· καὶ ἡ θυγάτηρ τοῦ Τρύφωνος ἀκωλύτως λαμβάνει τὸν πρῶτον ἐκείνης ἐξάδελφον.

Interrogasti, religiosissime, de Tryphone quodam qui sic vocabatur, eum scilicet despondisse sibi imperfectæ ætatis puellam, eamque nondum secuta benedictione vel copula discessisse, et Tryphonem aliam duxisse uxorem, quæ peperit filiam. Ipsam Tryphonis filiam conjungi cum puellæ illius consobrino, quæ prius Tryphoni desponsata in imperfecta ætate obiit. Quæsiisti discere, an vetitus sit talis contractus. Et rescribimus : si sponsa illa non fuit viri potens, necdum nuptiarum capax, injusta esse sponsalia [t] et pro nullis haberi, nullumque obstare ei contractui impedimentum, quin Tryphonis filia licite nubat illius consobrino.

VARIÆ LECTIONES.

[44] συμβολῆς. [45] συμβολῆς.

[p] *provinciali.* [p] *cum aliis omnino rebus.* [q] *tum oblationibus.* [r] *pagano more.* [s] *secundo nubentium.* [t] *ex collecta.* [t] *illegitima fuisse sponsalia.*

JOANNIS ZONARÆ,

Magni quondam drungarii viglæ, et primi a secretis, Oratio ad eos, qui naturalem seminis fluxum immunditiem existimant.

Noli justus esse multum [a], neque regula ipsa rectior. Hæ sunt sententiæ præstantioris et nostræ sapientiæ. Quod si extraneorum quidpiam eis assuendum sit (nec enim quæ illorum sunt, omnia rejicienda) : Ne quid nimis. Quorsum autem hoc mihi præludium est, quamprimum dicetur. Multi enim eorum, qui exactiorem monachicam disciplinam sectari videntur, et veluti ad spiritalius inclinant, ut immunditiem aliquam, naturalem seminis fluxum arbitrantur : non solum quando cum imaginatione aliqua contigerit, sed et si absque imaginatione. Atque adeo pollutum existimant eum, qui id passus est ; ut non eum modo arceant a sanctificationum [y] participatione, sed jam aliqui attingere ipsum divinam [x] imaginem prohibeant [y]. Ita immunditiem judicant, naturalem seminis excretionem. Disputandum vero cum his, demonstrandumque, hunc affectum neque semper inculpatum esse, neque indistincte, qui eum passus est, puniendum. Illud enim exhortatio [z] ad libidinem : reliquum autem, viæ præparatio ad desperationem. Si enim qui non sua sponte necessitati naturæ subjectus, et sine perturbata [a] affectione passus excrementi egestionem, immundus judicatur, et ex sententia exactiorum doctorum repellitur a sanctificatione : quomodo propriam non desperaverit salutem, qui libidinis impetu in simile vitium inciderit, vel sponte in commistionem collapsus fuerit ? Si igitur, boni viri, ex canonum ignorantia, hæc vobis constituta et disposita sunt : docere, et ratiocinia [b] accipere, et peccatoribus irrogare pœnas, vobis non convenit : quemadmodum nec medicari, artis medicæ imperito. Quod si scientes, ubi canones genitale profluvium puniunt, et ubi non puniunt, eos tamen velut Platonicas leges, sinitis negligi, a vobis autem ipsis pœnas irrogatis iis, qui vobis subjecti sunt, et legislatoribus contraria sancitis, divinisque et sacris Patribus adversantia facitis : non modo animarum curationis privatio vobis irrogabitur, verum etiam canonicis pœnis subjiciendos esse vos decernetur, juxta sacras de his constitutiones. Nec enim quidquam iis addendum est, juxta divinam Scripturam, et ab iis demendum nihil. Magnus autem Paulus anathemate etiam condemnat eum, qui præter id, quod accepimus, evangelizaverit quidpiam, etiam si angelus esset. Vos autem, quamvis ad virtutis videamini pervenisse fastigium, longe ab angelica dignitate distatis. Quod si angelos aliud quidpiam inducentes præter ea, quæ tradita fuere, anathemati subjecit divinus Apostolus, nihil equidem ominosum dicam : vos

ΙΩΑΝΝΟΥ ΤΟΥ ΖΩΝΑΡΑ,

Τοῦ γεγονότος μεγάλου δρουγγαρίου τῆς βίγλας, καὶ πρωτοασηκρῆτις, Λόγος πρὸς τοὺς τὴν φυσικὴν τῆς γονῆς ἐκροὴν μίασμα ἡγουμένους.

Μὴ γίνου δίκαιος πολύ, μηδὲ γίνου τοῦ κανόνος εὐθύτερος. Γνῶμαι ταῦτα τῆς εὐγενεστέρας σοφίας καὶ ἡμετέρας εἰσίν. Εἰ δὲ δεῖ παρενεῖραι τούτοις τι καὶ τῶν ἔξωθεν (οὐδὲ γὰρ πάντα τὰ ἐκείνων ἀπόβλητα), Μηδὲν ἄγαν. Ἐφ' ᾧ δέ μοι ταῦτα προανακέκρουσται, αὐτίκα δὴ μάλα ῥηθήσεται. Πολλοὶ τῶν ἀκριβέστερον τάχα μετιέναι δοκούντων τὴν μοναχικὴν πολιτείαν, καὶ ῥεπόντων οἷον πρὸς τὸ πνευματικώτερον, ὡς μίασμά τι τὴν φυσικὴν τῆς γονῆς νομίζουσιν ἐκροήν. Καὶ οὐ μόνον ὅτε μετά τινος φαντασίας συμβῇ, ἀλλ' ὀπηνίκα καὶ φαντασίας χωρίς· καὶ τοσοῦτον αὐτοῖς ὁ τοῦτο παθὼν μεμιάνθαι νενόμισται, ὡς μὴ μόνον τῆς τῶν ἁγιασμάτων εἴργειν αὐτὸν μεταλήψεως, ἀλλ' ἤδη τινὲς καὶ προσψαύειν αὐτὸν εἰκόνος θείας ἀπείργουσι. Οὕτω κέκριται τούτοις ἀκαθαρσία ἡ φυσικὴ τοῦ σπέρματος ἔκκρισις. Διαλεκτέον δὴ τούτοις, καὶ δεικτέον, ὡς οὔτ' ἀεὶ τὸ πάθος ἀνέγκλητον, οὔτ' ἀδιαφόρως ὁ τοῦτο παθὼν, ὑπὸ ἐπιτίμησιν. Τὸ μὲν γὰρ, εἰς ἐμπάθειαν προτροπή· τὸ δέ γε λοιπὸν, προοδοποίησις ἀπογνώσεως. Εἰ γὰρ ὁ ἀπροαιρέτως ἀνάγκῃ δουλεύσας τῆς φύσεως, καὶ διαθέσεως χωρὶς ἐμπαθοῦς ὑποστὰς περιττώματος ἔκκρισιν, ἀκάθαρτος κέκριται, καὶ τῆς ἁγιστείας, κατὰ τοὺς δοκοῦντας ἀκριβεῖς ἐκβέβληται τῶν καθηγητῶν, ὁ περιπεσὼν ἐξ ἐμπαθείας ὁμοίῳ παθήματι, ἢ καὶ γνώμῃ πρὸς μῖξιν κατολισθήσας, πῶς οὐκ ἂν ἀπογνοίη τὴν σωτηρίαν τὴν ἑαυτοῦ ; Εἰ μὲν οὖν, βέλτιστοι, τῶν κανόνων ἀγνοίᾳ ταῦθ' ὑμῖν νενομοθέτηταί τε καὶ φκονόμηται, τὸ καθηγεῖσθαι, καὶ δέχεσθαι λογισμοὺς, καὶ τοῖς σφαλλομένοις ἐπιτιμᾶν, ὑμῖν οὐκ ἐπέοικεν· ὥσπερ οὐδ' ἰατρεύειν, τῷ τῆς ἰατρικῆς τέχνης ἀνεπιστήμονι. Εἰ δὲ τοὺς κανόνας εἰδότες, καὶ ὅπῃ τούτοις ἡ τῆς γονῆς κεκόλασται ἔκκρισις, καὶ ὅπῃ ἀνεπιτίμητος· ὑμεῖς τοὺς μὲν ἀργεῖν ἐᾶτε, κατὰ τοὺς νόμους τοῦ Πλάτωνος, ἀφ' ἑαυτῶν δ' ἐπιτιμᾶτε τοῖς ὑφ' ὑμᾶς, καὶ ἀντινομοθετεῖτε τοῖς νομοθέταις, καὶ τοῖς θείοις Πατράσι καὶ ἱεροῖς ἀντιδιατάττεσθε· οὐ προστασίας ψυχῶν ἔκπτωσις μόνον ὑμῶν καταψηφισθήσεται, ἀλλὰ καὶ κανονικοῖς ἐπιτιμίοις ὑποπεσεῖν ὑμᾶς ἐπιψηφισθήσεται, κατὰ τὰ περὶ τούτων ἱερὰ διατάγματα. Οὐ γὰρ ἔστιν ἐν αὐτοῖς προσθεῖναι, κατὰ τὴν θείαν Γραφὴν, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. Ὁ δὲ μέγας Παῦλος καὶ ἀναθέματι κατακρίνει τὸν ἕτερόν τι παρ' ὅπερ ἐλάβομεν εὐαγγελιζόμενον, κἂν ἄγγελος ᾖ. Ὑμεῖς δὲ, κἂν εἰς τὴν τῆς ἀρετῆς ἀκρώρειαν ἐληλακέναι δοκῆτε, ἀλλὰ πολὺ τῆς ἀξίας τῆς ἀγγελικῆς διεστήκατε. Εἰ δ' ἀγγέλους ἕτερόν τι παρὰ τὰ δεδομένα εἰσάγοντας ἀναθέματι καθυπέβαλεν ὁ θεῖος Ἀπόστολος, ἐγὼ μὲν οὐδὲν φαῦλον ἐρῶ, ὑμεῖς δ' οἶδ' ὅτι συνίετε, κἂν αὐτὸς φείδωμαι. Ὅτι δὲ κανόσιν ἐναντιοῦσθε, ἀδιαφόρως τοὺς ὀνειρασθέν-

VARIÆ LECTIONES.

[a] *nimium.* [y] *sacramentorum.* [x] *sacram.* [y] *usque adeo.* [z] *excitatio.* [a] *sine vitiosa.* [b] *confessiones excipere.*

τας τῶν ἁγιασμάτων ἀπείργοντες (ἐῶ γὰρ λέγειν καὶ τῆς τῶν θείων ἐκτυπωμάτων προσψαύσεως) αὐτῶν τῶν ἱερῶν κανόνων προστιθεμένων, οἱ μὲν εἰδότες αὐτοὺς, βοῦν ἐπὶ γλώττης θέμενοι, τοῦτο δὴ τὸ παροιμιῶδες, σιγήσετε· οἱ δ' ἀγνοοῦντες μαθήσεσθε. Οἱ δὲ κανόνες, τῶν ἐγκεκριμένων Πατέρων, καὶ οὓς σύνοδοι ἐπεκράτυναν, καὶ βασιλεῖς εὐσεβεῖς τάξιν νόμων ἐπέχειν ἐθέσπισαν. Ἥ τε γὰρ οἰκουμενικὴ ἕκτη σύνοδος, ἡ ἐν τῷ Τρούλλῳ τῶν ἀνακτόρων συγκροτηθεῖσα, ἀπαρίθμησιν τῶν κρατεῖν ὀφειλόντων κανόνων ποιησαμένη, καὶ τῶν αὐτοὺς ἐκτεθεικότων θείων καὶ ἱερῶν Πατέρων, μετὰ τῶν ἄλλων καὶ τοὺς περὶ τῆς νῦν ζητουμένης ὑποθέσεως ἐρωτηθέντας καὶ ἀποκριναμένους θεολήπτους ἄνδρας ἀπαριθμεῖ· τὸν μέγαν δηλαδὴ καὶ τὰ θεῖα σοφὸν Ἀθανάσιον, καὶ Διονύσιον, καὶ Τιμόθεον, τῆς ἐν Ἀλεξανδρείᾳ προστατεύσαντας Ἐκκλησίας. Ἥ τε τὸ δεύτερον ἐν Νικαίᾳ συναθροισθεῖσα σύνοδος οἰκουμενικὴ, ἀσπασίως τοὺς θείους κανόνας ἐνστερνίζεσθαι λέγουσα, τοὺς θ' ὑπὸ τῶν θείων σαλπίγγων τοῦ ἁγίου Πνεύματος, τῶν σοφῶν ἀποστόλων συντεθειμένους φημὶ, καὶ τοὺς ὑπὸ τῶν ἐξ ἁγίων καὶ οἰκουμενικῶν συνόδων, πρὸς ταύταις δὲ καὶ τοπικῶν· προστιθεῖσα δὲ καὶ τῶν ἁγίων Πατέρων ἡμῶν (ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ πνεύματος αὐγασθέντες, ὥρισαν [φησὶ] τὰ συμφέροντα), ἐπάγει· Καὶ οὓς μὲν ἀναθέματι παραπέμπουσι, καὶ ἡμεῖς ἀναθεματίζομεν· οὓς δὲ καθαιρέσει, καὶ ἡμεῖς καθαιροῦμεν· καὶ οὓς τῷ ἀφορισμῷ, καὶ ἡμεῖς ἀφορίζομεν· οὓς δὲ ἐπιτιμίοις παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως ὑποβάλλομεν.

Τούτων τοίνυν τῶν ὑπὸ τῶν ἁγίων συνόδων πρὸς τοῖς λοιποῖς ἐγκριθέντων θεολήπτων ἀνδρῶν, ὁ μὲν κλεινὸς Διονύσιος ἐν τῇ πρὸς Βασιλείδην ἐπιστολῇ ταυτὶ διατάττεται. Οἱ ἐν ἀπροαιρέτῳ νυκτερινῇ ῥύσει γενόμενοι, τῷ οἰκείῳ συνειδότι κατακολουθείτωσαν· καὶ ἑαυτοὺς, εἴτε διακρίνονται, εἴτε μὴ, σκοπείτωσαν. Ὡς ὁ ἐπὶ τῶν βρωμάτων, Ὁ διακρινόμενος, φησὶν, ἐὰν φάγῃ, κατακέκριται. Καὶ ἐν τούτοις εὐσυνείδητος ἔστω καὶ ἀπαρρήσιαστος, κατὰ τὸ ἴδιον ἑνθύμιον, πᾶς ὁ προσιὼν τῷ Θεῷ. Ὁ δέ γε θεοφόρος Τιμόθεος πρὸς τὸν ἐρωτήσαντα, εἰ ὁ ὀνειρασθεὶς ὀφείλει κοινωνῆσαι, ἢ οὔ, τοιαύτην ἀπόκρισιν δέδωκεν· Εἰ μὲν ὑπόκειται ἐπιθυμίᾳ γυναικὸς, οὐκ ὀφείλει· εἰ δὲ ὁ Σατανᾶς πειράζει αὐτὸν, ἵνα διὰ τῆς προφάσεως ταύτης ἀλλοτριῶται τῶν θείων μυστηρίων, ὀφείλει κοινωνῆσαι, ἐπεὶ οὐ παύσεται ὁ ἐπηρεάζων, κατ' ἐκεῖνον τὸν καιρὸν, ὅτε ὀφείλει κοινωνῆσαι, ἐπιτιθέμενος αὐτῷ.

Ὁ δὲ μέγας καὶ ἱερὸς Ἀθανάσιος πρὸς Ἀμοῦν ἐπιστέλλων περὶ τούτου μονάζοντα, πολύστιχον ἔθετο τὴν ἐπιστολήν· ἧς ἡμεῖς τῶν καιριωτέρων πρὸς τὴν ὑπόθεσιν νῦν μνησθέντες, παρήσομεν τὰ λοιπά. Φησὶ δ' οὕτω. Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς, τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις κατὰ πάντα μεμόλυνται. Ἄγαμαι δὲ τοῦ διαβόλου τὸ σόφισμα, ὅτιπερ φθορὰ καὶ λύμη ὑπάρχων, λογισμοὺς ὑπο-

A autem, sat scio, intelligitis, licet non exprimam. Quod autem canonibus adversamini, cum imaginatos a sanctificationibus [c] indifferenter arcetis (mitto enim et divinarum effigierum contactum), ipsis sacris canonibus adjectis, qui quidem scitis ipsos, bovem in lingua ponentes, ut est in proverbio, tacebitis: qui autem ignoratis, discetis. Canones autem sunt delectorum [d] Patrum, et quos synodi roborarunt, piique imperatores legum vicem obtinere sanciverunt. Sexta non œcumenica synodus in Trullo palatii coacta, enumerationem faciens canonum, qui obtinere debent, et divinorum sacrorumque Patrum, qui eos ediderunt, cum aliis eos etiam Numine afflatos Patres enumerat, B qui de præsenti quæstione interrogati, responderunt: magnum videlicet, et in divinis sapientem Athanasium, et Dionysium, et Timotheum, qui Alexandrinæ præfuerunt Ecclesiæ. Et secunda Nicæna synodus generalis, libenter divinos canones dicens amplectendos, eos qui a divinis sancti Spiritus buccinis, sapientibus, inquam, apostolis compositi sunt, et qui a sanctis et œcumenicis synodis [e], præterea etiam a provincialibus: addens autem, et a sanctis Patribus nostris (ex uno enim omnes illuminati Spiritu, definierunt, inquit, conducibilia), subdit: Et quos anathemati quidem transmittunt, nos quoque anathematizamus: quos vero depositioni, nos quoque deponimus: quos autem segregationi, nos itidem segregamus: quos autem pœnæ tradunt, C nos quoque similiter subjicimus.

Cum igitur hi numine afflati viri a sanctis synodis simul cum reliquis approbati sint, celebris quidem Dionysius in sua ad Basilidem epistola hæc constituit. Qui in non voluntario nocturno fluxu fuere, propriam subsequantur conscientiam: et seipsos sive discernant [f], sive non, intueantur. Ut is, qui de cibis, Discernens [g] (inquit) si comederit, condemnatus est. Et in his bona præditus conscientia, nec obtrectator in propria cogitatione esto, omnis qui Deum accedit. Divino autem numine inspiratus Timotheus ad eum, qui quæsierat, an qui libidinosis stimulatus est somniis deberet communicare, necne, tale responsum dedit: Si quidem mulieris desiderio subjectus est, non debet. D Quod si Satanas eum tentat, ne hac occasione a divinis alienetur sacramentis, debet communicare: quoniam calumniator non desinet illi struere insidias, quo tempore communicandum ei est.

Magnus autem et sacer Athanasius ad Amum monachum de hoc scribens, longam fecit epistolam, cujus nos commemorantes ea, quæ ad rem pertinent, reliqua prætermittemus. Sic autem ait: Omnia quidem munda mundis: immundorum autem et conscientia per omnia polluta est. Miror autem imposturam diaboli, quia cum corruptio sit et pernicies, cogitationes tamen suggerit, ut vide-

VARIÆ LECTIONES.

[c] *sacramentis.* [d] *receptorum.* [e] *et universalibus sex syn.* [f] *an ambigant, necne.* [g] *Ambigens.*

tur, munditiei. Id vero quod fit, insidiæ magis sunt, quam examinatio. Ut enim athletas avocet a consueta et salutari exercitatione, et vincere videatur, pariter talia quædam excitat bombycia. Quid enim, dic, amice, peccati habet, aut immunditiei, naturalis aliqua excretio? perinde ac si quis vellet in crimen verti mucum per nares emissum, et oris sputum, hoc amplius, ventris excrementa. Quod si Dei manuum opus esse credimus hominem, juxta divinas Scripturas, quomodo potuit a munda potentia opus aliquod inquinatum fieri? Et si Dei progenies sumus, secundum divina apostolorum Acta, nihil habemus in nobis ipsis immundum. Tunc enim solum polluimur, quando impiissimum committimus peccatum. Quando autem naturalis aliqua præter voluntatem fit excretio, tunc naturæ necessitate cum aliis et id patimur. Et post alia : Dixerit autem quis probabiliter : Naturalis ulla excretio non subdit nos supplicio. Et fortasse medicorum filii pro his causam dicent, quod animali datæ sint necessariæ quædam viæ, per quas membrorum, quæ in unoquoque nostrum coalescunt, superflua mittantur, ut capitis excrementa, pili, et quæ e capite mittuntur aquosa, et alvi dejectiones : igitur et meatuum seminalium illa superfluitas. Quod ergo est adversus Deum peccatum, cum Dominus ipse animal finxerit, fecerituque hæc membra tales habere decursus?

Sed hæc prædictorum Patrum sunt instituta. Quid autem vos, summæ puritatis exacti (ut arbitramini) custodes, qui etiam imaginatione libidinosa carentem fluxum punitis, et naturalem spermatis excretionem, impuritatem existimatis? eosque qui id patiuntur, nullo animi præcedente motu, a sanctificationibus repellitis [e*]? et interim non erubescitis magno Athanasio contraria statuentes (in præsenti enim cæteros prætereo), iisque, quæ ille scripsit, contraria facientes? Cujus sermones et magni Patres, quique ad summum externa sapientiæ, et divinæ atque nostræ, provecti sunt : orbis terrarum luminaria et doctores, in quibus nostra stabilita est fides, pro definitionibus et sententiis acceperunt. O vecordiam vestram vel stoliditatem, et, ut verius dicam [h], imperitiam! Neque intelligitis, meo quidem judicio [i], vos judaizare, et Veteris Testamenti renovare instituta, quæ Servator noster homo factus inania reddidit? Illius enim jus est, seminifluos immundos censeri. Vos autem, ut opinor, eum, qui cum uxore sua concubuerit, postquam surrexerit e lecto, judicabitis immundum : nec ad orationem admittetis, sed etiam ei valvas templi obstruetis. Nec cogitatis

βάλλει, τῷ δοκεῖν, καθαρότητος. Ἔστι δὲ τὸ γινόμενον ἐνέδρα μᾶλλον ἢ δοκιμασία. Ἵνα γὰρ ἀπασχολήσῃ τοὺς ἀσκητὰς τῆς ἐθίμου καὶ σωτηριώδους μελέτης, καὶ δόξῃ κρατεῖν, κατὰ τοῦτο τοιαῦτά τινα κινεῖ βομβύκια. Τί γὰρ (εἰπέ μοι, ἀγαπητὲ) ἔχει ἁμάρτημα ἢ ἀκάθαρτον φυσική τις ἔκκρισις; Ὡς εἴ τις ἐθέλει ποιεῖσθαι ἔγκλημα καὶ τὰς διὰ ῥινῶν ἐκπεμπομένας μύξας, καὶ τὰ διὰ στόματος πτύσματα, ἔτι δὲ καὶ τὰς διὰ γαστρὸς ἐκκρίσεις. Εἰ δὲ καὶ τῶν τοῦ Θεοῦ χειρῶν ἔργον εἶναι πιστεύομεν τὸν ἄνθρωπον, κατὰ τὰς θείας Γραφάς, πῶς ἠδύνατο ἐκ καθαρᾶς δυνάμεως ἔργον τι γενέσθαι μεμολυσμένον; Καὶ εἰ γένος τοῦ Θεοῦ ὑπάρχομεν, κατὰ τὰς θείας τῶν ἀποστόλων Πράξεις, οὐδὲν ἔχομεν ἐν ἑαυτοῖς ἀκάθαρτον. Τότε γὰρ μόνον μεμολύσμεθα, ὅτε τὴν ἀσεβεστάτην ἁμαρτίαν ἐργαζόμεθα. Ὅταν δὲ φυσική τις ἀδουλήτως ἔκκρισις γίνεται, τότε τῇ τῆς φύσεως ἀνάγκῃ μετὰ τῶν ἄλλων καὶ τοῦτο ὑπομένομεν. Καὶ μετά τινα· Φαίη δ' ἄν τις εὐλόγως. Φυσική τις ἔκκρισις ἡμᾶς οὐ παρίστησι πρὸς τιμωρίαν. Τάχα δὲ καὶ ἰατρῶν παῖδες ὑπὲρ τούτων ἀπολογήσονται, ὅτι τῷ ζώῳ δέδονταί τινες ἀναγκαῖαι διέξοδοι, πρὸς τὸ περιττὸν τῶν ἐν ἑκάστῳ τῶν ἐν ἡμῖν τρεφομένων μελῶν ἀποπέμπειν· οἷον, κεφαλῆς περιττώματα, τρίχες, καὶ τὰ ἀπὸ κεφαλῆς ὑδατώδη πεμπόμενα, καὶ γαστρὸς διαχωρήματα. Καὶ τοίνυν τῶν σπερματικῶν πόρων ἐκεῖνο περίπτωμα. Ποία τοίνυν ἐστὶ πρὸς Θεὸν ἁμαρτία, αὐτοῦ τοῦ πλάσαντος τὸ ζῶον Δεσπότου, ποιήσαντος ταῦτα τὰ μέλη τοιαύτας ἔχειν διεξόδους;

Ἀλλὰ ταῦτα μὲν τὰ τῶν ῥηθέντων Πατέρων θεσμοθετήματα. Τί δ' ὑμεῖς, οἱ τῆς ἀκραιφνοῦς καθαρότητος ἀκριβεῖς (ὡς οἴεσθε) φύλακες, οἱ καὶ τὴν ἀφάνταστον ῥύσιν κολάζοντες, καὶ τὴν φυσικὴν τοῦ σπέρματος ἔκκρισιν ἀκαθαρσίαν νομίζοντες, καὶ τοὺς τοῦτο πάσχοντας, μὴ προϋποκειμένης ἐμπαθείας τινός, τῶν ἁγιασμάτων ἀπάγοντες; Εἶτα οὐκ ἐγκαλύπτεσθε τῷ μεγάλῳ Ἀθανασίῳ ἀντιδιατατόμενοι (ἐῶ γὰρ κατά γε τὸ παρὸν τοὺς λοιποὺς), καὶ οἷς ἐκεῖνος ἔγραψεν ἀντιπράττοντες; Οὗ τοὺς λόγους καὶ οἱ μεγάλοι Πατέρες καὶ εἰς ἄκρον ἐλληλακότες τῆς τε θύραθεν σοφίας, καὶ τῆς θείας καὶ ἡμετέρας, οἱ τῆς οἰκουμένης φωστῆρές τε καὶ διδάσκαλοι, ὑφ' ὧν ἡ καθ' ἡμᾶς ἐστήρικται πίστις, ὡς ὅρους καὶ ἀξιώματα ἤγηνται. Ὦ τῆς ὑμῶν ἀπονοίας, ἢ τῆς ἀβελτηρίας, καὶ ἀμαθίας, εἰπεῖν οἰκειότερον! Οὐδὲ συνίετε κατά γε τὴν γνώμην ταύτην ἰουδαΐζοντες, καὶ τὰς τῆς Παλαιᾶς Διαθήκης ἀνανεοῦντες διαταγάς, ἅσπερ ὁ Σωτὴρ ἐνανθρωπήσας κατήργηκεν; Ἐκείνης γὰρ, τοὺς γονορρυεῖς ἀκαθάρτους νομίζεσθαι νόμιμον· ὑμεῖς δ' οἶμαι καὶ τὸν συνευνασθέντα τῇ ἑαυτοῦ γαμετῇ, τῆς κοίτης ἐξανιστάμενον, κρινεῖτε ἀκάθαρτον, καὶ εἰς προσευχὴν οὐ προσήσεσθε. Ἀλλὰ καὶ τὰς τοῦ ναοῦ θύρας τούτῳ

VARIÆ LECTIONES.

[e*] *a sacramentis.* [h] *vel insulsitatem et imperitiam, ut verius dicam.* [i] *in hac quidem sententia.*

ἐπιζυγώσετε. Οὐδ' ὅτι τίμιος ὁ γάμος εἴρηται, λογιεῖσθε, καὶ ἡ κοίτη ἀμίαντος· ἀλλ' ὅτι κάνταῦθα σπέρματος ἐκροὴ, καὶ μᾶλλον σὺν ἡδονῇ, καταδικάσετε τὸν ἀναίτιον· καὶ τὸν νεκροῦ προσαψάμενον οὐκ ὀκνήσετε μεμιασμένον ἡγήσασθαι· καὶ οὗ ἐν τῷ σώματι λέπρα ἐξήνθησε, τῆς πόλεως ἐξωθήσετε. Ἀλλ' ὃς μὲν, ὦ οὗτοι, κατὰ τοὺς ὕπνους ἀποκρίνει γονὴν, ὑμῖν οὐχ ἥγηται καθαρός· τί δὲ περὶ ἐγρηγορότων, καὶ ῥύσιν ὑφισταμένων αὐτῆς, ὑμῖν δέδοκταί τε καὶ διατέτακται; Πολλοῖς γὰρ τοῦτο τὸ πάθος ἐπισυμβαῖνόν ἐστιν, ἢ τοῖς οὔροις ἐφεπομένου τοῦ σπέρματος, ἢ μόνου καὶ αὐτομάτως ἐκρέοντος. Εἰ μὲν καὶ τούτους τῶν καθαρῶν ἀπροκρίνετε, Ἰουδαΐζετε προφανῶς. Οὗτοι γὰρ οὓς γονορρυεῖς ὠνόμασεν ὁ Μωσῆς, καὶ ἀκαθάρτους νομίζεσθαι διετάξατο [46]. Εἰ δὲ τούτους προσίεσθε, καὶ οὐ μιαίνειν αὐτοὺς τὴν ἔκκρισιν οἴεσθε, τίς ὁ λόγος, δι' ὃν τοῖς μὲν ἀφάνταστον παθοῦσι ῥύσιν γονῆς καθ' ὕπνους, ἀπείργετε τὴν τῶν ἁγιασμάτων μετάληψιν, τοῖς δ' ἐν ἐγρηγόρσει τοῦτο παθοῦσιν, ἔστε τὸ πάθος ἀνεπιτίμητον; Καὶ ἄμφω γὰρ ἐκκρίσεις εἰσὶ φυσικαὶ, καὶ ἄμφω ἀπροαιρέτως συμβαίνουσαι. Ἀλλ' εἰ ταῦτα φήσειεν ἄν τις τῶν ἀνθρωπηθέντων περὶ τῶν ἀφαντάστως ῥύσει περιπεσόντων γονῆς, τί δ' ἂν εἴποις περὶ τῶν ὀνειρασθέντων καὶ φαντασθέντων ἀφὴν γυναικὸς, ἢ ἕτερόν τι διεγεῖρον τὴν πύρωσιν τῆς σαρκὸς, καὶ μέχρις ἐκροῆς πεφθακότων τοῦ σπέρματος; Οὐ πάντως οὗτοί σοι μεμιάνθαι κριθήσονται; Εἰ μὲν ὁ τοῦτο παθὼν, ὦ ἀντίθετε, προϋποκειμένην εἶχεν ἐμπάθειαν, κἀν τοῖς λογισμοῖς ἐπιθυμίαν ἔτρεφε γυναικὸς, καὶ ταύτην ἔστρεφεν ἐπὶ νοῦν, καὶ οὕτως ἡ φαντασία καθ' ὕπνους ἐπηκολούθησεν, οὐδ' αὐτὸς κρινῶ τὸν τοιοῦτον ἀναίτιον. Αὐτὸς γὰρ ἑαυτῷ τοῦ πάθους ἐστὶν αἰτιώτατος, καὶ μεμόλυνται οὐ τὸ σῶμα, διὰ τὴν ἔκκρισιν τὴν σπερματικὴν (οὐ γὰρ ἀκαθαρσία τοῦτό γε περίττωμα), ἀλλὰ τὸν λογισμὸν, διὰ τὴν συγκατάθεσιν τῆς ἐπιθυμίας τῆς σαρκικῆς. Εἰ δὲ τοιοῦτον οὐδὲν τῷ τὴν γονὴν ἀποκρίναντι προϋπέκειτο, οὔτε μὴν τὸν λογισμὸν εἶχεν ἐμπαθείᾳ τοιαύτῃ ἐγκείμενον, αὐτομάτως δ' ἡ φαντασία ἐπῆλθε, καὶ ἡ τῆς γονῆς ἐκροὴ ἢ καὶ ἐξ ἐπηρείας σατανικῆς ἐπενήνεκται, κατὰ τοὺς θείους Πατέρας, τοῦ δυσμενοῦς τοῖς ἀσκηταῖς ἐνεδρεύοντος· οὐ μιμήσομαί σου τὴν ἀνευλαβῆ περὶ ταῦτα εὐλάβειαν. Ἡ μὲν γὰρ σὰρξ οὐ μεμίανται τῇ ἐκκρίσει τοῦ σπέρματος. Πᾶν γὰρ κτίσμα Θεοῦ καλὸν, καὶ Χριστῷ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις, κατὰ τὸν μέγαν Ἀπόστολον. Εἰ δὲ καὶ ὁ λογισμὸς τοῦ ὀνειρασθέντος, ἐμπαθείας ἐκτὸς, κἀκεῖνος ἀμίαντος. Τί τοίνυν τὸ τὸν ἄνθρωπον ἀπεῖρξον τῆς εἰς τὰ ἅγια προσελεύσεως; Εἰ μήτε ὁ λογισμὸς ἐξ ἐμπαθοῦς ἐπιθυμίας, μήτε ἡ σὰρξ ῥαντισθεῖσα τῷ ἐκκριθέντι σπέρματι κέχραντται. Σύ μοι δοκεῖς, εἰ ὁ τὴν ῥύσιν παθὼν οὗτος

A dictum, nuptias esse honorandas, et lectum sine macula: sed quia et illic seminis fluxus, majori cum voluptate [1] condemnabitis insontem; et eum, qui cadaver attigerit, non verebimini dicere pollutum. Et cujus in corpore lepra efloruit, e civitate expelletis. Verum agite, qui in somnis excernit genitale semen, eum non creditis mundum? Quid vero de iis videtur, et constitutum est, qui exsuscitati ejusdem fluxum patiuntur? hoc enim vitio multi laborant, vel cum urinam sequitur sperma, vel cum solum sponteque fluit. Nam si hos a mundis separatis, manifesto Judæos imitamini: ii enim quos seminifluos nominavit Moses, et immundos existimari constituunt. Quod si hos admittitis, nec pollui per excretionem putatis; B qua ratione eos, qui seminis fluxum absque libidinoso spectro passi sunt in somnis, arcetis a sanctificationum perceptione: vigilantes autem [k], qui eodem sunt affecti vitio, extra pœnam esse sinitis? Etenim utraque excretio est naturalis, et utraque præter voluntatem accidit. Quod si hominum quispiam hæc de iis dixerit, qui absque somnio libidinoso in seminis fluxum inciderunt: quid de iis dixeris, qui in somniis tactionem mulieris imaginati sunt, aut aliud quidpiam, suscitans carnis inflammationem, vel ad spermatis fluxum usque pervenerunt? Num tibi prorsus hi polluti esse censebuntur? Siquidem is, qui hoc passus est, adversarie, præcedentem habuit affec- C tionem libidinis et cogitationibus aluit mulieris concupiscentiam, eamque animo versavit, atque ita imaginatio in somnio subsecuta est, nec ipse hunc innocentem judicavero. Sibi enim ipse præcipuus est auctor mali, et inquinatus est, non corpore, propter seminalem excretionem (non enim immundities est hujusmodi excrementum), sed cogitatione, propter carnalis desiderii assensionem. Quod si in eo, qui genitalem fluxum passus est, nihil tale præcessit, neque cogitationem hujusmodi deditam affectioni habuit; sed imaginatio ultro incessit, et seminis fluxio, vel etiam ex improperio satanico [l] illata est, secundum divos Patres, inimico athletis insidiante: non imitabor in his tuam irreligiosam religionem. Caro enim polluta non est D excretione seminis. Bona enim omnis Dei creatura, et Christo bonus odor sumus in iis, qui servantur, juxta magnum Apostolum. Quod si etiam cogitatio imaginati somnium libidinosum, extra concupiscentiam fuit, erit et ille impollutus. Quid igitur hominem a sanctorum [m] aditu arcebit, si nec cogitatio libidinoso desiderio, nec caro excreto semine aspersa, inquinata est? Videris mihi si fluxum hic passus, in imaginatione fuit [n] lecti mulieris viro conjunctæ, etiam adulterii eum

VARIÆ LECTIONES.

[46] διετάξαντο.

[1] *qui quidem majore fit voluptate.* [k] *qui vigilantes.* [l] *ex tentatione satanica.* [m] *a sacrarum rerum.* [n] *concubitus cum muliere viro conjuncta.*

damnare, et velut adultero homini pœnam irrogare: et in eum, qui in somnis sibi visus occidisse quempiam, homicidii sententiam ferre, et homicidarum pœnis subjicere, vel etiam magistratui tradere puniendum. Et rursum, conversa sententia, eum, qui in somniis pro pietate certavit, connumerare martyribus: et qui in somnis congressum impudicum effugit, coronare ut continentem. Quod si hæc decus non merentur, nec illa dedecus. Aut enim altera pars injuria afficiatur, si et optimum apparens et pessimum, non ut somnium reputetur, et ut phantasma contemnatur: aut similiter etiam alterum quidem ut bonum honoretur, alterum autem puniatur ut malum, licet utrobique somnium fuerit.

Non inelegans autem, ex historia etiam afferre sermoni momentum aliquod. Historia hæc est: Quidam insano amore libidinosam deperibat mulierem. Mulieris nomen erat Thonis, quæ amatorem non facile admittebat. Hic autem amplam ei mercedem se daturum promisit: ea autem dationem contemnebat. Ille vero amore incensus, munus augebat: illa rursus mercedem deprimens [o], nihilominus aspernabatur. Cum in his tereretur tempus, amator sibi visus est in somniis congredi cum muliere, indeque amoris flamma exstincta est. Illa cum id resciviſset, promissam petebat mercedem. Quam cum alter non daret, magistratum adiit. Bocchoris nominabatur, qui genti illi præerat. Qui prius deperibat, mercedem negabat se debere, quia congressum amasia tunc recusasset. At in somniis (inquit) visus mecum congredi, amore desiisti: idque factum est, quod ex vero complexum eventurum fuisset: ideoque es mercedis debitor. Litis autem arbiter mulieri promissam mercedis nomine auri quantitatem in medium afferri petiit. Cumque allata esset, crumenam, qua continebatur, huc et illuc agitari in conspectu radii solaris jussit; et ut umbram mulier caperet, sapienter pronuntiavit; quippe cum amator nihil amplius umbra per somniorum imaginationem percepisset. Umbra enim procul dubio veritatis est phantasma. Et neque si quid boni sic visus sit fecisse, laudabitur homo; neque si mali quidpiam, condemnabitur. Non nosti carnem concupiscere adversus spiritum, spiritum autem adversus carnem? ut ad Galatas scribens ait magnus Apostolus. Spiritum quidem, spiritalem bonorum cogitationes [p], quæ spiritalia imaginatur, et divinis occupata est: Carnem autem, carnalem et materialem, et in iis versantem quæ quidem et sibi invicem opponuntur. Nam carnales cogitationes, carne innatam habente inflammationem, absurdas cupiditates inducunt. Spiritalis autem considera-

A ἐν φαντασίᾳ γέγονεν εὐνῆς γυναικὸς συνεζευγμένης ἀνδρὶ, καὶ μοιχείαν αὐτοῦ καταψηφιεῖσθαι, καὶ ὡς μοιχῷ τῷ ἀνθρώπῳ ἐπιτιμῆσαι, καὶ τὸν ἐν ὕπνοις δόξαντα πεφονευκέναι τινὰ, φόνου κρίνειν, καὶ φονικοῖς ἐπιτιμίοις ὑποβαλεῖν, ἢ καὶ τῇ ἀρχῇ παραδοῦναι πρὸς κόλασιν. Καὶ γνώμης αὖθις ἐξ ἀντιῤῥόπου, τὸν ἐν ὀνείροις ὑπὲρ εὐσεβείας ἀθλήσαντα, συγκαταλέξαι τοῖς μάρτυσι· καὶ τὴν ἐν ὕπνοις ὁμιλίαν ἀκόλαστον ἐξαλύξαντα, στεφανῶσαι ὡς σώφρονα. Εἰ δὲ μὴ ταῦτα τῶν τιμωμένων, οὐδ' ἐκεῖνα τῶν ἐπιτιμωμένων. Ἡ γὰρ ἂν ἀδικοῖτο μερὶς θατέρα, εἰ καὶ μὴ τὸ βέλτιστον δοκοῦν καὶ τὸ χείριστον, ὡς ὄναρ λογίζοιτο, καὶ καταῤῥονοῖτο ὡς φάντασμα· ἢ καὶ ὁμοίως τὸ μὲν ὡς καλὸν τιμῷτο, τὸ δ' ὡς φαῦλον κολάζοιτο· κἂν ὄναρ ἡ
B ἑκατέρωθεν.

Οὐκ ἄχαρι δὲ καὶ τὸ ἐξ ἱστορίας δοῦναι τῷ λόγῳ ῥοπήν τινα. Ἡ δ' ἱστορία· Ἐρωτά τις ἦρα περιμανῆ γυναικὸς ἀκολάστου τινός· Θῶνις ἐκέκλητο ἡ γυνή· ἣ τὸν ἐραστὴν οὐ ῥᾳστα προσίετο. Ὁ δ' ἐρῶν ἀδρὸν αὐτῇ δώσειν ἐπηγγέλλετο μίσθωμα· ἡ δὲ κατεφρόνει τῆς δόσεως. Καὶ ὃς, φλεγμαίνων τῷ ἔρωτι, τὴν δόσιν ἐπηύξανεν. Ἡ δ' αὖθις βαρύνουσα τοὺς μισθοὺς, καὶ οὕτω περιφρόνει. Ἐν τούτοις τοῦ καιροῦ τριβομένου, ἔδοξεν ὄναρ ὁ ἐραστὴς συγγενέσθαι τῇ ἐρωμένῃ, καὶ ἡ φλὸξ ἐντεῦθεν ἀπέσβη τοῦ ἔρωτος. Ἡ δὲ, τοῦτο γνοῦσα, τὸν ἐπηγγελμένον ἀπῄτει μισθόν· καὶ μὴ λαμβάνουσα, προσῆλθε τῷ ἄρχοντι. Βόκχορις, ὃς τοῦ ἔθνους
C ἐκείνου κατῆρχεν, ὠνόμαστο. Καὶ ὁ πρώην ἐρῶν, μὴ ὀφείλειν ἀπελογεῖτο μισθὸν, ὡς τῆς ἐρωμένης τότε τὴν ὁμιλίαν ἀναινομένης. Ἀλλ' ὄναρ, εἶπε, δόξας μοι συγγενέσθαι, τοῦ ἔρωτος πέπαυσαι· καὶ γέγονεν ὃ κἀκ τῆς καθύπαρ συνουσίας συμβήσεσθαι ἔμελλε· καὶ ὀφειλέτης εἶ τοῦ μισθοῦ. Ὁ δὲ τῆς δίκης διαιτητὴς τὴν ἐπηγγελμένην ὑπὲρ τοῦ μισθοῦ τῇ γυναικὶ τοῦ χρυσίου ποσότητα εἰς μέσον παραχθῆναι ἀπῄτησε. Καὶ παραχθείσης, τὸ ταύτην ἔχον ἔνδον βαλάντιον, ἡλιακῆς ἀκτῖνος ἐναντί τῇδε κἀκεῖσε προσέταξε φέρεσθαι, καὶ τὴν γυναῖκα τῆς σκιᾶς ἐπιλαβέσθαι, σοφῶς ἐψηφίσατο· ὡς τοῦ ἐραστοῦ μηδὲν πλέον σκιᾶς διὰ τῆς ἐν ὀνείροις φαντασίας παραπολαύσαντος. Σκιὰ γὰρ ὡς ἀληθῶς τῆς
D ἀληθείας, τὸ φάντασμα. Καὶ οὔτε χρηστόν τι δόξας οὕτω ποιεῖν, ἐπαινεθήσεται ἄνθρωπος· οὔτε φαῦλον, κατακριθήσεται. Οὐκ οἶσθα ὅτι ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός; Ὡς Γαλάταις ἐπιστέλλων φησὶν ὁ μέγας Ἀπόστολος. Πνεῦμα μὲν τὸν πνευματικὸν καλῶν λογισμὸν, τὸν τὰ πνευματικὰ φανταζόμενον, καὶ τοῖς θείοις ἐνασχολούμενον· σάρκα δὲ, τὸν σαρκικόν τε καὶ ὑλικὸν, καὶ περὶ ταῦτα στρεφόμενον, ἃ καὶ ἀλλήλοις ἀντίκεινται. Οἱ μὲν γὰρ σαρκικοὶ λογισμοὶ, ἔμφυτον ἔχούσης τὴν πύρωσιν τῆς σαρκὸς, ἐπιθυμίας ἀτόπους ἐπάγουσιν· ὁ δέ γε πνευματικὸς

VARIÆ LECTIONES.

[o] *mercedem graviorem poscens, etiam sic hominem aspernabatur.* [p] *spiritalem appellans cogitationem, quæ.*

λογισμὸς, αὐτοκράτωρ ἡμῖν δοθεὶς ἐκ Θεοῦ, τὰ τῆς σαρκὸς ἀνακόπτει ὁρμήματα, ἃ διὰ τῶν ἀντικειμένων λογισμῶν αὐτῇ ἐπεγείρονται, καὶ ὡς ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῆς ἄγχων, τὰ ταύτης ἀτάσθαλα καταστέλλει φρυάγματα. Εἰ γοῦν τῆς σαρκὸς πυρουμένης, ἀγχομένης δὲ ὑπὸ τοῦ λογισμοῦ, καὶ μὴ συγχωρουμένης καταφρυάξασθαι τῆς ψυχῆς, μὴ ἐνδιδόντος αὐτῇ τὸν ῥυτῆρα τοῦ χαλινοῦ, ἀλλ' ὅλαις χερσὶ τὰς ταύτης ὁρμὰς ἀνασειράζοντός τε καὶ ἀναστέλλοντος, ὡς ἵππον ἑτερόγναθον καὶ δυσήνιον· βιαζομένης δὲ οὕτω καὶ γαργαλιζομένης, ἢ καὶ τοῦ πονηροῦ ἐπιτιθεμένου, φαντασθείη καθ' ὕπνους τι ὁ τῆς σαρκὸς τὸν πόλεμον ὑφιστάμενος, ὁποῖον ὁ ἐμπαθὴς ὑπέθετο λογισμὸς, ὃν ὁ πνευματικὸς ἀπώσατο καὶ σωτήριος, καὶ συνεκρυῇ τῇ φαντασίᾳ γονή· τίνα κατάκρισιν ἔξει πρὸς ἀνθρώπου διάκρισιν ἔχοντος; Εἰ μή τις καὶ τὴν προσβολὴν τῶν λογισμῶν αὐτὴν αἰτιάσῃτο. Οἱ δὲ θεῖοι Πατέρες οὐδὲ τὴν πάλην ὑπ' αἰτίασιν τίθενται. Τεσσάρων γὰρ ἐπὶ τῆς ἁμαρτίας λεγομένων συμβαίνειν, προσβολῆς καὶ πάλης φημὶ, συγκαταθέσεώς τε καὶ πράξεως· τὰ μὲν τῶν προηγουμένων ἀμφοῖν, παρὰ τοῖς θεοφόροις Πατράσιν ἀνέγκλητα· ἡ συγκατάθεσις δ' ὑπ' αἰτίασιν, ὡς τὴν κατὰ διάνοιαν ἁμαρτίαν εἰσάγουσα. Ἡ δέ γε πρᾶξις, καὶ ὑπὸ κόλασιν. Ὁ δὲ καὶ ἀμφοτέρας ταύτας τοῦ σωτηρίου λογισμοῦ νικῶντος ἐκπέφευγεν, ὑπὸ κατάκρισιν διά τί; Εἰ μὲν γὰρ τοῦ λογισμοῦ προσβαλόντος, καὶ πρὸς ἀσελγεῖς ἐπιθυμίας κινήσαντος, ὁ πάσχων ἀσμένως ἐδέξατο τὸ ἐνθύμιον, καὶ τὸν νοῦν ἔσχε τούτῳ ἐνδιατρίβοντα, καὶ οἷον ἐνηδυνόμενον, καὶ μελετῶντα τὰ περὶ αὐτοῦ· οὕτω τε τἀνθρώπου διακειμένου, ἡ φαντασία νυκτὸς ἐπελήλυθεν, οὐκ ἀνέγκλητος· κἂν ἕως καὶ τὴν ἔκκρισιν τῆς γονῆς διαπέφευγεν. Ὁ γὰρ λογισμὸς οὐ πάθους ἐκτὸς, ἀλλ' ἐτρώθη τῇ βολίδι τῆς προσβολῆς, καὶ πρὸς τὴν κατὰ διάνοιαν ἁμαρτίαν ἐκ ῥᾳθυμίας χαυνωθεὶς ἐξωλίσθησεν. Εἰ δὲ προσβάλῃ μὲν τὸ ἐνθύμιον, ἀπορραπισθείη δ' αὐτίκα, ἢ καὶ ὑπὸ πάλην πεσόντων ἀμφοτέρων τῶν λογισμῶν καὶ ταλαντευομένων ὡς ἐπὶ πλάστιγγος, ὁ κρείττων περιβρισθέστερος γένηται· εἶτα διὰ τὴν τῆς σαρκὸς ἀνάγκην, καὶ τοῦ δυσμενοῦντος ἡμῖν τὴν ἐπήρειαν, φαντασία νυκτερινὴ κινήσει τὴν σάρκα, καὶ ῥύσιν ἐργάσεται σπέρματος· ὁ ταύτην παθὼν οὐ μεμίανται. Πῶς γὰρ, ὅστις τὸν λογισμὸν ἐκ συγκαταθέσεως ἀπαθῆ διετήρησε;

Συμφήσει δέ μοι πρὸς τοῦτο καὶ σύμψηφος ἔσται καὶ ὁ προφήτης καὶ θεοπάτωρ Δαβὶδ, λέγων· *Ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι.* Εἰ γὰρ ἐνθύμιον (φησὶ) πονηρὸν ἀνθρώπῳ ἐπέλθῃ, καὶ τῷ τούτου ἐμφιλοχωρήσει νοΐ, ἐνηδυνομένῳ τῇ περὶ τοῦτο διατριβῇ, καὶ τὸ κατὰ διάνοιαν τελοῦντι ἁμάρτημα, μετανοίας δεῖ τῷ τοιούτῳ καὶ ἐξομολογήσεως· ἵνα

tio, imperatrix nobis a Deo data, carnis resecat impetus, qui per oppositas cogitationes in ea exsuscitantur, ut in camo et freno maxillas ejus constringens, stolidos ejus reprimit fremitus. Si igitur carne inflammata, et a ratione constricta, nec permissa frendere adversus animam, non laxante ei habenas, sed totis manuum viribus ejus impetus refrenante et coercente, velut equi immorigeri et effrenis: sic autem coacta et titillata [q], vel etiam maligno insidiante, is qui carnis prælium subit, imaginatus fuerit in somnis quidpiam, quale affecta libidine cogitatio suggesserit, quam spiritalis salutarisque expulit, et cum imaginatione semen effluxerit, quam condemnationem feret ab homine judicium habente? nisi quis ipsum quoque cogitationum incursum culpet. Divini autem Patres neque luctam sub accusationem vocant. Cum enim quatuor sint, quæ dicuntur in peccato accidere, incursus et lucta, inquam, assensio et actio: ea quidem, quæ duorum sunt præcedentium, a divinitus afflatis Patribus extra culpam posita: assensio autem sub accusatione, velut mentis peccatum inducens: actio autem sub pœna etiam est. Qui autem has ambas salutari cogitatione vincente effugit, cur condemnationi subjiceretur? Si enim cogitatione impressionem faciente, et ad obscœnas impellente libidines, is qui hoc passus est, libenter accepit quod animo obversabatur, et mentem habuit huic immorantem, ac veluti deliciantem, meditantemque ea, quæ ad id pertinent; atque homine sic affecto, phantasia noctu invaserit: crimine non vacat, licet forte et seminis excretionem evaserit. Cogitatio enim non extra affectum, sed incursionis jaculo vulnerata est, et ad mentis peccatum, per pigritiam mollita [r], prolapsa est. Quod si cogitatum incursionem quidem fecerit, verum statim ignominiose repulsum fuerit, vel etiam sub luctam cadentibus ambabus cogitationibus, et veluti in trutina libratis, melior ponderosior fiat: deinde per carnis necessitatem, et inimici nostri improperium [s], imaginatio nocturna movebit carnem, et fluxum efficiet spermatis: qui cum est passus, inquinatus non est. Quo enim modo, qui cogitationem ab assensione intactam servavit?

Assentietur autem mihi ad hoc, et suffragabitur propheta et Dei pater David, inquiens: *Cogitatio hominis confitebitur tibi, et reliquiæ cogitationum diem festum agent tibi.* Si enim cogitatio(inquit)mala homini irrepserit, et in ejus mente sedes fixerit, capta voluptate consuetudinis ejus et perficiente intelligentiæ peccatum [t], pœnitentia ei opus est et confessione, ut per eas cogitationem purget a

VARIÆ LECTIONES.

[q] *sic autem carne vim adhibente, ac titillationem sentiente.* [r] *per ignaviam laxata* [s] *tentationem.* [t] *perficiente peccatum cogitationis.*

sordibus contractis per inquinationem peccati intelligentiæ. Quod si irruens cogitatio derelicta fuerit, rejecta videlicet fuerit, et inefficax manserit, non contaminans mentem ; ejus desertio Deo pro festo habebitur, cum mens improbam considerationem [v] a se submovet. Nihil enim adeo Dominum oblectat, quam mundities : nihilque mundo munditie charius. Placet enim Deo supra vitulum juniorem, et supra omne sacrificium, et incensorum bene odoratorum oblationem, et pretiosorum unguentorum. Magnus etiam Pater et summus philosophus Maximus, cum allegorice exponeret illud : *Non retribuet Dominus usque ad tertiam et quartam generationem*, et occultiorem sensum interpretaretur, incursionem quidem et luctam impunem esse ait, assensionem autem et actionem promereri retributionem. Harum enim quaternio, divino huic et sanctissimo Patri in generationum quaternionem excepta est. Quod si is, qui pravam animi conceptionem ratione superavit, in somnio autem libidinoso imaginatus est, et genitale semen excrevit, indignus tibi existimatur, qui incruentam participet victimam : etiam tibi occasio [x] est, jejunantem, velut sanctificationes participaturum, si carne alimentum requirente, in somnium ei fuerit oblatum, cibi et potus opinionem invehens, ut non jejunum arcendi a participatione. Frequenter enim usuvenit, ut is qui sitit, ad aquas stare videatur, et [y] ex iis haurire, implereque ventrem. Isaias hujus rei tibi fidem faciat, dicens : Quemadmodum somniat sitiens et bibens, et experrectus sitit adhuc, anima autem ejus in vanum speravit ; sic erunt et omnium gentium divitiæ. Ego vero in sacrorum Patrum quemdam incidi, quem inveni martyribus adæquantem eos, qui cogitationibus pugnant [y], nec vi earum succumbunt. Tyrannis enim similes libidine concitatas cogitationes [z]. Et quemadmodum illi a se captos libamina ferre idolis coegerunt, sic cogitationes illicitis actionibus succidere compellunt [a]. Et quemadmodum tyranni martyribus non obtemperantibus omne mali genus inflixerunt, sic et invisibilis tyrannus non cedentibus impetui spiritualibus athletis omnem afflictionem infert, per carnis titillationes et inflammationem. Et ut illi se non submittentes, martyribus annumerati sunt, licet non per gladium, vel ignem, vel tormenta mortem subierint (quales fuere martyres multi)eodem plane modo et iis, qui in incursu commotarum libidine cogitationum non cesserunt contentionis constantia, testimonium conscientiæ factum est [b]. Quod sicubi (inquit) inflammationis vi superatus terga dederit, et assensione mentis peccatum operatus sit ; dein sui compos factus, et quo feratur cognoscens, ab actione abstinuerit, et

A διὰ τούτων καθάρῃ τὸν λογισμὸν τοῦ ἐκ τοῦ μολυσμοῦ τῆς κατὰ διάνοιαν ἁμαρτίας αὐτῷ προστετηκότος ὁμόργματος. Εἰ δ' ἐγκαταλειφθείη προσβαλὼν τὸ ἐνθύμιον, ἀποβληθείη δηλονότι, καὶ ἄπρακτον μείνῃ, μὴ μολύναν τὸν νοῦν, εἰς ἑορτὴν τῷ Θεῷ ἡ ἐγκατάλειψις αὐτοῦ λογισθήσεται, καὶ τὸ ἀποσκευάσασθαι τὸν νοῦν τὸ πονηρὸν διανόημα. Οὐδὲν γὰρ οὕτω ὡς καθαρότης τέρπει τὸν Κύριον, καὶ οὐδὲν τῷ καθαρῷ καθαρότητος φίλτερον. Ἀρέσκει γὰρ τῷ Θεῷ ὑπὲρ μόσχον νέον, καὶ ὑπὲρ πᾶσαν θυσίαν, καὶ θυμιαμάτων εὐόσμων προσαγωγὴν, καὶ μύρων πολυτελῶν. Καὶ ὁ μέγας δὲ Πατὴρ καὶ φιλοσοφώτατος Μάξιμος, ἀλληγορῶν τὸ, *Οὐκ ἀποδώσει Κύριος ὃως τρίτης καὶ τετάρτης γενεᾶς*, καὶ ἀναγωγικώτερον ἑρμηνεύων αὐτὸ, τὴν μὲν προσβολὴν καὶ τὴν πάλην
B ἀτιμώρητον εἶναί φησι· τὴν δέ γε συγκατάθεσιν καὶ τὴν πρᾶξιν ἀξιοῦσθαι ἀνταποδόσεως. Ἡ γὰρ τούτων τετρακτὺς τῷ θείῳ τούτῳ καὶ σοφωτάτῳ Πατρὶ εἰς τὴν τῶν γενεῶν ἐξείληπται τετρακτύν. Εἰ δέ σοι ὁ τῷ λογισμῷ κρατήσας τῆς πονηρᾶς ἐνθυμήσεως, ἐν ὀνειρώξει δὲ φαντασθεὶς καὶ ἀποκρίνας γονὴν, τοῦ μετασχεῖν τῆς ἀναιμάκτου θυσίας ἀνάξιος ἡγῆται· ὥρα σοι καὶ τὸν νηστεύοντα, ὡς τῶν ἁγιασμάτων μεθέξοντα, εἰ τῆς σαρκὸς τροφὴν ζητούσης, ἐνύπνιον αὐτῷ γένηται, δόξαν ἐπάγον τροφῆς τε καὶ πόσεως, ἀπείρξαι, ὡς μὴ νῆστιν, τῆς μεταλήψεως. Τῶν γὰρ συχνάκις συμβαινόντων ἐστὶ τὸ τὸν διψῶντα δοκεῖν ἐν ὕπνοις ἑστᾶναι παρ' ὕδατα, καὶ τούτων ἀρύεσθαι, καὶ τὴν γαστέρα πιμπλᾷν. Καὶ ὁ
C Ἡσαΐας σοι τὸν λόγον πιστούτω, λέγων· Ὃν τρόπον ἐνυπνιάζεται ὁ διψῶν καὶ πίνων, καὶ ἐξαναστὰς ἔτι διψᾷ, ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κενὸν ἠλπικεν· οὕτως ἔσται καὶ ὁ πλοῦτος πάντων τῶν ἐθνῶν. Ἐγὼ δέ τινι τῶν ἱερῶν Πατέρων ἐνέτυχον, καὶ μάρτυσιν ἐξισοῦντα τοῦτον εὗρον τοὺς λογισμοῖς πυκτεύοντας, καὶ τῇ τούτων βίᾳ μὴ ὑποκύπτοντας. Τυράννοις γὰρ ὁμοίου τοὺς ἐμπαθεῖς λογισμούς· καὶ ὥσπερ ἐκεῖνοι τοὺς ὑπ' αὐτῶν ἁλισκομένους σπονδὰς εἰδώλοις φέρειν ἠνάγκαζον, οὕτω δὴ καὶ οἱ λογισμοὶ ἀθέσμοις πράξεσιν ὑποκύπτειν βιάζουσι. Καὶ ὡς οἱ τύραννοι μὴ πειθομένοις τοῖς μάρτυσιν ἐπῆγον ἅπασιν κάκωσιν, οὕτως ἄρα καὶ ὁ ἀόρατος τύραννος μὴ ἐνδιδοῦσι τῇ προσβολῇ τοῖς πνευματικοῖς παγκρατιασταῖς πᾶσαν ἐπάγει κάκωσιν, διὰ γαργαλισμῶν τῆς
D σαρκὸς καὶ πυρώσεως. Καὶ ὡς ἐκεῖνοι μὴ ὑποκύψαντες, τοῖς μάρτυσι συνηρίθμηνται· κἂν μὴ τὸν διὰ ξίφους ἢ πυρὸς ἢ βασάνων ὑπέστησαν θάνατον (οἷοι πολλοὶ γεγόνασι μάρτυρες)· τὸν αὐτὸν δὴ τρόπον καὶ τοῖς ἐν τῇ προσβολῇ τῶν ἐμπαθῶν λογισμῶν μὴ χαλάσασι τὸ εὔτονον τῆς ἐνστάσεως, τὸ κατὰ συνείδησιν μαρτύριον ἤνυσται. Εἰ δέ που (φησὶ) καὶ ὑπενδοίη τῇ βίᾳ νικώμενος τῆς πυρώσεως, καὶ συγκαταθέσει τὴν κατὰ διάνοιαν ἁμαρτίαν ἐργάσαιτο, εἶθ' ἑαυτοῦ γεγονὼς, καὶ ὅπη φέρεται γνοὺς, ἀπο-

VARIÆ LECTIONES.

[u] *cogitationis.* [v] *cogitationem.* [x] *tempus est jejunantem, ut sacramenta percipiat.* [y] *qui cum cogitationibus colluctantur.* [z] *comparabat vitiosas cogitationes.* [a] *succumbere.* [b] *et ab illis, qui in aggressione vitiosarum cogitationum de contentione obstandi nil remiserunt, conscientiæ martyrium est peractum.*

σταίη τῆς πράξεως, καὶ τὸν λογισμὸν τονώσει πρὸς ἔνστασιν, καὶ ἀποκρούσεται τὸ ἐνθύμιον, οὐδὲ τοῦτον τοῦ κατὰ συνείδησιν μαρτυρίου λέγει στερίσκεσθαι. Ἐπεὶ μηδ' ὃς τῇ βίᾳ τῶν κολάσεων ὑπενδοὺς, θύειν ὑπέσχετο, εἶτα τῷ βωμῷ προσαχθεὶς τοῦ θύειν ἀπέσχετο, τῶν μαρτυρικῶν ἐκπεσεῖται γερῶν.

Ἀλλὰ φασί τινες τοὺς ταῦτα δογματίζοντας, καὶ διδάσκοντας λέγειν, ὡς καὶ ὁ μέγας Βασίλειος περὶ τούτου ἐρωτηθεὶς ἀπεῖρξε τοὺς τοιούτους τῆς τῶν ἁγιασμάτων μεθέξεως. Δοκοῦσι δέ μοι οἱ τῇ τοῦ ἁγίου τούτου Πατρὸς ἀποκρίσει χρώμενοι πρὸς τὴν τῆς οἰκείας ἐνστάσεως σύστασιν, ἢ ἑκόντες μύειν πρὸς τὴν ἀλήθειαν, ἢ τὸν νοῦν μὴ συνιέναι τῆς ἀποκρίσεως. Ἀναγκαῖον δὲ καὶ αὐτῆς πρὸς ῥῆμα μνησθῆναι τῆς ἐρωτήσεως, καὶ τῆς πρὸς αὐτὴν τοῦ σοφοῦ ἐκείνου καὶ θείου Πατρὸς ἀποκρίσεως. Ἔχει δὴ ἐρώτησις οὕτως· Εἰ τῶν συνήθων καὶ κατὰ φύσιν γινομένων τινὶ, χρὴ τολμᾷν εἰς κοινωνίαν τῶν ἁγίων παραδέχεσθαι. Ἡ δ' ἀπόκρισις οὕτω· Κρείττονα τῆς φύσεως καὶ τῆς συνηθείας ἔδειξεν ὁ Ἀπόστολος εἶναι τὸν ἐν τῷ βαπτισμῷ συνταφέντα Χριστῷ· ποτὲ μὲν εἰπὼν, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ· ποτὲ δὲ παραγγείλας, Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία· δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. Ποτὲ δὲ ὅρον ἐκθέμενος, ἐν τῷ εἰπεῖν· Οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Ἐγὼ δὲ ἔγνων, ὅτι ταῦτα καὶ κατωρθώθη, Θεοῦ χάριτι, καὶ ἐν ἀνδράσι, καὶ ἐν γυναιξὶ, πίστει τῇ εἰς τὸν Κύριον γνησίᾳ.

Τοῦ δὲ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις, καὶ ἐκ τῆς Παλαιᾶς Διαθήκης φοβερὸν διδασκόμεθα τὸ κρῖμα. Εἰ δὲ πλεῖον τοῦ ἱεροῦ ὧδε, φοβερώτερον δηλονότι. Παιδεύσει δὲ ἡμᾶς ὁ Ἀπόστολος, εἰπών· Ὁ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει. Ἐκ γοῦν τῶν ῥημάτων τῆς ἀποκρίσεως δείκνυται ὡς ὁ μέγας οὗτος Πατὴρ οὐ περὶ ἀφαντάστου ῥεύσεως εἴρηκεν, οὐδὲ περὶ πεφαντασμένης μὲν, ἀμπαθείας δὲ γενομένης χωρὶς, καὶ ἧς ἐπιθυμία οὐ προηγήσατο· ἢ κἂν ἴσως καὶ προηγήσατο, ἀλλ' ἀπεβλήθη, τοῦ ἀγαθοῦ νικήσαντος λογισμοῦ· ὥστε μηδὲ τὴν κατὰ διάνοιαν ἁμαρτίαν ἐκτελεσθῆναι. Ἃ γὰρ εἰς μαρτυρίαν τοῦ λόγου παράγει τοῦ Ἀποστόλου ῥητὰ, ἁμαρτίας μέμνηται, καὶ ἀκαθαρσίας, καὶ ἐπιθυμίας κακῆς. Εἶτα ἐπάγει τὴν γνώμην ἐκείνου; τὴν ἑαυτοῦ, λέγων· Τὸ δὲ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις, καὶ τὰ ἑξῆς. Οὐκ ἂν δέ τις εἴπῃ ἀκαθαρσίαν ὀνομάσαι τὸν μέγαν Βασίλειον τὴν σπερματικὴν ἔκκρισιν ἀπαθῶς γενομένην. Τοῦτο γὰρ διαβολὴ τῆς σαρκός. Ὁ δὲ πολ-

cogitationem confirmarit ad pugnam, et mentis conceptum expulerit: neque hunc conscientiæ testimonio [c] privari dicit. Nam nec qui tormentorum dolori cedens, sacrificaturum se promisit, deinde ad aram adductus a sacrificando abstinuit, martyrum privabitur præmiis.

Verum aiunt aliqui eos, qui hæc instituunt et docent, dicere, quod [et] magnus Basilius de eo interrogatus, tales prohibuerit a sanctificationum participatione. Videntur autem mihi, qui sancti hujus Patris responsione ad suæ instantiæ constitutionem utuntur [d], vel volentes ad veritatem convenire, vel mentem responsionis non intelligere. Necesse autem est interrogationis verba hic adscribere, et ad eam factæ a sapiente illo divinoque Patre responsionis. Plane sic se habet interrogatio: Si consueta et naturalia cuipiam acciderint, an oporteat in communionem sanctorum admittere [e]? Responsio autem in hunc modum: Meliorem natura et consuetudine [f] ostendit Apostolus esse eum, qui in baptismo cum Christo sepultus est: nunc quidem dicens, veterem nostrum hominem simul crucifixum esse, ut solvatur corpus peccati, ne amplius serviamus peccato: alias autem præcipiens: Mortificate igitur membra vestra, quæ sunt in terra, scortationem, immunditiem, affectionem, concupiscentiam pravam, et plus habendi cupiditatem [g], quæ est idololatria, per quæ venit ira Dei in filios inobedientiæ. Alibi autem terminum exponens, dicendo: Qui autem Jesu Christi carnem crucifixerunt cum affectionibus et concupiscentiis. Ego autem scio hæc etiam correcta fuisse [h], Dei gratia, et in viris, et in mulieribus, sincera in Dominum fide.

Eum autem, qui est in immunditie [i], appropinquare sanctis, etiam ex Vetere Testamento terribile docemur judicium. Quod si est hic plus sacro, terribilius [j] videlicet. Docebit autem nos Apostolus, dicens: Manducans et bibens indigne, judicium sibi manducat et bibit. Itaque ex verbis responsio ostenditur, quod magnus hic Pater de fluxu citra imaginationem facto non locutus sit, neque de eo, qui imaginationem quidem habuit, sed animi perturbatione [k] caruit, et concupiscentia eam non præcessit: vel etiamsi forte præcessit, ejecta fuit tamen, cogitatione bona vincente, adeo ut intelligentiæ [l] peccatum perfectum non fuerit. Quæ enim in sermonis testimonium profert Apostoli verba, peccati meminerunt, et immunditiæ, et concupiscentiæ pravæ. Subjicit ille deinde suam sententiam, inquiens: Eum autem, qui est in immunditie, sanctis appropinquare, et quæ sequuntur. Non autem dixerit quisquam, magnum Basilium immunditiem nominare semi-

VARIÆ LECTIONES.

[c] *martyrio.* [d] *probationem.* [e] *hunc et sacrarum rerum perceptionem.* [f] *superiorem et fortiorem.* [g] *avaritiam.* [h] *perfecta fuisse.* [i] *Accessionis autem ad res sacras, quæ fit a constituto in immunditie, etiam.* [j] *vius quam temulum, eo res est terribilior.* [k] *affectione.* [l] *ut cogitationis.*

nalem excretionem, absque affectione factam [m]. Hoc enim fuerit carnis calumnia. Multas vero et pulchras inservit rationes quibus ostenderet, non malum esse, corpus neque mali principium: quemadmodum nonnulli opinati sunt. Nec putet quispiam, eum manifesto adversari magno Athanasio, dicenti de hac spermatica excretione, quæ superius alicubi scripta sunt. Cujus sermones regulam et perpendiculum exactæ disciplinæ omnes sacri Patres in omnibus putaverunt. Illudque præterea considerandum est, hos ambos Spiritu sane plenos Patres, uno eodemque afflatos spiritu, locutos fuisse et scripsisse. Quo igitnr modo verisimile, sibi invicem adversatos fuisse, qui a sancto et bono impulsi sunt Spiritu. Hinc manifestissime ostenditur, magnum Basilium immunditiam nominasse non seminis excretionem, sed pravam concupiscentiam. Qua præeunte mentis [n] etiam peccatum per assensionem perficitur, atque ita imaginatio fit in somnis, et seminis effluxio. Sic enim neque ipse sibi repugnare videbitur; ut dicens malum et immundum esse corpus neque magno Athanasio contraria præcipere censebitur. Sed et ex eo quod dicit, Ego autem scio hæc correcta fuisse [o], Dei gratia, et a viris, et mulieribus: illud apparet vel potius plane demonstratur, de seminis excretione facta cum imaginatione, eum loqui, quam animi præcessit motus, et intelligentiæ [p] peccatum. Hoc enim emendatum fuit [q], non quidem non concupiscere, quod est non impetum facere cogitationem [r] (hoc enim est naturale), sed non succumbere concupiscentiæ, nec assentiri cogitationi, nec perfici mentis peccatum. Neque seminis fluxum [s] non fieri, correctum fuit (hoc enim est naturæ opus expellere, velut excrementa), sed non libidinoso affectu excretionem fieri, ex imaginatione, quam prava fingit concupiscentia, ex qua intelligentia [t] inquinata est. Heus tu, cogitatio assensione fœdata est, excrementi autem spermatici dejectio, non est immunda. Fabricator enim corporis, Deus: eorum autem, quæ a Deo fabricata sunt, nihil est immundum. Quibus genitale profluvium existimatur immunditia, in suspicionem venient Manichæorum sectæ, aut quod Bogomilorum (37) hæresis sint participes. Nam et hi, quod duo inducant principia, et corpus mali creaturam dicant, manifeste manichaizant. Reprimendi ergo illi sunt, qui [u] seminis fluxum inquinationem arbitrantur, et esse dicunt, ex quo Deus optimus architectus carnem nostram concrescere instituit: ne profana hac secta infecti esse videantur. Nam si immundum

A λού; τε καὶ καλοὺς λόγους ἔθετο, ἀποδεικνὺς, ὡς οὐ κακὸν τὸ σῶμα, οὐδὲ κακίας ἀρχὴ, καθὼς ἐδόξασαν ἔνιοι. Οὐδ' ἐναντιοῦσθαι προδήλως λογίσαιτό τις αὐτὸν τῷ μεγάλῳ Ἀθανασίῳ, εἰρηκότι περὶ τῆς σπερματικῆς ταύτης ἐκκρίσεως, ὅπερ ἄνω τοι τοῦ λόγου γεγράφαται· οὗ τοὺς λόγους κανόνα καὶ στάθμην ἀκριβείας ἅπαντες οἱ ἱεροὶ Πατέρες ἐν ἅπασιν ἡγηνται. Εἶτα καὶ τοῦτο λογιστέον, ὅτι καὶ ἄμφω πνευματοφόροι οὗτοι δὴ οἱ Πατέρες, καὶ ὑπὸ τοῦ αὐτοῦ καὶ ἑνὸς ἐμπνεόμενοι Πνεύματος, εἶλεγόν τε καὶ ἔγραφον. Πῶς οὖν εἰκὸς ἀλλήλοις ἐναντιοῦσθαι τοὺς ὑπὸ τοῦ ἁγίου κινουμένους καὶ ἀγαθοῦ Πνεύματος; Ἐντεῦθεν ἀριδηλότατα δείκνυται, ὡς καὶ ὁ μέγας Βασίλειος ἀκαθαρσίαν οὐ τὴν σπερματικὴν ὠνόμασεν ἔκκρισιν, ἀλλὰ τὴν πονηρὰν ἐπι-
B θυμίαν· ἧς ἡγουμένης καὶ ἡ κατὰ διάνοιαν ἁμαρτία τελεῖται διὰ συγκαταθέσεως. Καὶ οὕτω γίνεται φαντασία καθ' ὕπνους, καὶ τοῦ σπέρματος ἐκροή. Οὔτε γὰρ οὗτ' αὐτὸς ἑαυτῷ ἠναντιῶσθαι δόξειεν ἄν, ὡς κακὸν εἶναι τὸ σῶμα καὶ ἀκάθαρτον λέγων· οὔτε τῷ μεγάλῳ Ἀθανασίῳ τἀναντία διατάττεσθαι λογισθήσεται. Ἀλλὰ καὶ ἐκ τοῦ φάναι, Ἐγὼ δὲ ἔγνων ὅτι ταῦτα κατωρθώθη, Θεοῦ χάριτι, καὶ ἀνδρῶν καὶ γυναιξὶ, τοῦτο ἐμφαίνεται, ἢ μᾶλλον καθαρῶς ἀποδείκνυται, ὅτι περὶ ἐκκρίσεως σπέρματος μετὰ φαντασίας γενομένης φησὶν, ἧς ἐμπάθεια προηγήσατο, καὶ ἡ κατὰ διάνοιαν ἁμαρτία. Τοῦτο γὰρ κατ-
C ὠρθωται παρ' ὥνπερ κατώρθωται, οὐχὶ τὸ μὴ ἐπιθυμῆσαι, ὅ ἐστι τὸ μὴ προσβαλεῖν λογισμὸν (τοῦτο γὰρ φυσικὸν), ἀλλὰ τὸ μὴ ὑποκλιθῆναι τῇ ἐπιθυμίᾳ, μηδὲ συνθέσθαι τῷ λογισμῷ, μηδὲ τὴν κατὰ διάνοιαν ἁμαρτίαν ἐκτελεσθῆναι. Οὐδὲ τὸ μὴ γίνεσθαι σπέρματος ἐκροὴν κατωρθώθη (τῆς γὰρ φύσεως ἔργον τὸ διωθεῖσθαι τοῦτό ἐστιν, ὡς περίττωμα), ἀλλὰ τὸ μὴ ἐμπαθῶς γενέσθαι τὴν ἔκκρισιν, ἐκ φαντασίας, ἣν συνίστησιν ἐπιθυμία κακὴ, ἐξ ἧς ἡ διάνοια κέχρανται. Ὁ λογισμὸς, ᾧ οὗτος, τῇ συγκαταθέσει μεμόλυνται· ἡ δὲ τοῦ σπερματικοῦ περιττώματος ἔκκρισις, οὐκ ἀκάθαρτος. Ποιητὴς γὰρ τοῦ σώματος ὁ Θεός· τῶν δ' ὑπὸ Θεοῦ κτισθέντων οὐδὲν
D ὑπάρχει ἀκάθαρτον. Οἷς δὲ ἀκαθαρσία νενόμισται ἡ γονὴ, μανιχαΐζειν ὑπόληψιν δώσουσιν ἢ τῆς τῶν Βογομίλων μετέχειν αἱρέσεως. Ἐπεὶ καὶ οὗτοι κατά γε τὸ διττὰς εἰσάγειν ἀρχὰς, καὶ τὸ σῶμα κτίσμα λέγειν τοῦ πονηροῦ, προδήλως μανιχαΐζουσι. Χρὴ γοῦν ὑποστέλλεσθαι τοὺς τὴν ἔκκρισιν τῆς γονῆς μολυσμὸν οἰομένους, καὶ λέγοντας, ἐξ ἧς τὴν ἡμετέραν σάρκα συμπήγνυσθαι ὁ ἀριστοτέχνης Θεὸς ᾠκονόμησεν, ἵνα μὴ τῆς βεβήλου ταύτης μετέχειν αἱρέσεως δόξωσιν. Εἰ γὰρ ἀκάθαρτος ἡ γονὴ, καὶ ἡ ἐκ ταύτης συνισταμένη σὰρξ πάντως ἔσται ἀκάθαρτος· καὶ ὡς ἐκ θολερᾶς καὶ βορβορώδους πηγῆς οὐ νᾶμα

VARIÆ LECTIONES.

[m] *absque vitio.* [n] *cogitationis.* [o] *præstita fuisse.* [p] *cogitationis.* [q] *præstitum fuit, a quibus sane præstitum est.* [r] *quod est cogitationem non adjicere:* [s] *neque præstitum fuit, ut seminis fluxus non fieret.* [t] *cogitatio.* [u] *Facessant ergo, qui.*

NOTÆ.

(37) Qui sic fuere dicti a perpetuis precibus. *Bog* enim Slavonica lingua, *Deus* est, et *milu*, benignus, quasi perpetuo dicerent, *Benigne Deus.*

πρόεισι καθαρὸν, ἀλλὰ ῥυπῶδες καὶ θολερόν· τὸν αὐτὸν τρόπον, εἰ μεμόλυνται ἡ γονὴ, καὶ ἡ σὰρξ, ἣ ἐξ αὐτῆς οὐσίωται, μεμολυσμένη ἐστὶ καὶ ἀκάθαρτος· καὶ ἀντιστρόφως αὖθις, εἰ ἀκαθαρσία τὸ σπέρμα ἐστὶ, καὶ τὸ σπέρμα ἐξ οὗ κενοῦται, ἀκάθαρτον. Καὶ οὕτω τὸ σῶμα δὴ τὸ ἡμέτερον, κτίσμα τοῦ πονηροῦ λογισθήσεται. Οὐδὲν γὰρ τῶν ὑπὸ Θεοῦ γενομένων, κακόν. Τὸ δὲ μεμολυσμένον, κακόν. Εἰ δὲ κακὸν, οὐ κτίσμα Θεοῦ. Συνάγεται λοιπὸν, εἰ ταῦτα δῶμεν, ἔργον εἶναι τὴν σάρκα τοῦ πονηροῦ. Ὅπερ, ὡς εἴρηται, τῆς τῶν Μανιχαίων αἱρέσεως· ἧς καὶ οἱ Βογόμιλοι συμμετέχουσιν· οἷς καί τι πλέον εἰσῆκται καὶ ἀσεβέστερον. Ἐν ταῖς καθ' ὕπνους φαντασίαις αὐτοὺς τοὺς δαίμονας ληροῦσιν ἀσελγαίνειν εἰς τὰ σώματα τὰ ἀνθρώπινα, ἢ ποιοῦντας εἰς τοὺς τὴν φαντασίαν ὑφισταμένους, ἢ πάσχοντας ὑπ' αὐτῶν. Τοὺς γοῦν μίασμα τὴν τῆς γονῆς νομίζοντας ἔκκρισιν, εἴ τινες τῆς δόξης ταύτης τῆς μυσαρᾶς μετέχειν νομίζοιεν, οὐ κρίσεως ἀφεστηκέναι νομισθεῖεν ὀρθῆς.

A est genitale semen, et quæ ex eo concrevit caro, erit omnino immunda. Et quemadmodum ex turbido cœnosoque fonte unda non manat pura, sed sordida et lutulenta : sic si semen pollutum est, et caro, quæ ex ea substantiam accipit, polluta est et immunda : et vice versa, si semen immunditia est, et illud immundum, ex quo evacuatur. Atque ita plane corpus nostrum creatura mali censebitur. Nihil enim eorum, quæ a Deo creata sunt, malum : pollutum autem malum [v] : si malum, non Dei creatura. Colligitur ergo, si hæc concedamus, carnem esse opus mali : quod ut diximus) est Manichæorum sectæ : qua etiam Bogomili sunt imbuti : a quibus et amplius quidpiam introductum est, et impium magis. In nocturnis imaginationibus nugantur dæmones libidinem exercere in corpora humana, vel agentes in eos, qui imaginationem subeant libidinis, vel ab iis patientes. Eos igitur, qui seminis excretionem scelus existimant [x], si qui hujus abominandæ opinionis dixerint esse participes ; a recto judicio non procul abesse videbuntur.

B

Ἀλλ' ἐρεῖ τις ἴσως, ὅτι τῶν μὲν μολυσμὸν ἡγουμένων τὴν τῆς γονῆς ἔκροιαν καθήψω σφοδρῶς, μακρὸν περὶ τούτων κενώσας λόγον· τί δὲ ποιητέον αὐτοῖς, ἢ πῶς οἰκονομητέον τοὺς τοιούτοις τολμήμασι περιπίπτοντας, οὐ προστέθεικας. Τὸ μὲν μέμφεσθαι, τοῦ βουλομένου παντός· τὸ δὲ διορθοῦσθαι τὸν σφαλλόμενον, ἄριστον.

Verum (inquiet forsitan aliquis) cum eos, qui inquinationem esse putant seminis fluxum, vehementer incesseris, et longum de his protraxeris sermonem, non addidisti, quid iis faciendum, aut quomodo emendandi sint [y], qui in talia facta inciderint. Reprehendere quidem, est in arbitrio cujusvis : errantem autem dirigere, est optimum.

C

Ἵνα γοῦν μὴ χώραν δῶμεν ταῦτα λέγειν τινὶ, φαμὲν ὅτι μάλιστα μὲν καὶ τοῖς ἤδη ῥηθεῖσιν ἐμπεριείληπται, τί μὲν τῶν νυκτερινῶν φαντασμάτων ἀνέγκλητον, τί δ' ὑπὸ ἐπιτίμησιν· εἰρήσεται δὲ καὶ αὖθις σαφέστερον. Οἷς τοίνυν ἀφάνταστος τοῦ σπέρματος ἡ ἀπόκρισις, διορθουμένης τῆς φύσεως τὸ περίττωμα, καὶ οἷς ἂν καὶ μετὰ φαντασίας τοῦτο ἐπισυμβῇ, ἀπαθοῦς τοῦ λογισμοῦ διαμείναντος, καὶ μὴ μολυνθέντος πρότερον ἐκ συγκαταθέσεως, τὸ πάθος ἀκόλαστον καὶ ἀνεπιτίμητον· καὶ οὔτε τῆς μεθέξεως οὗτοι τῆς ἀναιμάκτου θυσίας εἰρχθήσονται, κατὰ τοὺς θείους Πατέρας· οὔτε μὴν ὡς ὑποστάντες μολυσμὸν, λογισθήσονται. Εἰ γὰρ ὁ λογισμὸς αὐτοῖς οὐ μεμόλυνται, ἢ μηδὲ προσβαλούσης ἐνθυμήσεως αὐτῷ πονηρᾶς, ἢ, κἂν προσέβαλε, μὴ προσδεχθείσης· ἢ κἂν προσεδέχθη, μὴ προσμεινάσης, ἀλλ' ἐγκαταλειφθείσης, κατὰ τὸν Μελῳδὸν, ἀποσκευασθείσης δηλαδὴ καὶ ἀποπεμφθείσης· τὸ δὲ σῶμα διὰ τῆς σπερματικῆς ἐκκρίσεως οὐ μεμίανται (οὔτε γὰρ ἡ σὰρξ κακὸν, ὡς κτίσμα Θεοῦ· οὔτε μὴν τὰ ταύτης ἐκρέοντα, καὶ ταύτης συστατικά), ἢ ἐπιτίμησις, ἢ τῆς τῶν ἁγιασμάτων μεθέξεως ἡ ἀποτροπὴ, διὰ τίνα λόγον ἔσεται εὔλογον; Οἷς δ' ἐμπαθὴς προῦπέκειτο λογισμὸς, καὶ πονηρὸν ἐνθύμιον προσβαλὸν προσεδέχθη τε καὶ προσέμεινε, καὶ τῷ νῷ

Ne igitur locum demus cuipiam hæc objicienti, dicimus iis, quæ jam dicta sunt ; id maxime contineri, nocturnarum quidem imaginationum esse aliquas extra crimen, aliquas autem esse pœna dignas. Exprimetur autem et rursus apertius. Quibus ergo seminis excretio sine imaginatione est, natura detrudente excrementum : et quibus hoc cum imaginatione contigerit, cogitatione imperturbata manente [z], nec antea inquinata per assensionem, affectio extra pœnam est, et reprehensionem. Neque hi ab incruentæ victimæ participatione arcebuntur, secundum divos Patres : neque ut inquinationem passi reputabuntur. Si enim cogitatio iis inquinata non est, vel mala animi conceptione non irruente ; vel, si irruerit, non admissa ; vel, si admissa sit, non permanente, sed derelicta, juxta Melodum [a], sublata videtur de medio et amandata : corpus autem per spermaticam excretionem contaminatum non est (neque enim caro malum, ut Dei creatura ; neque ea, quæ ex ea defluunt, et eam constituunt) : emendatio [b] vel participationis sacramentorum prohibitio, quam ob justam rationem fiet ? Quibus autem ante inerat affectione commota cogitatio, et mala animi conceptio impetum faciens admissa fuit, et

D

VARIÆ LECTIONES.

[v] *at quidquid pollutum est, malum est.* [x] *esse pollutionem existimant.* [y] *quomodo cum eis agendum, qui.* [z] *vitii experte manente.* [a] *psalmorum vel canticorum auctorem.* [b] *pœnæ irrogatio.*

permansit, et in animo libenter versata est : eoque deliciata illius disputatio, ut jam intellectus [c] peccatum formatum sit : hæc autem nocturna imaginatio secuta est, et seminis supervenit fluxus : hi etiam erunt accusationi et censuræ obnoxii [d], non propter seminalem defluxum, sed propter mentis peccatum et cogitationis contaminationem. Licet enim nec imaginatio nocturna eis supervenerit, nec genitalis seminis profluvium ; nihilominus cogitatione inquinati sunt, et emendationem [e] non effugient. Est autem qui et cogitatione non præcedente, quæ affectione [f] sit incitata, neque peccato mentis perfecto, in somnis spectrum imaginatus, spermatico excremento dejecto, non est extra culpam. Qualis vero hic ? Qui ex cibi et potus intemperantia ventrem oneraverit, et mentem confudit, et mortis fratrem somnum dormiens, in imaginationem incidit, semenque excrevit. Hic enim et ipse sibi propter ingluviem, phantasmatis auctor. Et qui eum gubernat, prout homini conferre cognoverit, emendationem [g] inferat.

A ἐνεφιλοχώρησε, καὶ ἡδύνθη αὐτῷ ἡ τούτου διαλογή, ὡς τὴν κατὰ διάνοιαν ἁμαρτίαν ἤδη συστῆναι · τούτοις δὲ νυκτερινὴ φαντασία ἐπηκολούθησε, καὶ ῥύσις γονῆς ἐπιγέγονεν · οὗτοι καὶ ὑπὸ αἰτίασιν ἔσονται, καὶ ὑπὸ ἐπιτίμησιν, οὐ διὰ τὴν σπερματικὴν ἐκροήν, ἀλλὰ διὰ τὴν κατὰ διάνοιαν ἁμαρτίαν, καὶ τὸν τοῦ λογισμοῦ μολυσμόν. Κἂν γὰρ μήτε φαντασία νυκτερινὴ αὐτοῖς ἐπιγένηται, μήτε ῥύσις γονῆς, οὐδὲν ἧττον μεμόλυνταί τε τὸν λογισμὸν, καὶ τὴν ἐπιτίμησιν οὐκ ἐκφεύξονται. Ἔστι δ' ὃς καὶ λογισμοῦ μὴ προϋπάρξαντος ἐμπαθοῦς, μήτε μὴν τῆς κατὰ διάνοιαν ἁμαρτίας τελεσθείσης, ἐν ὕπνοις φαντασθείς, καὶ σπερματικὸν ἐκκρίνας περίττωμα, οὐκ ἀνέγκλητος. Ποῖος δὲ οὗτος; ὃς ἐξ ἀκρασίας τῆς περὶ βρῶσιν καὶ πόσιν, καὶ τὴν γαστέρα ἐβάρυνε, καὶ τὸν B νοῦν συνεθόλωσε, καὶ ὕπνον ἀδελφὸν ὑπνώττων θανάτῳ [47], φαντασίᾳ περιπέπτωκε, καὶ σπέρμα ἐξέκρινε. Καὶ οὗτος γὰρ αὐτὸς ἑαυτῷ διὰ τὴν ἀκρασίαν τοῦ φαντάσματος αἴτιος · καὶ ὁ τὰ κατ' ἐκεῖνον οἰκονομῶν, ὡς συνίδῃ συμφέρειν τῷ ἀνθρώπῳ, ἐπινέγκῃ τὴν ἐπιτίμησιν.

THEODORI BALSAMONIS RESPONSA.

Interrogationes canonicæ sanctissimi patriarchæ Alexandriæ domini Marci : et responsa ad eas sanctissimi patriarchæ Antiochiæ, domini Theodori Balsamonis.

Dei quidem spectator et propheta Moses : Interroga (inquit) patrem tuum, et renuntiabit tibi : seniores tuos, et dicent tibi. Sanctissimus autem Alexandriæ patriarcha, dilectus frater, et nostræ C mediocritatis comministeri, dominus Marcus, Pater exsistens Patrum, Dei gratia, et presbyterorum presbyter, indeque nec ad se directum habens hoc propheticum elegans verbum, in quibus luctabatur multis ecclesiasticis interrogationibus, aliud ex eadem cithara spiritus vaticinium suscepit, inquiens : Ecce vero, quid pulchrum aut jucundum est, quam fratres in idem consentire ! Quamobrem quemadmodum psalterium aliquod, instrumentum musica cura indigens, scriptam edens interrogationem, eam nostræ mediocritati porrexit, rogavitque, comprehensas in ea propositiones canonicas et quæstiones in commune proferri, et hunc fraternæ responsionis eleganter exarari codicillum. Scriptum igitur ab ejus sanD ctitate compositum, hæc expressim comprehendit.

In nomine Patris, et Filii, et Spiritus sancti. Interrogationes ad quas responderi desiderant Christiani, qui Saracenorum regionem, et sub eorum ditione habitant, factæ a Marco patriarcharum [h] Alexandriæ minimo, in diebus imperii piissimi et Christi studiosissimi imperatoris nostri, domini Isaacii Angeli, et tempore sanctissimi et œcumenici patriarchæ domini Georgii, quorum

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝ ΑΠΟΚΡΙΣΕΙΣ.

Ἐρωτήσεις κανονικαὶ τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας κυρίου Μάρκου. Καὶ ἀποκρίσεις ἐπ' αὐταῖς τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας, κυρίου Θεοδώρου τοῦ Βαλσαμών.

Ὁ μὲν θεόπτης καὶ προφήτης Μωσῆς, Ἐρώτησον, φησὶ, τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι · τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι. Ὁ δὲ ἁγιώτατος πατριάρχης Ἀλεξανδρείας, ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, κύριος Μάρκος, Πατὴρ Πατέρων ὑπάρχων, τῇ χάριτι τοῦ Θεοῦ, καὶ πρεσβυτέρων πρεσβύτερος, κἀντεῦθεν μηδὲ ψάλλουσαν ἔχων αὐτῷ ταύτην τὴν προφητικὴν καλλιέπειαν, ἐφ' οἷς ἐζυγομαχεῖτο πολλοῖς ἐκκλησιαστικοῖς ἐρωτήμασιν, ἕτερον ἐκ τῆς αὐτῆς κινύρας τοῦ πνεύματος ἀνεδέξατο θεσπιῴδημα, λέγον· Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν ἐστιν, ἀλλ' ἢ τὸ συμφρονεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Διὸ, καθά τι ψαλτήριον ὄργανον μουσικῆς ἐπιμελείας δεόμενον, ἐκθέμενος ἐρώτησιν ἔγγραφον, ἐνεχείρισε ταύτην τῇ ἡμῶν μετριότητι· καὶ ἐζήτησε τὰ ἐν αὐτῇ περιεχόμενα κανονικὰ προβλήματα καὶ ζητήματα λαληθῆναι ἐπὶ κοινοῦ καὶ ἀδελφικῆς ἀποκρίσεως καλλιγραφηθῆναι τοῦτο κωδίκιον. Τὸ γοῦν παρὰ τῆς ἁγιωσύνης αὐτοῦ συντεθὲν γράμμα διαλαμβάνει ταῦτα ῥητῶς.

Ἐν ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἐρωτήματα ἅπερ χρῄζουσιν οἱ Χριστιανοὶ οἱ κατοικοῦντες ἐν τῇ χώρᾳ τῶν Σαρακηνῶν, καὶ ἐν ταῖς ἐξουσίαις αὐτῶν · ἐρωτηθέντα παρὰ Μάρκου τοῦ ἐλαχίστου ἐν τοῖς πατριάρχαις Ἀλεξανδρείας, ἐν ἡμέραις τῆς βασιλείας τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν κυρίου Ἰσαακίου τοῦ Ἀγγέλου, καὶ ἐπὶ τοῦ ἁγιωτάτου καὶ

VARIÆ LECTIONES.

[47] θανάτου.

[c] *cogitationis.* [d] *hi et culpæ, et pœnæ obnoxii erunt.* [e] *vœnam.* [f] *quæ vitiosa fit.* [g] *pœnam.* [h] *Marco Alexandrino, patriarcharum.*

οἰκουμενικοῦ πατριάρχου κυρίου Γεωργίου. Ὧν τὰ ἔτη αὐξανέι ὁ Θεὸς εἰς μακρότητα ἡμερῶν. Μηνὶ Φεβρουαρίῳ ἐπινεμήσεως ιγ', καὶ ἐτῶν μετὰ τὴν σάρκωσιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ,ασγ'. A annos augeat Deus in dierum longitudinem. Mense Februario, indictionis 15, anni post incarnationem Domini, et Dei, et Servatoris nostri Jesu Christi, 1203.

Ἐρώτησις. Αἱ περὶ τὰ μέρη τῆς Ἀλεξανδρείας καὶ τῶν Ἱεροσολύμων ἀναγινωσκόμεναι λειτουργίαι, καὶ λεγόμεναι συγγραφῆναι παρὰ τῶν ἁγίων ἀποστόλων, Ἰακώβου τοῦ ἀδελφοθέου, καὶ Μάρκου, δεκταί εἰσι τῇ ἁγίᾳ καὶ καθολικῇ Ἐκκλησίᾳ, ἢ οὔ;

Inter. 1. Quæ in partibus Alexandriæ et Hierosolymorum leguntur liturgiæ, et conscriptæ dicuntur fuisse a sanctis apostolis, Jacobo fratre Domini, et Marco, recipiendæ sunt a sancta et catholica Ecclesia, necne?

Ἀπ. Ὁ μέγας ἀπόστολος Παῦλος, ὁ τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ ῥήτωρ καὶ διδάσκαλος, Κορινθίοις ἐπιστέλλων, φησίν· Ἀδελφοί, παρακαλῶ ὑμᾶς διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα· ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοΐ, καὶ ἐν τῇ αὐτῇ γνώμῃ. Φαμὲν τοίνυν, ὡς οὔτε ἀπὸ θείας Γραφῆς, οὔτε ἀπὸ κανόνος ἐκφωνηθέντος συνοδικῶς ἀνεδιδάχθημεν, ἱεροτελεστίαν ὑπὸ τοῦ ἁγίου ἀποστόλου Μάρκου παραδοθῆναι· μόνος δὲ ὁ λβ' κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, φησὶν ὑπὸ τοῦ ἁγίου Ἰακώβου τοῦ ἀδελφοθέου μυστικὴν ἱερουργίαν συντεθῆναι. Ὁ μέντοι πε' κανὼν τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, καὶ ὁ νθ' κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, ἀπαριθμούμενοι τὰ ὀφείλοντα παρ' ἡμῖν πολιτεύεσθαι βιβλία τῆς Παλαιᾶς Διαθήκης καὶ τῆς Καινῆς, καὶ αὐτὰ δὴ τὰ ἀποστολικά, ἱερουργίας τοῦ ἁγίου Ἰακώβου ἢ τοῦ ἁγίου Μάρκου μνείαν ὅλως οὐ ποιοῦνται. Ἀλλὰ καὶ ἡ καθολικὴ Ἐκκλησία τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ θρόνου τῆς Κωνσταντινουπόλεως οὐδ' ὅλως ταύτας ἐπιγινώσκει. Ψηφιζόμεθα οὖν μὴ εἶναι δεκτὰς αὐτάς. Κἂν γὰρ ἐγένοντο, παντελοῦς ἀπραξίας κατεψηφίσθησαν, ὡς καὶ ἄλλα πολλά. Καὶ δῆλόν ἐστιν ἀπὸ τοῦ πε' κανόνος τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, καὶ τοῦ β' κανόνος τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου. Ὁ μὲν γὰρ, ὁ ἀποστολικὸς δηλαδὴ, διορίζεται τὰς τοῦ Κλήμεντος δύο ἐπιστολὰς, καὶ τὰς διαταγὰς τῶν ὀκτὼ βιβλίων αὐτοῦ ἀναγινώσκεσθαι μὲν, μὴ δημοσιεύεσθαι δὲ, διὰ τὰ ἐν αὐταῖς μυστικά· ὁ δὲ θέλει ταύτας μηδὲ ἀναγινώσκεσθαι, διὰ τὸ παρεντεθῆναι αὐταῖς παρὰ ἑτεροδόξων πολλά τινα νόθα, καὶ τῆς εὐσεβείας ἀλλότρια. Διά τοι τοῦτο καὶ ὀφείλουσι πᾶσαι αἱ Ἐκκλησίαι τοῦ Θεοῦ ἀκολουθεῖν τῷ ἔθει τῆς νέας Ῥώμης, ἤτοι τῆς Κωνσταντινουπόλεως· καὶ ἱερουργεῖν κατὰ τὰς παραδόσεις τῶν μεγάλων διδασκάλων καὶ φωστήρων τῆς εὐσεβείας, τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου καὶ τοῦ ἁγίου Βασιλείου. Φησὶ γὰρ τὸ μα' κεφάλαιον τοῦ α' τίτλου τοῦ β' βιβλίου τῶν Βασιλικῶν· Περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος, παραφυλάττειν δεῖ τὸ ἔθος, ᾧ ἡ Ῥώμη κέχρηται.

Res. Magnus apostolus Paulus, sanctarum Dei Ecclesiarum orator et doctor, ad Corinthios scribens, ait: Fratres, obsecro vos per nomen Domini nostri Jesu Christi, ut idem dicatis omnes, nec sint in vobis dissidia: sitis autem compositi [i] eadem mente, eademque voluntate. Dicimus igitur, nos neque a sacra Scriptura, neque a canone synodice edito, edoctos fuisse sacrum ministerium [j] a S. apostolo Marco traditum. Solus enim 32 canon sanctæ et œcumenicæ synodi coactæ in Trullo magni palatii, ait a S. Jacobo Dei fratre mysticum sacrificium fuisse compositum. Attamen 85 canon sanctorum et omni laude celebrium Apostolorum, et 59 canon Laodicenæ synodi, enumerantes Veteris Testamenti, et Novi, ipsosque apostolicos libros, qui in usu nobis esse debent, nullam sacrificii [k] sancti Jacobi vel sancti Marci mentionem faciunt. Neque etiam catholica sanctissimi et œcumenici throni Constantinopolis Ecclesia ullo modo eas liturgias agnoscit. Pronuntiamus igitur, non esse has recipiendas. Et si enim ab iis factæ sint, ab omni usu vacare jubentur, ut et alia multa. Idque manifestum est ex 85 canone sanctorum et benedictorum apostolorum, et 2 canone sanctæ et œcumenicæ synodi in Trullo magni palatii coactæ: alter enim, apostolicus videlicet, definit duas Clementis epistolas, et dispositiones [l] octo librorum ejus, legi quidem, verum non evulgari, ob arcana quæ in iis sunt recondita: alter autem vult eas neque legi, propterea quod iis spuria quædam multa et a pietate aliena interposita sint ab hæreticis. Quamobrem omnes Ecclesiæ Dei sequi debent morem novæ Romæ, nimirum Constantinopolis, et sacra celebrare juxta traditiones magnorum doctorum et luminarium pietatis, sancti Joannis Chrysostomi et sancti Basilii. Ait enim 41 caput, 1 tit. 2 lib. Basilicon: De quibus scripta lex non est, morem, quo Roma utitur, servari oportet.

Ἐρώτησις β'. Βιβλία διάφορα εὑρίσκονται εἰς τὰς ἀνατολικὰς καὶ νοτίους χώρας· καὶ τὰ μὲν ὀνομάζονται Διδασκαλίαι τῶν ἁγίων ἀποστόλων, τὰ δὲ, Ὁράσεις τοῦ ἁγίου Παύλου. Ἐρωτῶ οὖν εἰ ὀφείλομεν ἀναγινώσκειν αὐτά;

Inter. 2. Varii reperiuntur libri, in orientalibus et meridionalibus regionibus: et alii nominantur Præcepta sanctorum apostolorum: alii, Visiones sancti Pauli. Quæro an hi nobis legendi sint?

VARIÆ LECTIONES.

[i] *conglutinati.* [j] *sacram cæremoniam.* [k] *sacræ cærimoniæ.* [l] *præceptiones.*

Res. Cum Dominus et Deus et Servator noster Jesus Christus in Evangeliis dicat, Videte ne decipiamini : multi enim venient in nomine meo, dicentes, Quia ego sum, et tempus appropinquavit : pronuntiamus et nos, Dei Ecclesiam nosse [m] et confiteri apostolica præcepta, et visiones, et disciplina [n] librorum, quæ 85 apostolico canone declarantur, et Dei præconum voces iis esse creditas. Præter hos alium nullum novit apostolicum commentarium [o]. Observandum igitur, ut ab hæreticis ficta aversemur mendacia. Absinthio enim amariora, licet per nominem sanctorum apostolorum inscriptionem mellitam referant placentam.

Inter. 3. Sexaginta Basilicorum capita ad nostras regiones non pervenerunt : ideoque quantum ad ea pertinet, in tenebris versamur. Quærimus, an ob eam rem damnemur.

Res. Quæcunque lex ait, iis ait qui in lege sunt, secundum magnum Apostolum. Qui igitur ob vitam gloriantur orthodoxam, sive ex oriente sint, sive ex Alexandrinorum plaga, sive aliunde, Romani dicuntur, et secundum leges vivere coguntur. Non astringuntur tamen lege, quæ ait, Non oportet Romanum virum leges ignorare. Ii enim soli, qui habitant Romam, regiam videlicet civitatem, quæ similibus est munita propugnaculis, et multis abundat jurisperitis, horum ferreis tenentur pedicis. Ideoque si hi legem ignorare se allegent, veniam non consequuntur, sive manuales sint operarii, sive circumforanei sint aliqui, et litterarum imperiti : ut qui possint a suis civibus legum discere tenorem. Qui autem extra Romam agunt, agrestes [p] scilicet, et reliqui, multoque magis Alexandrini, legem civilem ignorantes, veniam merentur. Bonum ergo est, ut hi quoque interrogent, et legitima præcepta discant. Quod si est difficile, veniam sunt consecuturi.

Inter. 4. An extra periculum, sacrati, itemque laici fenori dent pecuniam, an potius sit iis exitiosum ?

Res. Mosaica quidem lex, Non fenerabis, inquit, argentum tuum fratri tuo : civilis autem agnoscit usuras centesimas et trientes. Definit enim ut senatores accipiant usuras trientes, nimirum in singulas libras nummos quatuor. Negotiatores autem vulgares [q], et cæteros, dimidiam centesimæ, nimirum in singulas libras nummos sex. Eos vero, qui maritimum fenus contrahunt [r], pro singulis libris nummos duodecim. Quonam autem modo centesimæ vocentur usuræ, cum libræ quantitas non perveniat ad solidos centum, sed ad septuaginta duos ; non est dicendi tempus, ne opus fiat præter opus. Et hæc quidem de laicis. Sacratis vero feneratione prorsus interdictum est. Ait enim hæc

A Ἀπ. Τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν Εὐαγγελίοις εἰπόντος· Βλέπετε μὴ πλανηθῆτε· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, Ὅτι ἐγώ εἰμι, καὶ ὁ καιρὸς ἤγγικε· ψηφιζόμεθα καὶ ἡμεῖς, ὅτι ἀποστολικὰς διδασκαλίας, καὶ ὁράσεις, καὶ διδάξεις ἡ τοῦ Θεοῦ Ἐκκλησία γινώσκει καὶ ὁμολογεῖ τὰ ἐν τῷ πε' ἀποστολικῷ κανόνι δηλούμενα βιβλία, καὶ πιστευόμενα εἶναι τῶν θεοκηρύκων φωνάς· ἕτερον δέ τι παρὰ ταῦτα οὐκ οἶδεν ἀποστολικὸν σύγγραμμα. Παρατηρητέον οὖν ἀποστρέφεσθαι τὰ πεπλασμένα παρὰ τῶν αἱρετικῶν σχεδιάσματα. Ἀψινθίου γὰρ πικρότερά εἰσι, κἂν μελιτοῦνται διὰ τῆς ἐπιγραφῆς τῶν ὀνομάτων τῶν ἁγίων ἀποστόλων ὑποκρίνωνται.

B Ἐρώτησις γ'. Τὰ ἑξήκοντα κεφάλαια τῶν Βασιλικῶν οὐ διεδόθησαν εἰς τὰς χώρας ἡμῶν· διὰ τοῦτο νυκτοδατοῦμεν ὅσον τὸ εἰς αὐτά. Ζητοῦμεν οὖν μαθεῖν, εἰ ἐντεῦθεν κατακρινόμεθα.

Ἀπ. Ὅσα ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λέγει, κατὰ τὸν μέγαν Ἀπόστολον. Οἱ γοῦν αὐχοῦντες βίον ἀρθόδοξον, κἂν ἐξ ἀνατολῶν ὦσι, κἂν ἐξ Ἀλεξανδρέων, κἂν ἑτέρωθεν, Ῥωμαῖοι λέγονται, καὶ κατὰ νόμους ἀναγκάζονται πολιτεύεσθαι· τῷ νόμῳ δὲ τῷ φάσκοντι, Οὐ δεῖ Ῥωμαῖον ἄνδρα νόμον ἀγνοεῖν, οὐ συσφίγγονται. Μόνοι γὰρ οἱ κατοικοῦντες τὴν Ῥώμην, τὴν βασιλίδα δηλονότι τῶν πόλεων, τὴν κατησφαλισμένην ὁμοίοις πυργώμασι, καὶ πολλοὺς πλουτοῦσαν νομομαθεῖς, ταῖς ἐκ τούτων σιδηροπέδαις κατέχονται. Διὸ οὗτοι μὲν ἀγνοῆσαι νόμον δυνάμενοι, οὐ συγγινώσκονται· κἂν χειρωνάκται, κἂν C ἀγύρται τινὲς ὦσι, καὶ γραμμάτων ἀνήκοοι· ὡς δυνάμενοι τὰ τῶν νόμων μαθεῖν ἀπὸ τῶν συγκατοίκων αὐτῶν. Οἱ δὲ ἔξω τῆς Ῥώμης διάγοντες, ἀγρόται δηλονότι, καὶ λοιποί, πολλῷ δὲ πλέον Ἀλεξανδρεῖς, νόμον πολιτικὸν ἀγνοήσαντες συγγινώσκονται. Καλὸν γοῦν ἐστι καὶ τούτους ἐρωτᾶν, καὶ μανθάνειν τὰ νομικὰ παραγγέλματα· εἰ δὲ δυσχερές ἐστι, συγγώμης ἀξιωθήσονται.

Ἐρώτησις δ'. Ἀκίνδυνόν ἐστι τοῖς ἱερωμένοις, ναὶ μέντοι καὶ τοῖς λαϊκοῖς, ἐπὶ τόκῳ δανείζειν, ἢ μᾶλλον ὀλέθριον ;

Ἀπ. Ὁ μὲν Μωσαϊκὸς νόμος, Οὐκ ἐκτοκιεῖς, φησὶ, τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου· ὁ δὲ πολιτικὸς ἐπιγινώσκει τόκους ἑκατοστιαίους, καὶ ἀπὸ D τρίτης ἑκατοστῆς. Διορίζεται γὰρ τοὺς συγκλητικοὺς λαμβάνειν τόκους ἀπὸ τρίτης ἑκατοστῆς· ἤγουν ἐφ' ἑκάστῃ λίτρᾳ νομίσματα δ'. Τοὺς κοινολαΐτας πραγματευτάς, καὶ λοιποὺς, ἡμιεκατοστιαίους· ἤγουν ἐφ' ἑκάστῃ λίτρᾳ νομίσματα ς'. Τοὺς δὲ διδόντας διαπόντιον δάνειον, ὑπὲρ ἑκάστης λίτρας νομίσματα ιβ'. Ὅπως δὲ καλοῦνται οἱ τόκοι ἑκατοστιαῖοι, τῆς λίτρας μὴ συμποσουμένης εἰς νομίσματα ρ', ἀλλ' εἰς οβ', καιρὸς οὐκ ἔστι λέγειν· ἵνα μὴ ἔργον τὸ παρέργον γένηται. Καὶ ταῦτα μὲν περὶ λαϊκῶν. Τοὺς ἱερωμένους δὲ τοκίζειν παντελῶς ἀπηγόρευται. Φησὶ

VARIÆ LECTIONES.

[m] *agnoscere.* [n] *doctrinas.* [o] *scriptum.* [p] *rustici.* [q] *laicos.* [r] *qui trajecticiam pecuniam mutuo dant.*

γὰρ ὁ μδ' κανὼν τῶν ἁγίων ἀποστόλων ταῦτα ῥητῶς· Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος τόκους ἀπαιτῶν τοὺς δανειζομένους, ἢ παυσάσθω, ἢ καθαιρείσθω. Καὶ ὁ ιζ' κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς α' συνόδου ταῦτα διέξεισιν· Ἐπειδὴ πολλοὶ ἐν τῷ κανόνι ἐξεταζόμενοι, τὴν πλεονεξίαν καὶ τὸ αἰσχροκερδὲς διώκοντες, ἐπελάθοντο τοῦ θείου Γράμματος, λέγοντος, Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ· καὶ δανείζοντες ἑκατοστὰς ἀπαιτοῦσιν, ἐδικαίωσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος, ὡς εἴ τις εὑρεθείη μετὰ τὸν ὅρον τοῦτον τόκους λαμβάνων ἐκ μεταχειρίσεως, ἢ ἄλλως ἐπερχόμενος τὸ πρᾶγμα, ἢ ἡμιολίας ἀπαιτῶν, ἢ ἕτερόν τι ἐπινοῶν αἰσχροκερδείας ἕνεκα, καθαιρεθήσεται τοῦ κλήρου, καὶ ἀλλότριος τοῦ κανόνος ἔσται. Τὰ αὐτὰ φησι καὶ ὁ δ' κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ἕτεροι.

A nominatim 44 sanctorum apostolorum canon : Episcopus, aut presbyter, aut diaconus, usuras ab iis exigens, quibus mutuum dedit, vel desinat, vel deponatur. Et 17 canon sanctæ et œcumenicæ 1 synodi hæc : Quoniam multi, qui in canone recensentur, plura habendi studium et turpe lucrum persequentes, divinæ Scripturæ obliti sunt, quæ dicit : Argentum suum non dedit ad usuram ; et fenerantes centesimas exigunt : æquum censuit sancta et magna synodus, ut si quis inventus fuerit post hoc statutum usuras mutuo sumere, vel eam rem aliter persequi, vel sesqui alteras exigere, vel aliquid aliud excogitare turpis quæstus gratia, e clero deponatur, et sit alienus a canone. Eadem ait et 4 canon Laodicenæ synodi, et B alii.

Ἐρώτησις ε'. Ἀκίνδυνόν ἐστιν ἱερατεύειν ὀρθοδόξους, Σύρους, καὶ ἐξ Ἀρμενίων, ἀλλὰ μὴν καὶ ἐξ ἑτέρων χωρῶν τινὰς πιστοὺς, κατὰ τὴν οἰκείαν διάλεκτον· ἢ παντοίως ἀναγκάζονται μετὰ Ἑλληνίδος ἱερατεύειν γραφῆς;

Inter. 5. An orthodoxi Syri et ex Armeniis, necnon ex aliis regionibus aliqui fideles propria lingua extra periculum sacra celebrent, an vero cogantur prorsus cum Græca scriptura sacerdotio fungi?

Ἀπόκρισις. Ὁ μέγας ἀπόστολος Παῦλος Ῥωμαίοις ἐπιστέλλων φησίν· Ἢ Ἰουδαίων μόνων ὁ Θεός; οὐχὶ δὲ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν. Οἱ γοῦν ὀρθοδοξοῦντες ἐν πᾶσι, κἂν ὦσι τῆς Ἑλληνίδος φωνῆς πάμπαν ἀμέτοχοι, μετὰ τῆς ἰδίας διαλέκτου ἱερουργήσουσιν, ἀντίγραφα ἔχοντες τῶν συνήθων ἁγίων εὐχῶν ἀπαράλλακτα, ὡς μεταγραφέντα ἐκ κοντακίων καλλιγραφηθέντων διὰ γραμμάτων Ἑλληνικῶν.

Res. Magnus apostolus Paulus ad Romanos scribens inquit : An Judæorum tantum Deus? Num et gentium? certe et gentium. Qui igitur recte in omnibus de fide sentiunt, et si sint Græcæ linguæ omnino expertes, propria dialecto sacra conficient, exemplaria consuetarum sacrarum precum habentes non evariantia, ut desumpta ex contaciis græcanicis litteris eleganter descriptis.

Ἐρώτησις ς'. Ἠρράβωνίσατό τις γυναῖκα, καὶ ἐτελεύτησε πρὸ τοῦ ἱερολογηθῆναι μετ' αὐτῆς, ὡς νενόμισται, καὶ πρὸ τοῦ συναφθῆναι αὐτῇ, ἀκίνδυνόν ἐστι ταύτην λαβεῖν τὸν τούτου ἀδελφὸν, ἢ οὔ;

Inter. 6. Desponsavit quis sibi mulierem, et priusquam cum ea per benedictionem, sicut constitutum est, initiaretur, et cum ea copularetur, decessit : an ea impune nubet hujus fratri, necne?

C

Ἀπ. Τὸ καλὸν οὐκ ἔστι καλὸν, εἰ μὴ καλῶς γένηται. Εἰ γοῦν ἡ μνηστεία, ἤτοι ὁ ἀῤῥαβὼν, ἐτελέσθη κατὰ τὴν ὑποτύπωσιν τῆς νεαρᾶς νομοθεσίας τοῦ ἀοιδίμου βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, μετὰ τελετῆς τῶν συνήθων ἁγίων εὐχῶν· τῆς γυναικὸς οὔσης δωδεκαετοῦς, τοῦ δὲ ἀνδρὸς τὸν τεσσαρεσκαιδέκατον χρόνον ἀνύσαντος, οὐ λήψεται ταύτην εἰς γάμον ὁ ἀδελφὸς αὐτοῦ. Ὁ γὰρ οὕτω τελεσθεὶς ἀῤῥαβὼν ἐν πᾶσι τῷ νομίμῳ γάμῳ ταυτίζεται. Εἰ δὲ κατὰ τὴν κρατοῦσαν συνήθειαν, ὡς μανθάνομεν, εἰς πάντα σχεδὸν τὰ μέρη τοῦ Νότου καὶ τῆς Ἀνατολῆς, ἀλλοτρόπως, ὁ θανὼν τὴν περιοῦσαν ἠῤῥαβωνίσατο, συζευχθεὶη νομίμως αὐτῇ ὁ τούτου αὐτάδελφος.

Res. Quod bonum, non bonum est, nisi bene fiat. Si igitur sponsalia et arrhabonis datio perfecta sint juxta dispositionem novellæ constitutionis inclyti imperatoris, domini Alexi Comneni, cum consecratione[a] solitarum sanctarum precum, femina excedente annum duodecimum, virum autem decimum quartum, non ducet eam uxorem frater ejus. Itaque enim perfectus arrhabo legitimis nuptiis in omnibus assimilatur. Quod si juxta consuetudinem, quæ (ut didicimus) obtinet in omnibus D fere Austri et Orientis partibus, præmortuus aliter sibi superstitem desponsaverat : hujus germanus ei legitime conjungatur.

Ἐρώτησις ζ'. Ἀπροκριματίστως διακονικοῦ ἢ ἱερατικοῦ βαθμοῦ ἀξιωθεὶη ὁ διὰ τὸ τελευτῆσαι τὴν μνηστευθεῖσαν αὐτῷ, ἑτέραν σύμβιον ἀγαγόμενος, ἢ ὡς δίγαμος κωλυθήσεται;

Inter. 7. An sine præjudicio diaconico et sacerdotali gradu dignus habebitur, qui cum mortua ipsius esset sponsa, alium conjugem duxit, an velut binubus prohibebitur?

Ἀπ. Εἰ μὲν κατὰ τὴν τῆς ῥηθείσης νεαρᾶς ὑποτύπωσιν ἠῤῥαβωνίσατο τὴν ἀποιχομένην μνηστὴν, ἑτέρᾳ γυναικὶ μετὰ τὸν ταύτης θάνατον συζευχθεὶς, οὐκ ἀξιωθεὶη βαθμοῦ τινος τῶν τοῦ βήματος. Δίγαμος γὰρ λογίζεται. Εἰ δὲ παρὰ τὴν ταύτης περίληψιν

Res. Si quidem juxta prædictæ novellæ formam desponderat sibi mortuam sponsam, post ejus mortem alii uxori conjunctus non consequetur ullum altaris gradum : binubus enim censetur. Sin autem præter ejus tenorem cum mortuo sponsa

VARIÆ LECTIONES.

[a] *peractione.*

contractum iniverat, sine impedimento sacrabitur, ut qui bigamus non censeatur.

Inter. 8. Si sacerdos tonsus fuerit, concessum erit ei post tonsuram sacrificare, annon?

Res. Cum secundus canon sanctæ et œcumenicæ synodi coactæ in sanctissimo throno Constantinopolis hæc nominatim pronuntiet : Etiamsi huc usque nonnulli antistites, qui ad monachorum habitum descenderant, ut in episcopali fastigio manerent, vim adhibuerunt : et cum hoc facerent, neglecti sunt : sancta tamen et universalis hæc synodus, hanc negligentiam quoque corrigens, et ad ritus ecclesiasticos hanc inordinatam actionem redigens, statuit ut si quis episcopus, vel aliquis alius ex pontificali dignitate, voluerit ad vitam monasticam descendere, vel pœnitentiæ locum implere, ne amplius antistitis dignitatem usurpet. Monachorum enim professiones, subjectionis et discendi cupiditatis rationem habent, non autem doctrinæ vel primatus : nec alios pascere, sed se pasci profitentur. Et ideo, quemadmodum prædictum est, decernimus ut nemo eorum, qui in episcopalem pastorumque catalogum relatus est, ad eorum, qui pascuntur et agunt pœnitentiam, locum se demittat. Si quis autem hoc facere ausus fuerit, post denuntiationem et declarationem hujus editæ sententiæ, ipse qui seipsum episcopali gradu privavit, non amplius ad priorem, quam factis despicatui habuit dignitatem revertetur. Comprehenditur autem et ante hujus promulgationem, non solum eos, qui altari serviunt, subdiaconos videlicet diaconos et sacerdotes; sed et antistites ipsos etiam post tonsuram sacrificare. Cum igitur antistites cum gravitate canonica a sacerdotio abalienati sint, propterea quod post tonsuram ad locum discipulorum et pœnitentium venerint, indeque alieni facti fuerint dignitate doctoria sacerdotes omnino, et qui simpliciter altari serviunt etiam post tonsuram citra impedimentum operabuntur quæ ad ipsorum gradus pertinent. Nam et ante tonsuram pariter, ac post eamdem fuerant et sunt discipuli et subjecti.

Inter. 9. Si laicus in somnis imaginatus fuerit, meretur eo die divinarum sanctificationum participationem, necne? Et an sacerdos, qui idem passus est, sacra conficiet, necne?

Res. Antistites (inquit sacra Scriptura) dona et hostias offerens, ab hominibus accipit, et quemadmodum offert Deo pro populo, sic et pro seipso. Nam et eum premit carnalis infirmitatis pondus. Verum et per Mosen dixit Dominus, Mundi mundum adeant. Maculam autem habens in anima, sub velum meum non ingredietur, nec ad altare meum appropinquabit. Unde et tres sanctissimi patriarchæ throni Alexandriæ, sanctus Dionysius videlicet rescribens ad Basilidem episcopum, et magnus Athanasius, regulam præscribens monacho cuidam Amun cognominato, et sanctus Timotheus, de re hujusmodi respondentes quibusdam, qui ipsos in-

τὸ τελευτῆσαν ἐμνηστεύσατο γύναιον; ἀπαρεμποδίστως ἱερωθήσεται, ὡς μὴ λογιζόμενος δίγαμος.

Ἐρώτησις η'. Ἱερεὺς ἐὰν ἀποκαρῇ, ἐκχωρηθείη ἱερουργεῖν μετὰ τὴν ἀπόκαρσιν, ἢ οὔ;

Ἀπ. Τοῦ β' κανόνος τῆς ἐν τῷ ἁγιωτάτῳ θρόνῳ τῆς Κωνσταντινουπόλεως συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου ταῦτα κατὰ ῥῆμα διεξιόντος· Εἰ καὶ μέχρι τοῦ νῦν ἔνιοι τῶν ἀρχιερέων, εἰς τὸ τῶν μοναχῶν κατιόντες σχῆμα, ἐν τῷ τῆς ἀρχιερωσύνης ἐβιάζοντο διαμένειν ὕψει, ... ἀλλ' οὖν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος αὕτη, καὶ τοῦτο ῥυθμίζουσα τὸ παράρραμα, καὶ πρὸς τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς τὴν ἄτακτον ταύτην ἐπανάγουσα πρᾶξιν, ὥρισεν ἵνα εἴ τις ἐπίσκοπος ἢ τις ἄλλος τοῦ ἀρχιερατικοῦ ἀξιώματος πρὸς τὸν μοναχικὸν θελήσειε κατελθεῖν βίον, καὶ τὸν τῆς μετανοίας τόπον ἀναπληρῶσαι, μηκέτι λοιπὸν τῆς ἀρχιερατικῆς ἀντιποιῆται ἀξίας. Αἱ γὰρ τῶν μοναχῶν συνθῆκαι ὑποταγῆς ἔχουσι λόγον, καὶ μαθητείας, ἀλλ' οὐχὶ διδασκαλίας καὶ προεδρείας· οὐδὲ ποιμαίνειν ἄλλους, ἀλλὰ ποιμαίνεσθαι ἐπαγγέλλονται. Διό, καθὰ προείρηται, θεσπίζομεν μηκέτι τινὰ τῶν ἐν ἀρχιερατικῷ καταλόγῳ καὶ ποιμένων ἐξεταζομένων εἰς τὴν τῶν ποιμαινομένων καὶ μετανοούντων χώραν ἑαυτὸν καταβιβάζειν. Εἰ δέ τις τοῦτο τολμήσειε πρᾶξαι μετὰ τὴν ἐκφώνησιν καὶ διάγνωσιν τῆς νῦν ἐκπεφωνημένης ψήφου, αὐτὸς ἑαυτὸν τοῦ ἀρχιερατικοῦ ἀποστερήσας βαθμοῦ, οὐκέτι πρὸς τὸ πρότερον ὅπερ ἠθέτησε διὰ τῶν ἔργων ἀξίωμα ἐπαναστρέψει. Καταλαμβάνεται δὲ πρὸ τῆς ἐκφωνήσεως τούτου μὴ μόνον τοὺς τοῦ βήματος, ἤγουν ὑποδιακόνους, διακόνους καὶ ἱερεῖς, ἀλλὰ καὶ αὐτοὺς τοὺς ἀρχιερεῖς ἱερουργεῖν καὶ μετὰ τὴν ἀπόκαρσιν. Τῶν γοῦν ἀρχιερέων μετ' ἐμβριθείας κανονικῆς ἐκ τῆς ἱερωσύνης ἀποξενωθέντων, διὰ τὸ μετὰ τὴν ἀπόκαρσιν εἰς τόπον μαθητιώντων καὶ μετανοούντων ἐλθεῖν, κἀντεῦθεν ἀπαλλοτριωθῆναι τοῦ διδασκαλικοῦ ἀξιώματος, πάντως οἱ ἱερεῖς καὶ ἁπλῶς οἱ τοῦ βήματος ἀπαρεμποδίστως καὶ μετὰ τὴν ἀπόκαρσιν τὰ τῶν βαθμῶν ἐνεργήσουσι δίκαια. Καὶ πρὸ τῆς ἀποκάρσεως γὰρ ὡσαύτως, καὶ μετὰ τὴν ἀπόκαρσιν μαθηταὶ καὶ ὑποτακτικοὶ ἦσαν καὶ εἰσί.

Ἐρώτησις θ'. Λαϊκὸς ἐὰν φαντασθῇ, ἀξιωθείη αὐθημερὸν τῆς τῶν θείων ἁγιασμάτων μεθέξεως, ἢ οὔ; καὶ ἱερεὺς ἐὰν φαντασθῇ, ἱερουργήσει κατ' αὐτὴν τὴν ἡμέραν τοῦ φαντασμοῦ, ἢ οὔ;

Ἀπ. Ὁ προσφέρων (φησὶ τὸ Γράμμα τὸ ἱερὸν) δῶρα καὶ θυσίας ἀρχιερεύς, ἐξ ἀνθρώπων λαμβάνεται, καὶ καθὼς περὶ τοῦ λαοῦ προσφέρει τῷ Θεῷ, οὕτω δὴ καὶ περὶ ἑαυτοῦ· ἐπεὶ καὶ αὐτῷ βάρος σαρκικῆς ἀσθενείας ἐπίκειται. Ἀλλὰ καὶ διὰ Μωσέως εἶπεν ὁ Κύριος, Οἱ καθαροὶ τῷ καθαρῷ προσίτωσαν. Ὁ δὲ μῶμον ἔχων κατὰ ψυχήν, πρὸς τὸ καταπέτασμά μου οὐκ εἰσελεύσεται, καὶ πρὸς τὸ θυσιαστήριόν μου οὐκ ἐγγιεῖ· ὅθεν καὶ τρεῖς ἁγιώτατοι πατριάρχαι τοῦ θρόνου τῆς Ἀλεξανδρείας, ὁ ἅγιος Διονύσιος δηλαδὴ, ἀντιγράφων πρὸς Βασιλείδην ἐπίσκοπον, ὁ μέγας Ἀθανάσιος κανονίζων τινὰ μοναχὸν, Ἀμοῦν ἐπονομαζόμενον, καὶ ὁ ἅγιος Τιμόθεος,

πρός τινας ἐρωτήσαντας περὶ τοιούτου τινὸς ἀποκρι- A terrogaverant, olim ea, quæ sunt de laicis, conse-
νόμενοι, τέως τὰ περὶ τῶν λαϊκῶν ἀκολούθως ταῖς quenter divinis his Scripturis expedierunt. Ait
θείαις ταύταις Γραφαῖς διηυλύτωσαν. Φησὶ γὰρ ἡ enim sancti Dionysii responsio : Siquidem subjî-
τοῦ ἁγίου Διονυσίου ἀπόκρισις, Εἰ μὲν ὑπόκειται citur mulieris desiderio, non debet. Quod si Satanas
ἐπιθυμίᾳ γυναικὸς, οὐκ ὀφείλει· εἰ δὲ ὁ Σατανᾶς eum tentat, ut hac occasione abalienet a commu-
πειράζει αὐτὸν, ἵνα διὰ τῆς προφάσεως ταύτης nione sacramentorum, debet communione frui.
ἀπαλλοτριώσῃ τῆς κοινωνίας τῶν μυστηρίων, ὀφείλει Quoniam tentator eo tempore non desinet ei stru-
κοινωνῆσαι. Ἐπεὶ οὐ παύσεται ὁ πειράζων κατ' ἐκεῖ- ere insidias. Quamobrem et nos eadem de laicis
νον τὸν καιρὸν ἐπιτιθέμενος αὐτῷ. Διὸ καὶ ἡμεῖς τὰ definientes, in episcopis, diaconis, et sacerdotibus
αὐτὰ περὶ λαϊκῶν διοριζόμενοι, περὶ ἐπισκόπων, imaginationem passis per satanicum solum impro-
διακόνων καὶ ἱερέων φανταζομένων κατὰ σατανικὴν perium [t], eamdem formam obtinere non novimus :
καὶ μόνον ἐπήρειαν, τὸν αὐτὸν τύπον κρατεῖν οὐ operationem enim sacrificii eis potius occludendam
διαγινώσκομεν, ἐπιζυγωθῆναι δὲ μᾶλλον αὐτοῖς τὴν censemus solo somnii libidinosi die, propter sacer-
τῆς ἱεροτελεστίας ἐνέργειαν κατὰ μόνην τὴν ἡμέραν dotii reverentiam, nisi forte mora periculosa sit,
τῆς ὀνειρώξεως ψηφιζόμεθα, διὰ τὸ τῆς ἱερωσύνης vel propter diei celebritatem, vel utilitatem rei.
σεβάσμιον. Εἰ μὴ τυχὸν κινδυνώδης ἐστὶν ἡ ὑπέρ- B Noctu enim frangi queat laqueus tentatoris, exal-
θεσις, ἢ διὰ τὸ τῆς ἡμέρας περιφανέστατον, ἢ διὰ tari autem sacrificii potestas.
τὸ τοῦ πράγματος χρησιμώτατον. Τῇ νυκτὶ γὰρ συντριβείη μὲν ἡ παγὶς τοῦ ἐπηρεαστοῦ, ὑψωθείη δὲ
τῆς ἱερουργίας ἡ δύναμις.

Ἐρώτησις ι'. Ὁ μετὰ νομίμου συμβίου αὐτου σαρκικῶς συναφθεὶς, ἀξιωθείη αὐθημερὸν τῆς τῶν ἁγιασμάτων μεταλήψεως, ἢ οὔ;

Ἀπ. Ὁ θεοκήρυξ Παῦλος, ὁ τῆς Ἐκκλησίας μέγας διδάσκαλος, Δοκιμαζέτω (φησὶν) ἕκαστος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ τοῦ ποτηρίου πινέτω. Καὶ πάλιν, Μὴ ἀποστερείτωσαν (φησὶν) ἑαυτοὺς οἱ ὁμόζυγοι, εἰ μή τι ἐκ συμφώνου, ὅταν τῇ προσευχῇ τῆς ἁγίας κοινωνίας μέλλωσι προσελθεῖν. Καὶ τὸν Δαβὶδ δὲ καὶ τοὺς σὺν αὐτῷ, ζητήσαντας ἐκ τῶν ἄρτων φαγεῖν τῆς προθέσεως, προησφαλίσατο C caute prius interrogavit pontifex, num mundi es-
ὁ ἀρχιερεὺς, εἰ καθαροί εἰσιν ἀπὸ κοίτης γυναικός. sent a concubitu mulieris. Sed et in Mosaico
Ἀλλὰ καὶ ἐν τῇ Μωσαϊκῇ βίβλῳ τῆς Ἐξόδου ταῦτα Exodi libro, hæc nominatim instituuntur [u] : *Et dixit*
ῥητῶς ἀνατάττονται· *Καὶ εἶπε Κύριος πρὸς Μωσῆν, Dominus ad Mosem, Descendens contestare populum*
Καταβὰς διαμάρτυραι τῷ λαῷ τούτῳ, καὶ ἁγνισον hunc, purifica eos hodie et cras, et abluant vesti-
αὐτοὺς σήμερον καὶ αὔριον. Καὶ πλυνάτωσαν τὰ menta sua, et parati sint in diem tertium. Nam ter-
ἱμάτια αὐτῶν, καὶ ἑστωσαν ἕτοιμοι εἰς τὴν ἡμέ- tio die descendet Dominus in montem Sina coram
ραν τὴν τρίτην. Τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται universo populo. Et rursus, *Descendit Moses de*
Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινὰ, ἐναντίον παντὸς τοῦ λαοῦ. *monte ad populum, et sanctificavit eos : abluerunt-*
Καὶ πάλιν, *Κατέβη Μωσῆς ἐκ τοῦ ὄρους πρὸς τὸν que vestimenta. Et dixit populo, Estote parati die*
λαὸν, καὶ ἡγίασεν αὐτούς· καὶ ἔπλυναν τὰ ἱμάτια. tertio, et ne congrediamini cum muliere. Sanctissi-
*Καὶ εἶπε τῷ λαῷ, Γίνεσθε ἕτοιμοι τρίτῃ ἡμέρᾳ, mus autem Alexandriæ patriarcha Timotheus
καὶ μὴ προσέλθητε γυναικί.* Ὁ δὲ ἁγιώτατος πατριάρχης Ἀλεξανδρείας Τιμόθεος, περὶ de hoc interrogatus, dixit : Non debent conjuges,
τούτου ἐρωτηθεὶς, ἔφησεν, Οὐκ ὀφείλουσιν οἱ συμ- qui carnaliter conjuncti sunt, promereri divinarum
πλακέντες ὁμόζυγοι σαρκικῶς καταξιοῦσθαι τῆς τῶν D sanctificationum participationem per ipsum diem
θείων ἁγιασμάτων μεταλήψεως, κατ' αὐτὴν τὴν carnalis eorum complexus. Itaque nos hæc sic defi-
ἡμέραν τῆς σαρκικῆς αὐτῶν συνελεύσεως. Διὸ καὶ nita sequentes, dicimus non esse conjugibus per-
ἡμεῖς τοῖς οὕτω διορισθεῖσιν ἑπόμενοι, λέγομεν ὡς mittendam sanctificationum perceptionem, quo die
οὐκ ἔστιν ἐκχωρητέα τοῖς ὁμοζύγοις ἡ τῶν ἁγιασμάτων μετάληψις, κατὰ τὴν ἡμέραν καθ' ἣν συνήφθησαν σαρκικῶς. Προστιθέμεν δὲ ὡς ἐπεὶ ὁ αὐτὸς μέγας Τιμόθεος, ἐρωτηθεὶς κατὰ ποίαν ἡμέραν τῆς ἑβδομάδος ὀφείλουσιν ἐγκρατεύεσθαι οἱ ὁμόζυγοι, ἀπεκρίνατο, Κατὰ τὸ Σάββατον καὶ τὴν Κυριακὴν, διὰ τὸ ἐν αὐταῖς καὶ μᾶλλον τὴν πνευματικὴν θυσίαν τῷ Κυρίῳ προσφέρεσθαι· ἐξ ἀνάγκης ὀφείλουσιν οἱ

carnaliter copulati sunt. Addimus autem, quod cum ipse magnus Timotheus interrogatus, quo die hebdomadis continentes esse debeant conjuges, responderit : Sabbato et Dominico, propterea quod magis etiam in eis spiritalis hostia Deo offeratur. Ac necessario debent conjuges a mutua communicatione separari quo die divinas sanctificationes assumunt, non modo ante ministrationem ipsam, sed etiam post eam. Et optamus corrigi, quod præ-

Inter. 10. Qui cum legitima uxore sua carnaliter conjunctus fuerit, an eo die dignus habendus sit participatione sanctificationum necne ?

Res. Dei præco Paulus, magnus Ecclesiæ doctor, Examinet (inquit) unusquisque seipsum et sic ex pane comedat, et e calice bibat. Et rursus, Ne privent, inquit, seipsos conjuges, nisi ex consensu, quando ad sanctæ communionis precationem accessuri sunt. Et Davidem eosque qui cum eo erant, quærentes comedere ex panibus propositionis,

VARIÆ LECTIONES.

[t] *tentationem.* [u] *scripta leguntur.*

ter divina instituta et præcepta circa sponsæ deductionem in nuptiarum auspices malefit. Nam postquam sacra precatione initiati sunt, et divinas sanctificationes promeruerunt, ad carnalem festinant unionem, in nuptiarum deliciis lascivientes, sacræ benedictionis vim non considerantes, et sanctificationum contemptionem. Conjuges ergo quo die divinas sanctificationes participaturi sunt, non tantum ante earum assumptionem, sed et post eam citra excusationem continenter se gerere debent. Quod si non faciant, gravioribus subjicientur pœnis.

A ὁμόζυγοι ἐκ τῆς πρὸς ἀλλήλους σαρκικῆς κοινωνίας ἀποδίστασθαι κατὰ τὴν ἡμέραν τῆς τῶν θείων ἁγιασμάτων μεταλήψεως. Οὐ μόνον πρὸ τῆς ἐπιστασίας αὐτῆς, ἀλλὰ καὶ τὴν μετ' αὐτήν. Καὶ εὐχόμεθα διορθωθῆναι τὸ κακῶς καὶ παρὰ τὰ θεῖα διατάγματα καὶ διδάγματα κατὰ τὴν νυμφαγωγίαν εἰς τοὺς νυμφοστόλους γινόμενον. Μετὰ γὰρ τὸ ἱερολογηθῆναι καὶ τῶν θείων ἁγιασμάτων καταξιωθῆναι αὐτούς, πρὸς σαρκικὴν κατεπείγουσιν ἕνωσιν οἱ τῶν ἡδέων τοῦ γάμου κατατρυφήσαντες· μὴ ἀναλογιζόμενοι τῆς ἱεροτελεστίας τὴν δύναμιν, καὶ τῶν ἁγιασμάτων τὴν καταφρόνησιν. Ἀπαραιτήτως οὖν οἱ ὁμόζυγοι, καθ' ἣν ἡμέραν τῶν θείων ἁγιασμάτων μέλλουσι μετασχεῖν, οὐ μόνον πρὸ τῆς μεταλήψεως τούτων, ἀλλὰ καὶ μετὰ τὴν μετάληψιν, ὀφείλουσιν ἐγκρατεύεσθαι. Τοῦτο δὲ μὴ ποιοῦντες, αὐστηροτέροις ἐπιτιμίοις ὑποβληθήσονται.

Inter. 11. An, si sacerdos lavetur, possit eodem die sacra facere? et an laico liceat, postquam venerit in balneum, eodem die sacramenta assumere? Et e contrario, an sacerdos peracto sacrificio, vel laicus sumptis divinis sanctificationibus lavetur, aut venæ sectionem patiatur, necne?

B Ἐρώτησις ια'. Ἐὰν ἱερεὺς λουθῇ, δύναται κατὰ τὴν αὐτὴν ἡμέραν ἱερουργῆσαι; καὶ λαϊκὸς μετὰ τὸ ἀπελθεῖν εἰς βαλανεῖον, ἐκχωρηθείη αὐθημερὸν τῶν μυστηρίων μεταλαβεῖν; καὶ ἐκ τοῦ ἐναντίου, ἱεροτελεστήσας ὁ ἱερεὺς, ἢ ὁ λαϊκὸς θείων ἁγιασμάτων ἀξιωθεὶς λουθήσεται, ἢ φλεβοτομηθήσεται, ἢ οὔ;

Res. Galenus medicorum doctissimus, Balneum, inquit, et sol, et gymnasium ad motum excitant, quæ ante quiescebant, excrementa. Itaque nihil eorum, de quibus interrogasti, fiet. Venarum enim sectiones, horum ostendunt vitia et proprietates, juxta Hippocratis præcepta : interdum quidem discussionem parientes, nonnunquam autem constrictionem potius. Quid igitur? exspectatum forte malum salutari sanctificationum participationi connectemus, et salutis nostræ lumen socordia obumbrabimus? cum justa ratio sacrificantes tam ante, quam post sacrificium, compellat cum omni compunctione et reverentia ad Deum genuflectere, et gratias agere ob Dominici corporis et sanguinis assumptionem, nec deliciari mollitiis, et aquarum calidarum aspersionibus. Quod si venæ incisionem morbus urgeat letalis, propter salutem ægrotantis ea perficietur.

Ἀπ. Ὁ ἐν ἰατροῖς διδασκαλικώτατος Γαληνὸς, Βαλανεῖον, φησὶ, καὶ ἥλιος καὶ γυμνάσιον εἰς κίνησιν ἐξορμᾷ τὰ τέως ἡσυχάζοντα περιττώματα. Διὸ οὐδὲν ἐξ ὧν ἠρώτησας γενήσεται. Καὶ αἱ τομαὶ γὰρ τῶν φλεβῶν ἐλέγχουσι τὰς τούτων κακίας καὶ ἰδιότητας, κατὰ τὰ Ἱπποκράτεια δόγματα· ποτὲ μὲν κυΐσκουσαι διαφόρησιν, ποτὲ δὲ μᾶλλον στεγάνωσιν. Ἵνατί γοῦν; προσδοκήσιμον ἴσως κακὸν τῇ σωτηριώδει τῶν C ἁγιασμάτων μεθέξει συνάψωμεν, καὶ ῥᾳθυμίᾳ τὸ φῶς τῆς ἡμῶν σωτηρίας ἐπηλυγάσωμεν; ὅπου γε τοὺς ἱερουργοῦντας δίκαιος λόγος καταναγκάζει καὶ πρὸ τῆς ἱερουργίας καὶ μετὰ τὴν ἱερουργίαν μετὰ πάσης κατανύξεως καὶ εὐλαβείας γονυκλυτεῖν πρὸς Θεὸν, καὶ εὐχαριστεῖν χάριν τῆς τοῦ Κυριακοῦ σώματος καὶ αἵματος μεταλήψεως, καὶ μὴ θρύπτεσθαι βλακείαις καὶ ῥαντισμοῖς ὑδάτων θερμῶν. Εἰ δὲ τὴν φλεβοτομίαν κατεπείγει θανάσιμον νόσημα, διὰ τὴν σωτηρίαν τοῦ κάμνοντος τελεσθήσεται.

Inter. 12. Si quis post sanctam assumptionem vomuerit, per quam traditionem emendabitur?

Ἐρώτησις ιβ'. Ἐὰν ἐμέσῃ τις μετὰ τὴν ἁγίαν μετάληψιν, κατὰ ποίαν διορθωθείη παράδοσιν;

Res. Sancte, inquit, custodiens sancta, expiabitur[v] et sanctificabitur : gratiam autem prodens, inquinabitur[x]. Si igitur ex ingluvie lapsus est in D vomitum is, qui divinas sanctificationes assumpsit, gravioribus pœnis emendabitur. Sin autem per incidentis forte ægrotationis infestationem, episcopali judicio moderatius coercebitur. Et hoc enim desertionis est opus.

Ἀπ. Ὁ μὲν φυλάττων (φησὶν) ὁσίως τὰ ὅσια, ὁσιωθήσεται καὶ ἁγιασθήσεται· ὁ δὲ προδιδοὺς τὴν χάριν, βεβηλωθήσεται. Εἰ γοῦν ἐξ ἀκρασίας ὠλίσθησεν εἰς τὸν ἔμετον ὁ τῶν θείων ἁγιασμάτων μεταλαβὼν, μετὰ σφοδροτέρων ἐπιτιμίων διορθωθήσεται· εἰ δὲ διὰ συμπεσόντος τυχαίως ἀῤῥωστήματος κάκωσιν, κατὰ τὴν ἐπισκοπικὴν διάκρισιν μετριωτέρως ἐπιτιμηθήσεται. Καὶ τοῦτο γὰρ ἔργον ἐστὶν ἐγκαταλείψεως.

Inter. 13. An sine periculo sacrificabit quispiam, aut divina faciet baptismata in navi, vel domo non sacra?

Ἐρώτησις ιγ'. Ἀκινδύνως ἐν πλοίῳ ἢ ἐν ἀνιέρῳ οἰκίᾳ ἱερουργήσει τις, ἢ θεῖα τελέσει βαπτίσματα;

Res. Dixit quidem Deus per Mosem ad Israel, Hierosolymis et non alio ullo loco festum celebra-

Ἀπ. Ὁ μὲν Θεὸς εἶπε διὰ Μωσέως πρὸς τὸν Ἰσραὴλ, Ἐν Ἱεροσολύμοις καὶ οὐκ ἐν ἑτέρῳ τόπῳ τινὶ ἑορτά-

VARIÆ LECTIONES.

[v] *pius evadet.* [x] *profanus fiet.*

σεις Πάσχα Κυρίῳ τῷ Θεῷ σου. Ἐντεῦθεν καθαρῶς αἰνιττόμενος τοῦ Ἰουδαϊκοῦ Πάσχα τὴν παντελῆ ἀπραξίαν, διὰ τὸ τοῦ τόπου μονώτατον. Οἱ δὲ νθ' κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, καὶ ὁ πδ' κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου, καθαιρέσει καθυποβάλλουσι τὸν ἐν εὐκτηρίῳ οἴκῳ θεῖον ἐκτελέσαντα βάπτισμα. Διορίζονται γὰρ ἐν καθολικαῖς ἐκκλησίαις τὰ βαπτίσματα γίνεσθαι. Ἀλλὰ καὶ ὁ λα' κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ ὁ ιβ' κανὼν τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συστάσης συνόδου, διατάττονται μετὰ ἐκχωρήσεως ἐπισκοπικῆς καὶ εἰς εὐκτηρίους οἴκους τελεῖσθαι βαπτίσματα. Ὁ μέντοι ἀοίδιμος βασιλεὺς κύριος Λέων, ὁ σοφὸς, βλέπων τὴν ὀρθόδοξον πίστιν εὐθηνουμένην ὡς ἄμπελον, καὶ αὐξανομένην ὡς νεόφυτα ἐλαιῶν, κύκλῳ τῆς τραπέζης τῶν ταύτης ἐκκλησιῶν, διωρίσατο ἐν δ' καὶ ἐν ιε' Νεαρᾷ θεσμοθεσίᾳ αὐτοῦ μὴ μόνον εἰς τὰς ἐκκλησίας ἀλλὰ καὶ εἰς τοὺς εὐκτηρίους οἴκους ἀδιαστίκτως ἱεροτελεστίας καὶ βαπτίσματα γίνεσθαι. Διὸ κατὰ τὴν τούτων περίληψιν, ὁ μετὰ ἀντιμηνσίου ἱερουργήσας, ἢ βαπτίσας εἰς εὐκτήριον οἶκον, μὴ ἱερωθέντα δι' ἐγκαινίων ἁγιασίων, καὶ τοῦ συνήθους ἐνθρονισμοῦ, ναὶ μέντοι καὶ διὰ λειψάνων ἁγίων ἐνσοριασμοῦ (ταῦτα γάρ εἰσι τῶν καθολικῶν Ἐκκλησιῶν ἀποθησαυρίσματα καὶ ὑψώματα), ἀλλ' εἰς εὐχὴν οἰκιακὴν ἀφορισθέντα πιστῶν, ἢ εἰς οἰκίσκον πλοιαρίου τινὸς ἀποταμευθέντα Θεῷ, καὶ ἁγίαις εἰκόσι κοσμούμενον, οὐ προκριματισθείη ὡς παραβάτης κανόνων καὶ ἀδιάφορος. Οὕτω γὰρ καὶ οἱ μετὰ τῶν αὐτοκρατόρων ἑπόμενοι κληρικοὶ, εἰς πεδιάδας ἐρήμους ἱερουργεῖν δεδικαίωνται, κατὰ μόνον τὸ εἰς ἐκκλησίαν ἀφορισθὲν βαμβύκινον οἰκισκάριον.

A bis Paschatis Domino Deo tuo. Inde clare innuens Judaici Paschatis plenam vacationem, propter loci singularitatem. Canon autem 59 sanctæ et œcumenicæ synodi coactæ in Trullo magni palatii, et canon 84 synodi Carthaginensis, depositioni subjiciunt eum, qui in oratoria domo divinum perficiunt baptisma. Statuunt enim baptismata in catholicis Ecclesiis debere fieri. Sed et 31 canon synodi in Trullo, et 12 canon synodi coactæ in templo sanctorum apostolorum, constituunt ut et in oratoriis domibus baptismata fiant cum permissu episcopi. Inclytus sane imperator dominus Leo philosophus, videns orthodoxam fidem exuberantem ut vitem, et crescentem ut olivarum palmites in circuitu mensæ ecclesiarum ejus, definivit B in 4 et 15 Novella, non tantum in catholicis ecclesiis, sed et in oratoriis domibus indistincte sacra ministeria, et baptismata fieri. Quamobrem juxta harum tenorem, qui cum antimensio sacra fecerit, aut baptisaverit in oratoria domo, non consecrata per initiatorias dedicationes, et solemnem throni inaugurationem, quin et per sanctarum reliquiarum tumulum (hi enim sunt catholicarum Ecclesiarum thesauri et exaltationes), sed in domesticam orationem fidelium separata, aut in navigii alicujus domuncula Deo destinata, et sanctis imaginibus ornata, non patietur præjudicium, perinde ac si canonum transgressor esset, nullamque eorum rationem habuisset. Sic enim et clerici, C qui sunt in imperatorum comitatu, in campis solitariis sacra rite facere censentur, sub solo bombycino, quod est ecclesiæ destinatum, tentorio

Ἐρώτησις ιδ'. Ἀκινδύνως ἱερουργήσει τις ἢ συνεύξεται μετὰ αἱρετικῶν, Ἰακωβιτῶν δηλαδὴ καὶ Νεσταριανῶν, εἰς ἐκκλησίαν αὐτῶν, εἴτε μὴν καὶ ἡμετέραν· ἢ κοινῆς μετ' αὐτῶν μετάσχῃ τραπέζης· ἢ ποιήσει ἀνάδοχον ἐκ τοῦ ἁγίου βαπτίσματος· ἢ κατοιχομένων ποιήσει μνημόσυνα· ἢ μεταδώσει τῶν θείων ἁγιασμάτων αὐτοῖς; Ἡ στενοχωρία γὰρ τοῦ τόπου πολλὰ τοιαῦτα ποιεῖ. Καὶ ζητῶ τὸ ποιητέον.

Inter. 14. An sine periculo sacra vel vota simul faciet aliquis cum hæreticis, Jacobitis videlicet et Nestorianis, in eorum ecclesia, vel etiam in nostra, aut communem cum iis participabit mensam, aut faciet ex sancto lavacro susceptorem, aut mortuorum celebrabit memorias, aut largietur illis divinas sanctificationes? Nam loci angustiæ multa hujusmodi faciunt. Quæro quid faciendum.

Ἀπ. Μὴ δότε τὰ ἅγια τοῖς κυσὶν (ὁ Κύριος καὶ Θεὸς ἡμῶν εἴρηκεν), μηδὲ βάλητε τοὺς μαργαρίτας D τῶν χοίρων ἐπίπροσθεν. Διά τοι τοῦτο καὶ ὁ ξδ' κανὼν τῶν θεοκηρύκων ἁγίων ἀποστόλων φησὶν, Εἴ τις κληρικὸς ἢ λαϊκὸς εἰσέλθῃ εἰς συναγωγὴν Ἰουδαίων ἢ αἱρετικῶν προσεύξασθαι, καθαιρείσθω καὶ ἀφοριζέσθω. Καὶ ὁ λγ' κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, ἀλλὰ μὴν καὶ ὁ ς' καὶ ὁ λδ', ταῦτά φησι περὶ τοῦ συγχωρεῖν τοῖς αἱρετικοῖς εἰσιέναι εἰς οἶκον Θεοῦ, ἐπιμένουσι τῇ αἱρέσει, ὅτι Οὐ δεῖ αἱρετικῷ ἢ σχισματικῷ συνεύχεσθαι. Ὅτι οὐ δεῖ Χριστιανὸν ἐγκαταλείπειν μάρτυρας Χριστοῦ, καὶ ἀπιέναι πρὸς τοὺς ψευδομάρτυρας· τουτέστιν αἱρετικοὺς, ἢ αὐτοὺς τοὺς προειρημένους αἱρετικοὺς γενομένους. Οὗτοι γὰρ ἀλλότριοι τοῦ Θεοῦ τυγχάνουσιν. Ἔστωσαν οὖν ἀνάθεμα οἱ ἀπερχόμενοι πρὸς αὐτούς. Διά τοι τοῦτο καὶ

Res. Ne detis sancta canibus, (inquit, Dominus et Deus noster) nec projiciatis margaritas ante porcos. Qua de causa et sexagesimus quartus canon Dei præconum sanctorum apostolorum ait: Si quis clericus, aut laicus, orandi causa ingressus fuerit in synagogam Judæorum, vel hæreticorum, deponatur et excommunicetur. Et trigesimus tertius canon Laodicenæ synodi, item sextus et trigesimus quartus, hæc ait de venia danda hæreticis in sua hæresi perstantibus ingrediendi domum Dei: quod non oportet una cum hæretico vel schismatico orare: Quod non oportet ullum Christianum Christi martyras relinquere, et ad falsos martyras, hoc est hæreticos, abire, vel eos, qui prius hæretici fuere. Hi enim sunt a Deo alieni. Sint ergo anathema, qui ad eos abeunt. Eam ob rem et nos

censemus, non excommunicationi tantum et depositioni subjiciendos laicos et clericos vota simul facientes in orthodoxorum vel hæreticorum ecclesia, aut ubicunque vota cum eis simul facientes solemnia, et sacerdotali more, aut etiam cibum simul sumentes, verum et gravius coerceri, juxta divinorum canonum prædictorum tenorem. Locorum enim angustiæ et hæreticorum multitudo, orthodoxæ fidei non mutant integritatem.

Inter. 15. Captivi Latini et alli ad nostras accedunt catholicas ecclesias, et participes fieri postulant divinarum sanctificationum : scire velim, an hoc eis concedendum sit.

Res. Qui non est mecum, contra me est, (inquit, divinum Evangelium) et qui non colligit mecum, dispergit. Quoniam igitur ante annos multos, occidentalis Ecclesiæ (Romæ, inquam) celebris conventus divisus est ab aliorum quatuor sanctorum patriarcharum spiritali communione, et ad mores institutaque divertit, a catholica Ecclesia, et ab orthodoxis aliena : quam ob causam neque Papa in divinis sacrificationibus [y] communi patriarchalium nominum relatione dignus habetur : non debet Latinicum genus manu sacerdotali per divina et immaculata mysteria sanctificari, nisi deponat prius, se a Latinicis institutis et consuetudinibus abstenturum, et secundum canones instructus fuerit, et orthodoxis adæquatus.

Inter. 16. Divinarum sanctificationum assumptio arbitraria est monachis omnibus, clericis et laicis, qui non sunt prohibiti : ut quotidie fere per eam sanctificari possint. An ut sub pondere libratur [z] munus? Sed et in iis, qui ad congregationem conveniunt, necessitatem habet boni participatio, an arbitraria est, et spontanea ?

Res. Quemadmodum lege statutum est [a], dignis dari dignitates, sic sancta, sanctis. Quicunque igitur per vitæ integritatem, viam sibi ad divinam participationem complanarunt, sine impedimento admittentur. Neque enim hi omnino eam, ut rem quamlibet aliam, aggredientur, si gratiæ altitudinem considerent, et sacramenti magnitudinem.

Cogi autem quemquam divinas sanctificationes assumere, non placuit. Etsi enim aliqui apostolico 9 canone usi, (sic inquiente, Quicunque fideles ingrediuntur et Scripturas audiunt, in precatione autem et sacra communione non permanent, ut Ecclesiæ confusionem afferentes, segregari oportet) velint eos, qui in ecclesiam conveniunt, etiam invitos cogi divinas sumere sanctificationes nos tamen canonem non sic interpretamur. Et enim fideles quidem ad finem usque divini sacrificii, et

A ἡμεῖς ψηφιζόμεθα μὴ μόνον ἀφορισμῷ καὶ καθαιρέσει καθυποβάλλεσθαι τοὺς λαϊκούς τε καὶ κληρικοὺς, συνευχομένους ἐν ἐκκλησίᾳ ὀρθοδόξων ἢ αἱρετικῶν, ἢ ὁπουδήποτε συνευχομένους αὐτοῖς ἱερατικῶς, ἢ μὴν καὶ συνεσθίοντας· ἀλλὰ καὶ μειζόνως κολάζεσθαι, κατὰ τὴν τῶν ῥηθέντων θείων κανόνων περίληψιν. Ἡ γὰρ στενοχωρία τῶν τόπων, καὶ ὁ τῶν αἱρετικῶν πληθυσμὸς τῆς ὀρθοδόξου πίστεως οὐ μετήμειψε τὴν ἀπεραιότητα.

Ἐρώτησις ιε'. Αἰχμάλωτοι Λατῖνοι καὶ ἕτεροι παρουσιάζουσιν εἰς τὰς καθολικὰς ἐκκλησίας ἡμῶν, καὶ ζητοῦσι μεταλαβεῖν τῶν θείων ἁγιασμάτων. Εἰ γοῦν ἐκχωρητέον τοῦτό ἐστι, ζητοῦμεν μαθεῖν.

B Ἀπ. Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι (τὸ θεῖον ἔφησεν Εὐαγγέλιον)· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει. Ἐπεὶ οὖν πρὸ χρόνων πολλῶν ἀπεσχίσθη τῆς δυτικῆς Ἐκκλησίας (τῆς Ῥώμης φαμὲν) τὸ περιώνυμον ἄθροισμα ἐκ τῆς τῶν ἑτέρων τεσσάρων ἁγίων πατριαρχῶν πνευματικῆς κοινωνίας, καὶ ἀπεσχοινίσθη πρὸς ἔθη καὶ δόγματα τῆς καθολικῆς Ἐκκλησίας καὶ τῶν ὀρθοδόξων ἀλλότρια. Διὰ γὰρ τοῦτο οὔτε ἐν ταῖς θείαις ἱεροτελεστίαις, κοινῆς τῶν πατριαρχικῶν ὀνομάτων ἀναφορᾶς ὁ πάπας ἠξίωται, οὐκ ὀφείλει γένος Λατινικὸν ἐκ χειρὸς ἱερατικῆς διὰ τῶν θείων καὶ ἀχράντων μυστηρίων ἁγιάζεσθαι· εἰ μὴ κατάθηται πρότερον ἀπέχεσθαι τῶν Λατινικῶν δογμάτων τε καὶ συνηθειῶν, καὶ κατὰ κανόνας κατηχηθῇ, καὶ τοῖς ὀρθοδόξοις ἐξισωθῇ.

C *Ἐρώτησις ις'.* Ἡ τῶν θείων ἁγιασμάτων μετάληψις αὐθαίρετός ἐστι πᾶσι τοῖς μὴ κεκωλυμένοις μοναχοῖς κληρικοῖς τε καὶ λαϊκοῖς· ὥστε δύνασθαι τούτους καθ' ἑκάστην σχεδὸν δι' αὐτῆς ἁγιάζεσθαι· ἢ ὡς ὑπὸ στάθμης ζυγοστατεῖται τὸ δώρημα; Ἀλλὰ καὶ τοῖς τούτων ἐκκλησιάζουσιν ἀναγκαστική ἐστι τοῦ ἀγαθοῦ ἡ μετάληψις, ἢ προαιρετέα καὶ αὐτοκέλευστος;

Ἀπ. Ὡς νενόμισται δίδοσθαι τοῖς ἀξίοις τὰ ἀξιώματα, οὕτω καὶ τοῖς ἁγίοις τὰ ἅγια. Ὅσοι γοῦν διὰ καθαρότητα βίου τῆς θείας μεταλήψεως τὴν ὁδὸν αὐτοῖς ἐξωμάλισαν, ἀπαρεμποδίστως δεχθήσονται. Πάντως γὰρ οὐδὲ αὐτοὶ ταύτης ὡς τυχαίας κατατολμήσουσι, κατανοοῦντες τὸ ὕψος τῆς χάριτος, καὶ D τοῦ μυστηρίου τὸ μέγεθος.

Ἀναγκαστικῶς δέ τινας τῶν θείων μεταλαμβάνειν ἁγιασμάτων οὐ δέδοκται. Κἂν γάρ τινες τῷ ἀποστολικῷ θ' κανόνι χρησαμένοι, (τῷ οὕτω λέγοντι· Πάντας τοὺς εἰσιόντας πιστοὺς καὶ τῶν Γραφῶν ἀκροωμένους, μὴ παραμένοντας δὲ τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἀταξίαν ἐμποιοῦντας τῇ Ἐκκλησίᾳ ἀφορίζεσθαι δεῖ), θέλουσι δὲ τοὺς ἐκκλησιάζοντας τῶν θείων μεταλαμβάνειν ἁγιασμάτων καὶ ἄκοντας· ἀλλ' ἡμῖν οὕτω τὰ τοῦ κανόνος οὐκ ἐκλαμβάνεται. Ἐκκλησιάζειν μὲν γὰρ τοὺς πιστοὺς μέχρι τέλους

VARIÆ LECTIONES.

[y] *in sacris cærimoniis.* [z] *velut ad lancem ponderatur.* [a] *more receptum est.*

τῆς θείας ἱεροτελεστίας, καὶ τῆς τελευταίας τοῦ ἱερουργοῦντος εὐχῆς, καὶ τοῦ ἀντιδώρου τῆς μεταλήψεως, ψηφιζόμεθα· καὶ τοῖς οὕτω μὴ ποιοῦσι τὴν ἐκ τοῦ κανόνος ἐπισείομεν ἀγανάκτησιν. Μεταλαμβάνειν δὲ αὐτοὺς οὐκ ἀναγκάζομεν, διὰ τὴν τῆς συνειδήσεως βάσανον. Προσεκτέον οὖν, κατὰ τὴν τοῦ ῥηθέντος κανόνος περίληψιν, μὴ ἀσυντάκτως ἐκ τῆς ἱερουργίας ὑποχωρεῖν τοὺς ἐκκλησιάζοντας· ἀλλ' ἐπεὶ αὕτη ἔκ τε τῆς Παλαιᾶς Διαθήκης καὶ τῆς Νέας εἰς μίαν ταυτότητα μεγαλύνεται, καὶ μέχρι μὲν τῆς τῶν ἁγίων Εὐαγγελίων ἀνακηρύξεως, τῆς Δαυϊτικῆς κινύρας τὰ ψαλτῳδήματα τοῦ μυστηρίου τὴν δύναμιν ἁγιάζουσι· μετὰ δὲ ταύτην τῆς ἀναιμάκτου θυσίας ἀνοίγονται τὰ προαύλια, ἐπιτρέποντα καὶ τοῖς ἀρχιερεῦσι τὸ μὲν ἐπωμάδιον ὠμοφόριον τὸ εἰς τύπον τοῦ ἀμνοῦ καλλιτεχνηθὲν ἀποτίθεσθαι, μεταχειρίζεσθαι δὲ τοῦ ἀληθοῦς καὶ ζωοποιοῦ Ἀμνοῦ τὸ μυστήριον· εἰ μὲν οἱ ἐκκλησιάζοντες εὐθὺς μετὰ τὰ ἅγια Εὐαγγέλια, αὐθαιρέτως ὑποχωρήσουσιν, οὐκ αἰτιαθήσονται· εἰ δὲ μετὰ τὴν καταρχὴν τῆς ἀναιμάκτου θυσίας καὶ μυστικῆς, ὡς ἄτακτοι καὶ σκανδαλισταὶ δικαίως ἀφορισθήσονται.

A ultimæ sacrificantis precationis remunerationisque participationis, interesse concioni debere censemus. Et iis, qui sic non faciunt, canonis indignationem vibramus : participare autem eos non cogimus, ob conscientiæ tormentum. Animadvertendum igitur, juxta prædicti canonis tenorem, ne qui conventui intersunt, inordinate a sacrificio revertantur. Sed cum ipsum ex Veteri Novoque Testamento pari modo magnificetur, et ad recitationem quidem usque sanctorum Evangeliorum, Davidicæ citharæ carmina sacramenti celebrent potestatem : postea autem incruentæ hostiæ aperiantur vestibula, antistitibus permittentia superhumeralem amictum deponere, qui agni figura eleganter fabricatus est, et tractare veri vivificique B Agni sacramentum : si quidem ii, qui in congregationem convenerunt, statim post sancta Evangelia sponte discedant, non culpabuntur : sed si post incruentæ mysticæque victimæ principium, ut inordinati et offensores juste excommunicabuntur.

Ἐρώτησις ιζ'. Οἱ μετὰ τοῦ ἀρχιερέως ἢ μετὰ τοῦ ἱερέως συλλειτουργοῦντες διάκονοι, ἀπαραιτήτως μεταλαμβάνειν ὀφείλουσιν, ἢ οὔ;

Inter. 17. Qui cum pontifice vel sacerdote comministrant diaconi, debent citra excusationem communionem assumere, annon ?

Ἀπ. Ὁ η' κανὼν τῶν ἁγίων ἀποστόλων οὕτω φησίν, Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ τοῦ καταλόγου τοῦ ἱερατικοῦ, προσφορᾶς γινομένης μὴ μεταλάβῃ, τὴν αἰτίαν εἰπάτω. Καὶ ἐὰν ᾖ εὔλογος, συγγνώμης τυγχανέτω. Εἰ δὲ μὴ λέγει, C ἀφοριζέσθω, ὡς αἴτιος βλάβης γινόμενος τῷ λαῷ, καὶ ὑπόνοιαν ποιήσας κατὰ τοῦ προσενέγκαντος ὡς μὴ ὑγιῶς προσενεγκόντος. Παρατηρητέον οὖν τοὺς ὑποδιακόνους καὶ τοὺς διακόνους, καὶ μᾶλλον τοὺς χειραπτήσαντας μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων· ἢ μὴν τὴν αἰτίαν λέγειν δι' ἣν τοῦ ἀγαθοῦ τούτου ἀπέστησαν. Τοῦτο γὰρ μὴ ποιοῦντες, ἀφορισθήσονται κατὰ τὴν τοῦ ῥηθέντος κανόνος περίληψιν.

Res. Canon 8 sanctorum apostolorum sic ait : Si quis episcopus, presbyter, vel diaconus, vel ex sacerdotali catalogo, facta oblatione non communicaverit, causam dicat : et si probabilis fuerit, veniam consequetur ; sin vero minus, segregetur, ut qui populo offensionis causa sit, et suspicionem dederit adversus eum, qui obtulit, quasi non digne obtulerit. Observandum igitur, ut subdiaconi, et diaconi et potius sacra contrectantes, divinas sanctificationes assumant, vel certe causam dicant, ob quam eo bono abstinuerunt. Id enim si non faciant, juxta prædicti canonis tenorem excommunicabuntur.

Ἐρώτησις ιη'. Ἀκίνδυνόν ἐστι γίνεσθαι τὴν τῶν θείων ἁγιασμάτων διάδοσιν καὶ μετάληψιν μετὰ ψυχροῦ οἴνου καὶ ὕδατος· ἢ ἀπαραίτητόν ἐστι καὶ ζέον ὕδωρ κατὰ τὸν καιρὸν τῆς μεταλήψεως εἰς τὰ ἅγια βάλλειν;

Inter. 18. An sine periculo divinarum sanctificationum distributio et assumptio fiant cum frigido vino et aqua : an sine excusatione aqua fervens participationis tempore in sancta sit mittenda ?

Ἀπ. Τοῦ λβ' κανόνος τῆς ἐν τῷ Τρούλλῳ τοῦ D μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου καθαιρέσει καθυποβάλλοντος τοὺς μὴ τελειοῦντας τὸ θεῖον καὶ ἅγιον ποτήριον ἐξ οἴνου καὶ ὕδατος, αἱρεσιῶταί τινες οὐκ ἀνέχονται βάλλειν ζέον εἰς τὸ ἅγιον καὶ θεῖον ποτήριον· Ὅτι (φασὶ) τὰ περὶ τούτου τῷ κανόνι οὐ διελήφθησαν. Ἀκούουσι δὲ, ὅτι τὸ ζέον τῷ ἁγίῳ αἵματι προστιθέμενον τὴν δι' ὕδατος καὶ οἴνου ἕνωσιν τοῦ ἁγίου ποτηρίου οὐκ ἀλλοιοῖ· ἐπεὶ μηδὲ ἕτερόν τι παρὰ τὸ ὕδωρ ἐστί. Βάλλεται δὲ εἰς πληροφορίαν τοῦ εἶναι ζωοποιὰ τὰ ῥεύσαντα ἀπὸ τῆς ἁγίας πλευρᾶς τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κατὰ τὸν καιρὸν τοῦ σωτηρίου πάθους αὐτοῦ, τὸ αἷμα δηλονότι καὶ τὸ ὕδωρ· ἅτινα ἐξέῤῥευσαν ζέοντα ὡς ἐκ ζωο-

Res. Cum 32 canon sanctæ et œcumenicæ synodi, coactæ in Trullo magni palatii, depositioni subjiciat eos, qui divinum et sanctum poculum non consecrant ex vino et aqua ; hæresiotæ aliqui non patiuntur calidam infundi in sanctum et divinum poculum, Quia, inquiunt, de eo nihil canone comprehensum est. Audiunt autem, ferventem sancto sanguini additam, unionem aquæ et vini sancti calicis non mutare, quia præter aquam nihil est aliud. Infunditur autem, ut vivifica esse constet, quæ fluunt e sancto latere Domini, et Dei, et Servatoris nostri Jesu Christi, tempore salutaris passionis ejus, sanguinem videlicet et aquam, quæ ferventia effluxerunt, velut ex vivifico deificato corpore vivifica. Qui sic igitur non faciunt,

nec inde miraculi magnificant magnitudinem, sed aqua frigida vinoque utuntur in divinarum sanctificationum participatione; non credunt etiam post salutarem Domini mortem sancto corpori ejus inesse deltatem, sed ab eo abscessisse, esseque cujusmodi nostra corpora. Quæ magnæ hæresis est nugatio. Magnus enim inter sanctos Joannes Damascenus, In sepulcro, inquit, corporaliter: in inferno autem cum anima, ut Deus: in paradiso vero cum latrone, et in throno fuisti, Christe, cum Patre et Spiritu, omnia implens, qui incircumscriptus es. Qui igitur divinum poculum aqua fervente non consecrant, ut hæresiotæ e sorte orthodoxorum expellentur.

Inter. 19. Sacerdos sæcularis rectene confessiones aliquorum hominum cum permissu episcopi suscipiet, annon?

Res. Divini canones, qui confessionem reconciliationis sacerdotibus cum episcopali venia [b] committunt, multo antiquiores sunt sancto Pachomio, qui dignus habitus est, ut per visionem angelicam monachorum habitum videret. Quamobrem mŏnachorum nusquam meminerunt, sed presbyterorum simpliciter. Episcopali ergo judicio laicis sacerdotibus jus confessionis potestas concedetur [c], et per eam reconciliatio pœnitentium.

Inter. 20. An sine præjudicio transeant monachi ex monasteriis, ubi detonsi sunt, in alia, necne?

Res. Si is, qui apud hominem deposuit propriam confessionem, implere eam cogitur, quonam modo qui apud Deum deposuit, cogitur suam depositionem infirmare? Idcirco et juxta quartum canonem sanctæ et œcumenicæ synodi coactæ in templo sanctorum apostolorum, appellatæ 1 et 2, nominatim hæc pronuntiantem, Si quis monachus ex proprio fugiens mouasterio, in aliud transierit vel in mundanam habitationem petulanter ingressus fuerit, pariter et qui eum exceperit sit excommunicatus, donec is qui fugit, revertatur in monasterium, a quo perperam defecit. Si vero episcopus aliquos monachos, pietatis et vitæ honestatis testimonium habentes, in aliud monasterium ob ejus compositionem voluerit transferre, vel in mundanum domicilium ob salutem inhabitantium constituere, vel alibi placuerit præesse, horum neque susceptores, neque monachos culpæ reos facit. Qui igitur sine episcopali permissu transeunt in alia monasteria ex iis, ubi tonsi sunt, multoque magis in mundanis domibus conversantes, et qui eos suscipiunt, exterminati et excommunicati erunt, donec in monasteria, in quibus conventiones [d] fecerunt, fuerunt reversi.

ποιοῦ τεθεωμένου σώματος ζωοποιά. Οἱ γοῦν μὴ ποιοῦντες οὕτω, καὶ τὸ τοῦ θαύματος κάντεῦθεν μεγαλύνοντες μέγεθος, ἀλλὰ διὰ ψυχροῦ ὕδατος καὶ οἴνου τὴν τῶν θείων μυστηρίων ποιοῦντες μετάληψιν, οὐ πιστεύουσι καὶ μετὰ τὸν σωτήριον τοῦ Κυρίου θάνατον παρὰ τῷ ἁγίῳ σώματι αὐτοῦ τὴν θεότητα εἶναι, ἀλλὰ ἀποστῆναι ἐκ τούτου, καὶ εἶναι κατὰ τὰ ἡμέτερα σώματα. Ὅπερ μεγάλης αἱρέσεώς ἐστι φλυάρημα. Ὁ γὰρ μέγας ἐν ἁγίοις Ἰωάννης ὁ Δαμασκηνὸς, Ἐν τάφῳ (φησὶ) σωματικῶς· ἐν ᾅδῃ δὲ, μετὰ ψυχῆς, ὡς Θεός· ἐν παραδείσῳ δὲ, μετὰ ληστοῦ· καὶ ἐν θρόνῳ ὑπῆρχες, Χριστὲ, μετὰ Πατρὸς καὶ Πνεύματος· πάντα πληρῶν, ὁ ἀπερίγραπτος. Οἱ γοῦν μὴ διὰ ζέοντος ὕδατος τελειοῦντες τὸ θεῖον ποτήριον, ὡς αἱρεσιῶται, τῆς μερίδος τῶν ὀρθοδόξων ἐκκηρυχθήσονται.

Ἐρώτησις ιθ'. Λαϊκὸς ἱερεὺς μετὰ ἐπιτροπῆς ἐπισκοπικῆς καλῶς ἐξαγορείας ἀνθρώπων τινῶν ἀναδέξεται, ἢ οὔ;

Ἀπ. Οἱ θεῖοι κανόνες τὴν ἐξαγορείαν τῆς καταλλαγῆς τοῖς ἱερεῦσι μετὰ προτροπῆς ἐπισκοπικῆς ἀναθέμενοι, κατὰ πολὺ πρεσβύτεροι τοῦ ἁγίου Παχωμίου εἰσὶν, ἀξιωθέντος ἰδεῖν δι' ὀπτασίας ἀγγελικῆς τὸ σχῆμα τῶν μοναχῶν. Διὰ γὰρ τοῦτο οὐδὲ μέμνηνταί που μοναχῶν, ἀλλὰ πρεσβυτέρων ἁπλῶς. Κατὰ κρίσιν γοῦν ἐπισκοπικὴν τοῖς λαϊκοῖς ἱερεῦσιν ἐνδυνάμως ἐπιτραπήσεται τῆς ἐξαγορείας τὸ δίκαιον, καὶ διὰ ταύτης ἡ τῶν μετανοούντων καταλλαγή.

Ἐρώτησις κ'. Ἀπροκριματίστως μεταβαίνουσι μοναχοὶ ἐξ ὧν ἀπεκάρησαν μοναστηρίων πρὸς ἕτερα μοναστήρια, ἢ οὔ;

Ἀπ. Ἐὰν ὁ πρὸς ἄνθρωπον καταθέμενος τὴν οἰκείαν ὁμολογίαν, πληροῦν ἀναγκάζηται, πῶς ὁ πρὸς Θεὸν καταθέμενος, ἀναγκασθήσεται τὴν οἰκείαν ἀθετῆσαι κατάθεσιν; Διά τοι τοῦτο καὶ κατὰ τὸν δ' κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς λεγομένης α' καὶ β' τὸν ταῦτα διεξιόντα ῥητῶς, Εἴ τις μοναχὸς τῆς ἰδίας ἀποδράσας μονῆς εἰς ἕτερον μεταπέσῃ μοναστήριον, ἢ εἰς κοσμικὸν εἰσκωμάσῃ οἴκημα, ὡσαύτως τε καὶ ὁ τοῦτον δεξάμενος, ἀφωρισμένος εἴη, ἕως ἂν ὁ ἀποφυγὼν ἐπανέλθῃ ἐξ ἧς κακῶς ἐξέπεσε μονῆς. Εἰ μέντοιγε ὁ ἐπίσκοπος τινὰς τῶν μοναχῶν ἐπ' εὐλαβείᾳ καὶ βίου σεμνότητι μαρτυρουμένους εἰς ἕτερον μοναστήριον ἐπὶ καταστάσει τῆς μονῆς θελήσει μετακομίσαι, ἢ εἰς κοσμικὴν οἰκίαν ἐπὶ σωτηρίᾳ τῶν ἐνοικούντων δοκιμάσει καταστῆσαι, ἢ ἀλλαχόσε εὐδοκήσει ἐπιστατῆσαι· τούτων οὔτε τοὺς ὑποδεχομένους, οὔτε τοὺς μοναχοὺς ὑπόδικους ποιεῖ. Οἱ γοῦν δίχα προτροπῆς ἐπισκοπικῆς μεταβαίνοντες εἰς ἕτερα μοναστήρια ἐξ ὧν ἀπεκάρησαν, πολλῷ δὲ πλέον εἰς κοσμικὰς κατοικίας διατρίβοντες, καὶ οἱ δεχόμενοι τούτους, ἀφωρισμένοι καὶ ἀκοινώνητοι ἔσονται, μέχρις ἂν ὑποστρέψωσιν εἰς τὰ μοναστήρια ἐν οἷς τὰς συνθήκας δεδώκασιν.

VARIÆ LECTIONES.

[b] *exhortatione.* [c] *efficaciter concedetur.* [d] *pacta vel sponsiones.*

Ἐρώτησις κα'. Ἔξεστιν εἰς διαφόρους ἐκκλησίας κληρωθῆναί τινα, ἢ οὔ;

Ἀπ. Εἶπεν ἐν Εὐαγγελίοις ὁ Κύριος, Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν. Τοῦ γὰρ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. Ὅθεν καὶ ὁ ιε' κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς ζ' συνόδου ταῦτα κατὰ ῥῆμα διέξεισι, Κληρικὸς ἀπὸ τοῦ παρόντος μὴ καταταττέσθω ἐν δυσὶν ἐκκλησίαις. Ἐμπορείας γὰρ καὶ αἰσχροκερδείας ἴδιον τοῦτο, καὶ ἀλλότριον ἐκκλησιαστικῆς συνηθείας. Ἠκούσαμεν γὰρ ἐξ αὐτῆς τῆς Κυριακῆς ἁγίας φωνῆς, ὅτι οὐ δύναταί τις δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. Ἕκαστος οὖν, κατὰ τὴν ἀποστολικὴν φωνὴν, ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ ὀφείλει μένειν, καὶ προσεδρεύειν ἐν μιᾷ Ἐκκλησίᾳ. Τὰ γὰρ δι' αἰσχροκέρδειαν γινόμενα ἐπὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἀλλότρια τοῦ Θεοῦ καθεστήκασι. Πρὸς δὲ τὴν τοῦ βίου τούτου χρείαν ἐπιτηδεύματά εἰσι διάφορα. Ἐξ αὐτῶν οὖν εἴ τις βούλοιτο τὰ χρειώδη τοῦ σώματος ποριζέσθω. Ἔφη γὰρ ὁ Ἀπόστολος, Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. Παρατηρητέον οὖν τὰ τοῦ θείου τούτου κανόνος συντηρεῖσθαι ἀπαρεγχείρητα· πολλὴ γὰρ γέγονεν αὐτοῦ καταφρόνησις.

Ἐρώτησις κβ'. Ἀρχαῖον ἔθος εἰς τὴν τῶν Ἀλεξανδρέων ἐκράτησε χώραν, τοὺς τελευτῶντας ἱερεῖς καὶ ἀρχιερεῖς διὰ ἁγίου μύρου χρίεσθαι, καὶ ἐνταφιάζεσθαι· καὶ ζητοῦμεν μαθεῖν εἰ ἀπροκριμάτιστον τοῦτό ἐστιν.

Ἀπ. Εὐαγγελικόν ἐστι παράγγελμα, ἅπαξ βαπτίζεσθαι τοὺς πιστεύσαντας εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Διά τοι τοῦτο καὶ ὁ μζ' κανὼν τῶν ἁγίων ἀποστόλων ταῦτά φησιν, Ἐπίσκοπος ἢ πρεσβύτερος τὸν κατὰ ἀλήθειαν ἔχοντα βάπτισμα ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν μὴ βαπτίσῃ, καθαιρείσθω· ὡς γελῶν τὸν σταυρὸν καὶ τὸν τοῦ Κυρίου θάνατον, καὶ μὴ διακρίνων ἱερέας ψευδοϊερέων. Καὶ ὁ ιη' κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου ταῦτα διέξεισιν, Ἐάν τις κληρικὸς χειροτονῆται, ὀφείλει ὑπομιμνήσκεσθαι τοὺς ὅρους φυλάττειν· καὶ ἵνα τοῖς σώμασι τῶν ἀποθανόντων εὐχαριστία μὴ διδῶται, μηδὲ βάπτισμα. Οἱ οὖν διὰ μύρου χρίοντες τοὺς τελευτῶντας ἱερεῖς καὶ ἀρχιερεῖς, ἢ ἑτέρους τινὰς καὶ οὕτως ἐνταφιάζοντες, μεγάλης εἰσὶ κολάσεως ἄξιοι· ἢ ὡς καταγινώσκοντες τῶν βαπτιζόντων ὀρθοδόξων αὐτοὺς, ἢ ὡς μὴ πληροφορίαν ἔχοντες ἐντελῆ, τοῖς ὀρθοδόξοις εἶναι τούτους κοινωνοὺς, καὶ πρὸ κατακρίσεως κατακρίνοντες.

Ἐρώτησις κγ'. Λελωβημένος ἢ ἑτερόφθαλμος ἀξιωθείη βαθμοῦ ἱερατικοῦ; ἢ ὁ μετὰ τὴν ἱερωσύνην καταπαθὴς γεγονὼς, ἐσεῖται καὶ μετὰ τὸ πάθος ἱερουργῶν, ἢ οὔ;

Ἀπ. Καὶ ἄλλοτε εἴπομεν ἀπὸ τοῦ Μωσαϊκοῦ νόμου τοὺς τοιούτους εἰς ἱερωσύνην μὴ προβιβάζεσθαι· Ὁ δὲ οζ' κανὼν τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων ταῦτά φησιν· Εἴ τις ἀνάπηρος ἢ τὸν ὀφθαλμὸν,

Interrogatio 21. An possit quis in diversis ecclesiis clericus ordinari, necne?

Res. Dixit in Evangeliis Dominus, Nemo potest duobus dominis servire. Nam uni adhærebit, et alterum aspernabitur. Unde et canon 15 sanctæ et œcumenicæ 7 synodi hæc ad verbum exprimit: Clericus ab hoc deinceps tempore in duabus ecclesiis non collocetur: hoc enim est negotiationis et turpis lucri proprium, et ab ecclesiastica consuetudine alienum. Ab ipsa enim Domini voce audivimus, non posse quempiam duobus dominis servire: vel unum odio habebit, et alterum diliget; vel unum amplectetur, et alterum negliget. Unusquisque ergo, ut vox est apostolica, in eo, in quo vocatus est, debet mancre, et in una Ecclesia assidere. Quæ enim propter turpe lucrum fiunt in ecclesiasticis negotiis, ea a Deo sunt aliena. Ad hujus autem vitæ usum sunt diversa studia. Ex iis ergo, si quis velit, ea quæ sunt corpori ad usum necessaria, comparet. Dixit enim Apostolus, Usibus meis, et iis qui mecum sunt, subministraverunt manus meæ. Observandum igitur, ut hic canon inviolatus conservetur: magna enim fuit hujus contemptio.

Interrogatio 22. Vetus consuetudo in Alexandrinorum regione obtinuit, ut mortui sacerdotes et pontifices sancto ungerentur unguento, et ita sepelirentur. An illud extra præjudicium sit, discere cupimus.

Res. Evangelicum est præceptum, semel eos, qui crediderunt, baptizari in nomine Patris, et Filii, et Spiritus sancti. Ob eam rem et 47 canon sanctorum apostolorum hæc inquit: Episcopus vel presbyter, eum, qui vere habet baptismum, si de integro baptizaverit, vel si eum, qui ab impiis pollutus est, non baptizaverit, deponatur, ut qui irrideat mortem et crucem Domini, et non discernat sacerdotes a falsis sacerdotibus. Et 18 canon synodi Carhaginensis hæc exprimit: Si quis clericus ordinetur, debet admoneri, ut servet decreta; et ut mortuorum corporibus Eucharistia non detur, nec baptismus. Qui igitur unguento deliniunt mortuos sacerdotes, et pontifices, aut alios quosvis, et sic sepeliunt, magna sunt castigatione digni, vel ut contemnentes orthodoxos, qui eos baptizarunt; vel ut plenam non habentes testificationem, quod hi cum orthodoxis fuerint participes, et ante judicium condemnantes.

Inter. 23. Mancus aut monoculus habebiturne gradu sacerdotali dignus? aut qui post sacerdotium mutilatus est, permitteturne post vitium sacrificare annon?

Ἐρώτησις κε'. Μονοθελήτης ἱερατικὸν ἔχων ἐπάγγελμα, διὰ μετανοίας ὑπέστρεψεν εἰς τὴν καθ' ἡμᾶς ὀρθόδοξον πίστιν, καὶ ἐδέχθη, καὶ ἡγιάσθη· μετὰ μικρὸν δὲ στραφεὶς εἰς τὸν ἴδιον ἔμετον, αἱρεσιώτης, ὡς πρότερον, γέγονεν· ἀλλ' αὖθις, ὡς λέγει, καθ' ἑαυτὸν γεγονὼς, καὶ τὸ ἁμάρτημα συνεὶς, εἰς τὴν ὀρθόδοξον πίστιν κατέφυγε, καὶ ἐδέχθη, κατὰ τὸν καλῶς ὑποστρέψαντα ἄσωτον· ἐπεὶ δὲ θέλει καὶ ἱερωσύνης ἀξιωθῆναι, ζητοῦμεν τὸ ποιητέον μαθεῖν.

Inter. 25. Monotheleta[l] sacerdotalem habens admonitionem[m], per pœnitentiam ad nostram orthodoxam fidem rediit, et susceptus est ac sanctificatus. Paulo autem post, ad proprium reversus vomitum, hæreticus (ut antea) factus est ; sed rursus, ut inquit, cum apud se esset, et peccatum intelligeret, ad orthodoxam fidem confugit, et admissus est, in modum opportune redeuntis prodigii ; cum autem sacerdotium ambiat, quærimus, quid faciendum sit, discere.

Ἀπ. Οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, τὸ ἱερὸν φησιν Εὐαγγέλιον. Διὸ κατὰ τὸν ιδ' κανόνα τῆς ἐν Νικαίᾳ ἁγίας καὶ οἰκουμενικῆς συνόδου (τάδε κατὰ ῥῆμα διαλαμβάνοντα, Περὶ τῶν κατηχουμένων καὶ παραπεσόντων ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε τριῶν ἐτῶν αὐτοὺς ἀκροωμένους μόνον, μετὰ ταῦτα εὔχεσθαι μετὰ τῶν κατηχουμένων), ἀρκεῖ τῷ οὕτω κακῶς ὀλισθήσαντι, καὶ τῇδε κἀκεῖσε μεταῤῥιπιζομένῳ, δεχθῆναι κατὰ τὴν τοῦ κανόνος περίληψιν. Ἱερατείας γὰρ οὐκ ἀξιωθήσεται.

Res. Nemo mittens manum suam ad aratrum, et retro conversus, aptus est ad regnum cœlorum, inquit sacrum Evangelium. Quamobrem, juxta 14 canonem sanctæ et œcumenicæ synodi Nicenæ (hæc comprehendentem ad verbum, De catechumenis et iis qui lapsi sunt, visum est sanctæ et magnæ synodo, ut ii tribus annis tantum audientes, postea orent cum catechumenis), sufficit huic tam perdite lapso, et huc atque illuc agitato, si juxta canonis tenorem admittatur ; nam sacerdotium non promerebitur.

Ἐρώτησις κς'. Ἀκινδύνως ἐπίσκοποι μοναχοί τε καὶ κληρικοὶ γίνονται φροντισταὶ δημοσίων ὀφφικίων καὶ δουλειῶν, καὶ κηδεμόνες πραγμάτων ἀρχοντικῶν, ἢ οὔ;

Inter. 26. An episcopi, monachi, et clerici sine periculo fiant administratores publicorum officiorum et ministeriorum, et curatores negotiorum ad magistratus pertinentium, necne?

Ἀπ. Οἱ ἐν Χαλκηδόνι συνελθόντες ἑξακόσιοι τριάκοντα ἅγιοι Πατέρες, καὶ τὴν ἁγίαν τετάρτην

Res. Qui Chalcedone convenerunt sexcenti triginta sancti Patres et sanctam quartam synodum

VARIÆ LECTIONES.

[h] *confirmet.* [i] *qui hæc gestant.* [j] *fiscalium.* [k] *ab eruditis.* [l] *Qui unam in Christo voluntatem statuit.* [m] *professionem.*

cœlestem fecerunt, in 7 canone sub hæc de iis nominatim eleganter scripserunt : Eos, qui in clero semel ordinati sunt, et itidem monachos statuimus nec ad militarem expeditionem, nec ad sæcularem dignitatem posse venire. Qui autem hoc audent et non pœnitentia ducti ad id revertuntur, quod propter Deum prius elegerant, anathematizari. Et 83 canon sanctorum apostolorum hæc ait : Episcopus, vel presbyter, vel diaconus, exercitui vacans, et utraque obtinere volens, Romanum scilicet magistratum, et sacerdotalem administrationem, deponatur. Quæ sunt enim Cæsaris, Cæsari ; et quæ sunt Dei, Deo. Fient igitur in monachis, et reliquis adeo bene se gerentibus, ea quæ hujusmodi canonibus definita sunt.

Inter. 27. Conjuges communi forte consensu et placito animæ conducibili, monasticam vitam elegerunt. Quia autem rursus in eadem domo agunt, eodem victu, eademque mensa utentes, discere velim quid faciendum sit.

Res. Divini canones sanctæ et œcumenicæ synodi, coactæ in templo sanctorum apostolorum, appellatæ 1 et 2, definiunt : tonsuras in monasteria sic fieri, ne recusari possint, et conventiones[a] eorum, qui tondentur, a fidejussoribus suscipi. Qui igitur non degunt in monasteriis, in quibus habitu mutarunt, et tonsi sunt, sed in mundanis diversoriis ; compellentur a diœceseos episcopo, cum excommunicatione et acerbissimis pœnis redire bene, unde male exierunt.

Inter. 28. Pontifices, qui diaconos, vel sacerdotes ordinant, item qui per divinum lavacrum pueros orthodoxorum, aut aliquos hæreticos sanctificant ; pariter qui aliquibus ministrant divinas sanctificationes, si in laboris præmium nummarias aliquas summas ab iis exigant, rectene faciunt, annon?

Res. Milites, inquit, propriis stipendiis non aluntur. Et per Mosen dixit Deus, Non constringes os bovi trituranti. Si igitur per mediocrem datione aliquam, et arbitrio ordinati, vel aliter sanctificati, solatium accipere quærunt sacerdotes et pontifices, qui ordinant vel baptizant, nihil mali faciunt. Nam solemne est per consuetudinem, ordinantes accipere solatium. Quod si hujusmodi solitas munificentias non requirant, sed majora dona, et quæ ordinati facultates coangustent, non tantum non exaudientur, sed et depositioni subjicientur. Ait enim 2 canon sanctæ et œcumenicæ synodi : Si quis episcopus propter pecunias ordinationem fecerit, et non venalem gratiam in venditionem deduxerit, et propter pecunias ordinaverit episcopum, vel chorepiscopum, vel presbyterum, vel diaconum, vel aliquem eorum, qui in clero annumerantur, vel propter pecunias promoverit œconomum, vel defensorem, vel paramonarium,

A σύνοδον οὐρανώσαντες, ἐν ζ' κανόνι αὐτῶν τάδε ρητῶς περὶ τούτων ἐκαλλιγράφησαν, Τοὺς ἅπαξ ἐν κλήρῳ τεταγμένους καὶ μοναστὰς ὡρίσαμεν μήτε ἐπὶ στρατείας, μήτε ἐπὶ ἀξίαν κοσμικὴν ἔρχεσθαι· ἢ, τοῦτο τολμῶντας, καὶ μὴ μεταμελομένους ὥστε ἐπιστρέψαι ἐπὶ τοῦτο ὃ διὰ Θεὸν εἵλοντο, ἀναθεματίζεσθαι. Καὶ ὁ πγ' κανὼν τῶν ἁγίων ἀποστόλων ταῦτα διέξεισιν· Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος στρατείᾳ σχολάζων, καὶ βουλόμενος ἀμφότερα κατέχειν, Ῥωμαϊκὴν ἀρχὴν καὶ ἱερατικὴν διακονίαν, καθαιρείσθω. Τὰ γὰρ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ. Γενήσεται οὖν ἐπὶ τοὺς οὕτω καλῶς πολιτευομένους μοναχοῖς τε καὶ λοιποῖς τὰ ἐν τοῖς τοιούτοις κανόσι διωρισμένα.

B *Ἐρώτησις κζ'.* Ὁμόζυγοι κατὰ κοινὴν τάχα ψυχωφελῆ θέλησιν καὶ ἀρέσκειαν τὸν μονήρη βίον ἐπελέξαντο· ὅτι δὲ καὶ αὖθις ἐν μιᾷ κατοικίᾳ διάγουσιν, ὁμοδίαιτοι πάντως ὄντες καὶ ὁμοτράπεζοι, ζητῶ τὸ ποιητέον ἐπὶ τούτοις μαθεῖν.

Ἀπ. Οἱ θεῖοι κανόνες τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς λεγομένης α' καὶ β', διορίζονται κατὰ τὸ ἀπαραίτητον εἰς μοναστήρια τὰς ἀποκάρσεις γίνεσθαι, καὶ ὑπὸ ἀναδόχων τὰς συνθήκας τῶν ἀποκειρομένων δέχεσθαι. Οἱ γοῦν μὴ διάγοντες εἰς τὰ μοναστήρια εἰς ἃ μετεσχηματίσθησαν καὶ ἀπεκάρησαν, ἀλλ' εἰς κοσμικὰ καταγώγια, καταναγκασθήσονται παρὰ τοῦ ἐγχωρίου ἐπισκόπου, μετὰ ἀφορισμοῦ, καὶ δριμυτάτων ἐπιτιμίων, ὑποστρέψαι
C καλῶς ὅθεν ἐξῆλθον κακῶς.

Ἐρώτησις κη'. Οἱ χειροτονοῦντες ἀρχιερεῖς διακόνους καὶ ἱερεῖς, ἀλλὰ μὴν καὶ οἱ διὰ τοῦ θείου βαπτίσματος παῖδας ὀρθοδόξων ἁγιάζοντες, ἢ καί τινας αἱρετικούς· ὡσαύτως καὶ οἱ μεταδιδόντες τινὰς τῶν θείων ἁγιασμάτων, ἐὰν ἀπαιτῶσιν ἐξ αὐτῶν χάριν κόπου τούτων ποσότητάς τινας νομισματικὰς, καλῶς ποιοῦσιν, ἢ οὔ ;

Ἀπόκρισις. Οἱ στρατιῶται, φησὶν, ἰδίοις ὀψωνίοις οὐκ ἀνατρέφονται. Καὶ διὰ Μωσέως εἶπεν ὁ Θεὸς, Οὐ φιμώσεις βοῦν ἀλοῶντα. Εἰ γοῦν διὰ μετρίας τινὸς δόσεως, καὶ τῇ προαιρέσει τοῦ χειροτονουμένου, ἢ ἄλλως ἁγιαζομένου, παρηγορηθῆναι ζητῶσιν οἱ χειροτονοῦντες ἢ βαπτίζοντες. Ἱερεῖς τε καὶ ἀρχιερεῖς, οὐδέν τι ποιοῦσι κακόν. Νενόμισται γὰρ διὰ
D συνήθειαν παρηγορεῖσθαι τοὺς χειροτονοῦντας. Εἰ δὲ τοιαύτας μὲν συνήθεις εὐλογίας οὐ ζητοῦσι, ἀλλὰ δόματα σθεναρὰ καὶ τὴν ἰσχὺν τοῦ χειροτονουμένου στενοχωροῦντα, οὐ μόνον οὐκ εἰσακουσθήσονται, ἀλλὰ καὶ καθαιρέσει ὑποβληθήσονται. Φησὶ γὰρ ὁ β' κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, Εἴτις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσει, καὶ εἰς πράσιν κατάγει τὴν ἄπρατον χάριν, καὶ χειροτονήσει ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ χωρεπίσκοπον, ἢ ἑτερόν τινα τῶν ἐν τῷ κλήρῳ κατηριθμημένων, ἢ προβάλλοιτο ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, ἢ προσμονάριον, ἢ

VARIÆ LECTIONES.

[a] *sponsiones.*

ἄλλως τινὰ τοῦ κανόνος δι' αἰσχροκέρδειαν, ὁ τούτῳ ἐπιχειρήσας, ἐλεγχθεὶς κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμόν. Καὶ ὁ χειροτονούμενος, μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελείσθω χειροτονείας, ἢ προβολῆς· ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν. Εἰ δέ τις μεσιτεύων φανείη τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ αὐτὸς, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς ἢ καὶ μονάζων, ἀναθεματιζέσθω. Καὶ ὁ κγ' κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου ταῦτα διέξεισι περὶ τοῦ Μηδένα ἐπίσκοπον, εἴτε πρεσβύτερον, εἴτε διάκονον, τῆς ἀχράντου μεταδιδόντα κοινωνίας, παρὰ τοῦ μετέχοντος εἰσπράττειν, τῆς τοιαύτης μεταλήψεως χάριν, ὀβολὸν, ἢ εἶδος τὸ οἱονοῦν. Οὐδὲ γὰρ πεπραμένη ἐστὶν ἡ χάρις, οὐδὲ χρήμασι τὸν ἁγιασμὸν τοῦ πνεύματος μεταδιδόαμεν, ἀλλὰ τοῖς ἀξίοις τοῦ δώρου ἀπανουργεύτως μεταδοτέον. Εἰ δὲ φανείη τις τῶν ἐν τῷ κλήρῳ κατειλεγμένων ἀπαιτῶν ᾧ μεταδίδωσι τῆς ἀχράντου κοινωνίας τὸ οἱονοῦν εἶδος, καθαιρείσθω, ὡς τῆς τοῦ Σίμωνος ζηλωτὴς πλάνης καὶ κακουργίας.

Ἐρώτησις κθ'. Οἱ κατ' ἐπίγνωσιν ἀληθῆ πρὸς τὴν ὀρθόδοξον πίστιν ἐρχόμενοι, Νεστοριανοὶ δηλονότι, Ἀρμένιοι, Ἰακωβῖται, καὶ ἕτεροι αἱρεσιῶται, διὰ μόνου τοῦ ἁγίου μύρου ὀφείλουσι τελειοῦσθαι, ἢ καὶ διὰ θείου βαπτίσματος;

Ἀπ. Ὁ κε' κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου, ἀκολουθήσας τῷ ζ' κανόνι τῆς ἁγίας καὶ οἰκουμενικῆς β' συνόδου, τάδε κατὰ ῥῆμα διαλαμβάνει· Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν, δεχόμεθα κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν τε καὶ συνήθειαν, Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς καὶ Ναβατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς καθαροὺς, καὶ ἀριστεροὺς, καὶ τοὺς τεσσαρεσκαιδεκατίτας, ἤτοι τετραδίτας, ἤγουν [1] Ἀπολιναριαστὰς, δεχόμεθα διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία· σφραγιζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τό, τε μέτωπον καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥῖνας, καὶ τὸ στόμα, καὶ τὰ ὦτα. Καὶ σφραγίζοντες αὐτοὺς, λέγομεν, Σφραγὶς δωρεᾶς πνεύματος ἁγίου. Περὶ δὲ τῶν παυλιανισάντων, εἶτα προσφυγόντων τῇ καθολικῇ Ἐκκλησίᾳ, ὅρος ἐκτέθειται, ἀναβαπτίζεσθαι αὐτοὺς ἐξ ἅπαντος. Εὐνομιανοὺς μέντοι τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς τοὺς ἐκταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανοὺς, τοὺς υἱοπατορίαν δοξάζοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας· καὶ πάσας τὰς ἄλλας αἱρέσεις, ἐπειδὴ πολλοί εἰσιν ἐνταῦθα, μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ὁρμώμενοι, πάντας τοὺς ἀπ' αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς Ἕλληνας δεχόμεθα· καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανοὺς, καὶ τὴν δευτέραν κατηχουμένους, εἶτα

A vel omnino aliquem ex canone, turpis quæstus gratia, qui hoc tentasse convictus fuerit, de proprio gradu in periculum veniat; et qui est ordinatus, ex ordinatione vel promotione, quæ instar mercatorum venundatur, nihil juvetur, sed sit a dignitate vel curatione alienus, quam pecuniis adeptus est. Si quis autem sequester et intercessor adeo turpibus et nefariis lucris apparuerit, hic quoque, si sit quidem clericus, proprio gradu excidat; si sit autem laicus, vel monachus, anathematizetur. Et 23 canon sanctæ et œcumenicæ synodi in Trullo magni palatii coactæ hæc persequitur: Ut nullus, sive episcopus, sive presbyter, sive diaconus, immaculatam præbens communionem, ab eo, qui communicat, ejus participationis gratia, obolos, vel quamvis aliam speciem exigat. B Non est enim venalis gratia, nec pro pecuniis spiritus sanctificationem impertimur: sed ea iis, qui digni sunt, absque ulla est calliditate [o] communicanda. Si quis autem eorum, qui sunt in cleri catalogo, ab eo, cui immaculatam impertit communionem, ullam speciem exigere visus fuerit, deponatur, ut Simoniaci erroris et maleficii æmulator.

Inter. 29. Qui per veram cognitionem ad orthoxam fidem accedunt, Nestioriani videlicet, Armenii, Jacobitæ, et alii hæretici, an solo sancto unguento debeant initiari, an vero etiam divino lavacro?

Resp. Canon 95 synodi in Trullo secutus 7 canonem sanctæ et œcumenicæ 2 synodi, hæc ad C verbum complectitur: Eos, qui rectæ de fide sententiæ accedunt, et parti eorum, qui ex hæreticis servantur, juxta subjectam consequentiam et consuetudinem recipientes; Arianos quidem, et Macedonianos, et Novatianos, qui se καθαροὺς [id est puros] appellant, et tessares decatitas seu tetraditas, et Apollinaristas, recipimus dantes libellos, et omnem hæresim anathematizantes, quæ non sentit, ut sentit sancta Dei universalis et apostolica Ecclesia: sancto primum chrismate et frontem, et oculos et nares, et os, et aures imprimentes, dicimus: Signaculum doni Spiritus sancti. De iis autem, qui Pauliani sectam secuti sunt, deinde ad catholicam D Ecclesiam confugerunt, statutum est ut ii omnino rebaptizentur. Eunomianos quoque, qui in unam demersionem baptizant, et Montanistas, qui hic dicuntur Phryges, et Sabellianos, qui Filium idem esse cum Patre existimant, et alia quædam gravia faciunt, et omnes alias hæreses, quoniam multi hic sunt, et maxime qui ex Galatarum regione profecti sunt: omnes ex iis, qui ad rectam de fide sententiam volunt accedere, recipimus ut Græcos [p]. Et primo quidem die, eos Christianos facimus, secundo autem, catechumenos, deinde tertio, adjuramus, simul etiam ter in faciem et aures inspirantes: et sic initiamus, et diu in ecclesia versari

VARIÆ LECTIONES.

[o] *fraude.* [p] *paganos.*

et Scripturas audire facimus, et tunc ipsos baptizamus. Quinetiam Manichæos, et Valentinianos, et Marcionistas, et similes hæreticos. Nestorianos autem oportet libellos facere, et hæresim suam anathematizare, et Nestorium, et Eutychen, et Dioscorum, et Severum, et reliquos talium hæreseon principes, et qui eadem, quæ illi, sentiunt, et omnes prædictas hæreses, et sic esse sanctæ communionis participes. Itaque juxta canonis hujus tenorem alii quidem hæretici lavacro sanctificantur, alii autem sancto duntaxat unguento consecrantur.

καὶ τὴν τρίτην ἐξορκιζομένους, μετὰ τοῦ ἐμφυσᾷν τρίτον εἰς τὸ πρόσωπον, καὶ εἰς τὰ ὦτα· καὶ οὕτως κατηχοῦμεν, καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν Γραφῶν· καὶ τότε αὐτοὺς βαπτίζομεν. Καὶ τοὺς Μανιχαίους δὲ, καὶ τοὺς Γαλεντινιανοὺς [48], καὶ τοὺς Μαρκιωνιστὰς, καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων, τοὺς Νεστοριανοὺς, χρὴ ποιεῖν λιβέλλους, καὶ ἀναθεματίζειν τὴν αἵρεσιν αὐτῶν, καὶ Νεστόριον, καὶ Εὐτυχέα, καὶ Διόσκορον, καὶ Σεβῆρον, καὶ τοὺς λοιποὺς ἐξάρχους τῶν τοιούτων αἱρέσεων, καὶ τοὺς φρονοῦντας τὰ αὐτῶν, καὶ πάσας προσαναφυομένας αἱρέσεις· καὶ οὕτως μεταλαμβάνειν τῆς ἁγίας κοινωνίας. Κατὰ γοῦν τὴν τοῦ τοιούτου κανόνος περίληψιν, οἱ μὲν τῶν αἱρεσιωτῶν διὰ βαπτίσματος ἁγιάζονται, οἱ δὲ διὰ μόνου τοῦ ἁγίου μύρου τελειοῦνται.

Inter. 30. Si hæreticus sacerdos vel diaconus dignus habitus divino et sancto baptismate, vel per sanctam unctionem sanctificatus sit, licebitne ei sacra facere cum priore ordinatione, an vero si sacra ministrare velit, iterabitur ejus ordinatio?

Res. Canon 80 sanctorum apostolorum eos, qui ex pagana vita ad orthodoxam fidem accedunt et baptizantur, episcopalem etiam dignitatem promereri definit. Priore igitur sacerdotio pro sacrilego habito, et pro non facto, si cum canonica disciplina judicatus, qui sic fuerit orthodoxus effectus, et cum esset aliquando profanus sacerdos, in posteriore vita sua indemnabilis apparuerit, dignus censeatur non sacerdotali solum dignitate, sed et episcopali, per consuetos omnino gradus ad doctoriam promotus sublimitatem.

Inter. 31. Si hæretici, qui ad orthodoxorum fidem accessit, uxor et liberi, vel etiam alii ejus familiares et domestici, non fiant orthodoxi, sed inhæreant priori hæresi, an prohibebitur is, qui (ut diximus) baptismate initiatus est, ad sacerdotalem vel episcopum ascendere gradum : an vero propter illorum malitiam et ipse tali bono privabitur?

Res. Canon quidem 39 synodi Carthaginensis ait, ut episcopi, et presbyteri, et diaconi non ordinentur, priusquam omnes qui sunt in suis ædibus, Christianos orthodoxos fecerint. Canon autem 72 sanctæ et œcumenicæ in Trullo synodi hæc in parte definit expressim : Si autem aliqui, qui adhuc sunt infideles, et in orthodoxorum gregem nondum relati sunt, inter se legitimo sunt matrimonio conjuncti : deinde hic quidem eo, quod est honestum [q], electo, ad lucem veritatis accurrerit : ille vero erroris vinculo detentus fuerit, nolens divinos radios fixis oculis intueri, et fideli placeat cum infideli cohabitare, ne a se invicem separentur. Ex divini enim Pauli sententia, sanctificatus est vir infidelis in muliere, et sanctificata est mulier infidelis in viro. Contrarietatem igitur duorum canonum, quæ esse videtur, canonice sol-

Ἐρώτησις λ'. Ἐὰν αἱρετικὸς, ἱερεὺς, ἢ διάκονος, ἀξιωθῇ τοῦ θείου καὶ ἁγίου βαπτίσματος, ἢ διὰ τοῦ ἁγίου μύρου ἁγιασθῇ, ἐσεῖται ἱερουργῶν μετὰ τῆς προτέρας χειροτονίας αὐτοῦ, ἢ ἑτέρας ἀξιωθείη χειροτονίας, ἐὰν θελήσῃ ἱερουργεῖν;

Ἀπ. Ὁ τῶν ἁγίων ἀποστόλων π' κανὼν τοὺς ἐξ ἐθνικοῦ βίου προσελθόντας τῇ ὀρθοδόξῳ πίστει καὶ βαπτισθέντας, καὶ ἐπισκοπικοῦ ἀξιώματος καταξιοῦσθαι διορίζεται. Τῆς γοῦν προτέρας ἱερωσύνης, μιαρωσύνης νομιζομένης, καὶ ὡς μὴ γενομένης λογιζομένης, ἐὰν μετὰ τῆς κανονικῆς ἀκριβείας ἀνακρινόμενος ὁ οὕτως ὀρθοδοξήσας, καὶ ὢν ποτε βέβηλος ἱερεὺς, περὶ τοῦ ὑστέρου αὐτοῦ βίου ἀκατάκριτος ἀναφανείη, ἀξιωθείη οὐ μόνον ἱερατικοῦ ἀξιώματος, ἀλλὰ καὶ ἐπισκοπικοῦ, διὰ τῶν συνήθων πάντως βαθμῶν εἰς τὸ διδασκαλικὸν ὕψος ἀναγόμενος.

Ἐρώτησις λα'. Ἐὰν τοῦ προσελθόντος τῇ πίστει τῶν ὀρθοδόξων αἱρετικοῦ ἡ γυνὴ, καὶ οἱ παῖδες, ἢ καὶ ἕτεροι τούτῳ συνέστιοι καὶ συγκάτοικοι, οὐκ ὀρθοδοξήσουσιν, ἀλλ' ἐξέχονται τῆς προτέρας αἱρέσεως, οὐ κωλυθήσεται ὁ τελειωθεὶς, ὡς εἴρηται, διὰ τοῦ βαπτίσματος, εἰς ἱερατικὸν βαθμὸν ἢ ἐπισκοπικὸν ἀνελθεῖν : ἢ διὰ τὴν ἐκείνων κακίαν καὶ αὐτὸς τοσούτου ἀγαθοῦ ἀποστερηθῇ ;

Ἀπ. Ὁ μὲν λς' κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου, φησὶν, Ἐπίσκοπον καὶ πρεσβύτερον καὶ διάκονον μὴ χειροτονεῖσθαι πρὶν πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτῶν ὀρθοδόξους Χριστιανοὺς ποιήσουσιν. Ὁ δὲ β' κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἁγίας καὶ οἰκουμενικῆς συνόδου διορίζεται ἐν μέρει ταῦτα ῥητῶς, Εἰ δέ τινες ἔτι ἐν τῇ ἀπιστίᾳ τυγχάνοντες, καὶ οὔπω τῇ τῶν ὀρθοδόξων ἐγκαταλεγέντες ποίμνῃ, ἀλλήλοις γάμῳ νομίμῳ ἡρμόσθησαν· εἶτα ὁ μὲν τὸ καλὸν ἐκλεξάμενος, τῷ φωτὶ τῆς ἀληθείας προσέδραμεν· ὁ δὲ ὑπὸ τοῦ τῆς πλάνης κατεσχέθη δεσμοῦ, μὴ πρὸς τὰς θείας ἀτενίσαι ἀκτῖνας ἐλόμενος· εὐδοκεῖ δὲ τῷ πιστῷ ἡ ἄπιστος, ἢ τὸ ἔκπαλιν ὁ ἄπιστος συνοικεῖν τῇ πιστῇ· μὴ χωριζέσθω, κατὰ τὸν θεῖον ἀπόστολον. Ἡγίασται γὰρ ὁ ἄπιστος ἀνὴρ ἐν τῇ γυναικὶ, ἢ ἡγίασται ἡ ἄπιστος γυνὴ ἐν τῷ ἀνδρί. Τὴν ἀναφαινομένην οὖν ἐναντιότητα τῶν δύο τούτων κανό-

VARIÆ LECTIONES.

[48] Βαλιντινιανούς.

[q] *quod bonum est.*

νων κανονικῶς λύοντες, λέγομεν ὅτι, ὁ μὲν ἐκ γενετῆς ὢν ὀρθόδοξος, μετὰ γυναικὸς αἱρετικῆς συναφθείς, οὐκ ἀξιωθείη κληρώσεως, εἰ μὴ καὶ τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ ποιήσει ὀρθοδόξους Χριστιανούς· ὅτι καὶ τῆς ἐκκλησιαστικῆς κεχωρισμένος ἐστὶ συνάξεως, ὡς τῇ τοῦ Χριστοῦ μερίδι συμπλέξας κλῆρον ἁμαρτωλόν. Ὁ δὲ αἱρεσιώτης ὢν ἐκ σπαργάνων αὐτῶν, ἐὰν τὴν ὀρθόδοξον πίστιν προέληται, δικαίως, ἐὰν ἀπό τινος ἑτέρου λόγου οὐκ ἐμποδίζηται, χειροτονίας ἀξιωθείη ἱερατικῆς. Τί γὰρ οἶδας, φησὶν ὁ μέγας Ἀπόστολος, ἐὰν ὁ πιστὸς μεταγάγῃ τὴν ἄπιστον σύζυγον αὐτοῦ πρὸς τὴν πίστιν; Καλῶς οὖν ὁ εἰς τὴν ὀρθόδοξον πίστιν ἐλθὼν ἀπὸ θρησκείας αἱρετικῶν, κατὰ κανόνας ἀξιωθείη ἀξιώματος ἱερατικοῦ, κἂν μὴ ὀρθοδοξήσωσιν ἡ γυνὴ καὶ τὰ τέκνα αὐτοῦ.

A ventes, dicimus eum, qui cum a nativitate orthodoxus esset, cum hæretica muliere conjunctus est, dignum non censeri, qui in clerum allegatur, nisi domesticos suos omnes Christianos fecerit orthodoxos : quia et ab ecclesiastica est remotus communione, utpote qui Christi partibus peccatricem sortem implexuerit. Qui autem, hæreticus cum esset ab incunabulis, orthodoxam fidem delegerit, jure, nisi quæ justa causa impediat, ordinationem sacerdotalem consequi possit. Quid enim (inquit magnus Apostolus) nosti, si fidelis deducat infidelem conjugem ad fidem? Recte igitur, qui ad orthodoxam fidem venit ab hæreticorum superstitione, sacerdotali secundum canones honoretur dignitate, licet uxor et liberi ejus orthodoxi non B fiant.

Ἐρώτ. λβ'. Ἀπροκριμάτιστόν ἐστι τελεῖσθαι τέκνων ἀναδοχὰς διὰ Λατίνων, Ἀρμενίων, Μονοθελητῶν, Νεστοριανῶν, καὶ λοιπῶν τοιούτων· ἢ μᾶλλον μισητὸν καὶ ἀποτρόπαιον;

Interr. 32. An extra præjudicium infantium susceptiones fiunt a Latinis, Armeniis, Monotheletis, Nestorianis, et cæteris ejusmodi, an potius odio dignum atque detestandum?

Ἀπόκ. Τὸ β' θέσπισμα τοῦ ι' κεφαλαίου τοῦ α' τίτλου τοῦ α' βιβλίου τῶν Βασιλικῶν; Αἱρετικός, φησὶν, ἐστὶ, καὶ τοῖς κατὰ τῶν αἱρετικῶν ὑπόκειται νόμοις, ὁ μικρὸν γοῦν ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως. Ἐπεὶ γοῦν πάντες οἱ ἀπαριθμηθέντες εἰς τὴν παροῦσαν ἐρώτησιν, οὐ διὰ μικροῦ, ἀλλὰ διὰ πλάτος μέγα καὶ δυσδιεξίτητον ἐκ τῆς τῶν ὀρθοδόξων Ἐκκλησίας ἀπεξενώθησαν, πάντως οὐδὲ χάριν ἀναδοχῆς; παίδων πνευματικῶν μεσιτευομένης δι' ἁγίων εὐχῶν καὶ ἁγιασμάτων πολλῶν, ἡμῖν συγκοινωνήσουσιν· ἵνα μὴ καὶ αὐτοὶ ἀκοινωνησίᾳ κατακριθῶμεν, κατὰ τὸν κανόνα, τὸν λέγοντα, Ὁ κοινωνῶν ἀκοινωνήτῳ, καὶ αὐτὸς ἀκοινώνητός ἐστιν.

Interr. 33. Orthodoxæ mulieres conjunguntur forte per nuptias cum Saracenis vel hæreticis, voluntque, ut bene de fide sentientes, quemadmodum constanter instituerunt, participes fieri divinarum sanctificationum. Quærimus quid faciendum sit.

Ἐρώτ. λγ'. Ὀρθόδοξοι γυναῖκες συνάπτονται τάχα γαμικῶς μετὰ Σαρακηνῶν, ἢ καὶ αἱρεσιωτῶν, καὶ θέλουσιν, ὡς ὀρθοδοξοῦσαι, καθὼς διενίσταντο, μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων· ζητοῦμεν οὖν τὸ ποιητέον μαθεῖν.

Ἀπόκ. Ὁ ο' κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου ταῦτά φησι· Μὴ ἐξεῖναι ὀρθόδοξον ἄνδρα αἱρετικῇ συνάπτεσθαι γυναικί, μήτε αἱρετικῷ ἀνδρὶ ὀρθόδοξον γυναῖκα συζεύγνυσθαι. Ἀλλ' εἰ καὶ φανῇ τοιοῦτον ὑπό τινος τῶν ἁπάντων γινόμενον, ἄκυρον τὸν γάμον ἡγεῖσθαι, καὶ τὸ ἄθεσμον διαλύεσθαι συνοικέσιον. Οὐ γὰρ χρὴ τὰ ἄμικτα μιγνύναι, οὐδὲ τῷ προβάτῳ D τὸν λύκον συμπλέκεσθαι, καὶ τῇ τοῦ Χριστοῦ ποίμνῃ τὸν τῶν ἁμαρτωλῶν κλῆρον. Εἰ δὲ παραβῇ τις τὰ παρ' ἡμῶν ὁρισθέντα, ἀφοριζέσθω. Ἡ γοῦν διὰ τὴν ἄθεσμον ταύτην κοινωνίαν μετὰ αἱρετικοῦ, ἀφωρισμένη οὖσα καὶ ἀκοινώνητος, πῶς τῶν θείων ἁγιασμάτων ἀξιωθείη; πάντως οὐδαμοῦ, εἰ μὴ ἀποστῇ τοῦ κακοῦ, καὶ κανονικοῖς ἐπιτιμίοις διορθωθῇ.

Interr. 34. Quædam muliebrium monasteriorum præfectæ episcopalem requirunt veniam [r], ut sibi subditarum monialium ratiocipia [s] suscipiant. Quærimus, an illud admitti possit.

Ἐρώτ. λδ'. Τινὲς γυναικείων μοναστηρίων προεστῶσαι ζητοῦσιν ἐκχώρησιν ἐπισκοπικὴν χάριν τοῦ δέχεσθαι λογισμοὺς τῶν ὑπ' αὐτὰς μοναχῶν. Ζητοῦμεν οὖν εἰ ἔστιν ἐνδεχόμενον τοῦτο γενέσθαι.

VARIÆ LECTIONES.

[r] *vermissionem.* [s] *confessiones.*

Resp. Alibi etiam diximus, solis tributum esse sacerdotibus, confessionum suscipere ratiocinia cum episcopali permissu. Si igitur non sacratus præfectus nec cum episcopali permissu id facere potest, multo minus id præfectæ concessum erit : etsi virtus ejus solem splendore superet.

Interr. 35. Divini canones diaconissarum meminerunt. Quærimus, quale sit earum officium.

Resp. Olim aliquando ordines diaconissarum canonibus cogniti fuere, habebantque ipsæ gradum ad altare. Menstruorum autem inquinatio ministerium earum a divino et sancto altari expulit. In sanctissima autem Ecclesia sedis Constantinopolitanorum diaconissæ deliguntur, unam quidem communicationem non habentes ad altare, in multis autem habentes conventum, et muliebrem cœtum ecclesiastice dirigentes.

Interr. 36. An subdiaconus et diaconus legitime possit cum muliere copulari, necne.

Resp. Et canones, et leges variæ vetant sacratos post ordinationem mulieribus conjungi. Cum autem (ut videtur) canonicum hoc contemneretur interdictum, inter imperatores inclytus et sapientissimus dominus Leo per Novellam sanctionem vitium emendavit. Inquit enim hæc in parte expressim tertia ejus Novella : Jubemus ut ad vetus Ecclesiæ superne traditum præscriptum creationes procedant: neque enim dignum est, ut qui spiritali ascensu supra corporis abjectionem evecti sunt, hi rursus ad carnis sordes delabantur ; sed e diverso, ut divinum ministerium ex corporis sordibus tanquam in altum aliquem gradum conscendat, convenientius fuerit. Quamobrem nemo eorum, qui altari serviunt, post ordinationem audacter lege connubii mulieri conjungetur. Idque si fecerit, deponetur. Nam ante ordinationem facere licuit, quod post eam adeo male fuit ausus.

Interr. 37. Licitum est sacerdotes præfectos exsistentes, vel primopapas [a*], et pontifices, supermanicis et supergenualibus insigniri, an est vetitum.

Resp. Supermanicarum et supergenualium sacratissimus amictus solis pontificibus attributus est, velut figuram obtinentibus Domini, et Dei, et Servatoris nostri Jesu Christi : indeque peccata etiam hominum remittunt, aliaque majora ad imitationem Christi faciunt, quæ sacerdotibus data non sunt. Quare neque supermanicarum, neque supergenualium merebuntur amictum. Nam supermanicæ figura sunt manicarum, quibus erant constrictæ manus Domini, et Dei, et Servatoris nostri Jesu Christi, quando ad voluntariam passionem conten-

Ἀπόκ. Καὶ ἄλλοτε εἴπομεν, μόνοις τοῖς ἱερεῦσι μετὰ ἐπισκοπικῆς ἐκχωρήσεως δεδομένον εἶναι τὸ δέχεσθαι λογισμούς. Ἂν τοῦν οὐδὲ ἀνίερος καθηγούμενος μετὰ ἐπισκοπικῆς ἐκχωρήσεως δύναται δέχεσθαι λογισμούς, πολλῷ πλέον οὐκ ἐκχωρηθῇ τοῦτο παρὰ καθηγουμένης γίνεσθαι, κἂν ἡ ἀρετὴ αὐτῆς λάμπῃ ὑπὲρ τὸν ἥλιον.

Ἐρώτ. λε'. Οἱ θεῖοι κανόνες μέμνηνται διακονισσῶν. Ζητοῦμεν οὖν μαθεῖν ποῖόν ἐστι τὸ τούτων λειτούργημα.

Ἀπόκ. Πάλαι ποτὲ καὶ τάγματα διακονισσῶν τοῖς κανόσιν ἐπεγινώσκετο, καὶ εἶχον καὶ αὗται βαθμὸν ἐν τῷ βήματι· ἡ δὲ τῶν ἐμμήνων κάκωσις τὴν ὑπηρεσίαν ταύτην ἐκ τοῦ θείου καὶ ἁγίου βήματος ἀπεξένωσε· παρὰ δὲ τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ τοῦ θρόνου τῶν Κωνσταντινουπολιτῶν διακόνισσαι προχειρίζονται, μίαν μὲν μετουσίαν μὴ ἐχουσαι ἐν τῷ βήματι, ἐκκλησιάζουσαι δὲ τὰ πολλὰ, καὶ τὴν γυναικωνῖτιν ἐκκλησιαστικῶς διορθούμεναι.

Ἐρώτ. ϛ'. Ὑποδιάκονος καὶ διάκονος δύνατα νομίμως συναφθῆναι γυναικί, ἢ οὔ ;

Ἀπόκ. Καὶ κανόνες καὶ νόμοι διάφοροι κωλύουσι τοὺς ἱερωμένους συνάπτεσθαι γυναιξὶ μετὰ τὴν χειροτονίαν. Τοῦ δὲ τοιούτου κανονικοῦ παραγγέλματος ἀθετουμένου, ὡς ἔοικεν, ὁ ἐν βασιλεῦσιν ἀοίδιμος καὶ σοφώτατος κύριος Λέων, διὰ θεσπίσματος Νεαροῦ τὸ κακὸν διωρθώσατο. Φησὶ γὰρ ἡ τρίτη Νεαρὰ αὐτοῦ ἐν μέρει ταῦτα ῥητῶς· Κελεύομεν κατὰ τὸ ἄνωθεν ἀρχαῖον τῆς Ἐκκλησίας διάταγμα τὰς χειροτονίας προβαίνειν. Οὐ γὰρ ἄξιόν ἐστι, μετὰ τὸ ἀνυψωθῆναι τῆς σωματικῆς ταπεινώσεως ὑπὸ τῆς πνευματικῆς ἀναβάσεως, τούτους πάλιν ἐπὶ τὴν σαρκικὴν ταπεινότητα καταπίπτειν· τοὐναντίον δὲ μᾶλλον χρὴ εἰς ἀνάβασιν ὑψηλὴν τὴν θείαν λειτουργίαν ἐκ τῆς σωματικῆς ταπεινότητος ἀναβαίνειν. Διὸ οὐδεὶς τῶν τοῦ βήματος μετὰ τὴν χειροτονίαν τολμηρῶς συζευχθείη κατὰ νόμον γάμου γυναικί· τοῦτο δὲ ποιήσας καθαιρεθήσεται. Ἐξῆν γὰρ αὐτῷ πρὸ τῆς χειροτονίας ποιῆσαι τὸ μετὰ τὴν χειροτονίαν οὕτω κακῶς τολμηθέν.

Ἐρώτ. λζ'. Ἐχωρητόν ἐστι τοὺς ἱερεῖς, ἡγουμένους ὄντας, ἢ πρωτοπαπάδας, καὶ τοὺς ἀρχιερεῖς, διὰ ἐπιμανίκων καὶ ἐπιγονατίων ἀποσεμνύνεσθαι ἢ κεκώλυται ;

Ἀπόκ. Ἡ τῶν ἐπιμανίκων καὶ τῶν ἐπιγονατίων ἱερωτάτη ἐνδυμενία μόνοις τοῖς ἀρχιερεῦσι πεφύτιμηται, ὡς τὸν τύπον ἐπέχουσι τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· κἀντεῦθεν καὶ ἁμαρτίας ἀφιοῦσιν ἀνθρώπων, καὶ ἄλλα ποιοῦσι Χριστομιμήτως μείζονα, ὅσα τοῖς ἱερεῦσιν οὐκ ἐνεδόθησαν. Διὸ οὐδὲ τῆς τῶν ἐπιμανίκων οὐδὲ τῶν ἐπιγονατίων ἐνδυμενίας ἀξιωθήσονται. Τὰ γὰρ ἐπιμάνικα τύπος εἰσὶ τῶν χειροπεδῶν τῶν ἐληθεισῶν εἰς τὰς χεῖρας τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὅτε πρὸς τὸ ἑκούσιον

VARIÆ LECTIONES.

[a*] *qui abbates sint, vel protopapades.*

πάθος ἠπείγετο. Τὸ δὲ ἐπιγονάτιον εἰς τύπον τοῦ λεντίου ἐστὶν, ὃ ὁ Κύριος ἐνεδύσατο, καὶ τοὺς πόδας τῶν μαθητῶν ἔνιψεν. Ὥσπερ οὖν οὐ δοθείη ἐπισκόπῳ τινὶ τὰ τοῖς πατριάρχαις φιλοτιμηθέντα διὰ ἐνδυμενίας χαρίσματα, σάκκος δηλονότι καὶ πολυσταύριον (τούτους γὰρ ὑπὸ τούτων κυδαίνεσθαι δέδοκται, ὡς καὶ ἀναφερομένους εἰς τῆς οἰκουμένης τὰ πέρατα· οὕτως οὐδὲ τὰ τοῖς ἐπισκόποις ἀπονεμηθέντα προνόμια τοῖς ἱερεῦσι δοθήσεται· ἵνα μὴ τῶν ἐκκλησιαστικῶν προνομίων σύγχυσις γένηται, καὶ τῷ Πλάσαντι εἴπῃ τὸ πλάσμα· Ἐξισοῦμαί σοι.

A

Ἐρώτ. λη'. Ἀπὸ ἀρχαίας ἐγχωρίου συνηθείας θάπτονται λείψανα ὀρθοδόξων εἰς τὰς κατὰ χώραν ἐκκλησίας ἡμῶν. Ζητῶ οὖν μαθεῖν εἰ ἔστι τοῦτο ἀποκριμάτιστον.

Ἀπόκ. Διαφορὰ μεγάλη ἐστὶν ἐκκλησιῶν κασιερωθεισῶν διὰ ἐγκαινίων ἀνοιξίων καὶ ἐνθρονισμοῦ, χρίσματός τε ἁγίου μύρου, καὶ ἀποθέσεως λειψάνων ἁγίων μαρτυρικῶν, καὶ τῶν μὴ οὕτως ἁγιασθεισῶν, καὶ εὐκτηρίου τόπον ἐπεχουσῶν. Διὸ ἐν ἐκείναις μὲν ἐν αἷς δηλονότι μαρτυρικὰ λείψανα τεθησαύριται, καὶ ἁγίου μύρου ἐμεσολάβησε χρίσμα, ἀνθρώπινον λείψανον οἱονδηποτοῦν οὐ ταφήσεται (κατὰ τὸ β' κεφάλαιον τοῦ α' τίτλου τοῦ ε' βιβλίου τῶν Βασιλικῶν, τὸ λέγον· Μηδεὶς ἐν ἐκκλησίᾳ θαπτέτω νεκρόν. Καὶ κατὰ τὸν ἔξωθεν αὐτοῦ κείμενον παλαιὸν, τὸν λέγοντα· Οὐκ ἔξεστι θάπτειν τινὰ ἐν ἐκκλησίᾳ, ἔνθα δηλονότι μάρτυρος ἐκεῖσε σῶμα ἀπόκειται)· εἰς δὲ τοὺς μὴ οὕτω καθιερωθέντας, ἁγίους εὐκτηρίους κατονομαζομένους, ἀκινδύνως ἐνταφιασθήσονται λείψανα.

B

C

Ἐρώτ. λθ'. Κάτοικοί τινων ἐνοριῶν, τὰς τῶν οἰκείων ἀρχιερέων χειροτονίας παραιτούμενοι, ἑτέρων ἐνοριῶν ἐπισκόποις προσέρχονται καὶ χειροτονιῶν, καθὼς ἕκαστος ἔχει θελήματος. Εἰ γοῦν ἀσφαλῶς αὐτοῖς γίνεται τοῦτο, ζητῶ μαθεῖν.

Ἀπόκ. Τοὺς μὲν ἀναγνώστας τοὺς ἀθετήσαντας τὰς χειροτονίας τῶν ἐπισκόπων αὐτῶν, καὶ εἰς ἑτέρας ἐνορίας μείζονος ἀξιωθέντας βαθμοῦ διὰ χειροθεσίας ἐπισκοπικῆς, ἀκοινωνησίας ἐπιτιμίῳ οἱ κανόνες καθυποβάλλουσι· καὶ οὐ μόνον αὐτοὺς, ἀλλὰ καὶ τοὺς χειροτονήσαντας τούτους, καθὼς τὰ περὶ τούτου παρίσταται ἀπὸ τοῦ νδ' κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, ταῦτα κατὰ ῥῆμα διαλαμβάνοντος· Κληρικοὺς εἰς ἐκκλησίαν τελοῦντας, ὡς ἤδη ὡρίσαμεν, μὴ ἐξεῖναι εἰς ἄλλης πόλεως τάττεσθαι ἐκκλησίαν, ἀλλὰ στέργειν ἐκείνην ἐν ᾗ λειτουργεῖν ἐξ ἀρχῆς ἠξιώθησαν· ἐκτὸς ἐκείνων οἵτινες ἀπολέσαντες τὰς ἰδίας πατρίδας, ὑπὸ ἀνάγκης εἰς ἄλλην ἐκκλησίαν μετῆλθον. Εἰ δέ τις ἐπίσκοπος, μετὰ τὸν ὅρον τοῦτον, ἄλλῳ ἐπισκόπῳ προσήκοντα δέξηται κληρικὸν, ἔδοξεν ἀκοινώνητον εἶναι καὶ τὸν δεχθέντα καὶ τὸν δεξάμενον· ἕως ἂν ὁ μεταστὰς κληρικὸς εἰς τὴν ἰδίαν ἐπανέλθῃ Ἐκκλησίαν. Περὶ δὲ τῶν λαϊκῶν συνεζητήθη ποτὲ παρὰ ταύτῃ τῇ ἁγίᾳ συνόδῳ τῆς τῶν Κωνσταντινουπολιτῶν Ἐκκλησίας, πατριαρχεύοντος τοῦ ἁγιωτάτου ἐν πατριάρχαις καὶ

debat. Supergenuale autem, figura est lintei, quod induit Dominus, cum discipulorum pedes lavit. Quemadmodum igitur quæ patriarchis per indumenta gratiæ tributæ sunt [t], ulli alii non dantur episcopo, saccus videlicet et crux multiplex [u] (eos enim hisce decorari placuit, utpote relatos ad [v] habitabilis orbis extrema): sic nec episcopis concessa privilegia sacerdotibus dabuntur, ne privilegiorum ecclesiasticorum confusio fiat, et Creatori dicat creatura, Exæquor tibi.

Interr. 38. Vetere provinciæ consuetudine reliquiæ [x] orthodoxorum in nostræ regionis ecclesiis sepeliuntur. Quæro igitur discere, an hoc citra præjudicium fiat.

Resp. Magna differentia est inter ecclesias consecratas per initiatorias dedicationes, et throni inaugurationem sanctique unguenti unctionem, et sanctarum reliquiarum martyrum indigitationem; et eas quæ sic sanctificatæ non sunt, obtinentque oratorii locum. Ideoque in quibus videlicet martyricæ reliquiæ reconditæ sunt, et sancti unguenti intervenit unctio, humanum qualecunque cadaver non sepelietur, juxta 2 caput, 1 tit., 5 lib. Basilicorum inquiens: Nullus in ecclesia sepeliatur mortuus. Et secundum veterem [y], extra eum positum: Non licet sepelire quemquam in ecclesia, ubi scilicet martyris corpus depositum est. In sanctis autem oratoriis appellatis, quæ ita consecrata non sunt, reliquiæ sine periculo sepelientur.

Interr. 39. Quarumdam paroeciarum incolæ, suorum pontificum ordinationes respuentes, aliarum diœcesium et ordinationum episcopos adeunt, prout quisque vult: an tuto faciant, quæro discere.

Resp. Lectores quidem, qui suorum episcoporum ordinationes spreverunt: et in aliis provinciis majorem gradum per episcopalis manus impositionem consecuti sunt, excommunicationis pœnæ canones subjiciunt, nec eos modo, sed et eos, qui ordinaverunt, quemadmodum exprimitur canone 54 synodi Carthaginensis, hæc complectente ad verbum: Clericos in ecclesia agentes, ut jam definiimus, non licere ordinare in alius civitatis ecclesia, sed contentos esse illa, in qua ab initio ministrare meruerunt: iis exceptis, qui amissa sua patria, ex necessitate in aliam ecclesiam migrarunt. Quod si quis episcopus post hanc definitionem, clericum susceperit ad alium episcopum pertinentem, placuit excommunicatum esse, tam susceptum, quam suscipientem, donec qui migravit clericus, ad propriam ecclesiam revertatur. De laicis autem simul quæsitum est in sancta Constantinopolitanorum Ecclesiæ synodo, patriarchatum obtinente sanctissimo inter patriarchas et sapientissimo domino Michaele Anchialo, et mense Novembri, indictione

VARIÆ LECTIONES.

[t] *per supellectilem beneficia tributa sunt.* [u] *polystaurium.* [v] *quorum nomina referuntur in sacris ad.* [x] *cadavera.* [y] *scilicet, interpretem.*

quarta, synodalis est facta subnotatio, ex variorum canonum allegatione excepta[a], ex æquo puniri eum, qui ex aliena provincia ordinat laicum, præter episcopi ipsius sententiam, ipsumque etiam ordinatum.

Interr. 40. Possunt diaconi præter archidiaconorum voluntatem sacerdotalem consequi gratiam, annon ?

Resp. Hujus rei providentia per sacrosancti Spiritus gratiam episcopis tributa est. Quare et cum eorum consensu diaconi sacrabuntur, archidiacono, ut confratre, solum præsente.

Interr. 41. Laici, qui secundas contraxerunt nuptias, alias nuptias, tertias scilicet, legitime contrahent, annon ?

Resp. Vetus quidem lex et tertias nuptias, ut legitimas, agnovit, et ex iis procreatos, hæredes, et in potestate habuit parentis. Canones autem divinorum et sanctorum Patrum, non solum tertias nuptias non agnoscunt, verum etiam secundas pœnæ moderatæ subjiciunt. Quia autem imperante inclyto principe, domino Leone philosopho, dissidium fuit magnum inter omnes mundi Ecclesias, quod princeps non solum tertias contraheret, sed etiam quarta[a], synodicus factus est conventus omnium fere, quæ ubique sunt diœcesium antistitum, 8 indictione anni 6428. Et disputatum est, qui nuptiales fugiendi sint contractus, et qui permittendi, velut legitimi, imperantibus inclyto principe Constantino Porphyrogenneta, et ejus socero domino Romano. Post multas altercationes, et exactam disquisitionem, decisio[a] synodica eleganter scripta est, confirmata etiam principis solita subscriptione : quartas quidem nuptias respuendas esse, nec permittendas : tertias autem nunc permittendas esse, nunc non esse. Definit enim binubos, et simul orbos, qui quadragesimum annum nondum impleverunt, contrahere etiam tertias nuptias ad orbitatis remedium, nisi quod per totum quinquennium censura emendantur, ne divinas assumant sanctificationes. Finito autem quinquennio, ter in anno assumant. Sed et tricenarils, quamvis liberos habentibus, tertii connubii potestas facta est, propter ætatis infirmitatem : ut et hi per quadriennium esse non debeant divinarum sanctificationum participes : quo peracto, ter in anno divina participaturi sint sacramenta. Iis autem qui quadragesimum annum excesserunt, nullo modo tertias esse concedendas nuptias divini Patres oraculo pronuntiarunt. Et hæc quidem unionis ea decisio definit. Cæterum Ecclesia tandem nostra ætate tertii matrimonii contractum non permisit.

σοφωτάτου κυρίου Μιχαὴλ τοῦ Ἀγχιάλου · καὶ γενομένης κατὰ μῆνα Νοέμβριον, ἐπινεμήσεως δ', σημείωμα συνοδικὸν, συγκεκροτημένον ἀπὸ διαφόρων κανόνων προσκομιδῆς · ἐπίσης γνωματεῦον κολάζεσθαι καὶ τὸν ἐξ ἑτέρας ἐπαρχίας χειροτονήσαντα λαϊκὸν παρὰ γνώμην τοῦ ἐπισκόπου αὐτοῦ, καὶ αὐτὸν δὴ τὸν χειροτονηθέντα.

Ἐρώτ. μ'. Δύνανται οἱ διάκονοι παρὰ γνώμην τῶν ἀρχιδιακόνων αὐτῶν ἱερατικοῦ καταξιοῦσθαι χαρίσματος, ἢ οὔ ;

Ἀπόκ. Τοῖς ἐπισκόποις ἡ περὶ τούτου πρόνοια παρὰ τῆς χάριτος τοῦ παναγίου Πνεύματος. Διὸ καὶ μετὰ γνώμης αὐτῶν ἱερωθήσονται οἱ διάκονοι, τοῦ ἀρχιδιακόνου, ὡς συναδέλφου, μόνου παρουσιάζοντος ;

Ἐρώτ. μα'. Οἱ διγαμήσαντες λαϊκοὶ, καὶ ἑτέρου γάμου, ἤτοι τρίτου, νομίμως ἀξιωθήσονται, ἢ οὔ ;

Ἀπόκ. Ὁ μὲν παλαιὸς νόμος καὶ τρίτον γάμον ὡς ἔννομον ἐπεγίνωσκε, καὶ τοὺς ἐκ τούτου γεννηθέντας, κληρονόμους καὶ ὑπεξουσίους εἶχε τοῦ φύσαντος · οἱ δὲ κανόνες τῶν θείων καὶ ἁγίων Πατέρων, οὐ μόνον τὸν τρίτον γάμον οὐκ ἐπιγινώσκουσιν, ἀλλὰ καὶ τὸν δεύτερον ἐπιτιμίῳ μετρίῳ καθυποβάλλουσιν. Ὅτι δὲ βασιλεύοντος τοῦ ἀοιδίμου βασιλέως κυρίου Λέοντος τοῦ Σοφοῦ σχίσμα γέγονε μέγα παρὰ ταῖς Ἐκκλησίαις τοῦ κόσμου παντὸς, διὰ τὸ τὸν βασιλέα μὴ μόνον τριγαμῆσαι, ἀλλὰ καὶ τετραγαμῆσαι, συνέλευσις ἐτελέσθη συνοδικὴ πάντων σχεδὸν τῶν ἀρχιερατευόντων ἐν ταῖς ἀπανταχοῦ διοικήσεσι, κατὰ τὴν η' ἐπινέμησιν τοῦ ,ςυκη' ἔτους. Καὶ συνεζητήθη ποῖα γαμικὰ συναλλάγματά εἰσιν ἀποτρόπαια, καὶ ποῖα συγχωρητέα, ὡς ἔννομα · βασιλευόντων τοῦ τε ἀοιδίμου βασιλέως Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ τοῦ πανθεροῦ αὐτοῦ κυρίου Ῥωμανοῦ. Μετὰ πολλὰς γοῦν ἀντιλογίας καὶ μετὰ ἐξέτασιν ἀκριβῆ, ἐκαλλιγραφήθη τόμος συνοδικὸς, κατισφαλισμένος καὶ τῇ τοῦ βασιλέως συνήθει ὑπογραφῇ, τὸν μὲν τέταρτον γάμον, ἀπόπτυστον εἶναι καὶ ἀσυγχώρητον · τὸν δὲ τρίτον, πῇ μὲν συγχωρητέον εἶναι, πῇ δὲ ἀσυγχώρητον. Διορίζεται γὰρ, τοὺς μήπω πληρώσαντας τὸ τεσσαρακοστὸν ἔτος, διγαμήσαντας, καὶ ἀπαιδας ὄντας, συναλλάττειν καὶ τρίτον γάμον, διὰ τὴν θεραπείαν τῆς ἀπαιδίας. Πλὴν ἐπιτετιμημένους εἶναι δ' ὅλης πενταετίας, ὥστε μὴ μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων · μετὰ δὲ τὴν πενταετίαν, τρὶς τοῦ ἔτους μεταλαμβάνειν αὐτούς. Ἀλλὰ καὶ τοὺς τριακονταετεῖς ὄντας, κἂν παῖδας ἔχωσιν, ἐξεχώρησαν, διὰ τὴν ἐκ τῆς ἡλικίας ἀσθένειαν, καὶ τρίτον γάμον · ὀφείλοντας καὶ τούτους ἐπὶ τετραετίαν ἀμετόχους εἶναι τῶν θείων ἁγιασμάτων, ὡς ἔκτοτε καὶ αὐτῶν μελλόντων τρὶς τοῦ ἔτους τῶν θείων μεταλαμβάνειν μυστηρίων. Τοῖς δὲ τὸν τεσσαρακοστὸν χρόνον ὑπεραναβᾶσιν, ἐξ οὐδενὸς τρόπου τὸν τρίτον γάμον συγχωρητέον εἶναι οἱ θεῖοι Πατέρες ἐθεσπίφδησαν · καὶ ὁ μὲν τόμος οὗτος τῆς ἑνώσεως ταῦτα διορίζεται · ἡ Ἐκκλησία δὲ οὐκ ἐπέτρεψε τέως ἐπὶ τῶν ἡμετέρων χρόνων τρίτου γάμου συνάλλαγμα.

VARIÆ LECTIONES.

[a] *confecta.* [a] *tomus.*

Ἐρώτ. μβ'. Τοῖς παλλακευομένοις συγχωρητέα ἐστὶν ἡ τῶν θείων ἁγιασμάτων μετάληψις, ἢ οὔ;

Ἀπόκ. Ὁ μέγας ἐν ἀρχιερεῦσι Βασίλειος ἐν διαφόροις κανόσιν αὐτοῦ οὐ δίδωσιν ἄδειαν τοῖς πορνεύουσι τῶν θείων ἁγιασμάτων μεταλαμβάνειν. Ἐν δὲ τῷ π' κανόνι αὐτοῦ διορίζεται, τὴν πορνεύουσαν, ἀποστᾶσαν τῆς πορνείας, μὴ ἀπεντεῦθεν, ἀλλὰ μετὰ τριετίαν τῶν θείων ἁγιασμάτων μεταλαμβάνειν.

Ἐρώτ. μγ'. Ἡ συμπενθερία τῶν συντέκνων μέχρι πόσου βαθμοῦ κωλύεται;

Ἀπόκ. Ὁ μὲν νγ' κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου κολάζει τοὺς ἀναδόχους συνάπτεσθαι γαμικῶς ταῖς μητράσι τῶν ἐκ τοῦ ἁγίου βαπτίσματος ἀναδεχθέντων παίδων. Καὶ μετὰ ἀπόστασιν τοῦ κακοῦ, καθυποβάλλει πορνευόντων ἐπιτιμίῳ. Τὸ δὲ τελευταῖον θέσπισμα τοῦ ι' κεφαλαίου τοῦ ε' τίτλου τοῦ κη' βιβλίου τῶν Βασιλικῶν ἐπὶ πλέον ἐπεκτείνει τὴν κόλασιν. Ὅτι δὲ καὶ ὁ δηλωθεὶς κανὼν καὶ ὁ διαληφθεὶς νόμος μείζονα τὴν κατὰ πνεῦμα συγγένειαν λέγουσι τῆς σωματικῆς συναφείας, γέγονε σημείωμα συνοδικὸν ἐπὶ τοῦ ἁγιωτάτου. Ἐκείνου πατριάρχου κυρίου Νικολάου, κατὰ μῆνα Μάϊον τῆς ιε' ἐπινεμήσεως, ἐπὶ ἐρωτήσει τοῦ ὑπερτίμου ἐκείνου κυρίου Γρηγορίου τοῦ Ξηροῦ, διοριζόμενον τοῖς αὐτοῖς ὅροις συσφίγγεσθαι καὶ ὑφαπλοῦσθαι τὴν διὰ τῆς συντεκνίας συστᾶσαν πνευματικὴν συγγένειαν, οἷς καὶ αἱ σωματικαὶ συγγένειαι περιορίζονται.

Ἐρώτ. μδ'. Ἡ χώρα τῶν Ἀλεξανδρέων πολλαῖς μυριάσι γενεαλογουμένη, καὶ πληθυνομένη, ὀρθοδόξων Χριστιανῶν..... ζητοῦμεν οὖν μαθεῖν, εἰ ἐφεῖται καὶ ἐντὸς τοῦ ς' βαθμοῦ συνάλλαγμα γίνεσθαι γαμικὸν, διὰ τὴν ἀνάγκην τοῦ πράγματος.

Ἀπόκ. Οἱ θεῖοι καὶ ἱεροὶ κανόνες καὶ νόμοι χάριν τῶν γαμικῶν συναλλαγμάτων ἐν πᾶσιν ὁμοφρονήσαντες, καὶ θεαρέστοις σχοινίσμασι καὶ διδάγμασι τὰ γαμικὰ περιορίσαντες συναλλάγματα, ἐξ οἱουδήτινος τρόπου ἐξελθεῖν ταῦτα οὐκ ἐξεχώρησαν· ἀλλ' ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων τὴν γαμικὴν συνάφειαν κεκωλυμένην εἶναι παντελῶς διωρίσαντο· τῶν ἐκ πλαγίου δὲ τὴν συγγένειαν μέχρις ἑβδόμου βαθμοῦ δικαίως ἐστενοχώρησαν. Τὴν δὲ ἐξ ἀγχιστείας, ἤτοι συμπενθερίας, συγγένειαν, κατὰ τὸν ἕκτον βαθμὸν ἀπέλυσαν. Ὀφείλουσι γοῦν καὶ οἱ Ἀλεξανδρεῖς οὕτω γαμικῶς συναλλάττειν, καὶ τὴν στενοχωρίαν τῶν ὀρθοδόξων Χριστιανῶν εἰς ἁμαρτίας δικαίωμα μὴ προβάλλεσθαι. Διασπασθήσεται γὰρ τὸ παρὰ ταῦτα γενησόμενον συνοικέσιον· καὶ μοιχευόντων ἐπιτιμίοις οἱ τὸ ἀθέμιτον συναλλάξαντες καθυποβληθήσονται. Ἐπεὶ δὲ καὶ ἀπὸ τοῦ τόμου τοῦ ἁγιωτάτου πατριάρχου ἐκείνου κυρίου Σισιννίου δύο πρῶτοι ἐξάδελφοι δύο ἀδελφὰς οὐ λαμβάνουσι, καὶ ταῦτα, τοῦ συναλλάγματος ἀναγομένου εἰς ἕκτον ἐξ ἀγχιστείας βαθμὸν, ἔσο καὶ τὰ περὶ τούτου εἰδώς· ἵνα μὴ κατὰ λήθην τῷ τῆς Ἐκκλησίας ἔθει ψυχοβλαβῶς ἐναντιωθῇς.

Interr. 42. In concubinatu agentibus permittenda est divinarum sanctificationum participatio, necne?

Resp. Magnus in antistitibus Basilius, in variis canonibus suis non dat scortantibus licentiam divinas sanctificationes assumendi. In 80 autem canone definit, scortatricem, quæ a scortatione discessit, non exinde, sed post triennium, divinarum sanctificationum participem fieri.

Interr. 43. Consocceratus compatrum ad quotum usque gradum prohibetur?

Resp. Canon quidem quinquagesimus quartus sanctæ et œcumenicæ synodi, in Trullo magni palatii coactæ, vetat susceptores connubio jungi cum matribus infantium e sancto lavacro susceptorum, et post discessionem a malo, subjicit scortantium pœnæ. Ultimus autem versiculus 10 c. 5, tit. 28, libro Basilicon, alterius punitionem extendit. Sed quoniam et declaratus canon, et supra scripta lex spiritalem cognationem dicunt majorem conjunctione corporali: facta fuit synodica subnotatione, tempore sanctissimi illius patriarchæ, domini Nicolai, mense Maio, decimaquinta indictione, ad interrogationem perquam honorandi illius domini Gregorii Xeri, definiens iisdem constringi et explicari terminis [b] spiritalem, quæ per compaternitatem contrahitur, cognationem; quibus corporales cognationes circumscribuntur.

Interr. 44. Alexandrinorum regio multis generationum myriadibus populosa est et amplificata, Christianis autem orthodoxis coangustata. Quærimus ergo discere, an permissum sit et intra sextum gradum nuptias contrahere, propter rei necessitatem.

Resp. Divini et sacri canones, et leges, nuptialium contractuum causa in omnibus consentientes, et Deo gratis intervallis et præceptis nuptiales contractus circumscribentes, nullo modo ea egredi siverunt: sed inter ascendentes quidem et descendentes nuptialem copulam prohibitam esse definierunt. Eorum autem, qui sunt ex transverso, cognationem ad septimum usque gradum jure coangustarunt: cognationem vero, quæ per affinitatem, vel consoceratum conciliatur, post sextum gradum obsoluerunt. Debent igitur et Alexandrini nuptias in hunc modum contrahere, et paucitatem orthodoxorum Christianorum ad peccati justificationem non proponere. Distrahitur ergo, quod præter hæc factum fuerit, conjugium; et mœchantium pœnis, qui illicitum contraxerint, subjicientur. Quia autem sanctissimi etiam patriarchæ illius, domini Sisinnii decisione, duo patrueles seu consobrini, sorores duas non accipiunt, et hæc, contractu deducto ad sextum affinitatis gradum, disce, quæ in ea continentur: ne, per oblivionem, Ecclesiæ consuetudini cum animæ detrimento adverseris.

VARIÆ LECTIONES.

[b] *extendi finibus.*

Interr. 46. Siquis scortatus fuerit [e] cum muliere captiva Christiana, pariterque orthodoxa, sine periculo ut servam eam vendet?

Resp. Potestatem habet dominus a se constupratam ancillam suam vendendi, ejusque pretium lucrifaciendi. Tunc enim libertatem promeretur ancilla, quæ cum domino simul corrupta est [d], quando ad extremum usque spiritum, nullum ejus divendendæ præbuit argumentum. Ait enim 2 cap. 19 tit. 48 lib. hæc nominatim : Si quis non habens uxorem, in suo concubitu ancillam habeat, et cum ea ad mortem usque maneat, sive ex ea susceperit, sive non et de ea nihil in testamento suo dixerit : sit illa libera.

Interr. 47. Si orthodoxus scortatus sit cum Judæa, aut Agarena muliere, censura emendabitur, an rebaptizabitur?

Resp. Quadragesimus septimus quidem canon sanctorum et omni laude celebrium apostolorum hæc ait : Episcopus, vel presbyter, si eum, qui vere habet baptismum, de integro baptizaverit, vel si eum, qui ab impiis pollutus est, non baptizaverit, deponatur, ut qui irrideat mortem et crucem Domini, et non discernat sacerdotes a falsis sacerdotibus. Forsan igitur dixerit quispiam, orthodoxum, qui cum impia scortatus est, pollutum esse, et rebaptizari debere. Quod verum non est : is enim ab iis polluitur, qui sponte abluendo exuit divinum sanctumque baptisma induitque baptisma impiorum. Judicio ergo episcopali per graviorem pœnam emendabitur, et ut scortator, et ut satanicæ communionis cumimpio factus particeps : verum non baptizabitur.

Interr. 48. Quot annorum mas aut femina admittatur ad confessionem?

Resp. Leges quidem delictis impuberum condonandum esse dicunt. Impuberes autem sunt mares quidem, qui decimum quartum annum impleverunt : feminæ vero, duodecim annorum. Forsan igitur dixerit aliquis post duodecimum et decimum quartum ætatis annum eos debere peccata sua declarare : utpote delictorum judicium subeuntes, et capaces scortationis, aliorumque quorumpiam peccatorum effectos. Nos autem ab ipsa experientia, sed ab iis, quæ talium quorumdam causa per varia tempora synodice prolata sunt, consulimus; ut post sextum annum mares et feminæ per confessiones emendari et sanctificari debeant. Quia et clericus quidam per obligatoria scripta, desponsa uxore septenni, et post ejus mortem alii conjunctus mulieri, synodice non impetravit, ut canonicam consequeretur ordinationem, utpote bigamus. Ait enim sancta Constantinopolitana synodus, septennem feminam amoris esse capa-

A Ἐρώτ. μς'. Ἐάν τις πορνικῶς συμφθαρῇ μετὰ γυναικὸς αἰχμαλώτου Χριστιανῆς, καὶ κατὰ ταὐτὸν ὀρθοδόξου, ἀκινδύνως ὡς δούλην πωλήσει αὐτήν;

Ἀπόκ. Ἄδειαν ὁ δεσπότης ἔξει τὴν ὑπὸ τούτου πορνευομένην δούλην αὐτοῦ πωλεῖν, καὶ ἀποκερδαίνειν τὸ ταύτης τίμημα. Ἐλευθερίας γὰρ τότε ἀξιοῦται ἡ δούλη μετὰ τοῦ δεσπότου συμφθειρομένη, ὅτε μέχρι τελευταίας τούτου ἀναπνοῆς οὐδέν τι περὶ διαπράσεως ταύτης φθάσει γενέσθαι. Φησὶ γὰρ τὸ β' κεφάλαιον τοῦ ιθ' τίτλου τοῦ μη' βιβλίου ταῦτα ῥητῶς· Ἐάν τις δούλην σχῇ ἐν τῇ ἰδίᾳ συναφείᾳ, μὴ ἔχων γαμετὴν, καὶ μείνῃ μετ' αὐτῆς μέχρι τελευτῆς, εἴτε ἔχων παῖδας ἐξ αὐτῆς, εἴτε μή· καὶ μηδὲν εἴπῃ περὶ αὐτῆς ἐν ἰδίᾳ διαθήκῃ· γίνεται B ἐκείνη ἐλευθέρα.

Ἐρώτ. μζ'. Ἐὰν ὀρθόδοξος συμφθαρῇ πορνικῶς μετὰ Ἰουδαίας ἢ Ἀγαρηνῆς γυναικὸς, δι' ἐπιτιμίου διορθωθείη, ἢ ἀναβαπτισθήσεται;

Ἀπόκ. Ὁ μὲν μζ' κανὼν τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων ταῦτά φησιν· Ἐπίσκοπος ἢ πρεσβύτερος τὸν κατὰ ἀλήθειαν ἔχοντα βάπτισμα ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν μὴ βαπτίσῃ, καθαιρείσθω, ὡς γελῶν τὸν σταυρὸν καὶ τὸν τοῦ Κυρίου θάνατον, καὶ μὴ διακρίνων ἱερέας ψευδοϊερέων. Ἴσως οὖν εἴποι τις ὀφείλειν καὶ τὸν πορνεύσαντα ὀρθόδοξον μετὰ τῆς ἀσεβοῦς μολυνθῆναι, καὶ ἀναβαπτισθῆναι ὀφείλειν. Οὐκ ἔστι δὲ τοῦτο ἀληθές. Ἐκεῖνος γὰρ μολύνεται παρὰ τῶν ἀσεβῶν, ὃς ἑκοντὶ μὲν ἀπονίπτεται τὸ θεῖον καὶ ἅγιον βάπτισμα, ἐνδύεται δὲ βάπτισμα ἀσεβῶν. Δι' ἐπιτιμίου γοῦν σφοδροτέρου κατ' ἐπισκοπικὴν διάκρισιν διορθωθείη, καὶ ὡς πόρνος, καὶ ὡς κοινωνήσας μετὰ ἀσεβοῦς κοινωνίας σατανικῆς· ἀλλ οὐ βαπτισθήσεται.

Ἐρώτ. μη'. Ποσαετὴς ἀνὴρ ἢ γυνὴ δεχθείη εἰς ἐξαγορείαν;

Ἀπόκ. Οἱ μὲν νόμοι συγχωρητέα τὰ τῶν ἀνήβων ἁμαρτήματα λέγουσιν εἶναι. Ἄνηβοι δὲ εἰσιν ἐπὶ μὲν τῶν ἀῤῥένων, οἱ τὸν τεσσαρεσκαιδέκατον χρόνον πληρώσαντες· ἐπὶ δὲ τῶν θηλειῶν, αἱ δωδεκαετεῖς. Ἴσως οὖν εἴπῃ τις, μετὰ τὸν δωδέκατον καὶ τὸν τεσσαρεσκαιδέκατον χρόνον τῆς ἡλικίας αὐτῶν ὀφείλειν τούτους ἐξαγορεύειν, ὡς καὶ ἐξ ἁμαρτημάτων εὐθυνομένους, καὶ γεγονότας πορνείας καὶ ἄλλων ἁμαρτημάτων τινῶν δεκτικούς. Ἡμῖν δὲ ἀπὸ πείρας αὐτῆς, ἀλλὰ μὴν καὶ ἀπὸ λαληθέντων συνοδικῶς κατὰ διαφόρους καιροὺς, χάριν τοιούτων τινῶν, γνωμοδοτεῖται· μετὰ τὸν ἕκτον ἐνιαυτὸν ὀφείλειν καὶ τοὺς ἄῤῥενας καὶ τὰς θηλείας δι' ἐξαγορείας διορθοῦσθαι καὶ ἁγιάζεσθαι. Ὅτι καὶ κληρικός τις διὰ δεσμωτικῶν ἐγγράφων κατεγγυησάμενος γυναῖκα ἐπαετῆ, καὶ μετὰ θάνατον ταύτης ἑτέρᾳ συζευχθεὶς γυναικὶ, οὐ παρεχωρήθη συνοδικῶς κανονικῆς ἀξιωθῆναι χειροτονίας, ὡς δίγαμος. Εἶπε γὰρ ἡ ἐν Κωνσταντινουπόλει ἁγία σύνοδος τὴν ἐπταετῆ γυναῖκα δεκτι-

VARIÆ LECTIONES.

[e] *stupri consuetudinem habuerit.* [d] *stupri consuetudinem habet.*

κὴν ἕρωτος εἶναι· κἀντεῦθεν καὶ φθορὰν ὑφίστασθαι, καὶ τῆς πορνείας τοῖς λογισμοῖς ἁλίσκεσθαι. Εἰ δὲ ἐπὶ γυναικὸς ταῦτα δικαίως πεφιλοσόφηται, πολλῷ πλέον ἐπὶ ἀνδρὸς ψηφισθήσεται.

A cem, exindeque stuprum pati, et scortationis argui ratiociniis. Quod si hæc de femina juste tractantur, multo magis in mare sciscentur.

Ἐρώτ. μθ'. Κατὰ τὴν ἑσπέραν τῆς κυριωνύμου πρώτης ἡμέρας ἐὰν συμπλακῶσιν ὁμόζυγοι σαρκικῶς, ἐπιτιμηθήσονται ὡς παρανομήσαντες, ἢ οὔ;

Interr. 49. In vespera primi diei Dominici [a] si conjuges carnaliter implicentur, censura coercebuntur, ut transgressores legum, annon?

Ἀπόκ. Καὶ ἄνωθεν εἴρηται, κατὰ τὸ Σάββατον καὶ τὴν Κυριακὴν ὀφείλειν ἀπέχεσθαι τοὺς ὁμοζύγους τῆς σαρκικῆς κοινωνίας· διὰ τὸ ἐν αὐταῖς τὴν πνευματικὴν θυσίαν ἀναφέρεσθαι τῷ Κυρίῳ· καθὼς τοῦτο καὶ ὁ μέγας ἐν ἁγίοις Τιμόθεος πατριάρχης Ἀλεξανδρείας πρὸς τοὺς ἐρωτήσαντας περὶ τούτου ἀπεκρίνατο. Οἱ γοῦν μὴ εἰς ταύτας τὰς ἡμέρας ἐγκρατευόμενοι, πῶς καὶ τότε κατὰ κοινὴν συμφωνίαν σχολάσουσιν (ὡς ὁ μέγας Ἀπόστολος εἴρηκε) τῇ πρὸς Θεὸν ἐντεύξει καὶ προσευχῇ; Πάντως οὐδέποτε. Διὸ καὶ δι' ἐπιτιμίων μετρίων οἱ οὕτως ἡμαρτηκότες διορθωθήσονται.

Resp. Et superius dictum est, in Sabbato et Dominico conjuges abstinere debere carnali societate, quod in eis spiritalis hostia offeratur Domino: quemadmodum magnus inter sanctos Timotheus Alexandriæ patriarcha, ad eos, qui de hoc interrogabant, respondit. Qui igitur his diebus continenter non agunt, quonam modo tunc communi vacabunt (ut magnus ait Apostolus) congressui B cum Deo et orationi? Nullo plane modo. Itaque qui sic deliquerunt, pœnis moderatioribus [f] emendabuntur.

Ἐρώτ ν'. Ἐὰν κατὰ τὴν Τεσσαρακονθήμερον νηστείας οὐκ ἐγκρατεύωνται οἱ ὁμόζυγοι, ἀξιωθήσονται τῆς τῶν θείων ἁγιασμάτων κοινωνίας, κατὰ τὴν τοῦ μεγάλου Πάσχα κοσμοσωτήριον ἑορτήν, ἢ οὔ;

Interr. 50. Si per Quadragenæ jejunium conjuges continenter non agant, digni habebuntur divinarum sanctificationum communione, in magni Paschatis mundi salutari festo, annon?

A arcebuntur a sacramentis.—*Interr.* Si baptizatus sit infans, an lactari a matre sua debet, adhuc inmunda? *Resp.* Omnino lactabit infantem, ne pereat. —*Interr.* An bonum est, confiteri nos peccata nostra viris spiritualibus? *Resp.* Bonum est ac valde utile: sed non iis, qui non experti, et rudes sint harum rerum: ne quis per alienam a ratione compassionem et dispensationem, vel per intempestivam et imperitam intentionem pœnarum, te contemptorem, aut desidem, aut dissolutum reddat. Itaque si virum inveneris spiritualem et peritum, qui medicinam adhibere tibi possit absque verecundia, et cum fide, confitearis ei, tanquam ipsi Domino, non homini.—*Interr.* At vero si hominem non inveniam, qui mihi satisfaciat in confitendo, quid faciam? *Resp.* Confitere Deo privatim, temetipsum damnans, et ad exemplum publicani dicens: Deus noster, tu me scis esse peccatorem, et indignum omni venia. Verum salva me, propter misericordiam tuam.—*Interr.* Cum autem Deo confiteor, an mentionem faciam et enumerationem omnium peccatorum, quæ commisi? *Resp.* Nequaquam; maxime, si corpore deliqueris, et scortando. Quippe dum mentionem facere vis hujus aut illius peccati, polluitur anima tua. Proinde bonum est, ad exemplum publicani dicere: Deus, propitius esto mihi peccatori.

B

ΔΗΜΗΤΡΙΟΥ ΣΥΓΚΕΛΛΟΥ, ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΥΖΙΚΟΥ, ΜΕΛΕΤΗ.

DEMETRII SYNCELLI, METROPOLITANI CYZICENI, DECLAMATIO (41).

C Πολλάκις ἡμῖν ἐπῆλθε τῶν ἀνδρῶν ἐκείνων θαυμάζειν, τί ποτε διανοούμενοι, καὶ τίνας νόμους θείους ἢ ἀνθρωπίνους πληροῦντες, τὰ μηδεμιᾶς ἐν τοῖς γάμοις κωλύσεως ἄξια, τάχα δὲ οὐδὲ ὅλως ἀμφισβητήσιμα, ὑπὸ μακρὰς οὕτω καὶ συνεχεῖς τιθέασι τὰς ζητήσεις, οὐκ οἶδ' ὅθεν αὐτοῖς ἐντακέντος τοῦ τοσούτου ζήλου καὶ τῆς θερμότητος, ὡς παῖδας ἁπλῶς δυοῖν γεννητόρων μηδὲν ἐπικοινωνούντων ἀλλήλοις κατὰ συγγένειαν, μεθ' ἱερολογίας συναρθέντας, ἤδη δὲ καὶ παιδοποιήσαντας, ἀποζεῦξαι πειρᾶσθαι, καὶ διασπάσαι τὸ συνοικέσιον, ἐπιτροπῇ καὶ ταῦτα, καὶ συναινέσει δύο προβὼν μητροπολιτῶν, οὓς τάχα δεήσει καὶ καθελεῖν κατ' αὐτοὺς τῆς ἀξίας, ὡς τὸ οὕτως ἄθεσμον ἐπιτρέψαντας. Ἵνα δὲ δῆλον ᾖ τὸ λεγόμενον, καὶ αὐτὰ τὰ τῶν λεγομένων συγγενῶν D παραθετέον ὀνόματα. Δημήτριος, φησὶ, καὶ Ἰωάννης, ἀδελφοί. Αὖθις ἕτερον γένος, Μαρία καὶ Νικόλαος, ἀδελφοί. Συνάπτεται νόμῳ γάμου τῇ Μαρίᾳ ὁ Ἰωάννης. Τούτων συναπτομένων· ὁ τῆς Μαρίας ἀδελφὸς Νικόλαος κατὰ νομικὴν ἀκρίβειαν τὸν Δημήτριον πάντως οὐδαμῶς ἀνομάσει συμπένθερον· ὡς τοῦ νόμου μόνους ἐκείνους συμπενθέρους εἰδότος, τοὺς τῶν συναπτομένων γεννήτορας, πρὸς δὲ, καὶ τοὺς αὐτῶν ἀνιόντας. Εἰ μή τις ἄρα συνηθείᾳ ἐπόμενος, τῷ τῶν συμπενθέρων ὀνόματι καὶ ἐπὶ τούτων βουληθῇ καταχρήσασθαι. Οὕτω δὲ τούτων συγγενικῶν ἀπορούντων κλήσεων, τοὺς ἀποτεχθέντας ἐξ

Sæpe nobis hos mirari viros ad animum accidit, quid tandem cogitantes, et quibus legibus divinis vel humanis satisfacientes nulla in nuptiis prohibitione digna fortasseque nec dubii quidquam habentia, sub tam prolixas et continuas quæstiones revocent: haud scimus unde infixo eis tanto zelo ac fervore, ut simpliciter liberos duorum parentum, nulla se cognatione tangentium, sacris precibus intervenientibus copulatos, quique jam liberos et ipsi susceperint, disjungere conentur, eorumque cohabitationem dirimere, permissu et consensu duorum quoque metropolitanorum contractam, qui fortassis etiam de horum sententia dignitate dejiciendi erunt, quod rem adeo illicitam permiserint. Ut autem perspicuum sit, quod dicimus, etiam ipsa illorum, qui cognati perhibentur, apponenda nobis nomina. Demetrius, aiunt, et Joannes sunt fratres. Rursus alia familia, Maria et Nicolaus, fratres. Mariæ Joannes matrimonii lege jungitur. His copulatis frater Maria Nicolaus, secundum subtilitatem juris, nequaquam Demetrium appellabit consocerum: quum lex illos duntaxat agnoscat consoceros, qui copulatorum parentes sunt, et eorumdem adscendentes: nisi quis forte consuetudinem vulgi sequens, nomine consocerorum et in his abuti voluerit. Hoc modo cum his appellationes cognaticæ deficiant, quinam vocabit aliquis

NOTÆ.

(41) Hoc scriptum nota, ceu valde necessarium et utile.

ex his prognatos? Nam Demetrius quidem Mariam, Nicolaus Plotinum procreat. An consobrinos inter se? An potius sobrinos? Atqui parentes eorum, neque fratres sunt, neque consobrini. Num alterum patruum, alterum fratris filium? Enimvero fieri nequit, ut quispiam cognationis appellationem eis fingat vel accommodet nequidem si portentuosior sit iis, qui Scindapsos et Tragelaphos (42) comminiscuntur. Quorum vero propinquitatis appellationem natura prorsus ignorat, ita ut ne nudum quidem nomen hinc eis indiderit; eos post procreatos etiam liberos a se invicem dirimere velle, ac matrimonium eorum solvere ceu prohibitum, non modo nos pro abolitione legum et canonum, verum etiam pro magna vi ac tyrannide ducimus. Quod si quis forte fervention sit, dixerit hoc etiam Manichæorum hæresi esse affine, qui legitimas nuptias injuste dirimunt, velut eas abominantes. Quippe sunt ejusdem absurditatis ambo, prohibitas permittere nuptias, et non prohibitas solvere: quod sane parum abfuit, quominus et modo factum fuerit ab iis, qui quidquid ipsis est visum, tum facere, tum dicere moliuntur: nisi singularis illa cautio prudentiaque perspicacissimi Patris nostri, communisque domini, quem divinus plane calculus Ecclesiis orbis terrarum ad instaurationem sacrarum legum atque canonum præfecit, ad synodicam deliberationem negotium retulisset.

A αὐτῶν (τίκτει γὰρ ὁ μὲν Δημήτριος, Μαρίαν· ὁ δὲ Νικόλαος, Πλωτῖνον), πῶς ἂν τις καλέσοι; Ἐξαδέλφους πρώτους ἀλλήλων; ἀλλὰ δισεξαδέλφους; Καὶ μὴν οἱ τεκόντες, οὔτε ἀδελφοὶ, οὔτε ἐξάδελφοι. Ἀλλὰ τὸν μὲν, θεῖον· τὸν δὲ, ἀνεψιόν; Ἀλλ' οὐκ ἂν ἔχοι τις κλῆσιν τινὰ συγγενείας αὐτοῖς ἀναπλάσασθαι ἢ ἐφαρμόσαι, οὐδ' ἂν ᾖ τῶν σκινδαψοὺς ἢ τοὺς τραγελάφους πλαττόντων τερατωδέστερος. Ὧν δὲ ἡ φύσις τὴν ἐκ συγγενείας κλῆσιν ὅλως ἠγνόησε, καὶ οὐδὲ ψιλὸν αὐτοῖς ἐντεῦθεν περιέθηκεν ὄνομα, τούτους μετὰ παιδοποιΐαν ἀλλήλων πειρᾶσθαι διιστᾷν, καὶ λύειν ὡς κεκωλυμένον τὸ συνοικέσιον, οὐκ ἀθετήσεως νόμων τε καὶ κανόνων αὐτοὶ τιθέμεθα μόνον, ἀλλὰ καὶ βίας μεγάλης, καὶ τυραννίδος. Θερμότερος δ' ἄν τις εἴπε, καὶ τῆς Μανιχαίων παραψαῦον αἱρέσεως· οἳ τοὺς νομίμους ἀνόμως διασπῶσι γάμους, ὡς βδελυσσόμενοι. Ἐπεὶ καὶ τῆς αὐτῆς ἀτοπίας ἀμφότερα, συγχωρεῖν τε γάμους κεκωλυμένους, καὶ λύειν τοὺς ἀκωλύτους. Ὅπερ ἂν καὶ νῦν παρολίγον ἐπράχθη καὶ διηνύσθη τοῖς πᾶν τὸ δοκοῦν καὶ ποιεῖν καὶ λέγειν μηχανωμένοις· εἰ μὴ τὸ ἄγαν πεφυλαγμένον τε καὶ ἀγχίνουν τοῦ διορατικωτάτου Πατρὸς ἡμῶν καὶ κοινοῦ δεσπότου, ὃν ψῆφος ἐμφανῶς θεία ταῖς τῆς οἰκουμένης Ἐκκλησίαις ἐπ' ἀνανεώσει τῶν ἱερῶν θεσμῶν καὶ κανόνων ἐπέστησε, συνοδικῇ διασκέψει τὸ πρᾶγμα ἀνέθετο.

B

Atonim, inquit adversarius, hic avunculus amitam ducere deprehenditur; et fratris filius, fratris filiam. Nam his verbis auditores, aut judices, se circumscripturos putant: qui an dialecticas methodos atque sophismata, vel simpliciter ipsas definitiones, et propositiones, et quæ conficiuntur inde conclusiones, calleant; dicere non possumus. In re quidem præsenti vehementer sophismatis nos circumvenire nituntur. Avunculus, inquiunt, amitam duxit, Joannes scilicet Mariam, quæ amita proprie Plotini est, tamquam filii fratris ejus. Quod ipsum continuo apud nos etiam est excusabile. Sed et fratris filius, fratris duxit filiam: Mariæ scilicet fratris filius, Plotinus: at cujus fratris filiam? si quidem ejusdem Mariæ, fuerit hoc extreme absurdum, et canonibus sacris prohibitum. Quippe suam consobrinam ducere, nobis etiam multo magis exsecrabile damnandumque videtur, et omni dignum supplicio. Sin duxit eam, quæ Mariæ marito Joanni fratris est filia, quis hoc prohibet canon, aut lex, aut tomus synodalis? Enimvero hic reliquum est eis sophisma, vitiumque non cohærentium syllogismorum, et magnus quoque Basilius in medium productus, passimque citatus, ac imperita interpretatione corruptus: dum quæ ab ipso de aliis admodum accommodate dicta sunt, hi ad indicatas personas trahere satagunt. Præterea per illud etiam dictum, Erunt duo in carnem unam; audent jactitare, Joannem se necessario Plotini

Ἀλλὰ θεῖος, φησὶν, ἐνταῦθα θείαν λαμβάνων εὑρίσκεται, καὶ ἀνεψιὸς ἀνεψιάν. Ἐντεῦθεν γὰρ καὶ παραλογίζεσθαι τοὺς ἀκροατὰς ἢ δικαστὰς οἴονται, εἰ μὲν καὶ διαλεκτικῶν μεθόδων, καὶ σοφισμάτων, ἢ τῶν ἁπλῶς ὅρων τε, καὶ προτάσεων, καὶ τῶν ἐκ τούτων συμπερασμάτων ὄντες εἰδήμονες, λέγειν οὐκ ἴσμεν· ἐπὶ τοῦ παρόντος γοῦν ὅμως καὶ σφόδρα καταφρίζεσθαι σπεύδοντες. Θεῖος γὰρ εἰλήφει θείαν, φησὶν· ὁ Ἰωάννης δηλαδὴ τὴν Μαρίαν, τὴν κυρίως τοῦ Πλωτίνου θείαν, ὡς ἀδελφόπαιδος. Ὅ καὶ παρ ἡμῖν αὐτόθεν ἀνέγκλητον. Ἀλλὰ καὶ ἀνεψιὸς, ἀνεψιάν· ὁ τῆς Μαρίας ἀνεψιὸς δηλονότι, Πλωτῖνος· ἀνεψιὰν δὲ τίνος; Εἰ μὲν τῆς αὐτῆς Μαρίας, ἐσχάτως ἄτοπον, καὶ καὶνόσι θείοις κεκωλυμένον. Τὴν γὰρ ἰδίαν ἐξαδέλφην λαμβάνειν, καὶ ἡμῖν πολλῷ πλέον ἐξάγιστον καὶ ἀπόβλητον, καὶ πάσης κολάσεως ἄξιον. Εἰ δὲ τοῦ Ἰωάννου τοῦ τῇ Μαρίᾳ συζευχθέντος, τίς ὁ τοῦτο κωλύων κανὼν, ἢ νόμος, ἢ τόμος συνοδικός; Ἀλλ' ἐνταῦθα λοιπὸν αὐτοῖς καὶ τὸ σόφισμα, καὶ τὰ τῶν ἀσυλλογίστων συλλογισμῶν, καὶ ὁ μέγας Βασίλειος εἰς μέσον ἀγόμενος, καὶ περιφερόμενος, καὶ ἀμαθῶς παρερμηνευόμενος· τὰ ἐφ' ἑτέρων ὑπ' ἐκείνου μάλα προσφόρως ἐκφωνηθέντα ῥητὰ, σφόδρα τούτων ἐπὶ τὰ εἰρημένα καθελκόντων πρόσωπα· παρ' ὃ καὶ διὰ τοῦ, Ἔσονται οἱ δύο εἰς σάρκα μίαν, θεῖον ἠναγκασμένως τοῦ Πλωτίνου τὸν Ἰωάννην κυριολεκτεῖν οὗτοι ἀποθρασύνονται, ὃν ἐκ πλαγίου ἀγχιστείας τρόπῳ τῷ τοῦ Πλωτίνου γένει οἰκειωθέντα, οὐδεὶς οὐδέπω νόμος θεῖον αὐτοῦ ὀνομάζων

C

D

NOTÆ.

(42) De his Elias Cretensis in comment. in Nazianzenum.

δείκνυται. Τὸ δὲ ἐκ τῆς τοῦ ἀκολούθου εἰσφορᾶς τὸ σωπηθὲν συλλογίζεσθαι, κατ' αὐτὸν φάναι τὸν θεοφάντορα, νομοθετοῦντός ἐστιν, οὐ τὰ τοῦ νόμου λέγοντος.

Ἐπεὶ οὕτω γε ἐξέσται τῷ πονηρεύεσθαι βουλομένῳ, καὶ ἐπὶ τοὺς ἔτι πορρωτέρω τοῦ γένους τὸν λόγον ἐκτείνειν, καὶ πᾶσιν ἀποκλείειν ἐπίσης τὴν πρὸς ἀλλήλους γαμικὴν ὁμιλίαν, διὰ τῆς παρατεταμένης ταύτης ἀπεράντου σειρᾶς ἡ κλίμαξ, οὗ τί γένοιτ' ἂν ἀδικώτερον; Καίτοιγε ἐπὶ τέλει τοῦ αὐτοῦ Πατρὸς τοῖς νομίμοις γάμοις πλατεῖαν ὁδὸν ὑπανοίγοντος, καὶ σαφῶς ἐπὶ τοῦτο προτρεπομένου. Ἐπιφέρει γάρ· Κεφάλαιον δὲ τῶν εἰρημένων, εἰ μὲν νόμῳ τις ὁρμᾶται πρὸς γάμον, ἠνοικται τούτῳ πᾶσα ἡ οἰκουμένη. Τί δ' ἐννομώτερον ἐκείνου, ὃ μήτε νόμος πολιτικὸς, μήτε κανὼν ἱερὸς ἀπαγορεύσας που φαίνεται, εἰ μὴ καὶ ῥητῶς αὖθις ἐπέτρεψαν; Ἐπείπερ οὐ τὰ συγκεχωρημένα περιλαμβάνειν οἴδασιν οἱ περὶ τούτων θεσμοθετοῦντες, ἀλλὰ μόνα τὰ κεκωλυμένα ἀπαριθμεῖσθαι, καὶ ὧν ἡ παράβασις μεγίστην οἶδε βλάβην ἀποτίκτειν τοῖς περιπίπτουσιν. Ὥσπερ καὶ εἴ τις ἰατρὸς τῷ κάμνοντι ἀπαγορεύσας τὰ βλάπτοντα, οὐ πάντως ἀνάγκην ἔχει καὶ καταλέγειν ἀνὰ μέρος ἅπαντα τὰ τῇ φύσει μηδὲν λυμαινόμενα. Ἀλλὰ δεῦρο λοιπὸν ὁ τὰ θεῖα παρεξηγούμενος, αὐτὰ πρὸς ἔπος διερμηνεύθητι τὰ τῆς ἐπιστολῆς τοῦ μεγάλου ῥήτορος, τῇ διανοίᾳ καὶ τῷ σκοπῷ τῶν λεγομένων τὸν νοῦν πρῶτον ἐρείσας. Καὶ σαυτῷ τάχα ποτὲ μέμψῃ τῆς προπετείας. Ἐπεὶ καὶ κανών, ὡς οἶσθα, νομικός ἐστιν, ἐπ' ἐκείνων μόνων τὰς τῶν νόμων θέσεις ἰσχύειν, ἐφ' ὧν καὶ ἐξεφωνήθησαν. Καθ' ὃν λόγον καὶ πᾶς νομικὸς κανὼν πρὸς τοῖς ἄλλοις σαθρὸς εἶναι λέγεται. Ὅθεν ἀμέλει κἂν ὁτιοῦν γένηται, ἐπ' ἐκείνων πάντως κρατήσει καὶ τὰ ὑπὸ τοῦ θεολήπτου τοῦδε διηγορευμένα, ἐφ' ὧν τότε ἐξηνέχθη. Δῆλον δὲ, ὥστε μὴ δύο ἀδελφαῖς ἕνα καὶ τὸν αὐτὸν ἄνδρα γάμῳ ἁρμόζεσθαι· ὥσπερ αὖ πάλιν καὶ τὰ ἀπὸ τοῦδε τῷ τόμῳ μεταληφθέντα, ἐν ἐκείνοις ἕξει τὸ κράτος, εἰς ἅπερ ἔστη τὸ ἀποτέλεσμα τοῦ, μήτε δύο ἀδελφοὺς δύο ἐξαδέλφας λαμβάνειν, μήτε θεῖον καὶ ἀνεψιὸν ἀδελφὰς δύο· καὶ τὰ τούτων ἔμπαλιν, εἰ καὶ πολλαῖς διὰ μέσου ταῖς παρεκβάσεσιν ἐξυφαίνεται. Ἀλλ' ὃ λέγειν ὡρμήθημεν, ὁ μέγας τοιγαροῦν οὗτος, ἑνὸς ἀνδρὸς συμπλοκὴν πρὸς ἀδελφὰς δύο ἀπαγορεύων, καὶ τὸ κατεγνωσμένον διασύρων τῆς πράξεως, ὡς ἔκφυλον πάντῃ καὶ μηδ' ἀκοῇ φορητὸν ὁσίᾳ, τὸ, Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ, ἀπὸ τῆς Γραφῆς πρὸς ἀποτροπὴν λαβὼν, δεῖξαι βουλόμενος, ὡς τὸ ῥητὸν ἐκεῖνο ἐμπεριεκτικόν ἐστι καὶ τούτου τοῦ εἴδους τῆς οἰκειότητος, καὶ ὡς ὑπὸ τῆς θείας Γραφῆς ἡ τοῦ ἑνὸς ἀνδρὸς πρὸς ἀδελφὰς δύο γαμικὴ ὁμιλία ἤδη προαπηγόρευται, εἰσάγει τούτους τοὺς λογισμούς. Τί γὰρ

A avunculum proprie loquendo appellare : quem ex transverso, per modum affinitatis, familiæ Plotini necessitudine junctum, nulla unquam lege avunculum ejus dici probatur. At vero ex illatione consequentis id ratiocinari velle, quod silentio tegitur, ut cum hoc ipso theologo loquar legislatoris est, non legem allegantis.

Nam hoc quidem modo licebit malitiose agere volenti, etiam ad remotiores genere hanc orationem extendere, atque omnes pariter a consuetudine matrimoniali excludere, propter hanc longius protensam infinitamque lineam et scalam : quo sane quid fieri possit injustius ? præsertim cum in fine hic idem pater legitimis nuptiis latam aperiat viam et evidenter huc invitet. Subjicit enim : Hæc eorum
B est summa quæ dicta sunt. Si quis lege ducitur ad nuptias, ei totus orbis apertus est. Quid autem magis est eo legitimum, quod neque jus civile, neque sacrum aliquem canonem prohibuisse pareat, tametsi diserte non permiserint ? Quippe non ea, quæ concessa sunt, comprehendere promulgatores harum rerum solent : sed duntaxat enumerare prohibita et quorum transgressio maximam iis noxam parere consuevit, qui ea committunt. Perinde ac si medicus ægroto noxiis rebus interdixerit, non omnino ei necesse est etiam particulatim omnia recenseat, quæ naturæ nihil nocent. Verum age tandem, qui sacra falso exponis ad verbum, interpretare quæ in illius magni oratoris epistola scripta sunt, mente prius in sententiam et scopum
C eorum quæ dicuntur defixa. Quo facto, fortassis ipse temeritatem aliquando tuam reprehendes. Nam et regula juris est (43), ut nosti, duntaxat in iis legum valere statuta, de quibus prolatæ sint. Qua etiam ratione (44) omnis regula juris, præter alia, fragilis esse dicitur. Propterea si quid ex his sequitur, quæ ab homine divino sancita sunt, omnino de iis accipienda erunt, de quibus tunc fuere prolata. Manifestum est autem, eo spectare, ne vir unus et idem duabus sororibus matrimonio jungatur. Sicuti rursum quæ ab illo tempore patriarchali tomo sunt inserta, robur in iis obtinebunt, in quæ tomi desinit affectus : nimirum, ut
D neque duo fratres duas consobrinas ducant, neque patruus et fratris filius duas sorores, ac vice versa : licet hæc multis interjectis digressionibus ita contexantur. Sed ut revertamur ad id, quod instituimus dicere, magnus hic noster Basilius, prohibens unius viri copulationem cum duabus sororibus, et damnabile facinus hoc culpans, uti quod omnino sit alienum a pietate, nec religiosis auribus tolerabile ; simulque, dicto illo, Non ingredieris ad quemvis necessarium carnis tuæ, ut dedecus ejus reveles, e sacris Litteris dehortandi causa prolato, dum probare vult, dictum illud hanc quoque propinquitatis speciem complecti, quodque per

NOTÆ.

(43) 93. D. *de reg. jur.*

(44) Omnis 202 : D. eod.

sacras Litteras unius viri cum duabus sororibus coitio matrimonialis jam ante prohibita sit : hæc ipsa producit argumenta. Quid, inquit, tangere virum propiore necessitudine possit, quam uxor, vel ipsa potius ipsius caro ? Non enim duo sunt amplius, sed una caro. Quo fit, ut per uxorem, etiam ipsa soror ejus, ad viri necessitudinem transeat. De eodem hæc tandem infert. Quemadmodum matrem, inquit, uxoris, non ducet, nec filiam uxoris, ob eam causam, quod nec matrem suam : sic neque sororem uxoris, quandoquidem nec sororem propriam. Ac vice versa, non etiam mulieri licebit, mariti necessariis cohabitare. Nam communia sunt in utrisque jura cognationis.

Hisce determinationibus, vir sanctus absurdo conatu castigato, duntaxat hactenus inhibitionem suam coercet. Atqui licebat ei, si voluisset, etiam ad remotiores necessitudines orationem producere; quemadmodum multis eum locis canonum suorum facere manifestum est. Quippe respondens ad ea, quæ ab aliquibus proponebantur sicubi tacite quiddam velut enasci videt, et consequi, subjungere solet. Idem et in iis, qui hæc vel illa faciunt. Quorum sane nihil hic ab eo sit sicuti nec a toto cœtu beatorum sextæ synodi Patrum (et omnino te hos admissurum puto interpretes illius magni viri verborum), qui ab eo duntaxat quasi complicata sanciaque strictius, dilatare volentes, et clariora reddere, canonem LIV exposuerunt, ad verbum hæc continentem : « Cum hoc sacræ « Scripturæ præceptum sit, Non ingredieris ad « quemvis necessarium carnis tuæ, ut dedecus « ejus reveles : divino afflatus ille numine Basi- « lius nuptias quasdam prohibitas suis in canoni- « bus recensuit, plerisque silentio præteritis, et « utraque via nostro procurato commodo. Nam « evitata fœdarum appellationum multitudine, ne « verbis iis orationem suam contaminaret ; gene- « rali nomine complexus est impuritates, per « quas summatim nobis nefarias commonstravit « nuptias. Quia vero ex ejusmodi silentio, et « parum explicata prohibitione nuptiarum illicita- « rum, confusio naturæ quædam est secuta : « nudius hæc exponenda statuimus, adeoque de- « cernimus ; deinceps eum, qui cum sua conso- « brina matrimonii societate copulatur, aut patrem « et filium cum matre ac filia, vel cum duabus « puellis sororibus patrem atque filium, vel cum « duobus fratribus matrem et filiam, vel fratres « duos cum duabus sororibus pœnam canonis « septennio circumscriptam incurrere, nimirum « et ipsis a nefario matrimonio divertentibus. » Et hæc quidem est illius sententia canonis, et in hunc modum ab illo Patre silentio præterita nudius pariter atque latius a posterioribus exposita sunt Patribus, et nominatim ac particulatim definita prohibitaque. Nuscuam vero mentionem

A ἂν γένοιτο, λέγει, ἀνδρὶ οἰκειότερον τῆς ἑαυτοῦ γυναικὸς, μᾶλλον δὲ τῆς ἑαυτοῦ σαρκός ; Οὐ γὰρ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. Ὥστε διὰ τῆς γυναικὸς ἡ ἀδελφὴ πρὸς τὴν τοῦ ἀνδρὸς οἰκειότητα μεταβαίνει. Καὶ ἡ ἐπαγωγὴ περὶ τοῦ αὐτοῦ. Ὡς γὰρ μητέρα, φησὶ, γυναικὸς οὐ λήψεται, οὐδὲ θυγατέρα τῆς γυναικὸς, διότι μηδὲ τὴν ἑαυτοῦ μητέρα. Οὕτως οὐδὲ ἀδελφὴν γυναικὸς, διότι μηδὲ τὴν ἑαυτοῦ ἀδελφήν. Καὶ τὸ ἀνάπαλιν, οὐδὲ τῇ γυναικὶ ἐξέσται, τοῦ ἀνδρὸς τοῖς οἰκείοις συνοικεῖν. Κοινὰ γὰρ ἐπ' ἀμφοτέροις τὰ τῆς συγγενείας δίκαια.

B Τούτοις τοῖς ὁρισμοῖς ὁ θεσπέσιος τὸ ἄτοπον ἀπορραπίσας τῆς ἐγχειρήσεως, μέχρι τούτου καὶ μόνου τὰ τῆς ἀπαγορεύσεως ἴστησι. Καίτοιγε ἐξῆν αὐτῷ, εἴπερ ἐβούλετο, καὶ ἐπὶ τὰς ἔτι πορρωτέρω οἰκειότητας τὸν λόγον προαγαγεῖν, καθάπερ πολλαχοῦ τῶν ἑαυτοῦ κανόνων ποιῶν φαίνεται. Ἐπιλυόμενος γὰρ τὰ ὑπό τινων προτεινόμενα, ἐν οἷς ὑποφυόμενον ὁρᾷ τι καὶ συνακολουθοῦν, ἐπάγειν εἴωθε. Τὸ αὐτὸ καὶ ἐπὶ τῶν τάδε καὶ τάδε, φησὶ, ποιούντων. Ὧν οὐδὲν ἐνταῦθα, καθὸ καὶ ὁ δῆμος ὅλος τῶν τῆς ς' συνόδου μακαρίων Πατέρων, οὓς ἂν δέξῃ πάντως τῶν τοῦ μεγάλου λόγων ἐξηγητὰς, οἳ τὰ τέως ὑπ' ἐκείνου συνεπτυγμένα καὶ οἷον διηγορευμένα πλατύναι καὶ διαλευκᾶναι βουλόμενοι, τὸν νῦν κανόνα ἐξέθεντο, πρὸς λέξιν ἔχοντα οὕτως· « Τῆς θείας ἡμᾶς οὕτως ἐκδιδασκού- « σης Γραφῆς, Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον « σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ, ὁ C « θεοφόρος Βασίλειός τινας τῶν ἀπηγορευμένων γά- « μων ἐν τοῖς οἰκείοις κανόσιν ἀπηριθμήσατο, σιωπῇ « τὰ πλεῖστα παραδραμὼν, καὶ κατ' ἀμφότερα κα- « τασκευάσας ἡμῖν τὸ ὠφέλιμον. Τὸ γὰρ τῶν αἰσχρῶν « ὀνομασιῶν πλῆθος παραιτησάμενος, ὡς ἂν μὴ τὸν « λόγον καταῤῥυπαίνοι τοῖς ῥήμασι, γενικῷ ὀνόματι « τὰς ἀκαθαρσίας διέλαβε· δι' ὧν περιεκτικῶς ἡμῖν « τοὺς παρανόμους γάμους ὑπέδειξεν. Ἐπειδὴ δὲ « τῇ τοιαύτῃ σιγῇ καὶ τῷ ἀδιαγνώστῳ τῆς τῶν « ἀθέσμων γάμων ἀπαγορεύσεως ἑαυτὴν ἡ φύσις « συνέχεε, συνείδομεν γυμνότερον τὰ περὶ τούτων « ἐκθέσθαι, ὁρίζοντες ἀπὸ τοῦ νῦν τὸν τῇ οἰκείᾳ « ἐξαδέλφῃ πρὸς γάμου κοινωνίαν συναπτόμενον, ἢ « πατέρα καὶ υἱὸν μητρὶ καὶ θυγατρὶ, ἢ δύο κόραις D « ἀδελφαῖς πατέρα καὶ υἱὸν, ἢ ἀδελφοῖς δυσὶ μητέρα « καὶ θυγατέρα, ἢ ἀδελφοὺς δύο δυσὶν ἀδελφαῖς, ὑπὸ « τὸν τῆς ἑπταετίας πίπτειν κανόνα, ἀφισταμένων « αὐτῶν προδήλως τοῦ παρανόμου συνοικεσίου. » Τὸ μὲν τοῦ κανόνος ἐπάγγελμα, τοσοῦτον· καὶ οὕτως τά γε ὑπὸ τοῦ Πατρὸς σιωπηθέντα γυμνότερον ὁμοῦ καὶ πλατύτερον ὑπὸ τῶν μετέπειτα Πατέρων ἐκτέθειται, καὶ προσόνομα καταμέρος ὥρισται, καὶ διακεκώλυται. Μνήμη δέ τις παρ' αὐτοῖς τῶν οὕτως ἐχόντων πρὸς ἕλλα [53] προσώπων, οὐδαμοῦ ὑπ' αἰτίαν ὅλως τι τούτων ἠνέχθη, καὶ διαστάσει ὑπέπεσεν. Ὧν, ὡς ἔοικεν, ἐντελέστεροι ὄντες οἱ νῦν ἐνιστάμενοι, καὶ

VARIÆ LECTIONES

[53] ἀλληλα.

ταῦτα μήπω μηδὲ ἀντιφθέγγεσθαι καιρὸν ἢ τόπον ἔχοντες, μήτε γνώμην οἰκείαν εἰσάγειν ἐπὶ ταῖς κρίσεσιν, οὐκ οἶδ' ὅ τι παθόντες, καὶ τοὺς θύραθεν ἤδη διαγράφειν ἐπιχειροῦσι· καίτοι τὴν συγγένειαν..... μηδὲ ἐξαρχῆς ἐπινοηθεῖσαν τῆς τῶν ἐκ πλαγίου γάμων κωλύσεως ἕνεκα, ἀλλὰ δι' ἑτέρας αἰτίας. Πλατῦναι γὰρ, φησὶν, οἱ πολιτικοὶ νόμοι τὴν τῶν πολιτῶν ἤτοι ὑπηκόων βουλόμενοι γνησιότητα, καὶ μὴ περικλείεσθαι τὴν συγγένειαν, τοὺς μεταξὺ τῶν ἐκ πλαγίου διεκώλυσαν γάμους, ὡς ἂν τοῖς ἔξωθεν τῆς ἑαυτῶν συγγενείας ἐξανάγκης συναπτόμενοι, τὴν πρὸς αὐτοὺς σχολὴν γνησιότητά τε καὶ εὔνοιαν. Οἷς συνῳδὰ καὶ ὁ τὴν γλῶτταν χρυσοῦς ἐν τοῖς ἐξηγητικοῖς αὐτοῦ τῆς Γενέσεως λόγοις διέξεισιν.

A facere personarum eam erga alias rationem habentium, de qua modo agimus : nec horum quidquam ab eis reprehenditur, aut in dubium vocatur. Quibus, ut apparet, perfectiores adversarii nostri, quamvis necdum contradicendi, nec suam in judiciis sententiam proferendi occasionem locumve nacti, haud scio quonam impulsi malo ; etiam extraneos quibusdam circumscribere finibus conantur : licet haud ignorent, ne ipsam quidem cognationem initio nuptiarum ex transverso prohibendarum gratia, sed alias ob causas excogitatam. Leges enim civiles, ut quidam ait, civium sive subditorum sinceram inter se affectionem dilatare volentes, nec artis cognationem includere finibus nuptias inter eos, qui sibi sunt ex transverso, contrahi vetuerunt : ut necessario cum constitutis extra cognationem suam copulati sincera eosdem mutuorum affectione ac benevolentia complecterentur. Quibus consentanea commemorat et orator ille præditus aurea lingua [1], in orationibus suis quibus librum de ortu rerum enarrat.

Ἥκει δὲ λοιπὸν ὁ λόγος καὶ περὶ τῆς συγγενείας διαιρέσεως τῶν ἔξω νόμων ἐπιμνησθῆναι, καὶ δεῖξαι κἀντεῦθεν τὸ ματαιάζον καὶ δύσερι τῶν εἰς οὐδὲν ἕτερον εὐκαιρούντων, ἢ λέγειν καὶ ἀκούειν καινότερόν τι καὶ ἄκαιρον. Φησὶ γάρ· Τὸ τῆς συγγενείας ὄνομα εἰς τρία διῄρηται. Εἰς ἀνιόντας, εἰς κατιόντας, καὶ τοὺς ἐκ πλαγίου. Ἑκάστη δὲ τούτων τάξις διαφόρους ἔχει βαθμούς. Ἀλλ' ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων, εἰς ἀπέραντον ὁ γάμος κεκώλυται· μηδὲ γὰρ ὅσιον εἶναι, τὸ τῆς γεννήσεως αἴτιον ὑποβαίνειν τῷ γεννωμένῳ, ὅπερ πολλὰ καὶ τῶν ἀλόγων ἀποσείεται ζώων. Ἐπὶ δὲ τῶν ἐκ πλαγίου τὰ τῆς κωλύσεως οὐ περαιτέρω ἀριθμεῖται τοῦ ἕκτου βαθμοῦ. Ἀκόλουθον δὲ προσθεῖναι καὶ τὰ ἐξ ἀγχιστείας παρὰ τοῦ νόμου πρὸς γάμου κοινωνίαν κωλυόμενα πρόσωπα, ἀφ' ἧς οὐδὲ συγγένειαν εἶναι ὁ νόμος ἀνέχεται. Ἀγχιστεία γὰρ, φησὶν, ἐστὶν οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένων, συγγενείας ἐκτός. Ἀλλ' ὅμως πολλὴν κἀνταῦθα τοῦ σεμνοῦ τιθέμενος πρόνοιαν, καὶ περὶ τούτου φησίν· Οὐ δύναμαι λαβεῖν τὴν ἐμὴν προγονὴν ἢ νύμφην, οὐδὲ τὴν συμπενθεράν μου, ἢ τὴν μητρυιάν μου, οὐδὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης μου γυναικὸς, τὴν μετὰ τὴν ἀπόζευξιν τεχθεῖσαν ἐξ ἑτέρου ἀνδρός. Τὴν τοῦ πατρός μου, ἢ τοῦ ἀδελφοῦ μου μνηστὴν, οὐ δύναμαι λαβεῖν. Οὐ μόνον ἡ τοῦ πατρὸς, ἀλλὰ καὶ ἡ τοῦ πάππου, μητρυιὰ λέγεται· καὶ κωλύομαι λαβεῖν αὐτάς. Κἂν πολλὰς ἔσχεν ὁ πατὴρ, οὐδεμίαν αὐτῶν λαμβάνω. Οὐδὲ τὴν μητέρα τῆς ποτέ μου μνηστῆς, οὐδὲ τὴν γυναῖκά ποτε τοῦ προγονοῦ μου. Οὔτε ἡ μητρυιὰ λαμβάνει τὸν γεγενημένον ἄνδρα τῆς προγονῆς αὐτῆς. Τὴν προγονὴν τοῦ ἀδελφοῦ μου λαβεῖν οὐ δύναμαι, οὔτε τὴν θυγατέρα τῆς προγόνης μου λαμβάνω. Ὧν καθ' ἕκαστόν τις ἐφιστῶν, καὶ σκοπούμενος ἀκριβῶς, πολλὴν ἐν τούτοις τῶν νομοθετῶν

B Cæterum postulat nunc orationis series, etiam de divisione cognationis extrariarum legum mentionem fieri ; ut hinc quoque demonstretur eorum vanitas et pertinacia, qui nulli vacant alii rei, quam ut aliquid insolens ac importunum proferant et audiant. Ait enim jurisconsultus (45) : Cognationis nomen, in tria dividitur : in ascendentes, in descendentes, et eos, qui sunt ex transverso. Horum vero quilibet ordo, diversos gradus habet. Sed in ascendentibus quidem, ac descendentibus, in infinitum prohibitæ sunt nuptiæ. Nec enim est æquum, ut quod procreationis est causa, procreato sese subtrahat : id quod etiam bruta pleraque animalia facere recusant. In iis autem, qui sunt ex transverso, non ultra sextum gradum prohi-

C bitio sese porrigit. Sequitur, ut afficiamus et illas personas, quæ per legem ratione affinitatis a societate nuptiarum arceantur : qua quidem ex affinitate nullam oriri cognationem lex patitur. Est enim affinitas, inquit, necessitudo personarum per nuptias nobis conjunctarum, citra cognationem. Sed tamen et huic magnam honesti rationem habens, inquit : Non possum ducere privignam meam, vel nurum ; nec consocrum meam, vel novercam meam ; nec filiam uxoris, quæ a me divertit, post divortium ex alio marito suscepta. Patris mei, vel fratris mei sponsam, ducere non possum. Non solum patris uxor, sed etiam avi, noverca dicitur ; easque ducere prohibeor. Etiamsi

D plures pater habuit, nullam ex eis duco. Nec matrem sponsæ quondam meæ. Nec privigni quondam mei conjugem. Nec noverca nubit ei, qui privignæ ipsius maritus fuit. Privignam fratris mei ducere non possum, nec item filiam privignæ meæ duco. Quæ si quis singulatim inspiciat et consideret accurate, magnam in eis legislatorum deprehendet

VARIÆ LECTIONES.

[1] *Chrysostomus.*

NOTÆ.

(45) § 1, Instit. *De nup.* et § *Ergo non omnes.* Instit. eod.

continentiam ac religionem circa nuptias illicitas, et provenientes inde commistiones atque confusiones.

Præterea dum leges hasce, quæ in usu reipublicæ nostræ sunt, princeps inter alios religiosissimus repurgavit; operæ pretium omnino duxit, eas cum sacris sanctionibus et canonibus conciliare, prorsus ut consentientes ils efficerentur : ne quid ab eis discrepans, et peregrinum, et pugnans cum eis, adeoque alienum a statu Christiano, his inesset : quo respectu sacris etiam canonibus edicto publico, vigorem earum subdidit. Eaque de causa qui hactenus id accurate dederunt operam, ne quo contractu generis necessitudo polluatur; nequaquam personas indicatas silentio præteriissent, si quid eas putassent indecori et inhonesti committere. Cum ergo legumlatores personarum affinitatis ratione contrahere prohibitarum enumerationem instituerint, et prohibitionis fines ad has ipsas usque duntaxat extenderint : omnino is, qui et alias ob affinitatem prohibitas excogitat nuptias, quarum illi legumlatores haud meminerunt, suam amplificat ex auctoritatis usurpatione gloriam, non leges sequitur, astipulantes sibi, vel repugnantes : aut etiam suorum desideriorum ac studiorum lucra captat improbe sub larva quadam, honesti scilicet ac decori depravato prætextu. Quamobrem et dictum illud, avulsum a recta legum sententia, cujus hæc verba sunt : Affines inter se tam ascendentium, quam descendentium vicem obtinent, ideoque nefarie copulantur : tanquam inexpugnabile quiddam perverse allegat. Temere scilicet inflatus, elephantum se tenui filo colligaturum ait. Est illud quidem juris axioma. Sed conatum hominis hæc proferentis ipse textus legis redarguit, clarius hanc sententiam exponens, et personis duntaxat enumeratis prohibitionem definiens; ne in his etiam nuptiæ in infinitum prohibeantur. Quam enim, obsecro, videre est cognationem vel necessitudinem sanguinis inter me fratremque conjugis fratris mei, propter quam ex me nata filia cum ipso contrahere prohibeatur? Sed prætexitur hic ab istis malitiosis hominibus confusio quædam et permistio, cognaticorumque nominum permutatio. Quos sane non abs re quispiam confusionis auctores dixerit, qui tam manifesto tantam confusionem non modo rerum, sed etiam vocabulorum inducant, et eas quidem, quæ fratribus nuptiæ sunt, sorores ac nurus appellare cogant, ex hoc admirabili nexu complexuque mutuo; viceque versa, fratres dicere mulieris (babæ, quæ isthæc mutatio, quæ confusio!) qui mariti mulieris fratres sunt. Quod si nobis etiam confusiones horum oppugnandæ sunt, quanto secundum ipsos æquius melius fuerit, etiam duorum consobrinorum cum duabus ex alia familia consobrinis conjunctio-

κατανοήσει φειδὼ καὶ εὐλάβειαν περὶ τοὺς ἀθέμους τῶν γάμων, καὶ τὰς ἐντεῦθεν ἐπιμιξίας τε καὶ συγχύσεις.

Ἔτι καὶ τοὺς παρ' ἡμῖν πολιτευομένους τούτους νόμους ὁ εὐσεβέστατος ἐν βασιλεῦσιν ἀνακαθάρας, πρὸ ἔργου παντὸς ἔθετο, τοῖς ἱεροῖς θεσμοῖς καὶ κανόσι συμβιβάσαι τούτους, καὶ συμφωνοῦντας δεῖξαι τοῖς ἅπασιν, ἵνα μηδὲν ἀπᾷδον τούτοις, μηδὲ ἔκφυλον, καὶ πρὸς αὐτοὺς μαχόμενον ᾖ, μηδὲ Χριστιανικῆς ἀλλότριον καταστάσεως. Καθὸ καὶ τοῖς θείοις τούτοις κανόσι κοινῷ θεσπίσματι τὴν ἰσχὺν καθυπέταξε. Διὸ καὶ οἱ μέχρι τούτων ἀκριβωσάμενοι τὸ τοῦ γένους ἀθόλωτον, οὐκ ἂν οὐδὲ τὸ περὶ τῶν εἰρημένων προσώπων παρέδραμον σιωπῇ, εἴ τι καὶ τούτοις συνῆδεσαν ἀπρεπές τε καὶ ἄσεμνον. Τῶν τοίνυν νομοθετῶν, τῶν ἐξ ἀγχιστείας κεκωλυμένων κατάλογον ποιησαμένων, καὶ μέχρι τούτων τὰ τῆς κωλύσεως καὶ μόνον ὁρισάντων, ὁ καὶ ἑτέρους εἰσάγων ἐξ ἀγχιστείας γάμους, ὧν οἱ νομοθετήσαντες οὐκ ἐμνήσθησαν, οὗτος δόξαν οἰκείαν ἐξ αὐθεντείας πληροῖ, οὐ νόμοις ἀκολουθεῖ, εἴτε τοῖς μὲν προσκείμενος, τοῖς δὲ ἀντικείμενος· εἴτε δὴ καὶ τὰς αὐτοῦ θελήσεις καὶ θεραπείας, ὑπὸ προσωπείῳ δῆθεν τῇ τοῦ σεμνοῦ καὶ τοῦ εὐπρεποῦς παρακερδαίνων μεταποιήσει. Ἐφ' ᾧ καὶ τῆς νομικῆς ἀποσπαράξας εὐθύτητος τὸ ῥητὸν ἐκεῖνο, τὸ φάσκον· Οἱ ἀγχιστεῖς πρὸς ἀλλήλους ἀνιόντων καὶ κατιόντων τάξιν ἐπέχουσιν, ὅθεν καὶ ἀθεμίτως συνάπτονται· ὡς ἅμαχόν τι διεστραμμένως προφέρουσιν [88]. Ἀπὸ λεπτῆς φησι κρόκης δεσμεῖν ἐλέφαντα, εἰκῇ φυσιούμενος. Τοῦτο γὰρ τὸ τοῦ νόμου ἀξίωμα. Ἐλέγχει δὲ τὴν τοῦ λέγοντος ἐπιχείρησιν, τὸ τοῦ νόμου πλάτος, τρανότερον τὰ περὶ αὐτοῦ ἐξηγούμενον, καὶ μόνοις τοῖς ἀπηριθμημένοις προσώποις τὴν κώλυσιν ὁριζόμενον, τοῦ μὴ κἀν τούτοις τὸν γάμον εἰς ἀπείραντον εἰργεσθαι. Ποίαν γὰρ ἔστιν ἰδεῖν συγγένειαν ἢ αἵματος οἰκείωσιν μεταξὺ ἐμοῦ καὶ τοῦ ἀδελφοῦ τῆς τοῦ ἀδελφοῦ μου γαμετῆς, ἵνα καὶ ἡ ἐξ ἐμοῦ τυχὸν τεχθεῖσα αὐτῷ συνάπτεσθαι κωλύηται; Ἀλλ' ἡ σύγχυσις ἐνταῦθα, καὶ ὁ φυρμὸς παρὰ τῶν ἐθελοκάκων προφέρεται, καὶ ἡ τῶν συγγενικῶν ὀνομάτων ἄμειψις. Οὓς καὶ προσφόρως ἄν τις καλέσῃ συγχυτικούς, οὕτω προδήλως τοιαύτην σύγχυσιν οὐ πραγμάτων μόνον, ἀλλὰ καὶ ὀνομάτων εἰσάγοντας, καὶ ἀδελφὰς μὲν, τὰς ἐπ' ἀδελφοῖς, καὶ νύμφας ὀνομάζειν βιαζομένους ἀπὸ τῆς θαυμασίας ταύτης πλοκῆς καὶ ἀντιπεριχωρήσεως, ἀδελφοὺς δὲ τῆς γυναικὸς ἔμπαλιν (βαβαὶ τῆς μεταβολῆς καὶ τῆς συγχύσεως!) τοὺς αὐτῆς ἀνδραδέλφους. Εἰ δὲ δεῖ καὶ ἡμᾶς πρὸς τὰς τούτων συγχύσεις ἐνίστασθαι, πόσῳ μᾶλλον κατ' αὐτοὺς εἰρχθήσεται δικαιότερον καὶ ἡ τῶν δύο ἀῤῥένων ἐξαδέλφων πρὸς τὰς ἀφ' ἑτέρου γένους ἐξαδέλφας συνάφεια; Ὧν οὕπω μέχρι καὶ τήμερον οὔτε νόμος οὔτε κανὼν τὴν ἐπιμιξίαν ἀπέτρεψεν, ἀλλ' ἀνεπικωλύτως καὶ ἀδεῶς διενεργεῖται ὑσημέραι. Καὶ σύγχυσις ἐντεῦθεν καὶ ἄμειψις τῶν τῆς συγγενείας

VARIÆ LECTIONES.

[88] προφέρει.

ὀνομάτων πολλὴ καὶ καταφανὴς, ὡς τῶν αὐτῶν πρότερον μὲν ἐξαδέλφους ἀλλήλους καλούντων, μετὰ δὲ τὴν πρὸς ἐκείνους συνάφειαν, συγγάμβρους αὖθις συνελαυνομένους[a] κατονομάζειν. Κατ' ἴσον δὲ καὶ τῶν θηλειῶν ἐξαδέλφας ὁμοῦ καὶ συννύμφας ἀλλήλας καλεῖν. Τὴν αὐτὴν δ' ἂν τις τῶν ὀνομάτων σύγχυσιν ἴδοι καὶ ἐπὶ τῶν ἀδελφῶν, τῶν ἐξ ἑτέρου γένους δευτέραις ἐξαδέλφαις συναρμοζομένων. Τί δ' ἂν τις εἴποι καὶ περὶ τῶν τρισεξαδέλφων; Οἷς ὁ νόμος τὴν γαμικὴν ἐπαγγελίαν οὐ μόνον ἀφῆκεν ἀκώλυτον, ἀλλὰ καὶ ῥητῶς ταύτην ἐπέτρεψεν, ἐν οἷς φησιν· Ἡ γραφεῖσα ὑπὸ αἵρεσιν τῆς μητρὸς κληρονόμος, *Ἐὰν τῷ τρισεξαδέλφῳ γαμηθῇ*, πληρούτω πάντως τὴν αἵρεσιν. Οὐ γὰρ αἰσχρός ἐστιν ὁ γάμος. Εἰ μὴ ἄρα ἐκεῖνος ἐμποδίζοι. Οὗτοι γοῦν συναπτόμενοι, οὐ συνεύνους μόνον ἀντὶ τρισεξαδέλφων καλέσουσιν, ἀλλὰ καὶ τοὺς ἀλλήλων πατέρας, θείους ἅμα καὶ πενθερούς· καὶ οἱ γεννήτορες αὖθις, ἀνεψιοὺς τοὺς αὐτοὺς καὶ γαμβρούς. Καὶ τὸ δὴ θαυμαστότερον· ὅτι καὶ κληρονομοῦσιν ἀλλήλους, ἑβδόμου βαθμοῦ τυγχάνοντες, τῶν προσεχεστέρων ἐξ ἐπιλιπόντων βαθμῶν, καθὼς καὶ ὁ περὶ κληρονομίας παρίστησι νόμος. Ἡ συγγενικὴ βοήθεια, ἐξ βαθμοὺς συγγενείας περιλαμβάνει, καὶ ἀπὸ τοῦ ἑβδόμου πρόσωπα δύο, τὰ τικτόμενα ἀπὸ τοῦ δισεξαδέλφου καὶ τῆς δισεξαδέλφης. Τί τούτων αὖθις συγχυτικώτερον; Ἀλλ' ὁ νομοθέτης, τὸν αὐτὸν πενθερὸν ὀνομάζειν καὶ θεῖον, καὶ κληρονόμον αὐτοῦ ἐξ ἀποτελέσματος δείκνυσθαι, οὐχ ἡγήσατο σύγχυσιν. Διατί; Ὅτι μηδὲν πάντως ἔκθεσμον ἐνεῖδε τῷ πράγματι. Καθὸ καὶ μήπω κανόνες ἱεροῦ ἢ νόμου καινοῦ τοὺς πρὸς ἀλλήλους τῶν τοιούτων προσώπων γάμους ἀποκλείσαντων, χωροῦσιν οὗτοι διὰ πάντων, καὶ διαδίδονται, τῶν συγχύσεων ὀλίγα φροντίζοντες. Ἀλλὰ γὰρ ὥσπερ ἐπὶ τῶν ἐκ πλαγίου, μέχρι τῶν δισεξαδέλφων ὁ νόμος τὰ τῆς κωλύσεως ὁρισάμενος, τοὺς περαιτέρω τούτων ἀδεῶς ἀφῆκε συμπλέκεσθαι· οὕτως ἄρα καὶ τὰ ἐξ ἀγχιστείας καταλέξας κωλυόμενα πρόσωπα, καὶ τούτοις τὴν ἀπαρίθμησιν ὡσανεί τινα τειχία καὶ ὅρους θέμενος, τὴν γαμικὴν ὁμιλίαν τοῖς ἄλλοις ἐπέτρεψεν. Οἷς ὁ ἀντινομοθετῶν, καὶ τὰ γένη προδήλως ἀδικῶν, λέληθε δήπου πολλῷ πρότερον καὶ αὐτοὺς ὑπ' εὐθύνην ἄγων τοὺς παριδόντας εἰς δεῦρο τὰ τοιαῦτα θείους Πατέρας καὶ πατριάρχας. Οἵ γε καὶ κινδυνεύσουσι πάντως τὸ κατ' ἰαυτοὺς, ἐπάρατοι γενέσθαι, καὶ τῆς Ἐκκλησίας ἐκκήρυκτοι, εἰ καὶ φωστήρων δίκην ἐξέλαμψαν. Ἐν ἐπὶ τούτοις ἐροῦμεν καὶ σύντομον. Εἰ μὲν αὐτὰ τὰ περὶ συγχύσεως ἀπεριμερίμνως τῷ τόμῳ παρερριμμένα ῥητὰ, καὶ τῇ τοῦ μεγάλου Βασιλείου ἐπιστολῇ ἀπαραλείπτως ἐγκείμενα δείξουσι, διδόσθω κατ' αὐτοὺς, καὶ τὴν τῶν πολλάκις μνημονευθέντων προσώπων συνάφειαν τῶν ἀθεμίτων ὑπάρχειν. Ἔχει καὶ γὰρ οὕτως ὁ ἱερὸς

nem prohiberi? quorum tamen commercium in hodiernum usque diem neque lex, neque canon ullus vetuit; sed citra prohibitionem, et impune res quotidie peragitur. Nihilominus hinc magna manifestaque confusio et permutatio nominum cognationis exsistit, cum illimet ipsi, qui prius se consobrinos vocabant, post initam hanc cum illis conjunctionem sese congeneros[b] appellare coguntur. Pari modo et ipsæ feminæ tum consobrinas, tum fratrias se invicem nominabunt. Eamdem nominum confusionem videre licet etiam in fratribus qui prognatis ex alia familia sobrinis copulantur. Et quid, quæso, dixerit aliquis de sobrinorum quoque liberis? quibus lex repromissionem matrimonialem non modo non prohibitam reliquit, sed etiam diserte permisit, quum ait: Quæ sub conditione matris est hæres scripta, *Si sobrini filio nupserit* (46), omnino conditionem implet. Non enim turpes sunt nuptiæ. Nisi forte per ipsum steterit, quominus fiat. Si ergo hi copulentur, non modo sequentes consortes pro sobrinorum filiis, appellabunt, verumetiam patres suos tum minores patruos avunculosve, tum soceros: ac parentes vice versa nominabunt eosdem tum patruelium liberos, tum generos. Et quod magis est dignum admiratione, sibi succedunt invicem, quum septimo distent gradu, propioribus sex gradibus exstinctis, sicut et lex de successione confirmat (46'): Remedium *Unde cognati*, sex gradus cognationis complectitur, et e septimo personas duas, quæ procreantur ex sobrino et sobrina. Quid his rursum confusioni propius? Legislator tamen eumdem tum socerum nominare, tum minorem patruum, et conditione impleta hæredem ejus facere, nequaquam putavit esse confusionem. Quamobrem? quoniam huic rei nihil omnino illiciti videbat inesse. Quo fit, ut cum nullus unquam sacer canon, aut lex aliqua nova, nuptias inter personas hujusmodi contractas excluserint; hi tamen per omnia semet ingerant ac vagentur non magnam confusionum rationem habentes. Sedenim quemadmodum in iis, qui sunt ex transverso, ad sobrinos usque definita prohibitione, remotioribus libere coeundi potestatem lex fecit: sic etiam recensitis personis ratione affinitatis prohibitis, hanc ipsam enumerationem eis veluti septa quædam ac limites constituit, matrimoniali cæteris consuetudine permissa. Quibus sane qui lata quasi lege contraria statuit, et manifesto familiis injuriam facit; etiam tacite sanctos Patres ac patriarchas, qui hactenus talia neglexerint, rees peragit: qui quidem omnino, quantum in istis est, extra periculum constituti non erunt, quominus exsecrabi-

VARIÆ LECTIONES.

[a] συνελαυνομένων.

[b] *vel rectius, coaffines.*

NOTÆ.

(46) l. II, C. *De instit. et substitut.*

(46') l. I. § *Hæc autem*, D. *Unde cognati.*

les fuerint, et ab Ecclesia exclusi, licet instar luminarium splenduerint. Unum præter hæc, et paucis quidem verbis, adjiciemus. Si quidem illa scripto, etiam sine defectu in magni Basilii epistola posita probaverint : concedatur sane, ut quæ ipsorum est sententia, sæpius indicatarum personarum conjunctio sit illicita. Nam sic habet sacer ac magnus ille Basilius, qui et spiritus profunditates, ut Gregorius Theologus ait, scrutatur.

Basilius ergo, de nuptiis quibusdam illicitis loquens, compendiariam præbet notam, qua illicitæ nuptiæ a legitimis facile secerni possint. In quibus, inquit, generis appellationes confunduntur, in his nefariæ sunt nuptiæ. Hæc illi tomo verba sunt inserta. Verum epistola cum de iis differat, qui ex uno viro et duabus feminis sororibus nascuntur, nihil aliud positum invenire est, quam hæc ipsa verba : Quanam, inquit, ex cognatione sic natos appellabunt? Num fratres inter se dicent, an consobrinos? Utraque certe competent eis, propter confusionem. Quamobrem cum verba tomi, ab interpretis rerum divinarum Basilii verbis tantopere discrepent, tum ipsorum verborum, tum sensus ratione; cumque adeo remota sint a se invicem, ut nemo non illa tomo comprehensa pro vano figmento duntaxat habeat : quisquis sane tanquam generali quadam regula temere volet his uti, totque confusiones inde matrimoniis invehere, seipsum imprudens decipit, dum falsis ex principiis, ceu dici solet, opiniones suas probare nititur.

Restat, ut ad ipsorum honestum, honesti prætextum ac fulcrum, paucis differendo respondeamus. Hi enim homines citra discrimen ullum alia pro aliis proferentes, deque aliis pronuntiata maligne suffurantes, et aures simpliciorum demulcendo corrumpentes, dictum istud : In nuptiis non solum quid concessum, sed etiam quid honestum sit, quærimus : sursum, deorsum allegant. Enimvero qui jura vel paulum inspectitavit, omnino nequit ignorare, quemadmodum in paulo ante præcedenti, et XIX quoque capite, de naturalibus liberis et adoptivis, quique a servis descendunt, et a servili affinitate, deque aliis quibusdam lex disserat : ita pervulgatum istud honesti capitulum regulæ cujusdam instar legis auctoritate promulgatum esse de liberis constitutorum in dignitate, deque patronis : ut hi quidem libertinis, illi vero personis scenicis matrimonio non copulentur. Et quidem hoc caput expositum esse peculiariter, ad prohibendum conjunctionem illorum, qui senatorii sunt ordinis, cum libertinis, aut scenicam factitantibus : ipse textus legis si lectus fuerit, ostendet. In conjunctionibus nuptiarum, inquit, non solum consideranda subtilitas est, verum etiam num sit honestum, quod agitur. Atque hujus regulæ obscuritatem explicans Stephanus, et quibus congruat casibus, docens : Hoc dixit, inquit, capite XVI, cujus initium, *Senatoris filia* : quasi diceret, clarius isthic expositum esse. Deinde apponit ipsa etiam verba,

καὶ μέγας Βασίλειος, ὁ καὶ τὰ βάθη τοῦ Πνεύματος, κατὰ τὴν Θεολόγου φωνὴν, ἐρευνῶν·

de confusione verba, incogitanter ipsorum injecta

Οὗτος περί τινος ἀθεμίτου γάμου διαλεγόμενος, ἐπίτομον γνώρισμα δίδωσιν, ἐν ᾧ τὰ τῶν ἀθεμίτων γάμων ῥᾳδίως τῶν νομίμων ἀποκριθήσονται· Ἐν οἷς, λέγων, τὰ τοῦ γένους συγχέονται ὀνόματα, ἐν τούτοις ὁ γάμος ἀθέμιτος. Καὶ ταῦτα μὲν ὁ τόμος. Αὐτῇ δὲ τῇ ἐπιστολῇ περὶ τῶν ἐξ ἑνὸς ἀνδρὸς καὶ δυοῖν γυναικῶν ἀδελφῶν τικτομένων ὄντος τοῦ λόγου, πλέον οὐδὲν προσκείμενον εὑρεῖν ἔστι τῶν οὕτως ἐχόντων ῥητῶν. Ἐκ ποίας, φησὶ, συγγενείας τοὺς γεννηθέντας προσαγορεύσουσιν; Ἀδελφοὺς ἀλλήλων ἢ ἀνεψιοὺς προσεροῦσιν; Ἀμφότερα γὰρ αὐτοῖς προσαρμόσει διὰ τὴν σύγχυσιν. Τοσαύτης οὖν διαφωνίας ὑποὐσης τῶν ταῦ νόμου [55] ῥητῶν πρὸς τὰ τοῦ θεοφάντορος καὶ τῇ φράσει καὶ τῇ ἐννοίᾳ, καὶ οὕτως ἀπεξενωμένων πρὸς ἄλληλα, ὡς διάκενον μόνον ἀναπλασμὸν παρὰ πᾶσι τὰ τοῦ τόμου ταῦτα νομίζεσθαι, ὁ τούτοις καθάπερ τινὶ καθολικῷ κανόνι ἀνεπιστάτως χρώμενος, καὶ τὰς τηλικαύτας ἐντεῦθεν συγχύσεις ἐπεισάγων τοῖς γάμοις, ἑαυτὸν δήπου λέληθεν ἀπατῶν, ἐξ ἀνυποστάτων ὁρμώμενος, ὃ δὴ λέγεται, τὰ δοκοῦντα κατασκευάζειν τεχνώμενος.

Λείπεται τοίνυν πρὸς τὸ εὔπρεπὲς αὐτῶν, τοῦ εὐπρεποῦς πρόβλημά τε καὶ ἔρεισμα, μικρά τινα διαλαβεῖν. Καὶ γὰρ οὗτοι μὴ διαστέλλοντες, ἀλλ' ἕτερα ἀνθ' ἑτέρων προβαλλόμενοι, καὶ τὰ ἐφ' ἑτέρων ἐκφωνηθέντα κακούργως κλέπτοντες, καὶ τὰς τῶν ἁπλουστέρων ἀκοὰς παρασαίνοντες, τὸ, Ἐν τοῖς γάμοις, φασὶν, οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὔπρεπὲς ζητοῦμεν, ἄνω καὶ κάτω προφέρουσιν. Ὅπερ ὁ καὶ μικρὸν ἐγκύψας τοῖς νόμοις, οὐκ ἀγνοήσει πάντως, ὅτι ὥσπερ ἐν τῷ μικρῷ πρὸ τούτου κεφαλαίῳ, πρὸς δὲ, καὶ ιθ', περὶ τῶν φυσικῶν παίδων καὶ τῶν θετῶν, καὶ τῶν ἀπὸ δούλων κατα-γομένων, καὶ τῶν ἐκ δουλικῆς ἀγχιστείας, καὶ ἑτέρων τινῶν τῷ νόμῳ διείληπται· οὕτω δὴ καὶ τὸ περιφόρητον δὴ τοῦτο τοῦ εὐπρεποῦς κεφάλαιον, περὶ τῶν ἀπὸ τῶν ἀξιωματικῶν τικτομένων καὶ πατρώνων· ὥστε τοὺς μὲν μὴ ἀπελευθέρους, τοὺς δὲ μὴ σκηνικοῖς προσώποις πρὸς γάμον ἁρμόζεσθαι, τῷ νόμῳ κεκανόνισται. Ὅτι δὲ τὸ τοιοῦτον κεφάλαιον ἰδιαζόντως πρὸς ἀπαγόρευσιν τῆς τῶν συγκλητικῶν πρὸς ἀπελευθέρους ἢ σκηνικοὺς συναφείας ἐκπεφώνηται, αὐτὸ τὸ τοῦ νόμου πλάτος παραστήσει ἀναγνωσθέν. Ἐν ταῖς συναφείαις γὰρ (φησὶ) τῶν γάμων, οὐ μόνον τὴν ἀκρίβειαν σκοπεῖσθαι χρεών, ἀλλ' εἰ καὶ σεμνόν ἐστι τὸ πραττόμενον. Τοῦ δὲ τοιούτου κανόνος τὴν ἀσάφειαν ἀνακαλύπτων ὁ Στέφανος, καὶ ποίοις διδάσκων ἁρμόζεσθαι [56] θέμασι· τοῦτο εἶπε (φησὶν) ἐν τῷ ις' κεφαλαίῳ, *Σενάτορις φιλία*· ὡσανεὶ λέγων, σαφέστερον

VARIÆ LECTIONES.

[55] τοῦ τόμου. [56] ἁρμόζεται.

ἐνεῖ λέλεκται. Εἶτα καὶ παρατίθεται αὐτὰ τὰ ῥητὰ, ἐξ ὧν καὶ δι' ἃ εἴληπται, ἅτινα οὕτως ἔχει· Οὔτε ἡ θυγάτηρ, ἢ ἐγγόνη, ἢ προεγγόνη τοῦ συγκλητικοῦ, δύναται ἀπελευθέρῳ γαμεῖσθαι, ἢ τῷ παιγνίαν σκηνικὴν ἐνδειξαμένῳ, ἢ ἐκείνῳ, οὗτινος ὁ πατὴρ καὶ ἡ μήτηρ παιγνίαν ἐνεδείξατο σκηνικήν. Καὶ ταῦτα μὲν ἐπὶ τούτων ἡ τῶν νόμων γλῶσσα Στέφανος. Τὸ δὲ τὰ ἐφ' ἑτέρων ἐκφωνηθέντα, καὶ τὴν ἰσχὺν ἐν ἐκείνοις ἔχειν ὀφείλοντα, μετάγειν ἐφ' ἕτερα, καὶ τὰ πρόδηλον ἐρμηνείαν ἔχοντα παρὰ τὸν νόμον μεταποιεῖν, αὐτὸ τοῦτο δὴ τὸ, τὴν ὡς ἀληθῶς σύγχυσιν ἐργαζόμενόν ἐστιν, ὃ τάχα καὶ ὑπὸ πλαστογραφίας ἔγκλημα θήσει τούς γε δὴ μὴ παραφυλάττοντας.

Ὥσπερ οὖν οὐκ ἔστι ταὐτὸν, τὸ, ἕνα ἄνδρα συμφθείρεσθαι δύο ἀδελφαῖς (τοῦτο δὴ τὸ τῷ μεγάλῳ Βασιλείῳ καλῶς ἀπαγορευθὲν), τῷ δύο κηδεστῶν παῖδας ἀλλήλοις συζεύγνυσθαι· οὕτως οὐδὲ τοὺς ἀποτεχθέντας παῖδας τοῦ Δημητρίου τε καὶ τοῦ Νικολάου, συναφθῆναί τις κατά τινα τρόπον κωλύσει. Διὸ καὶ αὐτὸν τὸν θεοφόρον καὶ μέγαν Βασίλειον νόμῳ πρὸς γάμον ὁρμωμένοις, ἥνοικται τούτοις ὁ τοιοῦτος γάμος καὶ συγκεχώρηται. Συγκεχώρηται δὲ, ἐπεὶ μὴ κεκώλυται. Οὐ κεκώλυται δὲ, ἐπεὶ μήτε παλαιὸς κανὼν, μήτε μὴν ὁ τόμος αὐτὸς ἀναιρῶν που δείκνυται, ὡς ἅπαν ἐν τούτοις συνάγων τε καὶ ἱστὰς τὸ συμπέρασμα, καὶ μόνους ἀδελφοὺς δύο, ἐξαδέλφας δύο ἀπείργων λαμβάνειν, καὶ θεῖον καὶ ἀνεψιὸν ἀδελφὰς δύο. καὶ τὰ τούτων ἀνάπαλιν· περαιτέρω δὲ μηδὲν πολυπραγμονῶν, μηδὲ ἀποφαινόμενος. Καθ' ὃν λόγον καὶ ὁ μακαρίτης κῦρος Σέργιος, πολλῇ τῇ πείρᾳ τούτων γεγυμνασμένος, τὸ συνάλλαγμα Ῥωμανοῦ τοῦ υἱοῦ Γενεσίου τοῦ πατρικίου πρὸς τὴν θυγατέρα τοῦ τῶν εὐαγῶν οἴκων οἰκονόμου, ἐπέτρεψεν ὡς ἀκώλυτον, εἰ καὶ πολλῷ τοῦ νῦν προβάντος ἐκεῖνο ἐπισφαλέστερον, ὡς καὶ ὄντως συγγενικόν· ὅτι καὶ δύο ἀμφιθαλῶν ἀδελφῶν ὑπόντων, δύο δὲ πρώτων ἐξαδέλφων ἑτέρων, Ἀγάθης λέγω καὶ Ῥωμανοῦ· ὧν ὁ μὲν, τῇ Ἀγάθῃ συνήφθη· τῶν δὲ, ἡ θυγάτηρ τῷ τῆς Ἀγάθης ἐξαδέλφῳ Ῥωμανῷ· ὧν οὐδὲν, ὡς ἂν εἴποις αὐτὸς, ἀπρεπέστερον· ὡς πάντη ἐγγίζον τῷ ἀπὸ τοῦ τόμου κεκωλυμένῳ, καὶ τὸ αὐτὸ σχεδὸν ὂν τῷ δύο ἀδελφοὺς δύο ἐξαδέλφας ἀγαγέσθαι, εἴγε καὶ μᾶλλον μία σὰρξ ὁ πατὴρ τῷ υἱῷ, ἥπερ ἀδελφὸς ἀδελφῷ, κατὰ τὰς σὰς ἐξηγήσεις. Ἀλλ' ὅμως νόμων τινῶν καὶ κανόνων μὴ συναιρομένων τῇ Ἐκκλησίᾳ πρὸς τὴν τούτων διάστασιν, ἀλλὰ μηδὲ τοῦ τόμου ῥητῶς αὐτοῦ, ὁ τοιοῦτος γάμος προέβη τε καὶ συνέστη, καὶ' ἀπαρενόχλητος ἔμεινε, τῇ πολιτείᾳ πάσῃ κεκηρυγμένος ὢν καὶ κατάθηλος, Καὶ μυρία τούτων ἐχόμενα συναλλάγματα ἀνὰ τὴν εὐνομουμένην ταύτην εὕροι τις μεγαλόπολιν ἐμπολιτευόμενα.

Διόπερ τοῦ τόμου λοιπὸν ἐντὸς στήσῃ, καὶ ὅρισι αὐτὸν ἕξεις, καὶ οὐχ ὑπερβήσῃ, οὐδὲ περιεργότερος τούτου καὶ ἐφεκτικώτερος ἔσῃ, οὐδὲ τῶν νομίμων νομιμώ-

A unde sumpta sint, et quo spectent. Ea sunt hujusmodi (47). Neque filia, vel neptis, vel proneptis senatoris, liberto nubere potest; vel ei, qui artem scenicam exhibuerit; vel cujus pater et mater artem exercuerit scenicam. Et hæc quidem de his lingua legum (48) Stephanus. At vero pronuntiata de aliis, et quæ valere duntaxat in illis debent, ad alia trahere quæque manifestam interpretationem habent, detorquere præter sententiam legis, id scilicet hoc ipsum est, quod revera confusionem gignit, atque etiam falsi crimine fortassis incautos obstringet.

Quemadmodum ergo non idem est, eumdem virum duas sorores stupro polluere (quod a B magno illo Basilio recte prohibitum fuit) et duorum affinium liberos inter se copulari: sic neque procreatos ex Demetrio et Nicolao liberos, copulari quisquam ullo modo vetabit. Ideoque de sententia divini magnique Basilii, cum ex præscripto legis ad matrimonium progrediantur, patet eis ad hujusmodi concessas nuptias aditus. Et concessæ sunt, quia non prohibitæ. Non prohibitæ, quia neque canon vetus, neque tomus ipse probatur eas tollere: cum conclusionem universam in eis colligat ac terminet, tantumque duos fratres a consobrinis duabus ducendis arceat; et patruum cum filio fratris, a duabus sororibus et quæ vice versa fiunt: nihil ulterius vel inquirens, vel pronuntians. Quam rationem secutus etiam beatæ memoriæ patriarcha Sergius, in his rebus usu multo exercitatus, contractum Romani, Genesii patricii filii, cum piarum ædium œconomi filia, ceu minime prohibitum concessit: licet ille multo magis lubricus esset, quam qui modo contigit, veluti revera cognatione non carens. Sunt enim ibi duo germani fratres, et alii duo consobrini, Agatha videlicet, ac Romanus: quorum hic, copulatus est Agathæ, illorum vero, Agathæ consobrino Romano juncta filia: quo nihil vel ipse fateri cogeris inhonestius, cum omnino propius ad id accedat, quod tomi scripto prohibitum est; idemque sit propemodum; ac si duo fratres duas consobrinas ducant: siquidem magis una caro sunt pater et D filius, quam duo fratres, secundum interpretationes tuas. Tamen, nec legibus quibusdam atque canonibus Ecclesiæ causam præbentibus ad horum diremptionem, nec ipso quoque tomo; matrimonium hujusmodi locum habuit, et contractum fuit et mansit a nemine oppugnatum, per universum imperium publicatum ac manifestum. Adeoque reperiat aliquis vel sexcentos hujusmodi contractus in hac bene constituta urbe maxima fieri.

Quapropter intra tomum ipsum consistes, eumque ceu limitem tibi statutum non transilies, nec eo curiosior ac tenacior eris, nec magis legiti-

NOTÆ.

(47) d. l. 42. D. *De rit. nupt.*
(48) Hoc est, interpres. Hinc Glossæ legum dictæ

mus quam ipsæ leges, nec canonibus sive regulis rectior, nec ipsis Patribus qui harum auctores sunt, in sanandis ac repurgandis animis peritior, quicunque tandem sis. Ubi vero novas coegeris synodos, novosque tomos composueris, adjunctis sententiis imperatoriis : tunc fortasse nos etiam te sequemur in iis, quæ postea contingent : sed ita tamen, ut eos qui jam legis auctoritate copulati sunt, ac liberos procrearunt, nequaquam separaturi simus; ne malum malo sanantes, et ipsos diganios efficiamus, et procreatos ex eis liberos exhæredes, et mendicos, et Iros, et ipsius denique naturæ probra. Donec autem novus quispiam tomus haud prodierit, et eædem leges atque canones vigorem suum obtinuerint, nec fieri poterit, ut aboleantur ; multo minus fieri posse scias, ut hoc modo contracta matrimonia dirimantur. Sed enim, vir optime ac gravissime, quique legum novarum es auctor (cave excandescas, dum opportune veritas liberius tecum agit), coerce linguam, coerce paululum, si potes ; tandem aliquando prisca pariter ac recentia Patrum decreta reveritus, quorum terminos ne moveas. Exspecta dicendi et contradicendi locum atque tempus, paulo post obventura tibi. Parum adhuc spatii restat, et in solio seniorum laudabis Dominum. Cur ante thronos, munera thronorum ad te rapis? cur onera portatu difficilia colligas, quæ nec digito moveri possunt? Ubi paulum adhuc temporis abierit, doctoris te thronus excipiet. Oculos undique tuos circumfer; ac vide, quemadmodum hæc ab hac, illæc ab ista parte metropolis exspectans supinis te manibus excipiant ; altera invidens alteri, dum utra ducem doctoremque te sit habitura, contendunt. Tum nimirum et commodius trades, quæ visa tibi fuerint; et leges majore cum confidentia feres, et vicissim magis adhuc nova promulgabis, et alios clamore vinces. Quin etiam elato supercilio, torvum eos intueberis, ac titanicum in morem ; nasumque totum in eos expandes, et fortasse moderatiores ne quidem mussitare sines, tametsi canitiei et ætatis dignitate præstent : quando jam temet adversus seniores efferens, eosque loco gregariorum (quod aiunt) militum habens, condemnationem ipse tibi cumulas, quæ tibi ad diem illum compensationis es exspectanda. Sed frustra hæc. Tu ipse tibi quod superest, adjungito.

8. Debet tua pietas, si quis episcoporum vitam cum morte commutarit, omnino nihil ex rebus ipsius auferre; nec honesto nomine consuetudinis, prohibitum rapinæ violentiæque facinus obvelare : sed universis denuntiare, futurum, ut omnia salva conserventur, et secundum ipsiusmet dispositionem [a] quælibet relictæ species administrentur : in primis quæcunque vel ab illo tempore, quo præfectus episcopatui fuerit, acquisiverit; vel ei postmodum a cognatis accesserint. Quod si morte subitanea vitam finierit, ne sic quidem facultates ipsius diripi auferrive debent; sed si qui cognati ejus exstent, illis res ipsius propriæ attribuantur : sin nulli tales supersint, tunc siquidem inops est ecclesia cui præfuit, atque horum indiga, facultates ejus accipiet : si locuples et opulenta, saltem ut in pauperes ejus bona distribuantur, operam dare debet; non specie quadam dominicæ auctoritatis et potestatis invadendo, res ipsius auferre. Quippe si quid a vobis ejusmodi tentatum fuerit, tum id quod ablatum fuerit in duplum restituetur; tum ipse non exiguum ad tempus excommunicationis pœnæ subjectus eris.

9. Si quis episcoporum, tibi subditorum, ad alteram vitam commigraverit; pietas tua longe se removens ab omni cupiditate humana, vel potius a simoniaco vitio liberam sese demonstrans, et omni modo atque omnibus viribus gratiam Spiritus sancti minime venalem servans, Deumque solum inspectorem cordium nostrorum intuens, eum hominem ad gradum episcopalem evehere debet, qui testimonia vitæ honestæ, doctrinæ, ordinis et studii spiritualis habeat, et rite secundum canones electus sit : ut magna illa pontificatus dignitas immunis a cauponatione conservetur, ac tum ipse canonicis sanctionibus non condemneris, tum ille suis probatus hoc modo ad episcopatum propria virtute provehi, liber ab omni sit offensa; nec spirituales in leges impingens, nec inevitabile Dei judicium adversus sese provocans.

10. In omni actione atque tractatione, prorsus a muneribus continere te debes, et certo scire, peccatum quodlibet simplum perpeti supplicium : ad istam Simonis hæresim, duplam in ea deprehenso condemnationem afferre. Quapropter hæc omnino exscindenda venit, ac ne consuetudinibus quidem,

ζ'. Δεῖ τὴν σὴν θεοφίλειαν, εἴπερ τὰς πονηρὰς ἐκφεύγειν ὑπολήψεις ἐθέλει, τοῖς ἐν τῷ κλήρῳ καταλεγομένοις τήν τε τῶν πραγμάτων οἰκονομίαν, καὶ τὰς ἄλλας ἐκκλησιαστικὰς ἐγχειρίζειν διακονίας. Τοῦτο γὰρ καὶ ὁ ἱερὸς κανὼν ἐγκελεύεται, καὶ ὑμῖν τὸ ἀπρόσκοπον προξενεῖ, ὥστε μὴ ἀμάρτυρον εἶναι τὴν τῆς Ἐκκλησίας οἰκονομίαν· καὶ μήτε ἐντεῦθεν, μήτε μὴν ἐτέρωθεν, λοιδορίαν τῇ ἱερωσύνῃ προστρίβεσθαι.

η'. Δεῖ τὴν σὴν θεοφιλειαν, εἴ ποτέ τινι τῶν ἐπισκόπων τὸ τοῦ βίου τέλος ἐπέλθοι, μηδὲν μηδαμῶς ἐκ τῶν αὐτοῦ ἀφαιρεῖσθαι πραγμάτων, μηδὲ σεμνῷ ὀνόματι συνηθείας ἐπισκιάζειν τὴν τῆς ἁρπαγῆς καὶ τυραννίδος ἀπηγορευμένην πρᾶξιν· παρεγγυᾶσθαι δὲ πᾶσι, σῶα πάντα διαφυλάττεσθαι, καὶ κατὰ τὴν αὐτοῦ ἐκείνου διάταξιν, οὕτως ἕκαστον τῶν καταλιμπανομένων εἰδῶν διοικεῖσθαι· μάλιστα δὲ ὅσα ἡ κατὰ τὸν καιρὸν, ὃν προεχειρίσθη, ἐκέκτητο· ἢ μετὰ ταῦτα ἐκ συγγενῶν αὐτῷ προσετέθη. Εἰ δ' ἐξάπινα τὸ τοῦ βίου τέλος τούτῳ ἐπέλθοι, μηδ' οὕτως ἁρπαγὴν καὶ ἀφαίρεσιν τῶν προσόντων αὐτῷ πραγμάτων γίνεσθαι· ἀλλ' εἰ μὲν συγγενεῖς τούτῳ εἶησαν, ἐκείνοις καὶ τὰ τούτου ἴδια περιποιεῖσθαι· εἰ δὲ μὴ τοιοῦτοί τινες εἶεν, τότε εἰ μὲν ἄπορός ἐστιν ἡ κατ' αὐτὸν Ἐκκλησία, καὶ τῶν τοιούτων ἐπιδεής, ἐκείνη καὶ τὰ αὐτῷ προσήκοντα ἀναλήψεται· εἰ δὲ ἐν εὐπορίᾳ καθειστήκει, τοῖς γοῦν πένησι ταῦτα διαδίδοσθαι παρασκευάζειν, ἀλλὰ μὴ αὐθεντίας τρόπῳ καὶ ἐξουσίας ἐπέρχεσθαι, καί τι τῶν αὐτοῦ ἀφαιρεῖσθαι. Ὡς εἴγε τοιοῦτόν τι παρ' ὑμῶν τολμηθείη, καὶ ὃ δ' ἂν ἀφαιρεθείη εἰς τὸ διπλάσιον ἀναστραφήσεται, καὶ ἀκοινωνησία ἐπὶ πλεῖστον καθυποβληθήσῃ χρόνον.

θ'. Δεῖ τὴν σὴν θεοφιλειαν, εἴποτέ τις τῶν ὑπ' αὐτὴν τελούντων ἐπισκόπων πρὸς τὴν ἐκεῖθεν μετασταίη λῆξιν, παντὸς ἀνθρωπίνου ἑαυτὴν μακρύνουσαν ἐλαττώματος, μᾶλλον δὲ τῆς σιμωνιακῆς κακίας ἐλευθεριάζουσαν, καὶ παντὶ τρόπῳ καὶ πάσῃ δυνάμει τὴν τοῦ Πνεύματος θείαν χάριν ἄπρατον διασώζουσαν, πρὸς μόνον Θεὸν τὸν τῶν καρδιῶν ἡμῶν ἀποβλέπουσαν ἔφορον, τὸν ἐπὶ βίῳ σεμνῷ, καὶ λόγῳ, καὶ καταστάσει πνευματικῇ μαρτυρούμενον, καὶ κανονικῶς ψηφιζόμενον, εἰς τὸν ἐπισκοπικὸν ἀνάγειν βαθμὸν, ἵνα δὴ καὶ τὸ μέγα τῆς ἀρχιερωσύνης ἀκαπήλευτον συντηροῖτο ἀξίωμα, καὶ αὐτὸς μὲν παρὰ τῆς κανονικῆς θεσμοθεσίας ἀκατάκριτος ἐποφθείης, κἀκεῖνος ἐξ ἑαυτοῦ οὕτω προχειρίζεσθαι τοὺς ἀμφ' αὐτὸν διδασκόμενος, ἀπρόσκοπος εἴη· μήτε τοῖς πνευματικοῖς νόμοις προσκρούων, μήτε τὸ ἄφυκτον τοῦ Θεοῦ κρῖμα καθ' ἑαυτοῦ ἐκκαλούμενος.

ι'. Δεῖ σε ἐπὶ πάσῃ πράξει καὶ μεταχειρίσει παντάπασι δώρων ἀπέχεσθαι, ἀκριβῶς εἰδότα, ὡς πᾶσα μὲν ἁμαρτία ἁπλῆν τὴν τιμωρίαν ὑφίσταται· ἡ δὲ τοῦ Σίμωνος αἵρεσις διπλῆν ἐπάγει τῷ ἁλόντι κατάκρισιν. Διὸ δεῖ παντελῶς ταύτην περικόπτειν, καὶ μηδὲ ταῖς λεγομέναις συνηθείαις εἴσοδον καὶ παρ-

VARIÆ LECTIONES.

[a] *testamentum.*

εἰσδυσιν ἔχειν. Καὶ γὰρ αἱ λεγόμεναι αὗται συνήθειαι, φιλαργυρίας συνεισχωμάσασαι νοσήματι, οὐδὲν ἔλαττον, εἰ μὴ καὶ μᾶλλον εἰς καταδίκην τοὺς τῆς ἀρχιερωσύνης, μετόχους ἁλισκομένους ἄγουσιν, ἐπὶ σεμνῷ προσωπείῳ τῆς Σίμωνος ἐνεργουμένης αἱρέσεως. Δεῖ γὰρ κἂν σεμνῷ ὀνόματι διαβεβλημένη πρᾶξις καλυπτηται, καὶ ταύτην παντὶ τρόπῳ ἐκτρέπεσθαι, καὶ παραιτεῖσθαι, καὶ μᾶλλον τῆς ἀνακεκαλυμμένως δηλούσης τὸ τόλμημα· τά τε γὰρ λανθάνοντα τῶν ἑλκῶν, δυσιατώτερά πως εἰωθε τυγχάνειν, καὶ τὰ ὕπουλον ἔχοντα τὴν παρανομίαν, ῥᾷον μᾶλλον ἢ καὶ τὰ πρόδηλα τῶν ἀτοπημάτων εἰς τοὺς πολλοὺς καταφέρεται. Οὔτε οὖν ἀπὸ δίκης, οὔτε χρηματικῆς, οὔτε ἐγκληματικῆς τοσύνολον λαμβάνειν, μετὰ τῆς τοῦ ἁγίου Πνεύματος ἐξουσίας διατατόμεθα, οὔτε ἀπὸ προχειρίσεως ἡγουμένου, ἢ ἀρχιμανδρίτου, ἢ ἐξάρχου, οὔτε μὴν ἀπὸ προβολῆς οἰκονόμου, ἢ μειζοτέρου, οὐδέ γε (τὸ φρικωδέστερον) ἀπὸ χειροτονίας διακόνου, ἢ πρεσβυτέρου, ἢ ἐπισκόπου, οὐδαμῶς οὐδὲ καθ' οἱονδήποτε τρόπον, οὔτε πρὸ τῆς χειροτονίας, οὔτε μετὰ τὴν χειροτονίαν προσῆκε λαμβάνειν. Τοῦτο γάρ, οἶμαι, καὶ τοῖς ἀπείρως ἔχουσι περὶ τοὺς κανόνας τοὺς θείους, κατάδηλον ἐμφανίζει τὴν ἀτοπίαν· διὸ δεῖ παντάπασιν ἐν πᾶσι τοῖς εἰρημένοις, καὶ τοῖς, ὡς εἰκὸς, παραλελειμμένοις, ἀθώους τὰς χεῖρας φυλάττοντα, καὶ πρό γε τῶν χειρῶν τοὺς λογισμούς, οὕτω τὸν τῆς ἀρχιερωσύνης μεταχειρίζεσθαι νόμον, εἰδότα καὶ πεπεισμένον, ὡς ὁ ταύτας παρορῶν τὰς ἐντολὰς καὶ προστάγματα, οὐχ ἡμετέρας παραινέσεις ἀθετεῖ, ἀλλὰ τῶν θείων καὶ ἱερῶν κανόνων ὑπερόπτης γίνεται, καὶ τὴν ἐκ τούτων οὐκ ἐκφεύξεται καταδίκην. Διὸ καὶ τὸν λεγόμενον ἐνθρονισμὸν οὐ τῷ χειροτονοῦντι (μὴ γένοιτο), ἀλλὰ τοῖς ἐνδεεστέροις τῶν κληρικῶν, ἢ καὶ τοῖς ἐκκλησιαστικὴν ἄλλην ὑπηρεσίαν τελοῦσι, κατὰ ἀναλογίαν τῆς ἐκκλησιαστικῆς εὐπορίας διοριζόμεθα δίδοσθαι. Εὐπόρου γὰρ τῆς ἐπισκοπῆς καθισταμένης, εὐεργεσίας μέρει τοὺς ὑπηρετοῦντας ταῖς ἐκκλησιαστικαῖς διακονίαις, ἀπορώτερον τὸν βίον κεκτημένους, δωροφορεῖσθαι ἐκεῖθεν οὐδόλως ἀπείργομεν.

A quas vocant, aditus et fenestra patefacienda est: Etenim hæ, quæ dicuntur consuetudines, uti cum avaritiæ morbo irrepserunt, ita non minus quam hæc, siquidem non etiam magis, ad condemnationem pontifices, qui harum participes facti deprehenduntur, pertrahunt; quando quidem sub honesta larva Simonis hæresis exercetur. Famosum namque facinus, licet honesto vocabulo velletur, omni modo vitandum et aversandum est; adeoque magis etiam, quam id, quod aperte scelus ipsum præ se fert. Latentia nimirum ulcera difficilius sanari solent, et absurda facinora, quibus inest subdola quædam nequitia, longe se facilius in vulgus insinuant, quam quæ manifesta sunt. Ut ergo nec litis causa, vel civilis, vel criminalis, in universum aliquid accipias, interveniente Spiritus sancti potestate mandamus: nec item propter abbatis, vel archimandritæ, vel legati (50) præfectionem, imo nequidem propter institutionem œconomi, vel majoris; quod horribilius denique, non propter ordinationem diaconi, vel presbyteri, vel episcopi, quidquam prorsus ullo modo, nec ante ordinationem, nec post ordinationem sumere convenit. Hoc enim quam sit absurdum, ut equidem arbitror, etiam sacrorum canonum imperitis est manifestum. Quapropter omnino in omnibus indicatis, et iis, quæ fortassis omissa sunt, manus puras servans, et quidem ante manus, ipsas cogitationes; ita scilicet muneris pontificii legem subire debes, et certa cum animi persuasione scire eum, qui hasce præceptiones atque mandata flocci faciat, non admonitiones nostras nihili facere: sed divinorum sacrorumque canonum contemptorem esse, nec condemnationem ab eis irrogandam effugiturum. Atque hanc ob causam statuimus, ut inthronismus (51) quem vocant, non ei, qui ordinat episcopum (absit ut hoc fiat), sed pauperioribus clericis, vel alio quodam ecclesiastico munere fungentibus ratione facultatum ecclesiasticarum habita, detur. Quippe si locuples sit episcopatus, nequaquam prohibemus, quominus in eos, qui ministeriis ecclesiasticis inserviunt, et inopem vitam traducunt, velut ex beneficentia, munuscula quædam conferantur.

ια'. Δεῖ τὴν σὴν θεοφίλειαν πρὸ πάντων καὶ μετὰ πάντων τοῦ τῆς φιλοχρηματίας καὶ πλεονεξίας πάθους καθαρὰν ἑαυτὴν συντηρεῖν, τοῖς οἰκείοις ἐπαρκουμένην· καὶ μήτε τρόπῳ τινὶ τὰ ἀλλότρια οἰκειοποιεῖσθαι, μήτε δουλικοῖς ἐπιτάγμασι κατατρύχειν τὸ ὑποχείριον, ἢ βαρυτάταις ἐπιτιμήσεσι τοὺς μὴ ὑπείκοντας ἀνταμύνεσθαι, ἵνα τοῖς ἔργοις, καὶ τὸ τῆς ἱερωσύνης κοσμῆται ἀξίωμα, καὶ αὐτὸς εἴης θεϊκῆς τε καὶ ἀνθρωπίνης ἀνώτερος κατακρίσεως.

11. Debet tua pietas ante omnia, et inter omnia, se ipsam ab avaritiæ vitio puram et immunem servare suisque facultatibus esse contenta; neque ullo modo res alienas invadendo sibi vindicare, neque servilibus imperiis subditos affligere, vel pœnis gravissimis non obsecundantes vicissim ulcisci: quo scilicet abs te sacerdotii dignitas factis ornetur, atque etiam ipse tum divinæ, tum humanæ condemnationi nequaquam sis obnoxius.

ιβ'. Δεῖ σε πᾶσαν ἀκρίβειαν ἐν τοῖς κανονικοῖς ἅπασι καταβάλλεσθαι πράγμασιν· ἐγκαλούντων τέ τινων, καὶ παράβασιν αὐτῶν προτεινόντων, ἐπιμε-

12. In omnibus rebus, ad canones spectantibus, accurationem summam adhibere debes; et ubi quidam accusationes instituunt, et in canones pecca-

NOTÆ.

(50) Hoc est, vicarii, sive suffraganei.
(51) Sportulæ quasi quædam, quæ pendebantur ab episcopo, cum in solium collocabatur.

tum esse prætendunt, rem omnem investigatione diligenti perscrutari, et quæ commissa sunt, ita corrigere : ut pari quidem benevolentia partis utriusque rationes expendas, at observationum canonicarum lancem sequaris, iisque singula dirigas et finias.

13. Debet tua pietas sacris cimeliis maximam adhibere curam atque providentiam, ut ea scilicet ad ornamentum ecclesiæ detrimenti omnis expertia conserventur, vel incrementum quoque, si fieri possit, capiant : itidemque cætera prædia, quæ ad usum ecclesiæ conferunt, non alienata servare : quæ nonnullis emphyteutico jure concedi solent, cum nostro consensu administrare : quidquid inde colligitur, ad Ecclesiæ stabilimentum expendere. Nam et sacer ille canon apostolorum sic ait : « Cujuslibet gentis episcopi scire debent, qui sit eorum primas : neque supervacaneum quidquam absque illius sententia facere. » Idem habita quoque Venethalis sancta synodus affirmans, decrevit : « Ne quis metropolitanus et episcopus quidquam agat absque illo qui thronum apostolicum gubernat. » Quia etiam canonis alterius hæc verba sunt : « Similiter placuit, ut presbyteri præter sententiam episcoporum suorum, ejus ecclesiæ, ad cujus sacerdotium ordinati sunt, rem minime distrahant. » Quo etiam modo non licet episcopis ecclesiæ prædia distrahere, ignorante synodo.

14. Debet tua pietas, si quem ejus abbatem rebus humanis excedere contingat, primum quidem res eas, quæ apud ipsum exsistunt, ad ejus functionem scilicet spectantes, vel etiam si quæ exstant aliæ, citra ullam innovationem omni modo servare ; neque consuetudinis prætextu nefario, manus injustas eis inferre. Deinde vero eum, cui testimonium pietatis et prudentiæ monachi tribuunt, ad hujus præfecturæ gradum provehere : nullis scilicet donis intervenientibus, quæ capi citra periculum pontificis nequeunt ; et ei, qui ea dedisse deprehensus fuerit, absque commiseratione pœnam canone decretam afferunt.

15. Exhortandi sunt, quibus tradita monachorum est præfectura, ut eis qui solitariam ad vitam accedunt, interveniente consueto tempore atque exploratione debita, tribuat habitum angelicum, et plene tondeat : quo per exercitationem diuturnam mores eorum perspiciantur, atque habitum consecuti, constantes in bono permaneant.

16. Cum alia solitariæ vitæ convenientia, secundum sanctiones Patrum regulare debea : tum senes et castos eunuchos quærere, qui mulieribus in semneis (50) sacram institutionem ad intelligenda mysteria suscipiant : ex iisdem tum commercia promiscuasque turbas hominum mundanorum tollere, tum duplorum (quæ vocant) monasteriorum,

λεστέρᾳ ἐξετάσει διερευνᾷν, καὶ τὴν διόρθωσιν τῶν ἡμαρτημένων ποιεῖσθαι· ἴσῃ μὲν τῇ εὐνοίᾳ ἀμφοτέρων μερῶν τοὺς λόγους διευκρινοῦντα, τῇ στάθμῃ δὲ τῶν κανονικῶν παρατηρημάτων ἐπόμενον, καὶ τούτοις ἕκαστα διευθύνοντά τε καὶ περαιούμενον.

ιγ'. Δεῖ τὴν σὴν θεοφίλειαν τοῖς ἱεροῖς κειμηλίοις μεγίστην καταβάλλεσθαι πρόνοιαν, ὥστε ταῦτα εἰς κόσμον τῆς Ἐκκλησίας ἀσινῆ διασώζεσθαι, ἢ καὶ αὔξησιν, εἰ οἷόν τέ ἐστιν, ἐπιδέχεσθαι· τά τε ἄλλα ἀκίνητα κτήματα, ὅσα γε εἰς τὴν τῆς Ἐκκλησίας συντελεῖ χρείαν, ἀνεκποίητα συντηρεῖν· τά τε ἐμφυτευτικοῖς δικαίοις ἐγχειριζόμενά τισι, μετὰ τῆς ἡμετέρας γνώμης οἰκονομεῖν· καὶ τὸ ἐντεῦθεν ἐρανιζόμενον εἰς τὴν τῆς Ἐκκλησίας προσβαπανᾷ ἐπισύστασιν. Καὶ γὰρ καὶ ὁ ἱερὸς τῶν ἀποστόλων κανὼν οὕτω φησί· « Τοὺς ἐπισκόπους πντὸς ἔθνους, εἰδέναι χρὴ τὸν ἑαυτῶν πρῶτον, καὶ μηδὲν περιττὸν ἄνευ τῆς ἐκείνου πράττειν γνώμης. » Τὸ αὐτὸ δὲ καὶ ἡ ἐν Βενεθάλοις ἁγία σύνοδος διαβεβαιοῦσα, ἐκύρωσεν· « Ὡς μητροπολίτην ἅπαντα καὶ ἐπίσκοπον μηδὲν χρῆναι πράττειν, ἄνευ τοῦ τὸν ἀποστολικὸν θρόνον ἰθύνοντος. » Ἀλλὰ καὶ ἕτερος ἱερὸς κανὼν ὧδέ φησιν· « Ὁμοίως ἤρεσεν, ὥστε τοὺς πρεσβυτέρους παρὰ γνώμην τῶν ἰδίων ἐπισκόπων πρᾶγμα μὴ πιπράσκειν τῆς ἐκκλησίας, ἐν ᾗ καθιέρωνται. » Ὃν τρόπον καὶ τοῖς ἐπισκόποις οὐκ ἔξεστι πιπράσκειν χωρία τῆς ἐκκλησίας, ἀγνοούσης τῆς συνόδου.

ιδ'. Δεῖ τὴν σὴν θεοφίλειαν, εἴποτέ τινι τῶν ἀμφ' αὐτὴν ἡγουμένων ἡ ἀπὸ τῶν ἐντεῦθεν ἔξοδος γένηται, πρῶτα μὲν τὰ τούτῳ προσόντα, ὅσα γε εἰς ὑπηρεσίαν ἐτέλει, ἢ εἰ καί τινα ἄλλα πρόσεστιν, ἀκαινοτόμητα κατὰ πάντα τρόπον τηρεῖν, καὶ μὴ τῷ τῆς συνηθείας παρανόμῳ προσχήματι χεῖρας αὐτοῖς ἐπιβάλλειν ἀδίκους. Ἔπειτα δὲ τὸν ἐπ' εὐλαβείᾳ καὶ συνέσει παρὰ τῶν μοναχῶν μαρτυρούμενον, εἰς τὸν τῆς ἡγουμενείας βαθμὸν προχειρίζεσθαι· δίχα δηλονότι λημμάτων, ἃ καὶ τῇ ἀρχιερωσύνῃ κίνδυνον ἐπάγει, καὶ τῷ ἁλόντι τὴν ἐκ τοῦ κανόνος ἀσυμπαθῶς ἄμυναν ἐπιφέρει.

ιε'. Χρὴ τοῖς τὴν ἐπιστασίαν τῶν μοναχῶν ἐγχειριζομένοις παρεγγυᾷν, τῷ νενομισμένῳ χρόνῳ καὶ τῇ προσηκούσῃ δοκιμασίᾳ τοὺς τῷ μονήρει βίῳ προστιθεμένους, τοῦ τε ἀγγελικοῦ καταξιοῦν σχήματος, καὶ τὴν τελείαν ἀπόκαρσιν ποιεῖσθαι· ὅπως ἂν τῇ χρονίᾳ γυμνασίᾳ καὶ ὁ τρόπος αὐτῶν ἐμφανὴς εἴη, καὶ αὐτοὶ πάγιοι πρὸς τὸ καλὸν τούτου τυχόντες διαμένοιεν.

ις'. Δεῖ σε τά τε ἄλλα τῇ μοναδικῇ πολιτείᾳ ἁρμόδια, κατὰ τοὺς πατρικοὺς κανονίζειν θεσμούς, καὶ γηραιοὺς καὶ σώφρονας εὐνούχους ἐν τοῖς γυναικείοις σεμνείοις τὴν θείαν ἐπιτελεῖν μυσταγωγίαν ἐπιζητεῖν· καὶ ἐκκόπτειν μὲν ἐκεῖθεν τὴν ἐπιμιξίας καὶ ἀναφύρασεις τῶν κοσμικῶν, ἀποδιιστᾷν δὲ τὰς τῶν λεγομένων διπλῶν μοναστηρίων,

VARIÆ LECTIONES.

(52) Hoc est, locis ad exercitationes graves et honestas destinatis.

εἴπερ εἰσὶ κατὰ τὸν τόπον, συναφείας τε καὶ παρανόμους συνδιατριβάς. Οὕτω ταῦτα. Καὶ εἴ τι ἕτερον ὅ τε καιρὸς καὶ ἡ χρεία προβάλλοιτο, μετὰ τῆς ἐπαινετῆς καὶ προσηκούσης καὶ θεοφιλοῦς σπουδῆς ἐκπληρῶν, πάσης μὲν λαβῆς καὶ καταδίκης ἐξαιρεθήσῃ· εἰς κόσμον δὲ τῆς Ἐκκλησίας, καὶ δόξαν τοῦ τὸ οἰκεῖον αἷμα ὑπὲρ αὐτῆς ἐκχέαντος, Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ὀφθήσῃ· ὅπερ καὶ ἐλπίζομεν, καὶ εὐχόμεθα· καὶ μετὰ μεγάλων τῶν ἐλπίδων εἰς τὴν ἐναποκειμένην τοῖς ἁγίοις παραπεμφθήσῃ μακαριότητα, ἔνθα πάντων ἡ προσδοκωμένη κατάπαυσις γένοιτο, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ὅτι αὐτός ἐστι τῶν ἀγαθῶν δοτὴρ καὶ πληρωτής, καὶ αὐτῷ πρέπει τιμὴ καὶ δόξα, νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

A siquidem eo loci sint, conjunctiones et nefarias conversationes removere. Atque hæc quidem in hunc modum. Quod si quid aliud tibi vel ipsum tempus, vel necessitas offerat, id si laudabili, decente, religioso studio perficies, omni temet reprehensione et condemnatione eximes, Ecclesiæ ornamento eris, gloriæ Christi veri Dei nostri, qui sanguinem pro Ecclesia suum profudit, servies (uti futurum speramus et optamus), cum magna spe denique ad illam sanctis repositam beatitatem ablegaberis : ubi requies exoptata contingat universis, in Christo Jesu Domino nostro : quoniam ipse bonorum largitor est et absolutor ; cui par est tribui honorem atque gloriam, nunc et sæculis infinitis. Amen.

B

Ἔνταλμα διδόμενον τοῖς ἐξάρχοις·

α'. Δεῖ τὴν σὴν εὐλάβειαν, τὴν ἐπιστασίαν καὶ πρόνοιαν τῶν πατριαρχικῶν μοναστηρίων παρὰ τῆς ἡμῶν μετριότητος ἀναδεδεγμένην[69], μετὰ τῆς ἐπαινετῆς συνειδήσεως πολλὴν ἀναλαβεῖν ἐπιμέλειαν καὶ σπουδήν, ὡς οὐχ ἡμῖν μόνον τὸν περὶ τούτων λόγον ὀφείλουσαν ἀποδοῦναι, ἀλλά γε καὶ πρὸ ἡμῶν τῷ πάντων ἐφόρῳ Θεῷ· καὶ μήτε πρὸς χάριν, μήτε πρὸς ἔχθραν, μήτε πρὸς δῶρον, μήτε πρὸς παράκλησιν, μήτε πρὸς ἄλλο τι τῶν ἀνθρωπίνων ἀποκλίνουσαν, μεταχειρίζεσθαι τὴν τοιαύτην διακονίαν· ἀλλὰ κατὰ τοὺς κανονικοὺς θεσμοὺς πάντα πράττειν, καὶ κατὰ τὴν ἡμετέραν διαταγήν· ἀνεπαχθῶς τε καὶ ἀβαρῶς τὴν περίοδον ποιεῖσθαι, ὅτε χρεία καλεῖ· ἵνα μὴ τῷ πλήθει καὶ τοῖς πλείοσιν ἀναλώμασιν, ἔτι δὲ καὶ τῇ ἀκαίρῳ ἐπιδημίᾳ, ἀντὶ τῆς μελλούσης ὠφελείας, ἤδη παροῦσάν τε καὶ ἐνεργοῦσαν τὴν βλάβην αὐτοὺς ἐνορῶσι καταλαμβάνουσαν. Καὶ γὰρ εἰ σωματικήν τινα ἐκ τῆς σῆς παρουσίας συναίσθονται βλάβην, οὐδὲ τὴν ψυχικὴν ἐπαγγελλομένῳ πιστεύσουσι σωτηρίαν. Καὶ πρός γε τούτοις ἐκ πάσης δωροληψίας[70] καθαρὰν αὐτὴν καὶ ἀμόλυντον διατηρήσεις· καὶ μήτε ταῖς λεγομέναις συνηθείαις ὁπωσδήποτε κατεχρανθῆναι, μήτε ἑτέροις πρόσκομμα γενέσθαι· οὐ γὰρ ἡ σεμνότης τοῦ ὀνόματος τὴν δυσσέβειαν ἀποσκευάζει τῆς πράξεως· ἀλλὰ τὸ παράνομον τοῦ πράγματος, καὶ τῆς ὀνομασίας ἐκκακίζει τὴν δεξιότητα. Καὶ γὰρ ὁ ἑτέροις δικαιοπραγεῖν νομοθετῶν, αὐτὸς καὶ τῆς τοῦ ἀδικεῖν ὑπολήψεως καθαρὸς ὀφείλει καθίστασθαι. Εἰ μέντοι παρὰ τὰ ἐγγράφως σοι διατεταγμένα (ὃ μὴ γένοιτο, μηδὲ δώῃ Κύριος) ἄλλο τι διαπραχθείη, καὶ παράβασίς τινος τῶν παραγγελμάτων ἐπιτολμηθείη, μάλιστα δὲ εἰ συνηθείας ἢ αὐτὸς, ἢ ἕτερός τις τῶν συνεπομένων σοι ἀπαιτῶν φωραθείη, ἢ ἄλλην τινὰ ζημίαν ἐπιφέρων τοῖς ἐπὶ ἀπαλλαγῇ ζημίας ψυχῆς τε καὶ σώματος ὑποδεχομένοις τὴν σὴν εὐλάβειαν· ὅστις οὖν τῷ τοιούτῳ νοσήματι ἁλοὺς φωραθείη, ἐξ αὐτῆς ἐκείνης τῆς παρανόμου πράξεως ἔστω γινώ-

Mandatum quod legatis (52) *dari solet.*

1. Debet tua reverentia, quæ præfecturam et curationem patriarchalium monasteriorum a nostra mediocritate nacta est, cum laudabili conscientia multum diligentiæ ac studii suscipere, uti quæ non solum nobis horum debeat rationem reddere, verum etiam ante nos, inspectori omnium Deo : ac neque gratiam neque inimicitiam, neque donum, neque preces, neque quidquam aliud in rebus humanis respiciendo, ministerium ejusmodi obire : sed omnia secundum canonicas leges, et mandatum nostrum agere, citraque gravamen et onus aliquod aliorum, visitationis munere defungi, cum usus C postulat : ne scilicet illi propter comitum multitudinem, et majores sumptus, atque etiam propter importunum adventum, futuri commodi loco, præsens et urgens damnum se videant percipere. Quippe si corporale quoddam ex præsentia tua detrimentum sentiant, nec animi salutem pollicenti tibi fidem habituri sunt. Præterea te purum et impollutum ab omni captatione munerum perpetuo servabis, ac neque consuetudinibus quas vocant, ullo modo contaminaberis ; neque alius offendiculo eris. Non enim vocabuli honestas impietatem facti excusat ; sed rei sceleritas, ipsius etiam appellationis bonitatem deminuit. Nimirum qui præcipit aliis, ut juste se gerant etiam ipse vel ab omni suspicione injuriæ purus esse debet. D Enim vero si præter hæc injuncta tibi per Scripturam (quod absit, neque Dominus fieri permiserit) diversum quiddam fuerit actum, et alicujus ex his mandatis attentata violatio ; maxime, si consuetudines vel temetipsum exigere, vel alium quemquam ex comitibus tuis compertum fuerit ; aliudve detrimentum quoddam eis inferri, qui reverentiam tuam excipiunt eo nomine, ut animi corporisque damnis liberentur : quisquis igitur in hujusmodi vitio deprehensus fuerit, ob hoc ipsum nefarium facinus, sciat, primum quidem se sacris a mysti-

VARIÆ LECTIONES.

[69] al. δεξαμένην. [70] δωσοληψίας.

NOTÆ.

(52) Vicariis sive suffraganeis.

ptiarum contractus progredientur. At vero cum inter maritum et uxorem nulla intercedat cognatio, prorsus ineptum est dicere, virum et uxorem vel unius esse gradus, vel duorum. Nam cognaticæ duntaxat personæ, ceu dictum est, gradus gignunt et constituunt. Quæ cum omnium confessione ita se habeant, sequitur id etiam locum non habere, quod uxoris sobrina pro mariti necessaria carnali sit habenda. Cæterum illius e sacris Litteris dicti sententiam, a magno et divinitus afflato Patre Basilio argute ac breviter expositam, beati Patres sanctæ illius et universalis sextæ synodi perspicue explicantes et declarantes, LIV canonem confecerunt, qui circa medium sic ad verbum statuit : « Quia vero ex ejusmodi silentio, et parum explicata prohibitione nuptiarum illicitarum, confusio naturæ quædam est secuta : nudius hæc exponenda statuimus, adeoque decernimus, deinceps eum, qui cum sua consobrina matrimonii societate copulatur, aut patrem et filium cum matre ac filia, vel cum duabus puellis sororibus patrem atque filium, vel cum duobus fratribus matrem et filiam, vel fratres duos cum duabus sororibus pœnam canonis septennio circumscriptam incurrere ; nimirum et ipsis a nefario matrimonio divertentibus. » Hæc cum sacri canonis verba sint, nulla sane mentio fieri apud eum personarum, quæ erga se invicem sic comparatæ sunt, et matrimonium indicato modo contrahunt, deprehenditur : nec omnino quidquam horum sub culpam relatum fuit, aut sub divortii pœnam cecidit. Cumque rationibus hujusmodi et actis deinceps sacrosancta Constantinopolitana synodus moveretur, habita tempore Theodosii, piæ recordationis sanctissimi Constantinopolitani patriarchæ, scriptum quoddam Julii mensis die trigesimo, indictione decima, exposuit : cujus hæc ipsa verba sunt.

Sanctissimus Aprous metropolitanus, frater et consors ministerii mediocritatis nostræ, Romanus ille Artabasdus, scriptum in synodo protulit, quod ad verbum hæc continebat. Puella quædam, cujus nomen Irena, precibus sacris intervenientibus cum Joanne quodam sponsalia contraxit, cum annum ætatis decimum ageret. Hæc sponsalia cum esse nefaria pronuntiatum fuisset, sanctum est scriptum synodale, permittens inter personas hasce desponsas divortium, propterea quod essent ipsa sponsalia nefaria, ceu dictum fuit. Vult ergo nunc Irena legitime copulari cum Theodoro, qui Joannis est sobrinus. Hoc in matrimonio contrahendo, nunquid impedimenti sit, interrogo. Petiit igitur a mediocritate nostra, et sacro concilio fratrum ; uti, num contractus ille scripto comprehensus, aliquod habeat obstaculum, intelligeret. Responsum a nobis est, et a fratrum cœtu præsente, contractum ejusmodi prorsus ab omni prohibitione immunem esse. Cum enim sponsalia cum Joanne contracta, veluti quæ constare non possint, propter ætatem Irenæ impuberem, solvantur : recte sobrino ejus Irena secundum matrimonii legem copulabitur. Quippe Theodorus pro persona Irenæ cognata non habetur, nec affini-

σωπα τοὺς βαθμοὺς ἀποτίκτουσιν, ὡς διείληπται. Τούτων δὲ οὕτως ὁμολογουμένως ἐχόντων, ἀναιρεῖται λοιπὸν καὶ τὸ λογίζεσθαι οἰκείαν σαρκὸς τοῦ ἀνδρὸς τὴν δισεξαδέλφην τῆς αὐτοῦ γυναικός. Τὴν μέντοι περὶ τοῦ Γραφικοῦ τούτου ῥήματος ἔννοιαν Βασιλείου τοῦ μεγάλου καὶ θεοφόρου Πατρὸς γοργῶς καὶ συνεπτυγμένως ἐξενεχθεῖσαν, οἱ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου μακάριοι Πατέρες τρανῶς ἀναπτύσσοντες καὶ διαλευκαίνοντες, τὸν νδ' κανόνα ἐξέθεντο, περὶ τὰ μέσα πρὸς λέξιν οὕτω θεσπίζοντα· « Ἐπεὶ δὲ τῇ τοιαύτῃ σιγῇ καὶ τῷ ἀδιαγνώστῳ τῆς τῶν ἀθέσμων γάμων ἀπαγορεύσεως ἑαυτὴν ἡ φύσις συνέχες, συνείδομεν γυμνότερον τὰ περὶ τούτων ἐκθέσθαι· ὁρίζοντες ἀπὸ τοῦ νῦν, τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ πρὸς γάμου κοινωνίαν συναπτόμενον, ἢ καὶ πατέρα καὶ υἱὸν μητρὶ καὶ θυγατρί, ἢ δύο κόραις ἀδελφαῖς πατέρα καὶ υἱόν, ἢ ἀδελφοῖς δυσὶ μητέρα καὶ θυγατέρα, ἢ ἀδελφοὺς δύο δυσὶν ἀδελφαῖς, ὑπὸ τὸν τῆς ἐπταετίας κανόνα πίπτειν, ἀφισταμένων αὐτῶν προδήλως τοῦ παρανόμου συνεκεσίου. » Ταῦτα τοῦ ἱεροῦ κανόνος διαγορεύοντος, οὐδεμία τις μνήμη παρ' αὐτῷ τῶν οὕτως ἐχόντων πρὸς ἄλληλα προσώπων, καὶ τὸν γάμον, ὡς διείληπται, συναλλασσόντων εὑρίσκεται· οὐδὲ ὑπ' αἰτίαν ὅλως τι τούτων ἠνέχθη, ἢ διαστάσει ὑπέπεσε. Τοῖς τοιούτοις δὲ λογισμοῖς καὶ ταῖς πράξεσι μετέπειτα κινουμένη καὶ ἡ κατὰ τὴν Κωνσταντινούπολιν ἁγία σύνοδος, ἐπὶ τῆς ἐφημερίας τοῦ τῆς ὁσίας μνήμης Θεοδοσίου τοῦ ἀγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, σημείωμα κατὰ τὴν λ' τοῦ Ἰουλίου μηνὸς, τῆς ι' ἐπινεμήσεως, ἐξέθετο· οὕτως ἔχον ἐπὶ λέξεων.

Ὁ ἱερώτατος μητροπολίτης Ἄπρω, ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, Ῥωμανὸς ὁ Ἀρτάβασδος, ἔγγραφον προεκόμισε συνοδικῶς, τάδε κατὰ ῥῆμα διαλαμβάνον. Κόρη τις Εἰρήνη καλουμένη, ἔλαβεν εὐχὴν μνηστείας μετά τινος Ἰωάννου δεκαετὴς τότε οὖσα τὴν ἡλικίαν. Λαληθείσης δὲ τῆς περὶ τούτου παρανόμου μνηστείας, γέγονε σημείωμα συνοδικὸν, ἐπιτρέπον διαζυγῆναι τοὺς τάχα μνηστευσαμένους, διὰ τὸ εἶναι τὴν μνηστείαν παράνομον, ὡς διείληπται. Βούλεται γοῦν σήμερον ἡ Εἰρήνη νομίμως συναχθῆναι τῷ Θεοδώρῳ δευτέρῳ ὄντι ἐξαδέλφῳ τοῦ Ἰωάννου. Καὶ ἐρωτῶ, εἰ ἔχει τινὰ παρεμποδισμόν. Ἠξίωσεν οὖν τὴν ἡμῶν μετριότητα, καὶ τὴν ἱερὰν ἀδελφότητα, μαθεῖν εἴπερ οὐκ ἔχει κωλύμην τινὰ τὸ, περὶ οὗ γέγονεν ἡ γραφὴ, συνάλλαγμα. Ἤκουσε δὲ ἐκ ταύτης, καὶ ἐκ τῆς παρουσιαζούσης τῶν ἀδελφῶν ὁμηγύρεως, ὅτι τὸ τοιοῦτον σύναλλαγμα πανταχόθεν ἀκώλυτόν ἐστιν. Ἐπεὶ γὰρ ἡ μετὰ Ἰωάννου τελεσθεῖσα μνηστεία, ὡς ἀνυπόστατος λύεται, διὰ τὴν τῆς Εἰρήνης ἀνηβότητα, καλῶς ἡ Εἰρήνη δευτέρῳ ἐξαδέλφῳ αὐτοῦ κατὰ νόμον γάμου συζευχθήσεται. Οὔτε γὰρ συγγενικὸν πρόσωπον τῇ

Εἰρήνῃ λογίζεται ὁ Θεόδωρος, οὔτε τοῖς ἐξ ἀρχιστείας δεσμοῖς καὶ ὅροις συσφίγγεται, διὰ τὸ ὑπερβῆναι τὸν ἐξ ἀγχιστείας βαθμόν.

Τοιαύτης οὖν τῆς συνοδικῆς ἀποφάσεως ἐξενεχθείσης περὶ τοῦ ἀνατεταγμένου συναλλάγματος, οὐ κωλυθήσεται καὶ ὁ πορνικῶς συναφθεὶς γυναικὶ, λαβεῖν εἰς γυναῖκα νόμῳ γάμου τὴν δισεξαδέλφην αὐτῆς· ὅτι μηδὲ γάμον εἶναι τὴν πορνείαν, μηδὲ γάμου ἀρχὴν, ὁ μέγας γνωματεύει Βασίλειος, ἀλλ' ἁμάρτημα ἐπιτιμίοις ἐκκλησιαστικοῖς ὑποκείμενον· καὶ ὅτι εἰς τὸν ἐξ ἀγχιστείας ἕβδομον τὸ τοιοῦτον συνάλλαγμα περίσταται, καὶ ὃς δὴ ἐκ τεσσάρων καὶ τριῶν, δηλονότι πρωτεξαδέλφων μὲν ἐξ ἑτέρου γένους, θείας δὲ καὶ ἀνεψιᾶς ἐξ ἑτέρου· καὶ ἐκ πέντε καὶ δύο, ἤγουν πρώτου ἐξαδέλφου καὶ ἀνεψιοῦ ἐκ πρωτεξαδέλφου, καὶ δύο αὐταδέλφων, καὶ ἀκολούθως, ἀπὸ ἓξ καὶ ἑνὸς, ἤγουν δισεξαδέλφων, καὶ τοῦ ταύταις ἐξ ἑτέρου γένους συναπτομένου, συνίστασθαι πέφυκε· καὶ τὸ πλέον, ὅτι οὐδὲ τοῖς ἀπηγορευμένοις ὡς ἀθεμίτοις συντάττεται, κατὰ τὴν τοῦ ἀναπεφωνημένου νδ' κανόνος τῆς οἰκουμενικῆς ἕκτης συνόδου περίληψιν. Διά γε μὴν τὴν πορνείαν, ὀφείλει ὁ περὶ οὗ ὁ λόγος ἀνὴρ, δι' ἔργων ἑαυτὸν καθάραι, τῶν δυναμένων ἐξιλεοῦσθαι τὸν τοὺς μετανοοῦντας δεχόμενον, καὶ ἐπὶ κακίαις ἀνθρώπων μετανοοῦνται φιλάνθρωπον Κύριον.

talis ullius vinculis atque terminis astringitur propterea quod extra gradum affinitatis positus sit.

Talis ergo sententia synodi cum pronuntiata sit de contractu supra commemorato, non impedietur is etiam, qui furtiva cum aliqua muliere consuetudinem habuit, quominus sobrinam ejus legitimis nuptiis uxorem ducat : tum quod scortationem magnus ille Basilius nec esse matrimonium, nec initium matrimonii; sed peccatum pœnis ecclesiasticis obnoxium, decernat : tum quod ejusmodi contractus in gradum ex affinitate septimum desinat, sicut illud etiam matrimonium, quod contrahi solet ex gradibus quatuor et tribus nimirum consobrinis ex uno genere, ex altero amita fratrisque filia ; et quod ex quinque ac duobus, id est consobrino ac consobrini filio, duobusque germanis fratribus et simili modo, de sex et uno ; sobrinis scilicet et eo, qui cum his ex alio genere copulatur : tum denique, magis etiam propterea quod inter conjugia prohibita, tanquam illicita, secundum id, quod recitato supra quinquagesimo quarto universalis sextæ synodi canone continetur, non referatur. Scortationis quidem commissæ causa debet is, de quo loquimur, factis ejusmodi se purgare ; quæ benignum illum Dominum, qui pœnitentiam agentes recipit, et ob mortalium afflictiones aliam ipse mentem induit, placare possint.

ΤΟΜΟΣ ΕΞΙΤΗΡΙΟΣ,

Ἤτοι παραίτησις τοῦ ἁγιωτάτου μητροπολίτου Ἡρακλείας, κυροῦ Θεοδώρου τοῦ Κριτοπούλου.

Παναγιώτατέ μου δέσποτα, αὐθέντα καὶ οἰκουμενικὲ πατριάρχα, καὶ ὑμεῖς, ἅγιοί μου δεσπόται, ἀδελφοὶ, καὶ συλλειτουργοί· ὅπως μὲν ὑπετάγην τῷ καλέσαντι, καὶ ὑπέκυψα τὸν αὐχένα τῷ ζυγῷ τοῦ Εὐαγγελίου, εἴτε ἐξ ἀπειρίας ἔπαθον, εἴτε ἐξ ἀνθρωπίνης ὀρέξεως οὐκ ἔχω εἰπεῖν· τέως δ' οὖν, ἔπαθόν τι ἐπισφαλές. Ἐπεὶ δὲ τὰ κατ' ἐμὲ κατολίγον ἐπισκεπτόμενος, ἐθεώρουν τὸ ἐμὸν χαμερπὲς, καὶ τὸ ὕψος τοῦ ἀξιώματος, τοσοῦτον ἀπ' ἀλλήλων διεστηκότα, ὅσον ὁ οὐρανὸς καὶ ἡ γῆ, ἀφροσύνην ἐμαυτοῦ κατεγίνωσκον, καὶ, Τίς κοινωνία, ἐλάλουν, ἐμοὶ τῷ περιπεζίῳ καὶ τῇ ἀγχιθέῳ ἱερατείᾳ; Ὅτε δὲ καὶ τὸν ὅρον τοῦ μεγάλου Παύλου ἐπὶ στόματος εἶχον, τὸν εἰδοποιοῦντα τὸ τοῦ ἀρχιερέως μόρφωμα, καὶ ἀνελεγόμην τούτου τὰ χρώματα· τὸ ὅσιον, τὸ ἄκακον, τὸ ἀμίαντον· καὶ καθ' ἑαυτὸν ἀνεπόλουν· ἐταπεινούμην τὸ πρόσωπον, καὶ κατὰ τὸν Μανωὲ ἐβόων καὶ αὐτὸς, Ἀπωλόμην· οὐχ ὅτι Θεὸν ἑωράκειν, ἀλλ' ὅτι ὑπὲρ ἐμὲ ἡ εἰκών. Ποῦ γάρ μοι τὸ ὁριστὸν αὐτῆς, εἰ μὴ μόνη ψιλὴ ἡ ὁμωνυμία, καὶ μέχρι τοῦ ποδήρους ἡ φαντασία; Εἰ δὲ καὶ θείαις Γραφαῖς προσομιλήσας, τὰς ἀπειλὰς διεξήειν τῇ γλώσσῃ, καὶ τὰς ὑπὲρ ἑκάστης εὐθύνας ψυχῆς, ὅσας ὑπέσειόν μοι εἰ προφῆται, ὁ νόμος, ὁ Χριστὸς, τὸ Εὐαγγέλιον, οἱ ἀπόστολοι, οὐκ ἔτι αἱ Γραφαὶ λόγοι μόνον ἐδόκουν, ἀλλ' ἦλοι μονονοὺ ἐμπεπαρμένοι· οὐδὲ τὸν ἀέρα δαίροντες, ἀλλὰ τὸ ἐμὸν περικάρδιον. Ταῦτα γοῦν πάντα

LIBELLUS ABDICATIONIS,

Sive renuntiatio sanctissimi Heracliensis metropolitani, Domini Theodori Critopuli.

Sanctissime mi here, domine, ac universalis patriarcha, vosque, sancti domini, fratres et consortes in ministerio mei : quo equidem modo vocationis auctori me submiserim, et Evangelii jugo cervicem subdiderim , ex imperitia ne, an humana cupiditate quadam, id acciderit mihi, sane dicere non possum : saltem hoc fateor, accidisse mihi rem periculi plenam. Postea quam vero paulatim meipsum considerans, et humilitatem meam et officii dignitatem inspiciebam, tantum a se invicem distantia, quantum cœlum et terra : meipsum stultitiæ damnans : Quænam esse possit, inquam, societas inter me humi affixum, et accedens prope ad Deum sacerdotium? Cum autem magni etiam illius Pauli definitionem in ore haberem, quæ speciatim pontificis quasi formam delineat, et illius relegerem colores, pietatem, integritatem, puritatem, eosque mecum ipsius expenderem, cum humilitate faciem demittebam, et exemplo Manoæ clamabam : Perii : non quod Deum aspexissem, sed quod simulacrum hoc supra vires meas esset. Nam quid tandem est mihi cum ejus definito commune, nisi nuda societas appellationis, et ad vestem usque talarem species? Quod si sacras etiam Litteras lectitans, eas comminationes lingua percurrerem, reddendasque pro qualibet anima rationes, quas inculiebant mihi prophetæ, lex, Christus, Evange-

lium, apostoli : tum vero litteræ sacræ non amplius verba mihi duntaxat esse videbantur, sed clavi tantum non in me defixi, nec aerem verberantes, sed mea præcordia. Hæc igitur omnia dudum considerans, spiritum equidem salutarem parturiebam, nimirum ut habitum pœnitentiæ induerem, solitariamque vitam adirem. Et nunc adeo fetu per inspectionem Christi vivificato, peperi quod parturiebam. Ideoque scriptum hoc abdicationis exponens, non coacte, sed sponte ; non incogitanter, sed per otium, et supplicatione ad Deum instituta : Maneat, inquam, aliis haud ablata pontificatus dignitas, qui sacerdotio functi sunt secundum ordinem Christi, æterni pontificis : aliorum in solia collocationes nulli obnoxiæ mutationi sint, in quibus illustratio Spiritus sedem suam fixit. Mihi quæritor obedientia, vestisque pilis constans, et lacryma pœnitentiæ, quo abluantur facinora mea. Renuntio sedi, et dignitati, et sacerdotio. Simul hisce verbis tum illum exhortor, qui me olim exhortabatur ; tum quem Spiritus ille consolator ad apostolatum suum segregabit. Salve, pastorum deinceps et Pater patrum : precibus me tuis deducito, tuoque sive pastoricio, sive paterno pedo me fulcito. Quippe non tam ego pastor sum amplius, qui munere pastoris imperite fungebar sed ovicula, sed filius. Atque utinam addere liceat, auctus divinis benedictionibus tuis, et in senecta proficiens vigore perfectioneque virtutis. Salvete, vos etiam, astites mensæ mysticæ, ac in hodiernum usque diem socii et consortes mei. Posthac non bibam vobiscum de hac vite intellectili. Mementote mei vestris in precibus, ut, tametsi a consortio vestro atque ab illa jucunda et spirituali conversatione nunc avulsus sim, vobiscum tamen in regno cœlorum eo potu recentiori fruar. Ante omnia vero, et supra omnes, salve, tu quoque, fidelissime rex, a Deo misse, cujus sublime brachium et pacatum imperium, pacata Ecclesia Dei sit, in spiritu ac virtute Christi, qui pacis est princeps.

A ἐκ μακροῦ θεωρῶν, ὦδινον πνεῦμα σωτήριον, τὸ ἐνδυθῆναί με δηλαδὴ τὸ τῆς μετανοίας σχῆμα, καὶ τὸν μονήρη τρόπον ὑπεισελθεῖν. Καὶ ἤδη τῇ τοῦ Χριστοῦ ἐπισκοπῇ ἀναζωπυρησάσῃ τοῦ συλληφθὲν, ἔτεκον ὃ ὦδινον. Ὅθεν καὶ τὸν παρόντα ἐξιτήριον τόμον ἐκθέμενος, οὐκ ἀναγκαστικῶς, ἀλλ' ἑκουσίως· οὐκ ἀμελετήτως, ἀλλὰ μετὰ σχολῆς καὶ ἱκετηρίας τῆς εἰς Θεόν· Ἄλλων, φημὶ, ἔστω τὸ τῆς ἀρχιερωσύνης ἀναφαίρετον, οἳ κατὰ τὴν τάξιν τοῦ Χριστοῦ ἱεράτευσαν τοῦ ἀρχιερέως εἰς τὸν αἰῶνα, καὶ ἄλλων οἱ ἐνθρονισμοὶ ἀμετάθετοι, οἷς σύνεδρος ἡ τοῦ πνεύματος ἔλλαμψις. Ἐμοὶ δὲ ζητείσθω ὑποταγὴ, καὶ τρίχινον ῥάκος, καὶ τὸ τῆς μετανοίας ἔδακρυον, ἀποπλῦνόν μου τὰ πεπραγμένα. Παραιτοῦμαι δὲ καὶ τὸν θρόνον, καὶ τὴν ἀρχὴν, καὶ τὴν ἱερωσύνην. Καὶ B παρακαλῶ τούτοις τὸν προκαλούμενον, καὶ ὃν ὁ Παράκλητος εἰς τὴν ἀποστολὴν αὐτοῦ ἀφορίσει. Χαῖρε οὖν, ὦ ποιμενάρχα, καὶ Πατὴρ πατέρων, καὶ ταῖς εὐχαῖς σού με ἐφοδίασον, καὶ τῇ ποιμαντικῇ εἴτε καὶ πατρικῇ βακτηρίᾳ σου στήριξον. Οὐκέτι γάρ εἰμι ποιμὴν, ποιμαίνων ἀπείρως· ἀλλὰ πολίμνιον ἤδη, καὶ τέκνον. Εἴη δὲ εἰπεῖν καὶ ηὐξημένον ταῖς σαῖς εὐλογίαις κατὰ Θεὸν, καὶ ἐν γήρᾳ προκόπτον τὴν κατ' ἀρετὴν ἀκμὴν καὶ τελείωσιν. Χαίρετε δὲ καὶ ὑμεῖς, οἱ τῆς μυστικῆς παραστάται τραπέζης, καὶ ἕως τῆς σήμερον συγκοινωνοί μου καὶ συμμερῖται. Ἀπάρτι γὰρ οὐ μὴ πίω μεθ' ὑμῶν ἐκ τῆς ἀμπέλου ταύτης τῆς νοητῆς. Καὶ μέμνησθέ μου ἐν ταῖς εὐχαῖς, ἵνα εἰ καὶ τῆς ὑμῶν ξυναυλίας καὶ τῆς φίλης καὶ πνευματικῆς διαίτης τωτέως ἀπέρρωγα, C ἀλλ' ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν πίω τοῦτο μεθ' ὑμῶν καινότερον. Χαίροις δὲ πρὸ πάντων καὶ ἐπὶ πᾶσι καὶ σὺ, ὁ πιστότατος ἄναξ, ὁ ἐκ Θεοῦ ἀπεσταλμένος, ὁ ὑψηλὸς τὸν βραχίονα, καὶ μετενδύης ἐπ' ἐ[a]...αι ἔτι λευκὴν στολὴν τὰ βασίλεια, καὶ εἴη εἰρηναία ἡ βασιλεία, καὶ ἡ τοῦ Θεοῦ Ἐκκλησία, ἐν πνεύματι καὶ δυνάμει τοῦ εἰρηνάρχου Χριστοῦ.

Vult spiritualis ordinis lex atque regula, quæ secundum evangelicas et apostolicas dirigitur gratias, ornandæ sacræ dignitati destinatos, in statu decenti et inculpato conservare : ut tam Ecclesiæ, quam reipublicæ corpus, per religiosam gubernationem, in tranquilla pacataque serenitate secundum voluntatem Dei regatur, atque omnis alieno-

est. Induas regiam albo ab annis ad annos amictu,

MANDATA QUÆ DANTUR METROPOLITANIS, ET ARCHIEPISCOPIS, ET ALIIS, CUM ORDINANTUR.

ΕΝΤΑΛΜΑΤΑ ΔΙΔΟΜΕΝΑ ΤΟΙΣ ΧΕΙΡΟΤΟΝΟΥΜΕΝΟΙΣ ΜΗΤΡΟΠΟΛΙΤΑΙΣ, ΚΑΙ ΑΡΧΙΕΠΙΣΚΟΠΟΙΣ, ΚΑΙ ΕΤΕΡΟΙΣ.

Epistola patriarchæ.

Πατριαρχικόν.

Sanctissimis episcopis, religiosissimis presbyteris, amantissimis Dei diaconis, et universo sacro clero : gloriosissimis et clarissimis municipibus et incolis custoditæ divinitus urbis N.

Τοῖς ὁσιωτάτοις ἐπισκόποις, θεοσεβεστάτοις πρεσβυτέροις, θεοφιλεστάτοις διακόνοις, καὶ παντὶ τῷ εὐαγεῖ κλήρῳ· τοῖς ἐνδοξοτάτοις καὶ λαμπροτάτοις κτήτορσι καὶ οἰκήτορσι τῆς θεοσώστου πόλεως τῆς δεῖνα. D

Ὁ τῆς πνευματικῆς ἀκολουθίας ὅρος καὶ νόμος, ταῖς εὐαγγελικαῖς καὶ ἀποστολικαῖς ἰθυνόμενος χάρισι, τοὺς τὴν ἱερὰν ἀξίαν κοσμεῖν ἠξιωμένους[b], ἐν ἀξιολόγῳ καὶ ἀνεπιλήπτῳ τηρεῖν βούλεται καταστήματι· ὡς ἂν τὸ τῆς Ἐκκλησίας καὶ πολιτείας εὐαγῶς διακυβερνώμενον πλήρωμα, ἐν ἀκυμάντῳ καὶ εἰρηναίᾳ γαλήνῃ θεοπρεπῶς διεξάγηται, καὶ

VARIÆ LECTIONES.

[a] ἐπὶ ἔτη καὶ ἔτη. [b] al. ἠπειγμένους.

πᾶσα δογμάτων ἀλλοφύλων ἀποκρούηται ζήτησις καὶ ζάλη, καὶ τῶν ἐπανισταμένων λαιλάπων ἐκ πολεμίας αἱρέσεως, διασκεδάζηται ζοφώδης σκοτόμηνα. Τοιοῦτον γὰρ εἶναι δεῖ τὸν λαοῦ προστησόμενον, καὶ ἀνθεξόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, καὶ ὀφθαλμὸν, καὶ ἀκοὴν, καὶ χεῖρα, καὶ πόδα τῆς ποίμνης, πρὸς ὁδηγίαν μὲν καὶ φυλακὴν τῶν κρειττόνων, ἀποχὴν δὲ καὶ ἀνατροπὴν τῶν ἐναντίως καὶ ἑτέρως ἐχόντων ἐσόμενον. Ἐπεὶ οὖν ἐν στερήσει ποιμένος τὴν καθ' ὑμᾶς εὐαγεστάτην ποίμνην ἐπέγνωμεν διαμένουσαν, τοῦ προποιμάναντος ἤδη πρὸς τὴν ἐκεῖσε λῆξιν ἀπάραντος, καὶ πρὸς τὰς ἐκεῖ μονὰς εἰσελάσαντος, οὐκ ᾠήθημεν δεῖν ἐπὶ πολὺ χηρεύουσαν καὶ ἀνανδρον καθῆσθαι[64] τὴν καθ' ὑμᾶς Ἐκκλησίαν, τοῦ διεξάγοντος ἔρημον. Ὅθεν ἐκλεξάμενοι τὸν δεῖνα τὸν θεοσεβέστατον πρεσβύτερον, ἐπικλήσει τοῦ προανάρχου Πατρὸς, καὶ ἐπινεύσει τοῦ συνανάρχου Υἱοῦ, καὶ συνεργίᾳ τοῦ ὁμοουσίου καὶ ἡγεμονικοῦ Πνεύματος, ὡς ἐλάχιστοι καὶ ἀνάξιοι χεῖρα ἐπιθέντες, καὶ ἱερωνύμως τὰ κατ' αὐτὸν ἐκτελέσαντες, ἀρχιερέα τῆς θεοσώστου ὑμῶν ἀνηγορεύσαμεν πόλεως. Ἄσμενοι οὖν, καὶ γηθόσυνοι, καὶ ὅλῃ ψυχῇ καὶ διανοίᾳ τοῦτον εἰσδέξασθε, καὶ ὡς πατέρα αἰδέσθητε, καὶ ὡς ποιμένα ὁμοψύχως ἐπίγνωτε, καὶ ὡς ὁδηγῷ πρὸς σωτηρίαν ἐλαύνοντι ἐπακολουθήσατε, καὶ ὡς ἴδιον θήραμα περιθάλψατε, καὶ ὡς τάξιν υἱῶν παρ' αὐτῷ φέροντες ὑποτάγητε· γινώσκοντες, ὡς κατὰ Παῦλον τὸν μέγαν διδάσκαλον, ἀκοιμήτοις ὀφθαλμοῖς ἐπαγρυπνήσει, καὶ τῆς ψυχικῆς ὑμῶν σωτηρίας ἐπιεικῶς προνοήσεται. Καὶ γὰρ δι' αὐτοῦ ἐλπὶς ἡμῖν βεβαία ἐστὶ, τὰ κράτιστα παρὰ Θεῷ καὶ σωτηρίας ἐχόμενα ὑμᾶς λήψεσθαι. Εἰ γὰρ αὐτῷ τὸ οὖς ὑμῶν ὑποκλίνοιτε, καὶ τοῖς ὑπ' αὐτοῦ λεγομένοις προσέχοιτε, τῶν ἐλπιζομένων ἀγαθῶν ἐπιτεύξοισθε, καὶ τῶν ἐκεῖθεν ἀμοιβῶν αὐτῷ συμμετάσχοιτε. Πρὸ δὲ τούτων, καὶ διὰ πάντων, δεήσεις ἐκτενεῖς καὶ ἐντεύξεις διηνεκεῖς ὑπὲρ τοῦ σωτηρίου κράτους τῶν ἐκ Θεοῦ προλαμπόντων μεγάλων βασιλέων ἡμῶν ποιεῖσθαι μὴ διαλίποιτε· ὅπως Κύριος ὁ Θεὸς ὁ στέψας, καὶ συμμαχῶν, καὶ νικητικαῖς εὐημερίαις τὴν γαλήνιον κεφαλὴν[65] αὐτῶν στέφων, ἐπὶ πλεῖον καὶ πλεῖον ταῖς κατ' ἐχθρῶν ἀνυψώσειε προκοπαῖς, φρουρῶν καὶ διαφυλάττων ἀδιάδοχον τὸ στέφος αὐτῶν, εἰς παντὸς τοῦ κόσμου σωτηρίαν καὶ εὐόδωσιν· μεμνημένοι καὶ τῆς ἡμῶν, ὡς εἰκὸς, μετριότητος. Πρὸς δὲ τὴν τοῦ προκεχειρισμένου ὑμῶν ἀρχιερέως ἐν τῇ ποίμνῃ ἀποκατάστασιν, καὶ πρὸς τὸν ἱερὸν θρόνον καθίδρυσιν, τὸν εὐλαβέστατον τὸν δεῖνα ἀπεστείλαμεν, ὥστε τὸ τοιοῦτον ἔργον ἱεροπρεπῶς ἐκτελέσαντα, πρὸς ἡμᾶς εὐκαίρως παλινδρομῆσαι. Ὁ δὲ παντοκράτωρ καὶ μόνος Θεὸς ἡμῶν, ὁ ἐν Τριάδι ὑποστάσεων, καὶ ἐν μονάδι οὐσιότητος προσκυνούμενος, ὁ τὰ διεστῶτα συνάγων, καὶ τὰ πόρρω ἐγγίζειν ποιῶν, ὁ καὶ τῆς ἡμετέρας ποίμνης τὸ λεῖπον ἀνασωτάμενος, εὐλογῶν εὐλογήσει, καὶ πληθύνων πληθυνεῖ, καὶ αὔξων ὑπερ-

A rum dogmatum inquisitio ac tempestas repellatur, et caliginosæ turbinum ex hostili hæresi se commoventium tenebræ dissipentur. Quippe talem oportet eum esse, qui populo præfuturus sit, et doctrinæ fidei curam habiturus, quique futurus sit oculus, et auris, et manus, et pes gregis, ut bonos ducat atque custodiat, malos et aliter affectos abigat ac subvertat. Itaque cum acceperimus, religiosissimum urbis vestræ gregem adhuc pastore carere, postquam is, qui hactenus ejus pascendi curam gessit, ad alteram vitam migravit, et cœli mansiones ingressus est : minime committendum putavimus, ut Ecclesia vestra marito suo spoliata rectoreque destituta, diu cum viduitatis incommodis conflictaretur. Ideoque cum piissimum presby-
B terum N. selegissemus, eique interveniente Patris ante omnia principii expertis invocatione, annuente simul experte principii Filio, cooperante consubstantiali ac principe Spiritu, tanquam minimi et indigni manum imposuissemus, et rite quæ ad ipsum pertinerent, expedivissemus, eum urbis vestræ, divinæ custodiæ commendatæ, pontificem designavimus. Lubentes igitur, et hilares, toto corde atque animo illum excipite, ceu patrem reveremini, ceu vocantem vos pastorem unanimiter agnoscite, ceu ducem ad salutem vos impellentem sequimini, ceu captam a vobis prædam fovete, ceu filiorum ipsi loco constituti obedientiam præstate : scientes cum, de illius magni doctoris Pauli sen-
C tentia, pro vobis insomnibus oculis vigilaturum, ac studiose salutis animarum vestrarum rationem habiturum. Nam certa in spe sumus, per eum vos apud Deum præstantissima quæque, et ad salutem pertinentia, consecuturos. Quippe si aurem ei vestram inclinaveritis, et animum iis, quæ ab ipso proferuntur, adverteritis : in spe posita nobis bona nanciscemini, quæque vices in altera vita rependuntur, earum cum ipso participes eritis. Cæterum ante hæc, et per omnia, preces intentas et intercessiones perpetuas pro salutari potestate collocatorum divinitus in illustri loco magnorumque imperatorum nostrorum, habere ne desinatis : ut Dominus ille, qui Deus est, quique coronavit et propugnat, et victricibus serenum ipsorum verti-
D cem prosperitatibus ceu serto redimit, magis ac magis eos progressibus adversus hostes exaltet, custodiens et conservans in gubernatione non interrupta coronam eorum, ad totius mundi salutem ac felicitatem : mediocritatis etiam nostræ, ceu par est, recordantes. Cæterum qui designatum pontificem vestrum ipsi gregi exhiberet, eumque sacro in solio collocaret, religiosissimum N. ablegavimus : ut hoc munere rite obito, ad nos opportune recurreret. Omnipotens autem, et solus ille Deus noster, qui in Trinitate personarum, et in unitate essentiæ adoratur; qui distantia colligit, et

VARIÆ LECTIONES.

[64] καθίστασθαι. [65] al. κορυφήν.

procul remota facit esse propinqua; qui denique gregis etiam nostri reliquias servavit incolumes; benedicendo benedicat, multiplicando multiplicet, augendo adaugeat domos vestras, et feturas vestras, et res ad vos pertinentes; benigne compascens cum pastore vestro, et cum illo vos ad vivifica pascua, et ad aquam requietis animorum enutriens. Amen.

A αυξήσει τοὺς οἴκους ἡμῶν, τά τε γεννήματα, καὶ διαφέροντα ὑμῖν, φιλανθρώπως· συμποιμαίνων τῷ ποιμένι ὑμῶν, καὶ συνεκτρέφων ὑμᾶς ἐπὶ νομὰς ζωηφόρους, καὶ ἐφ' ὕδωρ ψυχικῆς ἀναπαύσεως. Ἀμήν.

Mandatum, quod dari solet metropolitano et archiepiscopo, cum ordinatur.

I. Cura benigni Dei, qua genus humanum complectitur, cum alias multas adipiscendæ salutis occasiones ei suppeditat, ac diversis beneficiis invitat; tum imprimis per eximia bona recte latarum legum et per sanctiones canonicas, devotionem erga sese illorum in animis, qui eas observant, providenter excitat. Per has enim agnoscimus ipsum principem legum auctorem et Dominum; dumque B divinis ejus præceptionibus quasi manuducimur, absque offensa viam voluntatis ejus conficimus; per has puræ atque illibatæ fidei nostræ monumenta conservantur, et ejusdem in recta doctrinæ sententia nativa venustas elucet ac fulget; per has rapinæ, circumscriptiones, et eorum qui potestatis abusu vim proximis afferunt, libidines retunduntur; per has tum contentiones, tum rixæ coercentur et inhibentur, ac pacis et concordiæ bonum sumit incrementa. Enimvero, quemadmodum per has cum alia bona perficiuntur, tum vita et oratio formatur, in hominum vulgo virtutum opes incrementa sumunt, justitia pacatam rerum faciem tuetur, et administratione sua consensum ab omni alienum discidio conservat: ita cum ab his non C manuducimur, injustitia et avaritia, maligni libidinis inexplebilis fetus, in vita mortalium nascuntur: bellum inter nos implacabile suscitatur; omnis de salute nostra spes in periculum et difficultatem conjicitur. Itaque si liberationem a tantis malis divinarum legum disciplina nobis conciliat, et ejusdem privatio contrarium huic effectum habet, supinis manibus tua pietas divina et apostolica oracula, cum salutiferis et spiritualibus doctrinis atque præceptis, excipere debet; quasique tabulas divinitus sculptas, tum in pretio habere, tum servare: similiterque legum civilium doctrinam amore complecti et venerari, ac in omni actione constanter has sequi; quidquid occurrit, D ad eas dirigere et accommodare: cum certo norit, eum Dominum, qui rerum universitati præest, a dextris nobis adesse; quidquid agatur, perspicere; respondentia factis præmia tribuere.

2. Debet tua pietas, quæ per divinam vocata est gratiam et jugum illud evangelicum collo recepit, ex Evangelii præscripto gregem vobis commendatum ac traditum ab opifice rerum Spiritu regere: vitam propriam pro ipsis ovibus objicere: in caligine peccati ambulantes ad lucem deducere: pro iis,

Ἔνταλμα διδόμενον τῷ χειροτονουμένῳ μητροπολίτῃ καὶ ἀρχιεπισκόπῳ.

α'. Ἡ τοῦ φιλανθρώπου Θεοῦ ἡμῶν περὶ τὸ ἡμέτερον γένος κηδεμονία, πολλὰς μὲν αὐτῷ τὰς τῆς σωτηρίας ἀφορμὰς παρασχομένη, διαφόροις δὲ τούτο τοῖς εὐεργετήμασιν ἀνακαλουμένη, μᾶλλον τοῖς τῆς εὐνομίας προτερήμασι καὶ ταῖς κανονικαῖς θεσμοθεσίαις τὴν εἰς ἑαυτὸν οἰκειότητα τῶν ταύτας συντηρούντων προεμηθεύσατο. Διὰ τούτων γὰρ αὐτὴν μὲν πρῶτον ἐπιγινώσκομεν τὸν νομοδότην καὶ Κύριον, αὐτοῦ δὲ χειραγωγούμενοι ταῖς θείαις ἐντολαῖς, ἀπροσκόπως τὴν τοῦ θελήματος αὐτοῦ διανύομεν ὁδόν· διὰ τούτων τὰ τῆς καθαρᾶς ἡμῶν καὶ ἀμωμήτου πίστεως διαφυλάττεται γνωρίσματα, καὶ ἀνόθευτον τὸ ταύτης ἐναστράπτει τῆς ὀρθοδοξίας κάλλος· διὰ τούτων ἁρπαγαί τε καὶ πλεονεξίαι, καὶ αἱ τῶν καταδυναστευόντων τοὺς πλησίον ἀνακόπτονται ὁρμαί· τούτοις φιλονεικίαι καὶ ἔριδες ἐπιστομίζόμεναι κατέχονται, καὶ τὸ τῆς εἰρήνης καὶ ὁμονοίας καλὸν ἐπιδίδωσιν. Ἀλλ' ὥσπερ δι' αὐτῶν τά τε ἄλλα ἀγαθὰ κατορθοῦνται, καὶ βίος μὲν καὶ λόγος ἐντεῦθεν ῥυθμίζεται, εἰς πλῆθος δὲ ὁ τῶν ἀρετῶν ἐπιδίδωσι πλοῦτος, δικαιοσύνη τε τὸ εἰρηναῖον περικρατεῖ, καὶ τὸ ὁμόγνωμον καὶ ἀστασίαστον διακυβερνῶσα συνέχει, οὕτω τὸ μὴ τούτοις χειραγωγεῖσθαι, ἀδικίαν μὲν καὶ πλεονεξίαν, τὰ πονηρὰ τῆς ἀπληστίας ἀποκυήματα, τῷ βίῳ ἐναποτίκτει, τὸν κατ' ἀλλήλων δὲ ἀκήρυκτον πόλεμον ἀντεισάγει, ἐν ἀπόρῳ τῶν τῆς σωτηρίας ἡμῶν ἐναπορριπτομένων ἐλπίδων. Εἰ τοίνυν τοσούτων μὲν κακῶν ἀπαλλαγὴν ἡ τῶν θείων νόμων προξενεῖ παιδαγωγία, ἡ ταύτης δὲ στέρησις τῶν ἐναντίων παραιτία καθίσταται, δεῖ τὴν σὴν θεοφίλειαν τὰ θεῖα καὶ ἀποστολικὰ θεσπίσματα, τάτε σωτήρια καὶ πατρικὰ[66] διδάγματά τε καὶ διατάγματα, χερσὶν ὑπτίαις εἰσδέχεσθαι, καὶ ὡς θεοχαράκτους ταῦτα πλάκας τιμᾷν καὶ φυλάττειν· τήν τε ἄλλην τῶν πολιτικῶν νομοθετημάτων εἰσήγησιν στέργειν τε καὶ διευλαβεῖσθαι, καὶ τούτοις ἐπὶ πάσῃ πράξει ἀῤῥεπῶς ἐπακολουθεῖν, καὶ τὸ ἐπὶ χεῖρας ἀπευθύνειν τε καὶ ῥυθμίζειν, τὸν ἐπὶ πάντων Κύριον εἰδυῖαν σαφῶς ἐκ δεξιῶν ὑμῶν[67] παρεῖναι, καὶ πᾶν τὸ δρώμενον ἐφορᾷν, καὶ τὰς ἐφαμίλλους τοῖς ἔργοις ἀμοιβὰς ἀποταμιεύεσθαι.

β'. Δεῖ τὴν σὴν θεοφίλειαν ὑπὸ τῆς θείας χάριτος προκληθεῖσαν, καὶ τὸν εὐαγγελικὸν ἐπ' αὐχένος εἰσδεδεγμένην ζυγὸν, εὐαγγελικῶς τὴν ἐγχειρισθεῖσαν ὑμῖν ὑπὸ τοῦ παντουργοῦ Πνεύματος ποίμνην ἰθύνειν, τὴν οἰκείαν ὑπὲρ τῶν προβάτων προτιθέναι ψυχὴν, τοὺς ἐν σκότει τῆς ἁμαρτίας πορευομένους

VARIÆ LECTIONES.

[66] al. πνευματικά. [67] ἡμῶν.

φωταγωγεῖν, ἀδικουμένων προκινδυνεύειν, θλιβομένους ψυχαγωγεῖν, τοῖς ἐνδεέσι τὴν δυνατὴν ἐπάγειν παράκλησιν, ἀποστολικῶς τοῖς ἀσθενέσι συνασθενεῖν, τοῖς σκανδαλιζομένοις συμπάσχειν, καὶ τύπον ἀρετῆς καὶ εὐταξίας δι' ἐμπράκτου πολιτείας πᾶσι διαγινώσκεσθαι, ὥστε τὸ φῶς ὑμῶν λάμπειν ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς δοξάζεσθαι.

γ'. Δεῖ τὴν σὴν θεοφίλειαν νηστείαις καὶ ταῖς πρὸς τὸ θεῖον σχολάζειν ἱκετηρίαις, ὁσίας χεῖρας νυκτὸς καὶ ἡμέρας πρὸς Κύριον ἐκπετεννύσαν· ἐπαγρυπνεῖν τε ὑπὲρ τῶν ἐμπεπιστευμένων ἡμῖν ψυχῶν, καὶ ταύταις ἄνωθεν ἐξαιτεῖσθαι τὴν σωτηρίαν, ὡς λόγον ὑπὲρ αὐτῶν ἀποδοῦναι ὀφείλουσαν, ὅπερ πρὸ ἡμῶν ὁ μέγας ἐκδιδάσκει Ἀπόστολος· Πείθεσθε γὰρ, φησὶ, τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. Αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. Εἰ γὰρ ὁ θρεμμάτων προεστὼς ἀλόγων, ἑνὸς αὐτῶν ἀπολωλότος οὐκ ἀτιμώρητος, πολλῷ δήπου[68] ὁ ψυχῆς καταμελῶν, τοῦ τιμιωτάτου τῶν ἐγκοσμίων κτήματος, οὐκ ἀνεύθυνος.

δ'. Χρή σε μὴ ἀποκάμνειν διδάσκοντα, ἀλλὰ διηνεκῶς τὸν ἐγχειρισμένον σοι λαὸν τὰ πρὸς σωτηρίαν ἐκπαιδεύειν καὶ δι' ἑαυτοῦ, καὶ δι' ἑτέρου, τοῦ τὴν τοιαύτην διακονίαν ἐκπληροῦν δυναμένου· ὅπως μὴ καταμελῶν, τῇ κανονικῇ αὐστηρίᾳ σαυτὸν ἐγκατάστῃς ὑπεύθυνον. Ἐπίσκοπος γὰρ, φησὶν, ἢ πρεσβύτερος ἀμελῶν τοῦ κλήρου ἢ τοῦ λαοῦ, καὶ μὴ ἐκπαιδεύων αὐτοὺς τὴν εὐλάβειαν, ἀφοριζέσθω· ἐπιμένων δὲ τῇ ῥᾳθυμίᾳ, καθαιρείσθω.

ε'. Χρή σε μὴ τῷ τῆς προεδρίας ἐπαιρόμενον ἀξιώματι, τῶν ἐγχειρισμένων κατεξανίστασθαι, ὅπως μὴ καὶ τοῦ τῆς ταπεινοφροσύνης ἐκπέσῃς μακαρισμοῦ, καὶ τῷ τῶν τυφουμένων ἐγκλήματι καθυποβληθείης· τύπον δὲ μᾶλλον ἑαυτὸν καθιστᾷν ταπεινοφροσύνης τοῖς ὁρῶσι, καὶ τούτους δι' ἔργων τὰς τοῦ Κυρίου ἐντολὰς παρορμᾷν ἐκπληροῦν· *Μάθετε* γὰρ, φησὶν, *ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ*. Καὶ, Ὅστις πρῶτος ἐν ὑμῖν ἐθέλει εἶναι, ἔστω πάντων ἔσχατος.

ς'. Δεῖ τὴν σὴν θεοφίλειαν, τὴν ἐπαινετὴν ἐπαναιρουμένην ταπείνωσιν, μηδὲν ἀνάξιον ἐν τοῖς ὑπὸ χεῖρα ἀρχιερατικῆς ὑπολήψεως διαπράττεσθαι· ἀλλ' ἡνίκα τις τούτων καὶ ὅτε ὀφόμενος αὐτὴν παραγίνηται, μὴ ἐξ ἀπονοίας καὶ φυσιώσεως τὴν αὐτοψίαν τούτου καὶ προσομιλίαν διαναβάλλεσθαι· ἀλλ' αὐτίκα καὶ τὴν παραδοχὴν τούτου ποιεῖσθαι, καὶ πρὸς δεξίωσιν ὡς δέον προέρχεσθαι (καθ' ὃν τρόπον ἡ μετριότης ἡμῶν πρὸς τὴν ὑμῶν θεοφίλειαν διατίθεται), ἀκριβῶς εἰδυῖαν, ὡς εἰ καὶ τῇ προεδρίᾳ τὸ μεῖζον ἐκληρώσατο, ἀλλ' οὖν τῇ ὁμοτιμίᾳ τῆς φύσεως, ἢ καὶ τῷ παραλλήλῳ τῆς τοῦ παναγίου Πνεύματος ἐνεργείας, κατ' οὐδὲν ἔλαττον ἡμῶν[68*] ὁ τοιοῦτος διαφέρει.

A qui afficiuntur injuriis, obire pericula : consolari eos, qui affliguntur : egenis afferre solatium, pro viribus, apostoli exemplo, infirmis se præbere socium infirmitatis : cum iis, cui offenduntur, communi dolore affici : ab omnibus denique pro virtutis et ordinis boni exemplo, per efficacem vivendi rationem agnosci; ut lux vestra coram hominibus luceat, et Pater vester, qui in cœlis est, glorificetur.

3. Debet tua pietas jejuniis et supplicationibus ad Deum vacare, noctu et interdiu pias ad Dominum manus exporrigendo : et creditarum nobis animarum causa vigilax esse, atque cœlitus eis salutem exposcere, veluti quæ illarum nomine rationem redditura sit, quod ipsum ante nos magnus ille doceat Apostolus, hisce verbis : Obtemperate iis, qui vobis præsunt, et obsecundate. Nam ipsi vestrarum animarum causa vigilant, tanquam rationem reddituri. Quippe si non fert impune, qui carentibus ratione pecudibus præest, ubi earum vel una perierit : multo magis qui animam negligit, rem supra mundi res alias maximi pretii, culpa carere nequit.

4. Oportet te minime defatigari docendo, sed continuo commendatum tibi populum in iis, quæ ad salutem spectant, tum per teipsum erudire, tum per alium, qui ejusmodi muneri satisfacere possit : ne negligenter te gerens severitati canonicæ temetipsum reddas obnoxium. Sic enim illa statuit : Episcopus, aut presbyter, qui clerum vel populum negligit, nec eos pietatem docet, segregator, et perseverans in negligentia, deponitor.

5. Oportet te non propter dignitatem officii præsidis elatum, adversus tibi commendatos insurgere, ne pariter et humilitatis felicitatione careas, et inflatorum crimen incurras; sed potius teipsum exhibere spectantibus, exemplum humilitatis, et eos ad implenda Domini mandata factis ipsis excitare. *Discite*, inquit, *ex me, quoniam mitis sum, et humilis corde*. Item, Quisquis inter vos primus esse vult, sit omnium ultimus.

6. Debet tua pietas laude dignam suscipiens humilitatem, nihil indignum existimatione pontificia inter subditos committere : sed quandocunque horum aliquis invisendi causa accedit, non ex insania et inflatione hominis aspectum et allocutionem differre : sed eum statim admittere, proque more prodire ad ipsum excipiendum (qualis et nostræ mediocritatis esse solet affectio erga pietatem vestram), cum accurate norit, tametsi ratione præfecturæ major ipsa sit; illum tamen alterum naturæ dignitate parem, vel etiam instituta Spiritus sancti efficacitatis comparatione, nullius respectu discriminis inferiorem nobis esse.

VARIÆ LECTIONES.

[68] δήπου μᾶλλον. [68*] ὑμῶν.

7. Debet tua pietas, siquidem malas vitare suspiciones velit, iis, qui clero accensentur, rerum administrationem atque alias functiones ecclesiasticas in manus tradere. Hoc enim et a canone sacro præceptum est, et omni vos offensa liberat : uti scilicet administratio rerum Ecclesiæ testimoniis non careat, ut nulla prorsus ex parte sacerdotio convicii labes aspergatur.

8. Debet tua pietas, si quis episcoporum vitam cum morte commutarit, omnino nihil ex rebus ipsius auferre; nec honesto nomine consuetudinis, prohibitum rapinæ violentiæque facinus obvelare : sed universis denuntiare, futurum, ut omnia salva conserventur, et secundum ipsiusmet dispositionem[a] quælibet relictæ species administrentur : in primis quæcunque vel ab illo tempore, quo præfectus episcopatui fuerit, acquisiverit; vel ei postmodum a cognatis accesserint. Quod si morte subitanea vitam finierit, ne sic quidem facultates ipsius diripi auferrive debent; sed si qui cognati ejus exstent, illis res ipsius propriæ attribuantur : sin nulli tales supersint, tunc siquidem inops est ecclesia cui præfuit, atque horum indiga, facultates ejus accipiet : si locuples et opulenta, saltem ut in pauperes ejus bona distribuantur, operam dare debet; non specie quadam dominicæ auctoritatis et potestatis invadendo, res ipsius auferre. Quippe si quid a vobis ejusmodi tentatum fuerit, tum id quod ablatum fuerit in duplum restituetur; tum ipse non exiguum ad tempus excommunicationis pœnæ subjectus eris.

9. Si quis episcoporum, tibi subditorum, ad alteram vitam commigraverit; pietas tua longe se removens ab omni cupiditate humana, vel potius a simoniaco vitio liberam sese demonstrans, et omni modo atque omnibus viribus gratiam Spiritus sancti minime venalem servans, Deumque solum inspectorem cordium nostrorum intuens, eum hominem ad gradum episcopalem evehere debet, qui testimonia vitæ honestæ, doctrinæ, ordinis et studii spiritualis habeat, et rite secundum canones electus sit : ut magna illa pontificatus dignitas immunis a cauponatione conservetur, ac tum ipse canonicis sanctionibus non condemneris, tum ille suis probatus hoc modo ad episcopatum propria virtute provehi, liber ab omni sit offensa; nec spirituales in leges impingens, nec inevitabile Dei judicium adversus sese provocans.

10. In omni actione atque tractatione, prorsus a muneribus continere te debes, et certo scire, peccatum quodlibet simplum perpeti supplicium : ad istam Simonis hæresim, duplam in ea deprehenso condemnationem afferre. Quapropter hæc omnino exscindenda venit, ac ne consuetudinibus quidem,

ζ'. Δεῖ τὴν σὴν θεοφίλειαν, εἴπερ τὰς πονηρὰς ἐκφεύγειν ὑπολήψεις ἐθέλει, τοῖς ἐν τῷ κλήρῳ καταλεγομένοις τήν τε τῶν πραγμάτων οἰκονομίαν, καὶ τὰς ἄλλας ἐκκλησιαστικὰς ἐγχειρίζειν διακονίας. Τοῦτο γὰρ καὶ ὁ ἱερὸς κανὼν ἐγκελεύεται, καὶ ὑμῖν τὸ ἀπρόσκοπον προξενεῖ, ὥστε μὴ ἀμάρτυρον εἶναι τὴν τῆς Ἐκκλησίας οἰκονομίαν· καὶ μήτε ἐντεῦθεν, μήτε μὴν ἑτέρωθεν, λοιδορίαν τῇ ἱερωσύνῃ προστρίβεσθαι.

η'. Δεῖ τὴν σὴν θεοφιλειαν, εἴ ποτέ τινι τῶν ἐπισκόπων τὸ τοῦ βίου τέλος ἐπέλθοι, μηδὲν μηδαμῶς ἐκ τῶν αὐτοῦ ἀφαιρεῖσθαι πραγμάτων, μηδὲ σεμνῷ ὀνόματι συνηθείας ἐπισκιάζειν τὴν τῆς ἁρπαγῆς καὶ τυραννίδος ἀπηγορευμένην πρᾶξιν· παρεγγυᾶσθαι δὲ πᾶσι, σῶα πάντα διαφυλάττεσθαι, καὶ κατὰ τὴν αὐτοῦ ἐκείνου διάταξιν, οὕτως ἕκαστον τῶν καταλιμπανομένων εἰδῶν διοικεῖσθαι· μάλιστα δὲ ὅσα ἢ κατὰ τὸν καιρὸν, ὃν προεχειρίσθη, ἐκέκτητο· ἢ μετὰ ταῦτα ἐκ συγγενῶν αὐτῷ προσετέθη. Εἰ δ' ἐξάπινα τὸ τοῦ βίου τέλος τούτῳ ἐπέλθοι, μηδ' οὕτως ἁρπαγὴν καὶ ἀφαίρεσιν τῶν προσόντων αὐτῷ πραγμάτων γίνεσθαι· ἀλλ' εἰ μὲν συγγενεῖς τούτῳ εἶησαν, ἐκείνοις καὶ τὰ τούτου ἴδια περιποιεῖσθαι· εἰ δὲ μὴ τοιοῦτοί τινες εἶεν, τότε εἰ μὲν ἄπορός ἐστιν ἡ κατ' αὐτὸν Ἐκκλησία, καὶ τῶν τοιούτων ἐπιδεής, ἐκείνη καὶ τὰ αὐτῷ προσήκοντα ἀναλήψεται· εἰ δὲ ἐν εὐπορίᾳ καθειστήκει, τοῖς γοῦν πένησι ταῦτα διαδίδοσθαι παρασκευάζειν, ἀλλὰ μὴ αὐθεντίας τρόπῳ καὶ ἐξουσίας ἐπέρχεσθαι, καί τι τῶν αὐτοῦ ἀφαιρεῖσθαι. Ὡς εἴγε τοιοῦτόν τι παρ' ὑμῶν τολμηθείη, καὶ ὃ δ' ἂν ἀφαιρεθείη εἰς τὸ διπλάσιον ἀναστραφήσεται, καὶ ἀκοινωνησίᾳ ἐπὶ πλεῖστον καθυποβληθήσῃ χρόνον.

θ'. Δεῖ τὴν σὴν θεοφίλειαν, εἴποτέ τις τῶν ὑπ' αὐτὴν τελούντων ἐπισκόπων πρὸς τὴν ἐκεῖθεν μετασταίη λῆξιν, παντὸς ἀνθρωπίνου ἑαυτὴν μακρύνουσαν ἐλαττώματος, μᾶλλον δὲ τῆς σιμωνιακῆς κακίας ἐλευθεριάζουσαν, καὶ παντὶ τρόπῳ καὶ πάσῃ δυνάμει τὴν τοῦ Πνεύματος θείαν χάριν ἄπρατον διασώζουσαν, πρὸς μόνον Θεὸν τὸν τῶν καρδιῶν ἡμῶν ἀποβλέπουσαν ἔφορον, τὸν ἐπὶ βίῳ σεμνῷ, καὶ λόγῳ, καὶ καταστάσει πνευματικῇ μαρτυρούμενον, καὶ κανονικῶς ψηφιζόμενον, εἰς τὸν ἐπισκοπικὸν ἀνάγειν βαθμὸν, ἵνα δὴ καὶ τὸ μέγα τῆς ἀρχιερωσύνης ἀκαπήλευτον συντηροῖτο ἀξίωμα, καὶ αὐτὸς μὲν παρὰ τῆς κανονικῆς θεσμοθεσίας ἀκατάκριτος ἐποφθείης, κἀκεῖνος ἐξ ἑαυτοῦ οὕτω προχειρίζεσθαι τοὺς ἀμφ' αὐτὸν διδασκόμενος, ἀπρόσκοπος εἴη· μήτε τῶν πνευματικοῖς νόμοις προσκρούων, μήτε τὸ ἄφυκτον τοῦ Θεοῦ κρῖμα καθ' ἑαυτοῦ ἐκκαλούμενος.

ι'. Δεῖ σε ἐπὶ πάσῃ πράξει καὶ μεταχειρίσει παντάπασι δώρων ἀπέχεσθαι, ἀκριβῶς εἰδότα, ὡς πᾶσα μὲν ἁμαρτία ἁπλῆν τὴν τιμωρίαν ὑφίσταται· ἡ δὲ τοῦ Σίμωνος αἵρεσις διπλῆν ἐπάγει τῷ ἁλόντι κατάκρισιν. Διὸ δεῖ παντελῶς ταύτην περικόπτειν, καὶ μηδὲ ταῖς λεγομέναις συνηθείαις εἴσοδον καὶ παρ

VARIÆ LECTIONES.

[a] *testamentum.*

εἰσδυσιν ἔχειν. Καὶ γὰρ αἱ λεγόμεναι αὗται συνήθειαι, φιλαργυρίας συνεισκωμάσασαι νοσήματι, οὐδὲν ἔλαττον, εἰ μὴ καὶ μᾶλλον εἰς καταδίκην τοὺς τῆς ἀρχιερωσύνης, μετόχους ἁλισκομένους ἄγουσιν, ἐπὶ σεμνῷ προσωπείῳ τῆς Σίμωνος ἐνεργουμένης αἱρέσεως. Δεῖ γὰρ κἂν σεμνῷ ὀνόματι διαβεβλημένη πρᾶξις καλυπτηται, καὶ ταύτην παντὶ τρόπῳ ἐκτρέπεσθαι, καὶ παραιτεῖσθαι, καὶ μᾶλλον τῆς ἀνακεκαλυμμένως δηλούσης τὸ τόλμημα· τά τε γὰρ λανθάνοντα τῶν ἑλκῶν, δυσιατώτερά πως εἰωθε τυγχάνειν, καὶ τὰ ὕπουλον ἔχοντα τὴν παρανομίαν, ῥᾷον μᾶλλον ἢ καὶ τὰ πρόδηλα τῶν ἀτοπημάτων εἰς τοὺς πολλοὺς καταφέρεται. Οὔτε οὖν ἀπὸ δίκης, οὔτε χρηματικῆς, οὔτε ἐγκληματικῆς τοσύνολον λαμβάνειν, μετὰ τῆς τοῦ ἁγίου Πνεύματος ἐξουσίας διατατόμεθα, οὔτε ἀπὸ προχειρίσεως ἡγουμένου, ἢ ἀρχιμανδρίτου, ἢ ἐξάρχου, οὔτε μὴν ἀπὸ προβολῆς οἰκονόμου, ἢ μειζοτέρου, οὐδέ γε (τὸ φρικωδέστερον) ἀπὸ χειροτονίας διακόνου, ἢ πρεσβυτέρου, ἢ ἐπισκόπου, οὐδαμῶς οὐδὲ καθ' οἱονδήποτε τρόπον, οὔτε πρὸ τῆς χειροτονίας, οὔτε μετὰ τὴν χειροτονίαν προσῆκε λαμβάνειν. Τοῦτο γὰρ, οἶμαι, καὶ τοῖς ἀπείρως ἔχουσι περὶ τοὺς κανόνας τοὺς θείους, κατάδηλον ἐμφανίζει τὴν ἀτοπίαν· διὸ δεῖ παντάπασιν ἐν πᾶσι τοῖς εἰρημένοις, καὶ τοῖς, ὡς εἰκὸς, παραλελειμμένοις, ἀθώους τὰς χεῖρας φυλάττοντα, καὶ πρό γε τῶν χειρῶν τοὺς λογισμούς, οὕτω τὸν τῆς ἀρχιερωσύνης μεταχειρίζεσθαι νόμον, εἰδότα καὶ πεπεισμένον, ὡς ὁ ταύτας παρορῶν τὰς ἐντολὰς καὶ προστάγματα, οὐχ ἡμετέρας παραινέσεις ἀθετεῖ, ἀλλὰ τῶν θείων καὶ ἱερῶν κανόνων ὑπερόπτης γίνεται, καὶ τὴν ἐκ τούτων οὐκ ἐκφεύξεται καταδίκην. Διὸ καὶ τὸν λεγόμενον ἐνθρονισμὸν οὐ τῷ χειροτονοῦντι (μὴ γένοιτο), ἀλλὰ τοῖς ἐνδεεστέροις τῶν κληρικῶν, ἢ καὶ τοῖς ἐκκλησιαστικὴν ἄλλην ὑπηρεσίαν τελοῦσι, κατὰ ἀναλογίαν τῆς ἐκκλησιαστικῆς εὐπορίας διοριζόμεθα δίδοσθαι. Εὐπόρου γὰρ τῆς ἐπισκοπῆς καθισταμένης, εὐεργεσίας μέρει τοὺς ὑπηρετοῦντας ταῖς ἐκκλησιαστικαῖς διακονίαις, ἀπορώτερον τὸν βίον κεκτημένους, δωροφορεῖσθαι ἐκεῖθεν οὐδόλως ἀπείργομεν.

A quas vocant, aditus et fenestra patefacienda est: Etenim hæ, quæ dicuntur consuetudines, uti cum avaritiæ morbo irrepserunt, ita non minus quam hæc, siquidem non etiam magis, ad condemnationem pontifices, qui harum participes facti deprehenduntur, pertrahunt; quando quidem sub honesta larva Simonis hæresis exercetur. Famosum namque facinus, licet honesto vocabulo veletur, omni modo vitandum et aversandum est; adeoque magis etiam, quam id, quod aperte scelus ipsum præ se fert. Latentia nimirum ulcera difficilius sanari solent, et absurda facinora, quibus inest subdola quædam nequitia, longe se facilius in vulgus insinuant, quam quæ manifesta sunt. Ut ergo nec litis causa, vel civilis, vel criminalis, in universum aliquid accipias, interveniente Spiritus sancti potestate mandamus: nec item propter abbatis, vel archimandritæ, vel legati (50) præfectionem, imo nequidem propter institutionem œconomi, vel majoris; quod horribilius denique, non propter ordinationem diaconi, vel presbyteri, vel episcopi, quidquam prorsus ullo modo, nec ante ordinationem, nec post ordinationem sumere convenit. Hoc enim quam sit absurdum, ut equidem arbitror, etiam sacrorum canonum imperitis est manifestum. Quapropter omnino in omnibus indictis, et iis, quæ fortassis omissa sunt, manus puras servans, et quidem ante manus, ipsas cogitationes; ita scilicet muneris pontificii legem subire debes, et certa cum animi persuasione scire eum, qui hasce præceptiones atque mandata flocci faciat, non admonitiones nostras nihili facere: sed divinorum sacrorumque canonum contemptorem esse, nec condemnationem ab eis irrogandam effugiturum. Atque hanc ob causam statuimus, ut inthronismus (51) quem vocant, non ei, qui ordinat episcopum (absit ut hoc fiat), sed pauperioribus clericis, vel alio quodam ecclesiastico munere fungentibus ratione facultatum ecclesiasticarum habita, detur. Quippe si locuples sit episcopatus, nequaquam prohibemus, quominus in eos, qui ministeriis ecclesiasticis inserviunt, et inopem vitam traducunt, velut ex beneficentia, munuscula quædam conferantur.

ια'. Δεῖ τὴν σὴν θεοφίλειαν πρὸ πάντων καὶ μετὰ πάντων τοῦ τῆς φιλοχρηματίας καὶ πλεονεξίας πάθους καθαρὰν ἑαυτὴν συντηρεῖν, τοῖς οἰκείοις ἐπαρκουμένην· καὶ μήτε τρόπῳ τινὶ τὰ ἀλλότρια οἰκειοποιεῖσθαι, μήτε δουλικοῖς ἐπιτάγμασι κατατρύχειν τὸ ὑποχείριον, ἢ βαρυτάταις ἐπιτιμήσεσι τοὺς μὴ ὑπείκοντας ἀνταμύνεσθαι, ἵνα τοῖς ἔργοις, καὶ τὸ τῆς ἱερωσύνης κοσμῆται ἀξίωμα, καὶ αὐτὸς εἴης θεϊκῆς τε καὶ ἀνθρωπίνης ἀνώτερος κατακρίσεως.

11. Debet tua pietas ante omnia, et inter omnia, se ipsam ab avaritiæ vitio puram et immunem servare suisque facultatibus esse contenta; neque ullo modo res alienas invadendo sibi vindicare, neque servilibus imperiis subditos affligere, vel pœnis gravissimis non obsecundantes vicissim ulcisci: quo scilicet abs te sacerdotii dignitas factis ornetur, atque etiam ipse tum divinæ, tum humanæ condemnationi nequaquam sis obnoxius.

ιβ'. Δεῖ σε πᾶσαν ἀκρίβειαν ἐν τοῖς κανονικοῖς ἅπασι καταβάλλεσθαι πράγμασιν· ἐγκαλούντων τέ τινων, καὶ παράβασιν αὐτῶν προτεινόντων, ἐπιμε-

12. In omnibus rebus, ad canones spectantibus, accurationem summam adhibere debes; et ubi quidam accusationes instituunt, et in canones pecca-

NOTÆ.

(50) Hoc est, vicarii, sive suffraganei.
(51) Sportulæ quasi quædam, quæ pendebantur ab episcopo, cum in solium collocabatur.

tum esse prætendunt, rem omnem investigatione diligenti perscrutari, et quæ commissa sunt, ita corrigere : ut pari quidem benevolentia partis utriusque rationes expendas, at observationum canonicarum lancem sequaris, iisque singula dirigas et finias.

13. Debet tua pietas sacris cimeliis maximam adhibere curam atque providentiam, ut ea scilicet ad ornamentum ecclesiæ detrimenti omnis expertia conserventur, vel incrementum quoque, si fieri possit, capiant : itidemque cætera prædia, quæ ad usum ecclesiæ conferunt, non alienata servare : quæ nonnullis emphyteutico jure concedi solent, cum nostro consensu administrare : quidquid inde colligitur, ad Ecclesiæ stabilimentum expendere. Nam et sacer ille canon apostolorum sic ait : « Cujuslibet gentis episcopi scire debent, qui sit eorum primas : neque supervacaneum quidquam absque illius sententia facere. » Idem habita quoque Venethalis sancta synodus affirmans, decrevit : « Ne quis metropolitanus et episcopus quidquam agat absque illo qui thronum apostolicum gubernat. » Quin etiam canonis alterius hæc verba sunt : « Similiter placuit, ut presbyteri præter sententiam episcoporum suorum, ejus ecclesiæ, ad cujus sacerdotium ordinati sunt, rem minime distrahant. » Quo etiam modo non licet episcopis ecclesiæ prædia distrahere, ignorante synodo.

14. Debet tua pietas, si quem ejus abbatem rebus humanis excedere contingat, primum quidem res eas, quæ apud ipsum exsistunt, ad ejus functionem scilicet spectantes, vel etiam si quæ exstant aliæ, citra ullam innovationem omni modo servare ; neque consuetudinis prætextu nefario, manus injustas eis inferre. Deinde vero eum, cui testimonium pietatis et prudentiæ monachi tribuunt, ad hujus præfecturæ gradum provehere : nullis scilicet donis intervenientibus, quæ capi citra periculum pontificis nequeunt ; et ei, qui ea dedisse deprehensus fuerit, absque commiseratione pœnam canone decretam afferunt.

15. Exhortandi sunt, quibus tradita monachorum est præfectura, ut eis qui solitariam ad vitam accedunt, interveniente consueto tempore atque exploratione debita, tribuat habitum angelicum, et plene tondeat : quo per exercitationem diuturnam mores eorum perspiciantur, atque habitum consecuti, constantes in bono permaneant.

16. Cum alia solitariæ vitæ convenientia, secundum sanctiones Patrum regulare debeat : tum senes et castos eunuchos quærere, qui muliebribus in semneis (50) sacram institutionem ad intelligenda mysteria suscipiant : ex iisdem tum commercia promiscuasque turbas hominum mundanorum tollere, tum duplorum (quæ vocant) monasteriorum,

λεστέρᾳ ἐξετάσει διερευνᾷν, καὶ τὴν διόρθωσιν τῶν ἡμαρτημένων ποιεῖσθαι· ἴσῃ μὲν τῇ εὐνοίᾳ ἀμφοτέρων μερῶν τοὺς λόγους διευκρινοῦντα, τῇ στάθμῃ δὲ τῶν κανονικῶν παρατηρημάτων ἑπόμενον, καὶ τούτοις ἕκαστα διευθύνοντά τε καὶ περαιούμενον.

ιγ'. Δεῖ τὴν σὴν θεοφίλειαν τοῖς ἱεροῖς κειμηλίοις μεγίστην καταβάλλεσθαι πρόνοιαν, ὥστε ταῦτα εἰς κόσμον τῆς Ἐκκλησίας ἀσινῆ διασώζεσθαι, ἢ καὶ αὔξησιν, εἰ οἷον τέ ἐστιν, ἐπιδέχεσθαι· τά τε ἄλλα ἀκίνητα κτήματα, ὅσα γε εἰς τὴν τῆς Ἐκκλησίας συντελεῖ χρείαν, ἀνεκποίητα συντηρεῖν· τά τε ἐμφυτευτικοῖς δικαίοις ἐγχειριζόμενά τισι, μετὰ τῆς ἡμετέρας γνώμης οἰκονομεῖν· καὶ τὸ ἐντεῦθεν ἐρανιζόμενον εἰς τὴν τῆς Ἐκκλησίας προσδαπανᾷν ἐπισύστασιν. Καὶ γὰρ καὶ ὁ ἱερὸς τῶν ἀποστόλων κανὼν οὕτω φησί· « Τοὺς ἐπισκόπους παντὸς ἔθνους, εἰδέναι χρὴ τὸν ἑαυτῶν πρῶτον, καὶ μηδὲν περιττὸν ἄνευ τῆς ἐκείνου πράττειν γνώμης. » Τὸ αὐτὸ δὲ καὶ ἡ ἐν Βενεθάλοις ἁγία σύνοδος διαβεβαιοῦσα, ἐκύρωσεν· « Ὡς μητροπολίτην ἅπαντα καὶ ἐπίσκοπον μηδὲν χρῆναι πράττειν, ἄνευ τοῦ τὸν ἀποστολικὸν θρόνον ἰθύνοντος. » Ἀλλὰ καὶ ἕτερος ἱερὸς κανὼν ὧδέ φησιν· « Ὁμοίως ἤρεσεν, ὥστε τοὺς πρεσβυτέρους παρὰ γνώμην τῶν ἰδίων ἐπισκόπων πρᾶγμα μὴ πιπράσκειν τῆς ἐκκλησίας, ἐν ᾗ καθιέρωνται. » Ὃν τρόπον καὶ τοῖς ἐπισκόποις οὐκ ἔξεστι πιπράσκειν χωρὶς τῆς ἐκκλησίας, ἀγνοούσης τῆς συνόδου.

ιδ'. Δεῖ τὴν σὴν θεοφίλειαν, εἴποτέ τινι τῶν ἀμφ' αὐτὴν ἡγουμένων ἡ ἀπὸ τῶν ἐντεῦθεν ἔξοδος γένηται, πρῶτα μὲν τὰ τούτῳ προσόντα, ὅσα γε εἰς ὑπηρεσίαν ἐτέλει, ἢ εἴ καί τινα ἄλλα πρόσεστιν, ἀκαινοτόμητα κατὰ πάντα τρόπον τηρεῖν, καὶ μὴ τῷ τῆς συνηθείας παρανόμῳ προσχήματι χεῖρας αὐτοῖς ἐπιβάλλειν ἀδίκους. Ἔπειτα δὲ τὸν ἐπ' εὐλαβείᾳ καὶ συνέσει παρὰ τῶν μοναχῶν μαρτυρούμενον, εἰς τὴν τῆς ἡγουμενείας βαθμὸν προχειρίζεσθαι· δίχα δηλονότι λημμάτων, ἃ καὶ τῇ ἀρχιερωσύνῃ κίνδυνον ἐπάγει, καὶ τῷ ἁλόντι τὴν ἐκ τοῦ κανόνος ἀσυμπαθῶς ἄμυναν ἐπιφέρει.

ιε'. Χρὴ τοῖς τὴν ἐπιστασίαν τῶν μοναχῶν ἐγχειριζομένοις παρεγγυᾷν, τῷ νενομισμένῳ χρόνῳ καὶ τῇ προσηκούσῃ δοκιμασίᾳ τοὺς τῷ μονήρει βίῳ προστιθεμένους, τοῦ τε ἀγγελικοῦ καταξιοῦν σχήματος, καὶ τὴν τελείαν ἀπόκαρσιν ποιεῖσθαι· ὅπως ἂν τῇ χρονίᾳ γυμνασίᾳ καὶ ὁ τρόπος αὐτῶν ἐμφανὴς εἴη, καὶ αὐτοὶ πάγιοι πρὸς τὸ καλὸν τούτου τυγχάνοντες διαμένοιεν.

ις'. Δεῖ σε τά τε ἄλλα τῇ μοναδικῇ πολιτείᾳ ἁρμόδια, κατὰ τοὺς πατρικοὺς κανονίζειν θεσμούς, καὶ γηραιοὺς καὶ σώφρονας εὐνούχους ἐν τοῖς γυναικείοις σεμνείοις τὴν θείαν ἐπιτελεῖν μυσταγωγίαν ἐπιζητεῖν· καὶ ἐκκόπτειν μὲν ἐκεῖθεν τὰς ἐπιμιξίας καὶ ἀναφύρσεις τῶν κοσμικῶν, ἀποδιιστᾷν δὲ τὰς τῶν λεγομένων διπλῶν μοναστηρίων,

VARIÆ LECTIONES.

(50) Hoc est, locis ad exercitationes graves et honestas destinatis.

εἴπερ εἰσὶ κατὰ τὸν τόπον, συναφείας τε καὶ παρανόμους συνδιατριβάς. Οὕτω ταῦτα. Καὶ εἴ τι ἕτερον δ τε καιρὸς καὶ ἡ χρεία προβάλλοιτο, μετὰ τῆς ἐπαινετῆς καὶ προσηκούσης καὶ θεοφιλοῦς σπουδῆς ἐκπληρῶν, πάσης μὲν λαβῆς καὶ καταδίκης ἐξαιρεθήσῃ· εἰς κόσμον δὲ τῆς Ἐκκλησίας, καὶ δόξαν τοῦ τὸ οἰκεῖον αἷμα ὑπὲρ αὐτῆς ἐκχέαντος, Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ὀφθήσῃ· ὅπερ καὶ ἐλπίζομεν, καὶ εὐχόμεθα· καὶ μετὰ μεγάλων τῶν ἐλπίδων εἰς τὴν ἐναποκειμένην τοῖς ἁγίοις παραπεμφθήσῃ μακαριότητα, ἔνθα πάντων ἡ προσδοκωμένη κατάπαυσις γένοιτο, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ὅτι αὐτός ἐστι τῶν ἀγαθῶν δοτὴρ καὶ πληρωτής, καὶ αὐτῷ πρέπει τιμὴ καὶ δόξα, νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

A siquidem eo loci sint, conjunctiones et nefarias conversationes removere. Atque hæc quidem in hunc modum. Quod si quid aliud tibi vel ipsum tempus, vel necessitas offerat, id si laudabili, decente, religioso studio perficies, omni temet reprehensione et condemnatione eximes, Ecclesiæ ornamento eris, gloriæ Christi veri Dei nostri, qui sanguinem pro Ecclesia suum profudit, servies (uti futurum speramus et optamus), cum magna spe denique ad illam sanctis repositam beatitatem ablegaberis : ubi requies exoptata contingat universis, in Christo Jesu Domino nostro : quoniam ipse bonorum largitor est et absolutor ; cui par est tribui honorem atque gloriam, nunc et sæculis infinitis. Amen.

B

Ἔνταλμα διδόμενον τοῖς ἐξάρχοις·

α'. Δεῖ τὴν σὴν εὐλάβειαν, τὴν ἐπιστασίαν καὶ πρόνοιαν τῶν πατριαρχικῶν μοναστηρίων παρὰ τῆς ἡμῶν μετριότητος ἀναδεδεγμένην[69], μετὰ τῆς ἐπαινετῆς συνειδήσεως πολλὴν ἀναλαβεῖν ἐπιμέλειαν καὶ σπουδήν, ὡς οὐχ ἡμῖν μόνον τὸν περὶ τούτων λόγον ὀφείλουσαν ἀποδοῦναι, ἀλλά γε καὶ πρὸ ἡμῶν τῷ πάντων ἐφόρῳ Θεῷ· καὶ μήτε πρὸς χάριν, μήτε πρὸς ἔχθραν, μήτε πρὸς δῶρον, μήτε πρὸς παράκλησιν, μήτε πρὸς ἄλλο τι τῶν ἀνθρωπίνων ἀποκλίνουσαν, μεταχειρίζεσθαι τὴν τοιαύτην διακονίαν· ἀλλὰ κατὰ τοὺς κανονικοὺς θεσμοὺς πάντα πράττειν, καὶ κατὰ τὴν ἡμετέραν διαταγήν· ἀνεπαχθῶς τε καὶ ἀβαρῶς τὴν περίοδον ποιεῖσθαι, ὅτε χρεία καλεῖ· ἵνα μὴ τῷ πλήθει καὶ τοῖς πλείοσιν ἀναλώμασιν, ἔτι δὲ καὶ τῇ ἀκαίρῳ ἐπιδημίᾳ, ἀντὶ τῆς μελλούσης ὠφελείας, ἤδη παροῦσάν τε καὶ ἐνεργοῦσαν τὴν βλάβην αὐτοὺς ἐνορῶσι καταλαμβάνουσαν. Καὶ γὰρ εἰ σωματικήν τινα ἐκ τῆς σῆς παρουσίας συναίσθονται βλάβην, οὐδὲ τὴν ψυχικὴν ἐπαγγελλομένῳ πιστεύσουσι σωτηρίαν. Καὶ πρός γε τούτοις ἐκ πάσης δωροληψίας[70] καθαρὰν αὐτὴν καὶ ἀμόλυντον διατηρήσεις· καὶ μήτε ταῖς λεγομέναις συνηθείαις ὑπωσδήποτε κατοχραν θῆναι, μήτε ἑτέροις πρόσκομμα γενέσθαι· οὐ γὰρ ἡ σεμνότης τοῦ ὀνόματος τὴν δυσσέβειαν ἀποσκευάζει τῆς πράξεως· ἀλλὰ τὸ παράνομον τοῦ πράγματος, καὶ τῆς ὀνομασίας ἐκκακίζει τὴν δεξιότητα. Καὶ γὰρ ὁ ἑτέροις δικαιοπραγεῖν νομοθετῶν, αὐτὸς καὶ τῆς τοῦ ἀδικεῖν ὑπολήψεως καθαρὸς ὀφείλει καθίστασθαι. Εἰ μέντοι παρὰ τὰ ἐγγράφως σοι διατεταγμένα (ὃ μὴ γένοιτο, μηδὲ δώῃ Κύριος) ἄλλο τι διαπραχθείη, καὶ παράβασίς τινος τῶν παραγγελμάτων ἐπιτολμηθείη, μάλιστα δὲ εἰ συνηθεία; ἢ αὐτὸς, ἢ ἕτερός τις τῶν συνεπομένων σοι ἀπαιτῶν φωραθείη, ἢ ἄλλην τινὰ ζημίαν ἐπιφέρων τοῖς ἐπὶ ἀπαλλαγῇ ζημίας ψυχῆς τε καὶ σώματος ὑποδεχομένοις τὴν σὴν εὐλάβειαν· ὅστις οὖν τῷ τοιούτῳ νοσήματι ἁλοὺς φωραθείη, ἐξ αὐτῆς ἐκείνης τῆς παρανόμου πράξεως ἔστω γινώ-

Mandatum quod legatis (52) *dari solet.*

1. Debet tua reverentia, quæ præfecturam et curationem patriarchalium monasteriorum a nostra mediocritate nacta est, cum laudabili conscientia multum diligentiæ ac studii suscipere, uti quæ non solum nobis horum debeat rationem reddere, verum etiam ante nos, inspectori omnium Deo : ac neque gratiam neque inimicitiam, neque donum, neque preces, neque quidquam aliud in rebus humanis respiciendo, ministerium ejusmodi obire : sed omnia secundum canonicas leges, et mandatum nostrum agere, citraque gravamen et onus aliquod aliorum, visitationis munere defungi, cum usus postulat : ne scilicet illi propter comitum multitudinem, et majores sumptus, atque etiam propter importunum adventum, futuri commodi loco, præsens et urgens damnum se videant percipere. Quippe si corporale quoddam ex præsentia tua detrimentum sentiant, nec animi salutem pollicenti tibi fidem habituri sunt. Præterea te purum et impollutum ab omni captatione munerum perpetuo servabis, ac neque consuetudinibus quas vocant, ullo modo contaminaberis ; neque alius offendiculo eris. Non enim vocabuli honestas impietatem facti excusat ; sed rei sceleritas, ipsius etiam appellationis bonitatem deminuit. Nimirum qui præcipit aliis, ut juste se gerant etiam ipse vel ab omni suspicione injuriæ purus esse debet. Enim vero si præter hæc injuncta tibi per Scripturam (quod absit, neque Dominus fieri permiserit) diversum quiddam fuerit actum, et alicujus ex his mandatis attentata violatio ; maxime, si consuetudines vel temetipsum exigere, vel alium quemquam ex comitibus tuis compertum fuerit ; aliudve detrimentum quoddam eis inferri, qui reverentiam tuam excipiunt eo nomine, ut animi corporisque damnis liberentur : quisquis igitur in hujusmodi vitio deprehensus fuerit, ob hoc ipsum nefarium facinus, sciat, primum quidem se sacris a mysti-

C

D

VARIÆ LECTIONES.

[69] al. δεξαμένην. [70] δωσοληψίας.

NOTÆ.

(52) Vicariis sive suffraganeis.

riis arceri, et ab ecclesiastico repelli conventu : deinde mox etiam futurum, ut ab eo pœna quoque civilis exigatur. Nam qui sanctiones et leges ecclesiasticas contemnit, neque formidabile putat earum supplicium, ipsemet sese pœnis civilibus subjicit. Illis a nobis in exordio collocatis, ad ipsius ministerii mandatum procedat oratio.

2. Debet reverentia tua sacrorum monasteriorum præfectos, qui superbo quodam contemptu et arrogantia reliqnos erga solitarios utuntur, oratione et admonitionibus efficere modestos et humiles ; atque erudire, ut monachos pro suis membris agnoscant ; neque duntaxat eorum animas pro suis viribus sed corpora quoque cura sua complectantur : et agere debet omnia, quæ momenti alicujus sunt, cum eorum consilio : communem cum eis victum, cum cætera vivendi ratione habere : cuncta immobilia non alienata servare, quique percipiuntur ex eis fructus manifestos omnibus facere, et idonee administrare ; ut ex eis greges ipsorum in bono statu conserventur, atque ipsi monachi causæ nihil habeant adversus magistros suos atque doctores.

3. Debet reverentia tua vitam monasticam exercentes, qui pastori suo nolunt obtemperare sed ordini solitario contraria incedunt via et reliquæ multitudini offendiculo sunt, obsequentes et morigeros efficere, et oratione ac spiritualibus instructionibus eos obedientiam domini docere atque ita formare, ut ex dignitate professionis suæ se gerant ; neque voluntatibus suis obsequendo, neque rebus propriis, sive peculiis (quæ vocant) curam adhibendo : uti factis aversationem vitæ terrenæ asserentes, a commissis peccatis liberationem inveniant, et bonorum in omnem æternitatem durantium participes fiant.

4. Debet reverentia tua controversias, quæcunque monachorum adversus abbates, et vice versa abbatum adversus monachos incidunt, tum investigare, tum dissolvere justitiæque auxilium adhibendo, recte componere : offensam omnem de medio tollere, vicissimque pacatum reducere statum : vivendi denique rationem in eis plantare, quæ religiosos homines deceat.

5. Debet reverentia tua monachos, qui de via recta deflectunt, et inobedientia laborant erga sibi præfectos, ac peccatum ad mortem committunt, uti divinus ille Joannes loquitur, pro quibus preces et obsecrationes vim magnam habent ; hos ergo velut orationi doctrici non obtemperantes, pœnis convenientibus subjicere debet ; uti per eas castigati, ad salutem facientia discant ; atque alii per castigationem magis sobrii spiritualem ad culturam reddantur.

σκων, ὡς πρῶτα μὲν τῶν θείων ἀπείργεται μυστηρίων, καὶ τῆς ἐκκλησιαστικῆς ἀπελαύνεται συνόδου· οὐκ εἰς μακρὰν δὲ καὶ τὴν πολιτικὴν ἀπαιτηθήσεται δίκην. Ὁ γὰρ ἐκκλησιαστικοὺς παρορῶν θεσμοὺς καὶ νόμους, καὶ μὴ φοβερὰν ἡγούμενος τὴν ἐκείνων δίκην, αὐτὸς ἑαυτὸν ταῖς πολιτικαῖς εὐθύναις καθυποβάλλει. Τούτων ἡμῖν ἐν προοιμίοις τεθέντων, πρὸς τὸ τῆς διακονίας ἐπίταγμα ὁ λόγος χωρείτω.

β'. Δεῖ τὴν σὴν εὐλάβειαν τοὺς ἐπιστατεῖν ἱερῶν φροντιστηρίων λαχόντας, ὑπεροψίᾳ δὲ καὶ ἀλαζονείᾳ πρὸς τοὺς λοιποὺς χρωμένους μονάζοντας, μετρίους καὶ ταπεινόφρονας λόγῳ καὶ παραινέσεσιν ἀπεργάζεσθαι, καὶ ὡς μέλη οἰκεῖα τοὺς μοναχοὺς ἐκπαιδεύειν ἡγεῖσθαι, μὴ μόνον τῶν ψυχῶν αὐτῶν, ἀλλὰ καὶ τῶν σωμάτων ὅση δύναμις κηδομένους· πάντα δὲ πράττειν τὰ καιριώτατα [70*], μετὰ τῆς αὐτῶν γνώμης, κοινήν τε τὴν ἐστίασιν, καὶ τὴν ἄλλην δίαιταν ἔχειν, τά τε ἀκίνητα πάντα ἀνεκποίητα τηρεῖν, καὶ τὰ καρποφορούμενα δῆλα καθιστᾶν ἅπασι, καὶ δεόντως ταῦτα μεταχειρίζεσθαι, ὡς ἂν ἐκ τούτων τά τε πολίμνια αὐτῶν εὐσταθῇ, καὶ αὐτοὶ ἀπροφάσιστοι εἶεν πρὸς τοὺς αὐτῶν καθηγητάς τε καὶ διδασκάλους.

γ'. Δεῖ τὴν σὴν εὐλάβειαν τοὺς μὴ πειθαρχεῖν ἐθέλοντας τῷ ἑαυτῶν ποιμένι μονάζοντας, ἀλλ' ἀπεναντίας τῆς μοναδικῆς βαδίζοντας τάξεως, καὶ πρόσκομμα τῇ λοιπῇ γινομένους πληθύϊ, τούτους εὐπειθεῖς καὶ εὐγνώμονας ποιεῖσθαι, καὶ τὴν τοῦ Κυρίου ὑπακοὴν ἐκπαιδεύειν λόγῳ καὶ πνευματικαῖς εἰσηγήσεσιν, ἀξίως παρασκευάζων [71] τοῦ ἐπαγγέλματος πολιτεύεσθαι, μήτε θελήμασιν οἰκείοις ἀκολουθοῦντας, μήτε τῇ ἰδίᾳ κτήσει ἢ τοῖς λεγομένοις πεκουλίοις προσέχοντας· ἵνα δὴ τοῖς ἔργοις τὴν τοῦ βίου ἀποφυγὴν βεβαιοῦμενοι, τῶν ἡμαρτημένων εὕροιεν τὴν ἀπαλλαγὴν, καὶ τῶν διαιωνιζόντων μετάσχοιεν ἀγαθῶν.

δ'. Δεῖ τὴν σὴν εὐλάβειαν τὰς πρὸς τοὺς ἡγουμένους παρὰ τῶν μοναχῶν, καὶ αὖ πάλιν παρὰ τῶν ἡγουμένων πρὸς τοὺς μονάζοντας γινομένας διαφορὰς, ἐρευνᾷν τε καὶ διαλύειν, καὶ τῇ δικαιοσύνῃ βοηθῷ χρώμενον, πρὸς τὸ δέον ῥυθμίζειν. Καὶ πᾶν μὲν σκάνδαλον ἐκ μέσου ποιεῖσθαι, πᾶσαν δὲ ἀντείσφέρειν εἰρηναίαν κατάστασιν, καὶ τὴν ὁσίοις πρέπουσαν ἐμφυτεύειν τούτοις διαγωγήν.

ε'. Δεῖ τὴν σὴν εὐλάβειαν τοὺς τῆς εὐθείας ἐκτρεπομένους μονάζοντας, καὶ ἀνηκοΐαν μὲν πρὸς τοὺς προεστῶτας νοσοῦντας, τὴν πρὸς θάνατον ἐξ ἁμαρτίαν ἐργαζομένους, ὡς ὁ θεσπέσιος Ἰωάννης φησὶν, ὑπὲρ ὧν εὐχὴ καὶ παράκλησις μεγάλην ἰσχὺν ἔχει, τούτους ὡς μὴ πειθομένους λόγῳ διδασκαλικῷ, ταῖς ὀφειλομέναις καθυποβάλλειν ἐπιτιμήσεσιν, ὡς ἂν ἐντεῦθεν παιδαγωγούμενοι, τὰ σώζοντα μάθοιεν, καὶ ἄλλοι τῷ ἐκείνων σωφρονισμῷ νηφαλεώτεροι περὶ τὴν πνευματικὴν εὑρίσκοιντο ἐργασίαν.

VARIÆ LECTIONES.

[70*] καιριώτερα. [71] καὶ ἀξίως παρασκευάζειν.

ς'. Δεῖ τὴν σὴν εὐλάβειαν ἐντείλασθαι, τοῦ τὸ ἱερὸν ἅπαντας ἐκμανθάνειν ψαλτήριον τοὺς ἐν τῷ μοναχικῷ σχήματι καταλεγομένους, καὶ μὴ δούλων ἀθλίων λόγον ὑπέχειν, καὶ τὸ πᾶν ἀναλίσκειν εἰς τὴν τῶν γηΐνων ἐργασίαν, διὰ τὴν ἀκρισίαν τῶν καθηγουμενευόντων, ἢ παρακοὴν τῶν καθυποτατταμένων, καὶ ἀκηδίαν.

ζ'. Δεῖ τὴν σὴν εὐλάβειαν παρεγγυᾶν, ἀναζητεῖν τοὺς ἡγουμένους τοὺς λειποτακτοῦντας μοναχοὺς, καὶ εἰς τὴν οἰκείαν αὐτοὺς ἐπαναστρέφειν ὑποταγήν· τοὺς δὲ μὴ βουλομένους τοῦτο ποιεῖν, εἴγε εὐλόγως, παραδιδόναι ἐν ἑτέροις μοναστηρίοις εἰς εὐλαβεῖς καὶ τὸν θεῖον φόβον διδάσκειν δυναμένοις ἡγουμένους. Διδακτικὸς[12] γάρ ἐστιν ὁ τοῦ Θεοῦ φόβος, καθώς φησιν ὁ Προφήτης· Δεῦτε, τέκνα, ἀκούσατέ μου. Φόβον Κυρίου διδάξω ὑμᾶς.

η', Δεῖ τὴν σὴν εὐλάβειαν τοὺς ἐν γυναικείοις μοναστηρίοις τὴν ἱερὰν ὀφείλοντας ἱερουργίαν ἐπιτελεῖν, γηραλέους εἶναι προτρέπεσθαι, καὶ εὐνούχους· ἵνα μὴ διατύρηται ἡ τῶν παρθένων ὑπόληψις ὑπὸ τῶν αἱρουμένων διαλοιδορεῖν τοὺς πλησίον.

θ'. Δεῖ τὴν σὴν εὐλάβειαν ἐντέλλεσθαι τοῖς ἡγουμένοις, τοὺς ἐν ἑτέροις μοναστηρίοις τάς τε συνθήκας καὶ ἐξαγορεύσεις ποιησαμένους, ἄνευ γνώμης τοῦ ἀποκείραντος μὴ προσδέχεσθαι, ἀλλὰ σπουδῇ πάσῃ κεχρῆσθαι πρὸς τὸ πείθειν αὐτοὺς εἰς τὴν οἰκείαν παλινδρομεῖν μονήν. Τοὺς δὲ τοῦτο παραλόγως κατατολμῶντας ποιεῖν, ἐπιτιμᾷν καὶ ἀφορίζειν, ὡς ἐξίσου τοῖς ἀνδραποδισταῖς ἁμαρτάνοντας.

ι'. Δεῖ τὴν σὴν εὐλάβειαν τοῖς ἡγουμένοις προστάττειν, τῶν ὑποτεταγμένων διακωλύειν τὰς ἐν ταῖς πόλεσι προόδους, πᾶσάν τε προσπάθειαν συγγενῶν καὶ φίλων, καὶ τὰς λεγομένας συντεχνίας τέλεον ἐκκόπτειν· ἔτι γε μὴν καὶ τὰς μετὰ γυναικῶν διαίτας καὶ ἀναφύρσεις. Οὐ γὰρ μοναδικῆς ταῦτα καθεστήκασι τάξεως σύμβολα.

ια'. Δεῖ τὴν σὴν εὐλάβειαν προτρέπειν πάντας, νηστείαις καὶ δεήσεσι κατὰ τοὺς πατρικοὺς καὶ πνευματικοὺς τύπους σχολάζειν, μὴ τὸν χυδαῖον βίον μεταδιώκειν· τοῦτο μὲν ὑπὲρ τῆς αὐτῶν, τοῦτο δὲ καὶ ὑπὲρ τῆς τοῦ κοινοῦ σωτηρίας· τοῖς τε ἐνδεέσιν ὅση δύναμις τὰ δέοντα εὐαγγελικῶς ἐπιχορηγεῖν, εἰς πλείονα τῶν ψυχῶν αὐτῶν εὐόδωσίν τε καὶ περιποίησιν.

ιβ'. Δεῖ τὴν σὴν εὐλάβειαν διαμαρτύρασθαι πᾶσιν, οἳ φροντιστηρίων ἐπιμελεῖσθαι ἐτάχθησαν ἱερῶν, τοῦ μὴ ἀποκείρειν μοναχοὺς ἢ μοναστρίας πρὸ τριετοῦς δοκιμασίας, καὶ τότε ἀποκείρειν τοὺς μὲν ἄῤῥενας ἀπὸ πεντεκαιδεκαετοῦς χρόνου· τὰς δὲ γυναῖκας, ἀπὸ ἑπτακαιδεκαετοῦς. Τοῦτο γὰρ τοῖς πατρικοῖς διατυποῦται θεσμοῖς. Τὸ γὰρ παρὰ ταῦτα γινόμενον, συγχύσεως καὶ ταραχῶν ὡσταπολλὰ δείκνυται αἴτιον.

ιγ'. Δεῖ τὴν σὴν εὐλάβειαν ἅπασι παραινεῖν, οἷς

A 6. Præcipere tua reverentia debet, ut quotquot habitus monastici cœtibus aggregantur, sacrosanctum psalterium ediscant, nec illorum infelicium servorum culpæ fiant ad fines, neque totum in rerum terrestrium culturam expendant, propter imperitiam præfectorum, vel inobedientiam et socordiam subditorum.

7. Monere tua reverentia debet, ut abbates eos monachos perquirant qui ordinem deserunt, atque ipsos ad obedientiam suam reducant: qui hoc recusant facere, siquidem ex certa ratione, in alia tradant monasteria religiosis quibusdam abbatibus, qui timorem divinum docere possint. Nam Dei metus omnino quiddam est ejusmodi, quod tradi docendo possit, quemadmodum Vates ait: Adeste,
B filii, audite me: timorem Domini docebo vos.

8. Auctor esse reverentia tua debet, ut qui muliebribus in monasteriis sacram obire debent functionem, senes sint et eunuchi, ne virginum existimatio laceretur ab iis, quibus volupe est proximos conviciis proscindere.

9. Debet tua reverentia mandare abbatibus ut eos, qui aliis in monasteriis pacta conventa et confessiones fecerunt absque illius sententia, qui capillos eorum totondit, non admittant: sed omnem adhibeant diligentiam atque studium, ut ipsis persuadeant, quo suam ad mansionem recurrant. Eos vero qui præter rationem admittere tales audent, punies atque segregabis, veluti par cum
C plagiariis crimen committentes.

10. Abbatibus reverentia tua præcipere debet, ut sibi subditorum per urbes in publicum prodeuntium obambulationes prohibeant, atque omnem in eis erga cognatos et amicos propensionem, quasque compaternitates vocant et conversationes atque promiscua cum mulieribus commercia, penitus exstirpent. Non enim hæ monastici sunt ordinis tesseræ.

11 Exhortari reverentia tua debet omnes, ut jejuniis atque precibus secundum patritos et spirituales ritus vacent, non vitæ vulgaris vestigia sequantur: alterum propter suam, alterum propter communem aliorum utilitatem: utque pro viribus, secundum illud evangelicum præceptum, indigentibus neces-
D saria suppeditent, ad majorem animarum prosperitatem et acquisitionem.

12. Debet tua reverentia contestari ad universos, qui sacrorum ut phrontisteriorum curam habeant, ordinati sunt, ne monachos aut monastrias ante triennii tondeant explorationem; quo præterito, mares quidem post decimum quintum ætatis annum tondeant: feminas, vero post decimum septimum. Hoc enim patritis est sancitum legibus. Nam quod præter hæc fieri contingit, plerumque confusionis et turbarum causam esse constat.

13. Debet reverentia tua monere universos, qui-

VARIÆ LECTIONES.

[12] διδακτός.

bus animus est sacra phrontisteria de novo struere, ne in locis ea parum honestis ædificent, vel quam proxime apud villas ; nec in illis, ubi non adest idonea copia suppeditandi eis res necessarias. Alterum enim corruptelam animis expeditam offerre solet, alterum eis manifestum affert interitum prius etiam quam excolantur.

14. Debet reverentia tua, sicubi patriarchalis monasterii præses (ceu fieri consentaneum est) diem obierit, eum qui ab universis eligitur, ad nos ablegare : non alium, quem ipsi monachi non postulant, sed quem elegerint omnes : ut ita manus impositionem consecutus, gregem sibi subditum pascat.

15. Debet reverentia tua, sicubi poscat usus, omnia monasteria describere, quæ juris sunt patriarchici, una cum rebus ad ea pertinentibus, et cum vasis sacris : eamque descriptionem nobis mittere.

16. Reverentia tua debet eos, qui divertunt in monasteriis, ac novis ea gravant oneribus, et alias importunas injurias atque detrimenta inferunt, pro viribus coercere : animique cogitationes eo dirigere, ut illic semet exercentes, a damnis immunes sint, et in religioso studio nullis molestiis impediantur.

17. Debet reverentia tua quolibet in monasterio, quod tibi erit adeundum, hoc ipsum datum tibi præceptorum instrumentum a principio ad finem usque perlegere, cum ejus rei mandatum ab omnipotenti Deo scilicet habeas : ut nostram de ipsis ordinationem intelligant, ac te veluti patrem et correctorem eorum, quæ neglecta sunt, non violatorem et vastatorem, excipiant : adeoque tuis admonitionibus alacriores et diligentiores efficiantur.

His te cum in exordio, tum hoc etiam loco muniendum putavimus, condemnationem divinam formidantes. Tu si custos eris hujus ordinationis nostræ, vices tibi cœlitus Deus ipse laboribus tuis respondentes et jam rependet, et in judicio mortuorum. Sin esse præcepti nostri violator inventus fueris, et quædam corruperis ac innovaveris, ante supplicium humanum, ultorem experieris ipsum Deum, qui pœnas et nunc exigit, et cum præmia cuique pro suis factis tribuit.

Mandatum pro eo, qui pater spiritualis fieri debet.

Decessor noster, sanctissimus ille patriarcha N., per litteras mandatum continentes, reverendissimo monacho et abbate venerabilis monasterii successorum Ammoniaci Dositheo permisit ante hoc tempus, ut illorum rationes audiret, qui eum ceu patrem spiritualem accederent ; nec illorum duntaxat, verum etiam constitutorum sub se monachorum : atque uti ad eos pertinentia, studio quodam accurate examinaret. Quia vero nostra quoque mediocritas invenit hunc virum omnis pietatis studiosum, et conditionis ejus participem, quæ vere monachum

ἡ γνώμη πρὸς τὸ νεουργεῖν ἐστιν ἱερὰ φροντιστήρια, μὴ οἰκοδομεῖν ταῦτα ἐν ἀσέμνοις τόποις, ἢ ὡς ἐγγυτάτω χωρίων, μηδ' αὖ οἷς ἡ περιουσία οὐκ αὐτάρκης ἐστὶν, εἰς τὸ χορηγεῖν τούτοις τὰ πρόσφορα. Τὸ μὲν γὰρ ἑτοίμην οἶδε ψυχῆς [18] παρέχειν φθοράν, τὸ δὲ τὴν καταστροφὴν αὐτοῖς πρόδηλον ποιεῖται καὶ πρὸ τῆς ἐργασίας.

ιδ'. Δεῖ τὴν σὴν εὐλάβειαν, εἴ που μοναστηρίου πατριαρχικοῦ, οἷα εἰκὸς, ἡγούμενος τελευτήσει, τὸν ὑπὸ πάντων ψηφιζόμενον πρὸς ἡμᾶς ἀναπέμπειν, καὶ μὴ ἕτερον, ὃν οὐχ αἱροῦνται οἱ μοναχοὶ, ἀλλ' ὃν πάντες ἐκλέξονται· ὡς ἂν τῆς χειροθεσίας ἀξιούμενος, οὕτω ποιμάνῃ τὸ ὑποχείριον.

ιε'. Δεῖ τὴν σὴν εὐλάβειαν, εἴπου χρεία ἐπείγει, καταγράψασθαι ἅπαντα τὰ τοῖς πατριαρχικοῖς προνομίοις ἀνήκοντα μοναστήρια, ἅμα τοῖς διαφέρουσιν αὐτοῖς πράγμασί τε καὶ ἱεροῖς σκεύεσι, καὶ πρὸς ἡμᾶς ἀναπέμψαι.

ις'. Δεῖ τὴν σὴν εὐλάβειαν τοὺς ἐν τοῖς μοναστηρίοις παραβάλλοντας, καὶ ταῦτα καινοτομοῦντας, ἄλλα τε ἀκαίρους αὐτοῖς ἐπηρείας καὶ βλάβας ἐπάγοντας, ὅση δύναμις ἀνακόπτειν· καὶ τοῖς ἐκεῖσε ἀσκουμένοις τὸ ἀζήμιον καὶ ἀνενόχλητον, κατὰ τὸν εὐσεβῆ λόγον, διανοεῖσθαι.

ιζ'. Δεῖ τὴν σὴν εὐλάβειαν ἐν ἑκάστῃ μονῇ, ἐν ᾗ παραβάλλειν ὀφείλεις, τοῦτο δὴ τὸ παρεσχημένον σοι τῶν προσταγμάτων ἔγγραφον καθυπαναγινώσκειν ἀπ' ἀρχῆς μέχρι τέλους, ἐντολὴν δηλαδὴ παρὰ θεοῦ παντοκράτορος ἔχουσαν· ὡς ἂν καὶ τὴν ἡμετέραν περὶ αὐτῶν ἐπιγνοῖεν διαταγὴν, καὶ σὲ ὡς πατέρα δέχοιντο καὶ διορθωτὴν τῶν ἠμελημένων, ἀλλ' οὐχὶ φθορέα καὶ λυμεῶνα· καὶ ταῖς σαῖς νουθεσίαις ἑτοιμότεροι κατασταῖεν καὶ σπουδαιότεροι.

Τούτοις σε καὶ ἐν προοιμίοις, καὶ νῦν ᾠήθημεν δέον ἐξασφαλίσασθαι, τὸ θεῖον δεδοικότες κατάκριμα. Ἀλλ' εἰ μὲν φύλαξ εἶης τῆς ἡμετέρας διαταγῆς, ἄνωθεν Θεὸς ἀμείψεταί σε τῶν πόνων ἀξίως, νῦν καὶ ἐν τῇ τῶν βεβιωμένων διαγνώσει. Εἰ δὲ παραβάτης τῆς ἡμετέρας εὑρεθῇς ἐντολῆς, ἐπὶ λύμῃ καὶ καινοτομίᾳ τινῶν γενόμενος, Θεὸν ἕξεις πρὸ τῆς ἀνθρωπίνης δίκης τὸν ἀμυνόμενον, εὐθύνας τε ἀπαιτοῦντα καὶ νῦν, καὶ ὁπηνίκα ἑκάστῳ τὰ ἐπίχειρα τῶν οἰκείων ἀποδίδωσιν ἔργων.

Ἔνταλμα εἰς τὸ γενέσθαι πατέρα πνευματικόν.

Ἔφθασε μὲν ὁ πρὸ ἡμῶν ἁγιώτατος ἐκεῖνος πατριάρχης ὁ δεῖνα, ἐκχωρῆσαι δι' ἐνταλτηρίου αὐτοῦ γράμματος τῷ τιμιωτάτῳ ἱερομονάχῳ καὶ καθηγουμένῳ τῆς σεβασμίας μονῆς τῶν Ἀμμωνιακοῦ Δοσιθέῳ, δέχεσθαι τοὺς λογισμοὺς τῶν ὡς πνευματικῷ πατρὶ προσιόντων αὐτῷ· οὐ μόνον δὲ τούτων, ἀλλὰ καὶ τῶν ὑπ' αὐτὸν μοναχῶν· καὶ ἐξετάζειν τὰ κατ' αὐτοὺς ἀκριβέστερον. Ἐπεὶ δὲ καὶ ἡ μετριότης ἡμῶν εὗρε τὸν τοιοῦτον ἄνδρα, πάσης εὐλαβείας ἀντιποιούμενον, καὶ τῆς τοῖς κατ' ἀλήθειαν πρεπούσης μοναχοῖς καταστάσεως μετέχοντα, καὶ (συν-

VARIÆ LECTIONES.

[18] ψυχαῖς.

ελόντα φᾶναι) ἱκανὸν περὶ τὴν τοιαύτην λειτουργίαν, εἴπερ τινὰ ἕτερον, ἀνατίθησι καὶ αὐτὴ τῷ ῥηθέντι καθηγουμένῳ τὴν τοιαύτην διακονίαν, διὰ τοῦ παρόντος αὐτῆς ἐντάλματος· δι' οὗ καὶ ἐνδίδωσι τούτῳ ἀνακρίνειν τοὺς προσερχομένους αὐτῷ, καὶ τὰ ἐν βάθει τούτων ἐρευνᾷν διανοήματα, καὶ τὰς πράξεις καταμανθάνειν, ἐφ' ᾧ τὰς ἀρχὰς μὲν καὶ τὰς αἰτίας (ὡς οἷόν τε) σπεύδειν ἱστᾷν, καὶ τέλεον ἀνακόπτειν· τὰ δὲ τέλη καὶ ἐνεργήματα εὐθύνειν κανονικῶς. Πρὸς τὰς ἕξεις μέντοι, καὶ διαθέσεις, καὶ τὰς δυνάμεις τῶν προσερχομένων, καὶ ποιότητας, ὀφείλει ἀναλόγως μεταῤῥυθμίζεσθαι, καὶ γίνεσθαι τοῖς πᾶσι τὰ πάντα, νῦν μὲν ἐπέχων, νῦν δὲ ἀνιείς. Καὶ νῦν μὲν τοῖς αὐστηροτέροις χρώμενος τῶν φαρμάκων, νῦν δὲ καὶ τὸ γλυκάζον συγκεραννύς. Ἄλλοτε ἐλέγχων, ἐπιτιμῶν· ἄλλοτε πάλιν παραkαλῶν, νουθετῶν· καὶ παντὶ τρόπῳ τὰ πρὸς σωτηρίαν τῶν ἀνακειμένων αὐτῷ ψυχῶν διοικονομούμενος. Διὰ γὰρ τοῦτο καὶ δήσει μὲν ἐν τοῖς ὑπ' αὐτὸν ἃ δεθῆναι, λύσει δὲ αὖθις τὰ λύσεως ἄξια· καὶ τοὺς τοῦ τῇδε βίου μεθισταμένους σὺν ἀφέσει τῶν ἐπταισμένων εἰς τὰ ἐκεῖσε παραπέμψει δικαιωτήρια. Ἐκχωροῦμεν δὲ τούτῳ ἀποκείρειν καὶ τοὺς τοῦτο αἱρουμένους ἐν τῇ ζωῇ αὐτῶν, εἴτε καὶ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς· μετὰ συντηρήσεως μέντοι τῶν παρατηρημάτων τοῦ μοναχικοῦ ἐπαγγέλματος, τῆς τε δηλαδὴ καθαρᾶς ἐξομολογήσεως, τῶν ἀποταγῶν τε, καὶ συνταγῶν, καὶ τῆς πρὸς τὸν ἀνάδοχον παρακαταθήκης τοῦ ἀποκειρομένου. Καὶ τοίνυν προσέσται τῷ διαληφθέντι καθηγουμένῳ Δοσιθέῳ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος εἰς ἀσφάλειαν.

decet ; ac breviter uti res exponatur, adeo muneri huic idoneum, ut quisquam alius esse possit : tradit et ipsa dicto abbati ejusmodi ministerium, per hoc præsens mandatum suum : quo etiam potestatem ipsi facit examinandi eos, qui ad ipsum accedunt, et cogitationes illorum in imo recessu perscrutandi, et actiones cognoscendi ; ut tum principia et causas, quantum ejus fieri possit, inhibere studeat, ac prorsus resecare : tum fines et affecta secundum canones corrigat. Ad habitus tamen et dispositiones, et vires accedentium, et qualitates, accommodare se ratione quadam harum habita debet, atque omnibus omnia fieri : nunc inhibens, nunc remittens : nunc austerioribus utens remediis, nunc aliquam dulcedinem admiscens : alias redarguens, increpans ; alias rursum obsecrans, admonens : omni denique modo dispensans ea, quæ ad salutem animarum curæ suæ creditarum pertinent. Nam propterea ligabit inter subditos sibi, quæ ligari ; rursumque solvet, quæ solvi merentur : et migrantes ex hac vita, cum remissione delictorum, ad alterius vitæ tribunalia dimittet. Eidem concedimus, ut illis tonsuram impertiatur, qui eam vel in vita sua, vel etiam in extremis respirationibus expetunt : ita tamen, ut observationes monachicæ professionis non omittantur ; pura nimirum confessio, valedictiones, cooptationes, et depositum illius, qui tondetur, ad susceptorem. Itaque præsentibus hisce litteris mediocritatis nostræ, quibus mandati formula continetur, majoris certitudinis causa dicti abbas Dositheus utetur.

Ἔνταλμα διδόμενον τοῖς ἡγουμένοις.

Ὁ τῶν Ἐκκλησιῶν διδάσκαλος, ὁ ἕως τρίτου οὐρανοῦ ἀναβεβηκὼς, καὶ ἀκούσας ἄῤῥητα ῥήματα, κἀκεῖθεν ἀρυσάμενος καὶ ἐκχέων εἰς πάντα τὰ ἔθνη τὴν θείαν διδασκαλίαν τοῦ ἁγίου Εὐαγγελίου, πρὸς τὸν ἅγιον Τίτον γράφων, οὕτως ἔφη· Κατάστησον καθ' ἑκάστην Ἐκκλησίαν πρεσβυτέρους καὶ ἡγουμένους, ὡς ἐγώ σοι διεταξάμην. Ταύτῃ οὖν τῇ διδασκαλίᾳ ἑπακολουθοῦσα ἡ ἡμῶν μετριότης, προχειρίζεται τὴν εὐλάβειαν ὑμῶν εἰς τὸ εἰρημένον εὐαγὲς μοναστήριον, καὶ ἐπικρατὴς αὐτοῦ γενοῦ, ἅμα καὶ πάντων τῶν ἀνέκαθεν δικαιωμάτων, ποιῶν πᾶσι τὴν φροντίδα, καὶ τὴν διοίκησιν τοῦ αὐτοῦ μοναστηρίου· πρῶτα μὲν τὴν συνήθη δοξολογίαν καὶ αἴνεσιν ἀναπέμπων Κυρίῳ τῷ Θεῷ ἡμῶν, μετὰ τῶν ὑποτεταγμένων μοναχῶν, ὄρθρον, καὶ λυχ.... [74] καὶ τὰς ἁρμοζούσας ὥρας. Εἶθ' οὕτως καὶ φωταγωγίαν τὴν αὐταρκοῦσαν, καὶ εἴ τι δ' ἂν ἐπιδέηται ὁ εὐαγὴς οἶκος εἰς ἐπανόρθωσιν κτισμάτων καὶ ἑτέρων πραγμάτων. Ἤδη γὰρ πᾶσαν φροντίδα ἀνατιθέμεθά σοι, ὡς ὀφείλοντι πάντων προνοεῖσθαι ἐμμελῶς.

Mandatum, quod abbatibus prioribus datur.

Ecclesiarum ille doctor, qui ad tertium usque cœlum ascendit, et audivit ineffabilia verba, atque hinc divinam sancti Evangelii doctrinam hausit, quam in omnes gentes effudit, ad sanctum Titum scribens, hæc verba posuit : Constituito qualibet in Ecclesia presbyteros et præsules, quemadmodum ego tibi præcepi. Hanc ergo doctrinam sequens mediocritas nostra (53), præfecit reverentiam vestram indicato religioso monasterio : cujus tu possessionem accipito, cum omnibus superiorum temporum juribus ; curam cum aliorum omnium, tum administrationis ejusdem monasterii sic gerens, ut primum consuetam celebrationem ac laudem Domino Deo nostro sursum mittas, una cum subjectis tibi monachis, tam mane, quam vesperi, lucernis accensis, aliisque competentibus horis ; deinde quantum satis est luminarium procures, et si quid religiosæ domui opus erit ad refectionem ædificiorum aliarumque rerum. Omnem enim sollicitudinem tibi nunc imponimus, uti qui diligenter universis prospicere debeas.

VARIÆ LECTIONES.

[74] λυχνοκαΐαν.

NOTÆ.

(53) Verba patriarchæ.

Faciendum maximo tibi studio, ne qui tondentur, in alia quavis monasterii functione prius versentur, licet ad aliquam harum idonei sint, quam recte psalterium edidicerint, una cum universa reliqua serie rerum earum, quas citra exceptionem et excusationem scire quemvis monachum convenit ; et quarum cum ignoratione non exiguum ordini solitario periculum est conjunctum.

Δέον σε ἐν ἐπιμελείᾳ μεγίστῃ καὶ τοῦτο ποιεῖσθαι ὥστε τοὺς ἀποκειρομένους μὴ πρότερον ἐν ἑτέρᾳ οἱᾳδηποτοῦν τῆς μονῆς ἀπασχολεῖν διακονίᾳ, κἂν δεξιῶς πρός τινα τῶν τοιούτων ἔχωσι, πρὶν ἂν τὸ ψαλτήριον καλῶς ἐκμάθωσι, καὶ τὴν λοιπὴν ἅπασαν ἀκολουθίαν, ἣν προσῆκόν ἐστιν ἀπαραιτήτως παντὶ μοναχῷ ἐξεπίστασθαι, ἧς τῇ ἀγνοίᾳ οὐ μικρὸς καὶ ὁ τυχὼν τῷ τῶν μοναχῶν πρόσεστι ..... [38] τάγματι.

Præterea selectis quibusdam sub te monachis universos monasterii reditus et expensas per scripturam notas facere debes, et ita subditos tibi solitarios omnes in officio continere, nullum ut peculium habeant : ac robur dabit vobis Dominus Deus, qui omnes homines salvos esse vult, ut opera religiosa, et ipsi grata faciatis, una cum universis, qui vobiscum sunt fratribus. Memineris etiam pauperum fratrum nostrorum, et cum universa in Christo fraternitate pro nobis preces fundito.

Πρὸς τούτοις δέον σε ἐγγράφους καὶ διαδήλους τοῖς ὑπὸ σὲ τῶν ἐγκρίτων μοναχοῖς πάσας τὰς τῆς μονῆς εἰσόδους τε καὶ ἐξόδους καταπράττεσθαι, καὶ ἐκτὸς πεκουλίων συντηρεῖν τοὺς ὑπὸ σὲ ἅπαντας μονάζοντας· καὶ ἐνισχύσει ὑμᾶς Κύριος ὁ Θεὸς, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, ἐργάζεσθαι τὰ τῆς εὐλαβείας καὶ τῆς ἀρεσκείας αὐτοῦ ἔργα, μετὰ πάντων τῶν συνόντων ὑμῖν ἀδελφῶν. Καὶ μνημόνευσε καὶ τῶν πτωχῶν ἀδελφῶν ἡμῶν, καὶ ἡμῶν ὑπερεύχου μετὰ πάσης τῆς ἐν Χριστῷ ἀδελφότητος.

Litteræ commendatitiæ, quæ a patriarcha Constantinopolitano, recens ordinato, mitti solent.

Συστατικὴ ἐπιστολὴ, πεμπομένη παρὰ τοῦ πατριάρχου τῆς Κωνσταντινουπόλεως, ἄρτι χειροτονηθέντος.

Quoniam statutum ecclesiasticum obtinuit, ut qui recens cum dignitate patriarchali evecti sunt ad thronum Constantinopolis, et habenas administrationis sacræ sibi sumpserunt, populo Domini eis commisso, prius ornatis pastoricia dignitate patriarchis per litteras, de rectis dogmatibus significent, tanquam exploratoribus et arbitris probatæ fidei suæ ; ut inde societas ejusdem religionis illustrius elucens, conjunctionem in Deo strictiorem efficiat ; patrum consuetudini parentes, litteras hasce commendatitias exaramus, quæ compendium quoddam tam actæ a nobis vitæ, quam sententiæ de doctrina nostræ, contineant.

Ἐπειδὴ θέσπισμα ἐπεκράτησεν ἐκκλησιαστικὸν, τοὺς ἄρτι πατριαρχικῶς ἐπὶ τὸν θρόνον Κωνσταντινουπόλεως ἀρθέντας, καὶ τὰς ἱεραρχικὰς ἡνίας διαζωσαμένους, καὶ τὸν λαὸν Κυρίου πιστευθέντας, τοῖς προτελεσθεῖσι τὴν ποιμαντικὴν ἀξίαν πατριάρχαις περὶ τῶν ὀρθῶν δογμάτων ἐπιστεῖλαι, καθάπερ τισὶν ἐξεταστὰῖς καὶ διαγνώμοσι τοῦ παρὰ σφίσι δοκιμίου τῆς πίστεως, ἵν' ἐντεῦθεν ἡ κοινωνία τοῦ σεβάσματος ἀριδηλότερον ἀναλάμψασα, τὴν κατὰ Θεὸν ἕνωσιν οἰκειοτέραν ἐναπεργάσηται· πειθόμενοι τῇ συνηθείᾳ τῶν πατέρων, τὴν ἀνὰ χεῖρας ταύτην συστατικὴν ἐπιστολὴν ἐγχαράττομεν, ἐπιτομήν τινα τοῦ καθ' ἡμᾶς βίου καὶ τοῦ δογματικοῦ φρονήματος περιέχουσαν.

Majores nobis fuere pii parentes in eadem cum illis sententia : hæreditas, accepta quasi per manus fides orthodoxa. Nullus enim in nobis exstitit amor rerum caducarum. Institutum animi, vita tranquilla mercatus doctrinæ, virtute præditorum imitatio. Secundum hæc morum mutatio vitæque solitariæ studium. Tantum satis, ad exprimendam quasi formam vitæ nostræ.

Ἡμῖν εὐσεβεῖς πρόγονοι, γεννήτορες ὁμογνώμονες αὐτοῖς· κλῆρος, ἡ διαδοχὴ τῆς ὀρθοδοξίας. Ἔρωτα γὰρ τοῦ κάτω ῥέοντος οὐκ ἐλάβομεν. Ἐπιτήδευμα δὲ, γαλήνιος βίος, καὶ λόγων ἐμπορία, καὶ τῶν ἐναρέτων μίμησις. Εἶτα μεταβολὴ τρόπου, καὶ τοῦ μοναδικοῦ πολιτεύματος ἀντιπολήσεις· τοσαῦτα μὲν, εἰς χαρακτῆρα τοῦ καθ' ἡμᾶς βίου.

Quod attinet doctrinam fidei : Credimus in unum Deum. Et quæ sequuntur (54) : Unam deitatem agnoscimus, quæ tribus in personis glorificatur, natura quidem indivisam, sed distinctam proprietatibus. Amplector sanctas vii synodos universales, et ab eis statuta recipio et accepto omnia : primam quidem veluti quæ Arium dejecerit, cui a furore cognomen fuit inditum, cum alienum faceret a natura Patris Filium : alteram, veluti quæ insanum Macedonium damnaverit, blasphemias de Spiritu

Τὰ δὲ τοῦ λόγου τῆς πίστεως· Πιστεύομεν εἰς ἕνα Θεὸν, καὶ τὰ ἑξῆς. Μίαν θεότητα γνωρίζομεν, δοξαζομένην ἐν τρισὶν ὑποστάσεσιν, ἀδιαίρετον μὲν τῇ φύσει, διαιρετὴν δὲ ταῖς ἰδιότησιν. Ἀσπάζομαι τὰς ἁγίας οἰκουμενικὰς ζ' συνόδους, καὶ τὰ παρ' αὐτῶν δογματισθέντα πάντα δέχομαί τε καὶ ἀποδέχομαι· τὴν μὲν πρώτην, ὡς Ἄρειον καθελοῦσαν, τὸν τῆς μανίας ἐπώνυμον, ἀποξενοῦντα τῆς τοῦ Πατρὸς φύσεως τὸν Υἱόν· τὴν δὲ δευτέραν, ὡς τὸν φρενοβλαβῆ Μακεδόνιον ἐξοστρακίσασαν, βλασφημήσαντα περὶ

VARIÆ LECTIONES.

[38] deest κίνδυνος.

NOTÆ.

(54) Vide confessionem sequentem.

τοῦ ἁγίου Πνεύματος· τὴν δὲ τρίτην, ὡς ἀποῤῥίψασαν τὸν δυσσεβῆ Νεστόριον, ληροῦντα ψιλὸν ἄνθρωπον τὸν Χριστὸν, καὶ τὴν πανύμνητον ἀπαρνούμενον Θεοτόκον· τὴν δὲ τετάρτην, ὡς τὸν ἀτυχέστατον Εὐτυχῆ, καὶ τὸν ἀλάστορα Διόσκορον καταῤῥάξασαν, τοὺς τὰς ἐν Χριστῷ δύο φύσεις πρὸς μίαν τραπῆναι φλυαροῦντας, καὶ σύγχυσιν αὐτῶν δογματίζοντας· τὴν δὲ πέμπτην, ὡς ἀναθεματίσασαν τὰ μιαρὰ δόγματα Νεστορίου καὶ Θεοδώρου τοῦ Μοψουεστίας, καὶ Ὠριγένους, καὶ Διδύμου, καὶ Εὐαγρίου, τῶν ἑλληνοφρόνων, βαθμοὺς θεότητος ἀναπλασάντων, καὶ ψυχῶν προϋπάρξεις, καὶ μετεγγισμοὺς, καὶ τέλος κολάσεως, καὶ δαιμόνων ἀποκατάστασιν· τὴν δὲ ἕκτην, ὡς ἀποῤῥίψασαν τοὺς ἀμφὶ Ὀνώριον, καὶ Σέργιον, καὶ Μακάριον, τοὺς παράφρονας καὶ τερατολόγους, ἓν θέλημα καὶ μίαν ἐνέργειαν Χριστῷ τῷ ἐν δυσὶ φύσεσιν ἐπιγράψαντας· τὴν δὲ ἑβδόμην, ὡς τὴν εἰκονομαχικὴν λύσσαν καταπατήσασαν. Αὕτη μου τῆς πίστεως ὁμολογία. Ταύτην ὡς ἐν πίνακι διαχαράξαντες γράμμασιν ἐξαπεστείλαμεν εἰς ὑμᾶς, ἵνα τὸ δοκίμιον τῆς ἡμετέρας εὐσεβείας γνώριμον ὑμῖν ἤδη γενόμενον, συγδήσῃ πλέον εἰς ἕνωσιν, καὶ τοὺς κοινωνοὺς τῆς πίστεως, κοινωνοὺς ποιήσῃ καὶ τῆς ἀγάπης, πᾶσαν σκανδάλου πρόφασιν καὶ πέτραν προσκόμματος ἐκ μέσου ποιούμενον. Ὁ δὲ τὰ διεστῶτα συνάπτων, εἴη καὶ ποιμαίνων, καὶ συμποιμαίνων, καὶ πρὸς τὸν μάνδραν ἄγων τοῦ Πνεύματος. Πρόσειπε τὸν κατὰ σὲ ἁγίαν σύνοδον. Σὲ ἡ σύνοδος ἐν Κυρίῳ προσαγορεύει.

A sancto prolocutum : tertiam, veluti quæ impium illum Nestorium rejecerit, qui per delirium tradebat, Christum esse nudum hominem, et omni dignam laude Deiperam inficiabatur : quartam, veluti quæ infelicissimum Eutychem (55), et alastorem illum Dioscorum prostraverit, qui duas in Christo naturas conversas in unam garriebant, et earum confusionem tradebant : quintam, veluti quæ anathemati subjecerit dira dogmata Nestorii et Theodori Mopsuestani præsulis, et Origenis, et Didymi, et Evagrii, paganas sententias sequentium, qui gradus deitatis finxerunt et animorum præexistentias, et appropinquationes, et finem supplicii, et dæmonum in integrum restitutionem : sextam, veluti quæ Honorii, Sergii, Macarii sectatores rejecerit, homines B insanos et portentosos, qui unam voluntatem et unam duntaxat actionem Christo, naturis duabus constanti, ascripserunt : septimam, veluti quæ furorem iconomachicum proculcaverit. Hæc est fidei meæ confessio. Hanc velut in tabula litteris exaratam misimus vobis, ut pietatis nostræ sinceritas, quæ jam vobis innotuit, nos amplius ad unionem colliget, et fidei participes etiam charitatis participes reddat ; omnem occasionem scandali et offendiculi lapidem e medio tollens. Qui vero disjuncta conjungit, idem nos et pascat, et compascat, et ad caulam Spiritus deducat. Saluta sanctam apud te synodum. Quæ nobiscum synodus est, in Domino te salutat.

Ἡ παρὰ τῶν θεοφιλεστάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων συνήθως ἐν τῷ καιρῷ τῆς χειροτονίας γινομένη τοῦ συμβόλου ἀσφάλεια.

C *Symboli cautio, quæ pro more præstari solet a religiosissimis metropolitanis et archiepiscopis, tempore ordinationis.*

Πιστεύω εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων, καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ D τὰς Γραφὰς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης, κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν. Πρὸς τούτοις

Credo in unum Deum, Patrem omnipotentem, opificem cœli et terræ, aspectabilium omnium et inaspectabilium : et in unum Dominum Jesum Christum, Filium Dei unigenitum, ex Patre genitum ante omnia sæcula, lumen de lumine, Deum verum de Deo vero genitum, non factum ; consubstantialem Patri, per quem omnia facta sunt : qui propter nos homines, et propter salutem nostram descendit de cœlis, et incarnatus est de Spiritu sancto, ex Maria Virgine, et homo factus est ; qui crucifixus est pro nobis sub Pontio Pilato, et passus est, et sepultus, et resurrexit die tertia secundum Scripturas, et ascendit ad cœlos, et sedet ad dexteram Patris, et rursum venturus est cum gloria, judicatum vivos et mortuos, cujus regnum finem non habebit : et in Spiritum sanctum, Dominum, vivificum, qui ex Patre procedit (56), qui cum Patre ac Filio simul adoratur, et simul glorificatur, qui per prophetas est locutus. Credo in unam sanctam universalem et apostolicam Ecclesiam. Confiteor unum baptisma ad peccatorum remissionem. Exspecto resurrectionem mortuorum, et vitam futuri sæculi. Amen. Præter hæc recipio sanctas et universales septem synodos, quæ conservationis sanctorum dogmatum

NOTÆ.

(55) Qui Latine, *Felix*.

(56) Græcus error, illi genti peculiaris.

causa fuere coactæ, promittens me statutos ab eis canones amplexurum et servaturum : itidemque sanctas constitutiones, quæcunque sanctis a Patribus nostris promulgatæ sunt, diversis occasionibus et temporibus : omnes, quas ipsi recipiunt, cum eis recipio ; et quas aversantur, cum eis aversor. Præterea pacem ecclesiasticam spondeo me conservaturum, nec toto vitæ meæ tempore quidpiam illi adversum in animo habiturum : sed in omnibus obsecuturum et consensurum Nicolao sanctissimo et universali patriarchæ. Polliceor etiam, me in timore Domini et mente religiosa recturum gregem fidei meæ commendatum, servando meipsum ab omni prava suspicione purum, quantum quidem a me præstari poterit. Scripta sunt hæc manu propria N. presbyteri, ac designati episcopi civitatis N. quæ divinitus servatur, mense .... ac indictione. . . .

A ἀποδέχομαι τὰς ἁγίας καὶ οἰκουμενικὰς ζ' συνόδους, αἵτινες ἐπὶ φυλακῇ τῶν σεπτῶν δογμάτων συνεθροίσθησαν, καθομολογῶν τοὺς ὑπ' αὐτῶν διωρισμένους στέργειν καὶ φυλάττειν κανόνας, καὶ τὰς ἁγίας διατάξεις, ὅσαι τοῖς ἱεροῖς ἡμῶν Πατράσι κατὰ διαφόρους καιροὺς καὶ χρόνους ἐτυπώθησαν· πάντας, οὓς ἀποδέχονται, συναποδεχόμενος· καὶ οὓς ἀποστρέφονται, συναποστρεφόμενος. Ἔτι καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην ὁμολογῶ διαφυλάττειν, καὶ κατ' οὐδένα τρόπον ἐναντία αὐτῆς φρονεῖν διὰ βίου παντός, κατὰ πάντα ἑπόμενος καὶ συμφωνῶν Νικολάῳ τῷ ἁγιωτάτῳ καὶ οἰκουμενικῷ πατριάρχῃ. Προσεπαγγέλλομαί τε ἐν φόβῳ Θεοῦ καὶ θεοφιλεῖ γνώμῃ τὴν ἐγχειρισθεῖσάν μοι ποίμνην ἰθύνειν, πάσης πονηρᾶς ὑπολήψεως καθαρὸν ἐμαυτὸν συντηρῶν, ὅσον μοι περίεστι δύναμις. Ἐγράφη ταῦτα διὰ χειρὸς ἐμοῦ αὐτοῦ, τοῦ δεῖνα πρεσβυτέρου, καὶ ὑποψηφίου τῆς θεοσώστου πόλεως τῆς δεῖνα, μηνὶ.... καὶ ἐπινεμήσει.....

B

Precatio, quæ coram imperatore legi solet a metropolitano recens ordinato.

Sanctus ille Deus, qui ex hæreditate sua eximia, inde usque ab alvo materna elegit te in imperatorem universi corporis atque cœtus Christiani, et supra divinum sanctumque caput tuum coronam prætiosis gemmis adornatam imposuit, idque sancto suo inunxit oleo, solus ille bonus, in misericordia et abysso benignitatis opulentus, o coronate custoditeque divinitus sancte imperator, qui etiam ex populo suo peculiari deligit pontifices ac sacerdotes, ut pro misericordia, vita, victoria, perennitate, pace, valetudine, ac salute majestatis tuæ Christum amantis, et pro ignorantiis populi, incruentas ipsi hostias offerant ; meam quoque servi humilis, in hac hora precationem hanc exaudiat, et augustos sacrosque pedes tuos in lato spatiosoque collocet, subjiciens eis omnes alienigenas et barbaras nationes ; easque ceu pulverem a facie venti dissipet, ac hostes tuos internecione deleat : ut in profunda pace sortem hæreditatis tuæ tibi subditam, gentem illam sanctam, regium sacerdotum gregem, regia cum dignitate ac magnifice regas, plenasque gratiarum actionis voces sursum ad Deum mittas ; qui diem supra diem præpotenti sanctæque majestati tuæ adjiciat, et annos tuos conservet in generationem et generationem, teque regnare velit usque ad fines præsentis sæculi, ac semen tuum in perpetua successione pacifice conservet. Etiam fiat, fiat, omnipotens Deus, et cum hoc terreno regno cœlestis quoque regni tui participes eos efficias. Quoniam omne donum perfectum apud te solum Deum est, qui nostras etiam preces perficis : cui competit omnis gloria, honor, adoratio et imperium æternum, ad infinita usque sæcula. Amen.

C

D

Εὐχὴ ἀναγινωσκομένη ἐνώπιον βασιλέως παρὰ μητροπολίτου ἄρτι χειροτονηθέντος.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐκ τῆς αὐτοῦ ἐξαιρετέου κληρονομίας, ἐξ αὐτῆς νηδύος μητρικῆς ἐκλεξάμενός σε εἰς βασιλέα τοῦ χριστιανικοῦ παντὸς πληρώματος καὶ συστήματος, καὶ ἐπὶ τὴν θείαν καὶ ἱερὰν σὴν κεφαλὴν στέφανον θεὶς ἐκ λίθων τιμίων κατεσκευασμένον, καὶ ταύτην ἐλαίῳ χρίσας ἁγίῳ αὐτοῦ, αὐτὸς ὁ μόνος ἀγαθὸς, ἐν ἐλέει καὶ ἀβύσσῳ χρηστότητος πλούσιος, θεόστεπτε θεοφρούρητε βασιλεῦ ἅγιε, ὁ καὶ ἐκ τοῦ αὐτοῦ περιουσίου λαοῦ λαὸν ἀρχιερεῖς τε καὶ ἱερεῖς, ὡς ἂν ὑπὲρ ἐλέους, ζωῆς, νίκης, διαμονῆς, εἰρήνης, ὑγιείας, καὶ σωτηρίας τοῦ φιλοχρίστου κράτους ὑμῶν, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων τὰς ἀναιμάκτους αὐτῷ θυσίας προσφέρωσιν, ἐπακούσοι κάμοῦ τοῦ ταπεινοῦ ἐν τῇ ὥρᾳ ταύτῃ τῆς παρούσης εὐχῆς, καὶ στήσοι τοὺς βασιλικούς σου θείους πόδας ἐν εὐρυχώρῳ, ὑποτάξας πάντα τὰ ἀλλόφυλα καὶ βάρβαρα ὑπ' αὐτοὺς ἔθνη, καὶ ὡσεὶ χοῦν κατὰ πρόσωπον ἀνέμου αὐτὰ λεπτῦναι, καὶ τοὺς ἐχθρούς σου ἐξολοθρεύσειεν· ἵνα ἐν εἰρήνῃ βαθείᾳ τὸ τῆς σῆς κληρονομίας ὑπήκοον σχολίσμα, τὸ ἅγιον ἔθνος, τὸ βασίλειον ἱεράτευμα, βασιλικῶς τε καὶ μεγαλοπρεπῶς διεθύνοις, καὶ εὐχαριστηρίους ἀναπέμποις φωνὰς τῷ Θεῷ, ὃς ἡμέραν ἐφ' ἡμέρας τῆς κραταιᾶς καὶ ἁγίας σῆς βασιλείας προσθήσοι, καὶ ἔτη τὰ σὰ συντηρήσειεν ἕως γενεᾶς καὶ γενεᾶς, καὶ βασιλεύειν εὐδοκήσειε μέχρι τερμάτων τοῦ παρόντος αἰῶνος, ἀλληλοδιάδοχον διατηρῶν εἰρηνικῶς σπέρμα τὸ σόν. Ναὶ μὴν γένοιτο, γένοιτο, Θεὲ παντοκράτωρ, καὶ σὺν τῇ ἐπιγείῳ ταύτῃ βασιλείᾳ, καὶ τῆς ἐπουρανίου σῆς αὐτοὺς ἀξιώσειας βασιλείας. Ὅτι καὶ πᾶν δώρημα τέλειον παρὰ σοί ἐστι τῷ μόνῳ Θεῷ, τῷ καὶ τὰς ἡμετέρας τελειοῦντι εὐχάς, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, καὶ κράτος αἰώνιον, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝ

ΠΑΤΡΙΑΡΧΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

ΜΕΛΕΤΑΙ ΗΤΟΙ ΑΠΟΚΡΙΣΕΙΣ

—

THEODORI BALSAMONIS

PATRIARCHÆ ANTIOCHENI

MEDITATA SIVE RESPONSA.

—

Τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας Θεοδώρου μελέτη ἤγουν ἀπόκρισις, χάριν τῶν πατριαρχικῶν προνομίων.

Εἰσῆλθε τὸ ἀξίωμά σου ἐνώπιόν μου, πανιερώτατε, καὶ ἐδέχθη, καὶ ἀπεδέχθη, καὶ ᾠκειώθη μοι. Οὐ γὰρ ἄσεμνα ῥάκη περιεβέβλητο, καὶ τῆς σῆς πλουτοδότιδος σοφίας ἀνάξια· σεμνὰ δὲ μᾶλλον, καὶ εὐπρεπῆ, καὶ οἷα χείλη στημονίζουσιν ἱερατικὰ, λαλοῦντα δικαιοσύνην, καὶ ζητοῦντα ἀλήθειαν. Δέξαι τοίνυν δ δι' αὐτοῦ λαβεῖν ἐζήτησας ἐξ ἡμῶν φιλικῆς ἀποκρίσεως τάλαντον. Ἠξίωσάς με διαλαβέσθαι γραφῇ, πόθεν καὶ πῶς ἡ τῶν ἁγιωτάτων πατριαρχῶν οὐσιώθη πεντὰς, καὶ ποίων προνομίων ἠξίωται, καὶ εἰ ἔστι τις μέσον τούτων διαφορὰ, καθώς τινες λέγουσι. Γράφομεν τοίνυν τῇ ἱερότητί σου, ὅτι πρὸ πάντων πατριαρχῶν τῆς θεουπόλεως μεγάλης Ἀντιοχείας παρὰ τοῦ ἁγίου ἀποστόλου Πέτρου κεχειροτόνηται ὁ ἐξ Ἀντιοχέων Εὔοδος· καὶ μετ' ὀλίγον ὑπὸ τοῦ αὐτοῦ θεοκήρυκος, τῆς Ἐκκλησίας τῶν Ἀλεξανδρέων ἐπίσκοπος, ὁ ἅγιος Μάρκος προβέβληται· τῶν Ἱεροσολυμιτῶν, ὁ ἅγιος Ἰάκωβος· καὶ τῆς Θρᾴκης, ὁ ἅγιος Ἀνδρέας. Μετὰ δὲ χρόνους ὡσεὶ τριακοσίους ὁ μέγας ἐν Πατράσιν, ὁ ἅγιος Σίλβεστρος παρὰ τοῦ ἁγίου ἰσαποστόλου μεγάλου Κωνσταντίνου, ἄρτι πρώτως ὀρθοδοξήσαντος, πάπας τοῦ θρόνου τῆς παλαιᾶς Ῥώμης ὠνόμασται, καθὼς ἡ φιλόθεος ἱστορία, καὶ αἱ λοιπαὶ ἐκκλησιαστικαὶ ἱστορίαι διαλαμβάνουσιν. Ὁ δὲ μέγας θρόνος τῆς Κωνσταντινουπόλεως, τὸ περιβόητον τοῦτο καὶ πρᾶγμα καὶ ὄνομα, Πειρινθίοις ὑποκείμενος (Πείρινθος δέ ἐστιν ἡ δυτικὴ Ἡράκλεια) ἐτέλει ὑπὸ ἐπίσκοπον. Οὔπω γὰρ μεγαλόπολις ἡ Κωνσταντινούπολις ὠνομάζετο, ἀλλὰ πολίχνιον, καὶ Βυζάντιον. Μετενεχθέντων δὲ τῶν σκήπτρων τῆς βασιλείας ἀπὸ τῆς παλαιᾶς Ῥώμης ἐν αὐτῇ, κατὰ θείαν καὶ ἀπόῤῥητον Πρόνοιαν, ὡς ἐξ ἀγριελαίου εἰς καλλιέλαιον, ὁ τότε ἀρχιερατεύων τῆς Ἐκκλησίας τοῦ τοιούτου θρόνου ἅγιος Μητροφάνης, ἐξ ἐπισκόπου μετωνομάσθη ἀρχιεπίσκοπος. Διὰ γὰρ τοῦτο καὶ ἡ πρώτη ἁγία οἰκουμενικὴ σύνοδος μνημονεύσασα καὶ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως,

Sanctissimi patriarchæ Antiocheni Theodori meditatum, sive responsum de patriarcharum privilegiis.

Venit in conspectum meum petitio tua, vir sanctissime, et admissa receptaque, per mihi placuit. Quippe non inhonestis erat indumentis amicta, nec indignis liberali sapientia tua : sed honestis potius et decentibus, qualia texere sacerdotalia labra solent, quæ justitiam proferunt, et veritatem quærunt. Quapropter accipe, quod per eam voluisti a nobis consequi, responsionis amicæ talentum. Petiisti, ut scripto complectar, unde, et quomodo sanctissimorum patriarcharum numerus quinarius exstiterit ; quæ privilegia consecuti sint ; et an sit inter eos discrimen aliquod, uti quidam perhibent. Scribimus ergo sanctitati tuæ, cæteros ante patriarchas omnes, a sancto Petro apostolo fuisse ordinatum magnæ illius Antiochiæ antistitem, Evodum Antiochenum ; et paulo post, ab eodem præcone divino, episcopum Alexandrinæ præfectum Ecclesiæ, sanctum Marcum ; Hierosolymitanæ, sanctum Jacobum ; Thracensi, sanctum Andream. Post annos vero quasi trecentos, magnus inter Patres, et sanctus vir Silvester, a sancto et apostolis pari, magno illo Constantino, qui rectam doctrinam recens amplexus fuerat, solii priscæ Romæ papa fuit appellatus ; quemadmodum historia religiosa, cum cæteris historiis ecclesiasticis, tradit. Magnus autem thronus ille Constantinopolis, re pariter ac nomine famosus, Perinthiis subjectus (est autem Perinthus, occidentalis Heraclea) episcopo parebat. Necdum enim urbs magna, vel Constantinopolis appellabatur ; sed oppidum et Byzantium. Cum autem imperii sceptra ex veteri Roma, divina et ineffabili Providentia, tanquam ex oleastro in olivam, huc translata fuissent : qui tunc pontificia cum auctoritate throno hujus ecclesiæ præerat, sanctus ille Metrophanes, ex episcopo, nomine mutato, vocatus fuit archiepiscopus. Etenim idcirco prima sancta synodus universalis,

mentione throni Constantinopolitani facta, Romæ veteris illi honoraria jura tribuit, propterea quod esset(ut ipsius verbis utar) Roma nova : quemadmodum hæc secundo et tertio synodi ejusdem canone declarantur. Ut autem bonus ordo, res omnium pulcherrima, in Ecclesiarum quoque capitibus perinde, servetur, atque cœlestibus in ordinibus, divina et universalis sancta synodus, in Trullo majoris palatii coacta, quæ quinta et sexta dicitur, hæc disertis verbis decrevit.

Renovantes ea, quæ a centum quinquaginta sanctis Patribus, in custodita divinitus e: imperatoria urbe congressis, et a sexcentis ac triginta, qui Chalcedone convenerunt, sancita sunt : decernimus, ut thronus Constantinopolis æqualibus honorariis fruatur juribus quibus veteris Romæ thronus; utque parem cum illo ecclesiasticis in rebus amplitudinem obtineat, et ab illo secundus sit : post quam, magnæ urbis Alexandrinæ thronus numeretur : deinde, Antiochenus : et post hunc, urbis Hierosolymitanæ thronus. Propterea secundum id, quod hoc canone continetur, ex eo tempore huc usque, sanctissimorum istorum quinque soliorum magnos pontifices per orbem universum hoc modo veneramur. Etenim justa papæ veteris Romæ ab Ecclesiis abscissio, minime ordinem canonicum abolevit. Præterea primus adversus secundum sese non effert, neque secundus adversus tertium : sed cum instar quinque sensuum capitis unius (qui tot esse numero dicuntur, nec dividuntur tamen in partes) apud populum Christianum habeantur, dignitate nihilominus pares sunt in omnibus; et cum capita sanctarum per universum orbem Ecclesiarum Dei jure dicantur, locum in eis discrimen ab hominibus statutum habere non potest : neque de sententia quorumdam non magni momenti res afferentium, papæ Romano propterea fit injuria, quod ipse propter litteram R (57), si litterarum collocationem respiciamus, tertius in ordine sit ; et eadem ratione Constantinopolitanus per C litteram honoretur, ac priorem locum consequatur. Nec offensioni aperta fenestra fuit inter Alexandrinum et Antiochenum, propter A litteram, velut eorum quolibet locum sibi priorem vindicante : sed quemadmodum quinarius ille sensuum, architecti et conditoris Dei formationi respondet, nec aspectus (verbi gratia) odoratum, nec auditus tactum vel gustatum hostiliter eam ob causam invadit, quod eorum nomina forte tali serie a nobis proferantur : ita nec sanctissimorum patriarcharum aliquis, cui per divinos canones primus attributus est locus, adversus secundum, et proximum ad hoc, arroganter semet effert.

Quia vero nonnulli dicunt, non esse permissum Alexandrino vel Antiocheno, verbi gratia, ut cum lampade vel face patriarchali faciat iter ad urbem imperatoriam, vel in aliam diœcesin ; exceptis illis provinciis, quæ per canones eis attributæ

δέδωκεν αὐτῇ τὰ πρεσβεῖα τῆς παλαιᾶς Ῥώμης, διὰ τὸ εἶναι ταύτην (φησὶ) νέαν Ῥώμην, καθὼς δηλοῦται τὰ περὶ τούτου ἀπὸ τοῦ δευτέρου καὶ τρίτου κανόνος τῆς αὐτῆς συνόδου. Ἵνα δὲ τὸ κάλλιστον χρῆμα τῆς εὐταξίας καὶ εἰς τὰς κεφαλὰς φυλάττηται τῶν Ἐκκλησιῶν, ὥσπερ καὶ εἰς τὰ οὐράνια τάγματα, ὥρισεν ἡ ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστᾶσα θεία καὶ οἰκουμενικὴ ἁγία σύνοδος, ἡ καὶ πενθέκτη λεγομένη, ταῦτα ῥητῶς.

Ἀνανεούμενοι τὰ παρὰ τῶν ρ' ἁγίων Πατέρων, τῶν ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει συνελθόντων, καὶ τῶν ἑξακοσίων τριάκοντα τῶν ἐν Χαλκηδόνι συνελθόντων νενομοθετημένα· ὁρίζομεν, ὥστε τὸν τῆς Κωνσταντινουπόλεως θρόνον τῶν ἴσων ἀπολαύειν πρεσβείων τοῦ τῆς πρεσβυτέρας Ῥώμης θρόνου, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα· μεθ' ὃν ὁ τῆς Ἀλεξανδρείας μεγαλοπόλεως ἀριθμείσθω θρόνος· εἶτα ὁ τῆς τῶν Ἀντιοχέων· καὶ μετὰ τοῦτον, ὁ τῆς τῶν Ἱεροσολυμιτῶν πόλεως. Διὸ καὶ κατὰ τὴν τούτου περίληψιν, ἔκτοτε καὶ μέχρι τοῦ νῦν οἱ τῶν τοιούτων πέντε ἁγιωτάτων θρόνων μεγάλοι ἀρχιερεῖς οὕτω κατὰ πᾶσαν τὴν οἰκουμένην σεβάζονται. Τοῦ γὰρ πάπα τῆς παλαιᾶς Ῥώμης ἡ δικαία ἐκ τῶν Ἐκκλησιῶν ἐκκοπὴ, τὴν κανονικὴν εὐταξίαν οὐκ ἐλυμήνατο. Παρὰ τοῦτο δὲ, τοῦ δευτέρου ὁ πρῶτος οὐ κατεπαίρεται, οὐδὲ τοῦ τρίτου ὁ δεύτερος· ἀλλ' ὡς αἰσθήσεις πέντε μιᾶς κεφαλῆς ἀριθμούμεναι καὶ μὴ μεριζόμεναι, παρὰ τῷ χριστωνύμῳ λαῷ λογιζόμενοι, ἰσοτιμίαν ἐν ἅπασιν ἔχουσι, καὶ κάραι τῶν κατὰ πᾶσαν τὴν οἰκουμένην ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ δικαίως καλούμενοι, διαφορὰν ἀνθρωπίνην οὐ πάσχουσιν· οὐδὲ κατὰ σμικρολόγους, ὁ πάπας Ῥώμης ὑβριοπαθεῖ, ὅτι αὐτὸς μὲν διὰ τοῦ Ρ στοιχείου τρίτος τῇ θέσει τῶν γραμμάτων κατεστοιχείωται, ὁ δὲ Κωνσταντινουπόλεως διὰ τοῦ Κ τιμᾶται καὶ πρωτερεύεται. Οὐδὲ σκανδάλου πάροδος γέγονε μέσον τοῦ Ἀλεξανδρείας καὶ τοῦ Ἀντιοχείας, χάριν τοῦ Ἄλφα στοιχείου, ὡς ἑκάστου αὐτῶν ἰδιουμένου τὸν πρότερον· ἀλλ' ὥσπερ ἡ πεντὰς τῶν αἰσθήσεων στοιχεῖ τῇ διαπλάσει τοῦ ἀρχιτέκτονος καὶ πλάστου Θεοῦ, καὶ οὐ κατατρέχει τυχὸν ἡ ὅρασις τῆς ὀσφρήσεως, οὐδὲ ἡ ἀκοὴ τῆς ἁφῆς καὶ τῆς γεύσεως, ὅτι παρ' ἡμῖν οὕτω πως ὀνομάζονται· οὕτως οὐδέ τις τῶν ἁγιωτάτων πατριαρχῶν ἐκ τῶν θείων κανόνων τόπον κληρωσάμενος πρότερον, τοῦ δευτέρου καὶ τοῦ μετ' αὐτὸν ὡς ὑπερφέρων ἀλαζονεύεται.

Ἐπεὶ δέ τινες λέγουσιν, ὡς οὐκ ἐφεῖται τῷ Ἀλεξανδρείας ἢ τῷ Ἀντιοχείας τυχὸν, μετὰ λαμπάδος πατριαρχικῆς τὰς ὁδοιπορίας ποιεῖν εἰς τὴν τῶν βασιλευουσαν, ἢ εἰς ἑτέραν διοίκησιν, παρὰ τὰς ἀπονεμηθείσας ἀπὸ τῶν κανόνων αὐτοῖς. Ἡ γὰρ

VARIÆ LECTIONES.

(57) Quæ prima est in vocabulo *Romæ*.

λαμπὰς τοῦ διδασκαλικοῦ, φασὶν, ἐστὶν ἀξιώματος. Παρ' ἐνορίαν δὲ διδάσκειν οὐκ ἐφεῖται ἀρχιερεῖ, κατὰ τὸν κ' κανόνα τῆς ἐν τῷ Τρούλλῳ ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου. Καὶ εἰς ἐπισύστασιν δ' ἄρθεν τοῦ λόγου αὐτῶν, καὶ τοῖς εὐαγγελικοῖς ἀποχρῶνται ῥήμασι, καὶ λέγουσι· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων. Ἀκουσάτωσαν, ὡς οἱ βασιλεῖς καὶ οἱ πατριάρχαι μεγαλύνονται μὲν καὶ διδασκαλικοῖς ἀξιώμασι, διὰ τὴν τοῦ ἁγίου χρίσματος δύναμιν· ἐντεῦθεν γὰρ οἱ πιστοὶ δεσπόται καὶ αὐτοκράτορες κατηχητικῶς ὁμιλοῦσι τῷ χριστωνύμῳ λαῷ, ἢ θυμιῶσιν ὡς ἱερεῖς, καὶ μετὰ δικηρίου σφραγίζουσι. Κατὰ τοῦτο δὲ μόνον λαμπάσι ζωννυομέναι; ἀργυροῖς καὶ διαχρύσοις (οἷον εἰπεῖν) στεφανώμασιν οὐκ ἀποσεμνύνονται, ἀλλ' ὅτι καὶ κατὰ τὸν οὐράνιον γίγαντα τὸ κέντρον καταφωτίζουσι τῆς ὀρθοδοξίας τοῖς ἀμαρύγμασι καὶ ἡ ἔξοδος αὐτῶν ἀπ' ἄκρου λάμπει τοῦ οὐρανοῦ, καὶ τὸ κατάντημα αὐτῶν ἕως ἄκρου φθάνει τοῦ οὐρανοῦ· καὶ οὐκ ἔστιν ὃς τῆς θέρμης αὐτῶν ἀποκρύπτεται. Εἰ γὰρ μόνον διὰ τὸ τῆς διδασκαλίας ἀξίωμα τῶν τοιούτων λαμπάδων ἐπενοήθη τὸ σεμνολόγημα, ἡ κατὰ καιροὺς τέως αὐτοκρατόρισσα ἐκ τοῦ προνομίου τούτου δικαίως ἂν ἀφῆκεν ἀφώτιστος. Γυναῖκας γὰρ σιγᾷν καὶ μὴ διδάσκειν νενομοθέτηται. Ἀλλὰ μὴν καὶ ταύτας ὁρῶμεν οὕτω δοξαζομένας κατὰ τοὺς βασιλεῖς. Καὶ οἱ ἐγχώριοι δὲ πάντες ἀρχιερεῖς παρομοίως τὰς ἀρχιερατικὰς καὶ ἀλλοίας προόδους ἐπενόουν ἄν· καὶ εἶδεν ἄν τις τυχὸν τὸν τοῦ Ἀθύρα ἐπίσκοπον, καὶ τὸν πολλῷ τούτου μακροπρεπέστερον, πεζῇ μὲν καὶ βάδην τὰς προόδους τῆς οἰκείας ἐνορίας περιερχόμενον, λαμπάδι δὲ πατριαρχικῇ κυδαινόμενον, ὅτι καὶ αὐτοῖ διδασκαλικὸν ἀξίωμα περιβέβληνται. Οὗ τί ἂν τις φαίη καινοπρεπέστερον, ἢ μᾶλλον εἰπεῖν, ἀηδέστερον; Εἰ δὲ τοῦτο οὐδέποτέ τις εἶδε γινόμενον εἴς τινα τῶν μητροπολιτῶν ἢ τῶν ἀρχιεπισκόπων, πολλῷ δὲ πλέον τῶν ἐπισκόπων, ἄνευ μόνων τῶν αὐτοκεφάλων ἀρχιεπισκόπων, τοῦ Βουλγαρίας φημὶ, καὶ τοῦ Κύπρου, καί τινων ὀλίγων μητροπολιτῶν λαβόντων ἀπὸ φιλοτιμίας βασιλικῆς ἰδικῆς τοῦτο τὸ δίκαιον· ἄραγε, μόνοις τοῖς βασιλεῦσι καὶ τοῖς πατριάρχαις ὑπὸ τῆς τοῦ παναγίου Πνεύματος χάριτος, καὶ τῆς ἀρχαιοπαραδότου συνηθείας, καὶ εὐταξίας, ἐπιφιλοτιμηθῆναι τοῦτο τὸ δίκαιον διὰ τὰς ῥηθείσας αἰτίας.

sunt. Quippe fas, inquiunt, ad officium doctoris spectat. Extra provinciam vero docere, non permissum est pontifici; secundum canonem XX habitæ in Trullo sanctæ atque universalis sextæ synodi. Et ad confirmandam scilicet hanc rationem suam, evangelicis quoque verbis hisce utuntur: Luceat lux vestra coram hominibus. Audiant hi, tam ad amplitudinem imperatoriam, quam patriarchalem, officia docendi pertinere, propter unctionis sacræ vim atque potestatem. Hinc enim usuvenit, ut fideles principes et imperatores catechetico more cum populo Christiano colloquantur, aut suffitum faciant more sacerdotum, et cum cera duplici obsignent. Verum hæc sola de causa facibus, quæ argenteis et aureis (ut ita dixerim) corollis cinctæ sunt, non utuntur in pompis: sed etiam, quod instar cœlestis illius gigantis (58), hoc centrum orthodoxæ doctrinæ radiis collustrent: quodque luceat, eorum egressio ab extremo cœlo, et occursus ipsorum ad alteram cœli tendat extremitatem: cum interim nemo sit, qui ab eorum calore se possit abdere. Nam si duntaxat propter dignitatem officii docendi, facum ejusmodi speciosus ritus excogitatus esset: cujusque temporis imperatrix expers hujusce privilegii foret, ac facibus non ab re careret. Quippe sancitum est, ut taceant mulieres, ac minime doceant. Attamen his quoque videmus eodem cum imperatoribus ritu faces præferri. Regionum præterea pontifices universi, consimiliter tum pontificales, tum alias in publicum processiones instituerent: ac videret aliquis episcopum Athyrensem, verbi gratia, vel etiam longe quempiam hoc inferiorem, peditem illum quidem in provincia sua prodeuntem in publicum, et hac illac itantem; sed faculæ tamen patriarchalis honore tumentem, quando hi etiam episcopi officio docendi fruuntur. Quo sane quid dici possit insolentius? vel rectius ut loquar, quid injucundius? At si unquam quisquam hoc fieri vidit in aliquo vel metropolitano, vel archiepiscopo, tantum abest ut in episcopos cadat, exceptis quibusdam archiepiscopis, qui caput ipsi suorum sunt; Bulgariæ, inquam, et Cypri, et paucis quibusdam metropolitanis; qui ex imperatoria speciali munificentia jus hoc obtinuerunt: sequitur, solis imperatoribus et patriarchis per gratiam Spiritus sancti, et acceptam antiquitus consuetudinem atque ordinem, jus hoc propter indicatas causas esse concessum.

Ὅτι δὲ τῶν μὲν αὐτοκρατόρων ἡ ἀρωγὴ πρὸς φωτισμὸν καὶ σύστασιν ἐπεκτείνεται ψυχῆς τε καὶ σώματος, τὸ δὲ μεγαλεῖον τῶν πατριαρχῶν εἰς μόνην ψυχικὴν ἐστενοχώρηται λυσιτέλειαν (ὀλίγη γὰρ τούτοις ἐστὶ φροντὶς εὐπαθείας σωματικῆς), ὡσαύτως καὶ ἡ περὶ τοὺς ὑπηκόους τῆς βασιλίσσης κηδεμονία καὶ μέριμνα πρὸς μόνην σωματικὴν εὐζωΐαν ἐξήπλωται (πάσης γὰρ ψυχικῆς βοηθείας αἱ γυναῖκες ἐστέρηνται), αἱ λαμπάδες μὲν τῶν βασιλέων διττοῖς

Quia vero imperatorum auxilium ad illuminationem et stabilimentum sese tam animi, quam corporis porrigit; amplitudine patriarcharum ad animi duntaxat utilitatem constricta (perexiguam quippe curam gerunt hi de rebus ad corporum commoda spectantibus), et consimiliter imperatricis cura et sollicitudo de subditis, duntaxat ad vitæ corporalis prosperitatem extenditur (nullum enim animarum a mulierculis exspectandum auxi-

NOTÆ.

(58) Solis videlicet.

lium) : ideirco faces imperatorum geminis aureis cinguntur coronis, cum quæ patriarcharum et imperatricis sunt, uno quasi sepimento circumdentur. Sed dicet quispiam : Sit ita, sane. Concessum esto, lucernas patriarchales accendi per ignem tot traditionum, veri speciem habentium. Sed unde profectum est, quod eisdem ex argento vis quædam accedat? Sufficiebat, duntaxat ecclesiarum capitibus per lampadas majestatis aliquid accedere, atque interim eos, qui vagantur in exilio, et pauperes sunt, eam ob causam non vexari. Respondemus, piissimos imperatores, et sanctissimorum patriarcharum quinarium, esse similes agricolis, consistentibus in area frumenti largitrice, ac ventilabro unctionis vitiositatem ceu paleas exterminare, et virtutem ceu grana colligere : vel similes esse normis recta circuli superficiem librantibus et centrum per justitiæ radios collustrantibus : vel maritimi navigii malis ac velis, dum imperatoriis consiliis, et præceptis spiritualibus cymbam mundi hujus incolumem servant. Quo fit, ut cum exiguis magna comparantes religiosissimi imperatores, atque inter sanctos Patres, eximii quique necessario statuerint, ista ratione comitandos esse magnos pontifices, parique modo tam opulentum, quam pauperem habendum : ut rectæ quidem doctrinæ sectatores, dum magnam illam et augustam pompam solis imperatoribus et patriarchis exhiberi vident, convenientem gratiarum actionem instar grati suffitus, offerant Domino, qui intra centrum mundanæ pulchritudinis defensores ejus glorificat ; atque flexo genu petant a Domino, quo tropæis imperatoriis universa sub sole tellus collustretur, et patriarchicis precibus terrenæ res irradientur : at vero diversæ sententiæ sectatores, qui potentia sua nituntur, et suis se jactant opibus (simulacra namque gentium sunt aurum et argentum) ad id, quod cernitur, cæcutiant : et exousorum opera vana atque inutilia existiment, mundanæque opinionis munera. Et hæc quidem de lampadibus patriarchicis. Quoniam vero baculus, et saccus, et cruces plurimæ, plenaque tunica figuris gamma litteram repræsentantibus, patriarchalem sanctitatem solam nobilitant, ac nonnulli volunt, quosdam ex patriarchis nonnunquam aliquibus horum non exornari : age, de his etiam breviter disseramus. Inclina aurem tuam, sanctissime, et me audi. Non enim in parabolis aperiam os meum, sed quæstiones ab origine proferam, quas divorum Patrum gratia me docuit.

Sanctissimos quinque patriarchas (adhuc enim ut hedera quercui, sic ipse concordiæ papæ Romani quasi mordicus inhæreo, et ob separationem illius animo lacerer, atque quotidie conversionem ipsius egregiam exspecto) pro solo capite corporis omnium Ecclesiarum Dei agnoscimus, quemadmodiαχρύσοις περιζωννύονται στεφανώμασι· τῶν δὲ πατριαρχῶν καὶ τῆς βασιλίσσης ἑνὶ κατακυκλοῦνται θριγγώματι. Ἀλλ' ἐρεῖ τις· Ἔστω· δεδόσθω, τὰς πατριαρχικὰς λαμπάδας ἀνάπτεσθαι πυρὶ τοσούτων εὐλογοφανῶν παραδόσεων. Τὸ ταύτας ἐξ ἀργύρου περιζωννύεσθαι δύναμιν, πόθεν περιεζώσατο δύναμιν; Ἥρκει διὰ μόνων τῶν λαμπάδων τὰς κεφαλὰς τῶν ἐκκλησιῶν μεγαλύνεσθαι, καὶ τέως τοὺς ὑπερορίους πλανωμένους καὶ πενητεύοντας, χάριν τούτου μὴ σκύλλεσθαι. Φαμὲν οὖν, ὡς οἱ εὐσεβέστατοι βασιλεῖς, καὶ τῶν ἁγιωτάτων πατριαρχῶν ἡ πενιὰ, ἐοίκασι γεωργοῖς μέσον ἑστηκόσι σιτοβόλιδος ἅλωνος, καὶ τῷ πτύῳ τοῦ χρίσματος τὴν κακίαν ὡς ἄχυρον ἐκφαυλίζουσι, καὶ τὴν ἀρετὴν ὡς κόκκον συνάγουσιν· ἢ διαβήταις ζυγοστατοῦσιν ἰθυτενῶς τοῦ κύκλου τὴν ἐπιφάνειαν, καὶ τὸ κέντρον καταπορεύουσι τῆς δικαιοσύνης τοῖς ἀμαρύγμασιν· ἢ νηὸς ποντοπορούσης ἱστοῖς καὶ πετάσμασιν, ἐν προμηθείαις βασιλικαῖς, καὶ παραγγελίαις πνευματικαῖς τὸ κοσμικὸν ἀκάτιον σώζουσι. Τῷ τοι καὶ μικρὰ τὰ μεγάλα σταθμώμενοι τῶν βασιλέων οἱ εὐσεβέστατοι, καὶ τῶν ἁγίων Πατέρων οἱ προὔχοντες, διωρίσαντο ἐξ ἀνάγκης οὕτω δορυφορεῖσθαι τοὺς μεγάλους ἀρχιερεῖς, καὶ εἶναι ἐπιτοαυτὸ πλούσιόν τε καὶ πένητα· ὡς ἂν οἱ μὲν ὀρθόδοξοι βλέποντες τὸ μέγα τοῦτο καὶ σεβάσμιον σεμνολόγημα παρὰ βασιλεῦσι καὶ πατριάρχαις μόνοις πολιτευόμενον, εὐχαριστίαν ἀνάλογον ὡς θυμίαμα δεκτὸν τῷ Κυρίῳ προσφέρωσι, τῷ μέσον τοῦ κέντρου τῆς κοσμικῆς ὡραιότητος τοὺς δεφένσορας τούτου δοξάζοντι· καὶ γονυκλιτῶσι πρὸς Κύριον, τροπαίοις βασιλικοῖς τὴν ὀφθαλμῶν καταλάμπεσθαι, καὶ εὐχαῖς πατριαρχικαῖς ἀκτινοβολεῖσθαι τὰ ἐπιχθόνια· οἱ δὲ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν ἑτερόδοξοι, καὶ καυχώμενοι ἐπὶ τῷ πλούτῳ αὐτῶν (τὰ γὰρ εἴδωλα τῶν ἐθνῶν χρυσίον εἰσὶ καὶ ἄργύριον), πρὸς τὸ ὁρώμενον ἀβλεπτήσωσι, καὶ νομίσωσιν ἔργα χαλκοτύπων εἶναι μάταια καὶ ἀνόνητα, καὶ κοσμικοῦ δοξαρίου χαρίσματα. Καὶ ταῦτα μὲν περὶ τῶν πατριαρχικῶν λαμπάδων. Ἐπεὶ δὲ καὶ ῥάβδος, καὶ σάκκος, καὶ πολυσταύριον, καὶ διὰ γραμμάτων [76] στεχάριον, τὴν πατριαρχικὴν καὶ μόνην δοξάζουσιν ἁγιότητα, θέλουσι δέ τινές τισιν ἐξ αὐτῶν τινας τῶν πατριαρχῶν ἐνίοτε μὴ κατοικίλλεσθαι, φέρε καὶ περὶ τούτων βραχέα φιλοσοφήσωμεν. Κλῖνον τὸ οὖς σου, πανιερώτατε, καὶ ἄκουσόν μου. Οὐ γὰρ ἐν παραβολαῖς ἀνοίξω τὸ στόμα μου, ἀλλὰ φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς, ὅσα μὴ θείων Πατέρων χάρις ἐδίδαξε.

Τοὺς ἁγιωτάτους πατριάρχας πέντε (καὶ ἔτι γὰρ ὡς κισσὸς δρυὸς, τῆς ὁμονοίας τοῦ πάπα Ῥώμης ἐξέχομαι, καὶ τῷ χωρισμῷ τούτου τὴν καρδίαν σπαράττομαι, καὶ τὴν καλὴν ἐπιστροφὴν καθεκάστην καραδοκῶ) μίαν οἴδαμεν κεφαλὴν τοῦ σώματος πασῶν τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ, καθὼς καὶ ἄνωθεν

VARIÆ LECTIONES.

[76] γαμμάτων.

εἴρηται· καὶ πιστεύοντες τελειωθῆναι τούτους τῆς ἁγιωσύνης τῷ χρίσματι, Χριστοὺς Κυρίου, καὶ ἁγιωτάτους κατονομάζομεν, καὶ στηλογραφοῦντες μετὰ τῶν ἁγίων καὶ θεοφόρων Πατέρων ἡμῶν, καὶ σχετικῶς ἀσπαζόμενοι, πληροφορούμεθα διὰ τούτων ἡμῖν τὰς θύρας τῆς βασιλείας τῶν οὐρανῶν ἀποκλείεσθαι καὶ ἀνοίγεσθαι, καὶ διὰ τῶν χειλέων αὐτῶν τὸν Θεὸν ἀποστοματίζειν τὰ μέλλοντα. Οὐ γὰρ σὰρξ καὶ αἷμα, ἀλλ' ὁ οὐράνιος Πατὴρ καὶ Θεὸς ἡμῶν, ὁ εἰπών· Ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ οἱ δοῦλοί μου προφητεύσουσιν, ἀποκαλύπτει τούτοις τὰ ὄντα καὶ τὰ ἐσόμενα. Οὕτω γὰρ καὶ Σαοὺλ ἐν προφήταις, καὶ Καϊάφας ἄκων προεφητεύσατο, εἰπών· Συμφέρει ἕνα ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ καὶ ὑπὲρ τοῦ ἔθνους παντός. Ὁ μὲν γὰρ τῷ χρίσματι τῆς βασιλείας ὑπεθερμαίνετο, ὁ δὲ τῆς ἀρχιερωσύνης τῇ χάριτι. Ἦν γάρ, φησὶν, ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. Διὸ καὶ ὡς τόπον ἐπέχοντες τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, δικαίως ἀποσεμνύνουσι τὰ ἑκούσια πάθη αὐτοῦ, καὶ τὰ διὰ τὴν σωτηρίαν ἡμῶν ἐπενεχθέντα τούτῳ παρὰ τῶν ἀχαρίστων Ἰουδαίων ἐφύβριστα πρὸ τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως. Ποῖα δὲ ταῦτά εἰσιν, ἀκουσάτω ἡ ἱερότης σου. Κἂν γὰρ κόπος ἐνώπιόν μού ἐστιν ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ τὰ ἐν αὐτῷ καὶ περὶ αὐτὸ, ἀλλ' ἡ χάρις τοῦ παναγίου Πνεύματος ἡ ἐν πατριάρχαις προτυπωθεῖσα, ἐν προφήταις προκηρυχθεῖσα, ἐν ἀποστόλοις θεμελιωθεῖσα, ἐν μάρτυσι τελειωθεῖσα, καὶ ἐν ἱεράρχαις κατακοσμηθεῖσα, δώσει λόγον ἐν ἀνοίξει τοῦ στόματός μου.

A dum et supra dictum fuit: et quia credimus eos per unctionem sanctitatis perfici, unctos Domini, et sanctissimos appellamus, ac referentes eos in numerum sanctorum et divinitus affiliatorum Patrum nostrorum, et amanter ipsos amplectantes, certi sumus, fores regni cœlestis per eos nobis tum occludi, tum aperiri, et per ipsorum labra Deum velut ore proprio futura proferre. Non enim caro et sanguis, sed cœlestis ille Pater ac Deus noster (qui dixit: In diebus illis effundam de Spiritu meo, et servi mei vaticinabuntur), revelat eis tam præsentia, quam futura. Sic enim et Saul inter prophetas, et Caiaphas invitus oraculum hoc protulit: Expedit unum perire pro populo et pro hac universa natione. Nam ille per unctionem B regiam incalescebat, hic per gratiam pontificatus. Erat enim, inquit, ejus anni pontifex maximus. Propterea nostri patriarchæ, tanquam obtinentes locum Christi Deique nostri, non abs re voluntarios ipsius cruciatus, et probra salutis nostræ causa ei ante crucem et resurrectionem ab ingratis Judæis illata, cum gravitate repræsentant. Quæ autem illa sint, audiat tua sanctitas. Nam tametsi videam me laborem subiturum, donec ingrediar in sanctuarium Dei, quæque in eo sunt, et circa ipsum, intelligam: nihilominus sancti Spiritus gratia in patriarchis præfigurata, in prophetis ante denuntiata, in apostolis fundata, in martyribus absoluta, in hierarchis decorata, subministrabit orationem C in apertione oris mei.

Τὰ τῶν πατριαρχῶν τῶν ἁγίων ἐπιμάνικα, τὰς χειροπέδας τοῦ Κυρίου δοξάζουσιν, ἃς ἑκὼν ὑπέστη διὰ τὴν σωτηρίαν ἡμῶν, κατὰ μαστιγίαν πρὸς Καϊάφαν ἀγόμενος. Τὰ ἐπιτραχήλια, τὸ φραγέλλιον τὸ ἑλκύσαν τὴν ζωὴν πρὸς τὸν θάνατον. Τὰ μετὰ ποταμίων στιχάρια, τοὺς κρουνοὺς τοῦ αἵματος καὶ τοῦ ὕδατος, τοὺς ἐκ τῆς θείας πλευρᾶς ἀποστάξαντας. Τῶν γονατίων τὰ ἐπιβλήματα, τοῦ λεντίου τὸ ἐγχειρίδιον, δι' οὗ τοὺς πόδας ὁ Κύριος τῶν ἀποστόλων ἀπέσμηξεν. Οἱ σάκκοι, τὴν χλαῖναν τῆς ὕβρεως. Τὰ ὠμοφόρια, τὴν ἐκ τοῦ ᾅδου πρὸς οὐρανὸν τοῦ πρωτοπλάστου μετάβασιν. Τὰ διὰ πολυσταυρίων φαινόλια, τοῦ τιμίου σταυροῦ τὴν παγκόσμιον δόξαν καὶ δύναμιν. Τὰ ἐν τούτοις τριγώνια, τὸν ἀκρογωνιαῖον λίθον, D Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν τὰ διεστῶτα συνάψαντα. Καὶ αἱ ῥάβδοι τὸν κάλαμον, τὸν τὴν σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων καλλιγραφήσαντα. Καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. Ἀπὸ γοῦν τῶν οὕτω δεδοξασμένων ἀγακλεῶς, καὶ εἰς τύπον καταστάντων τοῦ ἀληθινοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ποῖός τις τολμητίας καὶ θρασυκάρδιος ἀφέληταί τι δίκαιον ἱερατικὸν ὁπωσδήποτε; Πάντως οὐδείς. Ἀκούσει γὰρ ἐκ τοῦ θεοπάτορος· Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας τὸν Χριστόν σου, καὶ τὸ ἁγίασμα αὐτοῦ ἐβεβήλωσας. Ὥσπερ τοίνυν οὐκ ἔξεστι τῶν ἁπάντων τινὶ λέγειν περὶ τοῦ ἑνὸς Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ἄλλως μὲν ἐν τῇδε τῇ οἰκουμένῃ τῷ κλίματι παρουσιάζειν καὶ μεγαλύνεσθαι, ἄλλως δ' ἐν ἐκείνῳ δοξάζεσθαι, ἵνα

Sanctorum patriarcharum epimanica, Domini manicas celebrant, quas volens sustinuit ob salutem nostram, cum instar verberonis ad Caiapham duceretur. Collaria, lorum illud, quod vitam ad mortem traxit. Tunicæ fluvios habentes, sanguinis et aquæ rivos, qui ex divino latere destillarunt. Genuum amictus, ejus lintei documentum, quo pedes apostolorum Dominus extersit. Sacci, pallium illud contumeliæ atque opprobrii. Humeralia, primitivi transitum ab inferis ad cœlum. Multis insignitæ crucibus penulæ, venerandæ crucis universalem gloriam atque potestatem. Quæ sunt in his triangula, lapidem illum angularem Christum Deum nostrum, qui disjuncta conjunxit. Baculi, arundinem illam, quæ salutem generis humani egregie depinxit. Testis in cœlo fidelis. Patriarchis ergo tam præclare nobilitatis, et in simulacrum veri Christi ac Dei nostri constitutis, quis adeo temerarius et audax fuerit, ut jus aliquod sacerdotale quocunque modo adimat? omnino nullus. Audiet enim a Christi patre Davide: Tu autem repulisti et annihilasti unctum tuum, et sanctificationem ejus profanasti. Quemadmodum ergo nemini dicere licet de uno Christo Deoque nostro, quod aliter in hoc orbis tractu sit præsens et magnificetur, aliter in illo glorificetur; ne vesaniæ extremæ rerum se faciat, et ad impietatem exorbitet: sic etiam nemo patriarchalem sacrum

amplitudinem dividi debere dixerit, uti vel majora vel minora habeat privilegia. Quapropter etiam statutum est, ut in quavis ecclesia Dei, sive ad Euphratem, sive ad Tigrim, sive ad ipsum pertingat Oceanum, conjunctim eorum nomina referantur. Acceperunt enim, uti scriptum legimus, regiones gentium; et eorum throni sunt instar lunæ perfectæ, ac solis instar coram me sunt.

Sed dicet aliquis: Cum divini et sacri canones velut stipendio quodam patriarchis quatuor orbis partes distribuerint, qui fit, ut ipse semel statuta transgrediens, velis eas instar unius haberi provincias, quæque divisa recte sunt, male confundere? Ad hanc objectionem respondemus, posse pariter et hæc vim suam obtinere, quemadmodum a sanctis Patribus sancita sint, et tamen identitatem unionis non confundi. Opifex ille hujus universi Deus, qui hominem suam ad imaginem finxit, et regem terrestrium constituit, qui cœlitus regeretur, prædicatur ille quidem cum propter reliquam figmenti hujus eximiam compagem; tum quod ex immortali partim, partim mortali mistura, vas illud apte fluxerit: quod sane cum loco circumscribatur, ratione crassitiei carnalis, mente tamen ea spectat, quæ vel apud Gades exsistunt. Neque minus ei majestatis ex eo tribuitur, quod hominum vitam per quinque sensus regi voluerit, quorum quilibet vim sibi peculiarem vindicaret, cum interim societatem mutuam non abnegent. Licet enim aspectus, verbi gratia, munus sibi divinitus injunctum etiam pro sua parte duntaxat obeat, ceu debitum quoddam persolvens, in quo minime cognatis a sensibus impeditur, nequaquam tamen ab horum societate avellitur, sed vult eos dignitatis suæ participes esse, mutuasque conferre operas instar fidarum ancillarum, ad curandum id corpus, cui sensus hi dati sunt. Præterea meretur admirationem, quod quemlibet horum geminaverit; ut tametsi perire contigerit unum, tamen reliquus illius etiam vicem impleat, nec adversus eum insolescant sensus adhuc integri, sed potius ei condoleant, ne ludibrio paterfamilias ipsorum habeatur. Quippe si contigerit alterutram aurem inutilem reddi, non amplius homo, creatum longe pulcherrimum, perfectus et incolumis, et qualem Deus condidit, esse dicitur; sed instar abortus habetur, cum a reliquis quatuor sensibus, licet incolumes sint, auxilii nihil habeat. Quemadmodum ergo quolibet sensu munus suum implente, cæterorum usum non inficiamur, nec damnamus eos tanquam fœdos et inutiles, propterea quod gemina ratione non sint efficaces, quemadmodum erant conditi, sed potius eis favemus (quippe si unus ex eis, uti dictum est, in universum defecerit; totum corpus inutile redditur, et ab hominibus haud aliter habetur atque si non exsisteret), sic etiam quinarius patriarcharum recte atque ordine sese geret. Nam quilibet horum administrationem sibi

μὴ παραπληξίας; ἐσχάτης κατακριθῇ, καὶ πρὸς δυσσέβειαν μετακυλισθῇ, οὕτως οὐδὲ τὴν πατριαρχικὴν θείαν μεγαλειότητα διαιρετέαν εἶπόι τις εἶναι, καὶ πρὸς μείζονα καὶ ἐλάττονα προνόμια μεταπίπτουσαν. Τῷ τοι καὶ δέδοκται κατὰ πᾶσαν ἐκκλησίαν, περὶ τὸν Εὐφράτην, καὶ Τίγρητα, καὶ αὐτὸν διήκουσαν τὸν ὠκεανὸν, ἁλαδὸν αὐτοὺς ἀναφέρεσθαι. Ἅλαδον γὰρ, φησὶ, χώρας ἐθνῶν, καὶ οἱ θρόνοι αὐτῶν ὡσεὶ κατρτισμένη σελήνη, καὶ ὡς ἥλιός εἰσιν ἐναντίον μου.

Ἀλλ' ἐρεῖ τις· Καὶ πῶς τῶν θείων καὶ ἱερῶν κανόνων ὡς ἐν σχοινίῳ κληροδοσίας ἐπιμερισάντων τοῖς πατριάρχαις τῆς οἰκουμένης τὴν τετραμέρειαν, αὐτὸς ὑπερβαίνων τὰ δόξαντα θέλεις ὡς μίαν ἐνορίαν ταύτας λογίζεσθαι, καὶ συγχέειν κακῶς τὰ διαιρεθέντα καλῶς; Φαμὲν οὖν πρὸς τὴν τοιαύτην ἀντίθεσιν, ὡς ἔστι καὶ ταῦτα κρατεῖν καθὼς ὑπὸ τῶν ἁγίων Πατέρων τεθέσπισται, καὶ τὴν ταυτότητα τῆς ἑνώσεως μὴ συγχέεσθαι. Ὁ Δημιουργὸς τῶν ὅλων θεὸς κατ' οἰκείαν εἰκόνα πλαστουργήσας τὸν ἄνθρωπον, καὶ βασιλέα καταστήσας τῶν ἐπὶ γῆς βασιλευόμενον ἄνωθεν, ὑμνεῖται μὲν καὶ χάριν τῆς ἄλλης ὑπερφυοῦς ἁρμονίας τοῦ πλάσματος, καὶ πῶς ἐξ ἀθανάτου χράματος καὶ θνητοῦ τὸ ἐφόλκιον διωργάνωσε, καὶ τόπῳ περιγραφόμενον τῷ λόγῳ τῆς σαρκώδους πυχότητος, νοερῶς τὰ παρὰ Γαδείροις περιεργάζεται. Οὐχ ἧττον δὲ μεγαλύνεται, ὅτι τὴν ζωὴν τῶν ἀνθρώπων εὐδόκησε διὰ πέντε αἰσθήσεων διεξάγεσθαι, σφετεριζομένων τὴν ἰδικότητα, καὶ μὴ ἀπαρνουμένων τὴν ἀνακοίνωσιν. Κἂν γὰρ ἡ ὄψις τυχὸν ἐνεργῇ καὶ μονομερῶς τὸ ἀποκληρωθὲν ταύτῃ λειτούργημα παρὰ Θεοῦ, καθά τι δίκαιον ὀφλημα, μὴ ἐμποδιζομένη παρὰ τῶν συντρόφων αἰσθήσεων, ἀλλὰ τῆς κοινωνίας αὐτῶν οὐ χωρίζεται· θέλει δὲ ταύτας μετέχειν τῶν ἀξιωμάτων αὐτῆς, καὶ συναρήγειν εἰς τὸ αὐτὸ κατὰ δουλίδας πιστὰς, πρὸς θεραπείαν τοῦ ταύτας πλουτήσαντος σώματος. Ἔτι θαυμάζεται, πῶς ἑκάστην τούτων ἐδιπλασίασεν, ἵνα κἂν συμβῇ περιαιρεθῆναι τὴν μίαν, ἡ περιλειφθεῖσα κἀκείνης τὸν τόπον ἀναπληρώσειε, καὶ μὴ καταλαζονεύωνται ταύτης αἱ ἀρτιόσωμοι, συμπονῶσι δὲ μᾶλλον αὐτῇ, ὡς ἂν μὴ ὁ οἰκοδεσπότης αὐτῶν θριαμβεύηται. Ὡς εἴπερ τύχοι καὶ τὴν θατέραν ἀχρειωθῆναι τῶν ἀκοῶν, οὐκέτι τὸ κάλλιστον χρῆμα ὁ ἄνθρωπος, ἐντελὴς καὶ σῶος, καὶ οἷον αὐτὸν ὁ Θεὸς εἰργάσατο, λέγεται· ἀλλ' ὡς ἔκτρωμά τι λογίζεται, ὑπὸ τῶν λοιπῶν τεττάρων αἰσθήσεων, ὑγιαινουσῶν καὶ ταῦτα, μὴ βοηθούμενος. Ὡς γοῦν ἑκάστης τῶν αἰσθήσεων πληρούσης τὴν οἰκείαν ἐνέργειαν, τῶν λοιπῶν τὸ χρήσιμον οὐκ ἀπαναινόμεθα, οὐδὲ καταψηφιζόμεθα τούτων ἀσχημοσύνην καὶ ἀχρειότητα, διὰ τὸ μὴ διπλοειδῶς ἐνεργεῖν, καθὼς πεπλαστούργηνται, μᾶλλον μὲν οὖν καὶ συνάγομεν (μιᾶς γὰρ ἐξ αὐτῶν σχολασάσης τελείως, ὡς εἴρηται, ὅλον τὸ σῶμα ἠχρείωται, καὶ ὡς μηδὲν ὂν τοῖς ἀνθρώποις λογίζεται)· οὕτω καὶ τῶν πατριαρχῶν ἡ πεντὰς, δικαίως καὶ ἀσφαλῶς οἰκονομηθήσεται. Ἕκαστος γὰρ τούτων, τὴν μὲν ἀπονεμηθεῖσαν αὐτῷ διοίκησιν ἐνεργήσει μονοειδῶς, ἵνα μὴ συγχέωνται τῶν ἁγίων Ἐκκλησιῶν τὰ προνόμια· τῶν δὲ τιμῆς τοῦ Θεοῦ καὶ τῶν ἀνέκαθεν δεδομένων δικαίων τῇ

πατριαρχικῇ θείᾳ μεγαλειότητι, οὐδεὶς ἀποξενωθήσεται. Εἰ γὰρ τοιοῦτόν τι γένηται, καὶ τὸν Ἀλεξανδρείας τυχὸν εὑρισκόμενον εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, τῶν πατριαρχικῶν προνομίων ἀποξενώσει τις, ὅτι κατὰ τὴν οἰκείαν ἐνορίαν οὐ πάρεστιν, ἀχρειώσει τὴν κεφαλὴν ὡς κωφεύουσαν, ἢ ἀβλεπτοῦσαν, καὶ ὑπὸ τεττάρων, ἢ καὶ τριῶν διεξαγομένην αἰσθήσεων. Διὰ ταύτην τὴν αἰτίαν, ὡς ἔοικε, προτετύπωται προβάλλεσθαι κατὰ τὸ ἀπαραίτητον καὶ τοὺς μὴ ἔχοντας πατριάρχας τοὺς ἀποκληρωθέντας αὐτοῖς ἁγίους θρόνους, διὰ τὴν ἐπιδρομὴν τῶν ἐθνῶν, τὸν Ἀντιοχείας καὶ τὸν Ἱεροσολύμων φημί.

A tributam obibit pro parte sua, ne sanctarum ecclesiarum privilegia confundantur: nec tamen honore concesso divinitus, datisve antiquitus patriarchali sacræ amplitudini juribus, quispiam spoliabitur. Quippe si tale quid usuvenerit, et Alexandrinum (verbi causa) in urbe imperatrice commorantem, privilegiis patriarchalibus propterea quispiam spoliaverit, quod non degat in provincia sua; caput ipsum inutile reddet, tanquam surdum, vel cæcum, et quatuor, aut tribus duntaxat sensibus præditum. Ob hanc ipsam causam, ceu credi par est, jamdudum sanctum est, ut haud dubie per electionem instituantur etiam ii patriarchæ, qui cæteroqui sacros sibi destinatos thronos, ob paganorum hostiles incursus, haud possident: Antiochenús, inquam, et Hierosolymitanus.

Κἂν γὰρ ἐξώσθησαν τῆς δόξης τῶν θρόνων αὐτῶν, ἀλλ' ἡ πνευματικὴ χάρις, κατὰ τὸν Δαβίδ, οὐ παλαιωθήσεται. Ἥξει δὲ μᾶλλον ὁ Θεὸς ἡμῶν ἐμφανῶς, καὶ οὐ παρασιωπήσεται· ὡς συναγάγῃ αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ. Φιλοφρονητέον τοίνυν τοὺς ἀποξενωθέντας πατριάρχας ἐκ τῶν ἁγιωτάτων ἐκκλησιῶν αὐτῶν, καὶ ὑπερορίους καθημένους εἰς ἑτέρου πατριάρχου διοίκησιν, καὶ μὴ ἀτιμαστέον. Κεκανόνισται γὰρ παρακαλεῖσθαι τούτους, καὶ πάσης ἐπιμελείας καὶ ὑποδοχῆς ἀξιοῦσθαι, οὐ μὴν ὑβρίζεσθαι διὰ τὴν τῶν πραγμάτων ἀνωμαλίαν, θρήνων ἄξιαν οὖσαν, καὶ μὴ ἀλαζονείας γεννήτριαν. Εἶτα τῶν θείων καὶ ἁγίων Γραφῶν καὶ τῶν Πατρικῶν παραδόσεων κατονομαζουσῶν Πάπαν τὸν ἐπίσκοπον Ῥώμης, ὡσαύτως καὶ τὸν Ἀλεξανδρείας· ἀλλὰ μὴν καὶ τὸν Κωνσταντινουπόλεως, καὶ τὸν Ἱεροσολύμων, ἀρχιεπισκόπους· μόνον δὲ τὸν Ἀντιοχείας, πατριάρχην. Πῶς τῶν Ἀντιοχέων ἡ ἐκκλησία οὐχ ὑβριοπαθεῖ, μανθάνουσα καὶ τοὺς λοιποὺς, πατριάρχας ἀνακηρύττεσθαι; πάντως διὰ τὴν ταυτότητα τῆς τιμῆς, καὶ διὰ τὸ ἐπέχειν τοὺς πέντε πατριάρχας τόπον τῆς μιᾶς κεφαλῆς τοῦ σώματος, δηλαδὴ τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ.

B Quavis enim gloria thronorum suorum per vim exciderunt, tamen spiritualis gratia, secundum Davidem, non exolescet. Imo potius veniet Deus noster manifesto, nec silebitur; ut colligat sibi sanctos suos, qui testamentum ipsius disponunt. Itaque complectendi sunt amanter ii patriarchæ, qui sanctissimis Ecclesiis suis spoliati sunt, et exsules in alterius patriarchæ diœcesi degunt, minimeque contumeliis afficiendi. Quippe sancitum canonibus est, ut eos consolemur, et omni cura susceptioneque dignemur; non injuriis afficiamus ob rerum humanarum inconstantiam, quæ lacrymis potius est digna, quam ut insolentiam gignere debeat. Cæterum cum sacræ Litteræ, Patrumque traditiones, episcopum Romanum appellent papam; itidemque Alexandrinum, et ipsum quoque Constantinopolitanum, ac Hierosolymitanum, archiepiscopos; solum vero Antiochenum patriarcham: qui fieri potest, ut Antiochena ecclesia non patiatur injuriam, quæ intelligat, reliquos etiam publice dici patriarchas? Omnino fit hoc propter identitatem honoris, et quod hi quinque patriarchæ vicem unius capitis universi corporis obtineant, sanctarum videlicet Ecclesiarum Dei.

C

Ἐπεὶ δέ τινες λέγουσι μηδὲν εἶναι τὸ ἐμποδὼν, καὶ τοὺς ἑκασταχῆ ἀρχιερατεύοντας οὕτω τιμᾶσθαι καὶ μεγαλύνεσθαι. Καὶ οὗτοι γαρ διδασκαλικοῦ ἀξιώματος κατηξίωνται, καὶ κατὰ Μωσέα καὶ Ἀαρὼν εἰς τὰ ἅγια τῶν ἁγίων ἑστήκασι, καὶ τὴν ἀναίμακτον θυσίαν προσφέρουσι. Φαμὲν, ὡς ἀπὸ τῶν θείων καὶ ἱερῶν κανόνων μόνοις τοῖς πατριάρχαις πεφιλοτίμηται τῆς οἰκουμένης τὰ κλίματα. Κἀντεῦθεν οὐδὲ ἔχει τις ἕτερος οἰκείῳ δικαίῳ ἐνορίαν, ἢ ἄλλο τι δίκαιον ἱερατικόν· ἀλλ' ἐκεῖνο καὶ μόνον τὸ μέρος τῆς διοικήσεως ἱερατικῶς ἐνεργεῖ, τὸ δοθὲν αὐτῷ παρὰ τῆς πατριαρχικῆς θείας μεγαλειότητος. Ὅθεν ὡς ἀποστελλόμενοι παρὰ πατριαρχῶν, καὶ ἀναπληροῦντες τὸν τόπον τῶν θείων καὶ ἁγίων ἀποστόλων, ἀποστολικῶν μὲν προνομίων ἠξίωνται (δεσμοῦσι γὰρ καὶ λύουσι κατ' αὐτοὺς καὶ χειροτονίας ποιοῦσι, καὶ τὴν ἀναίμακτον θυσίαν, προσάγουσι) πατριαρχικῶν δὲ δικαίων οὐ κατηξίωνται. Οὔτε γὰρ σάκκους, οὔτε πολυσταύρια ἐνδιδύσκονται· οὔτε μετὰ γραμμάτων καὶ τριγωνίων στιχάρια. Ταῦτα δὲ οὕτω γίνεται, ὅτι καὶ τῶν ἁγίων ἀποστόλων ἡ θεία ὁμήγυρις τὸ τοῦ

D Quia vero quidam perhibent, nihil esse impedimento, quominus ubivis constituti pontifices, eodem cum patriarchis honore amplitudineque fruantur, cum et ipsi docendi dignitatem nacti sint, et exemplo Mosis et Aaronis in sanctis sanctorum consistant, incruentamque victimam offerant: respondemus per divinos sacrosque canones, solis patriarchis esse concessos orbis terrarum tractus. Unde fit, ut alius quispiam suo jure provinciam non habeat, vel aliud quodpiam jus sacerdotale: sed in ea duntaxat parte diœcesis munere sacerdotali fungitur, quæ ipsi a sacra patriarchali amplitudine concessa est. Unde veluti qui mittantur a patriarchis, et vicem divinorum sanctorumque apostolorum impleant, apostolica quidem privilegia consecuti sunt (ligant enim et solvunt per se, ac ordinationes faciunt, et incruentam hostiam offerunt), at patriarchalia jura non obtinuerunt. Nec enim vel saccos, vel penulas multis insignitas crucibus induunt, nec tunicas frequenti littera gamma, triangulisque depictas. Hæc autem ita fiunt, quod

sanctorum apostolorum divinus cœtus martyrii stadium decurrens, manicis quidem ac loro subjectus fuerit, et discipulorum pedes absterserit linteo, atque Aaronis exemplo induerit humerale, tunicam talarem, Ephud, quibus illa prisca pellis Adamiæ massæ denotabatur : verum sanguis et aqua ex eorum latere non defluxit, quorum vicem gammatia (59) tunicarum implent. Nec contumeliæ pallium induerunt. Nec eorum quisquam lapis angularis vocatus fuit, sicut Dominus ille Deusque noster. Nec fidei talentum per quemlibet ipsorum in universum orbem terrarum dilatatum fuit, sed hic Romam, ille ad Indos vel Britannos, alius ad Gallos doctrinæ latices derivavit. Solus ille Christus ac Deus noster aderat ubique, atque universa gaudio implebat. Unde fit, ut sanctissimi patriarchæ, qui sanctarum Ecclesiarum capitis Dei vicem implent, saccos induant, tunicasque fluviis ac triangulis, penulas multis crucibus depictas ; ac pariter in omnibus Ecclesiis nominatim referantur. Idem baculo, perinde ac arundine Christus Deusque noster, spectabiles sese reddunt. Cæteri pontifices et antistites, perinde ac Aaron illa virga, quæ magni mysterii significandi causa floruit, vel instar magni illius apostoli Petri, qui ex ipso Deo audivit, Pasce oves meas. Et quoniam vero est simile, quempiam interrogare, quæ vocabuli papa significatio sit, quæ patriarchæ, quæ archiepiscopi ; et quamobrem horum quinque capitum facultas atque privilegia sint eadem, uti declaratum fuit, cum eorumdem nomina sint diversa : necessario putavimus horum quoque velut apicem tangendum.

Apud Latinos papa dicitur Pater. Et apud Judæos patriarcha dicitur princeps sive Pater patriarum. Similiter archiepiscopus, erit episcoporum Pater. Licet ergo papæ, patriarchæ, et archiepiscopi significata, linguæ ratione diversa sunt, nullo tamen modo potestate differunt. Quamobrem omnes etiam communi nomine patriarchæ dicuntur. Sanctus quidem ille Silvester, qui primus Romæ pontificatum obtinuit, et qui primus Antiochiæ pontifex fuit Evodus, non absre Patres appellati fuere. Quippe necdum erant patriarchæ, qui a Patribus instituuntur. Similiter et Alexandrinus propterea vocatus fuit papa, quod sanctus ille Cyrillus in tertia synodo privilegia papæ Romani, Cœlestini scilicet, acceperit. Cum autem religio jam pervagata fuisset fines orbis terrarum, ut urbs fere quælibet episcopum obtinuisset : ipsa pietatis ratio poscebat, ut Hierosolymis etiam honos haberetur, ob cruciatus sacrosanctos et sepulcrum Domini nostri Jesu Christi. Nam magna isthæc urbs Constantinopolis jam ante honorem obtinuerat, uti supra dictum fuit, pro-

A μαρτυρίου στάδιον τρέχουσα, χειροπέδαις μὲν καὶ φραγγελίῳ καθυποβέβληται, καὶ πόδας μαθητῶν διὰ λεντίου ἀπέσμηξε, καὶ ἐνεδιδύσκετο κατὰ Ἀαρὼν τὴν ἐπωμίδα, καὶ τὸν ποδήρη, καὶ τὸ ἐφούδ, τὰ τὸ ἀρχαῖον σημαίνοντα κώδιον τοῦ Ἀδαμιαίου φυράματος· αἷμα δὲ καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς αὐτῶν οὐ κατέῤῥευσεν, ὧν ἀναπληροῦσι τόπον τὰ τῶν στιχαρίων γαμμάτια. Οὐδὲ τὴν χλαῖναν τῆς ὕβρεως ἐνεδύσαντο. Οὐδέ τις αὐτῶν λίθος ἀκρογωνιαῖος ὠνόμασται, ὡς ὁ Κύριος καὶ Θεὸς ἡμῶν. Οὐδὲ τὸ τῆς πίστεως τάλαντον δι' ἑκάστου αὐτῶν εἰς πᾶσαν τὴν οἰκουμένην ἐφήπλωται, ἀλλ' ὁ μὲν ἐν Ῥώμῃ, ὁ δὲ ἐν Ἰνδοῖς ἢ Βρεττανοῖς, ὁ δὲ ἐν Γαλάταις τοὺς τῆς διδασκαλίας μετώχευσε πίδακας. Μόνος δὲ ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν πανταχοῦ παρῆν, καὶ χαρᾶς τὰ πάντα B ἐπλήρωσεν. Ὅθεν καὶ οἱ ἁγιώτατοι πατριάρχαι, τόπον ἀναπληροῦντες τῆς κεφαλῆς τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ, ἐνδιδύσκονται σάκκους, καὶ μετὰ ποταμίων καὶ τριγωνίων στιχάρια, καὶ διὰ πολυσταυρίων φαινόλια, καὶ εἰς πάσας τὰς Ἐκκλησίας κατὰ ταὐτὸν ἀναφέρονται. Τῇ δὲ ῥάβδῳ, ὡς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν τῷ καλάμῳ τῆς ὕβρεως, ἀποσεμνύνονται. Οἱ δὲ λοιποὶ ἀρχιερεῖς καὶ ἡγούμενοι, ὡς ὁ Ἀαρὼν τῇ ῥάβδῳ ἐκείνῃ τῇ βλαστησάσῃ κατὰ μεγάλου μυστηρίου προδήλωσιν, ἢ ὡς ὁ μέγας ἀπόστολος Πέτρος, ὁ ἀκούσας παρὰ Θεοῦ, Ποίμανε τὰ πρόβατά μου. Ἐπεὶ δὲ τῶν εἰκότων ἐστὶν ἐρωτῆσαί τινα, τίς ἡ τοῦ πάπα σημασία, καὶ τίς ἡ τοῦ πατριάρχου ἐστὶ, καὶ τίς ἡ τοῦ ἀρχιεπισκόπου, καὶ διατί τῶν πέντε κεφαλῶν ἡ μὲν ἐνέργεια καὶ τὰ προνόμια ταυτίζονται, καθὼς διεληπται, τὰ δὲ ὀνόματα τούτων εἰσὶ διάφορα, δέον ἐλογισάμεθα καὶ τὰ περὶ τούτων ἐκκορυφῶσαι.

Πάπας παρὰ Λατίνοις κέκληται ὁ Πατήρ. Καὶ παρὰ Ἰουδαίοις πατριάρχης, ὁ ἄρχων ἤτοι ὁ Πατὴρ τῶν πατριῶν. Καὶ ἀρχιεπίσκοπος ὁμοίως, ὁ ἐπισκόπων Πατήρ. Κἂν γοῦν ὦσι τοῦ πάπα, τοῦ πατριάρχου, καὶ τοῦ ἀρχιεπισκόπου τὰ σημαινόμενα τῇ διαλέκτῳ διάφορα, ἀλλὰ δυνάμει κατὰ μηδὲν διαφέρουσι. Διὸ καὶ πάντες κοινῷ ὀνόματι πατριάρχαι κατονομάζονται. Ὁ γοῦν πρώτως ἀρχιερατεύσας ἐν Ῥώμῃ ἅγιος Σίλβεστρος, καὶ ὁ πρώτως ἀρχιερατεύσας ἐν Ἀντιοχείᾳ Εὔοδος, ἐκλήθησαν εὐλόγως Πατέρες. Οὔπω γὰρ ἦσαν πατριάρχαι, παρὰ τῶν Πατέρων προβαλλόμενοι. Ὡσαύτως καὶ ὁ Ἀλεξανδρείας D ἐκλήθη πάπας, διὰ τὸ λαβεῖν τὸν ἅγιον Κύριλλον κατὰ τὴν τρίτην σύνοδον τοῦ πάπα Ῥώμης, τοῦ Κελεστίνου φημὶ, τὰ προνόμια. Τῆς δὲ εὐσεβείας διαδραμούσης εἰς τῆς οἰκουμένης τὰ πέρατα, καὶ πόλεως ἑκάστης σχεδὸν λαβούσης ἐπίσκοπον, ἐδέησε τιμηθῆναι θεαρέστως καὶ εὐσεβῶς καὶ τὴν Ἱερουσαλὴμ, διὰ τὰ ἅγια πάθη καὶ τὸν τάφον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἡ γὰρ μεγαλόπολις προτετίμηται, καθὼς προεῖρηται, διὰ τὸ εἰς ταύτην μετενεχθῆναι τὰ σκῆπτρα τῆς τῶν Ῥωμαίων βασιλείας. Μετωνομά-

VARIÆ LECTIONES.

[77] φραγίλλιῳ. [78] μετυχέτευσε.

NOTÆ.

(59) Figura litteræ gamma.

σθησαν οὖν οἱ ἐν ταύταις ἀρχιερατεύοντες, ἀρχιεπίσκοποι· ἀρχαὶ δηλονότι καὶ κεφαλαὶ πολλῶν ἐπισκόπων. Ταὐτὸν δέ ἐστιν εἰπεῖν, Πατέρες καὶ πατριάρχαι. Ἐκ τούτου δὲ διαφορά τις οὐκ ἔστι μέσον αὐτῶν. Ὁ γὰρ πατὴρ τοῦ ἔθνους τοῦδε τυχὸν, πατήρ ἐστι καὶ ἱερατικῆς φυλῆς καὶ λαϊκῆς, ὡς ὁ Ἰακὼβ τῶν ιβ' φυλῶν Ἰσραήλ. Καὶ ἄρχων ἐπισκόπων, ἐξανάγκης ἐστὶ πατὴρ καὶ ἐπισκόπων καὶ λαϊκῶν· ὁ δὲ Γοτθίας οὐ καλεῖται ἀρχιεπίσκοπος, ὡς ἄρχων ἐπισκόπων καὶ προβολεύς, ἀλλ' ὡς ἀρχὴ ἐπισκόπων. Ὡρίσθη γὰρ παρὰ τῶν ἁγίων Πατέρων, τὰς μὲν ἐχούσας διοικήσεις πολλὰς πόλεις, ὑπὸ ἐπισκόπων κυβερνωμένας, παρὰ μητροπολιτῶν διεξάγεσθαι, οὓς καὶ πρώτους οἱ κανόνες ὀνομάζουσι· τὰς δὲ μὴ ἐχούσας ὑφ' ἑαυτὰς πόλεις τινὰς ὑπὸ ἐπισκόπων ἰθυνομένας, παρὰ ἀρχιεπισκόπων ἱερατεύεσθαι· ὥστε B μειονεκτεῖν μὲν αὐτὰς τῶν μητροπόλεων, ὑπερτερεῖν δὲ τῶν ἐπισκόπων. Οὕτω λυθείσης καὶ τῆς τοιαύτης ἀμφιβολίας, ἤθελον εἰπεῖν, ὅτου χάριν ὁ πάπας Ῥώμης οἰκουμενικὸς πάπας λέγεται, ὡσαύτως καὶ ὁ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, οἰκουμενικὸς πατριάρχης· οἱ δὲ λοιποὶ πατριάρχαι, καὶ ταῦτα τῆς αὐτῆς ὄντες τάξεως, κλήσεώς τε καὶ τιμῆς, καὶ ταύτης οὐκ ἔτυχον τῆς ἀνακηρύξεως. Ἐπεὶ δὲ τὸν μὲν πάπαν τὸ τῆς φιλαυτίας δαιμόνιον τῆς τῶν λοιπῶν ἁγιωτάτων πατριαρχῶν ἀπέστησεν ὁμηγύρεως, καὶ εἰς μόνην τὴν Δύσιν ἐστενοχώρησε· τὸν δὲ Κωνσταντινουπόλεως βλέπω μηδενὶ τῶν προνομίων τοῦ πάπα κατακοσμούμενον (οὔτε γὰρ τῷ τῆς βασιλείας λώρῳ κατὰ τὸ τοῦ ἁγίου Κωνσταντίνου C νομιζόμενον θέσπισμα καταστέφεται, οὔτε κοκκοβαφέσι πεδίλοις κατὰ τὸ τυπωθὲν θεατρίζεται, ἀλλ' οὐδ' ἑτέρῳ προνομίῳ τῆς παλαιᾶς Ῥώμης κέχρηται, καὶ διὰ τοῦτο οἱ πόδες αὐτοῦ ἵστανται ἐν εὐθύτητι, καὶ ἡ κεφαλὴ αὐτοῦ παντοίᾳ συνέσει, κατὰ τὸν Δαβὶδ, πεπολίωται· καὶ τὰς οἰκείας δὲ ὑπογραφὰς ὡς οἰκουμενικὸς οὐ μεγεθύνει πατὴρ, κἂν παρ' ἡμῶν οὕτω κέκληται καὶ δεδόξασται)· τὴν μὲν περὶ τούτου συζήτησιν, ὡς ἀλυσιτελῆ, παρατρέχω. Ἀπολογοῦμαι δὲ πρὸς τοὺς λέγοντας τολμηρῶς, ὀφείλειν τῆς πατριαρχικῆς ἀποξενοῦσθαι τιμῆς τὸν Ἀντιοχείας καὶ τὸν Ἱεροσολύμων. Κεκανόνισται γάρ, φασὶ, μηδ' ἐν ἀρχιερεῦσι συντάττεσθαι τοὺς μὴ ῥιψοκινδύνως ἀπερχομένους ἀρχιερεῖς εἰς τοὺς παρὰ Βαρβάροις κατεχομένους θρόνους αὐτῶν, μηδὲ τὸν τοῦ μαρτυ- D ρίου προαρπάζοντας στέφανον. Ὡς εἰ μὲν εἰσὶ λαϊκοὶ οἱ τοιαῦτα καθά τι μάταιον ἄμβλωμα κατὰ τῶν ἁγίων κεφαλῶν ὠδινήσαντες, συγγνώμης ἀξιωθήσονται κατὰ πολλὴν ἐπιείκειαν. Γέγραπται γάρ· Οὐ χρὴ Ῥωμαῖον ἄνδρα νόμους (ταὐτὸν δ' ἔστιν εἰπεῖν καὶ κανόνας) ἀγνοεῖν. Ὅτι κἂν χειρώναξ τίς ἐστι, κἂν σὺρφαξ, οἴκοθεν εἰδέναι νόμους ἢ κανόνας μὴ συγχωρούμενός ἐστιν, ἀλλ' οἱ τούτους κατὰ σπουδαίους ἀργυρογνώμονας μεταλλεύοντες,

Ὅσσα τε φύλλα καὶ ἄνθεα γίνεται εἴαρος ὥρῃ·

A pterea quod in eam imperii Romani sceptra fuissent translata. Itaque mutatis nominibus harum pontifices dicti sunt archiepiscopi, veluti principia et capita multorum episcoporum. Quod idem erit, ac si dixeris, Patres et patriarchæ. Unde nullum existit inter eos discrimen. Nam Pater hujus illiusve gentis, tam sacerdotalis, quam laicæ tribus est Pater, sicut Jacob duodecim tribuum Israelis. Et princeps episcoporum, necessario Pater est tum episcoporum, tum laicorum. Gothiæ quidem antistes non propterea vocatur archiepiscopus, quod episcoporum princeps et ordinator sit, sed tanquam principium episcoporum. Quippe sanctis a Patribus est sancitum, ut eæ diœceses, quæ multas habent urbes sub episcoporum gubernatione constitutas, a metropolitanis administrentur, quos etiam ipsi canones appellant primos : quæ vero sub se non habent urbes aliquas, episcoporum regimini subditas, archiepiscopos habeant pontifices : ut inferiores hæ quidem sint metropolibus, at episcopatibus superiores. In hunc modum, hoc etiam ambiguo soluto, volebant equidem dicere, quamobrem papa Romanus appelletur universalis Papa, similiterque Constantinopolis archiepiscopus, universalis patriarcha : cum reliqui patriarchæ, licet ejusdem sint ordinis, appellationis et honoris, ita proclamari non soleant. Sed quando papam Romanum malus ambitionis ille genius a reliquorum sanctissimorum patriarcharum cœtu avulsit, et in Occidentem duntaxat coarctavit; cum interim videant Constantinopolitanum nullo papæ privilegio semet ornantem (quippe nec regni coronatur fascia, secundum id, quod sancti Constantini statutum esse putatur, nec cum coccineis calceis, ut ibidem sancitur; velut in spectaculo semet exhibet; nec aliud denique Romæ veteris papæ privilegium usurpat : ideoque stant pedes ejus in rectitudine, et caput ejus omnigena prudentia, quemadmodum Davides loquitur, incanuit. Idem ne subscriptiones quidem suas magnificas facit, tanquam pater universalis; licet a nobis ita vocetur et celebretur (equidem de hoc disquisitionem, velut infrugiferam, instituere supersedeo. Facere tamen non possum, quin iis respondeam, qui audacter prædicant, a dignitate patriarchali removendos Antiochenum et Hierosolymitanum. Quippe canonibus statutum est, inquiunt, ne quidem inter pontifices recensendos esse, qui non vel extremo cum periculo se conferant ad thronos suos a Barbaris occupatos, nec martyrii coronam præripiant. Nimirum si laici sunt, qui talia veluti stolidum quemdam abortum adversus sacra sancta capita parturierunt, veniam merebuntur ex singulari quadam nostra moderatione. Cæteroquin enim scriptum est : Hominem Romanum ignorare leges (idem et de canonibus dicendum) non oportet. Quippe licet allquis manuarius sit opifex, et ex infima fæce plebis, quin leges aut canones per se norit, veniam impetrare non potest : cum qui leges et canones, instar industriorum argenti exploratorum, investigant, in hac urbe regia tot sint,

Quot folia et flores nascuntur tempore verno :

qui quidem cuivis ad manum sunt, tanquam liberale quoddam et nullo constans pretio epulum : neque dubium est, quin horum doctrinæ mulso dulcescere possit istorum ignorationis absinthium. Sed autem sacro pontificum catalogo continentur, baba! quonam modo quis horum condemnationem expresserit? Quam enim merebitur is veniam, qui cum se canones docere profiteatur, canonum tamen crassitiem non videt, quæ ipsum prope montem Athon superat? Omnino nullam. Imo potius ex omnipotenti Deo audiet. Tu rejecisti justitiam, et ego rejiciam te, ne mihi sis sacerdos. Quapropter omni de hoc contentione omissa, scripto præsenti ad tollendum omne scandalum inseram XXXVII canonem coactæ in magni palatii Trullo sanctæ ac universalis synodi, quæ quinta et sexta dici solet : qui sane canon ita sonat ad verbum : *Quia diversis temporibus Barbarorum impressiones acciderunt, et urbes hinc plurimæ redactæ sunt in potestatem impiorum, ita ut deinceps hujus talis urbis præses post ordinationem suam non potuerit thronum suum accipere, atque in eo pro conditione sacerdotali collocari, et usu recepta consuetudine tam ordinationes, quam alia omnia, quæ ad episcopi pertinent officium, perficere atque exercere : nos dignitatem et venerationem sacerdotii tuentes, minimeque volentes, ut injuria paganorum juribus ecclesiasticis detrimento sit, in hunc modum ordinatis, et ob causam supra positam thronos suos non possidentibus, jus suum absque præjudicio sic conservandum decrevimus, ut et ordinationes diversorum clericorum juxta canones instituant, et auctoritate præsidentiæ secundum modum fruantur, ac denique firma et rata sit omnis ab ipsis profecta administratio. Non enim accuratione per necessitatis tempus circumscripta, lex dispensationis in angustum cogetur.*

Præter hunc vero canonem, scripto præsenti lectores moneo, etiam edictum quoddam exstare memorandi imperatoris, domini Alexii Comneni, mense Novembri secundæ indictionis publicatum, ac fiscalibus et ecclesiasticis secretis insertum, quod statuit (60), non solum debere citra ullum impedimentum eligi pontifices in orientales Ecclesias, a paganis possessas, licet ii, qui ad eas renuntiantur, quos sortiti sunt thronos accipere nequeant propter malitiam paganorum : verum etiam quod post ordinationem habere debeant, quæcunque ante illam Constantinopoli habebant jura : nimirum abbatias, adelphatorum annonas (61), et reliqua. Atque nos quidem hæc ita rogati perscripsimus. Cæterum Deus ille pacis, qui per Davidem prophetam dixit : Si populus meus præcepta mea servaverit, in virga visitabo inimicos eorum, et in flagellis iniquitates eorum;

A παρὰ ταύτῃ τῇ βασιλευούσῃ τῶν πόλεων καθεστήκασι, καὶ πρόκεινται τῷ βουλομένῳ παντὶ φιλότιμος πανδαισία καὶ ἀπραγμάτευτος, καὶ πάντως τῷ μελικράτῳ τῆς διδασκαλίας αὐτῶν ἐμελιτώθη τὸ τῆς ἀγνοίας ἐκείνων ἀψίνθιον. Εἰ δὲ τοῦ θείου καταλόγου τῶν ἀρχιερέων εἰσὶ, βαβαί! πῶς ἄν τις εἴπῃ καὶ διηγήσεται τὴν ἐπαγομένην τούτοις κατάκρισιν; Ποίας γὰρ συγγνώμης ἀξιωθήσεται ὁ διδάσκειν κανόνας ἐπαγγειλάμενος, καὶ κανόνων μὴ βλέπων παχύτητα, τὸν Ἄθων αὐτὸν σχεδὸν ὑπερβαίνουσαν; Πάντως οὐδεμιᾶς· ἀκούσει δὲ μᾶλλον ἀπὸ Θεοῦ παντοκράτορος· Σὺ ἀπώσω δικαιοσύνην, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι. Ὅθεν τὴν περὶ τούτου πολλὴν ἀντιλογίαν καταλιπὼν, καταστρωννύω πρὸς περιαίρεσιν σκανδάλου παντὸς τῇ παρούσῃ γραφῇ τὸν λζ' κανόνα
B τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς λεγομένης πενθέκτης, οὕτως ἐπὶ λέξεως ἔχοντα· Ἐπειδὴ κατὰ διαφόρους καιροὺς βαρβαρικαὶ γεγόνασιν ἔφοδοι, καὶ πλεῖσται πόλεις ἐντεῦθεν ὑποχείριοι τοῖς ἀνόμοις κατέστησαν, ὡς ἐντεῦθεν μὴ δυνηθῆναι τὸν τῆς τοιαύτης πόλεως πρόεδρον μετὰ τὴν ἐπ' αὐτῷ χειροτονίαν τὸν οἰκεῖον θρόνον καταλαβεῖν, καὶ ἐν αὐτῷ ἱερατικῇ καταστάσει ἐνιδρυθῆναι, καὶ οὕτω κατὰ τὸ κρατῆσαν ἔθος τὰς χειροτονίας, καὶ πάντα, ἃ τῷ ἐπισκόπῳ ἀνήκει, πράττειν τε καὶ μεταχειρίζεσθαι, ἡμεῖς τὸ τίμιον καὶ σεβάσμιον τῇ ἱερωσύνῃ φυλάττοντες, καὶ μηδαμῶς πρὸς λύμην τῶν ἐκκλησιαστικῶν δικαίων τὴν
C ἐθνικὴν ἐπήρειαν ἐνεργεῖσθαι βουλόμενοι, τοῖς οὕτω χειροτονηθεῖσι, καὶ διὰ τὴν προκειμένην αἰτίαν ἐν τοῖς ἑαυτῶν μὴ ἐγκαταστᾶσι θρόνοις, τὸ ἀποχρημάτιστον συντηρηθῆναι συνεωράκαμεν· ὥστε καὶ χειροτονίας διαφόρων κληρικῶν κανονικῶς ποιεῖν, καὶ τῇ τῆς προεδρείας αὐθεντίᾳ κατὰ τὸν ἴδιον ὅρον κεχρῆσθαι, καὶ βεβαίαν καὶ διοίκησιν. Οὐ γὰρ ἀπὸ τοῦ τῆς ἀνάγκης καιροῦ ὅρος περιορισθήσεται.

Σὺν τῷ τοιούτῳ δὲ κανόνι ἀναδιδάσκω τοὺς ἐντυγχάνοντας τῇ παρούσῃ γραφῇ, ὡς καὶ πρόσταξίς ἐστι τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, κατὰ τὸν Νοέμβριον μῆνα τῆς δευτέρας
D ἐπινεμήσεως ἀπολυθεῖσα, καὶ τοῖς δημοσιακοῖς καὶ ἐκκλησιαστικοῖς σεκρέτοις καταστρωθεῖσα, καὶ διοριζομένη μὴ μόνον ἀπαρεμποδίστως ἀρχιερεῖς ψηφίζεσθαι εἰς τὰς ἀνατολικὰς Ἐκκλησίας, τὰς παρὰ τῶν ἐθνῶν κατεχομένας, κἂν οὐ δύνανται οἱ ἐν αὐταῖς ἐπικηρυττόμενοι καταλαμβάνειν τοὺς λαχόντας τούτους θρόνους διὰ τὴν ἐθνικὴν κακίαν, ἀλλὰ καὶ μετὰ τὴν χειροτονίαν ἔχειν ὅσα πρὸ ταύτης ἔσχον κατὰ τὴν μεγαλόπολιν δίκαια. Ἡγουμενείας δηλαδὴ, ἀδελφάτων σιτηρέσια, καὶ λοιπά. Καὶ ἡμεῖς μὲν καθὼς ἠξιώθημεν, ταῦτα γεγράφαμεν. Ὁ δὲ τῆς εἰρήνης Θεὸς, ὁ εἰπὼν διὰ τοῦ προφήτου Δαβίδ· Ἐὰν ὁ λαός μου τὰς ἐντολάς μου φυλάξῃ, ἐν ῥάβδῳ τοὺς ἐχθροὺς αὐτῶν ἐπισκέψομαι, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐ-

NOTÆ.

(60) Vide Novellam sextam Alexii Comneni.

(61) Quæ portiones fratrum sunt, uti vocant.

τῶν· τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπὸ τῶν ἀγαπώντων με, οὐδ' οὐ μὴ βεβηλώσω τὴν διαθήκην μου· τὴν μὲν ἐθνικὴν ἀπιστίαν διασκορπίσει ὡσεὶ κονιορτὸν ἀπὸ ἅλωνος θερινῆς, τοὺς δὲ ὁσίους αὐτοῦ συναγάγῃ, καὶ δώσει αὐτοῖς χώρας ἐθνῶν καὶ φυλάς. Καὶ ἐρεῖ πᾶς ὁ λαός· Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα. Γένοιτο, γένοιτο.

misericordiam vero meam non dispergam a diligentibus me, nec profanabo testamentum meum: is ergo paganorum quidem infidelitatem dissipet, veluti pulverem ex area æstiva, sanctos autem suos colligat, et paganorum eis det regiones ac tribus. Et dicat populus universus: Benedictus Dominus in sæculum. Fiat, fiat.

ΤΟΥ ΑΥΤΟΥ

Μελέτη, χάριν τῶν δύο ὀφφικίων, τοῦ τε χαρτοφύλακος, καὶ τοῦ πρωτεκδίκου.

Τοῦ μεγάλου διδασκάλου τῆς Ἐκκλησίας Παύλου τοῦ θεοκήρυκος λέγοντος, Οὐχ ἑαυτῷ τις λαμβάνει τιμὴν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ, ὤφειλεν ὁ πρωτέκδικος ἀρκεῖσθαι τοῖς δεδομένοις αὐτῷ, καὶ κατ' ἴχνια [19] βαίνειν τῶν πρὸ αὐτοῦ, παντοίᾳ σοφίᾳ τῶν πλειόνων κεκοσμημένων τῇ χάριτι τοῦ Θεοῦ, καθὼς καὶ αὐτός ἐστι, καὶ τὰ ὑψηλότατα τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας ἐνεργησάντων ὀφφίκια, τινῶν δὲ καὶ κατὰ γνησίους πτερυξαμένων ἀετιδείς, καὶ εἰς τὸν μέγαν φθασάντων θρόνον τῆς Κωνσταντινουπόλεως, καὶ τὰ κυρωθέντα διὰ χρόνων ἀμνημονεύτων σχεδὸν, μὴ σπεύδειν ἀλλοιωθῆναι κατὰ σηπύας αὐθημερὸν, καὶ οὕτω ῥιψοκινδύνως σκανδαλίζειν καὶ σκανδαλίζεσθαι· θέλειν δὲ μᾶλλον εἰρήνην ἐπὶ τὸν λαὸν τοῦ Θεοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ. Ἐπεὶ δ' οὐκ οἶδ' ὅπως παραδραμὼν τοὺς ἐγείροντας τὰ σκάνδαλα μύλωνας, καὶ τὰ διορισθέντα κανονικῶς κατὰ τῶν παραλυόντων ἀπερισκέπτως συνήθειαν μακρὰν ἐκκλησιαστικὴν οἰανδήτινα (καὶ ταύτην γὰρ κρατεῖν ὡς τοὺς θείους κανόνας νενομοθέτηται), καὶ ὑπεραναβὰς τὸν ὁρίζοντα, θέλει παρασαλεῦσαι τὰ τοῦ χαρτοφύλακος προνόμια, καὶ συνάψαι τοῖς ἐκδικικοῖς λειτουργήμασι, κατά τινας ἑτεροφυῆ συμμοσχεύοντας σώματα, καὶ πρὸς ἐπισύστασιν τοῦ οἰκείου θελήματος, κανόσι χρῆται τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου, πρὸς δὲ καὶ τισι ῥήμασι τοῦ ἀποκειμένου βιβλίου ἐν τῷ σεκρέτῳ τοῦ ἱεροῦ ἐκδικείου, παρατῶ καὶ αὐτὸς διὰ τῆς παρούσης γραφῆς μου, καθὼς ἠξίωμαι, τὰ τοῦτον, ὡς ἐγῷμαι, δικαίως ἐπιστομίζοντα, καὶ τὸν κατὰ καιροὺς χαρτοφύλακα φιλαλήθως ἀποσεμνύνοντα. Ἀπὸ τοῦ κγ' κανόνος τῶν ἐν Χαλκηδόνι συνελθόντων χλ' ἁγίων Πατέρων, συκίνην ἐπικουρίαν ὁ πρωτέκδικος ἰδιώσατο, χάριν τοῦ κρίνειν ἰδιορυθμίας μοναζόντων καὶ κληρικῶν, καὶ ἀνακρίνειν ἀποδημίας αὐτῶν, καὶ κατακρίνειν ὡς φυγαδίας δουλοπρεπεῖς. Πρὸ γὰρ ἑκατὸν χρόνων μικρόν τι πλέον ἢ ἔλαττον, τοῦ ἀοιδίμου βασιλέως τοῦ Ἰουστινιανοῦ, τοῦ τὴν Ἐκκλησίαν ἀγακλεῶς οὐρανώσαντος, ὁ τοιοῦτος κανὼν ἐκπεφώνηται, ὅτε λόγος οὐκ ἦν ἐκδίκων ὄντων ἀπὸ τοῦ βήματος, λαϊκῶν δὲ ταῖς ἐκκλησίαις διδομένων ἑκάστοτε πρὸς ἐκδίκησιν. Καὶ τοῦτο δῆλόν ἐστιν ἀπὸ τοῦ οε' κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, οὕτωσὶ διεξιόντος ῥητῶς· *Περὶ ἐκδίκων τῶν Ἐκκλησιῶν, τῶν ὀφειλόντων ἀπὸ τοῦ βασιλέως αἰτηθῆναι, σύμπασιν ἔδοξεν αἰτῆσαι ἀπὸ τῶν βασιλέων*

EJUSDEM

Meditatum, de duobus illis officiis, chartularii scilicet, ac primi defensoris.

Cum magnus ille doctor Ecclesiæ, divinusque præco Paulus dicat, non sibi quempiam honorem sumere, sed a Deo vocatum; sane debebat primus defensor sibi concessis esse contentus, et decessorum suorum vestigiis insistere; quorum plerique, sicut et ipse, per Dei gratiam omnigena fuerunt ornati doctrina, supremasque sanctissimæ Dei majoris Ecclesiæ dignitates gesserunt, atque etiam aliqui genuinorum in morem pullorum aquilinorum alas sumpserunt, et ad magnum illum Constantinopolis thronum perveneruut: minimeque dare debebat operam, ut annis hominum prope memoriam excedentibus confirmata, mutarentur uno die, sepiarum in morem; atque ita periculose tam offendere, quam offendi: sed velle potius pacem supra populum Dei, et supra sanctos ejus. Verum quia nescio quomodo molaribus excitantibus scandala præteritis, atque itidem iis, quæ canonice statuta sunt adversus inconsiderate violantes quamcunque diuturnam consuetudinem ecclesiasticam (nam et illam perinde ratam esse debere sancitum est, atque sacros canones) et transcenso denique horizonte, privilegia chartularii concutere vult, et cum functionibus defensoriis conjungere, more quorumdam, qui diversæ naturæ corpora sibimet inserendo copulant: cumque instituti sui probandi causa, sanctæ et universalis quartæ synodi canonibus utatur, ac præterea verbis quibusdam ex libro, qui servatur in secreto sacri defensorii: proferam et ipse hoc præsenti scripto, quemadmodum a me petitum est, quæ os huic non absre, meo quidem judicio, sunt obturatura; et vere cuivis pro tempore chartulario venerationem conciliatura. Igitur ex canone XXIII sanctorum Patrum, qui Chalcedone convenerunt, siculnum præsidium sibi defensor quæsivit, quasi judicet ipse de iis, quæ sunt officii monachorum et clericorum, quasique de horum peregrinationibus inquirat, easque veluti mancipiorum aufugia condemnet. Nimirum annis paulo plus minusve centum ante clarissimum illum imperatorem Justinianum, qui hanc ecclesiam laudabiliter quasi quodam cœlesti opere construxit, is canon publicatus fuit: quo tempore nullus erat sermo de defensoribus ex ordine sacro, sed ecclesiis semper laici defensionis causa dabantur. Atque

VARIÆ LECTIONES.

[19] κατ' ἴχνια.

hoc manifestum est ex LXXV canone concilii Carthaginiensis, cujus hæc verba sunt: *De defensoribus Ecclesiarum, qui ab imperatore peti debent, visum est universis, petendos ab imperatoribus, propter afflictionem pauperum, quorum gravaminibus indesinenter Ecclesia molestatur: ut defensores eis, interveniente providentia episcoporum, eligantur adversus opulentorum tyrannidem.*

Itidem paret hoc ex XV novella imperatoris Justiniani, quæ exstat libro VI Basilicorum, titulo XVIII in hanc sententiam: Defensores ex incolis cujuslibet urbis per vices eligi, licet illustres aliqui sint, et clarissimi: atque hos duntaxat biennio defensionis munus sustinere. Quare cum defensores et eligantur, ceu dictum est, et eorum munus certo temporis spatio definiatur: nugantur sane, qui ex indicato canone stabiliri perhibent id, quod a primo defensore asseritur. Verba vero libri de officio primi defensoris, quæ propemodum hujusmodi sunt: *Oportet vos, si quis presbyterorum et diaconorum cum aliquo litem habebit, eum qui accusatur, tertium citare, secundum indicatum modum, et non obsequentem condemnare*: hæc, inquam, verba neque radicitus, neque vel rami, vel corticis respectu, jurisdictionem chartularii in universos sacris initiatos evertunt, et ad defensores transferunt.

Quippe non sic intelliguntur, de primi defensoris sententia, quasi possit is cogere vel invitos eos, qui a diaconis et presbyteris quibusdam conveniuntur, fortassis ipsi laici, ut apud eum causam dicant, ob quam postulantur. Nam temerarium isthuc est, ac ne patriarchali quidem sacræ amplitudini concessum, veluti legibus contrarium, quæ actores forum reorum sequi volunt. Quod si quis primi defensoris mentem probans (nam et malitiose agentibus quod ajunt, interdum benedicitur), vano cum fastu subjiciet, indicata verba loqui de duabus partibus, quæ diversis studiis non distinguantur; sed quæ communis sacerdotii professione conjunctæ sint: is audiet, hoc modo temerariam vacationem et justicium indici non chartularii duntaxat jurisdictioni, verum etiam ipsius patriarchalis sacratissimi tribunalis. Quippe si hoc concessum sit, primus defensor jus dicet audacter, imo suprema cum potestate, adversus pontifices, et diaconos, et reliquos sacerdotes, magnis nonnunquam dignitatibus insignes, quæ ipsius etiam primi defensoris jurisdictionem ex diametro transcendant. Quin et episcopianos sibi vindicare conabitur, veluti qui episcopi ratiocinium sortitus sit. Quod sane, quam absurdum sit, ne dici quidem meretur. Cæterum quod quidam ait, eos qui a sacerdotibus apud defensores ob quamcunque causam vel civilem, vel criminalem, in jus rapiatur, per tres denuntiationes esse arcessendos, et condemnandos si non comparent (id enim omnino fiat necesse est si concessum fuerit, per

A *διὰ τὴν τῶν πενήτων κάκωσιν, ὧν ταῖς ἐπαχθείαις ἀπαύστως ἡ Ἐκκλησία παρενοχλεῖται, ὥστε ἐκδίκους τούτοις μετὰ τῆς τῶν ἐπισκόπων προνοίας ἐπιλέγεσθαι κατὰ τῆς τῶν πλουσίων τυραννίδος.*

Ὡσαύτως καὶ ἀπὸ τῆς ιε' νεαρᾶς τοῦ βασιλέως Ἰουστινιανοῦ, τῆς κειμένης ἐν βιβλίῳ ς' τῶν Βασιλικῶν, τίτλῳ ιη', καὶ διαλαμβανούσης, τοὺς ἐκδίκους ἀπὸ τῶν κατοίκων ἑκάστης πόλεως ἀμοιβαδὸν ἐπιλέγεσθαι, κἂν ἐλλούστριοί τινες ὦσι καὶ λαμπρότατοι· καὶ ἐπὶ μόνῃ διετίᾳ τὸ τῆς ἐκδικήσεως ὑπέχειν τούτους λειτούργημα. Τῶν γοῦν ἐκδίκων ἐπιλεγομένων ὡς εἴρηται, καὶ τῆς λειτουργίας αὐτῶν μετρουμένης χρονικῷ διαστήματι, εἰκαιομυθοῦσιν οἱ λέγοντες, ἀπὸ B τοῦ ῥηθέντος κανόνος στηρίζεσθαι τὸ παρὰ τοῦ πρωτεκδίκου λεγόμενον. Τὰ δὲ ῥήματα τοῦ πρωτεκδίκου βιβλίου, τὰ οὕτω πως κατὰ ῥῆμα διαλαμβάνοντα· *Δεῖ ὑμᾶς, εἴ τις τῶν πρεσβυτέρων καὶ διακόνων δίκην ἔξει μετά τινος, προκαλεῖσθαι*[99] *τὸν διεγκαλούμενον ἐκ τρίτου κατὰ τὸν εἰρημένον τρόπον, καὶ μὴ ὑπείκοντα καταδικάζειν.* Οὐ κατασπῶσι προθέλυμνον, οὐδ' ἐξ ἀποσπάδος, οὐδ' ἐκ φλοιοῦ, τὴν κατὰ πάντων τῶν ἱερωμένων δικαιοδοσίαν τοῦ χαρτοφύλακος, καὶ πρὸς τοὺς ἐκδίκους μεταφυτεύουσιν.

Οὐδὲ γὰρ ἐκλαμβάνονται, καθὼς φησιν ὁ πρωτέκδικος, εἰς τὸ δύνασθαι τοῦτον καταναγκάζειν καὶ ἄκοντας τοὺς ἐναγομένους παρὰ διακόνων καὶ πρεσβυτέρων τινῶν, ἴσως ὄντας καὶ λαϊκούς, ἀπολογεῖσθαι παρὰ τούτῳ περὶ ὧν ἡ αἰτίασις. Τοῦτο γὰρ καὶ C τολμηρόν ἐστιν, οὐδὲ τῇ πατριαρχικῇ θείᾳ μεγαλειότητι δέδοται, ὡς ὑπεναντίον τοῖς νόμοις, τοῖς διοριζομένοις τῶν ἐναγομένων τῷ φόρῳ τοὺς ἐνάγοντας ἕπεσθαι. Εἰ δέ τις τοῦ πρωτεκδικικοῦ θελήματος ἀντεχόμενος (εὐλογοῦνται γὰρ, φησὶ, καὶ κακοπραγοῦντες ἐνίοτε), ὑποθήσει κενεμβατῶν, τὰ ῥηθέντα ῥήματα διαλέγεσθαι περὶ μερῶν μὴ μεριζομένων διαφόροις ἐπιτηδεύμασιν, ἀλλ' ἡνωμένων τῆς ἱερωσύνης τῷ ἐπαγγέλματι, ἀκούσει διὰ τούτου σχολὴν τολμηρὰν καταψηφίζεσθαι καὶ παρόρασιν, μὴ μόνον τῆς δικαιοδοσίας τοῦ χαρτοφύλακος, ἀλλὰ καὶ τοῦ πατριαρχικοῦ θειοτάτου βήματος. Εἰ γὰρ τοῦτο δοθείη, δικαιοδοτήσει θαῤῥούντως, μάλιστα δ' εἰπεῖν αὐθεντικῶς ὁ πρωτέκδικος, κατὰ ἀρχιερέων, καὶ διακόνων, καὶ λοιπῶν τῶν τοῦ βήματος, ἔστιν ὅτε καὶ μεγάλα διαπρεπόντων ὀφφίκια, καὶ τὴν πρωτεκδικικὴν ἰουρισδικτίονα κατὰ διάμετρον ὑπερπαίοντα. Ζητήσει δὲ καὶ τοὺς ἐπισκοπειανοὺς σφετερίζεσθαι, ὡς ἐπισκόπου κληρωσάμενος λογοθέσιον. Ὅπερ ὡς ἄτοπον, οὐδὲ λέγεσθαι ἄξιον. Τὸ δὲ λέγειν τινὰ, τοὺς ἑλκομένους παρὰ τοῖς ἐκδίκοις ὑπό τινων τῶν τοῦ βήματος περὶ χρηματικῆς ἢ ἐγκληματικῆς οἱασδήτινος ὑποθέσεως, ὀφείλειν μεταλαλεῖσθαι διὰ μηνυμάτων τριῶν, καὶ καταδικάζεσθαι μὴ ὑπείκοντας (οὕτω γὰρ ἀνάγκη πᾶσα πρόκειται γίνεσθαι, εἰ δοθείη διὰ τῶν ῥηθέντων ῥημάτων τοῦ πρωτεκδικι-

VARIÆ LECTIONES.

[99] προταλεῖσθαι.

κοῦ βιβλίου λαβεῖν τὸν πρωτέκδικον ἄδειαν, περὶ πάσης ὑποθέσεως δικάζειν διακόνους καὶ ἱερεῖς μετὰ τῶν ἀντιθετούντων αὐτοῖς), πῶς οὐκ ἔστι τῆς πρωτεκδικικῆς σοφίας ἀνάξιον; Βαβαὶ γὰρ, πόσα τούτου δοθέντος ἀθετοῦνται θειότατα νόμιμα! πόσα βασιλέων ὀρθοδόξων θεσπισθήματα! πόσα Πατέρων θείων δόγματα καὶ διδάγματα, τοὺς ἐναγομένους παντοίως συνάγοντα, [καὶ] δι' ἐπιφωνημάτων τριακονθημέρων μεταλουμένους, καὶ διπλαῖς ἐκκλήτοις τὴν τούτων καταδίκην μετεωρίζοντα! Πάντως πολλὰ, καὶ πάντα σχεδὸν ἀριθμὸν ὑπερβαίνοντα. Συνάγεται τοίνυν ἀπροσπαθῶς, καὶ τὴν ἐκ τούτων τῶν ῥημάτων ἀναφαινομένην δῆθεν ἀσάφειαν συναρμολογεῖσθαι καλῶς τῇ περὶ ἐλευθεριῶν λοιπῇ τοῦ βιβλίου γραφῇ· καὶ τοὺς παρὰ πρεσβυτέρων ἢ διακόνων ἐλκομένους παρὰ τοῖς θεοσεβεστάτοις ἐκδίκοις χάριν ἐλευθεροδοούντων ἢ δουλαγωγουμένων τινῶν, καὶ μετὰ τρεῖς διαλαλιὰς μὴ πειθομένους ἐλθεῖν, μονομερῶς κατακρίνεσθαι, διὰ τὰ νόμιμα θεῖα θεσπίσματα, τὰ τὴν ἐλευθερίαν ὑπὲρ πάντα σχεδὸν περιθάλποντα, καὶ ἐξ ἐπιπέδου διοριζόμενα τὴν ταύτης ζήτησιν γίνεσθαι, καὶ μὴ ὠφελεῖσθαι τοὺς οὕτω τὴν καταδίκην καθ' ἑαυτῶν σχεδιάσαντας, ἐκ τοῦ εἶναι τοῦ βήματος τῆς ἐλευθερίας τοὺς ἀντιλήπτορας. Οὕτω δὲ τούτων ἐχόντων, δικαίως ἐπιτραπήσεται ὁ πρωτέκδικος, τῶν μὲν χάριν ἐλευθερίας τὴν ἐκκλησιαστικὴν ζητούντων βοήθειαν, μετὰ δικαιοδοσίας ἀντιλαμβάνεσθαι· τῶν δὲ λοιπῶν προσφύγων ἀντιποιεῖσθαι, ὥσπερ καὶ ὅπου νενόμισται· καὶ συνίστασθαι μᾶλλον τούτοις, καὶ ἐκδικεῖν ἀπὸ τῶν ἐπηρεαζόντων αὐτοὺς, καθὼς που καὶ κέκληται. Οὕτω γὰρ ποιῶν, καὶ φυλάξας ὁσίως τὰ ὅσια, δεόντως ὁσιωθήσεται. Καὶ ταῦτα μὲν ἀποχρώντως ἐγράφησαν εἰς ἐκτροπὴν τῶν παρὰ τοῦ πρωτεκδίκου προτιθεμένων, καὶ παρασπωμένων τὰ παρὰ τοῦ χαρτοφύλακος ἀμέμπτως νεμόμενα δίκαια. Ῥητέον δὲ καὶ τὰ συνιστῶντα τὸν χαρτοφύλακα. Εἰπάτω δὲ μᾶλλον ταῦτα τῆς ἀληθείας τὸ στόμα, καὶ τῆς δικαιοσύνης ὁ ἥλιος. Οὐδὲ γὰρ οἴκοθεν εἴπωμεν ἐπιμύθιον, κατὰ τοὺς κνηθομένους τὰς ἀκοὰς, τῷ λόγῳ τοῦ διαφέροντος, καὶ τοὺς ἐπὶ ὕδατος ἀντιλογίας δοκιμάζοντας τὰ ἀμφίβολα· ἀλλ' ἐκεῖνα διπλόης πάσης ἐκτὸς σχεδιάσομεν, ὅσα πεῖρα μακρὰ, καὶ χρόνος πολὺς, καὶ θείων Γραφῶν ἀνάγνωσις ἡμᾶς ἀνεδίδαξαν. Ἀρκτέον οὖν, ὅθεν ἄρχεσθαι ἄμεινον· καὶ πορευτέον ἐκ δυνάμεως πάλιν εἰς δύναμιν.

indicata verba libri de officio primi defensoris, potestatem consequi primum defensorem, quavis in causa judicandi diaconos et sacerdotes, cum eorum adversariis), id vero quo pacto sapientiam primi defensoris non indignum est? Babæ, quot illo concesso sacratissimæ leges abolentur! quot orthodoxorum principum sanctiones! quot sanctorum Patrum decreta pariter et doctrinæ? quæ variis modis reis favent, dum eos per edicta triginta dierum arcessunt, et duabus appellationibus condemnationem eorum suspendunt? Multæ, haud dubie, atque omnem numerum excedentes. Itaque nullo interveniente animi affectu colligitur, emergentem ex hisce verbis obscuritatem ambiguam, recte conciliari per id, quod in eodem libro deinceps perscriptum est de libertatibus nimirum eos, qui a presbyteris vel diaconis arcessantur ad religiosissimos defensores illorum causa, qui proclamant ad libertatem, vel in servitutem abripiuntur, si post edicta tria recusent comparere, una duntaxat parte præsente condemnari, propter sacras juris sanctiones, quæ libertatem prope supra res omnes fovent, et inquiri de hac jubent, ex simplici et plano; nec ita condemnatos quidquam ex eo subsidii capere volunt, quod libertatis propugnatores, sacri sint ordinis homines. Quæ cum ita sint, haud abs re primo defensori permissum erit, ut iis quidem, qui opem ecclesiasticam libertatis causa implorant, per jurisdictionem suam subveniat: at reliquorum ad Ecclesias confugientium causam tueatur, quemadmodum et ubi legibus est definitum: adeoque potius his assistat, et defendat eos ab inferentibus injuriam, sicuti nominis ipsius ratio postulat. Nam ita si se geret, ac sancte sancta servaverit, haud dubie venerationem merebitur. Et hæc quidem scripta sufficiant ad ea divertenda, quæ a primo defensore proferuntur, ac jura convellunt, in quorum inculpata possessione chartularius est. Nunc de iis quoque dicendum, quæ pro chartulario faciunt. Vel dicat ea potius ipsum veritatis os, et sol justitiæ. Non enim ex nobis fabulam afferemus, instar illorum, quibus aures pruriunt ad orationem de eo quod ipsis expedit; et eorum more, qui ad æquam contradictionis examinant res controversas: sed citra fucum omnem ea simpliciter proponemus, quæ diuturnus usus, et longi temporis exercitio, et sacrarum Litterarum lectio nos docuerunt. Incipiendum igitur, unde præstat initium fieri: et a facultate majorem ad facultatem progrediendum.

Κεφαλὴ τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας ἐστὶ, μετὰ τὴν πρώτην ἄναρχον, καὶ ἀΐδιον, καὶ ἀπειροδύναμον κεφαλὴν, τὸν Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν, ὁ πνευματικὸς νυμφίος αὐτῆς ὁ κατὰ καιροὺς ἁγιώτατος οἰκουμενικὸς πατριάρχης. Τῶν γοῦν ἐκκλησιαστικῶν δικαίων διαιρουμένων διχῇ, εἴς τε τὰ διαφέροντα τῇ Ἐκκλησίᾳ πολυειδῶς, καὶ εἰς τὰ τῷ πατριάρχῃ προσκυρωθέντα κανονικῶς, ἐδέησε τοῖς τὰ τῆς Ἐκκλησίας ὀρθοτήσασιν ὀρθοδόξοις ἡμῶν αὐτοκράτορσιν, καταμερίσαι ταῦτα πρὸς πέντε σεκρέτων εὐαγῆ λογο-

Caput sanctissimæ Dei majoris Ecclesiæ, secundum caput illud primum initio carens et æternum, et infinitæ potentiæ, Dominum Deumque nostrum Jesum Christum, est spiritualis ille sponsus ejus, sanctissimus cujusque temporis universalis patriarcha. Cum autem ecclesiastica jura bifariam dividantur, videlicet, in ea, quæ variis modis ad ipsam Ecclesiam pertinent; et in ea, quæ per canones peculiariter addicta sunt patriarchiæ: oportuit omnino principes nostros orthodoxos, qui rebus Ecclesiæ certam legem dederunt, hæc disper-

tiri in quinque secretorum religiosa ratiocinia ; atque horum administrationem certis ministris committere. Nam minime conveniebat ipsum patriarcham, tam insigniter in omnibus speciem sponsi præ se ferentem, occupari tractando rastro, mancipiisque satiandis. Inde igitur in hunc usque diem, a quinque præsidibus quos magistratus. Exocatacœlos dicimus, tanquam a quinque sensibus hæc administrantur : nimirum a magno œconomo, a magno sacellario, a magno scevophylace, a chartulario, et ea præside sacellii. Magnus œconomus prædiorum ecclesiasticorum curam gerit : magnus sacellarius tam urbana, quam ulterius sita monasteria curat (cum urbis imperatricis decima tertia regio, sit ejus regio extrema), de sacris cimeliis sollicitus est magnus ille vasorum custos : ecclesiarum in genere, atque etiam emphyteusium administratio, penes sacellii præfectum est.

Chartularius autem pro sua parte solus ea dirigit, quæ jure pontificatus ad patriarcham pertinent. Et quo quidem pacto cæterorum quatuor præsidum institutiones seu electiones fieri debere sancitum sit, et quot nam quilibet horum chartularios laboris consortes habeat, quotve suo in secreto ministros, alienum hoc loco fuerit dicere. Non enim de his loqui nunc instituimus. Unde vero, et qualiter id venerationis in signis chartophylaci tribuatur, ut os et manus patriarchæ nuncupetur, inquirendum. Et quia nonnulli nomen chartophylacis ex eo derivant, quod membranas sive codices custodiat : ante omnia tollendum, quod inde nasci posset, scandalum. Chartophylax non est, uti quidam perhibent, custos secreti, et janitor (nam ostiariorum vetus ea professio est), sed idoneus jurium episcopalium curator. Sic enim et nomophylacem, et scevophylacem castrorum principis dicimus. Quod si fortiter hoc inficiantes quærant, qui fiat, ut aliorum secretorum præsides, non dicantur custodes, cum quidem rerum administratores sint ; cur unus, magnus vocetur œconomus ; alius, magnus sacellarius, alius, sacellii præfectus : audiant, idem esse nomen œconomi, custodis, sacellarii et sacellii præfecti. Nam apud Romanos sacellum ab administratione et custodia dicitur. Atque etiam hinc sacella patriarchalis, qua malefici custodiuntur, non aliunde appellata est ; sicut et saculium. Sacellarius quidem dicitur monasteriorum administrator : et præfectus sacelli deminutive, ecclesiarum in genere curator. Cæterum ne hi quinque præsides unum duntaxat haberent nomen, placuit diversorum officiorum appellationibus eos ampliores reddi debere. Quo fit, ut actionum finibus idem existentes, officiorum vocabulis distinguantur. Hoc modo recte sublato dubio, quod adversus chartophylacem tacite nasci poterat reliqua etiam declaranda veniunt. Munus chartularii varium et multiplex est. Idcirco sanctissimus pro tempore patriarcha, velut alterum Aaronem, hunc deligens, cum Mose dicit ad Dominum : « Inspiciat

A θέσια · καὶ ἀναθεῖναι τὴν τούτων διοίκησιν διακονηταῖς. Οὐδὲ γὰρ ἔδει τὸν οὕτως ἀγακλεῶς ἐν πᾶσι νυμφοστολούμενον, περὶ σκαπάνην ἀσχολεῖσθαι καὶ δούλων χορτάσματα. Ἔκτοτε γοῦν καὶ μέχρι τοῦ νῦν παρὰ πέντε προκαθημένων, τῶν ἐξωκατακοίλων ἀρχόντων φημὶ, ὡς ὑπὸ πέντε αἰσθήσεων ταυτὶ διεξάγονται · ἦγουν τοῦ μεγάλου οἰκονόμου, τοῦ μεγάλου σακελλαρίου, τοῦ μεγάλου σκευοφύλακος, τοῦ χαρτοφύλακος, καὶ τοῦ σακελλίου. Καὶ ἔχει τῶν ἐκκλησιαστικῶν κτημάτων τὴν πρόνοιαν, ὁ μέγας οἰκονόμος · τῶν κατὰ πόλιν, καὶ τῶν περατικῶν μοναστηρίων τὴν μέριμναν (τρισκαιδέκατος γὰρ ῥεγιὼν τῆς βασιλευούσης τῶν πόλεων, ἡ περαία ταύτης ἐστὶν), ὁ μέγας σακελλάριος · τῶν ἱερῶν κειμηλίων τὴν ἐπιμέλειαν, ὁ μέγας σκευοφύλαξ · καὶ τῶν καθ-
B ολικῶν ἐκκλησιῶν, πρὸς δὲ καὶ τῶν ἐμφυτεύσεων τὴν διοίκησιν, ὁ σακελλίου.

Ὁ δὲ χαρτοφύλαξ κατευθύνει μονομερῶς τὰ τῷ πατριάρχῃ, δικαίῳ τῆς ἀρχιερωσύνης, ἀνήκοντα. Ὅπως μὲν οὖν τῶν ἄλλων τεσσάρων προκαθημένων τὰς προβλήσεις τετύπωται γίνεσθαι, καὶ πόσους ἕκαστον τούτων ἔχει χαρτουλαρίους τοῦ κέπου συμμεριστὰς, καὶ πόσους σεκρετικοὺς διακονητὰς, οὐκ ἔστι λέγειν καιρός. Οὐδὲ γὰρ περὶ τούτων εἰπεῖν προεθέμεθα. Ὅθεν δὲ, καὶ ὅπως ὁ χαρτοφύλαξ σεμνολογεῖται πανευκλεῶς, καὶ καλεῖται τοῦ πατριάρχου στόμα καὶ χεὶρ, ζητητέον. Ἐπεὶ δέ τινες πεῤ-
C ωνυμίζεσθαι τὸν χαρτοφύλακα θέλουσιν ἐκ τοῦ φυλάττειν μεμβράνας ἤτοι κωδίκια, περιαιρετέον πρὸ πάντων τὸ ἐκ τούτου φυόμενον σκάνδαλον. Ὁ χαρτοφύλαξ οὐκ ἔστιν, ὥς τινες λέγουσιν, φύλαξ τοῦ σεκρέτου, καὶ θυρωρὸς (τοῦτο γὰρ τῶν ὁσπιτάριων ἀρχαῖον ἐπάγγελμα)· ἐπισκοπικῶν δὲ δικαίων φροντιστὴς ἀξιόμαχος. Οὕτω γὰρ καὶ νομοφύλαξ καλεῖται, καὶ σκευοφύλαξ στρατοπέδου βασιλικοῦ. Εἰ δ' ἀπισχυρίζονται, πῶς τῶν ἄλλων σεκρέτων οἱ προ-
D καθήμενοι, φύλακες οὐ κατονομάζονται, καὶ ταῦτα πραγμάτων ὄντες διοικηταί · ἀλλ' ὁ μὲν, μέγας οἰκονόμος καλεῖται· ὁ δὲ, μέγας σακελλάριος · ὁ δὲ, σακελλίου · ἀκουσάτωσαν, ὡς ταυτόν ἐστιν εἰπεῖν, οἰκονόμον, φύλακα, σακελλάριον, καὶ τὸν σακελλίου. Παρὰ γὰρ τοῖς Ῥωμαίοις σάκελλον, παρὰ τὸ διοικεῖν καὶ φυλάττειν ἐστί. Καὶ ἡ τοὺς κακούργους δὲ φυλάττουσα πατριαρχικὴ σακέλλη ἐντεῦθεν, καὶ οὐκ ἄλλοθεν μετωνόμασται, ὥσπερ δὴ καὶ τὸ σακκούλιον. Λέγεται γοῦν σακελλάριος, ὁ τῶν μοναστηρίων διοικητὴς · καὶ ὁ σακελλίου ὑποκοριστικῶς, ὁ τῶν καθολικῶν ἐκκλησιῶν φροντιστής. Ἵνα δὲ ἡ τῶν προκαθημένων πεντὰς μὴ ταυτωνυμίζηται, ὡρίσθη διαφόρων ὀφφικίων ὀνόμασιν αὐτὴν μεγεθύνεσθαι. Τῷ τοι καὶ ταυτιζομένῃ τῶν ἐνεργειῶν τοῖς ἀποτελέσμασι, μερίζεται τῶν ὀφφικίων ταῖς κλήσεσιν. Οὕτω γοῦν περιπιρουμένης καλῶς, τῆς ἐκ τῆς φυλακῆς ὑποκλεπτομένης ἀσαφείας κατὰ τοῦ χαρτοφύλακος, σαφηνιστέον καὶ τὰ λοιπά. Τοῦ χαρτοφύλακος ἡ ἐνέργεια πολυειδὴς καὶ πολυσχιδὴς ἐστι. Διὸ καὶ ὁ κατὰ καιροὺς ἁγιώτατος πατριάρχης, ὡς

ἄλλον Ἀαρὼν τοῦτον ἐπιλεγόμενος, λέγει μετὰ Μωσέως πρὸς Κύριον· « Ἐπισκεψάσθω Κύριος ὁ Θεὸς τῶν πατέρων καὶ πάσης σαρκὸς, ἄνθρωπον ἐπὶ τῆς συναγωγῆς ταύτης, ὅστις ἐξελεύσεται ἀπὸ προσώπου ἐμοῦ », καὶ ὅστις εἰσελεύσεται πρὸ προσώπου αὐτῶν, καὶ ὅστις εἰσάξει αὐτοὺς ὡς ἐμὲ, καὶ ὅστις ἐξάξει αὐτοὺς ἐξ ἐμοῦ· καὶ οὕτως ἐπιτίθησι τὰς χεῖρας αὐτοῦ ἐπ' αὐτὸν, καὶ δίδωσιν αὐτῷ τὴν δόξαν αὐτοῦ, ὅπως ἀκούωσιν αὐτοῦ οἱ υἱοὶ Ἰσραήλ. Ἐγχειρίζει τούτῳ καὶ χρυσοῦν ὡς ἂν τις εἴποι δακτύλιον, καθὼς εἶπε Κύριος πρὸς Μωσῆν· καὶ ἐπιθήσεις τὸ λογεῖον ἐπὶ τὸ στῆθος τοῦ Ἀαρὼν, καὶ ποιήσεις δακτύλιον χρυσοῦν, καὶ συναρμολογήσεις αὐτὸν τοῦ Λογείου τοῖς χείλεσιν, ἐφ' ᾧ δι' αὐτοῦ τῶν υἱῶν Ἰσραὴλ ἀπογράφεσθαι τὰ ὀνόματα. Ποῖος δὲ οὗτός ἐστι; Τὸ πατριαρχικὸν βουλλωτήριον, τὸ παρὰ τῷ στήθει τοῦ χαρτοφύλακος ἀπῃωρημένον, ὡς εἴωθε, δοχεῖῳ καθεστηκότι λογικοῦ παντοίου σπουδάσματος (Τοῖς γὰρ ἀξίοις, φησὶ, δοτέον τὰ ἀξιώματα) δι' οὗ τοὺς ὁλοθρευτὰς ἀσφαλίζεται σὺν σφραγῖδι καὶ χάριτι, τοὺς ἁμαρτωλοὺς ἐπιστρέφει σὺν γραφίδι καὶ μέλανι, τοὺς καταπονουμένους διεκδικεῖ σὺν βακτηρίᾳ καὶ σύριγγι, καὶ τοὺς ἀξίους τῷ πνεύματι χαρισμάτων ἱερατικῶν ἀξιοῖ· τοὺς μὲν ἐκτὸς τοῦ βήματος, κληρικοποιῶν· τοὺς δὲ ἐντὸς, τελειοποιῶν. Διὰ τούτου καὶ κατὰ πᾶσαν τὴν οἰκουμένην σχεδὸν πατριαρχικὰ καταγράφεται καὶ δίδωσι σταυροπήγια, καὶ πολλῶν πόλεων ἐκκλησιαστικὰ μετατίθησι κάρηνα, εἰς τῆς πρώτης κεφαλῆς τὸ ἀνάκτορον. Δίδονται διὰ τούτου τῷ χαρτοφύλακι καὶ αἱ κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, ὡς ὑπὸ τοῦ Κυρίου τῷ φίλῳ Πέτρῳ καὶ μαθητῇ. Φησὶ γὰρ, οἷον πρὸς αὐτὸν, ὁ μέγας ἀρχιερεύς· Ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον καὶ ἐν τοῖς οὐρανοῖς. Καὶ τὸ πάντων καινότερον, οὐ μόνον οὗτος τοσαύτης ἐξουσίας ἐπλούτησε χάρισμα, ἀλλὰ καὶ οἱ ἐξ αὐτοῦ τὴν χάριν ταύτην λαμβάνοντες. Ἐπιτρέπει γὰρ ἱερατεύουσι μοναχοῖς, ἀνθρώπων δέχεσθαι λογισμοὺς, καὶ διαῤῥήσσειν ἁμαρτημάτων χειρόγραφα· ὅπερ μόνοις ἐπισκόποις ἀπὸ τοῦ παναγίου δέδοται Πνεύματος. Ἂν ἴδῃς δὲ τοῦτον συνοδικῶς σχεδιάζοντα ὅσα λαλῶν λαλήσει Μωσῆς, κἀκεῖνα κρουνηδὸν ἀποστοματίζοντα, ὅσα νεφελώσει καὶ ὑδατώσει τῆς κεφαλῆς ἡ ἀκρώρεια, οὐ ζητήσεις ἰδεῖν Ἀαρὼν θεογράφων πλακῶν ἀπαγγέλλοντα ῥήματα, οὐδὲ Βαροὺχ περιδεξίως ἀπογραφόμενον τῆς Ἰουδαίας τὴν ἅλωσιν· ἀρκεσθήσῃ δὲ τοῖς οὕτω πραττομένοις ὑπὸ τοῦ χαρτοφύλακος, καὶ Δευτερονόμιον συμπεραίνουσι. Πρὸς τούτοις θαύμασον, πῶς τῶν θείων κανόνων μόνοις ἐκχωρησάντων τοῖς ἐν πόλεσιν ἀρχιερατεύουσι τὴν τοῦ διδάσκειν τὸν λαὸν σεμνοπρέπειαν, ὁ χαρτοφύλαξ καὶ μόνος τὸ διδάσκειν κατηχητικῶς τὸν λαὸν ἐπ' ἐκκλησίας ἀπεκληρώσατο· πῶς τὰς πατριαρχικὰς διαγνώσεις καλλιγραφεῖ, καὶ ὑπογραφαῖς οἰκείαις καὶ σφραγῖσι κατεμπεδοῖ· καὶ πῶς δικαστηρίου μεγάλου προκάθηται καὶ δικαιοδοτεῖ κατὰ μὲν παντὸς ἀνθρώπου, κἂν οἵας ἂν εἴη τύχης καὶ φύσεως, περὶ ἐκκλησιαστικῶν ζητημάτων, καὶ

Dominus Deus patrum nostrorum, et universæ carnis, hominem in hoc cœtu, qui egrediatur a facie mea, » et ingrediatur ante faciem eorum, et introducat eos ad me, et abducat eos a me : quibus dictis, manus ei suas imponit, et dat ei gloriam suam, ut audiant eum filii Israelis. Etiam ei porrigit in manum annulum aureum, sicut et Dominus ad Mosem dixit : Et impones Rationale super Aaronis pectus, et annulum facies aureum, et accommodabis eum labris ipsius Rationalis, ut per eum nomina filiorum Israelis describantur. Et quinam is est ? Patriarchale bulloterium, pro more suspensum ad chartularii pectus, receptaculum studii doctrinarum omnis generis, (dignis enim, quod aiunt, concedenda sunt dignitates), quo internecivos munit cum sigillo et gratia, peccatores convertit cum stilo et atramento, gravatos afflictionibus defendit cum baculo et fistula, dignos denique spiritus donis sacerdotalibus afficit : dum eos qui extra gradum constituti sunt, clericos facit ; gradu comprehensos, perficit. Hoc patriarchalia describit et dat stauropegia per universum prope terrarum orbem, ac multarum urbium ecclesiastica capita transfert ad primi capitis regiam. Dat etiam chartulario patriarcha claves regni cœlorum, sicuti caro illi Petro, eidemque discipulo datæ sunt a Domino. Quippe sicut Dominus ad hunc, ita magnus pontifex ad illum : Quidquid solveris, inquit, in terra, solutum erit in cœlis : et quidquid ligaveris in terra, ligatum etiam in cœlis erit. Et quod inprimis est novum, non solum hic tantæ potestatis largam consecutus est gratiam : verum etiam iis, qui gratiam hanc ab ipso accipiunt. Facit enim potestatem monachis sacerdotum munus suscipientibus, audiendi rationes hominum, et peccatorum chirographa discerpendi : quod alioqui solis episcopis a Spiritu sancto concessum est. Quod si videas illum in synodo citra meditationem ea profereutem, quæ vel ipse, si dicendum ei foret, in medium afferret Moses : itidemque silani in morem ea pronuntiantem, quæ capitis ipsi vertex instar nubis et aquæ suppeditat : Aaronem videre non desiderabis, scriptarum divinitus tabularum verba recitantem ; neque Baruchum, dextre captivitatem Judææ describentem : sed contentus iis eris, quæ chartularius aget, quæque Deuteronomium perficiunt. Est præterea quod mireris, cum sacri canones permiserint urbium duntaxat pontificibus auctoritatem docendi populum ; nihilominus chartularium solum more catechetico populum in ecclesia docendi potestatem sortitum esse : patriarchales eumdem cognitiones in litteras referre, suisque subscriptionibus et sigillis munire : magno præsidere tribunali, et jus cum homini cuivis dicere, cujuscunque tandem fortunæ sit ac sexus, in quæstionibus ecclesiasticis, et animi delictorum emendatione : tum vero sacerdotibus et monachis, in quavis criminali et civili causa. Quippe vel ad ipsas usque Gades jurisdictio chartularii pertinet, si quis concesserit, etiam illic

aliquos habitare, solio Constantinopolitano subjectos.

χρηματικῆς αἰτιάσεως. Περᾷ γὰρ καὶ μέχρι Γαδείρων τις κἀκεῖσέ τινας κατοικεῖν ὑποκειμένους τῷ θρόνῳ

Jam vero, quod præsidet ipse duodecim patriarchalibus notariis, eam ex sede fidem habentibus, quam habent duodecim notarii tam Veli, quam Hippodromi judicum (mitto namque dicere, bis duodecim : cum patriarcharum humanitas et submissio pertrahi se non patiatur ad evertendum ea, quæ antiquitus in usu sunt), ac ratione consimili, quod præsidet ante metropolitanos in electionibus episcoporum ad vacantes ecclesias, et in iis publicis congressibus, qui extra patriarchale tribunal fiunt, imo etiam in festorum publicis cærimoniis atque conventibus, non solum ipsas intra partes ecclesiæ, verum etiam quovis in loco, quod nulli concessum est diacono, propterea quod disertis verbis a XVIII canone sanctæ ac universalis primæ synodi prohibeatur; quonam quæso referes, auditor prudentissime? Omnino fateberis horum omnium potestatem ei tributam propterea, quod existimetur esse os, et labra, et manus quodam modo patriarchæ. Abripit me proclivis impetus animi, ut dicam, et accurate declarem, quam ob causam supra cæteros præsides solus chartularius ordines ecclesiasticos majoris auctoritatis causa geminos habeat, episcopianorum videlicet, ac secreticorum. Sed quoniam institutionis horum insigne quoddam fundamentum est, ac res ipsa postulat, hoc ipsum quoque veritatis exhibendæ causa examinari : paulisper differamus eam orationem, qua supradictos in ordines disquiremus, ac dicamus; quamobrem præter id, quod sacris canonibus continetur, chartularius diaconorum in numero consistens, ante pontifices sedeat. Hæc pervulgata quæstio multa diversis temporibus excitavit scandala, varieque disceptata fuit inter chartularium et pontifices solii Constantinopolitani. Cumque cognitio patriarchalis, pontificibus favens, eisdem obiter arrideret, ob indicati superius canonis sententiam : prolatum est edictum clarissimi principis, domini Alexii Comneni, quo hæc ad verbum continentur :

« Ecclesiastici (62) decori curam majestas mea gerens, et cum in omni civili statu bonum ordinem requirens, tum in hoc studiosus incumbens, ut is magis etiam sacris in rebus observetur; privilegia cuique graduum ecclesiasticorum jam olim tributa, eumque statum, qui hactenus in eis viguit, etiam delinceps immutabilem subsistere ac permanere cupit, et æquum censet, sanctissime domine, velut a tot annis acceptum, et longo jam spatio temporis observatum, et perpetuis ab uno tempore in aliud progressionibus hucusque citra mutationem præclare confirmatum ac sta-

A σφαλμάτων ψυχικῶν διορθώσεως. Κατὰ δὲ ἱερωμένων καὶ μοναχῶν, περὶ πάσης ἐγκληματικῆς καὶ αὐτῶν ἡ δικαιοδοσία τοῦ χαρτοφύλακος, εἰ δοίη

Τὸ δὲ προκαθῆσθαι τοῦτον δωδεκάδος πατριαρχικῶν νοταρίων αὐτοπιστίαν ἐχόντων, οἵαν ἔχει καὶ ἡ δωδεκὰς τῶν τοῦ Βήλου καὶ τοῦ Ἱπποδρόμου κριτῶν (ἐῶ γὰρ εἰπεῖν δωδεκάδος διπλῆς, ὅτι τῶν πατριαρχῶν ἡ φιλανθρωπία καὶ συγκατάβασις οὐχ ἕλκεται πρὸς ἀναίρεσιν τῶν νενομισμένων ἀνέκαθεν), ὡσαύτως καὶ τὸ προκαθῆσθαι τῶν μητροπολιτῶν ἐν ταῖς ψήφοις τῶν χηρευουσῶν ἁγιωτάτων ἐκκλησιῶν, καὶ ἐν ταῖς ἔξωθεν τοῦ πατριαρχικοῦ βήματος γινομέναις κοιναῖς συνελεύσεσιν, ἀλλὰ μὴν καὶ ἑορτασίμοις πανδήμοις τελεταῖς τε καὶ πανηγύρεσιν, B οὐ μόνον ἐντὸς τῶν τῆς ἐκκλησίας μερῶν, ἀλλ' ἐν τόπῳ παντὶ, ὅπερ οὐδενὶ διακόνῳ πεφιλοτίμηται, διὰ τὸ ῥητῶς ὑπὸ τοῦ ιη' κανόνος τῆς ἁγίας καὶ οἰκουμενικῆς πρώτης συνόδου κωλύεσθαι, τοῦ θήσεις, ἀκροατὰ συνετώτατε; Πάντως ἂν εἴποις τούτων πάντων δοθῆναι τὴν ἐξουσίαν αὐτῷ, διὰ τὸ λογίζεσθαι στόμα, καὶ χεῖλη, καὶ χεῖρας ὡσανεὶ πατριαρχικάς. Ἕλκει με τὸ πρόθυμον εἰπεῖν καὶ ἐπεξεργάσασθαι, τίνος χάριν παρὰ τοὺς ἄλλους προκαθημένους ὁ χαρτοφύλαξ καὶ μόνος διττοῖς ἐκκλησιαστικοῖς μεγαλύνεται τάγμασιν, ἐπισκοπειανοῖς δηλαδὴ καὶ σεκρετικοῖς. Ὅτι δὲ τῆς τούτων εὑρέσεως ὑποβάθρα τις τιμήεσσα πρόκειται, καὶ τὸ πρᾶγμα παρακαλεῖ καὶ ταύτην ἀργυρογνωμονῆσαι διὰ τὴν C τῆς ἀληθείας παράστασιν, ἀναμεινάτω πρὸς μικρὸν ὁ λόγος τὴν τῶν ῥηθέντων ταγμάτων συζήτησιν, καὶ ῥητέον, τίνος χάριν παρὰ τὴν τῶν θείων κανόνων περίληψιν, ἐν διακόνοις ὁ χαρτοφύλαξ ταττόμενος, τῶν ἀρχιερέων προκάθηται. Τὸ ζήτημα τοῦτο τὸ πολυθρύλλητον πολλὰ κατὰ διαφόρους καιροὺς ἀνήγειρε σκάνδαλα, καὶ μεγάλη τούτου κατεξέτασις γέγονε μέσον τοῦ χαρτοφύλακος καὶ τῶν ἀρχιερέων τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως. Καὶ τάχα μειδιώσης ἀκροθιγῶς τῆς ὑπὲρ τῶν ἀρχιερέων πατριαρχικῆς διαγνώσεως διὰ τὸν τοῦ ῥηθέντος ἀνωτέρω κανόνος περίληψιν, προεκομίσθη πρόσταγμα τοῦ ἀοιδίμου βασιλέως, κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τάδε κατὰ ῥῆμα διαλαμβάνον·

D « Ἡ βασιλεία μου τῆς ἐκκλησιαστικῆς εὐκοσμίας φροντίζουσα, καὶ τὸ εὔταχτον καὶ ἐν παντὶ μὲν ζητοῦσα τῷ πολιτεύματι, ἐπιπλέον δὲ τοῖς θείοις τοῦτο ἐμπολιτεύεσθαι διὰ σπουδῆς τιθεμένη, τὰ ἀρχῆθεν ἀπονενεμημένα προνόμια ἑκάστῳ τῶν ἐκκλησιαστικῶν βαθμῶν, καὶ τὴν ἄχρι καὶ δεῦρο ἐπικρατήσασαν ἐν τούτοις κατάστασιν, κατὰ τὸ ἀναλλοίωτον καὶ εἰς τὸ ἐξῆς εἶναι καὶ διαμένειν βούλεταί τε καὶ εὐδοκεῖ, ἁγιώτατε δέσποτα, ὡς καὶ παραδεχθεῖσαν διὰ τοσούτων ἐτῶν, καὶ τῷ μακρῷ χρόνῳ ἐμπολιτευσαμένην, καὶ ταῖς ἀπ' ἄλλου εἰς ἄλλον κατὰ τὸ ἀνεξάλλακτον ἕως τοῦ νῦν μεταβήσε-

NOTÆ.

(62) Vide novellam x Alexii Comneni.

σιν ἐπικριθεῖσαν καὶ βεβαιωθεῖσαν καλῶς. Ἐπεὶ δὲ νῦν ἡ βασιλεία μου μάθοι, ὡς τινες τῶν ἀρχιερέων ἀντιφιλοτιμούμενοι πειρῶνται τὸ τοῦ χαρτοφύλακος ὑποβιβάσαι προνόμιον, καὶ κανόνας εἰς μέσον προφέροντες, διὰ τούτων φιλονεικοῦσι μὴ προκαθῆσθαι αὐτὸν τῶν ἀρχιερέων, ὁπηνίκα δέοι τούτους συνέρχεσθαι κατά τινα χρείαν, καὶ συνεδριάζειν κατὰ ταυτὸν, πρὸ τῆς εἰς τὴν ἀγιωσύνην σου εἰσελεύσεως, οὐκ ἀνασχετὸν τῇ βασιλείᾳ μου ἔδοξε, πρᾶγμα διὰ τοσούτου χρόνου βασανισθὲν, καὶ τοῖς πρὶν πατριάρχαις καὶ τοῖς ἄλλοις ἀρχιερεῦσιν, ἀλλὰ δὴ καὶ αὐτοῖς τοῖς νῦν οὐκ ἐπ' εὐλόγῳ ἐρίζουσι πράγματι διὰ τῆς πολυημέρου δεχθὲν σιωπῆς, κατὰ τὸ παρέλκον ἀθετηθῆναι, καὶ ὥς τι τῶν ἠμελημένων παρασυρῆναι. Τοίνυν καὶ διορίζεται πράγματι εὔλογον καὶ πάνυ δίκαιον τοῦτο. Εἰ μὲν γὰρ αἱροῖντο καὶ πάλιν οἱ ἀρχιερεῖς μὴ κινεῖν τὰ ἀκίνητα, μηδὲ τὰ τοῖς πρὶν δεδογμένα Πατράσιν, ἀλλὰ δὴ καὶ αὐτοῖς διὰ τῆς μακρᾶς συνδόξαντα σιωπῆς, καὶ τῆς ἕως τοῦ νῦν ἀνοχῆς, ἐκ παλιμβολίας ὥσπερ ἀναπαλαίειν, εὖ ἂν ἔχοι, καὶ χάρις, ὅτι τὸ μάχιμον καταθέμενοι, τὸ εἰρηναῖον προτετιμήκασιν. Εἰ δὲ καὶ ἔτι τούτων τινὲς τῶν τοῦ κανόνος ῥημάτων ἀντιποιούμενοι, (τῆς γὰρ ἐννοίας πόῤῥω ἀποδιεστήκασι) πειρῶνται τὸ οἰκεῖον συστῆσαι θέλημα, καὶ ἐπὶ τὸ ἄτακτον οὐ καλῶς τὴν τάξιν μεταβιβάζουσιν, ἐᾷ μὲν νῦν ἡ βασιλεία μου τὴν τοῦ κανόνος ἑρμηνεῦσαι καὶ σαφηνίσαι ὑφὴν, ῥᾴστην οὖσαν καταληφθῆναι καὶ διαγνωσθῆναι καλῶς τοῖς βάπτουσιν εἰς ἀκρίβειαν, καὶ κανονικῆς ἐννοίας θιγγάνουσιν· αὐτὸ δὲ τοῦτο τοῖς ἀρχιερεῦσιν ἐπιτιμᾷ, τί δή ποτε τὸν κανόνα εἰδότες, καὶ τὰ ῥήματα τούτου ἐξακριβούμενοι, τὴν ἑαυτῶν συνείδησιν ἀνευλόγως ἐπάτησαν, καὶ τοῦ κανόνος παραῤῥιπτουμένου ἠνείχοντο, καὶ τὴν ὑφεδρίαν ἐπὶ τῶν πρὶν χαρτοφυλάκων ἠσπάζοντο· καὶ μισθὸν τούτοις τῆς τῶν ἱερῶν κανόνων περιφρονήσεως τὴν ἐπὶ τὰς λαχούσας αὐτοὺς Ἐκκλησίας ἀπέλασιν, δίδωσι, κανόνι στοιχοῦσα κάνταῦθα ἐκκλησιαστικῷ, καὶ τοῖς περιφρονηταῖς τῶν κανόνων, ἐκείνους αὐτοὺς τοὺς ἱεροὺς κανόνας εἰς ἄμυναν ἀντεξάγουσα. »

Καὶ ἐπεὶ μετὰ τὴν τούτου προκομιδὴν τὰ ἀπὸ μακρᾶς συνηθείας κραθήσαντα, καὶ διὰ βασιλικοῦ προστάγματος γεγόνασι κραταιότερα, προκάθηται μέχρι τοῦ νῦν παντὸς ἀρχιερατεύοντος, κἂν τύχῃ τοῦτον καὶ βασιλικὸν ἔχειν ἀξίωμα, ὑπερτίμου ἢ πρωτοσυγκέλλου τυχόν. Καὶ τότε μὲν οὕτω διευλυτώθη τὸ ὄῆθεν ἀμφίβολον. Ἐγὼ δὲ τῷ βασιλικῷ διορισμῷ κατὰ τὸ νενομισμένον ἀκολουθῶν, τῇ κατασκευαζούσῃ γνώμῃ τὴν προεδρίαν τοῦ χαρτοφύλακος διὰ μόνην τὴν ἄγραφον μακροτάτην συνήθειαν, τὴν ἀντὶ νόμου παραλαμβανομένην, ὡς γέγραπται, οὐ προστίθεμαι. Οἶδα γὰρ τότε τὴν μακρὰν συνήθειαν ἀντὶ νόμου κρατεῖν, δοκιμασθεῖσαν πάντως δικαστικῶς, ὅτε νόμοι καὶ κανόνες διὰ ταύτης οὐ παραλύονται. Λέγω δὲ τὴν προεδρείαν ἔχειν τὸν χαρ-

bilitum. Quia vero nunc majestas mea didicit, quosdam pontifices ambitione quadam impulsos, chartularii dignitatem deprimere velle, perque canones in medium productos contendere, non illi sessionem supra pontifices competere, quoties eis alicujus negotii causa conveniendum sit, et una considendum in senatu, ante accessum ad sanctitatem tuam : minime ferendum majestati meæ visum est, ut res tanto jam tempore probata, et a superioribus patriarchis, ac pontificibus aliis, atque illis ipsis adeo, qui jam non justa de causa rixantur, diuturno silentio admissa, urgente nulla ratione aboleatur, et quasi neglectum aliquid convellatur. Quapropter quiddam rationi valde consentaneum et æquum statuit. Quippe si adhuc pontifices immota non movere vellent, nec quæ placuere superioris memoriæ Patribus, et ipsismet longo silentio patientiaque ad hodiernum usque diem comprobata fuerunt, ex inconstantia velut oppugnare recte facerent, et habendæ ipsis gratiæ, quod abjecto pugnandi studio, pacem potius amplexi essent. At vero si quidam adhuc verba canonis usurpantes, (quando a sententia longe absunt) libidinem suam probare nituntur, ordinemque nequiter in confusionem inordinatam commutant : canonis quidem majestas mea contextum interpretari ac declarare mittit, perceptu et intellectu facillimum iis, qui subtilitate sunt imbuti, mentemque canonis attingunt : verum hoc in pontificibus reprehendit, quod cum canonem nossent, ejusque verba peraccurate tenerent, suam ipsorum conscientiam præter rationem conculcarint, et rejici canonem passi sint, ac inferiorem sessionem sub memoriæ superioris chartulariis amplexi fuerint. Ideoque pro sacrorum canonum contentu, mercedem hanc eis [majestas mea] tribuit, ut suas ad Ecclesias abigantur ; ecclesiastici canonis etiam hac in parte vestigiis insistens, et adversus canonum contemptores, ipsos canones sacros in subsidium producens. »

Et quoniam hoc promulgato ea, quæ longa consuetudine invaluerant, per ipsius etiam principis edictum magis stabilita fuerunt : chartularius in hunc usque diem sedet ante quemlibet pontificem, licet dignitatem habeat ab ipso principe concessam, ut hypertimi, vel protosyncelli. Ac tunc quidem ambiguum hoc ita solutum fuit. Ego vero sicut imperatoris sanctioni, prout legibus receptum est, assentior : ita sententiam, chartulario primam sessionem astruentem, per solam non scriptam longissimi temporis consuetudinem, quæ legis (ut antea scripsimus) loco ducitur (63), minime probo. Quippe tunc scio diuturnam consuetudinem pro lege valere, omnino tamen in judicio prius examinatam, cum leges et canones

NOTÆ.

(63) l. 34 D. *De legib.* et l. 3. C. *Quæ sit long. consuet.*

per eam non debilitantur. Igitur aio, chartularium habere primam sessionem etiam secundum id, quod sacris canonibus continetur : quod sane sacra principis circumspectio tunc sponte reticuit. Nam licet indicatus ille Nicæni primi concilii canon statuit, diaconum nec participare, nec sedere ante sacerdotes, septimus tamen canon sanctæ ac universalis sextæ synodi jubet, ut is, qui personam patriarchæ, vel simpliciter episcopi gerit, ante sacerdotes sedeat. Ideoque magnus ac sanctus etiam Cyrillus, Alexandrinus papa, capiti fasciam circumdedit auream, quo tempore sanctæ et universali tertiæ synodo præfuit. Quippe Celestini locum obtinebat ejus, qui Romanam tunc regebat Ecclesiam; quemadmodum liquet ex actis ejusdem synodi tertiæ. Et qua Celestinus utebatur gloria, secundum sanctionem apostolis æqualis illius sancti magnique Constantini, factam ad sanctum Silvestrum, cum imperii sceptra per Dei providentiam ex veteri Roma transferrentur in hanc urbem urbium principem; qua statuitur, aurea fascia tum ipsius sancti Silvestri, tum successorum ejus, pontificum Romanorum caput condecorari debere : eadem et Cyrillus exornabatur. Quamobrem et ii, qui post ipsum Alexandriæ pontificatum gessere, propter æternam memoriam ejus, quod tunc decretum fuit, eodem modo in hunc usque diem titulo suo cohonestantur. Cumque omnes alii capitibus apertis res sacras peragant, solus Alexandrinus patriarcha rem divinam facit, fascia dicta caput obvolutus. Quinetiam XII illos cardinarios Papæ consimiliter videmus pileis aureis ornatos (64), veluti Papæ personam repræsentantes, ejusque jura fulcientes. Nam appellatione cardinis apud Romanos postes forium veniunt. Itaque consentaneum est, eos haud dubie verum dicere, qui perhibent, etiam cujusque temporis chartularium aurea ejus modi tiara, certos ante annos, in publicis quibusdam conventibus usum, qui non tantum pro more haberentur in Ecclesiis, verum etiam in processionibus, et foris publicis. Atque equidem certo scio, in hunc usque diem repositum esse pileum ejus modi auro interspersum in arca chartularii : neque longum intercedit, ac remotum temporis spatium, sed rei memoria recens est. Nec ignobilis invidia, vel imperita scilicet religio, magnum ejusmodi privilegium hujus officii abolevernnt. Quippe per ipsam te veritatem obtestor, per charitatem fraternam, per amorem erga Deum, dic mihi, quodnam majus fuerit operæ pretium, quam chartularium videre nonnunquam per forum procedentem cum auro interspersa tiara, qui mulo vehatur, et more patriarchali ornatus sit albo linteo, quemadmodum id quoque per indicatam san-

A τοφύλακα, κατὰ τὴν τῶν θείων κανόνων περίληψιν, τοῦτο ὅπερ ἡ βασίλειος θεία περιωπὴ ἐκοντὶ τηνικαῦτα παρεσιώπησε. Κἂν γὰρ ὁ ῥηθεὶς τῆς ἐκ Νικαίας πρώτης συνόδου κανὼν διορίζηται, μὴ μεταλαμβάνειν μηδὲ καθῆσθαι πρὸ τῶν ἱερέων διάκονον, ἀλλ' ὁ ζ' κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου παρακελεύεται, τὸν ἐπέχοντα πρόσωπον πατριαρχικὸν ἢ ἁπλῶς ἐπισκοπικὸν, πρὸ τῶν ἱερέων καθέζεσθαι. Διὸ καὶ ὁ μέγας ἅγιος Κύριλλος ὁ πάπας Ἀλεξανδρείας, ἐπὶ κεφαλῆς χρυσοῦν λῶρον περιεβέβλητο, ὅτε τῆς ἁγίας καὶ οἰκουμενικῆς τρίτης συνόδου προΐστατο. Ἐπεῖχε γὰρ καὶ τὸν τόπον τοῦ Κελεστίνου, τοῦ τὴν Ἐκκλησίαν τῆς Ῥώμης ἰθύνοντος, καθὼς τοῦτο παρίστανται ἐκ τῶν πρακτικῶν τῆς τρίτης συνόδου. Καὶ ὡς ἐκεῖνος ἐμεγαλύ-
B νετο, κατὰ τὸ θέσπισμα τοῦ ἰσαποστόλου ἁγίου μεγάλου Κωνσταντίνου, τὸ γεγονὸς πρὸς τὸν ἅγιον Σίλβεστρον, ὅτε τὰ σκῆπτρα τῆς βασιλείας ἐκ τῆς παλαιᾶς Ῥώμης κατὰ Θεοῦ πρόνοιαν μετετέθησαν εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, καὶ διοριζόμενον, μετὰ χρυσοπάστου λώρου τὴν τοῦ ἁγίου Σιλβέστρου κεφαλὴν, καὶ τῶν μετ' αὐτὸν ἀρχιερέων τῆς Ῥώμης κατακαλλύνεσθαι, καὶ αὐτὸς τοιουτοτρόπως καθωραΐζετο. Κἀντεῦθεν καὶ οἱ μετ' ἐκεῖνον εἰς Ἀλεξάνδρειαν ἀρχιερατεύοντες, διὰ μνήμην αἰώνιον τοῦ τότε συνοδίξαντος, ὡσαύτως μέχρι τοῦ νῦν κατακοσμοῦνται στηλογραφούμενοι. Καὶ πάντων ἀπερικαλύπτοις ἱερουργούντων ταῖς κεφαλαῖς, μόνος ὁ πατριάρχης Ἀλεξανδρείας ἱερουργεῖ μετὰ τοῦ λώρου
C τὴν κεφαλὴν καλυπτόμενος. Καὶ τοὺς δώδεκα δὲ Καρδηναρίους τοῦ Πάπα παρομοίως βλέπομεν κεκοσμένους χρυσοῖς ἐπιβλήμασιν, ὡς ἀντιπροσωποῦντας τῷ Πάπα, καὶ τὰ τούτου στηρίζοντας δίκαια. Κάρδων γὰρ παρὰ Ῥωμαίοις, αἱ φλιαὶ τῶν θυρῶν ὀνομάζονται. Ἄραρεν οὖν ἀληθεύειν ἐναργῶς τοὺς λέγοντας καὶ τὸν κατὰ καιροὺς χαρτοφύλακα μετὰ τοιαύτης τιάρας χρυσῆς πρὸ μετρουμένων χρόνων τινῶν, ἔν τισι πανδήμοις δοξάζεσθαι πανηγύρεσιν, οὐ μόνον ἐπ' Ἐκκλησίας γινομέναις, ὡς εἴωθεν, ἀλλὰ καὶ ἐν προόδοις, καὶ ἀγοραῖς. Πεπληροφόρημαι
D δὲ καὶ αὐτὸς, ἀποκεῖσθαι μέχρι τοῦ νῦν εἰς τὸ τοῦ χαρτοφύλακος κιβώτιον, χρυσόπαστον τοιοῦτον ἐπίβλημα· καὶ χρόνος οὐκ ἔστι γηραλέος καὶ πέμπελος, ἀλλὰ νέος καὶ πρόσφατος. Καὶ φθόνος οὐκ ἀγενὴς, ἢ καὶ ἀπαίδευτος δῆθεν εὐλάβεια, τὰ τὸ τοιοῦτον σχολάσαντα μέγα τοῦ ὀφφικίου προνόμιον. Τί γὰρ, εἰπέ μοι πρὸς τῆς ἀληθείας αὐτῆς, πρὸς τῆς ἀδελφικῆς ἀγάπης, πρὸς τῆς κατὰ Θεὸν διαθέσεως, εἴη ἂν σπουδαιότερον, τοῦ βλέπειν ἔστιν ὅτε τὸν χαρτοφύλακα διὰ τῆς ἀγορᾶς προοδεύοντα μετὰ χρυσοπάστου τιάρας, καὶ ἐποχούμενον ἐν ἡμιόνῳ, πατριαρχικῶς μετὰ ὀθονίου κεκοσμημένη [81] λευκοῦ, καθὼς καὶ τοῦτο διὰ τοῦ ῥηθέντος θεσπίσματος ὥρισται, καὶ ὑπὸ ἐξκουβιτώρων δορυφορούμενον; Εἰ μή τις

VARIÆ LECTIONES.

[81] κεκοσμημένον.

NOTÆ.

(64) Nota cardinales Ecclesiæ Rom. olim duodecim fuisse.

λέγει προτιμητέαν εἶναι τὴν κεφαλὴν τῆς χειρὸς, ἢ ἄλλου μέλους τοῦ σώματος. Τοῦτο γὰρ διὰ τὴν εὐήθειαν οὐ παραλληλίζεται. Ἀλλ' ἐπανιτέον ὅθεν ὁ λόγος μετέπεσε, καὶ ζητητέον, τίνος χάριν τῶν μὲν ἄλλων σεκρέτων οἱ προκαθήμενοι μόνοις ἐξυπηρετοῦνται σεκρετικοῖς δουλευταῖς· ὁ δὲ χαρτοφύλαξ τάγμασι διττοῖς διακονητῶν μεγεθύνεται. Φαμὲν οὖν, ὅτι τὰ τοῦ χαρτοφύλακος δίκαια ψυχικῶν ῥυπασμάτων εἰσὶ καθαρτήρια, καὶ νοσημάτων σωματικῶν ἀλεξιτήρια. Διὸ καὶ τετύπωται, ταγμάτων διττῶν ὑπουργοῖς αὐτὰ κατευθύνεσθαι. Ἂν γοῦν θεμιστεύων προκάθηται, καὶ δικαστικὰ διϋλίζων νοήματα, νόμους συνάπτῃ νομίμοις θεσπιωδήμασι, καὶ κανόσι κανόνας ἁρμολογῇ, ἂν δικολογῶν προτάσεις καὶ ἀντιθέσεις σφυρηλατῇ, καὶ τὰς μὲν ἀποσμιλεύῃ τῇ λυδίᾳ τῆς διαγνώσεως, τὰς δὲ παραδέχηται· καὶ τέλος, ἂν κρίσεις πατριαρχικῶν νοταρίων ζυγοστατῇ, σεκρετικῶν διαλαλιαῖς μεγαλύνεται· καὶ μᾶλλον, ὅταν τὸ δικαστήριον ἐν μόνοις πράγμασι στημονίζηται. Εἰ δὲ προκάθηται ψυχικῶν ἀῤῥωστημάτων θεραπείαν ποιούμενος, καὶ σεσηπότων τραυμάτων ἐπισκεπτόμενος κακοήθειαν, πῇ μὲν σιδήρῳ χωνεύων τοῦ πάθους τὴν ὑπουλότητα, πῇ δ' ἐπιπάσσων ἥπια φάρμακα, παρὰ τῆς τάξεως ὑπηρετεῖται τῶν ἐπισκοπειανῶν. Εἰ δ' ἔστιν ὅτε κατὰ διορισμὸν πατριαρχικὸν, τινὰ τῶν προνομίων τούτων παρασαλεύοιντο, τέως ἐγὼ ἀγνοῶ, καὶ συγγνώμης ἀξιωθήσομαι, τὴν παλαιὰν ἀναδιδάσκων παράδοσιν. Τούτων οὖν οὕτως καλῶς διευκρινηθέντων, ὡς οἶμαι, ἀναγκαῖον ἔδοξέ μοι ποιῆσαι καὶ πρὸς τὸν κατὰ καιροὺς χαρτοφύλακα δικαίαν ἀξίωσιν. Δέσποτά μου χαρτοφύλαξ, τὸ ἐμπιστευθέν σοι τάλαντον ἀπὸ Θεοῦ παντοκράτορος, μὴ καταχωσθείη διὰ νωθρείαν σου, ἵνα μὴ ἀκούσῃς δοῦλος πονηρὸς καὶ ἀχάριστος· μηδὲ τὸ κέρμα τῶν μεγάλων προνομίων αὐτοῦ προδοθείη κατὰ σὴν πολλὴν ἐπιείκειαν· ἀλλὰ διαδοθήτω πρὸς τραπεζίτας, καὶ διπλασιασθήσεται. Σκοπόν σε κατέστησε δεύτερον ὁ Θεὸς διὰ χειρὸς ἐπισκοπικῆς. Κἀντεῦθεν ἐπὶ τῷ στόματί σου πάντες εἰσέρχονται εἰς οἶκον Θεοῦ παντοκράτορος, καὶ ἐπὶ τῷ στόματί σου ἐξέρχονται. Μὴ οὖν εἴπῃς, Τί δοθείη μοι, καὶ τί προστεθείη μοι πρὸς μέριμναν ὁλοχρόνιον; Μηδὲ σιγήσῃς, μηδὲ καταπραύνῃς, μηδὲ λαλήσῃς ὡς ἀνθρώποις ἀρέσκων, εἶπεν ὁ μέγας ἀπόστολος Παῦλος, κατ' ἐκεῖνον τὸν πονηρὸν μισθωτὸν, τὸν καθ' ἑαυτὸν ψιθυρίσαντα· τὸ ἐκλεῖπον ἐκλειπέτω, τὸ ἐσκορπισμένον μὴ συναχθείη, καὶ τὸ συντετριμμένον μὴ ὁλομελὲς θείη. Ἀρκεῖ γὰρ τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς. Ἀλλὰ σήρυξον ἀποστολικῶς, ἐνώπιον Θεοῦ τὴν ἀλήθειαν. Ἐπίστηθι εὐκαίρως, ἀκαίρως, ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον, κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον. Καὶ τάχα νεανικῶς οὕτω τὸν καλὸν ἀγῶνα κατὰ τὸ ἀπῃτημένον ἀγωνισάμενος, καὶ τὴν διακονίαν σου συντηρήσας ἀνεπιβούλευτον καὶ ἀμείωτον, ἐν τῷ μηδενὶ ἂν ταπεινώσῃς τοὺς ἀντιπίπτοντας, καὶ ἐρεῖς, Τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα. Λοιπὸν ἀπόκειταί μοι τῆς δικαιοσύνης ὁ στέφανος. Ὃς καὶ δοθήσεταί σοι παρὰ Θεοῦ

ction statutum est, et excubitorum habeat satellitium? nisi quis dicere velit, plus honoris deferendum capiti, quam manui, vel alteri membro corporis. Nam hæc comparatio, ceu stulta, non instituitur. Sed redeundum, unde deflexit oratio, et inquirendum, quamobrem aliorum secretorum præsides secreticis duntaxat servitiis utantur: cum chartularius auctoritatis majoris causa geminos habeat ministrorum ordines. Itaque dicimus, in eo versari jura chartularii, ut animorum sordes expurget, ac morbis corporeis medicinam adhibeat. Ideoque statutum est, hæc esse dirigenda per geminorum ordinum administros. Sive igitur jus dicens præsideat, et judiciarios percolans intellectus, leges cum legum sanctionibus componat, et canones cum canonibus conciliet; sive causas agens, propositiones et objectiones sub incudem revocet, et has quidem velut abradat per Lydium cognitionis lapidem, illas admittat; sive denique judicia notariorum patriarchalium ponderet, per secreticorum ministrorum decreta magnam auctoritatem consequitur; præsertim cum solis in rebus judicium texit. Sin ita præsidet, ut ægritudinibus animi remedium adhibeat, et putridorum vulnerum fœditatem inspiciat, ac nonnunquam ferro latens vitii malum adurat, nonnunquam mitia inspergat medicamenta, ordinis episcopianorum ministerio utitur. An vero interdum sic jubente ac volente patriarcha usuveniat, ut aliquod horum privilegiorum loco moveatur; equidem scire non possum, et veniam merebor, qui consuetudinem antiquam doceo. His igitur in hunc modum recte declaratis, ut arbitror, necessarium mihi visum est, ut justam petitionem ad cujusvis temporis chartularium instituam. Domine mi chartophylax, talentum fidei tuæ creditum ab omnipotente Deo, per ignaviam tuam ne defossum sit; ne servus nequam et ingratus appelleris: neve magnorum hujus officii privilegiorum æs, nimia mansuetudine tua prodatur, sed inter nummularios distribuatur, et duplicetur. Alterum te scopum Deus per episcopalem manum constituit. Quo fit, ut ad os tuum omnipotentis Dei domum omnes ingrediantur, et ad os tuum egrediantur. Non ergo dixeris: Quid dari mihi possit, et quid adjici ad sollicitudinem perpetuam? Neve tacueris, nec demulseris, nec locutus fueris, veluti qui hominibus placere velis, inquit magnus ille Paulus apostolus, instar illius pravi mercenarii, qui apud semetipsum susurrabat: Deficiat, quod deficit, dispersum non colligatur, contritum non redintegretur. Sufficit namque diei afflictio sua. Sed potius apostolico more veritatem in conspectu Dei prædicato. Insta opportune, importune. Redargue, increpa, cohortare, tolerans esto, fac officium evangelistæ, ministerium tuum imple. Ac fortassis ita juveniliter absoluto præclaro certamine, prout abs te postulatum fuerit, et conservato ministerio tuo citra insidias, ac minime deminuto, in nullo humiliabis adversantes, ac dices: Cursum absolvi,

fidem conservavi. De cætero reposita mihi est corona justitiæ. Quæ quidem dabitur tibi ab omnipotente Deo tam in hoc sæculo, quam in futuro, idque in Christo Jesu Domino nostro, cui gloria et imperium in sæcula. Amen.

παντοκράτορος ἔν τε τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

EJUSDEM

Cognitio, de disceptata in synodo quæstione, num unus et idem duabus sobrinis jungi debeat.

Atheniensium tam indigenæ, quam advenæ, nulli alii rei vacabant, inquit magnus ille Paulus, quam ut aliquid novi tum proferrent, tum audirent. At vero Ecclesia Dei, vel sacra potius regia sanctissimæ Dei majoris Ecclesiæ, a sanctis Patribus decreta corroborans, omnem superfluitatem novitatis speciem habentem radicitus exstirpat, et culmum veritatis ad ferendum fructum centuplum vult crescere. Proficit enim per Dei gratiam, in omni accepta Deo tam oratione, quam negotio. Quamobrem etiam id, de quo non ita pridem quæsitum est in synodo, num unus et idem duabus sobrinis copulari debeat, minime voluit ceu novum aliquid, in angulum aliquem cadere neglectum : sed uti rem alicujus momenti et utilissimam, ad examen publicum proposuit. Et quia sanctissimus ille sponsus ejus, et canonicarum traditionum meditator vigilantissimus, nos quoque participes ejus boni esse voluit, dicimus aliquos latam et offensionis expertem (ut ipsi quidem aiunt) viam aperuisse Demetrio, qui Mariæ cujusdam maritus fuerat, matrimonio copulandi sobrinam ejus, nomine Theodoram. Et interrogati, quamobrem, et quomodo ad hoc invitent, aiunt, hunc contractum ad septimum gradum pertingere, propterea quod Demetrius et Maria, conjux ejus mortua, personas duas, et consequenter gradus duos constituant, licet ob consensum et amorem mutuum pro una carne haberentur. Nam Maria, inquiunt, sextum cum Theodora gradum habuit, non itidem Demetrius, veluti qui ad personam septimam, et ejusdem numeri gradum referatur. At secundum thema (65) capitis XXXII tituli V libri XXVIII Basilicorum, et canon LIV coactæ in magni palatii Trullo sanctæ et universalis synodi, usque ad gradum sextum matrimonia tam ex affinitate, quam cognatione contracta, constrinxerunt. Quæ vero sextum sequuntur, libere conflari permiserunt. Ac tametsi publicatus sit recens tomus synodalis, confirmatus etiam edicto imperatorio, quo præcipitur, ne gradu septimo conjuncti per cognationem, matrimonia contrahant : tamen ad hoc ii, qui eodem gradu per affinitatem sese constrigunt, non constringuntur. Magnum enim discrimen est inter necessitudinem sanguinis, et cognaticam simpliciter propinquitatem : ac magna inter hæc stabilita ratio est, alios copulans, alios dirimens. Etiam

ΤΟΥ ΑΥΤΟΥ

Διάγνωσις, χάριν τοῦ λαληθέντος συνοδικῶς ζητήματος, περὶ τοῦ, εἰ χρὴ τὸν αὐτὸν καὶ ἕνα δυσὶ διαδελφαῖς συνάπτεσθαι.

Οἱ τῶν Ἀθηναίων ἰθαγενεῖς καὶ προσήλυτοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ὁ μέγας Παῦλός φησιν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον. Ἡ Ἐκκλησία δὲ τοῦ Θεοῦ, καὶ μᾶλλον τὸ θεῖον ἀνάκτορον τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, τὰ παρὰ τῶν ἁγίων Πατέρων δογματισθέντα κρατύνουσα, προθέλυμνον ἀποσπᾷ πᾶσαν καινοφανῆ περιττότητα, καὶ θέλει τῆς ἀληθείας τὸν ἄσταχυν ἀνατέλλειν ἑκατοστεύοντα. Προκόπτει γὰρ τῇ χάριτι τοῦ Θεοῦ, ἐπὶ παντὶ θεαρέστῳ λόγῳ καὶ πράγματι. Διά τοι τοῦτο καὶ τὸ συνοδικῶς ἐρωτηθὲν πρὸ μικροῦ, περὶ τοῦ εἰ χρὴ τὸν αὐτὸν καὶ ἕνα δυσὶ δισεξαδέλφαις συνάπτεσθαι, οὐκ ἠὐδόκησεν ὡς τι καινοπρεπὲς ὑπὸ γωνίαν πεσεῖν ἀτημέλητον· ἀλλ' ὡς σπουδαῖον καὶ χρησιμώτατον, εἰς κοινὴν προέθετο κατεξέτασιν. Ἐπεὶ οὖν ὁ παναγιώτατος νυμφίος αὐτῆς, καὶ τῶν κανονικῶν παραδόσεων μελεδωνὸς ἀγρυπνότατος, ἠθέλησε καὶ ἡμᾶς συμμεριστὰς γενέσθαι τοῦ ἀγαθοῦ, φαμὲν ὅτι τινὲς πλατεῖαν ὁδὸν καὶ ἀπρόσκοπον (ὥς φασιν) ἥπλωσαν τῷ Δημητρίῳ τυχὸν, τῷ χρηματίσαντι γαμέτῃ Μαρίας τινὸς, δισεξαδέλφην ταύτης Θεοδώραν καλουμένην ἁρμόσασθαι. Καὶ ἐρωτώμενοι, πόθεν καὶ ὅπως τοῦτο προτρέπουσι, λέγουσιν εἰς ἕβδομον βαθμὸν καταντᾷν τὴν τοῦ συναλλάγματος ποίησιν, διὰ τὸ πρόσωπα δύο, καὶ ἀκολούθως δύο βαθμοὺς καθίστασθαι τὸν Δημήτριον μετὰ Μαρίας τῆς ἀποιχομένης συζύγου αὐτοῦ, κἂν τῇ ὁμονοίᾳ καὶ τῇ στοργῇ σὰρξ μία λογίζωνται. Ἡ γὰρ Μαρία, φασὶν, ἕκτον εἶχε μετὰ τῆς Θεοδώρας βαθμὸν, οὐ μὴν ὁ Δημήτριος, ὡς εἰς ἕβδομον πρόσωπον, καὶ βαθμὸν τοσαυτάριθμον ἀναγόμενος. Τὸ δὲ β' θέμα, τοῦ λβ' κεφαλαίου τοῦ ε' τίτλου τοῦ κη' βιβλίου τῶν Βασιλικῶν, καὶ ὁ νδ' κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου πᾶλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, μέχρι τοῦ ἕκτου βαθμοῦ καὶ αὐτοῦ τὰ ἐξ ἀγχιστείας καὶ τὰ ἐξ αἵματος ἐξεστενοχώρησαν συναλλάγματα. Τὰ δὲ μετὰ τοῦτον, ἀδεῶς ἀπέλυσαν ἀναχώννυσθαι. Καὶ κἂν ἐξηνέχθη προσφάτως τόμος συνοδικὸς, στηριχθεὶς καὶ προστάξει βασιλικῇ, τοὺς ἐξ αἵματος ὄντας ἑβδόμου βαθμοῦ μὴ συνάπτεσθαι, ἀλλὰ τοὺς ἐξ ἀγχιστείας οἰκείοσιν τοιουτόμετρον ἔχοντας, οὐκ ἐστενοχώρησε. Πολὺ γάρ ἐστι τὸ διάφορον μέσον συγγενείας ἐξ αἵματος, καὶ συγγενικῆς ἁπλῶς οἰκειώσεως· καὶ λόγος μέγας μέσον τούτων ἐστήρικται, τοὺς μὲν συνάπτων, τοὺς δὲ διαιρῶν. Οἱ πλείους δὲ τούτων καὶ ἐπιχειρήμασι συλλογιστικοῖς, καὶ διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπ-

NOTÆ.

(65) Quod paragraphum nostri dicunt.

αγωγῆς τοὺς οἰκείους δῆθεν λόγους στηρίζουσι. Λέγουσι γὰρ, ὡς εἰ δοθείη γενέσθαι τὴν Μαρίαν καὶ τὸν Δημήτριον ἑνὸς βαθμοῦ μετὰ τὴν συνάφειαν, πολλὰ συμπέσουσιν ἄτοπα· οἷον, Δημήτριος γαμέτης τῆς Μαρίας καλούμενος, καὶ γαμβρὸς τοῦ ταύτης πατρὸς, τούτου μὲν παῖς, ἐκείνης δὲ ἀδελφὸς μετονομασθήσεται, τοῦ βαθμοῦ τῇ ταυτότητι· καὶ οὕτω διασπᾶσθαι τὸ συνοικέσιον, εἰς ἀδελφομιξίαν περιστάμενον. Προστιθέασι δὲ κατὰ τοῦτο τὸ ἄτοπον καὶ τὰς ἐξ ἀδιαθέτου διαδοχὰς, ἀλλήλων τε, καὶ τῶν γονέων τούτων, ναὶ μέντοι καὶ προσγενῶν, αὐτοὺς σφετερίσασθαι. Ὡσαύτως καὶ τὸ μὴ δύνασθαι τοὺς ἑτερομερεῖς ἀγχιστεῖς ἀλλήλοις συνάπτεσθαι, καθὼς τῆς ἀγχιστείας τὰ νόμιμα διορίζονται· ὀλλὰ κατὰ τοὺς γάμους τῶν ἐξ αἵματος προσγενῶν. A plerique horum syllogisticis argumentis, et per abductionem ad impossibile, rationes suas fulciunt. Aiunt enim si concessum sit, Mariam et Demetrium post copulationem unius fieri gradus, absurda multa concursura: verbi gratia, quod Demetrius, qui Mariæ maritus esse perhibetur, et patris ejus gener, ejusdem quoque filius, et frater Mariæ, propter identitatem gradus, sit appellandus. Atque hoc modo dirimendum matrimonium, veluti quod ad concubitum fratris cum sorore tendat. Addunt huic absurdo eos etiam successiones ab intestato, tam ipsorum inter se, quam parentum, imo etiam propinquorum, sibi vindicare. Consimiliter ex una parte duntaxat affines inter se copulari non posse, quemadmodum affinitatis jura statuunt: sed idem B in his faciendum, quod in nuptiis sanguine propinquorum.

Καὶ μὴν ἐν τῇ Ῥωμαϊκῇ συνηθείᾳ, καὶ τῇ ἐκκλησιαστικῇ καταστάσει, φασὶ, τὸ ἐναντίον σήμερον πολιτεύεται. Θεῖος γὰρ καὶ ἀνεψιὸς μετὰ θείας καὶ ἀνεψιᾶς ἀκωλύτως συνάπτονται, ἕκτον ἐξ ἀγχιστείας καὶ ταῦτα λαχόντες βαθμὸν, ὡς τοῦ τόμου τοῦ ἁγιωτάτου πατριάρχου Σισινίου τοὺς πρώτους ἐξαδέλφους κωλύσαντος δυσὶν αὐταδέλφαις συνάπτεσθαι. Διενίστανται δὲ, μηδὲ ἁπρεπές τι, καὶ τῶν ὀνομάτων συγχυτικὸν ὑποσύρεσθαι, ἐκ τοῦ τὸν αὐτὸν δυσὶ δισεξαδέλφαις συνάπτεσθαι· ὅτι τότε φασὶ παρατηρεῖται τῶν ὀνομάτων ἀκρίβεια, καὶ τὸ ἀσύγχυτον τούτων φυλάττεται, ὅτε δουλικὴ τύχη μεσιτεύει συγγένειαν· οὐ μὴν ὅταν ἐκ συναφείας ὁμοζύγων C τοῖς νόμοις δεκτῆς, ὡς ἐκ ῥίζης τινὸς πτόρθοι γεννηθῶσι κατάλληλοι. Εἰ γὰρ δοθείη κἀν τούτοις συντηρεῖσθαι τῶν ὀνομάτων τὸ εὐπρεπὲς καὶ ἀσύγχυτον, στενοχωρηθείη καὶ τῶν τρισεξαδέλφων καὶ ἑφεξῆς ἡ ἐκχωρητέα [82] συνάφεια· ἵνα μὴ κληθῶσιν οἱ ἐξ ἐκείνων φυόμενοι, ἀδελφοὶ καὶ τετταρεξάδελφοι, ὅπερ οὐ δέδοκται. Καὶ αὐτοὶ, ταῦτα. Ἡμεῖς δὲ σκοπήσωμεν πρότερον, εἰ τοῖς νόμοις καὶ τοῖς κανόσι δοκεῖ, δύο βαθμοὺς τοὺς ὁμοζύγους ψηφίζεσθαι, καὶ διὰ τοῦτο συγχωρητέον εἶναι τὸ, περὶ οὗ ὁ λόγος, συνάλλαγμα. Εἴπωμεν οὖν, καὶ πάλιν ἐκκορυφώσωμεν τὰ λεγόμενα. Atqui dicunt, in consuetudine Romana, et statu ecclesiastico, contrarium hodie observatur. Patruus enim, et fratris filius, cum amita et fratris filia sine impedimento copulantur, qui gradum ex affinitate sextum obtinent: cum sanctissimi patriarchæ Sisinnii tomus consobrinos vetuerit cum duabus germanis sororibus jungi. Urgent præterea, nec inhonesti quidquam, vel quod nomina confundat, ex eo irrepere, quod idem duabus sobrinis copuletur. Tunc enim, inquiunt, accurata ratio nominum habetur, et eorumdem confusio cavetur, cum cognationi fortuna servilis intercedit: non cum ex copulatione conjugum legibus admissa, velut ex radice quadam, rami convenientes procreantur. Nam si datum fuerit etiam in his observari nominum honestatem, et declinationem confusionis, velut in arctum redigetur etiam ex sobrinis natorum, et ordine sequentium licita permittendaque conjunctio, ne videlicet contingat ex eis genitos appellari fratres simul, et prognatorum ex sobrinis filios, quod minime visum est. Et hæc quidem illi. Nos autem prius considerabimus, an leges atque canones censeant, conjuges pro duobus gradibus habendos, ac propterea permittendum contractum, quo de agitur. Disseramus igitur, et quasi repetamus ab ipso apice, quæ dicenda veniunt.

Φασί τινες τὴν φωνὴν τοῦ Κυρίου τὴν λέγουσαν, Καὶ ἔσονται οἱ ὁμόζυγοι σὰρξ μία, μὴ ἐκλαμβάνεσθαι πρὸς ταυτότητα, ἀλλὰ πρὸς στοργὴν καὶ ὁμόνοιαν. Εἰ γὰρ μὴ οὕτως ἐκληφθῇ τὸ Κυριακὸν θεσπιώδημα, ἀδελφοὶ κληθεῖεν οἱ συναφθέντες, καὶ οὐχ ὁμόζυγοι· καὶ ἑφεξῆς ἐπακολουθήσουσι κακὰ μυριόριθμα, τὴν ἀτοπίαν τοῦ ζητήματος μεγαλύνοντα. Ἀκουσάτωσαν οὖν, ὡς προτάσεις ψευδεῖς οὔτε διὰ συλλογισμῶν ἀλήθειαν συμπεραίνουσιν, οὔτε πρὸς τὸ ἀδύνατον ἀπαγόμεναι, τοῦ ὑποκειμένου τὴν φύσιν μετατιθέασιν· ἀλλ' ἐξ ὁμολογουμένων καὶ ἁπλανῶν ἀνατέλλει τῆς ἀληθείας ὁ ἥλιος. Εἰ γάρ τις εἴποι D Aiunt quidam vocem Domini, qua dicitur, Erunt conjuges una caro, non de identitate accipiendam, sed de amore ac consensu. Quippe ni sic oraculum Dominicum intellectum fuerit, copulati conjugio vocandi essent fratres ac sorores, non conjuges: ac deinceps quoque sequerentur infinita incommoda, quæstionis absurditatem majorem efficientia. Audiant ergo, propositiones falsas neque per syllogismos veritatem concludere, neque si deducantur ad impossibile, subjecti naturam mutare: sed ex confessis et errore carentibus solem veritatis oriri. Nam verbi gratia, si quis dixerit,

VARIÆ LECTIONES.

[82] ἐγχωρητέα.

Omnis lapis anima præditus est: ac rursus ex altera parte, Omnis smaragdus est lapis: et concludat, Omnis ergo lapis smaragdus est anima præditus ..... colliget, extremumque mendacium. Unde fit, ut qui dicit per matrimonii copulationem esse factam personarum confusionem, et conjugium esse transmutatum in fraternitatem, atque ita forte absurditatem concludit; compedem linguæ, non veritatem colligat. Quod cum ita sit, cumque post conjunctionem sexus uterque maneat integer, nemo tam sit audax, ut ipsos conjuges appellet fratres, ad reprehensionem dicti divini, cujus verba sunt: Et conjuges ipsi non amplius erunt duo, sed unus. Quippe sicut oleaster propterea non dicitur oliva, quod ramus ejus in olivam translatus sit: sic neque patrem puellæ, socerum puellæ vocabimus, Quo sane stabilito per demonstrationem certam, et cui contradici nequeat, nostra quidem opinione, neque vocari licebit alterutrum eorum ad successionem defuncti, vel alicujus ipsi sanguine propinquorum (quo enim id pacto? cum possessiones accipiant ii, quibus lege deferuntur) neque reprehendi poterit, aut abominandum erit, si quis dicat., iisdem finibus circumscribi contracta et affinitate et ex cognatione matrimonia. Sic enim canonibus est statutum. Quod autem patruus et fratris filius, cum amita et fratris filia copulentur, non est, ut aliqui perhibent, per consuetudinem non scriptam introductum, vel sine traditione per statum ecclesiasticum invectum: sed clarissimi principis, domini Alexii Comneni sacrum edictum, prolatum ad suggestionem Bardæ cujusdam, qui Xerus appellabatur, et receptum tam in reipublicæ, quam in ecclesiarum archiva et codices, ejusmodi nuptias liberas fecit, pro ea potestate, quæ cœlitus est imperatoribus data. Non igitur accuratus Ecclesiæ status calumniandus est. Nam matrimonia ex affinitate, ad sextum usque gradum et coarctabat semper, et adhuc constringit sicut etiam matrimonia ex cognatione: in quo tam legum, quam canonum statuta sequitur, et tomum illius sanctissimi patriarchæ, domini Sisinnii. Quod enim ad ejus eversionem ab imperatoria sacra majestate promulgatum fuit, ut in effectum deduceretur, justus ille judex minime voluit: quemadmodum norunt initiati, nec in errore versantur.

Atqui, subjicit adversarius, ne id quidem, quod confusio et dedecus nominum introducatur, ob graduum necessitudinem, quominus primæ conjugis suæ sobrinam ducat Demetrius, impediet. Hoc enim illis etiam sanguine propinquis usuvenit, cum inter se copulantur, qui vel octavo se gradu contingunt, dum conjuges absque pudore vocamus, quos natura sobrinorum filios agnoscit, eorumque liberos pro fratribus ducimus, cum a natura sint prognatorum ex sobrinis filii. Cur ergo novum et insolens sit, idem hoc etiam in præsenti quæstione dici atque fieri? Sed audiant, qui hæc ita colligunt, quod, quemadmodum ea,

A τυχὸν, Πᾶς λίθος ἔμψυχός ἐστι, καὶ ἐτέρωθεν, Πᾶσα σμάραγδος λίθος ἐστί· καὶ συμπερανεῖ, Πᾶς ἄρα λίθος σμάραγδος ἔμψυχός ἐστι,.....ψιν συναγάγῃ, καὶ ψεῦδος ἔσχατον. Ὅθεν καὶ ὁ λέγων γενέσθαι διὰ τῆς συναφείας τῶν ὑποστάσεων τὴν σύγχυσιν, καὶ τὴν ὁμοζυγίαν μεταστοιχειωθῆναι πρὸς ἀδελφότητα, καὶ οὕτω συμπεραίνων τάχα τὸ ἄτοπον, γλωττοπέδην συνήγαγεν, οὐκ ἀλήθειαν. Τούτου δὲ οὕτως ἔχοντος, καὶ τῶν γενῶν σωζομένων ἑκατέρων μετὰ τὴν ἕνωσιν, μὴ τολμητέον ἀδελφοὺς τοὺς ὁμοζύγους εἰπεῖν εἰς ἐπιστομισμὸν τοῦ ῥήματος τοῦ Θεοῦ, τοῦ εἰπόντος· Καὶ οὐκέτι ἔσονται οἱ ὁμόζυγες δύο, ἀλλὰ εἷς. Ὡς γὰρ οὐ λέγεται τὸ ἀγριέλαιον καλλιέλαιον, ὅτι κλάδος αὐτοῦ μετὰ καλλιελαίου μετεμοσχεύθη, οὕτως οὐδὲ πατέρα τῆς κόρης τὸν ταύτης εἰποιμεν
B πενθερόν. Τούτου δὲ στηριχθέντος ἐξ ἀναντιῤῥήτου καὶ ἀσφαλοῦς ἀποδείξεως, ὡς οἰόμεθα, οὔτε τὸ καλεῖσθαι θάτερον ἐξ αὐτῶν εἰς τὴν κληρονομίαν τοῦ τελευτήσαντος, ἢ τινὸς τῶν ἐξ αἵματος αὐτῷ προσγενῶν παῤῥησιασθήσεται (πῶς γάρ; προσλαμβανόντων τῶν κτησαμένων ἐκ νόμου τὰς διακατοχάς), οὔτε μεμπτέον ἔσται καὶ ἀποτρόπαιον τὸ λέγειν, τοῖς αὐτοῖς ὅροις συστέλλεσθαι τὰ ἐξ ἀγχιστείας καὶ τὰ ἐξ αἵματος συναλλάγματα. Οὕτω γὰρ κεκανόνισται. Τὸ δὲ συνάπτεσθαι θεῖον καὶ ἀνεψιὸν μετὰ θείας καὶ ἀνεψιᾶς, οὐκ ἔστιν (ὥς τινες λέγουσι) συνηθείας ἀγράφου παγκράτιον, ἢ καὶ ἀπαραδότου ἐκκλησιαστικῆς καταστάσεως τροπαιούχημα· ἀλλὰ πρόσταξις θεία τοῦ ἀοιδίμου βασιλέως, κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἐξενεχθεῖσα ἐπὶ ὑπομνήσει Βάρδα
C τινὸς λεγομένου Ξηροῦ, καὶ ἐπιγνωσθεῖσα τοῖς δημοσιακοῖς καὶ ἐκκλησιαστικοῖς ἀρχείοις καὶ κώδιξι, τὸν τοιοῦτον γάμον ἀπέλυσε κατὰ τὴν δεδομένην τοῖς βασιλεῦσιν ἄνωθεν κυριότητα· μὴ τοίνυν συκοφαντητέον τὴν ἀκριβῆ τῆς Ἐκκλησίας κατάστασιν. Τὰ γὰρ ἐξ ἀγχιστείας συναλλάγματα, μέχρι τοῦ ἕκτου βαθμοῦ καὶ αὐτοῦ, καὶ ἑστενοχώρει πάντοτε, καὶ στενοχώρει, καθὼς που καὶ τὰ ἐξ αἵματος, ἑπομένη νομικοῖς καὶ κανονικοῖς διατάγμασι, καὶ τῷ τόμῳ τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου, κυροῦ Σισινίου. Τὸ γὰρ ἐπ' ἀνατροπῇ τούτου διορισθὲν παρὰ βασιλικῆς θείας μεγαλειότητος, εἰς ἔργον ἐλθεῖν ὁ δίκαιος κριτὴς οὐκ ἠὐδόκησεν, ὡς οἴδασιν οἱ μεμυημένοι, καὶ οὐ πεπλάνηνται.

D Ναί, φησὶν, ἀλλ' οὐδὲ τὸ σύγχυσιν καὶ ἀπρέπειαν ὀνομάτων εἰσάγεσθαι διὰ τὴν τῶν βαθμῶν ἰδιότητα, ἐμποδίσει λαβεῖν τὸν Δημήτριον τὴν δισεξαδέλφην τῆς προτέρας αὐτοῦ γυναικός. Τοῦτο γὰρ καὶ εἰς τοὺς συναπτομένους ἐξ αἵματος συγγενεῖς καὶ ἀγχίστους ὄντας βαθμοῦ θριαμβεύεται, δι' ὧν ὁμοζύγους ἀνερυθριάστως κατονομάζομεν, οὓς ἡ φύσις τρισεξαδέλφους ἐγνώρισε, καὶ τοὺς παῖδας αὐτῶν ὡς ἀδελφοὺς περιέπομεν, τετταρεξαδέλφους ὄντας ἐκ φύσεως. Τί γοῦν ἐστι καινὸν κἂν τῷ παρόντι ζητήματι λαλεῖσθαι τοῦτο καὶ γίνεσθαι; Ἀλλ' ἀκουσάτωσαν οἱ ταῦτα συνείροντες, ὅτι καθὼς τὰ Γαδείρων ἐντὸς διακείμενα, καὶ ἀκριβολογοῦνται καὶ ὁπογράφονται,

τὰ δὲ πέρα Γαδείρων οὐ πέρατά εἰσιν· οὕτω τὰ μὲν ἐντὸς τοῦ ἕκτου βαθμοῦ γινόμενα συναλλάγματα, καὶ διὰ τὸ φύσει δίκαιον καὶ εὐπρεπὲς κατακρίνονται· τὰ δὲ ἐκτὸς αὐτῶν μετεωριζόμενα, οὐδὲ κατασπῶνται, οὐδὲ κουφίζονται, ἄνευ μόνου τοῦ ἐξ αἵματος ἑβδόμου βαθμοῦ.

A quæ eis Gades sita sunt, accurate sciri ac describi possunt, cum quæ ultra Gades sunt posita, penetrari nequeant : sic etiam matrimonia, quæ intra sextum gradum contrahuntur, vel ipsa ratione naturalis æquitatis et honesti damnentur : quæ autem extra gradus hosce suspenduntur, nec dirimantur, nec releventur, excepto solo ex sanguinis conjunctione septimo gradu.

Τοῦτον γὰρ βασιλικὸς ὁρισμὸς καὶ τόμος συνοδικὸς τοῖς τοῦ ἕκτου βαθμοῦ συναλλάγμασι συνεξίσωσαν. Ἐπεὶ οὖν ἱκανῶς διελάβομεν τά τισι δικαιολογούμενα περὶ τοῦ εἰς ἕνα βαθμὸν τοὺς ὁμοζύγους ἀνάγεσθαι, εἴτε καὶ μή· Φέρε καὶ τὸ ἡμῖν παριστάμενον χάριν τοῦ τοιούτου ζητήματος, εἴπωμεν. Οἱ νενομοθετηκότες περὶ κεκωλυμένων γάμων διδάσκοντες ἐν βιβλίῳ κη', τίτλῳ ε', εἰς δύο διαιροῦσι τοὺς συγγενεῖς· εἰς ἀνιόντας καὶ κατιόντας, παῖδας δηλαδὴ καὶ γονεῖς, καὶ εἰς τοὺς ἐκ πλαγίου, ἀδελφούς φημι καὶ λοιποὺς ἐξ αἵματος προσγενεῖς. Καὶ τῶν μὲν ἀνιόντων καὶ κατιόντων, κἂν γνήσιοι ὦσι, κἂν φυσικοὶ, κἂν θετοὶ, τοὺς γάμους κωλύουσιν εἰς ἀπέραντον. Τῶν δὲ ἐξ αἵματος, μέχρις ἕκτου βαθμοῦ. Μετὰ μέντοι τὸ τεχνολογῆσαι τὰ περὶ τούτων, καὶ εἰς ὄψιν προθέσθαι τὴν τῶν βαθμῶν βαθεῖαν καὶ δυσδιεξίτητον ὑπουλότητα (δυσχερεστάτη γάρ φησι, καὶ οὐκ εὐκατάληπτος ἡ ἐκ πλαγίου τῶν βαθμῶν ἐστιν εὕρεσις) προστιθέασι καὶ ταῦτα ῥητῶς· Εἰσὶ δὲ καὶ ἕτεροι γάμοι, οὐ διὰ θεσμὸν συγγενείας, διὰ δὲ ἀγχιστείαν μὴ προβαίνοντες. Ἀγχιστεία δέ ἐστιν οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένων, συγγενείας ἐκτός. Οἷον οὖν οἰκειοῦνται βαθμὸν οἱ ὁμόζυγες μετὰ τὴν συνάφειαν, καθαρῶς μὲν οὐ διδάσκουσιν· ἐπάγουσι δὲ, μὴ δύνασθαί τινα πρὸς γάμον λαβεῖν τὴν οἰκείαν νύμφην ἢ προγονήν. Ἀλλ' οὐδὲ τὴν μητρυιὰν, ἢ τὴν πενθερὰν, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσι. Σκοπητέον τοίνυν πρὸ πάντων τὸ περὶ τῶν βαθμῶν. Οὕτω γὰρ ἐξομαλισθείη τὸ τοῦ ζητήματος ἄναντες.

Nam illum tam imperatoria sanctio, quam tomus synodalis, sexti gradus matrimoniis exæquavit. Et quando jam satis disseruimus de iis, quæ nonnulli hac in quæstione allegant, sintne conjuges ad unum referendi gradum, necne : age proferamus etiam id, quod de quæstione proposita nobis ad animum accidit. Jurisconsulti, qui de nuptiis prohibitis B docent libro Basilicorum xxviii, titulo v, bifariam cognatos dividunt : ascendentes et descendentes, liberos scilicet ac parentes ; et in eos, qui sunt ex transverso, fratres inquam, et reliquos sanguine propinquos. Et ascendentium quidem ac descendentium, sive legitimi sint, sive naturales, sive adoptivi, nuptias prohibent in infinitum : eorum vero, qui sanguine propinqui sunt, ad sextum usque gradum. Postquam ista subtiliter exposuerunt, et oculis subjecerunt graduum profundam et penetratu difficilem obscuritatem (impeditissima namque ut ipsorum verbis utar nec perceptu facilis est in iis, qui sunt ex transverso graduum inventio), discretis verbis hæc etiam adjiciunt : Sunt et aliæ nuptiæ P, non illæ C quidem propter jus cognationis, sed propter affinitatem non procedentes. Affinitas autem est necessitudo quædam personarum, per nuptias nobis conjunctarum, citra cognationem. Ergo quem sibi gradum post initum matrimonium vindicent conjuges, pure illi quidem non docent : subjungunt tamen, aliquem nurum suam, vel privignam, uxorem ducere non posse. Nec item novercam, vel socrum : quoniam matrum loco sunt. Consideranda igitur ante omnia graduum ratio. Sic enim exæquari poterit ipsa quæstionis velut acclivis inæqualitas.

Οἱ τῆς συγγενείας βαθμοὶ, ἐκ τῶν βαθμίδων τῆς κλίμακος ὠνομάσθησαν. Ὡς γὰρ ἐκεῖναι λαμβάνουσαι καταρχὴν ἐξ ἐπιπέδου τινὸς, καὶ εἰς τὰ πρόσω προβαίνουσαι, τὴν κάθοδον ἢ τὴν ἄνοδον συμπεραίνουσιν, οὕτω καὶ οἱ βαθμοὶ, ὡς ἐκ ῥίζης ὁμοφυεῖς κλάδοι τοῦ πρώτου γεννήτορος προιέμενοι, τὴν συγγένειαν καταρτίζουσιν. Ἴδωμεν οὖν, ποία ῥίζα καὶ καταρχὴ μεσιτεύει τὸν ἄνδρα μετὰ τῆς γυναικὸς, ὥστε πρὸς ταύτην ἀναδραμεῖν, καὶ ἐξ αὐτῆς ὡς διὰ βαθμίδος πρὸς τούτους ἐλθεῖν. Πάντως οὐδεμία. Οὐδὲ γὰρ δύναταί τις εἰπεῖν, Ὁ Πέτρος ἐγγένησε τὸν Δημήτριον. Ὁ αὐτὸς καὶ τὴν Μαρίαν ἀπέτεκεν. Ὥστε τούτους δύο βαθμῶν ἔχειν συγγένειαν. Προφανὲς γὰρ ψεῦδός ἐστι. Πολλῷ δὲ πλέον οὐκ εἴποι τις ὑποστάσεις διττὰς, ἑνὸς εἶναι βαθμοῦ. Δύο γὰρ γεννήσει τούτους παρήγαγον. Οἱ γοῦν λέγοντες

Gradus cognationis dicti sunt a similitudine graduum alicujus scalæ. Nam sicut illæ principium sumentes a planitie, sursumque tendentes, ad descendendum vel ascendendum nobis serviunt : D sic et hi gradus, velut ejusdem naturæ rami ex radice, primo scilicet parente procedentes, cognationem perficiunt. Videamus ergo, quænam radix ac principium inter virum et uxorem sic intercedat, ut ad eam sit recurrendum, et ab ea ceu gradu quodam ad ipsos veniendum. Nulla prorsus exsistit. Non enim dicere quispiam potest, Petrus genuit Demetrium. Idem et Mariam procreavit : quo fit, ut hi duorum graduum cognatione juncti sint. Hoc enim manifestissimum mendacium est. Multo magis cavebit aliquis, ne dicat, duas personas unius esse gradus. Quippe duæ generationes eos produxerunt.

VARIÆ LECTIONES.

• *Vide eclogam Basilicorum ; vide tit. de Gradibus cognationis, d. lib. Basilicorum.* P *vide tit. de prohib. nupt. d. lib. Basili.*

Nimirum qui dicunt, conjuges inter se vel unius, vel secundi esse gradus, quique per gradus eos ita librant, uti solent res illæ, quæ pondere, vel mensura, vel numero constant ; similes sunt interrogantibus, quotuplex istud pavimentum lapis ambiat, et respondentibus, duplex. Quippe cingitur a lapide prasini coloris, et ligno cedrino circumdatur. Quamobrem apte dicimus, nec ad duorum graduum necessitudinem referri conjuges (quo enim id pacto ? cum eamdem radicem et generationem non habeant, ac ea causa naturaliter non dividantur) : nec etiam unius et ejusdem esse gradus, propter unionem carnalem, ut instar mulsi commisceantur, (qua enim id fieri ratione possit, cum personæ maneant integræ ?) sed propter divinam ac salutarem vocem Domini, et Dei, et servatoris nostri Jesu Christi, qui dixit ad discipulos ipsum interrogantes, liceretne homini divertere ab uxore sua, disertis verbis hæc subjungendo : Non legistis, eum qui ab initio res condidit, marem et feminam ipsos fecisse : qua de causa relinquet homo patrem suum et matrem, et agglutinabitur uxori suæ. Et erunt hi duo in carnem unam. Quare non amplius duo sunt sed una caro : propter hanc ergo vocem credere nos et confiteri, unum propemodum unaminem hominem, qui duabus in personis cernitur, pro conjugibus matrimonii causa haberi. Sed enim permittendum, ut rivus orationis etiam ad aliud quiddam opportune currat.

Unigeniti Filii Dei incomprehensibilis erga nos demissio, et pignus salutis humani generis, cum ex aliis multis mysteriis magnificatur, tum etiam non parum glorificatur ex benedictione nuptiali. Quippe cum obnoxia peccato conjunctio in universam hominum massam fuisset dedita post draconis invidiam, et mandati divini transgressionem, jamque malum illud ad alia mala majora processisset ; curæ benigno Deo fuit regeneratio nostra et instauratio. Itaque cum unigenitus Dei Filius homo factus fuisset instar nostrum, propter nos, et omnem aliam administrationem implesset, uti nos beatitatem pristinam recuperamus : etiam nuptiis in Cana Galilææ celebratis benedixit, et aquam desperationis in vinum veræ Dei cognitionis mutavit ; certiores per hoc reddens homines, quod feminæ non amplius in doloribus liberos pariant, néc qui procreantur ex copulatione matrimoniali amplius pristino more dicant, In peccatis concepit me mater mea : sed Dei præcepta servantes, quemadmodum primus ille parens noster ea servavit ante transgressionem, eumdem honorem et gloriam consequantur, qua fuerint ornati primi parentes ante inobedientiam.

Honorabile namque matrimonium est, et lectus impollutus, qui salutem largitur. Quæ cum ita sint, et cum tabulæ divinitus scriptæ dicant, Non ingredieris ad quemvis necessarium carnis tuæ, ut reveles pudorem ejus : cum primus ille parens noster alibi responderit, Jam magis uxor mea est

A εἶναι τοὺς συζύγους ἑνὸς ἢ δευτέρου βαθμοῦ, καὶ ζυγοστατοῦντες διὰ βαδμίδων αὐτοὺς, κατὰ τὰ στα-
θμώμενα, ἢ μετρούμενα, ἢ ἀριθμούμενα, ἐοίκασι τοῖς ἐρωτωμένοις, πόσος ἀμπίσχει τόδε τὸ δάπεδον μάργαρος; καὶ ἀποκρινομένοις, διττός. Λίθος γὰρ πρασίζων αὐτὸ περιζώννυσι, καὶ ξύλον κέδρινον ἀμφιέννυσιν. Ἄραρε τοίνυν λέγειν ἡμᾶς, μήτε πρὸς δύο βαθμῶν οἰκειότητα τοὺς ὁμοζύγους ἀνάγεσθαι, (πῶς γὰρ, οἱ μὴ τὴν αὐτὴν ἐσχηκότες ῥίζαν καὶ γέν-
νησιν, καὶ διὰ τοῦτο μηδὲ φυσικῶς διαιρούμενοι;) μήτ' οὖν ἑνὸς γενέσθαι βαθμοῦ, διὰ τὴν ἔνσαρκον ἕνωσιν, καὶ συγχυθῆναι κατὰ μελίκρατον. Πῶς γάρ; Σωζομένων ἀδιαπτώτων τῶν ὑποστάσεων; Διὰ δὲ
B τὴν θείαν καὶ σωτηριώδη φωνὴν τοῦ Κυρίου, καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ εἰ-
πόντος πρὸς τοὺς ἐρωτήσαντας αὐτὸν μαθητὰς, εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ, καὶ ἐπαγαγόντος ταῦτα ῥητῶς· Οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας ἀπαρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ· καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία· πιστεύειν ἡμᾶς, καὶ ὁμολογεῖν, ἕνα σχεδὸν ὁμόψυχον ἄνθρω-
πον ἐν δυσὶ θεωρούμενον ὑποστάσεσιν, ὁμοζύγους διὰ τὸν γάμον λογίζεσθαι. Ἀλλὰ δοτέον ἀναδραμεῖν τοῦ λόγου τὸν ῥύακα καὶ πρὸς ἕτερον καίριον.

C Ἡ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀκατάληπτος συγκατάβασις, καὶ τὸ τῆς σωτηρίας τοῦ γένους τῶν ἀνθρώπων ἐχέγγυον, μεγαλύνεται μὲν καὶ ἐξ ἄλλων μυστηρίων πολλῶν, οὐχ ἧττον δὲ καὶ ἐκ τῆς γαμικῆς ἱερολογίας δοξάζεται. Τῆς γὰρ ἁμαρτητικῆς συναφείας διαδοθείσης εἰς ἅπαν τῶν ἀνθρώπων τὸ φύραμα, μετὰ τὸν φθόνον τοῦ δράκον-
τος, καὶ τῆς ἐντολῆς τοῦ Θεοῦ τὴν παράβασιν, καὶ τοῦ κακοῦ πρὸς ἕτερα κακὰ προχωρήσαντος μεί-
ζονα, ἐμέλησε τῷ φιλανθρώπῳ Θεῷ τῆς ἡμῶν παλιγ-
γενεσίας καὶ ἀναπλάσεως. Γεγονὼς τοίνυν ἄνθρω-
πος καθ' ἡμᾶς, δι' ἡμᾶς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, καὶ πᾶσαν ἄλλην πληρώσας οἰκονομίαν, ἵνα ἡμεῖς τὴν ἀρχαίαν μακαριότητα λάβωμεν, καὶ τὸν ἐν Κα-
νᾷ τῆς Γαλιλαίας γάμον ηὐλόγησε, καὶ τὸ ὕδωρ τῆς
D ἀπογνώσεως εἰς οἶνον ἀληθοῦς θεογνωσίας μετέβαλεν· ἐντεῦθεν πληροφορῶν τὸ ἀνθρώπινον, ὡς οὐκέτι γυ-
ναῖκες ἐν λύπαις τέκνα γεννήσουσιν, οὐδὲ ἐκ γαμι-
κῆς συναφείας τικτόμενοι, κατὰ τὸ πρότερον εἶ-
πoιεν, Ἐν ἁμαρτίαις ἐκίσησέ με ἡ μήτηρ μου· ἀλλὰ τηρήσαντες τὰς ἐντολὰς τοῦ Θεοῦ, καθὼς ὁ προπά-
τωρ αὐτὸς ἐτήρησε πρὸ τῆς παραβάσεως, τῆς αὐτῆς τιμῆς καὶ δόξης ἀξιωθήσονται, οἷας πρὸ τῆς παρα-
κοῆς οἱ προπάτορες.

Τίμιος γὰρ ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος, σωτη-
ρίαν φιλοτιμούμενος. Τούτων οὕτως ἐχόντων, καὶ τῶν Θεογράφων πλακῶν λεγουσῶν· Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου ἀποκαλύψαι αἰσχύ-
νην αὐτοῦ· καὶ τοῦ προπάτορος ἀποκρινομένου ἑτέ-
ρωθεν. Νῦν καὶ μᾶλλον ἡ γυνή μου ὀστοῦν ἐκ τῶν

ὀστων μού ἐστι καὶ σαρξ ἐξ τῆς σαρκός μου· οὐ τολμῶ τοὺς ὁμοζύγους εἰπεῖν ἄλλης καὶ ἄλλης εἶναι σαρκὸς, κἂν ἐν δυσὶν ὑποστάσεσιν αὐτοὺς θεωρῶ· ἵνα μὴ δικαίως κατακριθῶ κατὰ τοὺς ἀθετοῦντας ἐγγράφους καὶ ἀγράφους παραδόσεις, τῶν ἁγίων Ἐκκλησιῶν καὶ τῆς σωτηρίας ἡμῶν τὸ ἐχέγγυον. Διαγινώσκω δὲ μᾶλλον μίαν σάρκα τούτους λογίζεσθαι, καὶ τοῖς αὐτοῖς στενοχωρεῖσθαι τὸν ἄνδρα νομικοῖς καὶ κανονικοῖς παραγγέλμασιν, ὅσον τέως εἰς συνάφειαν γαμικὴν, οἷς καὶ ἡ τούτου στενοχωρεῖται ὁμόζυγος· ὥσπερ καὶ τὸ ἀνάπαλιν. Καὶ διὰ τοῦτο μὴ δύνασθαι τὸν Δημήτριον εἰς γυναῖκα τὴν Θεοδώραν λαβεῖν, λογιζομένην δισεξαδέλφην αὐτοῦ, διὰ τὴν μετὰ τῆς Μαρίας γαμικὴν τούτου συνάφειαν. Ἀποδέχομαι δὲ καὶ τοὺς κωλύοντας τὸ τοιοῦτον γαμικὸν τοῦ Δημητρίου συνάλλαγμα διὰ τοὺς νόμους τοὺς λέγοντας, ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐφειμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητητέον· κατανοῶν ἀπρεπέστατον εἶναι, τὸν μέχρι τοῦ νῦν γαμβρὸν παρὰ τῆς δισεξαδέλφης λεγόμενον, ὁμόζυγον αὐτῆς ὀνομάζεσθαι. Ὅτι δὲ χρώμενοι ῥήμασί τινες τοῦ κατὰ τὴν λ' τοῦ Ἰουλίου μηνὸς, τῆς ιβ' ἐπινεμήσεως, συνοδικοῦ σημειώματος, τοῦ μὲν ἁγιωτάτου κυροῦ Θεοδοσίου πατριαρχεύοντος, ἡμῶν δὲ τοῦ χαρτοφύλακος ἐνεργούντων ὀφίκιον, καὶ περὶ τὸ τέλος ταῦτα διεξιοῦσιν. *Ἐπεὶ γὰρ ἡ μετὰ Ἰωάννου τελεσθεῖσα μνηστεία ὡς ἀνυπόστατος λέλυται, διὰ τὴν τῆς Εἰρήνης ἀνηβότητα, καλῶς ἡ Εἰρήνη δευτέρῳ ἐξαδέλφῳ αὐτοῦ κατὰ νόμον γάμου συζευχθήσεται. Οὔτε γὰρ συγγενικὸν πρόσωπον τὴν Εἰρήνην λογίζεται, ὁ Θεόδωρος, οὔτε τοῖς ἐξ ἀγχιστείας δεσμοῖς καὶ ὅροις συσφίγγεται, διὰ τὸ ὑπερβῆναι τὸν ἐξ ἀγχιστείας ἕκτον βαθμόν.*

Θέλουσιν ἡμᾶς σιωπᾷν, ἄρτι τἀναντία διαγινώσκοντας· πρῶτον μὲν λέγομεν, ὡς ὁ κατὰ καιροὺς χαρτοφύλαξ στόμα πατριαρχικὸν λογιζόμενος, ἐκεῖνα λέγει καὶ γράφει, ὅσα νεφελώσει καὶ ὑδατώσει τῆς κεφαλῆς ἡ ἀκρώρεια. Οὐκοῦν οὐδὲ αἰτιατέους ἢ ἐπαινετέους λογιεῖταί τις ἡμᾶς καλλιγραφήσαντας ἴσως τὴν παροῦσαν ὑπόθεσιν, ἢ τοὐναντίον κακογραφήσαντας. Κατὰ γὰρ τὸν Βαροὺχ ὑπεγραμματεύσαμεν ὅσα θρηνῶν Ἱερεμίας ἐθρήνησε· καὶ κατὰ τὸν Ἀαρὼν ἐλαλήσαμεν, ὅσα λαλῶν ἐλάλησε Μωσῆς. Ὅπερ δὲ καὶ τότε τὴν μικρόνοιαν ἡμῶν ἐθεράπευσε χάριν τοῦ τοιούτου ζητήματος, ἐγράφη παρ' ἡμῶν ἐν τῷ β' κεφαλαίῳ, τοῦ ιγ' τίτλου τοῦ νομοκανόνου. Εἴπομεν γὰρ τὸ τοιοῦτον κεφάλαιον ἑρμηνεύοντες, ὡς καὶ βασιλικὸν ἐκώλυσε πρόσταγμα τὸ ζητούμενον συνοικέσιον, κἂν καταστρωθῆναι οὐκ ἔφθασε, καὶ ἡ Ἐκκλησία τὴν τούτου ποίησιν οὐκ ἀνέχεται. Εἶτά φαμεν, ὡς σημειωμάτων προκομιζομένων ταλαυγενῶν, καὶ διὰ [88] γραμμάτων ὁμοίων ἐκκλησιαστικῶν, διυλιζόντων καὶ αὐτὸν τὸν φαυλότατον κώνωπα τοῦ τοιούτου ζητήματος, καὶ ἀποκαλούντων τοῦτο παρανομώτατον,

A os ex ossibus meis, et caro ex carne mea : equidem dicere non audeo, conjuges alterius et alterius esse carnis, licet eos in duabus personis video : ne meritc condemner illorum more, qui scriptas et non scriptas traditiones reprobant, quæ sanctarum Ecclesiarum et salutis nostræ pignus sunt. Imc potius statuo, pro una carne ducendos, et iisdem constringi maritum legalibus et canonicis præceptis, quantum scilicet copulationem matrimonialem attinet, quibus et conjux ejus includitur : idemque vice versa locum habere. Atque hac de causa non posse Demetrium in uxorem ducere Theodoram, quæ pro sobrina ejus habetur, propter matrimonialem ipsius cum Maria conjunctionem. Assentior etiam iis, qui matrimonialem ejusmodi contractum B Demetrii prohibent legum ratione (66) quarum verba sunt : In nuptiis non solum quid permissum sit, sed etiam quid honestum, considerandum est : dum animadverto, inhonestissimum esse, ut qui hactenus a sobrina vocatus fuerit affinis, postea conjux ejus appelletur. Et quia nonnulli utentes verbis scripti synodalis, publicati die xxx mensis Julii, indictione duodecima, cum esset patriarcha sanctissimus ille dominus Theodosius, et nos officio chartularii fungeremur, quo in scripto circa finem hæc verba leguntur : *Cum enim celebrata cum Joanne sponsalia, ceu minime constantia, solvantur, propter ætatem Irenæ impuberem : recte Irena sobrino ipsius lege matrimoniali copulabitur. Quippe nec pro* C *persona cognata Theodorus Irenam ducit, nec affinitatis vinculis atque legibus constringitur propterea quod sextum ex affinitate gradum excedat.*

His ergo verbis utentes, tacere nos volunt, qui jam contraria statuimus : primum respondemus, cujusque temporis chartularium, qui os patriarchæ esse ducitur, ea tum dicere, tum scribere, quæ capitis ipsi vertex instar nubis et aquæ suppeditat. Ideoque nec culpandos, nec laudandos nos putabit quispiam, qui vel recte præsentem causam, vel e contrario male litteris complexi simus. Nam more Baruchi, scribæ munere functi notavimus quæcunque lamentando Hieremias lamentatus est : et Aaronis more prolocuti sumus, quæcunque loquendo D locutus est Moses. Quod autem intellectus nostri tenuitati tunc remedio fuit in hac quæstione, perscriptum a nobis est in capite secundo tituli XIII Nomocanoni. Quippe caput illud interpretantes diximus, etiam edicto imperatorio prohibitum esse matrimonium, quo de agitur, licet in acta relatum non fuerit, et Ecclesia promulgationem ejus non sustineat. Deinde subjicimus, quod cum notationes priscæ proferuntur, et consimilia scripta ecclesiastica, pravissimum et ipsa culicem quæstionis hu-

VARIÆ LECTIONES.

[88] διαγραμμάτων.

NOTÆ.

(66) *Semper.* D. *De reg. jur.* Et l. 42. D. *De rit. nupt.*

jus percolantia, et iniquissimam hanc appellantia; nemo sane, qui ad evidentem rationem non connive-
A at, illa quidem velut abolita damnabit, præsertim cum nec sublata sint disertis verbis a præsenti synodali scripto; quæ autem hoc continentur, canonis et legalibus doctrinis exæquabit. Itaque respiciens in auctorem et consummatorem fidei nostræ, Dominum ac Deum nostrum Jesum Christum, rursus aio: quod cum magnus ille Paulus dicat, *Mulier corporis sui potestatem non habet, sed maritus: ac similiter maritus potestatem corporis sui non habet, sed uxor:* itidemque cum sacri canones et tomi cum vidua matrimonio copulatum pro digamo habentes, ad gradum aliquem ecclesiasticum pervenire non sinant: ac ne defuncti quidem sacerdotis conjugem ad secundas transire
B nuptias permittant, idque omnino propter identitatem corporum ipsorum, quemadmodum manifesto liquet ex XXXI et XXXII capite tituli primi libri III Basilicorum, et XLIV canone sancti Basilii, cujus in fine dicitur, Nos diaconæ corpus, veluti quæ consecrata fuerit, non amplius in usu carnali esse permittimus: equidem judico canonicum et legitimum esse, ut auctoritate prohibeatur ecclesiastica, quominus unus et idem duabus sobrinis copuletur, ac vice versa: sique clam ejusmodi quid factum fuerit, de industria dirimatur, et interveniente pœna corrigatur.

EJUSDEM

Epistola de incensis, quæ a patriarcha dari solent eo die quo catechesis habetur.

Tu quidem, charissime fili, gloriosissime judex, et præfecte judiciorum, cum Davide psallens: Interroga patrem tuum, ac dicet tibi; seniores te, ac renuntiabunt tibi; recte cognoscere cupivisti ex nobis, qua de causa dari populo soleant a cujusque temporis sanctissimis patriarchis incensa, post habitam catechesin. Ego vero faces afflictionis hauriens in exsilio, cunctabar hactenus in respondendo. Sed quoniam cuivis petenti, et semper quidem, tam lingua, quam manu dare debere didici, hæc ad interrogationem ex tempore respondeo.

Celsissimam sacrorum imperatorum circum-
D spectionem, et patriarcharum amplitudinem, inter alia reddebant olim augustiorem etiam annuæ rogæ, ac baiorum largitiones. Quippe sedebant annis singulis cujusque temporis patriarchæ ac imperatores, et per hæc subditos ad benevolentiam invitabant. Novit hoc patrum conscriptorum amplissimus ordo, ac fortassis etiam nonnulli, qui hac ætate nostra vivunt. Non enim ante tempora Euclidis prodita sunt gerris, nec somniantium vetularum fabellæ sunt: sed usque ad imperium domini Constantini Ducæ duravit augustus ille mos tam in ipsius Dei, quam imperatorum regia, et omnino bonum hoc ad nos quoque propagatum fuit, a majoribus ad nepotes, a generatione ad

A οὐδεὶς μὴ σκαρδαμύττων πρὸς τὴν ἐνάργειαν, ἐκείνων μὲν καταψηφιεῖται σχολήν, καὶ ταῦτα μηδὲ ἀναιρεθέντων ῥητῶς ὑπὸ τοῦ παρόντος συνοδικοῦ σημειώματος· τὰ δὲ ἐν τούτῳ περιεχόμενα, κανονικοῖς καὶ νομίμοις ἐξισώσει διδάγμασιν. Ἀφορῶν οὖν εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν, λέγω καὶ αὖθις· ὡς ἐπεὶ ὁ μέγας Παῦλός φησιν· *Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή.* Οἱ δὲ θεῖοι καὶ ἱεροὶ κανόνες καὶ τόμοι τὸν μετὰ χήρας γαμικῶς συναφθέντα λογιζόμενοι δίγαμον, εἰς ἐκκλησιαστικὸν βαθμὸν οὐκ εὐδοκοῦσιν ἐλθεῖν, ἀλλ' οὐδὲ τὴν τοῦ τελευτήσαντος
B ἱερέως ὁμόζυγον δευτερογαμῆσαι παραχωροῦσι, πάντως διὰ τὴν ταυτότητα τῶν σωμάτων αὐτῶν, καθὼς τὰ περὶ τούτου παρίσταται ἐκ τοῦ λα' καὶ λβ' κεφαλαίου, τοῦ πρώτου τίτλου, τοῦ γ' βιβλίου τῶν Βασιλικῶν, καὶ τοῦ μδ' κανόνος τοῦ ἁγίου Βασιλείου, λέγοντος περὶ τὸ τέλος· Ἡμεῖς οὖν τῆς διακόνου τὸ σῶμα, ὡς καθιερωμένης, οὐκέτι ἐπιτρέπομεν ἐν χρήσει εἶναι σαρκικῇ· διαγινώσκω κανονικὸν εἶναι καὶ νόμιμον, τὸ μετὰ αὐθεντίας ἐκκλησιαστικῆς κωλύεσθαι τὸν αὐτὸν καὶ ἕνα δυσὶ διεξαδέλφαις συνάπτεσθαι, καὶ τὸ ἀνάπαλιν· καὶ εἰ λάθοι γενέσθαι τοιοῦτόν τι, σπουδαίως διασπᾶσθαι, καὶ μετ' ἐπιτιμίου διορθοῦσθαι.

ΤΟΥ ΑΥΤΟΥ

C *Ἐπιστολὴ, χάριν τῶν διδομένων θυμιαμάτων παρὰ τοῦ πατριάρχου, κατὰ τὴν ἡμέραν τῆς κατηχήσεως.*

Σὺ μὲν, τριπόθητον τέκνον, μεγαλοδοξότατε κριτὰ, καὶ ἐπὶ τῶν κρίσεων, ψάλλων μετὰ τοῦ Θεοπάτορος, Ἐρώτησον τὸν πατέρα σου, καὶ ἐρεῖ σοι, τοὺς πρεσβυτέρους σου καὶ ἀπαγγελοῦσί σοι· καλῶς ἐζήτησας μαθεῖν ἐξ ἡμῶν, τίνος χάριν δίδονται τῷ λαῷ παρὰ τῶν κατὰ καιροὺς ἁγιωτάτων πατριαρχῶν μετὰ τὴν κατήχησιν θυμιάματα. Ἐγὼ δὲ πίνων τρυγίαν θλίψεως ὑπερόριον, ὤκνουν πρὸς τὴν ἀπόκρισιν. Ἐπεὶ δὲ παντὶ τῷ αἰτοῦντι, καὶ πάντοτε, καὶ γλώττῃ καὶ χειρὶ ὀφείλειν διδόναι μεμάθηκα, σχεδιάζω σοι ταῦτα πρὸς τὴν ἐρώτησιν.

D Τὴν ὑψηλοτάτην τῶν θείων αὐτοκρατόρων περιωπὴν, καὶ τῶν πατριαρχῶν τὴν μεγαλειότητα, μετὰ τῶν ἄλλων ἐσέμνουν καὶ ἐτήσιοι ῥόγαι ποτὲ, καὶ βαΐων φιλοτιμήματα. Ἐκάθηντο γὰρ ἐτησίως οἱ κατὰ καιροὺς πατριάρχαι καὶ βασιλεῖς, καὶ μετεκαλοῦντο τοὺς ὑπηκόους διὰ τούτων πρὸς εὔνοιαν. Οἶδε ταῦτα τῆς συγκλήτου βουλῆς τὸ ὑπέρτατον, ἴσως δὲ καί τινες τῶν τῆς καθ' ἡμᾶς γενεᾶς. Οὐδὲ γὰρ πρὸ Εὐκλείδου μεμυθολόγηνται, οὐδὲ γραϊδίων ἐστὶν ὀνειροπολούντων λογύδρια· ἀλλὰ μέχρι τῆς βασιλείας τοῦ Δούκα κυροῦ Κωνσταντίνου καὶ ταύτην εἶχον τὴν σεμνοπρέπειαν τὰ τοῦ Θεοῦ καὶ τῶν βασιλέων ἀνάκτορα, καὶ πάντως γέγονεν ἂν τὸ καλὸν πρὸς ἡμᾶς διαδόσιμον ἐκ προγόνων εἰς παῖδας, καὶ ἐκ φυλῆς εἰς φυλὴν πτερυσσόμενον. Εἰ δ', ὅπερ οὐ

πέπεισμαι, καὶ τοῦτο λήθης βυθῷ κατακέχωσται, καὶ Καστα-
λίας ὕδωρ εὐχάριστον τῶν τότε κρατούντων οὐ κηρύττει τὴν πρόνοιαν, ἀλλὰ μεμβράναι βίβλων ἱστορικῶν, καὶ συγγραφαὶ τακτικῶν ἀνακτορικῶν κεκράξονται κατὰ Στέντορα. Καὶ σὺ δὲ παντὸς συντάγματος λογικοῦ τελῶν ὑφηγητὴς νουνεχέστατος, κἂν τούτῳ τῷ σπουδαίῳ προβλήματι πλεονεκτήσεις πολλοὺς, καί μοι συλλαλήσεις τῷ γέροντι. Ἀλλὰ καὶ τοῦ βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Μονομάχου τὰ θεσπεσιώτατα διατάγματα, τὰ τελεσφορήσαντα τὰ ὀφφίκια τοῦ ἐπὶ τῶν κρίσεων, καὶ τοῦ νομοφύλακος, καὶ διοριζόμενα τούτους ἐτησίως μετὰ καὶ ἄλλων πολλῶν ἀποφέρεσθαι χάριν ῥόγας ἀνὰ χρυσίου τοσήνδε ποσότητα, καὶ τὰ συνήθη βαΐα, οὐκ εἰσὶν ἐν τῷ οὐρανῷ, οὐδὲ πέραν θαλάσσης, ἵνα τις εἴπῃ, Τίς ταῦτα μετακομίσει μοι; Παρὰ δὲ τῇ χειρί σου, καὶ τῇ καρδίᾳ σου, καὶ τῷ στόματί σού εἰσι. Καὶ πάντως γνωμολογήσεις ἐκ τούτων τοῦ πράγματος τὴν ἀλήθειαν. Τῶν γοῦν βασιλέων καὶ τῶν πατριαρχῶν μεγαλυνομένων, ὡς εἴρηται, διὰ τῶν βαΐων καὶ τῶν ῥογῶν, ἔδει τέως τοὺς πατριάρχας τοὺς τὴν ἀρχαίαν μέχρι τοῦ νῦν συντηροῦντας συνήθειαν, καὶ χρυσίνους παραμετροῦντας τοῖς κληρικοῖς, διδόναι καὶ βαΐα, καθὼς προτετύπωται. Ἐπεὶ δ' οὐκ οἶδ' ὅπως οὐ φαίνεταί ποτε τοῦτο γινόμενον, ἀλλ' ἐν ταῖς ἡμέραις τῶν κατηχήσεων ἀντὶ ῥογῶν καὶ βαΐων μόνα διδόασι τῷ λαῷ θυμιάματα· σκοπητέον πρὸ πάντων, τὸ σημαινόμενον τῶν βαΐων, καὶ ζητητέον τὴν αἰτίαν, δι' ἣν θυμιάματα μὲν δίδονται κατὰ τὴν ἡμέραν τῆς κατηχήσεως, καὶ κατὰ τὴν μεγάλην τετράδα κηρία καὶ θυμιάματα· κηρία δὲ καὶ σταυρὸς κατὰ τῆς βαϊφόρου [84] τὴν Κυριώνυμον.

generationem transiens. Sin, quod equidem non arbitror, hoc etiam oblivionis gurges absorbuit, et gratiosa isthæc aqua Castaliæ providentiam superioris memoriæ principum non prædicat : saltem membranæ librorum historicorum, et ordinationum aulicarum monumenta Stentoris in morem hæc proclamabunt. Tu quoque, qui cujusvis eruditi scripti acutissimus es interpres, etiam in hac non levis momenti quæstione compluribus eris superior, ac me senem in dicendo juvabis. Quinetiam imperatoris, domini Constantini Monomachi edicta sacratissima, quibus ordinata sunt officia præfecti Judiciorum, et nomophylacis, et quæ statuunt, eos debere singulos in annos, præter alia, consequi ratione rogæ, quemlibet auri talem ac talem quantitatem, una cum consuetis baiis; non in cœlo sunt, nec trans mare, uti dicere quis debeat, Quisnam hæc afferet mihi? Sed sunt in manu tua, et in corde tuo, et in ore tuo. Atque omnino rei veritatem ex his mentis acumine colliges. Cum autem imperatores et patriarchæ magnificentiam ceu dictum est, suam demonstrent per baia et rogas, sane par erat, ut patriarchæ, qui priscam hactenus consuetudinem conservant, et aureos clericis nummos admetiuntur, etiam ipsis baia darent, quemadmodum indicatum est antea. Sed quoniam hos, nescio qua de causa, non amplius fieri videmus, sed iis diebus, quibus catecheses habentur, loco rogarum et baiorum sola populo dant incensa : considerandum ante omnia, quodnam vocis baiorum significatum sit, et inquirenda, propter quam incensa dantur in die catechesis, et magna feria quarta, cerei cum incensis; cerei denique cum crucibus ea Dominica, qua baia gestantur.

Οἷα μὲν οὖν ἦσαν τὰ βαΐα ἐκεῖνα, παρὰ βασιλέων διδόμενά ποτε καὶ πατριαρχῶν, τέως ἐγὼ ἀγνοῶ. Οὔτε γὰρ ἀπὸ χειρὸς βασιλικῆς ἢ πατριαρχικῆς βαΐον ἡ χείρ μου μετὰ ῥόγας ἐδέξατο, καὶ ταῦτα πλουτιζομένη καθ' ἑκάστην σχεδὸν ὑπ' αὐτῶν, οὔτε τὴν τούτων ποιότητα παρ' ἑτέρων μεμάθηκα. Κλάδους δὲ φοινίκων καὶ μυρσινῶν βλέπω τοὺς ἀνθρώπους κατέχοντας, καὶ τὴν βαϊφόρον δοξάζοντας. Ποίας δὲ διαλέκτου τὸ βαΐον ἐστὶ, καὶ τίνα σημασίαν ἔχει κατὰ Ῥωμαίους καὶ Ἕλληνας, δηλωθήσεται. Βαΐον κατὰ Ῥωμαίους οὔτε κλάδος ἐστὶν ἐκ δένδρου κοπτόμενος, οὔτε ῥόδον ἐκ ῥοδωνιᾶς συναγόμενον, οὔτε κρίνον ἐκ κρινωνιᾶς συλλεγόμενον· ἀνθρωπίνη [85] δὲ γνώμη, ἐκ τοῦδε εἰς τόδε μετάβασις, ἀγαθὴ δηλονότι ἢ πονηρά. Ἐντεῦθεν γὰρ τοὺς παιδοτρίβας βαϊούλους κατονομάζομεν, ὡς τὰ νηπιώδη τῶν παίδων φρονήματα μετάγοντας πρὸς ἀρρένωσιν. Καὶ πραεβαρικάτορας λέγομεν, τοὺς ποικιλλομένους κατὰ τὴν ἶριν συνεργοὺς, καὶ προδιδόντας τοὺς πρόσφυγας. Τῆς γοῦν Ἰουδαίας καὶ Ἱερουσαλὴμ γενομένης ὑποχειρίας τῶν Ῥωμαίων τῷ στέμματι, μετὰ τὸ μοναρχῆσαι τὸν Ἰούλιον Καίσαρα, (οὕτω

Enimvero cujusmodi fuerint illa baia, quæ ab imperatoribus et patriarchis olim dabantur, equidem hactenus ignoro. Nec enim ab imperatoria vel patriarchali manu baium aliquod cum roga manus mea unquam accepit, licet ab eis alioqui tantum non quotidie collocupletetur, nec horum qualitatem ex aliis intellexi. Palmarum tamen, ac myrtorum ramos tenere manu homines video, cum diem celebrant, qua baia gestantur. Et cujusnam linguæ vocabulum sit baium, quamve significationem habeat secundum Romanos et Græcos, indicabitur. Baium lingua Romana neque ramum significat, ex arbore cæsum, neque rosam ex roseto collectam, neque lilium : sed est animi humani ab una sententia in aliam traductio, bona videlicet, vel prava. Nimirum hinc fit, ut puerorum magistros appellemus baiulos, veluti qui puerorum animos infantes ad virilitatem traducant. Et prævaricatores dicimus eos cooperarios, qui variantur instar iridis, et clientes produnt. Itaque cum Judæa et Hierosolyma facta fuisset Romanorum imperio subdita, solo rerum potito Julio

VARIÆ LECTIONES.

[84] σταυροὶ κατὰ τὴν βαϊοφόρον. [85] ἀνθρωπίνης δὲ γνώμης.

Cæsare; (sic enim factum, ut Dominum Pilatus judicaret, ac Judæam Cæsar Augustus censeret, et Paulus cum damnaretur, diceret : Sisti me Cæsari oportet ;) paterna Judæorum lingua cum Romana commutata fuit. Quippe Judæi cum gentilibus permisti, eorum instituta didicerunt. Cum ergo populi Judaici seniores, et scribarum cœtus vidisset Dominum Deumque nostrum, qui tergis cherubicis insidet, per demissionem asinino vehi pullo, cum nihilominus more regio a præcedentibus et sequentibus stiparetur, ac Hierosolymæ dignitatem amplificaret (quippe Sionis urbem super universa tabernacula Jacobi dilexit) viderent etiam turbas ad terram tunicas suas substernentes, et vias molliores reddentes, pueris ramos gestantibus, ac dicentibus, Hosanna filio regis Davidis! benedictus es qui venis : non dixere cum prophetis, Laudate, pueri Dominum ; neque, Gaude vehementer filia Sionis, prædica gloriam Dei Hierosolyma, quoniam ecce rex tuus venit tibi mitis et servans, et vectus asinino pullo filio subjugalis. Cum enim os habeant, inquit ille, non loquentur : cum oculos, non videbunt : cum aures, non audient : quoniam cordibus eorum velamen legis et ignorationis incumbit.

Nimirum ut peccatores excandescebant, et accendebantur ira, et fremebant dentibus, et contabescebant, cum dicerent : Egredimini, gentes, egredimini, populi, ac videte, quo pacto mundus universus post eum vadat. Ideoque gestationem ramorum non intelligentes, furiosorum more clamabant : Babæ; seducti sunt omnes, omnes inutiles facti sunt et deflexerunt. Proh : leges et præcepta Mosaica præter exspectationem baium factæ sunt, hoc est, secundum ipsorum insaniam, redactio ad interitum. Ita jam recte declarata, mea quidem opinione, baiorum voce, dicendum, quo pacto et quamobrem a sanctissimis patriarchis post catechesin incensa dentur, die baiorum gestationis, cruces et cerei, rursus magna feria quarta cerei et incensa, die sancti Paschatis salutationes et tricipitia.

Dicimus ergo, quod cum natio Judæorum ad lucem cæcutiverit, et salutem appellaverit exitium, velut indicatum est (solet enim usuvenire, ut aurugine laborantibus mel sit amarum), nos eis contraria sentientes et facientes, (quippe solem non conniventibus oculis intuemur), cum ramorum gestatione conventus celebremus et insaniam ipsorum velut in triumpho spectandam exhibentes (facti sunt enim spectaculum mortalibus), confiteamur, ac nequaquam inficiemur, nos quidem esse factos baium fidei ; sed ex umbra ad veritatem, sed ad immortalitatem ex mortalitate ; neque nos pudet ramos illos appellare baia. In eadem exsistentes opione fidelissimi principes, annuis rogis baia miscebant, argento puta vel auro exornata. Quippe congratulabantur iis, qui hæc consequebantur, velut orthodoxis erga Deum, et ipsos erga principes benevolis. Quia vero principum quidem

A γὰρ καὶ Πιλάτος τὸν Κύριον ἔκρινε, καὶ τὴν Ἰουδαίαν Καῖσαρ Αὔγουστος ἀπεγράψατο, καὶ Παῦλος κατακρινόμενος ἔφη· Δεῖ με παραστῆναι τῷ Καίσαρι) ἡ πατρῴα τῶν Ἰουδαίων διάλεκτος πρὸς τὴν τῶν Ῥωμαίων μετεστοιχείωται. Τοῖς ἔθνεσι γὰρ ἐμίγησαν, καὶ ἔμαθον τὰ τούτων ἐπιτηδεύματα. Ἰδόντες τοίνυν τῶν Ἰουδαίων οἱ δημογέροντες, καὶ τῶν γραμματέων ὁ σύλλογος τὸν ἐπὶ νώτοις χερουβικοῖς καθήμενον Κύριον καὶ Θεὸν ἡμῶν, ἐπὶ πώλου μὲν ὄνου κατὰ συγκατάβασιν ἐποχούμενον, βασιλικῶς δὲ παρὰ τῶν προαγόντων καὶ τῶν ἑπομένων στενοχωρούμενον, καὶ τὴν Ἱερουσαλὴμ μεγαλύνοντα, ἠγάπησε γὰρ τὴν πόλιν Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ) καὶ τοὺς ὄχλους μὲν τῇ γῇ τοὺς χιτῶνας στρωννύοντας, καὶ τὰς ὁδοὺς μαλακίζοντας, τοὺς

B παῖδας δὲ κλαδηφοροῦντας καὶ λέγοντας· Ὡσαννὰ τῷ υἱῷ τοῦ βασιλέως Δαβίδ! εὐλογημένος εἶ ὁ ἐρχόμενος· οὐκ εἶπον μετὰ τῶν προφητῶν· Αἰνεῖτε, παῖδες Κύριον· οὐδὲ, Χαῖρε σφόδρα, θύγατερ Σιών, κήρυττε δόξαν Θεοῦ Ἱερουσαλήμ, ὅτι ἰδοὺ βασιλεύς σου ἔρχεταί σοι πραὺς καὶ σώζων, ἐπιβεβηκὼς εἰς πῶλον ὄνου, υἱὸν ὑποζυγίου. Ἔχοντες γὰρ στόμα, φησὶν, οὐ καλέσουσιν· ὀφθαλμοὺς, καὶ οὐκ ὄψονται· ὦτα, καὶ οὐκ ἀκούσουσιν· ὅτι ταῖς καρδίαις αὐτῶν κάλυμμα νόμου καὶ ἀγνωσίας ἐπίκειται.

Ἠγανάκτησαν δὲ ὡς ἁμαρτωλοὶ, καὶ ὠργίσθησαν, καὶ τοὺς ὀδόντας ἔβρυξαν, καὶ ἐτάκησαν, καὶ εἶπον· Ἐξέλθετε ἔθνη, ἐξέλθετε λαοὶ, καὶ ἴδετε, πῶς ὅλος ὁ κόσμος ὑπάγει ὀπίσω αὐτοῦ. Διὸ καὶ τῶν κλάδων μὴ συνιέντες τὸ δορυφόρημα, Βαβαὶ κατὰ μαινομένους ἐβόησαν, βαβαὶ πάντες πεπλάνηνται, πάντες

C ἠχρειώθησαν καὶ ἐξέκλιναν. Βαβαὶ τῶν Μωσαϊκῶν παραγγελιῶν, βαΐον ἀπροσδόκητον γέγονε, τουτέστι κατὰ τὴν τούτων ἀπόνοιαν, μεταφορὰ πρὸς ἀπώλειαν. Οὕτω καλῶς σαφηνισθείσης, ὡς οἶμαι, τῆς τῶν βαΐων φωνῆς, ῥητέον ὅπως καὶ διατί παρὰ τῶν ἁγιωτάτων πατριαρχῶν μετὰ τὴν κατήχησιν θυμιάματα δίδονται, κατὰ τὴν βαϊοφόρον σταυροὶ καὶ κηρία, καὶ αὖθις κατὰ τὴν μεγάλην τετράδα κηρία καὶ θυμιάματα, καὶ κατὰ τὸ ἅγιον Πάσχα ἀσπασμοὶ καὶ τρικέφαλα.

Φαμὲν τοίνυν, ὡς τοῦ γένους τῶν Ἰουδαίων πρὸς τὸ φῶς ἀβλεπτήσαντος, καὶ τὴν σωτηρίαν πανωλεθρίαν κατονομάσαντος, ὡς διείληπται, (τοῖς γὰρ

D ἰκτεριῶσι τὸ μέλι πικρόν ἐστιν), ἡμεῖς τἀναντία τούτοις φρονοῦντες καὶ πράττοντες (ἀσκαρδαμυκτὶ γὰρ τὸν ἥλιον βλέπομεν) κλαδηφοροῦντες πανηγυρίζομεν, καὶ τὴν ἐκείνων ἀπόνοιαν θριαμβεύοντες, θέατρον γὰρ καὶ ἀνθρώποις γεγόνασιν), ὁμολογοῦμεν καὶ οὐκ ἀρνούμεθα, βαΐον γεγονέναι τῆς πίστεως· ἀλλ' ἐκ σκιᾶς πρὸς ἀλήθειαν, ἀλλ' εἰς ἀθανασίαν ἀπὸ θνητότητος· καὶ βαΐα τοὺς κλάδους κατονομάζοντες, οὐκ ἐπαισχυνόμεθα. Οὕτω φρονοῦντες καὶ οἱ πιστότατοι βασιλεῖς, ταῖς ἐτησίοις ῥόγαις βαΐα συνεπρυτάνευον, ἐξ ἀργύρου τυχὸν ἢ χρυσοῦ καλλυνόμενα. Συνέχαιρον γὰρ τοῖς λαμβάνουσι ταῦτα ὀρθοδοξοῦσι τὰ πρὸς Θεὸν, καὶ εὐνοουμένοις τὰ πρὸς αὐτούς. Ἐπεὶ δὲ τῶν μὲν βασιλέων αἱ ῥόγαι, καὶ τῶν βαΐων τὰ ἄνθη τὰ ταύταις συνανατέλλοντα,

πρὸ χρόνων ἐσχόλασαν, δι' ἣν αἰτίαν ἄνωθεν εἴπομεν· τῶν δὲ θείων πατριαρχῶν αἱ ῥόγαι δημοσιεύονται, καὶ ἡ συνήθως διδομένη ῥόγα κατὰ τὴν κυρίως ἀπόκρεω, εἰς τὴν ἐτησίως προβαίνουσαν ἐκκλησιαστικὴν ῥόγαν κατὰ τὴν μεγάλην τρίτην μετέπεσε, καθὼς, τὰ παλαιὰ λαλοῦσι ῥογάλια, διδόασιν οἱ πατριάρχαι μετὰ τὴν κατήχησιν τῷ λαῷ ὡς βαΐα τὰ θυμιάματα· παρεγγυώμενοι δι' αὐτῶν ὡσανεὶ τοῖς λαμβάνουσι, μεταπεσεῖν ἐκ τῆς φαύλης διαγωγῆς, καθώς που καὶ καθηγήθησαν, καὶ δι' ὀλιγοημέρου ἐπιστροφῆς βασιλείαν αἰώνιον ἀνταλλάξασθαι. Εὐτελέσι δὲ θυμιάμασι κατὰ σμικρολόγους καὶ κίμβικας οὐκ ἐλαττονοῦσι τὸ μεγαλεῖον τοῦ Πνεύματος· (πῶς γὰρ οἱ πᾶσαν τὴν οἰκουμένην φιλανθρωπίαις παντοδαπαῖς σαγηνεύοντες, καὶ πᾶσαν πενητεύουσαν αὐλακίζοντες ἄρουραν, καὶ πολύχουν εὐεργεσίας θερίζοντες ἄσταχυν;) ἀλλὰ τῆς ἡμέρας τὴν δύναμιν αἰνιττόμενοι, καὶ διδάσκοντες ὥσπερεὶ δι' αὐτῶν τοὺς λαμβάνοντας, ὁποῖον εἶναι δεῖ τὸ ψυχικὸν κατάστημα τοῦ νηστεύοντος, καὶ τῆς μετανοίας τὸ ὁλοκαύτωμα, καὶ τῆς προσευχῆς τὸ θυμίαμα. Καὶ τότε μὲν οὕτω κατευθύνουσι τῆς νηστείας τὸ στάδιον. Κατὰ δὲ τὴν τῆς βαϊοφόρου χαρμόσυνον κυριώνυμον, ὡς ἀθλοθέται καθίσαντες, (Ἐκάθισε γάρ, φησὶν, ὁ κρίνων δικαιοσύνην,) δεξιοῦνται τοὺς τὸ παγκράτιον τῆς νηστείας νικήσαντας, τιμίων καὶ ἁγίων σταυρῶν ἁγιάσμασι, καὶ κηρίων φωτοβόλων χαρίσμασιν. Οὐδὲ γὰρ θέλουσι σκιαμαχεῖν τοὺς πιστοὺς κατ' ἐκείνους τοὺς νηπιόφρονας, ἀλλ' ὡς ἤδη τῆς δικαιοσύνης τὸν ἥλιον βλέποντας, τὴν νέαν Σιὼν διὰ πώλου φωτίζοντα, προτρέπονται δι' αὐτῶν τοῖς ἤδη νηστεύουσι νηστείαν Κυριακὴν τεσσαρακονθήμερον, καὶ τῶν παθῶν τὰ νέφη διώξασι, συνανατέλλειν μετὰ τοῦ γίγαντος. Βαΐα μὲν κατέχουσι ταῖς χερσὶ, διὰ τὸ μεταπεσεῖν ἐξ ἐμπαθοῦς καὶ κοινοτέρας ἴσως διαγωγῆς πρὸς ὑψηλοτέραν καὶ ἀπαθῆ· κηρία δὲ καὶ σταυροὺς, διὰ τὸ καταβαλεῖν μετὰ τοῦ τῆς ἀληθείας φωτὸς τὸ ἀρχέκακον Σατὰν καὶ ἀντίπαλον. Καὶ τί γὰρ ἄλλο δῶρον δοθήσεται τοῖς δι' ἐγκρατείας νικήσασι τὸ μέγα τῆς νηστείας παγκράτιον, τοῦ τριποθήτου θείου σταυροῦ τιμιώτερον, τοῦ μύλας ᾅδου παμφάγου συντρίψαντος, καὶ πύλας ζωῆς τῷ γένει τῶν ἀνθρώπων ἀνοίξαντος; Πάντως οὐδέν· εἰ μή τις εἴποι τὸν δι' αὐτοῦ τὴν σωτηρίαν ἡμῖν σχεδιάσαντα Ἰησοῦν Χριστὸν καὶ Θεὸν ἡμῶν. Ἐπεὶ δὲ καὶ βασιλέα πολλαῖς δορυφορούμενον κυριότησιν, ἀμέσως ἢ κατὰ ῥυπαροῦ καταστήματος οὐκ ἔξεστιν ὑποδέξασθαι, Νῦν μὲν, φησὶν ὁ μέγας ἀρχιερεὺς, τοῖς ἀγχεμάχοις συναριθμήθητε, τοῖς σφενδονήταις συστοιχειώθητε, τοῖς ἀκοντισταῖς συνανάβητε, καὶ τοῖς τροπαιοφόροις συνανακλίθητε. Μετὰ δὲ μικρὸν ἀνοιχθήσονται ὑμῖν τὰ ἀνάκτορα, καὶ ἴδητε τὸν οὐρανοῦ καὶ γῆς βασιλεύοντα ἀπερίγραπτον Κύριον καὶ Θεὸν ἡμῶν σαρκικῶς χερσὶ δικαίων περιγραφόμενον, καὶ ζωὴν ἀτελεύτητον ἀντὶ βαΐων φιλοτιμούμενον. Καὶ κατὰ μὲν τὴν χαρμόσυνον κυριώνυμον τῆς τῶν βαΐων σεπτῆς πανηγύρεως, κηρία καὶ σταυροὺς λαμβάνοντες οἱ λαοὶ, τὴν κατὰ τοῦ θανάτου νίκην ἑαυτοῖς προμνηστεύονται, καὶ ὡς ἀστέρες κα-

A rogæ baiorumque flores, qui cum rogis exoriebantur, ante multos annos desierunt ex ea causa, quam indicavimus; cum rogæ patriarcharum adhuc in usu publico sint, quæque pro more datur roga die carnis privii, sic immutata sit, ut in anniversariam rogam ecclesiasticam magnæ feriæ tertiæ incidat, quemadmodum antiqua Rogalia loquuntur: idcirco dant patriarchæ populo post catechesin incensa, loco baiorum; velut admonentes illos, qui ea sumunt, ut rationem vivendi pravam relinquant, sicut edocti sint, ac per conversionem paucorum dierum sibi regnum illud æternum comparent. Cæterum per hæc incensa vilis pretii, more parcorum hominum et avarorum, majestatem spiritus non deminuunt, (quo enim id pacto facerent ii, B qui terrarum orbem universum variis beneficiis irretiunt, et omne arvum sterile sulcant, opimasque beneficentiæ spicas metunt?) sed occultam ejus diei vim indicare volunt, quasique docere per hæc eos, qui ea sumunt, qualis esse debeat animi status in eo, qui jejunium observat, quale holocaustum pœnitentiæ, et precationis incensum. Ac tunc quidem ita jejunii curriculum dirigunt. At vero læta illa die Dominica baiorum gestationis, sedentes pro more distribuentium præmia (quippe consedit, inquiunt Litteræ sacræ, qui judicat justitiam), victores in certamine jejunii pretiosarum sanctarumque crucium lustrationibus, et cereorum lucentium donis excipiunt. Quippe non cum umbris dimicare fideles volunt, fatuorum more, sed eos C veluti jam aspicientes justitiæ solem, qui novam Sionem per pullum illuminat, per hæc exhortantur, ut absoluto Dominico dierum quadraginta jejunio, et nubibus vitiorum expulsis, una cum hoc gigante (dicto nimirum sole) exoriantur. Et baia quidem manibus propterea tenent, quod traducti sint a vitiosa profanaque fortasse vita, ad sublimiorem et vitiorum expertem: cereos vero cum crucibus, quod cum lumine veritatis auctorem omnis mali et adversarium suum Satanam prostraverint. Et quodnam aliud donum iis, qui per continentiam in illo magno jejunii certamine victores exstiterint, dari pretiosius possit optatissima sacra cruce, quæ omnia devorantis inferni genuinos comminuit, D et humano generi vitæ portas aperuit? omnino nullum, nisi quis dicere velit Jesum Christum Deum nostrum, qui per crucem nobis salutem acquisivit. Et quoniam regem multorum dominatuum satellitio stipatum sine medio, vel cum statu sordido non licet excipere; Nunc quidem, inquit magnus ille pontifex, inter pedem conferentes numeremini, funditorum ordine consistite, cum sagittariis pergite, cum gestantibus tropæa procumbite. Verum post exiguum temporis intervallum ipsa regia vobis aperietur, ac videbitis cœli terræque Regem, nullis circumscriptum terminis Dominum Deumque nostrum carnaliter justorum manibus circumscribi, vitamque vobis fine carentem baiorum loco largiri. Ac læta quidem illa die Dominica venerabilis baio-

rum festivitatis, dum populi cereos et cruces accipiunt, victoriam adversus mortem sibi certe despondent, et instar siderum illuminant expertem astrorum sphæram desperationis; vel tanquam servi fideles, qui faces gestant, per trivia circumeuntes, adventum sponsi splendidiorem reddunt, deque lepra sectariorum in caligine sedentium quasi triumphant. Post diem vero tertium curator ille humanarum animarum, videlicet ipse patriarcha, quasi rationibus secum expensis, ne quis clam ipso salutaris passionis præmia tractet indigne (nam ipsum mel quoque sæpius dulcedinem suam in vomitum convertere solet, si aliter quam expediat, sumptum sit), instar custodis vigilacis maturius surgens, incensi dat fidelibus, indicare per hæc volens, et admonere, ne festivo more, sed pugilum ritu deinceps dierum curriculum suscipiant. Licet enim, inquit, absque periculo magnum illud jejunii pelagus a crucis velo sublevati trajecistis, et ad divinum portum sanctorum Christi Deique nostri cruciatum appulistis: tamen instar illius prudentis negotiatoris, inæstimabilem illum unionem consecuti non estis. Adhuc enim prædones ac latrones studiose domino per tenebras insidiantur, et reti quodam homicidii consuto, capiendi ejus occasionem quærunt. Igitur etiam deinceps vigilemus, et cum Judæis excubias agentibus excubemus. Ipsi quidem in tenebris per mare vagabuntur, incassum retia laxantes: nos autem ambulemus in die, ac lucis opera consequemur: ipsi sudes hamis uncinabunt, nos prædam lucrabimur: ipsi unionem in lapide tegent, nos eum in testaceis vasis recondemus. Postquam in hunc modum data sunt incensa, et populus rursum manus suas ad jejunii pelagus prospero cursu direxit, noctemque sanctorum Christi cruciatuum faculis accensis collustravit (nam in die ambulantes, ut eorum more, qui ambulant in tenebris, nocturna faciant itinera fieri nullo modo potest): tum vero sponsus Ecclesiæ rursus exoriens instar matutini aut vespertini Arcturi, die fausto sancti Paschatis Dominico velut alter divinus Moses sinu suo Christi populum excipit, quasique congratulans eis, qui omnem sceleritatem Ægyptiacam excusserint, et Pharaonem persecutorem mari submerserint: Adeste, inquit, aspicite vos mercatores orthodoxæ doctrinæ, qui citra periculum pelagus jejunii trajecistis, quonam invidiæ fluctus vitæ thesaurum jactaverit: ubinam insomnem illum unionem turbinis æstus abreptum in sepulcro, tanquam in ostreo, cælaverit. Cumque videritis saniem vi fulguris divini commotam, et unionem propria potestate prodeuntem, ac expositum emptoribus citra ullum pretium; accipite eum vobisque peculiarem facite, ac vitæ æternæ thesaurum vobismetipsis acquirite. Fortassis etiam more patris liberum amantis, qui

A ταφωτίζουσι τὴν ἄναστρον σφαῖραν τῆς ἀπογνώσεως, ἢ ὡς δοῦλοι πιστοὶ λαμπαδηφόροι τὰς τριόδους περιερχόμενοι, τοῦ νυμφίου τὴν ἐνδημίαν καταλαμπρύνουσι, καὶ τὴν λώβην τῶν ἐν σκότει καθημένων αἱρεσιωτῶν θριαμβεύουσι. Μετὰ δὲ τρίτην ἡμέραν, ὁ τῶν ἀνθρωπίνων ψυχῶν κηδεμών, ὁ πατριάρχης φημὶ, καθ' ἑαυτὸν ὥσπερ συλλογισάμενος, μή λάθῃ τις ἀχρειῶσαι τοῦ σωτηρίου πάθους τὰ ἔπαθλα, (καὶ μέλι γὰρ εἴωθε πολλάκις τὴν ἡδύτητα μετάγειν εἰς ἔμετον, εἰ μεταληφθείη παρὰ τὸ χρήσιμον,) ὡς ἄγρυπνος φύλαξ ἀναστὰς ὀρθριαίτερον, δίδωσι τοῖς πιστοῖς θυμιάματα, ὁμιλῶν οἷον διὰ τούτων αὐτοῖς, καὶ ὑποτιθέμενος, μὴ πανηγυρικῶς, ἀλλὰ ἀγωνιστικῶς τῶν ἑφεξῆς τριῶν ἡμερῶν τὸ στάδιον ἀναδέξασθαι. Κἂν γὰρ ἀκινδύνως, φησὶ, τὸ μέγα τῆς B νηστείας διεπεραιώθητε πέλαγος τῷ ἱστίῳ τοῦ σταυροῦ κουφιζόμενοι, καὶ παρὰ τῷ θείῳ λιμένι τῶν ἁγίων παθῶν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν κατηντήσατε, ἀλλὰ τὸν ἀτίμητον οὐκ ἐπλουτήσατε μάργαρον, ὡς ἐκεῖνος ὁ φρόνιμος ἔμπορος. Ἔτι γὰρ ἅρπαγες καὶ λῃσταὶ σπουδαίως ἐρεβοδιφῶσι τὸν Κύριον, καὶ σαγήνην μιαιφονίας συῤῥάψαντες, καιροσκοποῦσι τούτου τὴν ἅλωσιν. Γρηγορήσωμεν τοίνυν καὶ ἐφεξῆς, καὶ τοῖς ἀγρυπνοῦσιν Ἰουδαίοις συναγρυπνήσωμεν. Αὐτοὶ μὲν γὰρ ἐν σκότει πεντοπορήσουσι, κεναῖς ὠλέναις ἀφάσσοντες δίκτυα· ἡμεῖς δ' ἐν ἡμέρᾳ περιπατήσωμεν, καὶ τοῦ φωτὸς τὰ ἔργα ληψόμεθα. Αὐτοὶ τοὺς σκόλοπας ἀγκιστρεύσουσιν, ἡμεῖς δὲ τὴν ἄγραν κερδήσωμεν. Αὐτοὶ τὸν μάργα- C ρον ἐν λίθῳ καλύψουσιν, ἡμεῖς δὲ τοῦτον ἐν ὀστρακίνοις ἀποθησαύρίσωμεν σκεύεσιν. Οὕτω γινομένης καὶ ταύτης τῶν θυμιαμάτων τῆς διεδόσεως, καὶ τοῦ λαοῦ τὰς χεῖρας πάλιν ἐπὶ τὸ τῆς νηστείας οὐριοδρομήσαντος πέλαγος, καὶ τὴν νύκτα τῶν ἁγίων παθῶν τοῦ Χριστοῦ λαμπάσι καταπυρσεύσαντος, (τοὺς γὰρ ἐν ἡμέρᾳ περιπατοῦντας νυκτοδατεῖν κατὰ τοὺς ἐσκοτισμένους ἀδύνατον,) ὁ τῆς Ἐκκλησίας νυμφίος ἀνατείλας καὶ πάλιν, καθά τις εἶπε, ἔῳος ἀρκτοῦρος καὶ ἀκροκνέφαιος, κατὰ τὴν φαιδρὰν τοῦ ἁγίου Πάσχα ἡμέραν τὴν κυριώνυμον ὡς ἄλλος θεσπέσιος Μωσῆς τὸν τοῦ Χριστοῦ λαὸν ἐγκολπίζεται. Καὶ συγχαίρων οἷον αὐτοῖς, πᾶσαν Αἰγυπτιακὴν ἀποτιναξαμένοις κακότητα καὶ Φαραὼ διώκτην καταποντίσασι· Δεῦτε, φησὶν, ἴδετε τῆς ὀρθοδοξίας οἱ ἔμποροι, οἱ τὸ τῆς D νηστείας ἀκινδύνως περάσαντες πέλαγος, ποῦ τὸ μέγα κῦμα τοῦ φθόνου τὸν τῆς ζωῆς θησαυρὸν ἀπεκύλισε· ποῦ τὸν ἀκοίμητον μάργαρον εὐροκλύδων τυφωνικὸς ὡς ἐν ὀστρέῳ τῷ τάφῳ κατέκρυψε. Καὶ ἰδόντες τὸ μὲν ἕλυτρον μετασαλευθὲν δυνάμει θεϊκῇ ἀστραπῆς, τὸν δὲ μάργαρον αὐτεξουσίως ἐξαναπτείλαντα, καὶ εἰς ἐμπορίαν προκείμενον ἀπραγμάτευτον, λάβετε τοῦτον καὶ ἰδιώσασθαι [66], καὶ ζωὴν εἰώνιον ἑαυτοῖς ἀποθησαυρίσατε. Τάχα δὲ καὶ κατὰ πατέρα φιλόστοργον, νῦν πρώτως ἰδόντα παῖδας ἀμύμονας, ἀπὸ μακρᾶς καὶ κινδυνώδους ἀποδημίας ἀβλαβῶς ἐνδημήσαντας, ἐν φιλήματι ἁγίῳ περιχα-

VARIÆ LECTIONES

[66] *Ἰδιώσασθε.*

ρῶς κατασπάζεται, καὶ ἀνοίξας τοὺς θησαυροὺς τῆς εὐλογίας αὐτοῦ, δεξιοῦνται τούτους νομίσμασιν, ὀλίγοις μὲν κατὰ τὸ φαινόμενον, πολλοῖς δὲ κατὰ τὸ νοούμενον. Ἀφορῶν γὰρ εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ἀρραβωνίζεται δια τούτων αὐτοῖς καὶ τὴν τοῦ ἁγίου Πνεύματος ἐπιφοίτησιν.

A jam primum filios videt ex loginqua et periculosa peregrinatione domum illæsos redeuntes, lætabundus eos cum osculo sancto salutat, et apertis thesauris benedictionis suæ, numismatis eos excipit, exiguis quidem illis in speciem; sed magnis ejus ratione, quod intelligitur. Quippe respiciens in auctorem et consummatorem fidei, Jesum arrha data per hæc eis pollicetur futurum, ut

Christum, verum illum Deum nostrum; velut Spiritus sanctus super eos veniat.

Ταῦτα ἡμεῖς ὡς ἀρχιτέκτονες γέροντες γεγράφαμέν σοι, σοφώτατε, καὶ ὑπεδείξαμέν σοι ἀπολογίας θεμέλιον. Σὺ δὲ ὡς ἄλλος Βεσελεὴλ, ἐποικοδομήσεις τὸ ἀληθές. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς, φησὶ, δύναται θεῖναι παρὰ τὸν κείμενον, Ἰησοῦν Χριστὸν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Hæc nos veluti provectiores architecti scripsimus tibi, vir eruditissime, ac fundamentum satisfactionis quasi digito commonstravimus. Tu velut alter Beseleel, verum superstrues. Quippe fundamentum aliud, ut ille inquit, nemo ponere potest præter id, quod positum est, Jesum scilicet Christum, cui gloria et imperium in sæcula. Amen.

B

ΤΟΥ ΑΥΤΟΥ

Μελέτη, χάριν τῆς εἰς τοὺς θείους ναοὺς τῶν μοναστηρίων γινομένης μετακλήσεως διὰ σημαντηρίων τριῶν.

Βλέπων ἀπειροκάλους τινὰς, καὶ πρὸς μηδὲν εὐκαιροῦντας ἐπωφελὲς, ἀλλ' ἢ λέγειν τι καὶ ἀκούειν καινότερον, ματαίαν ἀποκαλοῦντας καὶ σκανδαλοποιὸν τὴν διὰ σημαντηρίων τριῶν εἰς τοὺς ναοὺς γινομένην τῶν μοναζόντων μετάκλησιν, χάριν τῆς τῶν θείων δοξολογιῶν ἀκροάσεως· (Ἤρκει γὰρ, φησὶ, δι' ἑνὸς αὐτοὺς μεταστέλλεσθαι, καὶ μὴ γίνεσθαι κατὰ τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ μυκτηρισμὸν καὶ χλευασμὸν παρὰ τῶν κυκλούντων ἡμᾶς ἀσεβῶν, κἀντεῦθεν καὶ παραβολὴν ἐν τοῖς ἔθνεσι, μηδὲ θριαμβεύεσθαι τὸ μοναχικὸν, ὡς δῆθεν εἰς μίαν διαλαλιὰν μὴ εὐσυνθετοῦν·) παριστῶ διὰ τῆς παρούσης μου γραφῆς, ὡς οὔτε διὰ τὰς φληναφίας τῶν ἀσεβῶν, οὔτε διὰ τὰς δυσκολίας τῶν μοναστῶν ἐπενοήθη, διὰ σημαντηρίων τριῶν τὰς θείας δοξολογίας ἐπικηρύττεσθαι· ἀλλὰ διὰ λόγον ἀρχαιοπαράδοτον σπουδαιότατον.

Τῶν γὰρ ἐπ' Ἐκκλησίας γινομένων ἡμερινῶν καὶ νυκτερινῶν δοξολογιῶν, κατὰ τὸ τοῦ προφήτου Δαβὶδ θεσπιώδημα, τὸ λέγον· Ἐν ἑσπέρᾳ, καὶ πρωΐ, καὶ μεσημβρίᾳ διηγήσομαι, καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου ὁ Κύριος· ἀπὸ τῶν δύο συντελουμένων Διαθηκῶν, ἀπὸ τῆς Νέας δηλαδὴ καὶ τῆς Παλαιᾶς, κατὰ τῶν ἁγίων καὶ θεοφόρων Πατέρων παράδοσιν, ὡρίσθη πρὸ πάντων δοξάζεσθαι τὸν Θεὸν ἀπὸ τῆς θείας κιννύρας τοῦ θεοπάτορος (Ἀνοίξω γάρ, φησὶν, ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου) καὶ μετὰ τὴν τούτου ἀνάπτυξιν, τὸν θεῖον μελισσῶνα τῆς Ἐκκλησίας ἐξαγωνίζεσθαι, διὰ κηρίου διδασκαλιῶν εὐαγγελικῶν, τοῦ κέντρου φωτίζοντος τὴν σκοτόμαιναν· διὰ μέλιτος γραφῶν ἀποστολικῶν, γλυκαίνοντος τῆς οἰκουμένης τὰ πέρατα· καὶ διὰ μαρτυρικῶν ἀφηγήσεων, μεγαλυνουσῶν τὸν ἔνσαρκον οἰκονομίαν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν. Διὸ καὶ χάριν μὲν τῶν ἓξ ψαλμῶν τοῦ θεοπάτορος, καὶ λοιπῶν, τῶν ἐν τῇ ὀρθρινῇ δοξολογίᾳ πρὸ τοῦ ἁγιοπολίτου ψαλλομένων ἑκάστοτε, καὶ ταῖς ψαλλομένων συνήθως ἐν ταῖς θείαις ἱερουργίαις, καὶ ταῖς ἑσπεριναῖς προσευχαῖς, πρὸ

EJUSDEM

Meditatum, de convocatione, quæ fit ad sacras monasteriorum ædes, per tria signa.

Quoniam video quosdam imperitos, et nullam ad rem utilem idoneos, quam ut aliquid novi dicant et audiant stultam ac scandali plenam vocare convocationem monachorum ad sacras ædes, quæ tribus fit signis, celebrationes divinas audiendi causa (Sufficiebat enim, inquiunt, uno duntaxat eos signo congregari, nec præberi causam subsannandi et irridendi sanctas Dei Ecclesias circumdantibus nos impiis, ut parobola fiant inter psganos, nec statum monasticum velut in triumpho spectandum exhiberi, quasi ad unam commonitionem se recte non componat); equidem hoc scripto probabo, nec propter illas impiorum nugas, nec propter monachorum morositates excogitatum esse, ut tribus signis glorificationes divinæ denuntientur: sed propter magni momenti rationem quamdam, ab antiquis sæculis per manus traditam.

C

Quippe cum Dei celebrationes, quæ interdiu et noctu fiunt in Ecclesia, juxta Davidis prophetæ oraculum, cujus verba sunt: Vesperi, et mane, et in meridie narrabo, et renuntiabo, vocemque meam Dominus audiet: cum igitur hæ perficiantur ex duobus Testamentis, Novo scilicet ac Veteri, juxta sanctorum et divinitus afflatorum Patrum traditionem: ante omnia sancitum est ut glorificetur Deus per sacram Davidis citharam, (Aperiam enim, inquit, in psalterio quæstionem meam) et post explicationem ejus, ut sacrum examen Ecclesiæ semet exerceat per evangelicarum doctrinarum favum, stimulo caliginem illuminante; perque mel apostolicorum scriptorum, quod dulcedinem finibus orbis terrarum offert; ac per narrationes denique de martyribus quæ administrationem in carne Christi Deique nostri amplificant. Ideoque propter sex illos Davidis psalmos, et reliquos, qui assidue in glorificatione matutina canuntur ante hagiopolitam; et propter eos, qui pro more canuntur, cum res divina peragitur, et

D

in precibus vespertinis, ante lectiones apostolicas, et evangelicas, atque etiam versibus inclusas, arcessuntur monachi per signum quoddam exiguum, quasique humilius et obscurius. Nam quæ Veteri Testamento veluti per umbras delineantur, figura futurorum erant, et simulacra. Propter divinorum autem Evangeliorum prædicationem, et sacram reliquorum ad conventus publicos pertinentium librorum lectionem, et propter universum simpliciter hagiopolitæ ordinem, magnum signum inventum est. In universam enim terram, et ad fines orbis terrarum utilitas ex eis proveniens penetravit. Quæ cum ita modo quodam Deo grato ac religiose peragantur, oportebat populum Domini etiam de futuro commonefieri judicio, cujus causa in genua procumbimus, ac preces fundimus. Itaque statutum est, debere Christianos per signum aheneum illius ultimi diei admoneri. Scriptum est enim : Ascendit Deus in jubilatione, Dominus in voce tubæ. Item, Clangent angeli Dei tuba, et mortui resurgent, et retribuetur cuique secundum opera sua. Quod autem in generalibus urbium ecclesiis plebes non convocentur tribus signis, sed uno quodam magno : non ordinis ecclesiastici subversio est. Convocatur enim populus manuariis opificiis deditus, quique ligoni et aratro vacat. Itaque boni consulere debet, si publico intersit cœtui, cum Novi Testamenti lectiones recitantur. Ac nobis quidem, qui per Dei gratiam servamus immotam omnem traditionem ecclesiasticam, hunc ordinem sequi visum est. Latinis vero, male a nobis divisis, et quorum cor obduratum est a Satana, licet in sermonibus oleo sint molliores, alia quædam consuetudo convocandi populum sacras ad ædes est tradita. Nam uno duntaxat utuntur signo, campana scilicet, quæ a campo sic dicitur. Quemadmodum enim campus cujusvis itineri citra, ullum expositus est impedimentum, sic et illius aheuei tintinnabuli sublimis vox, universis accessu facilis patet. Ac pluribus sane signis Latini et Itali propterea non indigent, quod cantionibus hagiopoliticis non utantur, sed sola Davidis cithara.

A τῶν ἀποστολικῶν ἀναγνωσμάτων καὶ εὐαγγελικῶν, ἀλλὰ μὴν καὶ τῶν στιχηρῶν, μετακαλοῦνται οἱ μοναχοὶ διὰ σημαντηρίου μικροῦ, καὶ οἷον ταπεινοτέρου, καὶ σκοτεινοῦ. Τὰ γὰρ τῇ Παλαιᾷ Διαθήκῃ σκιαγραφούμενα, τύπος τῶν μελλόντων ἦσαν, καὶ εἰκονίσματα. Χάριν δὲ τῆς τῶν θεοφθόγγων Εὐαγγελίων ἀνακηρύξεως, καὶ λοιπῶν πανηγυρικῶν βιβλίων ἱερᾶς ἀναγνώσεως, καὶ τῆς ὅλης ἀκολουθίας τοῦ ἁγιοπολίτου ἁπλῶς, τὸ μέγα σημαντήριον εὕρηται. Εἰς πᾶσαν γὰρ τὴν γῆν καὶ εἰς τῆς οἰκουμένης τὰ πέρατα ἡ ἐκ τούτων διῆλθεν ὠφέλεια. Οὕτω δὲ τούτων τελουμένων θεαρέστως καὶ εὐσεβῶς, ἔδει τὸν τοῦ Κυρίου λαὸν καὶ περὶ τῆς μελλούσης ὑπομιμνήσκεσθαι κρίσεως, δι' ἣν γονυκλισοῦμεν καὶ προσευχόμεθα. Τετύπωται γοῦν, διὰ σημαντηρίου χαλκοῦ, περὶ B τῆς τελευταίας ἡμέρας ἐκείνης τοὺς χριστωνύμους ὑπομιμνήσκεσθαι. Ἀνέβη γὰρ, φησὶν, ὁ Θεὸς ἐν ἀλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. Σαλπίσουσιν οἱ ἄγγελοι τοῦ Θεοῦ, καὶ οἱ νεκροὶ ἀναστήσονται, καὶ ἑκάστῳ ἀποδοθήσεται κατὰ τὰ ἔργα αὐτοῦ. Τὸ δὲ κατὰ τὰς καθολικὰς ἐκκλησίας τῶν πόλεων μὴ μετακαλεῖσθαι τὰ πλήθη διὰ σημαντηρίων τριῶν, ἀλλὰ διὰ μεγάλου ἑνὸς, οὐκ ἔστι τῆς ἐκκλησιαστικῆς ἀκολουθίας ἀνατροπή. Λαὸς γὰρ μετακαλεῖται χειρώναξ, καὶ περὶ σκαπάνην ἠσχολημένος καὶ ἄροτρον. Ἔστι τοίνυν ἀγαπητὸν ἐκκλησιάσαι τοῦτον κἂν εἰς τῆς Νέας Διαθήκης τὰ ψαλτῳδήματα. Καὶ ἡμῖν μὲν τοῖς φυλάττουσι τῇ χάριτι τοῦ Θεοῦ πᾶσαν ἐκκλησιαστικὴν παράδοσιν ἀμετάπτωτον, οὕτω πολιτεύεσθαι δέδοκται. Τοῖς δὲ C Λατίνοις μερισθεῖσι κακῶς ἀφ' ἡμῶν, καὶ πωρωθεῖσι τὴν καρδίαν ὑπὸ τοῦ Σατανᾶ, κἂν τοῖς λόγοις ὑπὲρ ἔλαιον ἁπαλύνωνται, ἄλλη τις παρεδόθη συνήθεια, περὶ τῆς εἰς τοὺς ναοὺς μετακλήσεως τοῦ λαοῦ. Ἑνὶ γὰρ κέχρηνται σημαντηρίῳ, τῇ καμπάνᾳ φημὶ, ἥτις ἐκ τοῦ κάμπου μετονομάζεται. Ὡς γὰρ ὁ κάμπος (φασὶ) βουλομένοις εἰς ὁδοιπορίαν ἀνεμπόδιστος πρόκειται, οὕτω καὶ τῆς χαλκοστόμου κώδωνος ἡ μετέωρος διαλαλιὰ τοῖς πᾶσιν εὐπρόσιτος ἥπλωται. Πολλῶν δὲ σημαντηρίων οὐκ ἔστι χρεία Λατίνοις καὶ Ἰταλοῖς, ὅτι μηδὲ ψαλτῳδημάτων ἁγιοπολιτικῶν, ἀλλὰ μόνης τῆς κιννύρας τοῦ θεοπάτορος.

ΜΑΤΘΑΙΟΥ ΤΟΥ ΜΟΝΑΧΟΥ

ΖΗΤΗΜΑΤΑ ΚΑΙ ΥΠΟΘΕΣΕΙΣ ΓΑΜΙΚΑΙ.

MATTHÆI MONACHI

QUÆSTIONES ET CAUSÆ MATRIMONIALES.

Περὶ τῶν βαθμῶν τοῦ γάμου.

Οὐκ ἄν τις, οἶμαι, τῶν εὖ φρονούντων ἀωρίας ἡμᾶς γράψαιτο, κατά γε τὸ νῦν διεξιόντας καὶ τὰ τῶν λεγομένων τοῦ γάμου βαθμῶν, καὶ τῆς αὐτῶν συγγενείας τήν τε ἐγγύτητα καὶ ἀπόστασιν, ὅθεν δὴ τῶν συγκεχωρημένων οἱ τὴν κώλυσιν ἔχοντες σαφῶς διακρίνονται καὶ ἐλέγχονται. Τοὺς μὲν οὖν βαθμοὺς ἀπὸ μεταφορᾶς εἰρῆσθαί φασί τινες τῶν τῆς κλίμακος ἀναβαθμῶν[87]. Ὡς γὰρ ἐκείνων ἡ ἄνοδος καὶ ἡ κάθοδος γίνεται, οὕτω διὰ τῶν τῆς συγγενείας βαθμῶν οἵ τε ἀνιόντες καὶ οἱ κατιόντες εὑρίσκονται. Οἱ δὲ μὴ οὕτως ἔχοντες, ἐκ πλαγίου γινώσκονται. Προβαίνειν μέντοι πεφύκασι κατὰ τὴν τῶν γεννήσεων τάξιν. Ἑκάστην γὰρ γέννησιν βαθμὸν ἀποτελεῖν ἕνα νενόμισται. Τούτων οἱ μὲν εἰς πλάτος, οἱ δὲ εἰς βάθος ἐκτείνονται. Καὶ οἱ μὲν τοῦ πλάτους, τὴν αὐτὴν πρὸς ἀλλήλους ἀποσώζουσι τάξιν. Υἱοὶ μὲν γὰρ ὄντες, τὸν πρῶτον ἅπαντες πληροῦσι βαθμόν· ἀδελφοὶ δὲ, πρὸς ἀλλήλους τὸν δεύτερον, τῶν[88] ἐπέκεινα ὥσι τῶν δέκα. Διότι τοὺς γαμικῶς συναπτομένους ἐκ τοῦ αἵματος, ἀνάγκη μὴ πλείους εἶναι τῶν δύο. Ταύτῃ τοι καὶ τούσδε μόνους ἐκ τῶν ἀδελφῶν θεωροῦντες, δευτέρου φαμὲν εἶναι βαθμοῦ, κατὰ τὴν διπλῆν αὐτῶν πάντων[89] γέννησιν. Ὡταύτως οἱ ἀνεψιοὶ τὸν τρίτον ἐπέχουσι, καὶ οἱ πρωτεξάδελφοι τὸν τέταρτον, καὶ τὸν ἕκτον οἱ δισεξάδελφοι, καὶ ἐφεξῆς ἀναλόγως. Οἱ δὲ κατὰ βάθος, οὐ πάντες τὸν αὐτὸν βαθμὸν ἔχουσιν, ἀλλ' οἱ μὲν υἱοὶ τὸν πρῶτον, οἱ ἔγγονοι τὸν δεύτερον, καὶ οἱ δισέγγονοι τὸν τρίτον, καὶ ἐφεξῆς ὁμοίως. Παρὸ καὶ οὐ κατὰ τὰς γενέσεις, ὥς γε ἔδοξε τοῖς ἀρχαιοτέροις, ἀλλὰ κατὰ τὴν οἰκειότητα, καὶ τὴν τοῦ γένους ἐγγύτητα, καὶ τὴν ἀπόστασιν αὖθις πρὸς τὴν πρώτην τοῦ γένους ἀρχήν, κάλλιον τοὺς βαθμοὺς ὀνομάζεσθαι. Μεταξὺ γὰρ πατρὸς καὶ υἱοῦ μικρά τις διάστασις. Πάππου δὲ καὶ ἐγγόνου μείζων. Δισεγγόνου δὲ πρὸς τὸν αὐτὸν ἔτι μείζων. Οὕτω σχέσεως ἔχουσι καὶ οἱ ἐκ πλαγίου.[q]

De gradibus in matrimonio.

Nemo nos accusaverit, opinor, qui quidem sapiat, veluti rem alienam agentes, si hoc loco graduum matrimonii, quos vocant, et cognationis eorumdem tam propinquitatem, quam remotionem exponamus : unde fiet, uti qui aliquid habent impedimenti, a permissis clare discerni possint, et deprehendi. Enimvero gradus aliqui dicti perhibent a translatione graduum scalæ. Quippe sicuti per eos ascenditur ac descenditur, ita per gradus cognationis tam ascendentes quam descendentes inveniuntur. Qui vero sic affecti non sunt, ex transverso cognoscuntur. Cæterum gradus ita comparati sunt, ut secundum ordinem generationum procedant. Quippe receptum est, ut quælibet generatio gradum unum absolvat. Deinde quidam in latitudinem, quidam deorsum extenduntur. Qui in latitudinem, eumdem inter se locum servant. Nam qui liberi sunt, primum omnes gradum implent : qui fratres, secundo inter se gradu junguntur, licet plures numero sint, quam decem. Quippe qui matrimonii lege inter se copulantur ex eodem sanguine, necessario plures non sunt quam duo. Qua etiam de causa hos solos ex fratribus considerantes, secundi gradus esse dicimus, omnino ratione duplicis eorum generationis. Consimiliter fratrum sororumve liberi gradum erga patruos et avunculos tertium obtinent, consobrini quartum inter se, sobrini sextum, eadem in cæteris ratione observata. Qui se porrigunt deorsum, non omnes eumdem gradum habent ; sed filii primum ; nepotes, alterum ; pronepotes, tertium ; cæteri, consimiliter. Ideoque non secundum generationes, uti priscis placuit, sed secundum necessitudinem ; et generis propinquitatem, vel etiam remotionem a primo generis principio, gradus hosce numerari præstat. Nam inter patrem et filium, exiguum quoddam intervallum est. Majus inter avum et nepotem. Inter avum et pronepotem, adhuc majus. Eadem in illis etiam obtinet ratio, qui sunt ex transverso.

VARIÆ LECTIONES.

[87] ἀναβασμῶν. [88] κἂν. [89] πάντως.

[q] l. 10, § *Gradus autem.* D. *de gradibus et affin.*

Divisio cognationis.

Cum autem generale nomen sit cognatio prima divisione in duo scinditur : in cognationem naturæ et arrogationem. Natura cognatus est pater, verbi causa, filius, mater, filia, frater, consobrinus, sobrinus, sobrini filius, atque alii tales. Arrogatione vero, socer, gener, frater conjugis. filius adoptivus. Rursum cognatio naturalis bifariam dividitur, videlicet in procreatos ex nuptiis legitimis, et vulgo quæsitos. Arrogatio quoque subdividitur in affinitatem et adoptionem. Affinitas est necessitudo, quæ provenit ex matrimoniali copulatione. Adoptio, alicujus in filium cooptatio, citra conjunctionem carnalem. Fraternitas autem facta per adoptionem legibus repugnat. Quippe liberis destituti, adoptionem commenti sumus, bonorum transmittendorum causa. Fraternitatem vero per adoptionem factam (67), nulla ratio probabilis introducit. Jam si quæ rationem probabilem habent, ea lex etiam admittit : quæ talia non sunt, rejicit.

Rursum per subdivisionem, affinitas vel ex duobus generibus consistit, uti cum patruus et fratris filius, cum amita ejusque fratris sororisve filia copulati sunt ; vel consobrini duo, cum duabus consobrinis ; quæ proprie dicitur affinitas : vel alia quoque persona duobus hisce generibus intervenit, et vocatur hæc trium generum per affinitatem copulatio. Et sunt hæc partim prohibita, partim non prohibita, sicut in sequentibus ostendetur.

Adoptio vel fit per cooptationem in filium, successionis causa ; vel per susceptionem ex baptismate sacro, confirmationis et doctrinæ, atque etiam testimonii causa. Sed adoptio se porrigit ad hæreditatem adeundam. Hunc enim ad finem facta est. Ex baptismate susceptio, duntaxat in gradibus matrimoniorum spectatur. Et hæc quidem generalior cognationis est divisio. Deinceps etiam de particularibus dicemus.

De necessitudine per sanguinem.

Gentilitas sive consanguinitas dividitur in ascendentes et descendentes, et eos, qui sunt ex transverso. Ascendentes sunt, qui nos genuerunt, verbi gratia, pater et mater, avus et avia, et qui sunt his superiores. Descendentes, qui ex nobis sunt procreati, verbi gratia, filius, filia, nepos, neptis, pronepos, proneptis, et qui hos ordine sequuntur. Ex transverso sunt, qui neque nos genuerunt, neque procreati sunt ex nobis : sed ad eamdem originem ac progeniem nobiscum referuntur, verbi gratia, frater, soror, patruus, amita, fratris filius et filia, consobrinus, consobrina, et qui hos ordine sequuntur, nimirum ex obliquo cognati.

De ascendentibus et descendentibus (68).

Enimvero ascendentes a descendentibus, licet

Διαίρεσις τῆς συγγενείας

Γεννικὸν δὲ ὄνομα οὖσα ἡ συγγένεια, εἰς δύο κατὰ πρώτην διαίρεσιν τέμνεται, εἵς τε τὸ φύσει καὶ τὸ θέσει. Καὶ φύσει μὲν συγγενής ἐστι πατὴρ, τυχὸν, υἱὸς, μήτηρ, θυγάτηρ, ἀδελφὸς, ἀνεψιὸς, ἐξανεψιὸς, ὁ ἐκ τοῦ ἀνεψιοῦ γεννηθεὶς, καὶ ὅσα τοιαῦτα. Θέσει δὲ, πενθερὸς, γαμβρὸς, γυναικάδελφος, θετὸς υἱός. Τὸ φύσει δὲ πάλιν ὑποδιαιρεῖται εἰς δύο. Εἵς τε τὸ μετὰ γάμου νομίμου, καὶ τὸ ἐκ πορνείας γεγονός. Τὸ δὲ θέσει ὑποδιαιρεῖται καὶ αὐτὸ εἵς τε ἀγχιστείαν καὶ θέσιν. Καὶ ἔστιν ἀγχιστεία μὲν, ἡ ἐξ ἐπιγαμβρίας συγγένεια· θέσις δὲ, ἡ χωρὶς σαρκικῆς συναφείας υἱοθεσία. Ἡ μέντοι ἀδελφοποιία, οὐ νόμιμόν ἐστιν. Ἅπαιδες μὲν γὰρ ὄντες, ἐσοφισάμεθα τὴν υἱοθεσίαν, εἰς διαδοχὴν τῶν πραγμάτων. Τὴν δὲ ἀδελφοποιΐαν οὐδεμία εἰσάγει εὔλογος πρόφασις. Τὰ μὲν οὖν τὸ εὔλογον ἔχοντα, καὶ ὁ νόμος ἐδέξατο. Τὰ δὲ μὴ τοιαῦτα οὐ παρεδέξατο.

Πάλιν καθ' ὑποδιαίρεσιν τὰ ἐξ ἀγχιστείας ἢ ἐκ δύο γενῶν συνίσταται· ὡς θεῖος καὶ ἀνεψιὸς συναφθέντες θείᾳ καὶ ἀνεψιᾷ· ἢ δύο πρωτεξάδελφοι δυσὶ πρωτεξαδέλφαις. Καὶ καλεῖται ἀγχιστεία. Ἡ παραβέβληται καὶ ἕτερον πρόσωπον μεταξὺ τῶν δύο τούτων γενῶν, καὶ καλεῖται ἐξ ἀγχιστείας τριγένεια. Εἰσὶ δὲ ταῦτα καὶ κωλυτὰ καὶ ἀκώλυτα, ὡς ἐν τοῖς ἑπομένοις δειχθήσεται.

Ἡ δὲ θέσις ἢ κατὰ υἱοθεσίαν γίνεται διαδοχῆς χάριν, ἢ κατὰ ἀναδοχὴν τὴν ἀπὸ τοῦ ἁγίου βαπτίσματος, στηριγμοῦ καὶ διδασκαλίας, ἔτι δὲ καὶ μαρτυρίας ἕνεκα. Ἀλλ' ἡμῖν[99] υἱοθεσία. καὶ εἰς κληρονομίαν εἰσέρχεται. Διὰ τοῦτο καὶ γὰρ ἐγεγόνει. Ἡ δὲ ἀπὸ τοῦ ἁγίου βαπτίσματος, εἰς τοὺς γαμικοὺς μόνους ζητεῖται βαθμούς. Καὶ αὕτη μὲν ἡ καθολικωτέρα τῆς συγγενείας διαίρεσις. Ἐφεξῆς δὲ καὶ περὶ τῶν κατὰ μέρος ἐροῦμεν.

Περὶ τῆς ἐξ αἵματος συγγενείας.

Διαιρεῖται τοίνυν τὸ ὁμογενὲς καὶ ἐξ αἵματος εἵς τε ἀνιόντας, καὶ κατιόντας, καὶ τοὺς ἐκ πλαγίου. Καὶ ἀνιόντες μὲν εἰσὶν οἱ ἡμᾶς γεγεννηκότες. Οἷον πατὴρ καὶ μήτηρ, πάππος καὶ μάμμη, καὶ οἱ τούτων ἀνωτέρω. Κατιόντες δὲ, οἱ ἐξ ἡμῶν γεννηθέντες, οἷον υἱὸς, θυγάτηρ, ἔγγονος, ἐγγόνη, δισέγγονος, δισεγγόνη, καὶ οἱ τούτων ἑφεξῆς. Ἐκ πλαγίου δὲ, οἱ μήτε ἡμᾶς γεγεννηκότες, μήτε ἐξ ἡμῶν γεννηθέντες, ὑπὸ δὲ τὴν αὐτὴν καὶ μίαν ἀρχὴν καὶ γονὴν ἡμῖν ἀναγόμενοι, οἷον ἀδελφὸς, ἀδελφὴ, θεῖος, θεία, ἀνεψιὸς, ἀνεψιὰ, ἐξάδελφος, ἐξαδέλφη, καὶ οἱ τούτων ἐπέκεινα, οἱ ἀπὸ λοξότητος δηλαδὴ συγγενεῖς.

Περὶ ἀνιόντων καὶ κατιόντων.

Ἀλλ' οἱ μὲν ἀνιόντες πρὸς τοὺς κατιόντας, κἂν

VARIÆ LECTIONES.

[99] ἡ μέν.

NOTÆ.

(67) De fraternitate per adoptionem facta, vide Basilic. lib. xxxv, tit. 13. et l. 7. C. *De hæred. instit.*
(68) l. 23. D. *De rit. nupt.*

μὴ ἐξ ἐννόμων ὧσι γάμων, ἐπ' ἄπειρον κωλύονται. Οὐ γὰρ οἷόν τε τὸν πάππον τῇ αὐτοῦ ἐγγόνῃ γαμικῶς συναφθῆναι. Ἄπειρον δέ φαμεν, κατὰ τὸ δυνατὸν, οὐ τὸ φύσει ἄπειρον. Οὐ γὰρ ἀθάνατα τὰ γένη.

A ex legitimis non nati sint nuptiis, in infinitum arcentur. Non enim fieri potest, ut nepte sua matrimonii lege copuletur. Infinitum vero dicimus, ejus ratione, quod fieri potest; non infinitum natura. Quippe genera non sunt immortalia.

Περὶ τοῦ ἑξ αἵματος βαθμοῦ ζ'.

Τὴν δὲ[91] ἐκ πλαγίου ὁ ὄγδοος ἐφίησι τὸν γάμον βαθμὸς, τοῦ ἑβδόμου τοῦτον παντάπασιν εἴργοντος. Οὐ γὰρ δύναταί τις τὴν τοῦ δισεξαδέλφου θυγατέρα λαβεῖν· ἀλλὰ πρότερον μὲν τὸ τοῦ ἑβδόμου βαθμοῦ ἐξ αἵματος ἐρωτώμην μὲν[92] ἐκωλύετο, ὁπωσδήποτε δὲ προβαῖνον οὐκ ἐκωλύετο μὲν, ἐπετιμᾶτο δὲ, διὰ τὸ σιωπηθῆναι τῷ νόμῳ, μέχρι τοῦ ἕκτου κωλύοντι μόνον. Φησὶ γάρ· « Τὴν τοῦ ἀδελφοῦ μου ἢ τῆς ἀδελφῆς μου θυγατέρα λαμβάνειν εἰς γάμον οὐ θέμις, οὐδὲ τὴν τούτων ἐγγόνην τετάρτου οὖσαν βαθμοῦ. Οὐδὲ τὴν θυγατέρα τοῦ θείου, ἤγουν ἐξαδέλφην, οὐδὲ ὁ υἱός μου τὴν ἐγγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι. » Ἐπεὶ δέ τινες τῷ βάρει των ἐπιτιμίων κρύφα τοὺς τοιούτους ἐπετέλουν γάμους, ἀνηνέχθη τὰ περὶ τούτου τῇ συνόδῳ, Λουκᾶ τοῦ θείου τὸν πατριαρχικὸν ἰθύνοντος θρόνον, καὶ ἐξ ἐκείνου ὥρισε καὶ ἔστησεν ἡ ἁγία σύνοδος, μηδόλως τὸν τοιοῦτον προβαίνειν ἢ ἵστασθαι γάμον, ἀλλ' ἐρωτώμενον μὲν κωλύεσθαι, προβαίνοντα δὲ διασπᾶσθαι, καὶ τοὺς πράξαντας ἀφορίσασθαι, καὶ τὸν ἱερολογήσαντα ἱερέα, εἰμὴ ἀγνοίᾳ ἐκλάπῃ, καθαιρεῖσθαι. Ἐπεκύρωσε δὲ τὴν συνοδικὴν ταύτην πρᾶξιν καὶ θέσπισμα τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου Μανουὴλ τοῦ πορφυρογεννήτου. Ταύτῃ τοι καὶ οὐκ ἐφεῖται τινι τὴν τοῦ δεσεξαδέλφου αὐτοῦ θυγατέρα λαβεῖν, ἀνεψιὰν τούτου τυγχάνουσαν. Τὸ γὰρ φύσει δίκαιον καὶ εὐπρεπὲς καὶ σεμνὸν, ὥσπερ τινὰ χαλινὸν τοῖς γάμοις ἐπέθηκεν[93].

De gradu septimo consanguinitatis.

B lis, qui sunt ex transverso, gradus octavus matrimonium permittit, cum septimus ab eo prorsus arceat. Quippe non potest aliquis sobrini filiam uxorem ducere. Cæterum antea gradus consanguinitatis septimus, si de eo consuleretur, prohibebatur ille quidem: sed si quo modo res esset acta, non prohibebatur, pœna tamen irrogabatur, idque propterea, quod silentio lex id præterierit, quæ duntaxat ad sextum (69) usque gradum prohibet. Legis hæc verba sunt: « Fratris mei, vel sororis meæ filiam, uxorem ducere, fas non est; nec horum neptem, quæ gradu quarto est. Nec item patrui filiam, quæ consobrina est: neque filius meus eorum neptem ducit, qui sobrini dicuntur. » Sed quia nonnulli propter gravitatem pœnarum clam hujusmodi nuptias contrahebant, relata res est ad synodum, quo tempore divinus ille Lucas patriarchalem thronum regebat, ac deinceps definivit et statuit sancta synodus, nequaquam ejusmodi nuptias debere procedere vel consistere; sed si de iis consulatur, prohibendas esse; sin procedant, dirimendas, et segregandos qui contraxerint; ac sacerdotem, qui precibus sacris initiarit, nisi forte per ignorantiam surreptus fuerit, deponendum. Atque hanc rem actam in synodo confirmavit etiam constitutio clari inter imperatores Manuelis illius in porphyra nati. Hanc ob causam non permittitur (70), uti quis sobrini sui filiam ducat uxorem quæ ipsi loco sobrinæ est. Quippe naturale jus, et honestatem et pudorem, quasi frenum quoddam, nuptiis lex imposuit.

C

Περὶ τοῦ ἑξ αἵματος ὀγδόου βαθμοῦ.

Εἴς γε μὴν τὸν ὄγδοον βαθμὸν προβαίνων ὁ ἐξ αἵματος γάμος, συγκεχώρηται. Τὴν γὰρ τρισεξαδέλφην ἢ τὴν ἐγγόνην τοῦ δισεξαδέλφου λαμβάνειν, οὐδ' ἡντιναοῦν ἔχει κώλυσιν.

De gradu consanguinitatis octavo.

Nuptiæ, quæ inter consanguineos contrahuntur, si ad octavum usque gradum procedant, permissæ sunt. Quippe nati ex sobrino filiam, vel neptem sobrini ducere nullo modo quis prohibetur.

Περὶ τῶν ἐκ πορνείας γεννωμένων.

Τὸ δὲ ἐκ πορνείας, οὐκ ἔχει ἅπαν ὄνομα ἐν, ἀλλ' ὑποδιαιρεῖται καὶ τοῦτο. Εἰ μὲν γὰρ γυναικὸς συνοικούσης τινὶ φανερῶς[94] καὶ δι' ὀλίγου γέγονε παῖς, φυσικὸς οὗτος ὀνομάζεται. Καὶ ἔχει δευτέραν τάξιν, ὡς πρὸς τὸν φύσει νόμιμον, καὶ προτιμᾶται εἰς κληρονομίαν καὶ τῶν ἀνιόντων, οὐχ ὅπως τῶν ἐκ πλαγίου. Εἰ δὲ φανερὸς μὲν ἔστιν, οὐ μέντοι ἐκ συνοικούσης τῷ ἀνδρὶ γυναικὸς, ὀνομάζεται νόθος. Εἰ δὲ παντελῶς ἀφανὴς, λέγεται σκότιος, ὡς φησιν Ὅμηρος·

Vulgo quæsiti.

D Vulgo quæsiti non idem omnes nomen habent, sed subdividuntur. Nam si cui mulierem in contubernio habenti, palam natus, sit filius naturalis vocatur, et secundum locum obtinet ab eo, qui natura legitimus est, et in successione præfertur etiam ascendentibus, nedum ex transverso constitutis. Sin manifestus quidem est, non tamen ex muliere natus, quæ in contubernio viri sit; nothus sive spurius appellatur. Sin omnino incertus et obscurus, tenebrosus dicitur, uti cum Homerus ait:

.....σκότιον δὲ ἐγείνατο μήτηρ·

.....mater peperit tenebrosum;

VARIÆ LECTIONES.

[91] τοῖς δέ. [92] ἐρωτώμενον μέν. [93] χαλινὸν ὁ νόμος τοῖς γαμ. [94] φανερός.

NOTÆ.

(69) § *Ergo non omnes.* Instit. *De nupt.* Basilic. lib. XXVIII, tit. 5.

(70) l. 14. § *Serviles.* D. *de rit. nupt.*

ac de hoc quidem nullus nobis est sermo. Nec enim vel ratione contractuum matrimonialium, vel successionis, ullum in talibus est dubium. Etiam lex ait (71) : Vulgo quæsitam sororem nemo ducit uxorem. Item, Qui scortatus est aliqua cum muliere, siquidem scortatio manifesta est, ut novercam ejus ducere prohibetur, ita sobrinam ejusdem ducere potest.

De affinitate.

Hactenus dictum de consanguinitate. Affinitatis autem rationes magis sunt ad inveniendum variæ. Nam in his graduum quantitatem omnino non quærendam esse, visum est priscis ; sed nuptias, quæ confusionem introducerent in appellatione generis, quæve inhonesta essent, diserte vetantes ; reliquas minime reprehensas reliquerunt. Recentiores vero etiam gradus in his excogitarunt, et quæ gradum sextum excederent, locum habere voluerunt. Atqui diserte invenimus gradum sextum permissum, et septimum prohibitum : illum, velut expertem confusionis ; hunc, tanquam confusioni obnoxium. Quo fit, ut in his gradus minime introducendi sint ; sed quod diserte lex vetuit, fugiendum : quod non vetuit, admittendum. Vetuit autem prisca lex (72) propinquiora. Sunt enim ejus hæc verba : Socrus est uxoris meæ mater, et avia, et proavia. Quarum nullam duco. Nurus etiam dicitur, uxor filii, et nepotis, et pronepotis. Privigna quoque dicitur, ex alio nata marito uxoris meæ filia, et neptis, et proneptis. Quarum nullam duco. Nec item novercam meam, licet plures pater meus habuerit. Quoniam matrum loco sunt. Nec noverca nubit ei, qui privignæ meæ maritus fuit. Nec filiam mulieris duco, quæ me divertit, ex alio marito post divortium procreatam. Tomus autem Sisinnii (73) prohibet, ne duo fratres amitam et ejusdem fratris filiam ducant uxores, ac vice versa. Præterea vetuit, ne duo fratres ducant duas consobrinas. In quorum primo quintus, in secundo sextus gradus spectatur. Igitur ad quintum usque gradum prohibitæ sunt ob affinitatem nuptiæ, si quidem in his etiam numerandi sunt gradus. Quæ vero sexti gradus sunt, si nulla interveniat confusio circa generis appellationes, non prohibentur. Sin emergat aliqua confusio, vetantur. Eas etiam nuptias, quæ contrahuntur ex uno et quinque gradibus, omnes alii prohibent. At vero Thessalonicensis antistes ille Michael Chumnus, sua sententia pronuntiat minime vetitas. Exempli gratia, si pater et filius, qui primo sunt gradu, copulati fuerint amitæ parvæ, ac fratris ejus filiæ, quæ gradu quinto se contingunt. Sin gradus ex affinitate sextus, quo de quæritur, ex duobus et quatuor constat ;

περὶ οὗ λόγος ἡμῖν οὐδείς. Οὔτε γὰρ εἰς γαμικὰ συναλλάγματα, οὔτε μὴν εἰς κληρονομίαν ἐν τοῖς τοιούτοις ἐστὶν ἀμφισβήτησις. Φησὶ δὲ καὶ ὁ νόμος· Τὴν ἐκ πορνείας ἀδελφὴν οὐδεὶς λαμβάνει. Καὶ, Ὁ πορνεύσας μετά τινος γυναικὸς, εἰ μὲν ἔστι φανερὰ ἡ πορνεία, τὴν μὲν μητρυιὰν αὐτῆς κωλύεται λαβεῖν, λαμβάνει δὲ τὴν δισεξαδέλφην αὐτῆς.

Περὶ τῶν ἐξ ἀγχιστείας.

Καὶ αὕτη μὲν ἡ τῶν ἐξ αἵματος. Τῶν δ' ἐξ ἀγχιστείας, ποικιλωτέρα ἡ εὕρεσις. Ἐν τούτοις γὰρ βαθμῶν ποσότητα ζητεῖν οὐδ' ὅλως τοῖς παλαιοῖς ἔδοξεν· ἀλλὰ τὰ συγκεχυμένα κατὰ τὴν τοῦ γένους κλῆσιν καὶ ἀπρεπῆ ῥητῶς κωλύσαντες, τὰ λοιπὰ ἀνέγκλητα εἴασαν. Οἱ δὲ νεώτεροι καὶ βαθμοὺς αὐτοῖς ἐπενόησαν, καὶ τὰ ὑπὲρ τὸν ἕκτον βαθμὸν, προβαίνειν δεδώκασι. Καίτοι ῥητῶς εὑρίσκομεν καὶ ἕκτον συγκεχωρημένον καὶ ἕβδομον κεκωλυμένον. Τὸν μὲν ὡς ἀσύγχυτον, τὸν δὲ ὡς συγκεχυμένον. Ὥστε οὐ χρὴ βαθμοὺς παρεισάγειν εἰς ταῦτα· ἀλλ' ὃ μὲν ὁ νόμος ῥητῶς ἐκώλυσε, φεύγειν [88]. Ὃ δὲ μὴ ἐκώλυσε, παραδέχεσθαι. Ἐκώλυσε δὲ ὁ μὲν παλαιότερος νόμος τὰ προσεχέστερα καὶ ἐγγύτερα. Φησὶ γάρ· Πενθερά ἐστιν ἡ μήτηρ, καὶ ἡ μάμμη, καὶ ἡ προμάμμη τῆς γαμετῆς μου. Καὶ οὐδεμίαν αὐτῶν λαμβάνω. Καὶ νύμφη λέγεται, ἡ τοῦ υἱοῦ καὶ τοῦ ἐγγόνου καὶ ἡ τοῦ προεγγόνου γαμετή. Καὶ προγόνη λέγεται, ἡ ἐξ ἄλλου θυγάτηρ, καὶ ἐγγόνη, καὶ προεγγόνη τῆς γαμετῆς μου. Καὶ οὐδεμίαν αὐτῶν λαμβάνω. Οὐδὲ τὴν μητρυιάν μου, εἰ καὶ πολλὰς ἔσχεν ὁ πατήρ μου. Ἐπειδὴ μητέρων ἔχουσι τάξιν. Οὔτε μητρυιὰ, τὸν γενόμενον ἀνδρα τῆς προγονῆς μου. Οὐδὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης μοι γυναικὸς, τὴν μετὰ τὴν ἀπόζευξιν τεχθεῖσαν ἐξ ἑτέρου ἀνδρός. Ὁ δὲ τοῦ Σισιννίου τόμος, δύο ἀδελφοὺς ἐκώλυσε λαμβάνειν θείαν καὶ ἀνεψιὰν, καὶ ἀνάπαλιν. Ἔτι δὲ δύο ἀδελφοὺς ἐκώλυσε λαμβάνειν δύο πρωτεξαδέλφας. Ἐνθεωρεῖται δὲ τῷ μὲν πρώτῳ ὁ πέμπτος, τῷ δὲ δευτέρῳ ὁ ἕκτος βαθμός. Μέχρις οὖν τοῦ πέμπτου βαθμοῦ πάντη τὸ ἐξ ἀγχιστείας κεκώλυται. Εἰ δεῖ κἀν τούτοις βαθμοὺς ἀριθμεῖν. Τὰ δὲ τοῦ ἕκτου βαθμοῦ, εἰ μὲν οὐκ ἔχει σύγχυσιν περὶ τὰ τοῦ γένους ὀνόματα, οὐ κωλύεται. Εἰ δέ τις ὁρᾶται σύγχυσις, εἴργεται. Καὶ δὴ τὸν μὲν ἐξ ἑνὸς καὶ πέντε βαθμῶν γενόμενον γάμον οἱ μὲν ἄλλοι πάντες κωλύουσιν. Ὁ δέ γε Θεσσαλονίκης Μιχαὴλ ὁ Γούμενος [89] ἐν ἰδίῳ ψηφίσματι ἀκώλυτον ἀποφαίνει. Οἷον εἰ πατὴρ καὶ υἱὸς πρώτου ὄντες βαθμοῦ, συναφθεῖεν μικρᾷ θείᾳ καὶ ἀνεψιᾷ, πέμπτου οὔσαις βαθμοῦ. Εἰ δὲ ὁ ζητούμενος ἕκτος ἐξ ἀγχιστείας· βαθμὸς ἐκ δύο σύγκειται, καὶ τεσσάρων, εἰ μὲν γίνεται σύγχυσις, ὁ δεύτερος κεκώλυται. Οὐ γὰρ δυνατὸν δύο αὐταδέλφους δυσὶ συναφθῆναι πρωτεξαδέλφαις, ἢ τὸ ἀνάπαλιν. Γίνονται γὰρ ἀντὶ αὐταδέλφων σύγγαμ-

VARIÆ LECTIONES.

[88] φυγεῖν. [89] Χῦμνος.

NOTÆ.

(71) l. 54. D. *De rit. nupt.*
(72) l. 14. *Itaque socrus.* D. *De rit. nupt.*
(73) Promulgatus anno A. O. C. 6499.

βροι, καὶ συγχέονται ἐντεῦθεν τὰ τῆς συγγενείας ὀνόματα. Φησὶ δὲ ὁ ἱερὸς καὶ μέγας Βασίλειος· Ἐν οἷς τὰ τοῦ γένους ὀνόματα συγχέονται, ἐν τούτοις ὁ γάμος ἀθέμιτος. Εἰ δὲ οὐ γίνεται σύγχυσις, καὶ ὁ ἕκτος ἀκώλυτός ἐστι. Πάππον γὰρ καὶ ἔγγονον, ἀκώλυτον συναφθῆναι μεγάλῃ θείᾳ καὶ ἀνεψιᾷ· ἕκτου γὰρ καὶ τοῦτο βαθμοῦ.

A siquidem sit confusio, nuptiæ posteriores prohibentur. Nam fieri nequit, ut duo germani fratres duabus consobrinis copulentur, aut vice versa. Fiunt enim loco fratrum, congeneri vel coaffines; et hoc modo nomina cognationis confunduntur. Ait autem sanctus et magnus ille Basilius : In quibus generis appellationes confunduntur, in his illicitæ sunt nuptiæ.

Sin confusio nulla sit, etiam sextus non prohibetur. Quippe non vetatur, quominus avus et nepos copulentur cum amita magna, etejusdem ex fratre nepte ; nam hoc quoque sexti gradus est, at confusionis expers.

Ἀλλ' ἔστιν ἀσύγχυτον. Πάλιν γὰρ μετὰ τοὺς γάμους πάππου καὶ ἐγγόνου ἀποσώζουσι τόπους. Τὴν γὰρ μεγάλην θείαν καὶ τὸν μέγαν θεῖον, ἤτοι τοῦ πάππου τὴν ἀδελφὴν καὶ τὸν ἀδελφὸν, μάμμην καὶ πάππον οἱ πολλοὶ ὀνομάζουσι. Διὰ τοῦτο οὔτε ἀπὸ τοῦ νόμου τὸ παρὸν κεκώλυται ζήτημα, καὶ τῷ νόμῳ [97] παρεῖται τοῦ Σισινίου ὡς ἀκώλυτον. Ἐκεῖνο δὲ ὡς σύγχυσιν ἔχω [98] κεκώλυται. Εἰ δὲ ἐκ τριῶν ἐστι καὶ τριῶν, εἰ μὲν οὐκ ἔχει σύγχυσιν, ἀκώλυτόν ἐστιν. Οἷον ὅταν μὲν θεῖος καὶ ἀνεψιὸς θείαν λάβῃ καὶ ἀνεψιάν, οὐδεμία γίνεται σύγχυσις. Πάλιν γὰρ θείου καὶ ἀνεψιοῦ σώζουσι τόπον. Διὰ τοῦτο καὶ ἀκώλυτον εἶναι παντάπασιν, ἥ τε τοῦ ῥηθέντος νόμου σιωπὴ, οὐ μὴν ἀλλὰ καὶ θεσπίσματα βασιλικὰ καὶ πράξεις συνοδικαὶ πᾶσιν αἰγώρισαν. Ὅταν δὲ ὁ μὲν θεῖος προλαβὼν ἔσχε τὴν ἀνεψιὰν, ὁ δὲ ἀνεψιὸς βούληται συνοικῆσαι τῇ θείᾳ, τὸ ἐπιγενόμενον διὰ τὴν σύγχυσιν κεκώλυται. Γίνονται γὰρ ὡς ἀπὸ τῶν νόμων, ὁ μὲν θεῖος ἀνεψιὸς, ὁ δὲ ἀνεψιὸς θεῖος. Καὶ ἔστι τοῦτο σαφὴς τῶν ὀνομάτων τοῦ γένους σύγχυσις. Ἀλλὰ καὶ ὁ μέχρις ἑβδόμου βαθμοῦ θεωρούμενος ἐξ ἀγχιστείας γάμος, εἰ μὲν ἐξ ἑνὸς εἴη καὶ ἕξ, κεκώλυται. Οὐ γὰρ οἷόν τε πατέρα καὶ υἱὸν δισεξαδέλφαις συναφθῆναι δυσί· γίνονται γὰρ ἀντὶ πατρὸς καὶ υἱοῦ σύγγαμβροι. Εἰ δὲ ἐκ δύο καὶ πέντε, μηδαμῶς· εἴτε γὰρ πάππος καὶ ἔγγονος, εἴτε δύο αὐτάδελφοι συναφθεῖεν μικρᾷ θείᾳ καὶ ἀνεψιᾷ, ὁ δεύτερος γάμος ἀνέγκλητός ἐστιν. Εἰ δὲ ἐκ τριῶν καὶ τεσσάρων, πάλιν εἰ μέν ἐστιν ἀσύγχυτον, συγκεχώρηται. Θεῖος γὰρ καὶ ἀνεψιὸς, δύο πρωτεξαδέλφας ἀκωλύτως λαμβάνοντι. Εἰ δὲ σύγχυσιν ἔχων ὁρᾶται, οὐ δῆτα· πάππος γὰρ καὶ δισέγγονος δύο πρωτεξαδέλφας λαβεῖν εἴργονται· ἵνα μὴ καὶ οὗτοι σύγγαμβροι λογισθεῖεν. Ἀλλ' ὁ μὲν προλαβὼν, μένει ἀκίνητος· κωλύεται δὲ ὁ ἐπιγενόμενος, ἡ προδὰς διασπᾶται· τὰ δὲ ὑπὲρ τὸν ἕβδομον ἐξ ἀγχιστείας, ἀπολυπραγμόνητά εἰσι καὶ ἀκώλυτα, ὥσπερ ἐν τοῖς ἐξ αἵματος τὰ ὑπὲρ τὸν ὄγδοον. Οὐ καλῶς δέ τισιν εἴρηται, ὅτι τὰ εὑρισκόμενα ἐξ ἀγχιστείας ἕκτου βαθμοῦ, ὅτε μὲν ἐξίσης εἰσὶν, ὡς ἐξ ἑκατέρου μέρους τρεῖς εἶναι βαθμοὺς, ἀκώλυτά εἰσι· κεκωλυμένα δὲ, ὅτε εἰσὶν ἄνισα· ἐκ γὰρ τῶν εἰρημένων ἀνωτέρω δέδεικται, μὴ τὸ ἴσον καὶ τὸ ἄνισον, ἀλλὰ τὸ συγκεχυμένον καὶ ἀσύγχυτον, ἢ ἀφιέναι, ἢ ἀπείργειν τὸ συνάλλαγμα.

Rursus enim peractis nuptiis avi et nepotis loca servant. Quippe magnam amitam et patruum magnum, hoc est, avi sororem et fratrem, plerique aviam et avum nominare solent. Idcirco nec legibus hic casus est prohibitus, et a tomo Sisinnii permittitur, ceu minime vetitus : cum illud alterum B sit prohibitum velut obnoxium confusioni. Sin ex tribus et tribus constat, siquidem confusionis expers est, non vetatur. Verbi gratia, cum patruus et fratris ejus filius, amitam ducunt, et ejusdem fratris filiam; nulla fit confusio. Rursus enim patrui et fratris filii locum servant. Propterea hoc plane non prohiberi, non modo legis indicatæ silentium , sed etiam principum sanctiones, et acta synodalia cunctis significarunt. At vero, cum patruus jam antea fratris habet filiam, patruique fratris filius cum ejus mulieris amita coire vult in matrimonium ; posteriores hæ nuptiæ confusionis causa prohibentur. Quippe velut ipso jure patruus fit fratris filius, et fratris filius fit patruus: adeoque manifesta generis appellationum hæc confusio est. C Quin etiam matrimonium inter affines, ad septimum usque gradum sese porrigens, si constet ex uno et sex, prohibetur, Nam fieri nequit, ut pater et filius duabus sobrinis copulentur. Patris enim et filii loco, fiunt congeneri vel coaffines. Nequaquam hoc usuvenit, si ex duobus et quinque constet. Nam sive avus et nepos, sive duo germani fratres copulati fuerint cum amita parva, et fratris ejus filia, secundæ nuptiæ vitio carent. Sin ex tribus et quatuor, rursus siquidem confusio nulla intervenit, permittitur. Patruus enim, et fratris ejus filius, duas consobrinas citra prohibitionem ducunt. Non item, si confusio quædam emergat. Avus enim et pronepos, a matrimonio duarum D consobrinarum arcentur, ne congeneri vel coaffines habeantur. Nimirum prius contractum matrimonium, manet immotum : posterius prohibetur, vel si jam processerit, dirimitur. Quæ vero matrimonia gradum affinitatis septimum excedunt, in ea curiose non inquirendum est, nec faciundæ prohibitiones, sicuti fieri videmus et in iis, qui ratione consanguinitatis octavum excedunt. Cæterum non recte traditum a nonnullis est, matrimonia sexti ex affinitate gradus, cum pares utrinque gradus habent, non prohiberi : cum impares, prohiberi. Ostensum est enim ex indicatis superius, non æqualitatem et inæqualitatem, sed confusionem, et confusionis absentiam, vel permittere, vel impedire contractum.

VARIÆ LECTIONES.

[97] τῷ τόμῳ. [98] ἔχον.

Eumdem non debere duas sobrinas ducere.

Prohibuit etiam Ecclesia, ne unus et idem duas sobrinas ducat uxores. Non enim hic septimus ex affinitate, ceu plerique putant, gradus colligitur, sed sextus: propterea, quod maritus et uxor uno gradu contineri ducantur. Hoc enim cum in consultationem venisset tempore Nicolai patriarchæ, prohibitum ab Ecclesia fuit: simulque promulgata fuit sanctio clari principis Manuelis, quæ statuit, ne tale quid unquam fiat. Sed qua de causa fit, ut inter affines, vel duo diversa genera contractæ nuptiæ, gradu septimo liberæ sint? Quod unum est, vel est natura, vel arrogatione. Natura unum est, verbi gratia, unus homo. Unum arrogatione, ut vir et uxor legitima, quos univit affectio et conjunctio B carnalis, sicuti perscriptum legimus : Et erunt hi duo in carnem unam. Itaque cum necessitudo exsistit ex sanguine, et ex eodem genere naturalis est necessitudo et unitas : cum ex affinitate, ac duobus generibus, arrogatione fit unitas inter eos et necessitudo, a consanguinitatis necessitudine diversa. Propterea mox inferiore gradu, et ante octavum, hujusmodi necessitudo et conjunctio solvitur. Quorum enim strictior est conjunctio, ea majoris etiam indigent intervalli ad hoc, ut exspiret : sicuti minoris, quæ minus unita sunt.

A Ὅτι οὐ δεῖ τὸν αὐτὸν δύο δευτέρας ἐξαδέλφας λαβεῖν.

Κεκώλυκεν ἡ Ἐκκλησία καὶ τὸν αὐτὸν καὶ ἕνα δύο δευτέρας ἐξαδέλφας λαμβάνειν. Οὐ γὰρ ἕβδομος ἐξ ἀγχιστείας, ὡς οἵονταί τινες, συνάγεται βαθμὸς, ἀλλ' ἕκτος. Διὰ τὸ ἑνὸς βαθμοῦ λογίζεσθαι τὸν ἄνδρα μετὰ τῆς γυναικός. Τοῦτο γὰρ ζητηθὲν ἐπὶ τῶν ἡμερῶν τοῦ πατριάρχου Νικολάου, ἐκωλύθη παρὰ τῆς Ἐκκλησίας· προῦβη δὲ καὶ θέσπισμα τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου Μανουὴλ, μὴ γίνεσθαί ποτε τοῦτο διοριζόμενον. Διατί δὲ τὰ ἐξ ἀγχιστείας, ἤγουν τριγενείας [93a], εἰς τὸν ἕβδομον λύεται βαθμόν; Τὸ ἕν, ἢ φύσει ἐστὶν, ἢ θέσει· καὶ φύσει μὲν, ὡς εἷς ἄνθρωπος· θέσει δὲ, ὡς ὁ ἀνὴρ μετὰ τῆς νομίμου γυναικὸς, οὓς σχέσις ἥνωσε καὶ συνάφεια σαρκικὴ, ὡς εἴρηται, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Ὅταν μὲν οὖν ἐξ αἵματος ᾖ ἡ οἰκείωσις καὶ γένους ἑνὸς, τὸ οἰκεῖόν τε καὶ τὸ ἕν, φύσει ἐστίν. Ὅταν δὲ ἐξ ἀγχιστείας καὶ δύο γενῶν, θέσει τὸ ἕν, καὶ ἡ οἰκειότης αὐτοῖς, οὐ κατὰ τὴν ἐξ αἵματος οἰκειότητα. Διὸ καὶ τῷ ὑποβεβηκότι βαθμῷ, καὶ πρὸ τοῦ ὀγδόου, εὐθὺς ἡ τοιαύτη οἰκειότης τε καὶ ἕνωσις λύεται. Τὰ γὰρ μᾶλλον τὴν ἕνωσιν ἔχοντα, πλείονος καὶ τῆς ἀποστάσεως; πρὸς τὴν διάλυσιν δέονται· ὥσπερ τὰ ἧττον ἡνωμένα, ἐλάττονος.

De matrimoniis ex tribus diversis generibus.

Matrimonia ex tribus diversis generibus, pertinent et ipsa quoque ad rationes affinitatis : sed C tertii generis interventu, facilius libera fiunt, quam ex duobus connexa. Quippe sicut hæc gradibus duobus inferiora sunt contractis ex consanguinitate, quæ gradu octavo libera fiunt, cum per affinitatem ex duobus contracta generibus nonnunquam gradu sexto libere permittantur : ita rursus ex tribus constituta generibus, etiam duobus gradibus inferiora, quam quæ duobus ex generibus constant, principium permissionis in quarto statim gradu consequuntur; licet in his multo magis graduum vitanda computatio, sed quærendum, an disertis verbis a lege prohibita sint. Maxime vero prohibitionis expertia sequitur quartus gradus. Cujusmodi quiddam est, quod sub patriarcha Stupa vocatum in dubium fuit, et per sententiam declaratum.

Περὶ τῶν ἐκ τριγενείας.

Τὰ δ' ἐκ τριγενείας γαμικὰ ζητήματα, εἰσὶ μὲν καὶ ταῦτα ἐξ ἀγχιστείας, ἀλλὰ τῇ τοῦ τρίτου γένους ἐπιπλοῇ, ῥᾷον ἢ τὰ ἐκ δύο συμπεπλεγμένα γενῶν λύονται. Ὥσπερ γὰρ ταῦτα δυσὶ βαθμοῖς ὑποδέδηκε τῶν ἐξ αἵματος (τὰ μὲν γὰρ εἰς τὸν ὄγδοον, τὰ δ' ἐξ ἀγχιστείας ἐκ δυοῖν γενοῖν ἕως ὅτε καὶ εἰς τὸν ἕκτον λύονται), οὕτω πάλιν τὰ ἐκ τριγενείας δυσὶν ὑποβιβασθέντα βαθμοῖς τῶν ἐκ δύο γενῶν, τὴν ἀρχὴν τῆς λύσεως κατὰ τὸν τέταρτον εὐθὺς λαμβάνει βαθμὸν, εἰ καὶ πολλῷ μᾶλλον εἰς ταῦτα βαθμοὺς λαμβάνειν οὐ δεῖ, ἀλλὰ ζητεῖν, εἰ οὐκ ἐκωλύθη παρὰ τοῦ νόμου ῥητῶς· τοῖς δὲ μάλιστα ἀκωλύτοις ὁ τέταρτος ἐπακολουθεῖ βαθμὸς, οἷον δὲ ἐπὶ τοῦ πατριάρχου Στυπῆ ἀπορρηθέν τε [93b] ὁμοῦ καὶ λυθέν.

Quidam enim Constantinus uxorem duxit Annam, Theodori cujusdam sororem germanam. Ea mortua, matrimonio secundo duxit Irenam, conjugis Theodori sororem. Quo fiebat, ut Constantinus et affinis esset Theodori, et coaffinis. Sunt autem in hoc gradus quatuor. Theodorus enim et Anna, gradu secundo se contingunt. Item uxor Theodori et Irena, gradu secundo, qui gradus simul sunt quatuor. Quippe lex duo duntaxat ex trium generum matrimoniis prohibuit, quæ unius duntaxat gradus sunt, non plurium : videlicet, quod ducere non possum eam, quæ quondam privigni mei fuit

D Κωνσταντῖνος γάρ τις ἔλαβεν εἰς γυναῖκα Θεοδώρου τινὸς αὐταδέλφην Ἄνναν. Θανούσης ἐκείνης, ἔλαβεν εἰς δεύτερον συνοικέσιον τὴν τοῦ Θεοδώρου γυναικαδέλφην Εἰρήνην. Ὡς γενέσθαι τὸν Κωνσταντῖνον καὶ γαμβρὸν τοῦ Θεοδώρου καὶ σύγγαμβρον. Εἰσὶ δὲ ἐν τούτῳ βαθμοὶ τέσσαρες. Ὁ Θεόδωρος γὰρ καὶ ἡ Ἄννα, βαθμοῦ δευτέρου. Ἡ γυνὴ τοῦ Θεοδώρου καὶ ἡ Εἰρήνη, βαθμοῦ δευτέρου. Ὁμοῦ τέσσαρες. Ὁ μὲν γὰρ νόμος δύο μόνα ἐκ τριγενείας ἐκώλυσεν, ἃ καὶ ἑνὸς μόνου βαθμοῦ τυγχάνουσι, καὶ οὐ πλείονος. Οἷον, ὅτι οὐ δύναμαι λαβεῖν τὴν ποτὲ νυναῖκα τοῦ προγόνου μου, οὐδ'

VARIÆ LECTIONES.

[93a] διγενείας. [93b] ἀπορισθέν τε.

ἡ μητρυιὰ λαβεῖν τὸν ποτὲ ἄνδρα τῆς προγόνης αὐτῆς. Κἀν τούτοις γὰρ τριγένειά ἐστιν. Ἀλλ' ἐπεὶ ὁ πρόγονος καὶ ἡ προγόνη υἱοῦ ἢ θυγατρὸς λόγον ἐπέχουσι πρὸς τὸν πατρωὸν ἢ τὴν μητρυιάν, καὶ ἡ γυνὴ ἢ ὁ ἀνὴρ αὐτῆς, νύμφης ἢ γαμβροῦ, ἀθέμιτα τὰ τοιαῦτα τυγχάνουσι συνοικέσια. Τὰ γὰρ ἄκρα δύο γένη, ὁ ἀνὴρ καὶ ἡ γυνή, βαθμὸν οὐκ ἔχουσιν οὔτε πρὸς ἄλληλα, οὔτε πρὸς τὸ μέσον γένος. Τὴν γὰρ ἀνδρὸς μετὰ γυναικὸς συνάφειαν εἰς βαθμὸν οὐκ εἰσάγομεν, ἀλλ' ἓν μὲν εἶναι λογιζόμεθα ταύτην, ὅτε καθ' ἑαυτὴν καθορᾶται (καὶ γὰρ ἡ τοῦ ἀδελφοῦ μου γυνὴ διὰ τὴν πρὸς αὐτὸν ἄκραν ἕνωσιν, δευτέρου μού ἐστι βαθμοῦ, ἰσχναῖς ἐπινοίαις διὰ τὴν ἐντολὴν ἐνουμένη)· ὅτε δὲ πρὸς ἕτερον συγγενικὸν αὐτῆς πρόσωπον ὁ βαθμὸς ζητεῖται, οὐχ οὕτως. Ἡ γὰρ ἀδελφὴ τῆς νύμφης, πρὸς μὲν αὐτὴν δευτέρου ἐστὶ βαθμοῦ· πρὸς ἐμὲ δὲ, τετάρτου. Καὶ ἡ αὐτῆς θεία πρὸς ἐκείνην μὲν τρίτου, πρὸς ἐμὲ δὲ πέμπτου. Καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Τῶν οὐκ ἐνδεχομένων γάρ ἐστιν, ὥσπερ τὸν ἄνδρα, οὕτω δὴ καὶ τὸν τούτου ἀδελφὸν σάρκα λογίζεσθαι [1] μίαν μετὰ τῆς νύμφης, καὶ δι' ἐπινοίας ἐπίνοιαν συνάψαι παρὰ τὴν τοῦ νόμου δύναμιν. Οἱ γὰρ ἐκ πλαγίου, πρῶτον βαθμὸν οὐκ ἔχουσιν, ἀλλ' ἐκ τοῦ δευτέρου ἄρχονται. Ὁ μὲν οὖν νόμος τὰ ἐκ τριγενείας πρώτου βαθμοῦ κεκώλυκεν, ὥσπερ εἴρηται· ἡ δὲ κρατοῦσα συνήθεια καὶ τὰ παρὰ ταῦτα καὶ ὑπὲρ τὸν πρῶτον βαθμὸν ἐκ τριγενείας ὄντα, ἀκώλυτα ἔχει· οἷον, ἔσχε τις γυναῖκα. Χρόνῳ δὲ ὕστερον ἐκείνης θανούσης, τὴν γυναῖκα τοῦ θείου αὐτῆς εἰς δεύτερον ἔλαβε συνοικέσιον. Ἄλλος τὴν προγόνην τοῦ γυναικαδέλφου αὐτοῦ ἔλαβεν. Ἐν τούτοις γὰρ βαθμοὶ μὲν ἀναφαίνονται τρεῖς. Λύονται δὲ ὅμως κατὰ τὴν συνήθειαν. Ἡ μέντοι ἀκρίβεια, ὥσπερ εἴπομεν, τὸν τέταρτον ἐν τούτοις βαθμὸν ἀπαιτεῖ. Δεῖ γὰρ τὴν οἰκειότητα τῆς ἀγχιστείας πλαγιασθῆναι μικρὸν, καὶ τηνικαῦτα ἔσται θεμιτὸς ὁ γάμος. Οἷον, ὅτι τοῦ γυναικαδέλφου μου ἡ γυνὴ προσεχῶς ᾠκείωται πρὸς τὸ μέσον γένος, ὥσπερ κἀγὼ πρὸς αὐτόν. Ὁ οὖν ἡμέτερος ἀδελφὸς δύναται ταύτην ἀμέμπτως λαβεῖν θανόντος τοῦ γυναικαδέλφου μου, ἢ ἐγὼ τὴν ἐκείνης λαβεῖν, αὐτὴν [2] δὲ οὐ θέμις λαβεῖν. Πάλιν ἔλαβον εἰς τὴν ἀδελφήν μου γαμβρὸν, οὗ τὴν ἐπ' ἀδελφῷ ποτε νύμφην αὐτὸς ἔλαβεν [2*] εἰς γυναῖκα, καὶ ἔστιν ἀκώλυτον. Ἐπεὶ καὶ τετάρτου βαθμοῦ εὑρίσκεται, καὶ μακρύνεται μικρὸν καὶ τῆς οἰκειότητος τοῦ μέσου γένους. Τὸ γὰρ πρὸς αὐτὸ προσεχῶς συναπτόμενον πρόσωπον, ἡ ἀδελφή μού ἐστιν· ἐγὼ δὲ ἐκ πλαγίου, καὶ μικρὸν ἀποτέρω τοῦ μέσου. Πάλιν ἐπὶ τῇ θυγατρὶ ἐγένετό μοι γαμβρός. Τούτου τὴν ποτὲ μὲν νύμφην ἐπ' ἀδελφῷ λαβεῖν με εἰς γυναῖκα οὐ θέμις, ὡς προσεχῶς συναπτομένην πρὸς τὸ μέσον γένος· τὴν δὲ αὐτῆς [λαβεῖν] ἀδελφὴν, οὐκ ἀθέμιτον· ἀλλὰ καὶ γαμβρὸς καὶ γυνικάδελφος χηρεύσαντες θείαν καὶ ἀνεψιὰν οὐδαμῶς λαμβάνου-

uxor (74); nec ei noverca nubere, qui privignæ ipsius maritus fuit. Nam in his quoque trium fit generum conjunctio. Sed quia privignus et privigna, filii vel filiæ loco sunt, erga vitricum vel novercam; atque horum vel uxor, vel maritus, vicem nurus aut generi obtinent; illicita sunt hujusmodi matrimonia. Nam summa illa duo genera, vir et uxor, gradum nullum habent, nec inter se, nec erga genus intermedium. Quippe viri cum muliere conjunctionem ad gradum non referimus; sed unum quid esse ducimus hanc, quando secundum seipsam consideratur: (fratris enim mei conjux, propter unionem cum eo summam, secundo a me gradu est, quo cum subtilibus sane rationibus divini mandati respectu conjungitur) cum autem ad aliam ipsi cognatam personam gradus inquiritur, non ita res habet. Nam fratriæ soror, erga ipsam, quidem secundi gradus est: erga me, quarti. Ejusdem amita gradus erga ipsam est tertii, erga me quinti. Consimiliter et in aliis. Quippe fieri nequit ut, quemadmodum maritus, sic etiam frater ejus pro una carne habeatur cum fratria, et per cogitationem præter mentem legis alia ratio conjungatur. Qui enim ex transverso sunt, primum gradum non habent, sed a secundo incipiunt. Lex igitur, uti diximus, matrimonia trium generum duntaxat ea prohibuit, quæ primi gradus sunt. Recepta vero consuetudo pro non vetitis habet quæcunque præter hæc sunt, et primum gradum excedunt. Verbi gratia: Quidam uxorem habuit. Deinceps illa defuncta, conjugem patrui mulieris secundo matrimonio duxit uxorem. Alius privignam fratris uxoris suæ duxit. In his enim tres quidem gradus emergunt, sed nihilominus libere permittuntur ratione consuetudinis. Si tamen accurate rem consideremus, gradus in his, ceu diximus, quartus requiritur. Quippe necessitudinem affinitatis in transversum nonnihil oportet extendi, atque ita licitum erit matrimonium. Verbi gratia, conjux fratris uxoris meæ propinqua necessitudine jungitur intermedio generi, sicut et ego ipsi. Hanc frater meus, defuncto conjugis meæ fratre, ducere citra reprehensionem potest, vel ipsius ego sororem; sed non fas est, ut ipsa mihi nubat. Rursus affinem nanctus sum, sororis meæ virum; cujus fratriam, fratri scilicet ipsius quondam nuptam, uxorem ipse duco, citra prohibitionem. Quoniam et quarti gradus esse deprehenditur, et longius aliquanto removetur a necessitudine generis intermedii. Quæ enim persona prope cum ipso conjungitur, soror mea est: ipse vero sum ex transverso, et paulo remotior ab intermedia persona. Rursum nactus sum generum, maritum filiæ: cujus fratriam, nuptam scilicet quondam ejus fratri, mihi quidem non fas est uxorem ducere, veluti prope

VARIÆ LECTIONES.

[1] λογίσασθαι. [2] ἐκείνης ἀδελφήν. Αὐτήν. [2*] Ἔλαβον.

NOTÆ.

(74) l. 15. D. *De rit. nupt.*

conjunctam intermedio generi; sororem tamen ejus licite duco. Quin etiam gener et uxoris frater, si vidui facti sint, amitani et fratris ejus filiam nequaquam ducunt. Cujus autem defuncta est uxor, ei permittitur, ut uxorem ducat congeneri vel coaffinis sui sororem : atque etiam filiam sobrinæ prioris uxoris, hoc est, consobrinam socrus suæ. Verum filiam consobrinæ prioris conjugis ducere prohibetur. Fratrem et sororem earum mulierum, quæ duobus fratribus nuptæ sunt, inter se copulari fas est. Sententia vero patriarchæ Leonis Stypæ concedit, ut gener et uxoris frater sorores duas ducant, cum gradus quintus constituatur. Idem decretum, ac præterea decretum Arsenii patriarchæ, statuunt minime prohibitum esse, quominus duo fratres ducant nurum ac sororem mariti ejus. Patruus et maritus filiæ fratris ejus, sorores duas ducere non prohibentur : licet gradus sextus constituatur. Quinetiam gener et frater uxoris, duas consobrinas ducere non prohibentur, licet gradus septimus emergat. Michaelis autem patriarchæ sententia permittit, ut Joannis filia, et ejusdem uxoris ex fratre neptis, fratribus duobus copulentur. Nonnulli tamen quædam ex indicatis hisce matrimoniis illicita pronuntiarunt : videlicet ut congener deinceps sororem ejus ducat, qui congener ipsius fuerit : ac præterea frater uxoris ut eam ducat, quæ generi sui fratrem in matrimonio habeat : sicut illud etiam, quod episcopum Thessalonicæ Chumnum sententia sua solvisse diximus ; videlicet ut pater et filius ducant amitam minorem et fratris ejus filiam. Quippe legis verba sunt (75). In nuptiis non solum quid permissum sit, consideramus : sed et quid sit honestum.

A σιν. Οὗ δὲ τετελεύτηκεν ἡ γυνὴ, λαμβάνειν τούτῳ ἐφεῖται τὴν τοῦ συγγάμβρου αὐτοῦ ἀδελφήν. Ἀλλὰ δὴ καὶ τὴν θυγατέρα τῆς διεξαδέλφης τῆς προτέρας αὐτοῦ γυναικὸς, ἤτοι τὴν πρωτεξαδέλφην τῆς πενθερᾶς αὐτοῦ. Κεκώλυται δὲ λαβεῖν τὴν θυγατέρα τῆς πρώτης ἐξαδέλφης τῆς προτέρας αὐτοῦ γυναικός. Δύο δὲ ἀδελφῶν γυναικάδελφον καὶ γυναικαδέλφην συνάπτεσθαι θεμιτόν. Τὸ δὲ ψήφισμα τοῦ πατριάρχου Λέοντος τοῦ Στυπῆ, ἐφίησι λαβεῖν γαμβρὸν καὶ γυναικάδελφον δύο ἀδελφᾶς, οἷα πέμπτου γινομένου βαθμοῦ. Τὸ δὲ αὐτὸ ψήφισμα, ἔτι δὲ καὶ τὸ τοῦ πατριάρχου Ἀρσενίου, δύο ἀδελφοὺς νύμφην λαβεῖν καὶ ἀνδραδέλφην, ἀκώλυτον εἶναι κρίνουσιν. Ὁ θεῖος καὶ γαμβρὸς ἐπ' ἀνεψιᾷ πρώτῃ, δύο λα- B βεῖν ἀδελφὰς οὐ κωλύονται, εἰ καὶ ἕκτος γίνεται βαθμός. Ἀλλὰ καὶ γαμβρὸς καὶ γυναικάδελφος, δύο πρώτας ἐξαδέλφας λαβεῖν οὐ κωλύονται, εἰ καὶ ἕβδομος γίνεται βαθμός. Τὸ δὲ ψήφισμα τοῦ πατριάρχου Μιχαὴλ, τὴν θυγατέρα, τοῦ Ἰωάννου τυχὸν, καὶ τὴν ἀνεψιὰν τῆς γυναικὸς αὐτοῦ, δυσὶν ἀδελφοῖς ἐπιτρέπει συζευχθῆναι. Ἀθέμιτα μέντοι τῶν εἰρημένων ἔνια τινὲς ἐψηφίσαντο. Τό τε λαβεῖν τὸν σύγγραρον[a] τὴν ἀδελφὴν ὕστερον τοῦ συγγάμβρου αὐτοῦ. Ἔτι δὲ καὶ τὸν γυναικάδελφον, τὴν ἐπ' ἀδελφῷ νύμφην τοῦ ἰδίου αὐτοῦ γαμβροῦ. Ὥσπερ δὴ καὶ ἐκεῖνο, ὅπερ τὸν Χοῦμνον Θεσσαλονίκης ἰδίᾳ ἔφημεν λῦσαι ψηφίσματι, τὸ, πατέρα καὶ υἱὸν λαβεῖν μικρὰν θείαν καὶ ἀνεψιάν. Φησὶ γὰρ ὁ νόμος. Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτεταμμένον, ἀλλὰ C καὶ τὸ εὐπρεπὲς ζητοῦμεν.

De adoptione.

Et hæc quidem est ratio matrimoniorum ex tribus diversis familiis. Cæterum adoptionis etiam, quæ successionis causa fit, perinde rationem habendam, ut consanguinitatis; per sacros canones, et religiosas leges edocti sumus : idque tum respectu graduum matrimonialium, tum adeundæ parentum hereditatis. Legis enim hæc verba sunt (76) : Non possum vel amitam, vel materteram, uxorem ducere, licet per adoptionem mihi conjunctæ sint, quippe matrum vicem obtinent, cum ab avo scilicet adoptatæ sint, et patri meo sororum loco fuerint, mihi amitarum et materterarum. Nec pater, D qui filium adoptavit (77), filii adoptivi filiam, vel neptem ducere potest : nec filius adoptivus, adoptivi patris uxorem, vel matrem, vel sororem matris, vel neptem ex filio (78). Quod si tutor, vel qui curator fuerit, adoptare voluerit maritum ejus, cujus tutelam vel curam gerit, irrita quidem est adoptio, non tamen nuptiæ solvuntur (79). Solvuntur autem, cum quis generum suum adoptaverit :

Περὶ υἱοθεσίας.

Καὶ οὕτω μὲν τὰ ἐκ τριγενείας. Τήν γε μὴν διαδοχῆς ἕνεκα γινομένην υἱοθεσίαν παραφυλάττειν, καθὰ δὴ καὶ τὴν ἐξ αἵματος, πρὸς τῶν ἱερῶν κανόνων καὶ φιλευσεβῶν δεδιδάγμεθα νόμων· κατά τε τοὺς γαμικοὺς δηλαδὴ βαθμοὺς, καὶ τὴν τῶν γονέων κληρονομίαν. Φησὶ γὰρ ὁ νόμος · Οὐ δύναμαι τὴν πρὸς πατρὸς ἢ μητρὸς θείαν λαβεῖν εἰς γυναῖκα, εἰ καὶ εἰσὶ θεταί· ἐπειδὴ μητέρων τάξιν ἔχουσιν· ἤτις τυχὸν, τῷ πάππῳ μὲν υἱοθετήθη, ἀδελφῆς τε τόπον ἐπεῖχε πρὸς τὸν πατέρα, πρὸς ἐμὲ δὲ θείας. Οὔτε ὁ θετὸς πατὴρ τὴν τοῦ θετοῦ υἱοῦ θυγατέρα ἢ τὴν ἐγγόνην, οὔτε ὁ θετὸς υἱὸς τὴν τοῦ θετοῦ πατρὸς γαμετὴν, ἢ τὴν μητέρα, ἢ τὴν ἀδελφὴν αὐτῆς, ἢ τὴν ἀπὸ υἱοῦ ἐγγόνην. Ἐὰν δὲ ὁ ἐπίτροπος, ἢ ὁ λεγόμενος κουράτωρ υἱοθετῆσαι βουληθῇ τὸν ἄνδρα τῆς ἐπιτροπευομένης ἢ κουρατορευομένης, ἢ τὸν πατέρα αὐτῆς, ἡ θέσις ἄκυρός ἐστιν, οὐ μὴν ὁ γάμος λύεται. Λύεται δὲ, ἡνίκα τις τὸν ἴδιον γαμβρὸν εἰσποιήσαιτο. Ἡ δὲ κδ' τοῦ βασιλέως Λέοντος τοῦ Σοφοῦ, Νεαρὰ, κωλύουσα

VARIÆ LECTIONES.

[a] σύγγαμβρον.

NOTÆ.

(75) l. 42. D. *De rit. nupt.* l. *Semper.* D. *De reg. jur.* eod.
(76) l. 17. § *Amitam.* D. *de rit. nupt.*
(77) l. 55. D. eodem. l. 17. D. eod. et l. 14
(78) l. penult. § *Sed et si.* D. eod.
(79) § *Sed si tu.* Inst. *de nupt.*, ubi Theophil.

τοὺς εἰσποιουμένους πρὸς γαμικὴν ὁμιλίαν συν- A
άπτεσθαι τοῖς τοῦ εἰσποιησαμένου παισὶν, ἐπάγει·
Ἀλλὰ πάλαι μὲν μὴ κατὰ λόγον, νῦν δὲ κατὰ τὸν
πρέποντα θεσμὸν καὶ δίκαιον τῆς υἱοθεσίας γινο-
μένης, καὶ διὰ τελετῆς ἱερᾶς, τῶν μὲν εἰς γονέων
τάξιν καθισταμένων, τῶν δὲ εἰς τὴν τῶν παίδων,
οὐκέτι περιλείπεται λόγος εἰς γάμον συνάπτεσθαι
τοῖς κατὰ φύσιν τοῦ εἰσποιησαμένου παισὶ τοὺς
εἰσποιητοὺς παῖδας, μηδὲ τὸ τῶν ἀδελφῶν ὄνομα
πρὸς τὸ τῆς συζυγίας μεθαρμόζεσθαι, ὥστε γαμ-
βροὺς ἀντὶ ἀδελφῶν καλεῖσθαι.

Ὅτι υἱοθετοῦσι καὶ εὐνοῦχοι.

Τοῦ δὲ νόμου λέγοντος, ὅτι ἡ θέσις μιμεῖται τὴν
φύσιν, καὶ διὰ τοῦτο κωλύοντος τοὺς εὐνούχους
εἰσποιεῖν τινα, καὶ ἔχειν αὐτὸν ὑπεξούσιον, ἡ κ' B
Νεαρὰ τοῦ αὐτοῦ βασιλέως ἐθέσπισε, καὶ τοῦτο γί-
νεσθαι ἀκωλύτως.

Ὅτι υἱοθετοῦσι καὶ παρθένοι.

Ἡ δὲ εἰκοστὴ ἑβδόμη καὶ ταῖς παρθένοις εἰσ-
ποιεῖν δίδωσι, καὶ τοὺς εἰσποιηθέντας ὑπεξουσίους
ἢ αὐτεξουσίους, δίκαια κληρονομίας ἔχειν ἐπ' αὐταῖς.
Καὶ μὴ δεῖσθαι βασιλικοῦ ἐπιτάγματος, ἢ πράξεως
δικαστῶν.

Περὶ τῆς ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀναδοχῆς.

Ἡ δὲ ἀπὸ τοῦ ἁγίου βαπτίσματος κατ' ἀναδοχὴν
γινομένη υἱοθεσία, οὐκ εἰς κληρονομίαν εἰσέρχεται,
ἀλλ' εἰς τοὺς γαμικοὺς μόνους, ὡς εἴρηται, ζητεῖ-
ται βαθμούς. Φησὶ γὰρ ὁ πεντηκοστὸς τρίτος κανὼν
τῆς ἕκτης συνόδου· Ἐπειδὴ μείζων ἐστὶν ἡ κατὰ C
πνεῦμα οἰκειότης τῆς τῶν σωμάτων συναφείας, τοὺς
ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος παῖδας
ἀναδεχομένους, καὶ μετὰ τοῦτο ταῖς ἐκείνων μητράσι
χηρευούσαις γαμικῶς συναπτομένους, ὁρίζομεν ἀφ-
ίστασθαι μὲν τοῦ τοιούτου συνοικεσίου· ἔπειτα καὶ
τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβάλλεσθαι.
Ὁ γὰρ μὴ ἑτοίμως τοῦ κακοῦ ἀφιστάμενος, καὶ
ἐξομολογούμενος, ὡς ἐμοιχτης [a] κρίνεται. Ὁ δὲ
νόμος φησίν· Ὁ μέντοι ἀπὸ τοῦ ἁγίου βαπτίσματος
τινὰ δεξάμενος, οὐ δύναται αὐτὴν ὕστερον πρὸς γά-
μον ἀγαγέσθαι, ὡς ἤδη γενομένην αὐτοῦ θυγατέρα.
Οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα. Ἀλλ' οὐδὲ ὁ
υἱὸς αὐτοῦ. Ἐπεὶ οὐδὲν ἄλλο δύναται οὕτως εἰσ-
αγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου κώ-
λυσιν, ὡς ὁ τοιοῦτος δεσμὸς, δι' οὗ Θεοῦ μεσιτεύον- D
τος [b] αἱ ψυχαὶ αὐτῶν συνάπτονται. Ἰσχυρίζονται
τοίνυν τινὲς, ὡς ἐπεὶ ἀπὸ τοῦ κανόνος καὶ ἀπὸ τοῦ
νόμου μείζων ἡ πνευματικὴ τῆς σάρκα [c] συγγε-
νείας ὁρίζεται, χρῆναι τοὺς ταύτῃ συνδεδεμένους
παρατηρεῖν τοὺς κεκωλυμένους βαθμοὺς ἄχρι τοῦ
ἑβδόμου, ὅσους δηλαδὴ καὶ εἰς τὴν καθ' ἡμᾶς [d] συγ-

Cæterum Novella xxxiv principis Leonis, cognomine Sapientis, cum prohibet, ne qui adoptantur, cum liberis ejus, qui adoptavit, matrimonio copulentur, hæc subjicit. Sed olim quidem non secundum rationem, nunc vero cum decenti et justa lege fiat adoptio; sacroque ritu illi parentum, hi filiorum in locum constituantur (80): non amplius ulla reliqua ratio est, qua filii adoptivi cum naturalibus liberis ejus, qui adoptat, matrimonio copulentur (81): nec ut fratrum nomen, cum nomine conjugii sic commutetur, ut fratrum loco generi vocentur.

Etiam Eunuchos adoptare.

Cum autem lex dicat (82-83), adoptionem imitari naturam, ideoque prohibeat, ne (84) quem eunuchi adoptent, ut eorum in potestate sit: ejusdem principis Novella xxvi statuit, ut hoc quoque citra prohibitionem ullam fiat.

Virgines etiam adoptare (85).

Ejusdem xxvii constitutio virginibus quoque potestatem adoptandi concedit, et ut adoptati, tam filii familias, quam emancipati virginibus succedendi jus habeant: nec ad hoc indigeant principis rescripto, vel actu judicum.

De susceptione ex sacro baptismate.

Adoptio, quæ fit per susceptionem ex sacro baptismate, non ad hæreditatem adeundam se porrigit, sed duntaxat in gradibus matrimoniorum, ceu dictum est, spectatur. Quippe canon LIII synodi sextæ ait: Quoniam spiritualis necessitudo major est conjunctione corporum, statuimus, ut qui ex sacro et salutari baptismate pueros suscipiunt, et postea cum matribus eorum viduis in matrimonium coeunt, primum a tali contubernio abstineant, deinde scortatorum quoque pœnis subjiciantur. Quippe qui ab hoc malo prompte non semet abstinet, et confitetur tanquam incestis nuptiis pollutus damnatur. Legis autem hæc verba sunt (86): Qui e sacro baptismate quam suscepit, eam postea matrimonio sibi jungere non potest, utpote quæ ipsius filia facta sit. Nec item [ducere potest] matrem ejus, aut filiam: imo ne ipsius quidem filius id facere potest. Quippe nulla res alia sic paternam affectionem inducere potest, et justam nuptiarum prohibitionem, ut hujusmodi nexus, per quem, Deo mediante, animæ eorum copulantur. Affirmant igitur aliqui, quod cum tam ex canone, quam lege, major esse illa spiritualis, quam carnalis cognatio statuatur; observare debeant hac colligati prohibitos gradus, usque ad septimum: tot scilicet numero, quot etiam in consanguinitate soleant ob-

VARIÆ LECTIONES.

[a] αἱμομίκτης. [b] μεσάζοντος. [c] τῆς κατὰ σάρκα. [d] καθ' αἷμα.

NOTÆ.

(80) Abrogatio l. 17. D. *de rit. nupt.*
(81) § *Minorem.* Inst. *de adopt.* l. 15. D. eod. Item l. *Adoptio.* et l. *Adrogatio.* et l. 37. D. eod.
(82-83) § *Sed et illud.* Instit. *de adopt.*
(84) § *Illud* D. eod. et horum abrogatio ex novella Leonis.
(85) Abrogatio § *Feminæ.* Inst. *de adopt.*
(86) l. 26. C. *De nupt.*

servari. Verum pluribus hoc minime visum est, sed ad eas duntaxat, personas prohibitionem pertinere, quæ dicta lege continentur. Cæterum gradus utriusque adoptionis, diverso cum illis modo numerantur, qui sunt in consanguinitate. Nam ibi pater erga fratres universos, omnino gradu primo est : hic vero pater iste spiritualis erga filium, quem adoptavit, gradu est primo : sed erga carnalem ejus filii patrem, secundo. Quippe frater ejus esse dicitur. Erga fratres autem germanos filii sui spiritualis, gradu tertio censetur. Non enim illos quoque filios habuit. Filius autem, erga fratres suos carnales gradu secundo est : et erga patrem suum carnalem, primo ; sicut etiam erga patrem spiritualem. Idcirco licet ei, qui vult uxorem ducere compatris sui sororem. Qui vero filium suum ex sacro baptismate suscipit, ab uxore sua separatur.

A γένειαν. Τοῖς δὲ πλείοσι τοῦτο οὐκ ἔδοξεν, ἀλλὰ μόνα τὰ τῷ ῥηθέντι νόμῳ περιεχόμενα κωλύεσθαι πρόσωπα. Οἱ μέντοι βαθμοὶ τῶν ἐξ υἱοθεσίας ἀμφοτέρας, ἐναλλαγμένως ἀριθμοῦνται πρὸς τοὺς βαθμοὺς τῶν ἐξ αἵματος. Ἔχει μὲν γὰρ ὁ πατὴρ πρὸς πάντας τοὺς ἀδελφοὺς, πρώτου πάντως ὑπάρχει βαθμοῦ· ἐνταῦθα δὲ ὁ πνευματικὸς οὗτος πατὴρ πρὸς μὲν τὸν παῖδα, ὃν εἰσεποιήσατο, πρώτου ἐστὶ βαθμοῦ· πρὸς δὲ τὸν σαρκικὸν τοῦ παιδὸς πατέρα, δευτέρου. Ἀδελφὸς γὰρ αὐτοῦ λογίζεται. Πρὸς δὲ τοὺς αὐταδέλφους τοῦ πνευματικοῦ υἱοῦ αὐτοῦ, τρίτου. Οὐ γὰρ κἀκείνους ἔσχεν υἱούς. Ὁ υἱὸς δὲ πρὸς τοὺς σαρκικοὺς ἀδελφοὺς αὐτοῦ, δευτέρου. Καὶ πρὸς τὸν σαρκικὸν αὐτοῦ πατέρα, πρώτου· ὥσπερ καὶ πρὸς τὸν πνευματικόν. Διὰ τοῦτο ἔξεστι B τῷ βουλομένῳ λαβεῖν εἰς γυναῖκα τὴν τοῦ συντέκνου αὐτοῦ ἀδελφήν. Ὁ δὲ τὸν υἱὸν αὐτοῦ ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀναδεχόμενος, τῆς γυναικὸς αὐτοῦ διαζεύγνυται.

De nuptiis quæ prohibentur etiam citra cognationem.

Nonnunquam etiam citra necessitudinem ullam indicatarum omnium cognationum, matrimonium prohibetur (87). Verbi gratia, qui accusatus est adulterii, licet manifesto non sit convictus, nequit eam mulierem uxorem ducere. Nec libertus (88) uxorem patroni sui ducit, post ejus mortem. Præbet enim suspicionem, quod etiam illo vivo commiserit in eam adulterium. Nec tutor (89) pupillam prius ducit uxorem, vel filius ejus, quam tutela C sive curatio perimatur. Perimitur autem trigesimo anno. Quippe XXV anni sunt ætatis adultæ, quatuor in integrum restitutionis, et principio trigesimi statim obligatio curatoris perimitur : ut potestatem ex eo tempore habeat cum ea se copulandi, cujus est curator; antea vero, nequaquam. Mater autem ejus (90), cujus negotia geruntur, potest ante hoc etiam tempus curatori filiæ suæ nubere. Quia vero simpliciter domestici, qui sunt in potestate, licet servi non sint, nec aliquando fuerint, loco libertorum sunt : ne hi quidem post mortem dominorum suorum, uxores eorum ducere possunt, ne suspicionem adulterii præbeant (91), quod præcesserit. Nec scenicus, hoc est, qui artem ludicram publice facit, aut filius ejus, senatoris D filiam ducere potest. Legis enim verba sunt (92) : In nuptiis non solum quid permissum sit, sed et quid honestum, considerandum est. Nam in consanguinitate, et susceptione ex sacro baptismate, et adoptione, gradus considerandi sunt, et matrimonia gradum in his excedentia septimum prohi-

Περὶ τῶν κεκωλυμένων [8] *γάμων καὶ χωρὶς συγγενείας.*

Ἔστι δ' ὅτε καὶ χωρὶς συγγενείας ὁποιασοῦν τῶν εἰρημένων πέντε [9] συγγενειῶν, κωλύεται τὸ συνάλλαγμα. Οἷον, ὁ κατηγορηθεὶς μοιχὸς, εἰ καὶ μὴ προφανῶς ἀπηλέχθη [10], οὐ δύναται ταύτην εἰς γυναῖκα λαβεῖν. Οὐδὲ ἀπελεύθερος τὴν γυναῖκα τοῦ πάτρωνος αὐτοῦ, μετὰ τὸν ἐκείνου θάνατον. Δίδωσι γὰρ ὑπόψιαν, ὅτι καὶ ζῶντος ἐκείνου, ταύτην μοιχεύων ἦν. Οὐδὲ ὁ ἐπίτροπος [11] τὴν ὀρφανὴν, ἢ ὁ υἱὸς αὐτοῦ, πρὸ τοῦ λυθῆναι τὴν ἐπιτροπὴν. Λύεται δὲ ἡ ἐπιτροπὴ τὸν τριακοστὸν χρόνον. Πέντε γὰρ καὶ εἴκοσι χρόνοι τῆς ἐνηλικιώσεως, καὶ τέσσαρες τῆς ἀποκαταστάσεως, καὶ τῇ ἀρχῇ τοῦ τριακοστοῦ χρόνου αὐτίκα ἡ ἐνοχὴ τοῦ ἐπιτρόπου λύεται. Καὶ ἔχει ἄδειαν ἐξ ἐκείνου συζυγῆναι τῇ ἐπιτροπευομένῃ. Πρὸ τούτου δὲ, οὐδαμῶς. Ἡ δὲ μήτηρ τῆς ἐπιτροπευθείσης δύναται καὶ πρὸ τούτου τῷ ἐπιτρόπῳ τῆς θυγατρὸς αὐτῆς γαμηθῆναι. Ἐπεὶ δὲ ἁπλῶς καὶ οἱ οἰκειακοὶ ὑποχείριοι, εἰ καὶ μὴ δοῦλοί εἰσιν ἢ ἐγένοντό ποτε, τάξιν ἀπελευθέρου ἔχουσιν, οὐδὲ οὗτοι μετὰ θάνατον τῶν ἰδίων δεσποτῶν, τὰς ἐκείνων λαμβάνειν δύνανται γαμετὰς, ἵνα μὴ δοῖεν προλαβούσης μοιχείας ὑπόνοιαν. Οὐδὲ ὁ σκηνικὸς, ἤτοι ὁ δημόσιος παιγνιώτης, ἢ ὁ τούτου υἱὸς, συγκλητικοῦ θυγατέρα δύναται D λαβεῖν. Φησὶ γὰρ ὁ νόμος, ὅτι Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς δεῖ ζητεῖν. Ἐπὶ μὲν γὰρ τῶν ἐξ αἵματος, καὶ τῶν τοῦ ἁγίου βαπτίσματος, καὶ τῶν ἐξ υἱοθεσίας, βαθμοὺς δέον ζητεῖν, καὶ τὰ ὑπὲρ τὸν ἕβδομον τούτοις ἀκώλυτα. Ἐπὶ δὲ τῶν ἐξ ἀγχιστείας καὶ τῶν ἐκ τριγενείας, τὰ ῥητῶς κωλυθέντα ἢ σύγχυσιν ἔχοντα,

VARIÆ LECTIONES.

[8] κωλυομένων. [9] πάντων. [10] ἀπηλέγχθη. [11] περὶ ἐπιτρόπου.

NOTÆ.

(87) l. 42. § *Quæ in adulterio.* D. *De rit. nupt*
(88) l. 62. § *Mulier.* D. eod.
(89) l. 66. D. eod. et l. 15. D. *De spons.*
(90) l. 2. C. *De interdic. matrim.*
(91) l. 44. D. *De rit nupt.*
(92) l. 42. D. eod.

φυλάττεσθαι χρή. Ἐπὶ δὲ τῶν ἔξω συγγενείας, τὸ εὐπρεπές. Ἡ οὖν παρανόμως γαμηθεῖσα, δύναται διαλύειν τὸν γάμον, καὶ γαμεῖσθαι ἄλλῳ ὕστερον. Οἱ δὲ ἀπὸ κεκωλυμένων γάμων τικτόμενοι παῖδες, οὐδὲ τῆς τῶν νόθων ἀξιοῦνται προσηγορίας, οὐδὲ διαδέχονται κατά τινα τὸν ἴδιον πατέρα. Ὁ πρὸς ἐλευθέραν μὴ ποιησαμένην πόρον ἐκ τοῦ σώματος ἔχων συνήθειαν, οὐ παλλακὴν, ἀλλὰ γαμετὴν ἔχειν δοκεῖ. Δύναται ὁ κουράτωρ συνάψαι τὴν ἰδίαν θυγατέρα τῷ κουρατευομένῳ ὑπ' αὐτοῦ. Τὸν δὲ υἱὸν αὐτοῦ τῇ κουρατευομένῃ οὐ δύναται χωρὶς βασιλικῆς κελεύσεως. Ἐπεὶ ἀτιμοῦται. Οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου ἐπισκόπου, οὔτε ὁ συνυπεξούσιος αὐτοῦ ἀδελφὸς δύναται γαμεῖν τὴν ὀρφανήν. Αἱ τῶν πενθουμένων γαμεταὶ κωλύονται ἐν τῷ πενθίμῳ χρόνῳ γαμεῖσθαι· εἰ μὴ κατὰ κέλευσιν βασιλέως. Αἱ δὲ τῶν μὴ πενθουμένων, ἤτοι τῶν ἐπὶ καθοσιώσει καταδικασθέντων, οὐ κωλύονται. Ἡ ἐν τῷ πενθεῖν τὸν ἄνδρα γεννήσασα, ἔτι κωλύεται γάμῳ προσελθεῖν. Ἡ δὲ ἐν τῷ πενθίμῳ χρόνῳ τεκοῦσα, οὐ κωλύεται. Κατὰ δύο γὰρ αἰτίας ὁ πένθιμος ἐτυπώθη καιρὸς, διὰ τὸ μὴ σύγχυσιν γίνεσθαι τῆς γονῆς, καὶ διὰ τὴν ὀφειλομένην αἰδὼ καὶ τιμὴν τῷ ἀνδρί· αἱ οὖν γυναῖκες τῶν μὴ ἀξίων πενθεῖσθαι, διὰ τὸ εἰς δημόσια τυχὸν περιπεσεῖν ἐγκλήματα, μετὰ τὸν τόκον οὐ κωλύονται καὶ ἐν τῷ πενθίμῳ γαμεῖσθαι. Ἡ πρὸ τοῦ πενθίμου χρόνου δευτερογαμοῦσα γυνὴ, ἀτιμοῦται, μηδὲν ἐκ τοῦ πρώτου γάμου κερδαίνουσα, καὶ μηδὲν πλέον τοῦ τρίτου μέρους τῆς ἰδίας οὐσίας δοῦναι δυναμένη τῷ δευτέρῳ ἀνδρὶ, ὅτε παῖδας δηλαδὴ οὐκ ἔχει. Ἐὰν μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν περὶ τὸν ἐνδέκατον μῆνα τέκῃ ἡ γυνὴ, πορνεία ἐστὶ τὸ γεγονὸς, καὶ τοῖς αὐτοῖς ἐπιτιμίοις ἐνέχεται, οἷς ἡ περὶ τὸν πένθιμον χρόνον δευτερογαμοῦσα· ἐκπίπτουσα δηλονότι τῆς τε προικάσεως πάσης, καὶ ἀνδρώας [12] ὑποστάσεως.

A bitione carent. In affinitate triumque generum copulatione, quæ diserte prohibita sunt, vel confusionem continent, caveri debent. In iis, quæ extra cognationem posita sunt, decori et honesti habenda ratio. Cæterum, quæ nefarias contraxit nuptias, solvere matrimonium potest, et alii deinceps nubere. Qui autem ex prohibitis nuptiis procreantur liberi, nec spuriorum appellationem consequuntur, nec ullis in bonis patri suo succedunt (93). Qui cum muliere libera, quæ corpore quæstum non fecerit, consuetudinem habet, non concubinam, sed uxorem habere videtur (94). Potest curator matrimonio copulare filiam suam ei, cujus curator est (95): at filium suum cum ea copulare, cujus negotia gerit, absque jussu prin- B cipis (96) nequit. Nam infamia notatur. Nec pater tutoris, nec frater ejus, qui adhuc est in potestate, pupillam ducere potest (97). Uxores eorum, qui elugentur, intra tempus luctus nubere vetantur, nisi jussu principis. At eorum conjuges, qui lugeri non solent, hoc est, qui majestatis damnati sunt, non prohibentur. Quæ luctus tempore uterum gerit, adhuc prohibetur ad alias transire nuptias. Quæ vero intra tempus luctus partum edidit, non prohibetur. Nam duas ob causas legitimum luctus tempus est constitutum, ne videlicet seminis fiat confusio, ac propter reverentiam et honorem, qui marito debetur. Igitur eorum uxores, qui non digni sunt, ut lugeantur propterea quod in publica C forte crimina lapsi sint (98), post partum etiam intra tempus luctus nubere non prohibentur. Quæ ante finitum luctus tempus secundas ad nuptias convolat mulier, infamia notatur, et nullum ex priori matrimonio lucrum capit, nec ultra tertiam partem patrimonii sui dare secundo marito potest (99), cum videlicet liberos nullos habet. Si post obitum mariti mulier undecimo mense partum ediderit, factum hoc mera scortatio est, et ipsa pœnis eisdem tenetur, quibus ea, quæ circa tempus luctus secundas contrahit nuptias: quod nimirum tam dotalibus, quam omnibus aliis mariti bonis excidat.

Περὶ τῶν βδελυσσομένων τοὺς ἐννόμους γάμους, τὸν οἶνον, τὰ κρέα, καὶ ἕτερα.

Ὁ τῶν ἁγίων ἀποστόλων νά' κανών· Ἐπίσκοπος, φησὶν, ἢ πρεσβύτερος, ἢ ἄλλος τοῦ κλήρου, οὐ μὴν δι' ἄσκησιν καὶ ἐγκράτειαν, ἀλλ' ὡς βδελυκτὸν [13] ἀπεχόμενος γάμου τε καὶ κρεῶν καὶ οἴνου, ἐπιλελησμένος ὅτι ἄρσεν καὶ θῆλυ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, καὶ ὅτι πάντα καλὰ λίαν, καὶ βλασφημῶν διαβάλλει τοῦ Θεοῦ τὴν δημιουργίαν, ἢ διορθούσθω, ἢ καθαιρείσθω, καὶ τῆς Ἐκκλησίας, ὡς πορρώτατω γενέσθω, ὡς ἀπεναντίας τοῖς ὀρθοῖς ταύτης ἱστάμενος δόγμασιν. Εἰ δὲ καὶ λαϊκὸς ταῦτα φρονῶν εἴη,

De his, qui abominantur legitimas nuptias, vinum, carnes, et alia.

Canon LI sanctorum apostolorum: Episcopus, inquit, aut presbyter, aut alius quispiam ex clero, qui non exercitationis et continentiæ causa, sed abominationis, abstinet a matrimonio, et carnibus, et vino, Deum oblitus hominem fecisse masculum D et feminam, atque omnia facta esse valde bona, quique maledicendo criminatur opificium Dei, vel corrigitor, vel abdicator, et ab Ecclesia longissime removetor, veluti qui rectis ejus decretis adversetur. Quod si laicus in eadem sententia sit, ab Eccle-

VARIÆ LECTIONES.

[12] προικώας καὶ πάσης ἀνδρώας. [13] βδελυκτῶν.

NOTÆ.

(93) l. 24. D. *De rit. nupt.*
(94) l. 5. C. *De interdict. matrim.*
(95) l. 7. C. eod.
(96) l. 67. § *Sed et si.* D. eod.
(97) l. 10. D. *De his qui not. infam.*, cum sequentib.
(98) Novella 22, cap. 22.
(99) Novella 39 in fine.

sia segregatur. Quippe nulla res divinitus facta, mala est, sed abusus rerum nocet. Quod si hæc mali causa forent, non essent a Deo condita. Quare qui Dei criminatur opera, maledicentiam suam ad ipsum Creatorem extendit. Primus autem canon concilii Gangrensis anathemati addicit eum, qui legitimas nuptias impuras esse putat, et cum marito copulatam honestam et castam uxorem abominatur propter consuetudinem cum tori consorte, quasi quæ propterea regnum cœleste consequi nequeat. Dicit enim Apostolus : *Honorabile conjugium in omnibus et lectus impollutus.* Ac rursum : *Posterioribus temporibus desciscent quidam a fide per hypocrisin falsiloquorum*, quorum conscientia cauterio recisa est, prohibentium contrahere matrimonium, abstinere [jubentium] cibis, quos Deus creavit ad participandum.

Eamdem pœnam quartus etiam canon irrogat ei, qui examinans ambigit, nec participare sustinet a presbytero cum uxore copulato, qui ministerium sacrum obierit, quasi nuptias honorabiles abominetur. Eidem anathemati canon etiam XII subjici præcipit eam mulierem, quæ a marito suo secedit, quasi quæ matrimonium putet esse rem abominabilem. Enimvero Apostolus : *Ne fraudate*, inquit, *alius alium · nisi si quid ex consensu factum fuerit.* Et rursum : *Uxor proprium corpus non habet in potestate, sed vir.* Quod si desiderio vitæ solitariæ secessionem amplectatur, reprehendi non debet. Eidem pœnæ novus etiam canon tradit eum, qui virginitatem colit, et a vitæ consortio secessit, matrimonii abominandi causa, non propter ipsum virginitatis bonum et venerationem. Tertius autem et quinquagesimus sanctorum apostolorum canon : Diebus, inquit, festis, Sabbato puta, et Dominica, vel alia quacunque, non abstinendum a vino, et carnibus tanquam rebus abominabilibus. Quod si quis ita sentit et facit, quasi cui cauterio recisa sit conscientia, et qui scandali compluribus causam præbeat, si quidem ex clero est, deponitor : sin ex populo, segregatur. Nisi forte quispiam determinato dierum ambitu semet exercens, itidem ut aliis diebus, etiam in Sabbato et Dominica servaverit abstinentiam : canon vero XIV Ancyranæ synodi præcipit iis, qui abstinent a carnibus exercitationis causa, duntaxat ut eas in conventibus publicis degustent. Atque ita si manducationem earum admittere nolint, saltem olerum cum eis coctorum perceptionem non recusent : ut hac ratione omnem scandali occasionem adimant iis, qui putant ipsos abominationis causa carnibus abstinere. Et quidem inprimis eos vesci carnibus convenit iis diebus, quibus hæretici quidam per jejunium ab eis abstinere solent : ne eis consentire videantur. Præsertim si forte degant in urbe, cujus maxima pars hoc morbo laboret. Quod si canoni non obtemperent, et clerici sint, eos sacerdotio spoliat.

A τῆς Ἐκκλησίας ἀφοριζέσθω. Οὐδὲν γὰρ τῶν παρὰ Θεοῦ γενομένων κακὸν, ἀλλ' ἡ τούτων παράχρησις βλαβερόν. Εἰ δὲ κακίας ταῦτα αἴτια ἦν, οὐκ ἂν παρήχθησαν παρὰ τοῦ Θεοῦ. Ὥστε ὁ τὰ τοῦ Θεοῦ διαβάλλων ποιήματα, εἰς τὸν ποιήσαντα τὴν βλασφημίαν ἐκτείνει. Ὁ δὲ τῆς ἐν Γάγγρᾳ πρῶτος τῷ ἀναθέματι παραπέμπει, ὃς ἀκάθαρτον εἶναι τὸν νόμιμον γάμον ἡγεῖται, καὶ τὴν ἀνδρὶ συνεζευγμένην κοσμίαν γυναῖκα καὶ σώφρονα βδελυσσόμενος, διὰ τὴν πρὸς τὸν σύνευνον ὁμιλίαν, ἅτε μὴ δυναμένην ἐντεῦθεν τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν. Φησὶ γὰρ ὁ Ἀπόστολος· *Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος.* Καὶ αὖθις· *Ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως ἐν ὑποκρίσει ψευδολόγων* καὶ καυτηριασμένων [15] τὴν B συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν.

Ταύτην καὶ ὁ τέταρτος τὴν δίκην ἐπατείνεται [16] τῷ διακρινομένῳ, καὶ μὴ μεταλαβεῖν ἀνεχομένῳ παρὰ πρεσβυτέρου γεγαμηκότος, τὴν ἱερὰν τελέσαντος λειτουργίαν, οἷα τὸν τίμιον γάμον βδελυσσομένῳ. Τούτῳ καὶ ὁ δωδέκατος ὑπάγεσθαι κελεύει τῷ ἀναθέματι τὴν τοῦ ἰδίου ἀνδρὸς ἀναχωροῦσαν γυναῖκα, οἷα βδελυκτὸν τὸν γάμον νομίζουσαν. Ὁ γάρ τοι Ἀπόστολος, *Μὴ ἀποστερεῖτε*, φησὶν, *ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου γένηται.* Καὶ αὖθις· *Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ.* Εἰ δέ που δι' ἔφεσιν τοῦ μονήρους βίου τὴν ἀναχώρησιν ἔλοιτο, ἀνεπίκλητος. Ταύτῃ καὶ ὁ ἔννατος τῇ δίκῃ δίδωσι τὸν παρθενίαν μετιόντα, καὶ τοῦ βίου ἀναχωρήσαντα, ἅτε τὸν γάμον βδελυσσόμενον, καὶ μὴ δι' αὐτὸ τὸ τῆς παρθενίας καλὸν καὶ σεβάσμιον. Ὁ δὲ πεντηκοστὸς τρίτος τῶν ἁγίων ἀποστόλων, Οὐ δεῖ, φησὶν, ἐν ταῖς τῶν ἑορτῶν ἡμέραις, σαββάτου τυχὸν καὶ κυριακῆς, ἢ οἱασδηποτοῦν ἑτέρας, οἴνου καὶ κρεῶν ὡς βδελυγμένων ἀπέχεσθαι. Ὁ δὲ οὕτω καὶ φρονῶν καὶ ποιῶν, ὡς τὴν ἰδίαν κεκαυτηριασμένος συνείδησιν, καὶ σκανδάλου τοῖς πολλοῖς γινόμενος αἴτιος, εἰ μὲν τοῦ κλήρου εἴη, καθαιρείσθω· εἰ δὲ τοῦ λαοῦ, ἀφοριζέσθω· εἰ μή πού τις ἐν ἀφορισμέναις ἡμερῶν περιόδοις ἀσκῶν, ἐξίστης ταῖς ἄλλαις κἀν τῷ Σαββάτῳ καὶ τῇ Κυριακῇ τηρήσειε τὴν ἐγκράτειαν. Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ ιδ', τοῖς κρεῶν ἀπεχομένοις διὰ ἄσκησιν, γεύεσθαι μόνον ἐπὶ τῶν συνάξεων παρD εγγυᾶται· καὶ οὕτως, εἰ βούλοιντο τὴν τούτων ἐδωδὴν μὴ προσίεσθαι, ἀλλά γε τῶν συνεψομένων τούτοις λαχάνων μὴ ἀπαναίνεσθαι τὴν μετάληψιν· ὡς ἂν ἐντεῦθεν πᾶσαν πρόφασιν σκανδάλου περιέλωσι τῶν οἰομένων τούτους διὰ βδελυρίαν τῶν τοιούτων ἀπέχεσθαι. Καὶ οὐχ ἥκιστα τούτοις ἐστιᾶσθαι προσῆκε κατ' ἐκείνας τῶν ἡμερῶν, ἡνίκα τῶν αἱρετικῶν ἔνιοι νηστεύειν ἀπὸ τούτων εἰώθασιν, ὡς ἂν μὴ συμβαίνειν δόξαιεν τῷ ἐκείνων φρονήματι. Καὶ μάλιστα εἰ τύχοιεν ἐπιχωριάζοντες πόλει, τὸ πλεῖστος [17] μέρει τοιαῦτα νοσούσῃ· εἰ δὲ μὴ ὑπείκοιεν τῷ κανόνι, κληρικοὺς μὲν ὄντας τῆς ἱερωσύνης ἀπογυμνοῖ.

VARIÆ LECTIONES.

[15] κεκαυτηριασμένων. [16] ἐπανατείνεται. [17] τῷ πλείστῳ γε.

Περὶ γάμων τῶν κληρικῶν ἐπιτετραμμένων καὶ κεκωλυμένων.

De nuptiis clericorum concessis et prohibitis.

Ὁ τῶν ἁγίων ἀποστόλων εἰκοστὸς ἕκτος κανών, καὶ ὁ ἕκτος τῆς ἕκτης συνόδου, καὶ ὁ τῆς ἐν Καρθαγένῃ ις', τοῖς τῷ κλήρῳ κατειλεγμένοις, καὶ ἀναγνώστας ἔτι καὶ ψάλτας τελοῦσι, νομίμως συγχωροῦσι γαμεῖν. Μετὰ δέ γε τὸ εἰς βαθμὸν προαχθῆναι ὑποδιακόνου ἢ διακόνου, ἢ πρεσβυτέρου, οὐκ ἔτι. Τῶν γὰρ ἱερωμένων τοὺς πρὸς γάμον ἐκκλίνοντας καθαιροῦσιν εὐθύς. Καὶ ὁ πρῶτος γὰρ τῆς ἐν Νεοκαισαρείᾳ, τὸν δῆθεν νομίμως γυναικὶ συναφθέντα πρεσβύτερον τῆς ἱερωσύνης ἀπογυμνοῖ. Οἱ δὲ τῆς ς' συνόδου θεῖοι Πατέρες ἀνατρέποντες τὸ ἐν τῇ Λατίνων Ἐκκλησίᾳ κρατῆσαν ἔθος, τὸ τοὺς χειροτονουμένους ἱερέας τε καὶ διακόνους πίστεις πρότερον διδόναι, ἢ μὴν τελέως μετὰ τὴν χειροτονίαν ἀφέξεσθαι τῶν πρὸ ταύτης νομίμως συζευχθεισῶν αὐτοῖς γυναικῶν· Ἡμεῖς, φασὶ, καὶ μετὰ τὴν χειροτονίαν ἐῤῥῶσθαι τὰ συνοικέσια βουλόμεθα τῶν ἀξίως τῆς ἱερωσύνης ἠξιωμένων, ἵνα μὴ τὸν εὐλογηθέντα τῇ τοῦ Κυρίου παρουσίᾳ γάμον λάθωμεν ὑβρίζοντες, καὶ προσέτι ἀποφηναμένου, ἃ ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. Καὶ μὴν καὶ ὁ Ἀπόστολος τίμιον εἶναι λέγει τὸν γάμον, καὶ τὴν κοίτην ἀμίαντον. Καὶ πάλιν· Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. Ὁ τοίνυν ἀποστερῶν διάκονον, ἢ ὑποδιάκονον, ἢ πρεσβύτερον, τῆς πρὸς τὴν νόμιμον γυναῖκα συναφείας, καθαιρείσθω. Ἐκτὸς ὡρισμένου δή τινος καιροῦ, ὅτε μεταχειρίζειν τὰ ἅγια μέλλοιεν· ἵνα καθαροὶ τῷ καθαρῷ προσιόντες, τῶν αἰτημάτων μὴ διαμάρτοιεν. Ἀλλὰ καί τισι τῶν περὶ τὴν Νίκαιαν τὴν πρώτην συστησαμένων σύνοδον ἐδόκει μῶμον ἐπεισάγειν, ἐπισκόπους, καὶ πρεσβυτέρους, διακόνους τε καὶ ὑποδιακόνους μὴ συγκαθεύδειν ὅλως ταῖς γαμεταῖς, ἃς πρὶν ἱεράσθαι νομίμως ἠγάγοντο. Ὁ μέντοι Παφνούτιος, μιᾶς τῶν κατὰ τὰς Θήβας πόλεων ἐπίσκοπος ὤν, ἀνὴρ ἐκ παιδὸς ἐν ἀσκητηρίῳ τεθραμμένος, καὶ πᾶσαν κατορθωκὼς ἀρετὴν, ἐπὶ σωφροσύνῃ δὲ καὶ μάλιστα γεγονὼς περιβόητος, οὐ μὴν ἀλλὰ καὶ τῷ τῆς ὁμολογίας στεφάνῳ κεκοσμημένος (ἄτερος γὰρ αὐτῷ τῶν ὀφθαλμῶν δι' εὐσέβειαν ἐξωρύρυκτο), ἀντεῖπε τοῖς οὕτως ἔχουσι γνώμης, τίμιόν τε τὸν γάμον ἀποκαλῶν, καὶ σωφροσύνην τὴν πρὸς τὰς ἰδίας γαμετὰς ὁμιλίαν. Συνεβούλευσέ τε τῇ συνόδῳ, μὴ τοιοῦτον θέσθαι νόμον, δυσχερὲς εἶναι τοῖς ἐν κόσμῳ διάγουσι τὸ πρᾶγμα φέρειν ἀποφαινόμενος. Ἴσως γὰρ τοῦ τόγε καὶ αὐτοῖς ταῖς τούτων γαμεταῖς τοῦ μὴ σωφρονεῖν αἰτία γενήσεται [17]. Κατὰ δὲ τὴν ἀρχαίαν τῆς Ἐκκλησίας παράδοσιν, τοὺς μὲν ἀγάμους τοῦ ἱερατικοῦ τάγματος κοινωνήσαντας, μηκέτι γαμεῖν· τοὺς δὲ μετὰ τὸν γάμον εἰς ἱερωσύνην προβιβασθέντας, ὧν ἔχουσι γαμετῶν μὴ χωρίζεσθαι. Καὶ ταῦτα μὲν ὁ Παφνούτιος, καίπερ γάμου ἄπειρος ὤν. Ἐπῄνεσε δὲ τὴν τοῦ θεσπεσίου ἀνδρὸς εἰσήγησιν καὶ ἡ σύνοδος, καὶ οὐδὲν περὶ τούτου νενομοθέτηκεν, ἀλλὰ τῇ ἑκάστου γνώμῃ τὸ πρᾶγμα, καὶ οὐκ ἀνάγκῃ θέσθαι νενό-

Canon XXVI sanctorum apostolorum, et sextus synodi sextæ, et XVI concilii Carthaginiensis, permittunt iis, qui clero continentur, et adhuc lectores et cantores sunt, ut legitimas nuptias contrahant. Verum non amplius, postquam provecti fuerint ad gradum subdiaconi, vel diaconi, vel presbyteri. Nam initiatos sacerdotio, qui ad matrimonium deflectunt, statim abdicant. Etiam primus canon concilii Neocæsariensis presbyterum, qui legitime copulatus uxori fuerit, sacerdotio exuit. Verum sexti concilii divini Patres eam consuetudinem abolentes, quæ in Ecclesia Latinorum invaluit, videlicet ut sacerdotes et diaconi, qui ordinantur, prius fidem dent, quod omnino post ordinationem abstinere velint ab uxoribus, quæ ante ordinationem cum eis copulatæ fuerint : Nos, inquiunt, etiam post ordinationem manere firma volumus eorum matrimonia, qui digne sacerdotium consecuti sunt, ne benedictas Domini præsentia nuptias contumelia clanculum afficiamus; qui præterea pronuntiavit, hominem separare non debere quæ Deus conjunxerit. Quinetiam Apostolus honorabile dicit esse matrimonium, et lectum impolutum. Ac rursum, Alligatus es mulieri? solutionem ne quærito. Quamobrem qui diaconum, vel subdiaconum, vel presbyterum conjunctione cum uxore legitima privat, deponitor. Excepto tamen definito quodam tempore, cum sacra sunt tractaturi : ut puri purum adeuntes, preces suas obtineant. Etiam nonnullis eorum, qui apud Nicæam primum celebrabant concilium, videbatur invehendam rem vituperabilem, ut episcopi, et presbyteri, et diaconi, et subdiaconi, cum uxoribus suis omnino non cubarent, quas prius duxissent, quam sacerdotiis initiarentur. Verum Paphnutius, unius ad Thebas sitæ civitatis episcopus, qui vir a puero educatus erat in loco piis exercitiis dicato, et omnem virtutem perfecte coluerat, ac in primis nomine castitatis celebrabatur; imo qui confessionis etiam corona fuerat ornatus, quod alter oculus ei propter pietatem effossus esset; hanc sententiam probantibus contradixit, cum honorabiles esse diceret nuptias, et consuetudinem cum uxoribus appellaret castitatem. Adeoque synodo auctor erat, ne legem hanc promulgarent : quod hanc rem in mundo degentibus toleratu difficilem diceret. Nam fortassis hoc tam ipsis, quam ipsorum uxoribus, causam minus caste vivendi præbiturum. Ex prisca quidem Ecclesiæ traditione, quotquot expertes matrimonii sacerdotalem in ordinem cooptati fuissent, non amplius uxores ducere : qui vero post contractum matrimonium evecti essent ad sacerdotium, eos ab uxoribus, quas habeant, non separari. Et hæc quidem Paphnutius, quanquam ipse matrimonii expers

VARIÆ LECTIONES.

[17] γενήσεσθαι.

esset. Collaudavit orationem hominis divini synodus, neque de hoc quidquam promulgavit, sed rem arbitrio cujusvis committendam, non coactioni, statuit. Adeo vero religiosus erat iste Paphnutius, ut etiam admiranda quædam prodigia per eum fierent. Et Constantinus imperator hominem magno habebat in pretio, et frequenter ad aulam arcessebat, erutumque oculum exosculabatur.

A μικεν. Οὕτω θεοφιλὴς ὁ Παφνούτιος οὗτος ἦν, ὡς καὶ σημεῖα θαυμαστὰ ὑπ' αὐτοῦ γίνεσθαι. Σφόδρα δὲ ὁ βασιλεὺς Κωνσταντῖνος ἐτίμα τὸν ἄνδρα, καὶ συνεχῶς ἐπὶ τὰ βασίλεια μετεπέμπετο, καὶ τὸν ἐξορωρυγμένον ὀφθαλμὸν κατεφίλει.

Cæterum synodi Ancyranæ canoni duodecimo non attendendum, qui posse dicit diaconum uxorem ducere etiam post ordinationem, episcopi sui permissu. Quippe Leonis, cognomine Sapientis, Novella dicit (1), tametsi ex consuetudine non scripta licuerit sacerdotibus intra decennium (1*), post ordinationem computandum, legitimas uxores ducere : tamen hoc, tanquam prohibitum a canonibus, valere non debere. Qui expertem matrimonii (2) ordinat, interroget eum, an absque legitima uxore vitam castam agere possit. Si hoc facturum se testetur, hominem ordinet. Qui diacono permittit, ut post ordinationem ducat uxorem, episcopatu expellitor. Presbyter, aut diaconus, aut subdiaconus, qui post ordinationem contrahit nuptias ; e cœtu cleri ejicitur. Clericis est permissum, ut legitimas habeant uxores. Cantores et lectores nuptias legitimas contrahere possunt, at subdiaconi, et diaconi, et presbyteri, omnino [id facere] prohibentur. Quo fit, ut quotquot eorum matrimonii participes fiunt, excidant sacerdotio.

Τῷ δωδεκάτῳ κανόνι τῆς ἐν Ἀγκύρᾳ μηδόλως πρόσχῃς τὸν νοῦν, δύνασθαι λέγοντι γαμεῖν τὸν διάκονον καὶ μετὰ τὴν χειροτονίαν, τῇ τοῦ οἰκείου ἐπισκόπου ἐπιτροπῇ· φησὶ γὰρ ἡ Νεαρὰ Λέοντος τοῦ Σοφοῦ, ὡς εἰ καὶ ἀπὸ συνηθείας ἀγράφου ἐξῆν τοῖς ἱερωμένοις ἐντὸς δεκαετείας [1*], μετὰ τὴν χειροτονίαν ψηφιζομένης, λαμβάνειν νομίμους γυναῖκας, ἀλλὰ τοῦτο ὡς ὑπὸ τῶν κανόνων κεκωλυμένον, B οὐκ ὀφείλει κρατεῖν. Ὁ χειροτονῶν ἄγαμον, ἐρωτάτω αὐτὸν, εἰ δύναται χωρὶς νομίμου γαμετῆς σεμνῶς βιοῦν. Καὶ εἰ κατάθοιτο, τοῦτον χειροτονείτω. Ὁ δὲ ἐπιτρέπων διακόνῳ γυναῖκα μετὰ τὴν χειροτονίαν λαβεῖν, τῆς ἐπισκοπῆς ἐκβαλλέσθω. Πρεσβύτερος δὲ, ἢ διάκονος, ἢ ὑποδιάκονος, μετὰ τὴν χειροτονίαν γαμῶν, ἐκβάλλεται τοῦ κλήρου. Τοῖς κληρικοῖς ἐπιτέτραπται νομίμους ἔχειν γαμετάς. Οἱ ψάλται καὶ οἱ ἀναγνῶσται δύνανται νομίμως γαμεῖν. Οἱ δὲ ὑποδιάκονοι, καὶ διάκονοι, καὶ πρεσβύτεροι, καθάπαξ κεκώλυνται. Ὅθεν τούτων οἱ γάμῳ κοινωνήσαντες, ἐκπίπτουσι τῆς ἱερωσύνης.

Matrimonii definitio.

Matrimonium (3) est conjunctio maris et feminæ, et omnis vitæ consortium, divini et humani juris communicatio : sive per benedictionem, sive per coronationem, sive per instrumentum contrahatur. Quæ autem præter hosce modos facta sunt, pro non contractis habentur. Legitimas autem (4) nuptias inter se Romani contrahunt, cum ea servant, quæ legibus de nuptiis præcepta sunt. Oportet autem mares quidem esse puberes, feminas vero viri potentes, hoc est, illos excedere decimum quartum annum, has majores esse duodecim annis. Hæc autem dicimus, sive patres familiarum sint, sive filii familiarum ii, qui coeunt in matrimonium (5). Nuptiæ non fiunt, nisi consentiant tam ii, qui copulantur, quam qui eos habent in potestate. Nuptias non viri cum muliere concubitus (6), sed matrimonialis eorum consensus facit. Filius emancipatus (7) plenam agens ætatem, etiam sine consensu patris uxorem ducit. Luctus ascendentium non impedit nuptias earum personarum, quæ lugent. Qui vivit in castitate (8), non cogatur a patre suo contrahere nuptias, tametsi

Ὅρος γάμου.

Γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια, καὶ συγκλήρωσις πάσης ζωῆς, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία, εἴτε δι' εὐλογίας, εἴτε διὰ στεφανώματος, ἢ διὰ συμβολαίου. Τὰ δὲ παρὰ ταῦτα γενόμενα, ὡς μὴ γεγονότα λογίζονται. Ἐννόμους δὲ γάμους μεταξὺ ἀλλήλων συνιστῶσι Ῥωμαῖοι, ἡνίκα τὰ περὶ τῶν γάμων τοῖς νόμοις διηγορευμένα φυλάξουσι. Δεῖ δὲ τοὺς μὲν ἄῤῥενας ἐφήβους εἶναι, τὰς δὲ θηλείας ἀνδρὸς δεκτικάς. Τουτέστι τοὺς μὲν ὑπερβεβηκέναι τὸν ιδ' χρόνον, τὰς δὲ μείζους εἶναι τῶν δώδεκα ἐνιαυτῶν. Ταῦτα δὲ λέγομεν εἴτε αὐτεξούσιοι, εἴτε ὑπεξούσιοί εἰσιν, οἱ πρὸς γάμον συνιόντες. Οὐ γίνεται γάμος, εἰ μὴ συναινέσουσιν οἱ συναπτόμενοι, καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους. Τὸν γάμον, οὐ τὸ συγκαθευδῆσαι ἀλλήλοις τὸν ἄνδρα καὶ D τὴν γυναῖκα συνίστησιν, ἀλλ' ἡ γαμικὴ αὐτῶν συναίνεσις. Ὁ αὐτεξούσιος τελείαν ἄγων τὴν ἡλικίαν, καὶ χωρὶς τῆς τοῦ πατρὸς συναινέσεως γαμεῖ. Τὰ πένθη τῶν ἀνιόντων, οὐκ ἐμποδίζει τοὺς γάμους τῶν πενθούντων προσώπων. Ἐν σωφροσύνῃ διάγων μὴ ἀναγκαζέσθω πρὸς γάμον ἐλθεῖν παρὰ τοῦ ἰδίου πατρὸς, κἂν ὑπεξούσιος ᾖ. Μηδεὶς μυστικῶς στε-

VARIÆ LECTIONES.

[1*] διετίας.

NOTÆ.

(1) Novella 3.
(1*) Al. *biennium.*
(2) Novella Justin. 123, c. 14.
(3) l. 1. D. *De rit. nupt.* et § 1 Instit. *De part. potest.*
(4) § Instit. *De nupt.*
(5) l. 2. D. *De rit. nupt.*
(6) l. 30. D. *De reg. jur.*
(7) l. 25. D. *De rit. nupt.* et l. 3. § *Si emancip.* D. *De bon. poss. cont. tab.*
(8) l. 11, in princ. D. *De his qui not. infam.*

φανούσθω, ἀλλὰ παρόντων πλειόνων. Ὁ δὲ τοῦτο κατατολμήσας, τιμωρίᾳ σωφρονιζέσθω. Δηλονότι καὶ τοῦ ἱερέως ἐν τοῖς ἀπρεπέσιν ἑαυτὸν παρεμβάλλοντος, τὰς ἀξίας εὐθύνας εἰσπραττομένου, κατὰ τὴν τῶν ἐκκλησιαστικῶν κανόνων διάταξιν. Κωφὸς καὶ ἄλαλος, καὶ τυφλὸς, καὶ γαμεῖν δύνανται, καὶ περὶ προικὸς ἐνέχονται.

A filiusfamilias sit. Nemo secreto coronetur, sed pluribus præsentibus. Qui autem fuerit ausus id facere, pœna castigator (9) : ita scilicet, ut etiam a sacerdote, qui rebus inhonestis semet interposuerit, digna supplicia exigantur, juxta canonum ecclesiasticorum constitutionem. Surdus, et mutus, et cæcus, nuptias contrahere possunt, et dotis nomine tenentur.

Περὶ διγάμων [19]*, τριγάμων, καὶ πολυγάμων, ἀνδρῶν τε καὶ γυναικῶν.*

Ὁ δέκατος ἕβδομος τῶν ἁγίων ἀποστόλων κανὼν, Ὁ δυσὶ γάμοις, φησὶ, μετὰ τὸ βάπτισμα ὁμιλήσας, ἢ πορνείᾳ περιπεσὼν, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ ἱεροῦ καταλόγου. Ἡ γὰρ χάρις τοῦ παναγίου Πνεύματος, τῷ τοῦ θείου βαπτίσματος μυστηρίῳ, τῷ μήτε λόγῳ ῥητῷ, μήτε νῷ καταληπτῷ, παντὸς ῥύπου τὸν βαπτισάμενον ἀποπλύνασα, καὶ φωτὸς δεκτικὸν ἀποφήνασα, οὐ κωλύει λοιπὸν καὶ τῷ καθαρῷ φωτὶ τῆς ἱερωσύνης τοῦτον καταφαιδρύνεσθαι. Μετὰ δέ γε τὸ θεῖον λουτρὸν, οὐκέτι περὶ ἁμαρτιῶν ὑπολείπεται θυσία, οἷα καὶ ἱερωσύνην χαρίσασθαι. Τοῦ κανόνος τούτου καὶ ὁ μέγας μέμνηται Βασίλειος ἐν τῷ ιβ' αὐτοῦ κανόνι, Τοὺς διγάμους, λέγων, παντελῶς ὁ κανὼν τῆς κατὰ τὴν κλῆσιν ὑπηρεσίας ἀπέκλεισεν· τοῦτον δὴ λέγων. Ὁ δὲ ἀποστολικὸς ιη'· Οὐδὲ ὁ χήραν λαβὼν, ἢ ἐκβεβλημένην πρὸς τοῦ οἰκείου ἀνδρὸς, ἢ ἑταῖραν, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς, αἳ τῷ ἀσέμνως βιῶναι οὐ πιστεύονται σωφρονεῖν, δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ ὅλως τοῦ κλήρου. Τοῖς δυσὶ τούτοις ἀποστολικοῖς κανόσι καὶ ὁ τρίτος τῆς ἕκτης συνόδου κανὼν [20]· Μηδεὶς δευτερογαμήσας, χειροτονείσθω πρεσβύτερος, ἢ διάκονος, μήτε μὴν εἰ γυναικὶ συνοικεῖ τὸν ἴδιον ἄνδρα καταλιπούσῃ, μήτε εἰ παλλακὴν ἔχει, ἀλλ' ἢ μιᾶς ἀνὴρ γενόμενος σώφρονος καὶ ἐκ παρθενίας. Εἰ δέ τις γαμετὴν ἢ παλλακὴν εἰσαγάγοιτο φανερῶς ἢ λαθραίως, εὐθέως τῆς ἱερᾶς ἐκπιπτέτω τάξεως, καὶ ἰδιώτης ἔστω. Ἡ δὲ ὀγδοηκοστὴ [21] ἕννατος Νεαρὰ βασιλέως Λέοντος τοῦ Σοφοῦ, τοὺς διγαμοῦντας τῶν κληρικῶν μήτε τοῦ σχήματος ἀλλοτριοῦσθαι κελεύει, μήτε τῆς ἐκ τοῦ βήματος ὑπηρεσίας. Φησὶ γάρ· Οὐκ ἀποδεχόμεθα τῆς προαιρέσεως τὸν παλαιὸν νομοθέτην, ὃς βούλεται πρεσβύτερον, ἢ διάκονον, ἢ ὑποδιάκονον, μετὰ τὴν ἐπ' αὐτῷ χειροθεσίαν συναφθέντα γυναικὶ, παντελῶς τοῦ τοιούτου ὑπεξίστασθαι σχήματος, καὶ πρὸς τὸν λαϊκὸν βίον ἐπαναστρέφεσθαι, ἀλλὰ ἀκυροῦμεν τὸ δόγμα· θεσπίζομεν δὲ, μόνῃ τῇ ὑποχωρήσει τῆς τάξεως, ἐφ' ᾗ πρὸ τοῦ γάμου ἐγνωρίζετο, ἀρκεῖσθαι τὴν δίκην αὐτοῖς· τοῦ δὲ κληρικοῦ σχήματος καὶ τῆς ἄλλης ταῖς Ἐκκλησίαις ὑπηρεσίας ἐφάπτεσθαι, οὐκ ἀθέμιτον [22].

De contrahentibus secundas, tertias, plures nuptias; tam viris, quam mulieribus.

Canonis XVII sanctorum apostolorum verba sunt : Qui geminas post baptismum contraxit nuptias, vel in scortationem lapsus est, non potest episcopus esse, vel presbyter, vel diaconus, vel omnino sacri consortii. Nam postquam Spiritus sancti gratia per sacri baptismatis mysterium, quod nec verbis exprimi, nec percipi mente potest, ab omnibus sordibus eluit eum, qui baptizatur, et lucis capacem fecit, nihil amplius impedimento est, quominus idem etiam pura sacerdotii luce exhilaretur. Verum post sacrum illud lavacrum, nulla pro peccatis reliqua est hostia, quæ sacerdotium largiri possit. Hujus canonis etiam magnus ille Basilius meminit in XII canone suo, cum ait : Eos, qui secundas contraxere nuptias, omnino canon a ministerio vocationis exclusit, quibus verbis hunc innuit canonem. Cæterum XVIII canon apostolorum ait : Nec qui viduam duxit, vel ejectam a marito suo, vel meretricem, vel servam, vel aliquam ex iis, quæ artem ludicram exercent, ac propterea, quod parum honeste vivant, non creduntur esse castæ, potest episcopus esse, vel presbyter, vel omnino clericorum in consortio. Cum duobus hisce canonibus apostolicis etiam tertius sextæ synodi canon consentit, cujus hæc verba sunt : Nemo, qui secundas adierit nuptias, ordinator presbyter, aut diaconus : nec si mulierem habeat in contubernio, quæ virum suum reliquerit, nec si concubinam habeat : sed duntaxat is, qui vir est unius castæ mulieris, et quam virginem duxerit. Sin quispiam duxerit matrimonio prius copulatam, vel concubinam, sive manifesto, sive clam, confestim ordine sacro excidat, et privatam vitam aget. Septuagesima vero et nona Novella principis Leonis, cognomine Sapientis (10), clericos secundas nuptias contrahentes nec habitum amittere debere, nec functionem sacerdotalem, præcipit. Sunt enim hæc illius verba : Non probamus legislatoris veteris (11) institutum, qui vult, ut presbyter, aut diaconus, aut subdiaconus, qui post factam manus impositionem cum muliere copulatus fuerit, prorsus ab hoc habitu recedat, et ad vitam plebeiam revertatur : sed decretum hoc abrogamus, atque sancimus, uti duntaxat eis pro pœna sufficiat ejus or-

VARIÆ LECTIONES

[19] περὶ διγάμων ἱερωμένων. [20] τῆς ἕκτης συνόδου συνάδει κανών. [21] ἑβδομηκοστή. [22] ἄλλης ἐν ταῖς ἐκκλησίαις ὑπηρεσίαις, ἧς ἐφάπτεσθαι οὐκ ἀθέμιτον, μὴ παντάπασι τὴν ἀλλοτρίωσιν καταδικάζεσθαι.

NOTÆ.

(9) Hæ Basilii Novellæ sunt.
(10) Novella 79, quæ Novellam 6 Justiniani corrigit.
(11) Hoc est, Justiniani. Locus est Novella 6, *Cæterum si quis.*

dinis cessio, quo in ordine ante contractas nuptias conspiciebantur. Ad habitus autem clericalis, et reliquæ functionis in Ecclesiis privationem, non omnino condemnentur, quatenus ut eam obeant fas fuerit.

De laicis ad secundas nuptias transeuntibus.

Enimvero divinus ille Apostolus viduis junioribus, ut alteras ad nuptias transeant, siquidem ita velint, permisit : earum naturæ lubricitatem intelligens. Divini vero Patres etiam viros, qui secundas nuptias eligerent, minime putabant inhibendos, quandoquidem libidinis carnalis impetum non ignorabant. Non tamen hoc impune fieri permittebant. Quippe primi canonis synodi Laodicenæ hæc verba sunt : Qui legitime secundas ad nuptias transierunt, ubi per exiguum temporis spatium intercesserit, ac precibus et jejuniis vacaverint, communione per indulgentiam fruantur. Sin prius, quam legitimas contraherent nuptias, clandestino concubitu coierint, etiam puniantur ceu scortationis rei. Magnus autem ille Basilius in quarto canone suo : Quidam, inquit, ad annum unum, quidam ad duos arcent eum a communione sacra, qui secundas nuptias contrahit. Idem, canone XLI : Vidua, inquit, si proximis parentibus careat, etiam ad secundas arbitratu suo nuptias convolare non prohibetur. Nam Apostoli verba sunt : Si vir mortuus fuerit, libera est, ut ei nubat, cui vult. Parentes autem vivi, quorum est in potestate, si non consenserint, nuptiarum conjunctionem dirimere possunt. Quippe lex ait (12) : Emancipata minor annis XXV, secundas ad nuptias transitura, de patris sententia nubat. Mulier vidua (12*) tempus luctus exspectare cogitur, propter confusionem seminis, quod in viro locum non habet. Quæ vero nupserit ante quam completus fuerit annus a morte mariti, et infamia notatur, nec ultra tertiam facultatum suarum partem alteri marito donare potest, vel in testamento relinquere, cum liberos scilicet nullos habet : nec ipsa quidquam habebit ex hæreditate, vel legato, vel mortis causa donatione : sed accipiunt hæc illius hæc heredes, qui ea reliquit. Si quid etiam reliquit ei prior maritus, secum gradus decem personæ capiunt, hoc est, ascendentes et descendentes, et qui sunt ex transverso, usque ad secundum gradum. Ab intestato autem, hæredes cognatorum ipsorum usque ad tertium duntaxat gradum. Quin etiam omni dignitate privatur, et iis, quæ a marito priori ad eam pervenerunt ex causa sponsalium, vel secundum voluntatem defunctis. Principis autem jussu potest mulier intra tempus luctus alterum sibi sponsum inducere. Quæ partum edidit intra tempus luctus (13), statim nuptum se collocare potest :

Περὶ διγάμων λαϊκῶν.

Ἀλλ' ὁ μὲν θεῖος Ἀπόστολος τὰς νεωτέρας χήρας γάμοις αὖθις προσομιλεῖν, εἰ βούλοιντο, συνεχώρησεν · τὸ εὐόλισθον τῆς φύσεως ὑπειδόμενος. Οἱ δὲ θεῖοι Πατέρες καὶ τῶν ἀνδρῶν τοὺς διγαμεῖν αἱρουμένους, ἔφοντο δεῖν οὐ μὴ κωλύειν, τοῦ σαρκικοῦ φρονήματος μὴ ἀγνοοῦντες τὴν ἐπανάστασιν. Οὐ μὴν ἀνεπιτιμήτως εἴασαν ἔχειν. Φησὶ γὰρ ὁ πρῶτος τῆς ἐν Λαοδικείᾳ συνόδου κανών · Οἱ νομίμως δευτέροις ὁμιλήσαντες γάμοις, ὀλίγου δι' ἐππεύσαντος[23] χρόνου, καὶ ταῖς εὐχαῖς καὶ ταῖς νηστείαις σχολάσαντες, τῆς κοινωνίας κατὰ συγγνώμην ἀπολαυέσθωσαν. Εἰ δὲ πρὶν τὰ τοῦ νομίμου γάμου τελέσασθαι λαθραίᾳ μίξει συνῆλθον, καὶ ὡς πεπορνευκότες ἐπιτιμάσθωσαν. Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ τετάρτῳ αὐτοῦ κανόνι, Οἱ μὲν, φησὶν, ἐπ' ἐνιαυτὸν ἕνα, οἱ δ' ἐπὶ δύο τῆς ἱερᾶς εἴργουσι κοινωνίας τὸν διγαμοῦντα. Ἐν δὲ τῷ μα', Ἡ χήρα, φησὶν, εἰ καὶ τῶν προσεχῶν γονέων ἀφῄρηται, καὶ εἰς δεύτερον ἐλθεῖν αὐθαιρέτως οὐ κεκώλυται συνοικέσιον. Φησὶ γὰρ ὁ Ἀπόστολος· Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶ, ᾧ θέλει, γαμηθῆναι. Ζῶντες δὲ οἱ γονεῖς, ὧν ὑπεξούσιος οὖσα τυγχάνει, καὶ μὴ συναινέσαντες, διασπᾶσαι δύνανται τὴν τοῦ γάμου συνάφειαν. Φησὶ γὰρ ὁ νόμος · Ἡ ἐλάττων τῶν κε' ἐνιαυτῶν αὐτεξουσία μέλλουσα δευτερογαμεῖν, γνώμῃ τοῦ πατρὸς γαμείσθω. Ἡ χήρα γυνὴ ἀναγκάζεται μεῖναι τὸν πένθιμον χρόνον διὰ τὴν σύγχυσιν τῆς γονῆς, ὅπερ ἐπὶ τοῦ ἀνδρὸς οὐκ ἔστι. Γαμηθεῖσα δὲ πρινὴ πληρωθῆναι τὸν μετὰ θάνατον τοῦ ἀνδρὸς ἐνιαυτὸν, ἀτιμοῦται, καὶ οὐ δύναται πλέον τοῦ τρίτου τῆς οὐσίας αὐτῆς διδόναι τῷ δευτέρῳ ἀνδρὶ, ἢ ἐν διαθήκῃ καταλιπεῖν, ὅτε παῖδας δηλαδὴ οὐκ ἔχει, καὶ αὐτὴ οὐδὲν ἕξει ἀπὸ κληρονομίας, ἢ ληγάτου, ἢ *μόρτις καύσα*, ἤγουν ἐπιτελευτίου δωρεᾶς · ἀλλὰ ταῦτα λαμβάνουσιν οἱ κληρονόμοι τοῦ καταλιπόντος. Καὶ εἴ τι κατέλιπεν αὐτῇ ὁ πρῶτος ἀνὴρ, λαμβάνουσι κατὰ βαθμὸν τὰ δέκα πρόσωπα, τουτέστιν, ἀνιόντες καὶ κατιόντες, καὶ ἐκ πλαγίου μέχρι δευτέρου βαθμοῦ. Ἐξ ἀδιαθέτου δὲ, κληρονόμοι τῶν συγγενῶν αὐτῶν μέχρι τρίτου μόνου βαθμοῦ. Ἀλλὰ καὶ πάσης ἀξίας στερεῖται, καὶ τῶν ὑπὸ τοῦ [24] πρώτου ἀνδρὸς εἰς αὐτὴν ἐλθόντων προφάσει μνήστρων, ἢ κατὰ βούλησιν τοῦ τελευτήσαντος. Κατὰ κέλευσιν δὲ βασιλέως δύναται γυνὴ ἐν τῷ πενθίμῳ χρόνῳ δεύτερον νυμφίον ἑαυτῇ ἐπεισάγειν. Ἡ δὲ τεκοῦσα ἐν τῷ πενθίμῳ χρόνῳ, παραχρῆμα δύναται γαμηθῆναι. Οὐδεὶς δύναται ὑπὸ τὴν πολιτείαν ὢν τῶν Ῥωμαίων δύο γαμετὰς ἐν ταυτῷ ἔχειν. Ὁ δύο γαμετὰς ἐν ταυτῷ ἔχων, τυ-

VARIÆ LECTIONES.

[23] διϊππεύσαντος. [24] ἀπὸ τοῦ.

NOTÆ.

(12) l. 18. C. *De nupt.*

(12*) l. 11. D. *De his qui not. infam.* Novella 22, cap. 22.

(13) l. 11. § *Pomponius.* D. *De his qui not. infam.*

πτέσθω, ἐκδιωκομένης τῆς ἐπεισάκτου γυναικὸς μετὰ τῶν τεχθέντων ἐξ αὐτῆς παίδων. Ὁ μέγας Βασίλειος ἐν τῷ δ' κανόνι, Ἐπὶ τῶν τριγάμων συνήθειαν, φησὶ, κατελάβομεν, πενταετίας ἀφορισμόν· τοῦ γάμου δηλαδὴ μὴ διασπωμένου. Καλοῦσι δὲ τὸν τοιοῦτον οὐκέτι γάμον, ἀλλὰ πολυγαμίαν. Μᾶλλον δὲ πορνείαν κεκολασμένην, τουτέστι μὴ διακεχυμένην, ἀλλὰ συνεσταλμένην, καὶ ἐν μιᾷ περιγραφομένην γυναικί. Διὸ καὶ ὁ Κύριος τῇ Σαμαρείτιδι πέντε ἄνδρας διαμειψάσῃ, Ὃν νῦν, φησὶν, ἔχεις, οὐκ ἔστι σου ἀνήρ. Ὡς οὐκ ἔστιν ἄξιον τῶν ὑπερεκπεσόντων τοῦ μετρίου τῆς διγαμίας, τῷ τοῦ ἀνδρὸς ἢ τῆς γυναικὸς καλεῖσθαι προσρήματι. Δεῖ δὲ, φησὶ, μὴ πάντη τούτους ἀπείργειν τῆς Ἐκκλησίας, ἀλλ' ἐν τοῖς τόποις μόνοις τῶν ἀκροωμένων, καὶ συνισταμένων μετρεῖσθαι τούτοις τὴν καταδίκην, οὐ μὴν καὶ τῶν προσκλαιόντων. Ἀλλὰ καὶ αὖθις ἐν τῷ ν', Τριγαμίας νόμος, φησὶν, οὐκ ἔστιν, ἐκκλησιαστικὸς δηλαδή. Τὰ μέντοι τοιαῦτα, οἷα ῥύπη τῆς Ἐκκλησίας ὁρῶμεν. Δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν, ὡς τῆς ἀνειμένης πορνείας αἱρετώτερα. Οὐ γὰρ καταδικάζομεν τὴν πρᾶξιν, ὥστε καὶ διασπᾶν· κατὰ δὲ τὸν αὐτίκα ῥηθησόμενον τῆς ἑνώσεως τόμον, καὶ τὴν διαστολὴν καὶ ψῆφον αὐτοῦ, τούτους δεχόμεθα. Ὁ δὲ τῆς θεολογίας ἐπώνυμος καὶ μέγας Γρηγόριος, Τὸ πρῶτον, φησὶ, συνοικέσιον νόμος, τὸ δεύτερον συγχώρησις, τὸ τρίτον παρανομία. Τὸ δ' ὑπὲρ τοῦτο, χοιρώδης βίος, οὐδὲ πολλὰ ἔχων τῆς κακίας τὰ παραδείγματα. Ὁ δὲ τῆς ἐν Νεοκαισαρείᾳ συνόδου τρίτος κανὼν, Περὶ τῶν πλείστοις, φησὶ, γάμοις περιπεσόντων, ὡς καὶ τῆς τριγαμίας προελθεῖν παρετέρω[25], ὁ μὲν ὡρισμένος χρόνος σαφὴς, ἢ καὶ ἀτεχνῶς ἀσαφὴς, μή τινος τῶν παλαιτέρων δηλώσαντος. Ἡ δὲ πίστις καὶ ἡ ἀναστροφὴ τῶν μετανοούντων συντέμνειν οἶδε τὸν χρόνον, φησίν.

A Nemo (14), qui sub Romanorum ditione sit, binas uxores eodem tempore potest habere. Qui duas uxores eodem habet tempore (15), verberator : et superinducta mulier ejicitor una cum natis ex ea liberis. Magnus ille Basilius in quarto canone : Consuetudinem, inquit, in contrahentibus tertias nuptias accepimus, in quinquiennio segregentur : ita tamen, ut ipsum matrimonium non dirimatur. Vocant autem has non amplius nuptias, sed nuptiarum pluralitatem, imo scortationem coercitam, hoc est, non late diffusam, sed contractam, et quæ in una muliere circumscribitur. Idcirco Dominus etiam ad mulierem illam Samaritanam, quæ viros quinque, unum post alium, habuerat : Quem nunc habes, B inquit, non tibi maritus est. Adeo non æquum est, ut qui ultra mediocritatem secundarum nuptiarum prolapsi sunt, nomine mariti vel uxoris appellentur. Oportet autem, inquit, non prorsus hos arcere ab Ecclesia, sed ita mitigari pœnam eorum, ut in locis audientium duntaxat, et una stantium, consistant; non etiam eorum, qui plorant. Rursus inquit in canone quinquagesimo. De tertiis nuptiis nulla lex est, videlicet ecclesiastica. Nimirum ejusmodi tanquam Ecclesiæ sordes intuemur. Publicis autem pœnis non subjicimus, veluti quæ libera scortatione magis sint optabilia. Non enim rem ita damnamus, ut matrimonium ipsum dirimamus : sed juxta tomum unionis, quem mox sumus exposituri, et distinC ctionem atque sententiam ejus, hasce nuptias admittimus. Magnus autem ille Gregorius, cognomine Theologus : Primum conjugium lex, inquit, alterum permissio, tertium legis violatio. Quod ultra hoc, porcina vita est, nec multa vitii habet exempla. Canon autem tertius concilii Neocæsariensis : De iis, ait, qui plures ita contraxere nuptias, ut etiam ultra tertias progressi sint, definitum tempus plane constat, vel potius incertum est, cum a nemine antiquorum sit indicatum. Fides autem, et conversatio pœnitentiam agentium, tempus ipsum imminere solet, inquit.

Περὶ τοῦ τόμου[26] τῆς ἑνώσεως.

Ἤδη μὲν οὖν τοῖς παλαιοῖς νόμοις τρεῖς ἐπεγινώσκοντο γάμοι. Ὁ δὲ βασιλεὺς Λέων ὁ Σοφὸς καὶ εἰς τέταρτον ἐλθὼν συνοικέσιον, ἀφορισμῷ παρὰ τοῦ πατριάρχου Νικολάου καθυπεβλήθη. Οὗ καὶ ἐδεῖτο D ὁ βασιλεὺς λυθῆναι τοῦ δεσμοῦ. Ὡς δ' ἐκεῖνος τὸ παράπαν ἀδυσώπητος ἦν, τῆς Ἐκκλησίας τοῦτον ἐκβάλλει, καὶ τὸν Εὐθύμιον σύγγελλον[27] ἄνδρα ἱερὸν προχειρίζεται πατριάρχην, ὃς καὶ τὸν βασιλέα θεσπίσαι βουλόμενον, καὶ μέχρι τοῦ τετάρτου γάμου παρατείνεσθαι τοῖς βουλομένοις τὰ συνοικέσια, πάσῃ σπουδῇ διεκώλυσεν, οὐχ ὅπως τὴν τετραγαμίαν, ἀλλὰ καὶ τὴν τριγαμίαν ἀθέμιτον εἶναι μετὰ τῶν

De tomo unionis.

Enimvero priscis legibus trinæ agnoscebantur nuptiæ. Sed imperator Leo, cognomine Sapiens, cum ad quartum quoque matrimonium progressus esset, segregationi subjectus fuit a Nicolao patriarcha : quem deinde rogabat princeps, ut eo vinculo, se liberaret. Cum ille prorsus esset inexorabilis, hominem ejicit extra Ecclesiam, et Euthymium syncellum, virum sanctum, patriarcham facit : qui cum imperator sancire vellet, ut etiam ad quartas usque nuptias extenderentur ab iis matrimonia, quibus ita luberet, eum omni studio inhibuit, affirmans cum pluribus pontificibus, etiam

VARIÆ LECTIONES.

[25] περαιτέρω. [26] τόμου. [27] σύγκελλον.

NOTÆ.

(14) l. 2. C. *De incest.* et *in rit. nupt.*
(15) Correctio l. *Eum qui duas.* C. ad l. Jul. *De adult.*

tertias nuptias, nedum quartas, illicitas esse. Quamobrem discidium exstitit in Ecclesia, eaque seditio duravit usque ad imperium filii ejus Constantini nati in Porphyra, et Romani, hujus soceri. Quo tempore publicatus est tomus, qui unionis dicitur, et qui tradit, quando, et quibus tertiæ nuptiæ permittendæ sint, liberioribus amnatium libidinibus egregium frenum imponens. Is tomus mense Julio quotannis in ambone legitur, et ad finem hæc verba continet: Eos, qui annum quadragesimum attigerunt, et tertias ad nuptias sese projiciunt, veluti qui Ecclesiæ sint inquinamenta, quinquennio communionis exsortes esse debere sancimus; eoque tempore exspirante, semel in anno ad communionem accedere, venerabili salutaris Paschatis die, jejunio diem illum præcedente, quantum ejus fieri potest semet expurgantes. Sacerdos autem, qui præter id, quod a nobis est statutum, ad sacram aliquam præceptionem eos audet admittere, de gradu suo periclitabitur. Hæc autem dicimus, cum nulli sunt eis liberi prioribus ex nuptiis. Sin autem, tertium matrimonium eis non permittetur. Quod si quis annos triginta natus, et hæredes ex prioribus conjugiis habens, nihilominus ob carnalis libidinis intemperantiam tertiæ copulatus uxori fuerit: triennio communionis exsors esto. Atque ita deinceps ter in anno percipiat, die videlicet paschali resurrectionis, et in obdormitione immaculatæ Deiparæ, et in festo natalitiorum Domini: cum jejunia dies hosce præcedentia majorem partem exstinctæ in ipso labis abstergere credantur. Sin liberis caret, veniam impetrat, quod liberorum procreandorum desiderio tertias optaverit nuptias; consuetaque pœna remedium ei adhibebitur, ut tribus annis a communione arceatur. Cæterum eruditus ille in omnibus Basilius, octogesimo canone suo: Nuptiarum pluralitatem, inquit, silentii caligine Patres obvelarunt, veluti bestialem, et alienam ab humana consuetudine. Nobis autem ad animum accidit, hoc est, videtur et placet judicio nostro, magis hanc castigandam, quam ipsam scortationem. Et nuptiarum pluralitas est, non cum multis promiscue rem habere, sed eumdem plures uxores ducere, licet non una et eadem vice. Nam nuptiæ non tantum sunt concubitus cum muliere (16), sicut vulgus hominum loqui solet, sed conjunctio maris et feminæ, et omnis vitæ consortium, divini et humani juris communicatio, quemadmodum leges tradunt. Non enim ex conjunctione duntaxat agnoscuntur, verum etiam ex illorum affectione, qui contraxerunt. Dicit autem nuptiarum pluralitatem a Patribus silentio præteritam, quia tertias quidem nuptias lex agnoscit: at earumdem

A πλειόνων ἀρχιερέων διατεινόμενος. Διά δὴ τοῦτο καὶ σχίσμα περὶ τὴν Ἐκκλησίαν ἐγεγόνει, καὶ τὰ τῆς συστάσεως [18] μέχρι τῆς βασιλείας τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ Ῥωμανοῦ τοῦ πενθεροῦ τούτου διήρκεσε. Καὶ τηνικαῦτα ἐξηνέχθη τόμος, ὁ λεγόμενος τῆς ἑνώσεως, διαλαμβάνων πότε καὶ τίσι τὸν τρίτον δεῖ γάμον παραχωρεῖν, ταῖς ἀνειμέναις τῶν ἐρώντων ἐπιθυμίαις ἐκ πολλοῦ τοῦ περιόντος ἐπιτιθεὶς χαλινόν, ὃς καὶ κατὰ τὸν Ἰούλιον μῆνα ἐτησίως ἐπ' ἄμβωνος ἀναγινώσκεται. Πρὸς γοῦν τῷ τέλει, ταῦτά φησι· Τοὺς εἰς ἔτος ἀναβεβηκότας τεσσαρακοστὸν, καὶ πρὸς τρίτον ἑαυτοὺς ἐπιρίπτοντας γάμον, οἷα ῥύπη τῆς Ἐκκλησίας τυγχάνοντας, μέχρι πενταετίας ἀκοινωνήτους εἶναι θεσπίζομεν, καὶ τοῦ τοσούτου χρόνου ἐξήκοντος, ἅπαξ B τοῦ ἔτους τῇ κοινωνίᾳ προσιέναι, κατὰ τὴν σεβάσμιον τοῦ σωτηρίου Πάσχα ἡμέραν, ἐν τῇ πρὸ ταύτης νηστείᾳ καθ' ὅσον οἷόν τε ἀποκαθαίροντας ἑαυτούς. Ὁ δὲ τολμῶν ἱερεὺς παρὰ τὸν διατεταγμένον ὅρον μεταλήψεως θείας τινὸς τούτους ἀξιῶσαι, περὶ τὸν ἴδιον κινδυνεύσει βαθμόν. Ταῦτα δέ φαμεν, ὅταν μὴ τέκνα τούτοις ἐκ τῶν προτέρων γάμων παρῇ· εἰ δ' οὖν, ἀσυγχώρητος αὐτοῖς ἔσται ἡ τριγαμία. Εἰ δέ τις τριακοντούτης ὢν, καὶ τοῦ γένους ἔχων ἐκ τῶν φθασάντων γάμων διαδοχὴν, ὅμως γε μὴν διὰ τὸ τῆς σαρκικῆς ἐπιθυμίας ἀκόλαστον τρίτῃ συναχθείη γυναικὶ, ἐπὶ τετραετίαν ἀκοινώνητος ἔστω. Εἶθ' οὕτω τρὶς τοῦ ἐνιαυτοῦ μεταλαμβανέτω, ἐν τῇ ἀναστασίμῳ ἡμέρᾳ τοῦ Πάσχα, ἐν τῇ κοιμήσει τῆς ἀχράντου Θεοτόκου, καὶ ἐν τῇ γενεθλίων τοῦ Κυρίου ἑορτῇ· C ὧν πρὸ τούτων νηστειῶν τὸ πλεῖστον τῆς ἐκτακείσης αὐτῷ κηλίδος ἀποσμήχειν πιστευομένων. Εἰ δὲ ἅπαις ὢν τυγχάνει, συγγνώμην ἀξιοῦται, δι' ἣν φέσιν παιδοποιίας τὸν τρίτον γάμον αἱρούμενος, καὶ τῷ συνήθει ἐπιτιμίῳ θεραπευθήσεται, ἐπὶ τρισὶ χρόνοις τῆς κοινωνίας εἰργόμενος. Ὁ δὲ πάντα σοφὸς Βασίλειος ἐν τῷ π' κανόνι· Τὴν πολυγαμίαν οἱ Πατέρες, φησὶ, τῷ τῆς ἀφασίας συνεκάλυψαν σκότει, οἷα κτηνώδη καὶ τῆς ἀνθρωπίνης ἀπεοικυῖαν διαγωγῆς. Ἡμῖν δὲ παρίσταται, ἤτοι δοκεῖ καὶ κρίνεται, πλέον ἢ τὴν πορνείαν ταύτην κολάζεσθαι. Πολυγαμία δέ ἐστιν, οὐ τὸ πολλαῖς ἀδιαφόρως μίγνυσθαι, ἀλλὰ πολλὰς ἀγαγέσθαι τὸν αὐτὸν, εἰ καὶ μὴ ἅθρόον. Γάμος γὰρ, οὐ τὸ γυναικὶ συμφθαρῆναι μόνον ἐπὶ καταχυδαιοτέραν διάλεκτον, ἀλλὰ ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις τοῦ βίου παντὸς, D θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία, ὡς οἱ νόμοι διαγορεύουσιν. Οὐ γὰρ ἀπὸ μόνης τῆς συναφείας γινώσκεται, ἀλλὰ καὶ ἀπὸ τῆς διαθέσεως τῶν συναλλαξάντων. Ἀποσεσιωπῆσθαι δέ φησι τοῖς Πατράσιν, ὅτι ἡ μὲν τριγαμία τῷ νόμῳ ἐπιγινώσκεται· ἡ δὲ πολυγαμία καὶ τοῖς νόμοις, καὶ τοῖς κανόσιν ἀπείρηται. Πᾶν γὰρ συνάλλαγμα, τοὺς ὅρους ὑπερβαῖνον τῆς τριγαμίας, πολυγαμία σαφῶς ὀνομάζεται.

VARIÆ LECTIONES.

[18] στάσεως.

NOTÆ.

(16) l. 1. D. *De rit. nupt.*

Καὶ τῆς πορνείας δὲ εἴρηκε χείρονα, μάλα εἰκότως. A Ὁ μὲν γὰρ πορνεύων, εἰς ἑαυτὸν μόνον τὴν ἀδικίαν περίστησιν, ἑκοντὶ τῷ βαράθρῳ τῆς ἀκολασίας ἑαυτὸν ἐπιῤῥίπτων. Ὁ δὲ τέταρτον ἢ πέμπτον γάμον ὄῆθεν ἑαυτῷ συναλλάξας, κατορχεῖται μὲν τῶν κωλυόντων τοῦτον θείων κανόνων, ἀδικεῖ δὲ τοὺς γνησίους αὐτοῦ παῖδας, παρασπείρων τούτοις καὶ νόθους. Διὸ καὶ μετὰ τὴν τῆς παρανομίας ἀπαλλαγὴν, καὶ τὴν γνησίαν ἐξομολόγησιν, καὶ πλέον τῶν πορνευσάντων εὐθύνεσθαι ἀξιοῖ. Τοὺς μὲν γὰρ εἰς ἑπταετίαν, τούτους δὲ εἰς ὀκτὼ παρατείνει χρόνους, εἰ ἀκριβῶς τὸν νοῦν ἐπιστήσαις τοῖς τοῦ ἁγίου θεσπίσμασιν. Εἰ γὰρ τῶν δύο τόπων τῆς μετανοίας μόνον μνησθεὶς, τέσσαρας ἐν αὐτοῖς διελθεῖν ὥρισε χρόνους, ἤπου καὶ ἐν τοῖς δυσὶν ἑτέροις, οὓς παρῆκε διὰ συντομίαν, ὡς δήλους, ἑτέρους δεῖ τέσσαρας διαγαγεῖν πρὸ τῆς τῶν ἁγιασμάτων μεθέξεως. Ὁ δὲ νόμος φησίν· Ἔστω οὖν τοῦτο πᾶσι κατάδηλον, ὡς εἴ τις τολμήσειε πρὸς τέταρτον γάμον, τὸν οὐ γάμον ἐλθεῖν, οὐ μόνον ἀντ' οὐδενὸς ὁ τοιοῦτος νομιζόμενος λογισθήσεται γάμος, ἀλλ' οὐδὲ οἱ ἐξ αὐτοῦ τεχθέντες γνήσιοι λογισθήσονται παῖδες, καὶ ταῖς ποιναῖς δὲ τῶν μεμολυσμένων τῇ πορνείᾳ ὑποβληθήσονται οἱ τοιοῦτοι, ἀπ' ἀλλήλων πρότερον διαιρεθέντες.

pluralitas tum legibus, tum canonibus est prohibita. Omnis enim contractus matrimonialis qui tertiarum nuptiarum fines transit, nuptiarum pluralitas haud dubio dicitur. Eamdem scortatione pejorem non abs re pronuntiavit. Nam qui scortatur, in se solum facinus hoc admittit, dum sponte sua semet in voraginem intemperantiæ præcipitat : qui vero quartas aut quintas contraxerit nuptias is et sacros canones, qui eas prohibent, proculcat, et germanos suos liberos afficit injuria, dum præter eos etiam spurios procreat. Propterea post ipsius facinoris omissionem, et veram confessionem, vult etiam gravius ipsos puniri, quam qui scortati fuerint. Illis enim septennium, illis annos octo constituit ; si accurate mentem in ea, quæ vir sanctus B statuit, defixeris. Nam si duorum duntaxat locorum pœnitentiæ mentione facta, quatuor in eis annos præterire debere definiit : omnino in duobus etiam aliis, quos compendii causa veluti manifestos omisit, alii quatuor anni erunt exigendi ante sacramentorum perceptionem. Legis autem hæc verba sunt : Universis manifestum esto, quod si quis ausus fuerit ad quartas convolare nuptias, quæ nuptiæ non sunt, non modo futurum, ut eæ nuptiæ pro nullis habeantur : sed ne liberi quidem ex eis procreati, pro legitimis ducantur ; adeoque pœnis etiam pollutorum scortatione tales subjicientur, ubi primum a se invicem dirempti fuerint.

Περὶ τῆς εἰς δεύτερον γάμον ἐλθεῖν βουλομένης γυναικὸς, ἐν ἀποδημίᾳ, ἢ στρατείᾳ τοῦ ἀνδρὸς αὐτῆς ἀφανισθέντος. C

De muliere secundas ad nuptias transire volente, cujus maritus in peregrinatione, vel expeditione interierit.

Ὁ λα' τοῦ μεγάλου Βασιλείου κανών. Ἡ ἀναχωρήσαντος, φησὶ, τοῦ ἀνδρὸς, καὶ ἀφανοῦς ὄντος, μὴ ἀναμείνασα τὴν ἐπάνοδον, μήτ' αὖ πρὸς τῶν ἀκριβῶς τὰ κατ' [29] αὐτὸν ἐγνωκότων μαθοῦσα εἰ ἀληθῶς ἐτεθνήκει, καὶ γαμουμένη ἑτέρῳ, τῷ τῆς μοιχείας ἐνέχεται κρίματι. Ὁ δὲ λς' αἱ τῶν ἐπὶ μακρὸν ἀποδημούντων στρατιωτῶν σύνευνοι, τῷ αὐτῷ, φησὶ, τῆς μοιχείας ἐγκλήματι περιπίπτουσιν. Ἔχουσι δέ τινα συγγνώμην, τῷ ἐν χρόνῳ θανάτου ἀεὶ τοὺς στρατιώτας ὑποπτεύεσθαι, ἅτε περὶ πολέμους, καὶ κινδύνους, καὶ σφαγὰς ἀναστρεφομένους. Τοῖς δυσὶ τούτοις τοῦ μεγάλου κανόσι καὶ ἡ ς' σύνοδος ἀρεσθεῖσα ἐνενηκοστὸν τρίτον κανόνα ἑαυτῆς ἐποιήσατο, αὐτοῖς τοῖς αὐτοῦ ῥήμασι χρησαμένη, καὶ προστίθησιν, ὡς Ἐπανήκων ὁ στρατιώτης ἐκ τῆς χρονίας ἀποδημίας, εἰ βουληθείη, λήψεται τὴν ἰδίαν γυναῖκα· συγγνώμη δὲ καὶ ταύτῃ καὶ τῷ νομίμως συναφθέντι δίδοται ἀνδρί. Οὐ γὰρ ἐπιτιμῶνται, διὰ τὴν ἄγνοιαν. Ἡ δὲ τοῦ μὴ ὄντος στρατιώτου, ἀσύγγνωστος μὴ ἀναμείνασα τὴν ἐπάνοδον. Εἰ δὲ οὐχ αἱρεῖται ἡ γυνὴ τὴν μετὰ τοῦ ἐπανελθόντος στρατιώτου συμβίωσιν, οὐδὲ τοῦ δευτέρου ἀνδρὸς καὶ βουλομένη συνοικεῖν ἐαθήσεται. Εἰ γὰρ βουληθείη ὅλως μετὰ τὴν ἐκείνου ἐπάνοδον, εἰ καὶ μὴ προσίεται ταύτην, ἔτι συνοικεῖν τῷ δευτέρῳ, ὡς μοιχαλὶς τιμωρηθήσεται, καὶ ὁ γάμος αὐτίκα διασπασθήσεται. Ἐκείνας γὰρ συγγνώ-

Canon XXXI Basilii magni : Mulier, ait, quæ marito peregre profecto, nec adhuc comparente, reditum ejus non exspectaverit ; nec ab iis, qui ejus negotia norunt accurate, vere ne mortuus sit, intellexerit ; atque ita nupserit alteri, adulterii judicio tenetur. Item canon XXXVI. Uxores militum procul aliquo proficiscentium, in idem adulterii crimen incidunt : sed veniam tamen aliquam propterea merentur, quod semper existimentur in articulo mortis esse milites, veluti qui in prœliis, et periculis, et cædibus versentur. Duobus hisce Basilii canonibus assentiens etiam sexta synodus, XCIII canonem suum fecit, ipsis ejus verbis usa, et deinde adjiciens : Miles, qui D ex diuturna profectione revertitur, si voluerit, uxorem suam recipiet. Venia vero tam ipsi mulieri, quam viro legitime cum ea copulato datur. Non enim puniuntur, propter ignorantiam. Ejus autem uxor, qui non est miles, si reditum non exspectaverit, veniam non impetrat. Quod si mulier reversi militis contubernium repudiet, nec alteri marito, licet id expetat, cohabitare permittetur. Nam si voluerit omnino post reditum militis, licet eam non admittat, adhuc tamen cohabitare secundo marito, tanquam adultera punietur, et matrimonium statim dirimetur. Nam

VARIÆ LECTIONES.

[29] κατ' αὐτόν.

illas impetrare veniam tradunt Patres, quæ prompte secundo a matrimonio discedunt, et peccatum ex ignorantia profectum non approbant: non quæ repugnant, et adulterii proposito inhærent. Si miles in expeditione degat (17), hoc est, in utili publice apparatu, quotcunque tandem anni fuerint, uxor ejus hominem exspectet, tametsi nullas ab eo litteras acceperit. Quod si etiam defunctum audiat, ne ita quidem statim nubat. Sin præter statutum hoc nupserit, tam ipsa, quam qui eam duxit, tanquam adulteri puniuntur. Quod si probatum fuerit, eos qui de morte deposuerint, mentitos, exauctorantur. Et qui reversus est miles, licentiam habet uxorem, si velit, suam recipiendi. De captivis autem novella Leonis, cognomine Sapientis (18), sancit; matrimonium ex causa captivitatis non solvi: nec ei parti, quæ libera manserit, licere; ut alterum ad matrimonium respiciat. Quod si etiam alii se conjunxerint, licentiam habere partem eam, quæ reversa sit ex captivitate, membrum suum revocandi, et secundum matrimonium dirimendi.

A μης ἀξιοῦσθαί φασιν οἱ Πατέρες, τὰς ἑτοίμως ἀφισταμένας τοῦ δευτέρου συνοικεσίου, καὶ τῷ ἐξ ἀγνοίας μὴ συντιθεμένας ἁμαρτήματι, οὐ μὴν τὰς ἀνθισταμένας, καὶ τὴν μοιχείαν προαιρουμένας. Ἐὰν στρατιώτης ἐν ἐξπεδίτῳ διάγῃ, ἤγουν ἐν δημωφελεῖ κατασκευάσματι, ὅσους δήποτε ἐνιαυτοὺς, περιμενέτω τοῦτον ἡ αὐτοῦ γαμετὴ, κἂν εἰ μὴ γράμματα ἐδέξατο παρ' αὐτοῦ. Εἰ δὲ καὶ τελευτήσαντα πύθοιτο, μηδ' οὕτως εὐθέως γαμείσθω. Εἰ δὲ παρὰ τὸν προσδιορισμὸν γαμηθείη τοῦτον, καὶ αὐτὴ, καὶ ὁ λαβὼν αὐτὴν, ὡς μοιχοὶ τιμωροῦνται. Εἰ δὲ οἱ καταθέμενοι ἀποδειχθείεν ψευσάμενοι, ἀποστρατεύονται. Καὶ ἔχει ἄδειαν ὁ ἐπανελθὼν στρατιώτης, τὴν ἰδίαν λαβεῖν, εἰ βούλοιτο, γαμετήν. Περὶ δὲ αἰχμαλώτων ἡ νεαρὰ Λέοντος τοῦ Σοφοῦ, μὴ λύεσθαι διορίζεται προφάσει B τῆς αἰχμαλωσίας γάμον, μηδὲ τῷ ἐλευθέρῳ συντηρηθέντι μέρει ἐξεῖναι πρὸς ἕτερον ἀπιδεῖν συνοικέσιον. Εἰ δὲ καὶ συναφθείη ἑτέρῳ, ἄδειαν ἔχει τὸ ὑποστρέψαν μέρος ἐκ τῆς αἰχμαλωσίας, τὸ οἰκεῖον ἀνακαλεῖσθαι μέλος, καὶ τὸν δεύτερον γάμον διασπᾷν.

Quod presbyter, qui nuptiis benedixit alterum contrahentis matrimonium, cum eo convivari non debeat.

Canon concilii Neocæsariensis septimus non putat debere presbyterum nuptiali secundum contrahentis matrimonium convivio interesse. Quem enim objurgaturus est, et ad anni spatium sacra exclusurus perceptione, cum eo quinam fieri potest, ejusdem ut tunc mensæ sit consors, et opinionem de se præbeat, quasi participes sit ejus, quod agitur? Post nuptias tamen vesci cum eo non prohibebitur.

Ὅτι οὐ δεῖ τῷ διγαμοῦντι συνεστιᾶσθαι τὸν ἱερολογήσαντα πρεσβύτερον.

Ὁ ἕβδομος τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανὼν, πρεσβύτερον ἐν τῷ γάμῳ τοῦ δευτερογαμοῦντος ἐσθιᾶσθαι [30] οὐκ οἴεται δεῖν. Ὃν γὰρ ἐπιτιμᾶν μέλλει, καὶ ἐπ' ἐνιαυτὸν τῆς θείας εἴργειν μεταλήψεως, πῶς οἷόν τε κοινωνεῖν τούτῳ τραπέζης τηνικαῦτα, καὶ κατὰ τοῦτο δοκεῖν τῷ γινομένῳ συμπράττειν; C Μετὰ μέντοι τὸν γάμον, αὐτῷ συνεσθίειν οὐ κωλυθήσεται.

Christianos, qui ad nuptias eunt, non debere ludicris intentos esse.

Canon Laodicenæ synodi LIII præcipit, ut Christiani, qui eunt ad nuptias gravitatem sibi convenientem servent, et saltantibus, aut ludicras res agentibus, animum non advertant. Quod præceptum canonis hujus modo neglectum jacet.

Ὅτι τοὺς εἰς γάμον ἀπιόντας Χριστιανοὺς οὐ δεῖ παιγνίοις προσέχειν.

Ὁ πεντηκοστὸς τρίτος τῆς ἐν Λαοδικείᾳ κελεύει κανὼν, τοὺς εἰς γάμον ἀπιόντας Χριστιανοὺς τῆς προσηκούσης αὐτοῖς ἀντιποιεῖσθαι σεμνότητος, καὶ μὴ τοῖς ὀρχουμένοις ἢ παίζουσι προσέχειν τὸν νοῦν. Ἡμέληται δὲ τανῦν τὰ κανόνος τούτου.

De virginibus præter parentum suorum voluntatem nubentibus.

Canon Basilii magni XXXVIII, puellas filias familiarum, quæ præter voluntatem patrum suorum amasiis semet in matrimonii consortium tradiderint, tanquam meretrices punit. Si tamen, inquit, reconciliati cum eis parentes fuerint, et filiarum cum amasio et stupratore suo commercium probaverint, quod ab initio contra leges fiebat, deinceps parentum consensu corrigi et sanari videtur. Nihilominus etiam hoc modo propter admissum prius facinus, saltem post triennium, precibus intervenientibus, communionem impetrabunt. Enimvero tunc temporis nuptiæ solo consensu coibant. At

Περὶ τῶν γαμουμένων παρθένων γυναικῶν παρὰ γνώμην τῶν οἰκείων γονέων.

Ὁ τριακοστὸς ὄγδοος τοῦ μεγάλου Βασιλείου κανὼν τὰς ὑπεξουσίας κόρας, αἳ παρὰ γνώμην τῶν ἰδίων πατέρων τοῖς ἐρασταῖς εἰς γάμου κοινωνίαν ἐκδεδώκασιν ἑαυτὰς, ὡς πόρνας καταδικάζει. Εἰ μέντοι, φησὶ, διαλλαγεῖεν αὐταῖς οἱ γονεῖς, καὶ μετὰ [31] τὴν τοῦ ἐραστοῦ καὶ φθορέως αὐτῶν συνοίκησιν καταδέξαιντο, τὸ ἐξ ἀρχῆς παράνομον τῇ τῶν γονέων ὑστέρου συναινέσει δοκεῖ θεραπεύεσθαι. Πλὴν καὶ οὕτω γε διὰ τὴν προτέραν παρανομίαν μετὰ τρία ἔτη τῆς κοινωνίας αἰτοῦντες ἀξιωθήσονται. Ἀλλὰ τότε μὲν συναινέσει μόνῃ ὁ γάμος ἵστατο. Ἐφ' ἡμῶν δὲ οὐκ ἂν συσταίη χωρὶς ἱερολογίας.

VARIÆ LECTIONES.

[30] ἱστιᾶσθαι. [31] καὶ τὴν μετὰ τοῦ.

NOTÆ.

(17) Novella 117, cap. 11.

(18) Novella 33.

Ἀλλὰ καὶ ὁ μ', ἔτι δὲ καὶ ὁ μβ', τὴν ἄνευ γνώμης τοῦ οἰκείου δεσπότου δούλην γαμουμένην, οὐδὲν ἄμοιρον ἔχειν πόρνης ψηφίζονται. Αἱ γὰρ συνθῆκαι τῶν ὑπεξουσίων, οὐδὲν ἔχουσι βέβαιον. Ταύτητοι καὶ οἱ παρὰ γνώμην τῶν κρατούντων γάμοι, πορνεῖαι λογίζονται. Εἰ δέ γε μετέπειτα τὰ τοῦ τοιούτου παρρησιασθείη γάμου, τοῦ κυρίου αὐτῆς ἢ τῷ γάμῳ μόνον συγκατανεύσαντος, ἢ καὶ τὴν ἐλευθερίαν χαρισαμένου, ὁ γάμος μὲν ἀνεύθυνος, ἡ δὲ προτέρα ἁμαρτία, οἷα πορνεία, δικαίως ἐπιτιμηθήσεται. Δούλη δὲ γαμικῶς ὁτῳδήποτε συναφθεῖσα ἐλευθέρῳ, τοῦ δεσπότου εἰδότος, καὶ μὴ ἀντιλέγοντος, οὐχ ὡς πόρνη λογισθήσεται. Ἡ γὰρ ἐκείνου σιγὴ τὴν ἐλευθερίαν ἐξ ἀνάγκης καὶ τὸ ἀναμάρτητον ταύτῃ χαρίζεται. Ἡ ὑπεξουσία ἢ ὑπεξούσιος οὐ δύναται νομίμως γαμεῖν, μὴ συναινοῦντος τοῦ ἔχοντος αὐτοὺς ὑπεξουσίους· εἰ μή που ὁ πατὴρ γεγονυῖαν αὐτοῦ τὴν θυγατέρα χρόνων εἰκοσιπέντε, ἀνδρὶ ζεῦξαι ὑπερέθετο. Τότε γὰρ ἐλευθέρῳ συζευχθῆναι μόνῃ [32] οὐ κεκώλυται.

A nostro tempore non contrahuntur absque sacris precibus. Præterea canon XL, et XLII, ancillam, quæ citra domini sui voluntatem nubit, nihil habere statuunt, quod in meretricem non quadret. Nam illorum pacta qui sunt in aliorum potestate, nihil ratum habent. Quo fit, ut nuptiæ, quæ citra dominorum voluntatem contrahuntur, pro scortationibus habeantur. Quod si qua fuerit ausa tales contrahere nuptias, cujus dominus postea vel ipsas duntaxat nuptias approbet, vel etiam libertatem largiatur, ipsæ quidem nuptiæ culpa carent, at prius tamen peccatum, puta scortatio, merito punietur. Quæ vero ancilla per matrimonium cuicunque copulata fuerit ingenuo, domino sciente, nec contradicente, non pro meretrice habebitur. B Quippe silentium ejus tum libertatem necessario tribuit, tum eam a peccato liberat. Filiafamilias, vel filiusfamilias, legitime nuptias contrahere non possunt, eo non consentiente, cujus in potestate sunt : nisi pater filiam suam, quæ XXV annos impleverit, viro copulare distulerit. Tunc enim ut ingenue duntaxat copuletur, non est prohibitum.

Περὶ γάμων παρανόμων καὶ ἀθεμίτων τῶν συγγενῶν.

Τῶν μὴ ἐννόμως γινομένων γάμων, οἱ μὲν λέγονται ἀθέμιτοι, ὡς οἱ μετὰ συγγενῶν, ἢ αἱρετικῶν. Οἱ δὲ παράνομοι, ὡς οἱ μετὰ ἐπιτροπευομένης. Οἱ δὲ κατάκριτοι, ὡς οἱ μετὰ τῆς ἀνατεθειμένης τῷ Θεῷ· οὓς οἱ μὲν θεῖοι κανόνες διασπᾶσθαι μόνον θεσπίζουσιν, οἱ δὲ νόμοι καὶ δημεύεσθαι τοὺς συναλλάξαντας καὶ ἐξορίζεσθαι. Εὐτελεῖς δὲ ὄντας καὶ μαστίζεσθαι. Λατινικῶς δὲ ὁ μὲν παράνομος γάμος λέγεται νεφθάριον [33], ὁ δὲ κατάκριτος, δαμνᾶτος· ἔγκεστος δὲ, ὁ ἀθέμιτος.

De nuptiis nefariis, et illicitis cognatorum.

Nuptiæ, quæ legitime non contrahuntur, partim dicuntur illicitæ, quales sunt, quæ cum cognatis intercedunt, aut cum hæreticis : partim nefariæ, veluti tutoris cum ea, cujus tutelam gerit : partim damnatæ, uti quæ contrahuntur cum muliere Deo consecrata : quas sacri canones duntaxat C dirimendas statuunt : cum leges velint eorum bona, qui eas contraxerint, publicari ; atque ipsos relegari : quod si personæ sint humiles, etiam flagellis cædi. Hæ nuptiæ (19) lingua Latina dicuntur nefariæ, damnatæ, incestæ.

Περὶ κληρικῶν ἀθεμιτογαμούντων.

Ὁ τοίνυν ιθ' τῶν ἁγίων ἀποστόλων κανών, Ὁ δύο, φησὶν, ἀδελφὰς ἀγόμενος, ἢ ἀδελφιδὴν, κληρικὸς εἶναι οὐ δύναται. Πᾶς γὰρ ὁ ἀθέμιτος γάμος εἴτε ἐξ αἵματος, εἴτε ἐξ ἀγχιστείας, διασπᾶται· καὶ ὁ τούτῳ ἁλοὺς, οὐχ ὅπως τοῦ κλήρου ἐξωθεῖται, ἀλλὰ καὶ ἐπιτιμίοις ὑποβάλλεται. Ὁ γὰρ κζ' τοῦ μεγάλου Βασιλείου, ἱερέα τὸν ἀθέσμῳ γάμῳ ἐν ἀγνοίᾳ περιπαρέντα, τὴν καθ' αἷμα, τυχὸν προσήκουσαν εἰσοικισάμενον, ἢ μονάστριαν τὸ ἱερὸν ἁρπσαμένην σχῆμα, ἢ τὴν τῷ πατρὶ αὐτοῦ ἐπιτροπευομένην [34], τοῦτον τῆς μετὰ τῶν πρεσβυτέρων καθέδρας μόνης μετασχεῖν ἀξιοῖ, τῶν δὲ λοιπῶν ἐνεργειῶν τῆς ἱερωσύνης ἀπέχεσθαι, μετανοοῦντα διαπαντὸς Θεῷ καὶ ἀνθρώποις μετὰ δακρύων· τῷ μὲν, ὡς μόνῳ δυναμένῳ τὰς ἁμαρτίας ἀφιέναι· τοῖς δὲ, ἵνα τὴν συγχώρησιν αὐτῷ παρὰ Κυρίου αἰτήσωνται. Εὐλογεῖν δὲ τὸν τὰ οἰκεῖα θεραπεύειν ὀφείλοντα τραύματα, οὔτε ἰδίᾳ, οὔτε δημοσίᾳ προσήκειν φησίν. Ὃ δὲ τού-

De clericis incestas contrahentibus nuptias.

Igitur canon sanctarum apostolorum XIX : Qui duas, inquit, sorores ducit aut eam, quæ uxori suæ sororis est filia, clericus esse nequit. Nam omnes incestæ nuptiæ, sive per consanguinitatem, sive per affinitatem dirimuntur : et qui eis se polluit, non clero duntaxat expellitur, sed pœnis etiam subjicitur. Quippe XXVII Basilii magni canon sacerdotem, qui per ignorantiam in nuptias incestas D inciderit, uti qui forte sanguine sibi conjunctam in domum deduxerit ; vel solitariam, quæ habitum sacrum repudiarit ; vel eam, cujus tutelam pater ipsius gesserit ; hunc ergo solius inter sacerdotes sessionis participem esse vult, et a reliquis sacerdotii muneribus abstinere, perpetuo pœnitentiam Deo et hominibus cum lacrymis agentem : Deo quidem, uti qui peccata solus remittere possit : hominibus autem, ut ipsi condonationem et veniam a Domino petant. Verum ut benedictionem imper-

VARIÆ LECTIONES.

[32] μόνον. [33] νεφάριος. [34] ἐπιτροπευθεῖσαν.

NOTÆ.

(19) Novella XII, cap. 1.

natur is, qui propria sanare vulnera debet, neque privatim, neque publice convenire dicit. At qui propter admissum facinus ipsemet horum particeps esse nequit, licet per ignorantiam factum sit, quonam modo communicare cum alio possit? Quod sane si verum est, multo minus corpus Domini distribuet. Satis enim magna hæc ipsi venia est propter ignorantiam, quod non punitus sit, imo etiam cathedræ sit adhuc particeps. Hunc autem canonem optime pronuntiatum arbitrati sancti Patres synodi sextæ, vigesimum sextum sibi fecerunt, ipsismet ejus verbis usi, hoc duntaxat, adjecto, quod incestum ejusmodi matrimonium haud dubie dirimendum sit, nec permittendum, ut ullo modo vir ea fruatur, propter quam functione sacra privatus sit. Quippe si matrimonium incestum non fuerit diremptum, neque cathedram habebit, atque etiam expelletur ex ecclesia cum ea quacum nefarie concubuit; et auctoritate magistratuum nuptiæ solventur. Nam qui post agnitionem in peccato perseverat, haud dubie tanquam proprio sanguini se miscens punietur.

των οὐ μέτεστι διὰ τὸ ἀνόμημα, εἰ καὶ κατὰ ἄγνοιαν γέγονε, πῶς οὗτος ἑτέρῳ δυνηθείη μεταδοῦναι; Εἰ δὲ τοῦτο, σχολῇ γ' ἂν τὸ σῶμα τοῦ Κυρίου διανεμεῖ. Ἀποχρῶσα γὰρ αὐτῷ συγγνώμη διὰ τὴν ἄγνοιαν, τὸ μὴ ἐπιτιμηθῆναι ἀλλὰ καὶ τῆς καθέδρας εἰσέτι μετέχειν. Τὸν δὲ κανόνα τοῦτον ἐν καλοῦ μοίρᾳ τῇ πρώτῃ λεχθῆναι νομίσαντες οἱ τῆς ς' συνόδου θεῖοι Πατέρες εἰκοστὸν ἕκτον ἑαυτοῖς πεποιήκασιν, αὐταῖς ταῖς αὐτοῦ χρησάμενοι λέξεσι, προσθέντες μόνον, ὡς ὁ τοιοῦτος ἄθεσμος γάμος προδήλως διαλυθήσεται, καὶ οὐδαμῶς ὁ ἀνὴρ μετουσίαν ἕξει πρὸς τὴν, δι' ἣν τῆς ἱερᾶς ἐνεργείας ἐστέρηται· εἰ γὰρ μὴ διασπασθείη τὸ ἄθεσμον συνοικέσιον, οὔτε τὴν καθέδραν ἕξει, ἀλλὰ καὶ τῆς Ἐκκλησίας ἐξωσθήσεται μετὰ τῆς παρανόμως αὐτῷ μιγνυμένης, καὶ διὰ τῆς τῶν ἀρχόντων ἐξουσίας ὁ γάμος διαλυθήσεται. Ὁ γὰρ μετὰ τὴν ἐπίγνωσιν ἐπιμένων τῇ ἁμαρτίᾳ, ὡς αἱμομίκτης ἀτεχνῶς τιμωρηθήσεται.

A

B

De laicis incestas contrahentibus nuptias.

Epistola Basilii magni ad Diodorum Tarsensem episcopum, omni sapientia plena est, et susoaria oratorum arte ornata. Tractat autem ea, quæ per Dei gratiam hodierno die nulli homini Christiano in mentem veniunt. Quippe Diodorus a quopiam interrogatus, posset ne defuncta uxore sua, sororem ejus in matrimonium accipere, per litteras responderat, id minime prohiberi. Cum autem magnus ille Pater Basilius ejusmodi nuptias vetaret, oblata est ei scripta hæc Diodori sententia. Quam cum se graviter molesteque ferre vir sanctus ostendisset, epistolam hanc magna refertam utilitate composuit, qua non has tantum, sed etiam omnes illicitas nuptias evertit. Quippe generali appellatione impuritatis usus, omnes hujusmodi nuptias breviter est complexus. Cæterum in canone XXIII: De iis, ait, qui duas sorores ducunt, quale sit nostrum judicium; ex epistola per brevi, a nobis dictata, cujus exemplum reverentiæ tuæ misimus, recte intelliges. Quibus in verbis hanc ad Diodorum epistola significat, quam ipsam quoque ad sanctum Amphilochium misit. Et vero, inquit, sui qui fratris uxorem duxerit, non prius pœnitentiæ locus dabitur, quam ab ea diverterit. Hujus epistolæ quinquagesimus etiam quartus synodi sextæ canon meminit, cum ait: Tametsi paucas ex prohibitis nuptiis vir sanctus enumeraverit, et silentio complures earum præterierit, ne suam orationem profanis vocabulis sordidaret, per generalem duntaxat impuritatis appellationem nefariis omnibus nuptiis indicatis: nos tamen definimus eum, qui cum consobrina sua nuptias contrahit, vel patrem et filium cum matre ac filia, vel patrem et filium cum duabus sororibus, vel duos fratres cum duabus sororibus, sub canonem septennii cadere; sic

C

D

Περὶ λαϊκῶν ἀθεμιτογαμούντων.

Ἡ δὲ πρὸς Διόδωρον τὸν ἐπίσκοπον Ταρσοῦ τοῦ μεγάλου Βασιλείου ἐπιστολή, πάσης μὲν σοφίας πεπλήρωται, καὶ ῥητορικῇ περιήνθισται πιθανότητι. Ἀνασκευάζει δὲ, ἅττα οὐδεὶς εἰς [36] διάνοιαν ἀνθρώπῳ Χριστιανῷ τῇ τοῦ Θεοῦ χάριτι τὴν τήμερον ἔρχεται. Ἐρωτηθεὶς γὰρ πρός τινος ὁ Διόδωρος, εἰ δύναιτο τῆς γυναικὸς αὐτοῦ θανούσης τὴν ἐκείνης ἀδελφὴν ἀγαγέσθαι πρὸς γάμον, ἀπεκρίνατο ἐγγράφως, τοῦτο μὴ κωλύεσθαι. Τῷ δὲ μεγάλῳ Πατρὶ Βασιλείῳ τὸν τοιοῦτον ἀταγορεύοντι νόμον [36], ἡ τοῦ Θεοδώρου [37] ἔγγραφος ἀπόφασις ἐμφανίζεται. Ὑπὲρ ἧς καὶ δεινοπαθήσας ὁ ἅγιος, τὴν πολλῆς ὠφελείας γέμουσαν συνέταξε ταύτην ἐπιστολήν, μὴ μόνον τὸν τοιοῦτον, ἀλλὰ καὶ πάντα ἄθεσμον ἀνατρέπουσαν γάμον. Τῷ γὰρ γενικῷ χρησάμενος τῆς ἀκαθαρσίας ὀνόματι, τούτους ἅπαντας ἐμπεριείληφεν ἐν βραχεῖ. Ἐν δὲ τῷ κγ' κανόνι, Περὶ τῶν δύο, φησὶν, ἀδελφὰς γαμούντων ὅπως ἔχομεν κρίσεως, ἀπὸ τοῦ ἐκπεφωνημένου ἡμῖν ἐπιστολιδίου, οὗ τὸ ἀντίγραφον ἀπεστάλκαμέν σου τῇ εὐλαβείᾳ, εὖ μάλα εἴσῃ· ταύτην δὴ λέγων τὴν πρὸς Διόδωρον ἐπιστολήν, ἣν καὶ πρὸς τὸν ἅγιον πέπομφεν Ἀμφιλόχιον. Τῷ δὲ λαβόντι, φησὶ, τοῦ ἰδίου ἀδελφοῦ τὴν γυναῖκα, οὐ πρότερον τόπος μετανοίας δοθήσεται, πρὶν ἂν ταύτης ἀποστῇ. Ταύτης τῆς ἐπιστολῆς καὶ ὁ νδ' τῆς ἕκτης συνόδου κανὼν μέμνηται, καί φησιν· Εἰ καὶ ὀλίγους τῶν ἀπειρημένων γάμων ὁ ἅγιος ἠριθμήσατο, σιωπῇ δὲ τοὺς πλέους τούτων παρέδραμεν, ἵνα μὴ τὸν λόγον καταρυπάνῃ τοῖς βεβήλοις ὀνόμασι, τῇ τῆς ἀκαθαρσίας μόνον γενικῇ προσηγορίᾳ τοὺς παρανόμους σύμπαντας ὑποδείξας γάμους. Ἀλλ' ἡμεῖς ὁρίζομεν, τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ γαμικῶς συναπτόμενον, ἢ πατέρα καὶ υἱὸν μητρὶ, καὶ θυγατρὶ, ἢ δύο ἀδελφαῖς πατέρα καὶ υἱὸν, ἢ ἀδελφοὺς δύο δυσὶν ἀδελφαῖς, ὑπὸ τὸν τῆς ἑπταετίας πίπτειν κανόνα, ἀφισταμένους

VARIÆ LECTIONES.

[36] ἅττα οὐδεὶς εἰς. [36] γάμον. [37] Διοδώρου.

πρότερον τοῦ παρανόμου συνοικεσίου. Ὁ δὲ τοῦ μεγάλου Βασιλείου ξζ' τὴν ἀδελφομιξίαν εἰς εἴκοσι χρόνους, ὡς καὶ τὸν φόνον [38], τῆς κοινωνίας ἐκβάλλει. Ὁ δέ γε ξη', Ἡ τῆς ἀπειρημένης φησὶ, συγγενείας πρὸς γάμον σύστασις εἰ φωραθείη, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται. Ἅπερ εἰσὶν, ἡ εἰς ιε' χρόνους τῆς κοινωνίας στέρησις, πρότερον τοῦ γάμου διασπωμένου.

Ὁ δὲ οε', Ὁ ἀδελφῇ ἰδίᾳ ἐκ πατρὸς ἢ μητρὸς συμμιανθεὶς, καὶ τοῦ οἴκου τῆς προσευχῆς ἐξωθείσθω, φησὶν, ἕως ἂν ἀπὸ τῆ τῆς [39] ἀθεμίτου καὶ παρανόμου μίξεως. Ἀποχόμενος δὲ, καὶ ἀξίως μετανοήσας, μετὰ δώδεκα ἔτη τῆς θείας ἀξιούσθω κοινωνίας. Ὁ δὲ οη' Οἱ δύο ἀδελφὰς εἰς συνοικέσιον λαμβάνοντες, εἰ καὶ κατὰ διαφόρους χρόνους, μετὰ τὸ διασπασθῆναι τὸν ἀθέμιτον γάμον, τῷ τῆς μοιχείας ὑπόκεινται κρίματι. Ὁ δὲ ος' Ὁ αὐτὸς ἔστω, φησὶ, τύπος καὶ περὶ τῶν τὰς νύμφας αὐτῶν λαμβανόντων. Ὁ δὲ οθ' Καὶ οἱ ταῖς μητρυαῖς αὐτῶν ἐπιμαινόμενοι [40], τῷ κανόνι ὑπόκεινται, ᾧ καὶ οἱ ταῖς ἑαυτῶν ἀδελφαῖς συμμιαινόμενοι. Ὁ δὲ τῆς ἐν Νεοκαισαρείᾳ συνόδου β', σὺν δυσὶν ἀδελφοῖς γεγαμημένην ἐξωθεῖσθαι τῆς Ἐκκλησίας ἕως θανάτου κελεύει, μὴ πειθομένην λῦσαι δηλαδὴ τὸν γάμον. Νόσῳ δὲ περιπεσοῦσα τῇ θάνατον ἀπειλούσῃ, εἰ ἐπαγγέλλεται ὡς ῥαΐσασα λύσει τὸν γάμον, προσδέχεσθαι εἰς μετάνοιαν. Εἰ δὲ καὶ τὴν γυναῖκα τελευτῆσαι συμβαίη, ἢ καὶ τὸν ἄνδρα, ἔτι τῇ τοιαύτῃ παρανομίᾳ ἐνισχημένους, δυσχερὴς ἡ μετάνοια τῷ περιλειφθέντι· ἐλέγχεται γὰρ, ὡς οὐκ ἂν ἀπέστη τῆς ἁμαρτίας, εἰ ἔτι περιῆν τὸ ἀποιχόμενον πρόσωπον. Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ κε' ἰδικῶς περί τινος ἐκπεφώνηται, ὃς κόρην μέν τινα ἐμνηστεύσατο, τῇ δὲ ταύτης ἀδελφῇ συμφθαρεὶς, ἐγκύμονα ἐποιήσατο. Μετὰ δὲ τοῦτο γήμαντος αὐτοῦ τὴν μνηστὴν, ἡ φθαρεῖσα ὑπὸ τῆς λύπης ἀπήγξατο. Τοὺς οὖν συνειδότας ἐψηφίσαντο οἱ Πατέρες ἐπὶ δέκα ἔτη μὴ κοινωνῆσαι· συνειδότες δέ εἰσιν, οἱ συμπράξαντες, οὐ μὴν οἱ ἔχοντες ἁπλῶς εἰδῆσιν, καὶ κωλῦσαι μὴ δυνάμενοι· ἐπὶ γὰρ τῶν ἀθεμίτων πράξεων οὐχ ἧττον οἱ συνεργοῦντες τῶν αὐτουργῶν τιμωροῦνται. Ὁ δὲ ια' τοῦ Τιμοθέου Ἀλεξανδρείας τοὺς κληρικοὺς κελεύει μὴ ἀπιέναι καλουμένους εἰς γάμον, εἰ πύθοιντό εἶναι παράνομον, εὐχῆς χάριν καὶ προσφορᾶς. Πολλοῦ γε δεῖ μεθ' ἱερολογίας ζευγνύναι τοὺς οὕτω γῆμαι προελομένους, ἵνα μὴ ἀλλοτρίαις κοινωνήσωσιν ἁμαρτίαις. Ὁ ἀθέμιτος οὐ βεβαιοῦται γάμος. Διὰ τοῦτο ἐὰν πρὸ κατηγορίας λυθῇ, συγχωρεῖται ἡ ποινή. Ἐπὶ τοῦ ἐν ἀγνοίᾳ γενομένου ἀθεμίτου γάμου, δίδωσι συγγνώμην καὶ ἡ Ἐκκλησία, καὶ ἡ ἐπανόρθωσις τοῦ ἁμαρτήματος. Καὶ μάλιστα, εἰ μή πω [41] τῆς αὐτοῦ κατηγόρησεν. Οἱ αἱμομίκται, εἴτε γονεῖς πρὸς τέκνα, ἢ τέκνα πρὸς γονεῖς, ἢ ἀδελφοὶ πρὸς ἀδελφὰς, ξίφει τιμωρεῖσθωσαν. Οἱ δὲ κατὰ ἄλλην συγγένειαν πρὸς ἀλλήλους συμφθειρόμενοι, τουτέστι πατὴρ εἰς γυ-

A tamen, ut a nefario conjugio prius discedant. Canon autem XLVII Basilii magni hominem, qui cum sorore sua rem habuerit, in annos viginti, sicut et homicidam, a communione rejicit. Item LXVIII canon : Si deprehensum fuerit, inquit, matrimonium contrahi ex cognatione prohibita, pœnæ adulterorum irrogabuntur.

Quæ quidem sunt, a communione ad XV annos exclusio, matrimonio prius dirempto. Canon vero LXXV ait : Qui cum sorore sua, eodem nata patre vel matre, sese polluit, etiam extra precationis ædem expellitor, inquit, donec ab incesto et nefario concubitu discesserit. Cum autem abstinuerit, et recte pœnitentiam egerit; duodecim annis exactis, communionem sacram impetret. Canon LXXVIII : Qui duas sorores in matrimonium accipiunt, licet diversis temporibus, postquam diremptæ fuerint incestæ nuptiæ, adulterii judicio tenentur. Canon LXXVI : Eadem, inquit, ratio sit etiam in iis, qui nurus suas ducunt uxores. Canon LXXIX : Etiam ii, qui cum novercis suis sese polluunt, canone tenentur eodem, quo et illi qui cum suis sese sororibus inquinant. Concilii vero Neocæsariensis canon secundus mulierem cum duobus nuptam fratribus usque ad mortem expelli Ecclesia jubet, si parere scilicet nolit in dirimendo matrimonio. Si tamen in morbum inciderit, qui mortem minitetur, ac polliceatur se, postquam convaluerit, nuptias dirempturam, admittendam esse ad pœnitentiam. Quod si vel mulierem, vel virum, obire mortem contingat, dum adhuc tali facinore sunt implicati, difficilis pœnitentia superstiti personæ relinquitur. Arguitur enim, quod a peccato discessura non fuerit, si adhuc superstes esset persona defuncta. Canon autem XXV Ancyranæ synodi de quodam peculiariter est pronuntiatus, qui puellam sibi quamdam desponderat, et repostea cum ejus sorore habita, prægnantem hanc fecerat. Deinde celebratis cum sponsa nuptiis, stuprata soror animi dolore mota laqueo vitam finierat. Itaque conscios in annos decem arcendos a communione, Patres statuerunt. Conscii vero sunt, facinoris participes, non qui simpliciter rei notitiam habebant, et prohibere non poterant. Nam in nefariis actionibus non minus illi, qui factum adjuvant, quam qui ejus auctores sunt, puniuntur. Canon vero undecimus Timothei Alexandrini episcopi præcipit, ut clerici, cum invitantur, minime nuptias adeant, si nefarias esse cognoscant, precum et oblationis causa. Tantum abest, ut votis sacris intervenientibus eos conjungere debeant (20), qui nuptias hujusmodi contrahere volunt, ne participes alienorum peccatorum fiant. Incestum matrimonium non confirma-

VARIÆ LECTIONES.

[38] φονέα. [39] ἀπωθῇ τῆς. [40] ἐπιμαινόμενοι. [41] εἰ μή πω τάς.

NOTÆ.

(20) l. 38. § *Idem Pollioni.* D. ad l. Jul. *De adult.*

tur. Ideoque si ante accusationem solutum sit, pœna remittitur. In nuptiis incestis per ignorantiam contractis, veniam dat tam Ecclesia, quam peccati correctio. Præsertim, si nec dum quis eas accusavit. Qui se proprio sanguini miscent (21), sive parentes cum liberis, sive liberi cum parentibus, vel fratres cum sororibus, gladio puniuntor. Qui autem ex alio cognationis gradu invicem sibi stuprum intulerint, veluti pater nurui, vel filius uxori patris, hoc est, novercæ, vel vitricus privignæ, vel frater uxori fratris, vel patruus aut avunculus filiæ fratris aut sororis, vel filius fratris aut sororis, amitæ vel materteræ, vel qui duabus sororibus, aut matri externæ ac illius filiæ sciens ita se miscet; his simul, et mulieribus, quas stuprarunt, verberatis, nares abscinduntor (22). Qui matrimonio conjunguntur, vel aliter complexu carnis sese stuprant patrueles, et ex eis prognati liberi duntaxat, vel pater et filius cum matre ac filia, vel duo fratres cum duabus sororibus, vel duo fratres cum matre ac filia, præter separationem etiam verberantor (23). Qui cum sua commatre vel nomine conjugii, vel etiam aliter clam rem habet, una cum ea nares amittat. Quod si commater alteri viro nupta sit, hoc etiam amplius verberantor.

A

B

De his qui matrimonio sibi covulant Deo consecratas.

Canon quartæ synodi decimus sextus ait, virginem, quæ Domino Deo se dicaverit, itidemque solitarium, non habere licentiam contrahendi nuptias. Quod si promissa violarint, a communione sacra segregandos. Tempus autem pœnitentiæ ipsorum, loci episcopus pro cujusque dispositione constituet. Nam et Gregorius ille Theologus ait: Si sponsiones erga homines factas firmat Deus interveniens, quantum periculum fuerit, si pactorum, quæ cum ipso Deo fecimus, violatores inveniamur? Canon autem IV, synodi sextæ, eum, qui cum muliere Deo consecrata coit, sive scilicet illa sit virgo, sive vidua, abdicat officio, si sit clericus; sin laicus, relegat. Lex quidem aliam pœnam infligit. Cæterum quæ nunc dicturi sumus ex sequentibus hic canonibus, ita quidem damnavit rerum vicissitudo, non amplius ut in usu sint, sed exponantur tamen. XV canon synodi quartæ: Non ordinator, inquit, mulier diaconissa prius quam ad annum quadragesimum pervenerit. Quæ vero post ordinationem contumelia gratiam divinam affecerit, et nuptiis sese tradiderit: tam ipsa percutitur anathemate, quam qui stupri cum ea consuetudinem habuit. Basilius magnus in canone XXIV: Licet, inquit, viro facto viduo nulla lex incumbit, quæ secundas ei nuptias prohibeat, excepta duntaxat pœna digamorum: tamen eam mulierem, quæ viduarum in ordinem cooptata, deinceps nupserit, vitandam Apostolus statuit, nec alendam ab Ecclesia.

C

D

Sexaginta vero annorum mulier, si secundas ad

Περὶ τῶν ἐπὶ γάμῳ λαμβανόντων τῷ Θεῷ ἀφιερωμένας.

Ὁ ις' τῆς δ' συνόδου κανὼν παρθένον φησὶν ἀναθεῖσαν ἑαυτὴν τῷ Δεσπότῃ Θεῷ, ὡσαύτως καὶ μονάζοντα, μὴ ἐξεῖναι γάμῳ προσομιλεῖν· εἰ δὲ παραβαῖεν τὰ ὡμολογημένα, τῆς θείας ἀφορίζεσθαι κοινωνίας. Τὸν δὲ χρόνον τῆς αὐτῶν μετανοίας ὁ κατὰ τόπον ἐπίσκοπος πρὸς διάθεσιν ἑκάστου οἰκονομήσει. Φησὶ γὰρ καὶ ἡ θεολόγος Γρηγορίου φωνή· Εἰ γὰρ τὰς πρὸς ἀνθρώπους ὁμολογίας ἐμπεδοῖ θεὸς μέσος παραληφθείς, πόσος ὁ κίνδυνος ὧν πρὸς αὐτὸν ἐθέμεθα τὸν Θεὸν συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι; Ὁ δὲ δ' τῆς ς' συνόδου τὸν γυναικὶ μιγνύμενον ἀφιερωμένῃ Θεῷ, εἴτε παρθένος εἴη δηλαδή, εἴτε χήρα, κληρικὸν μὲν ὄντα καθαιρεῖ, λαϊκὸν δὲ ἀφορίζει. Ἄλλως δὲ ὁ νόμος κολάζει. Τῶν μέντοι τοῖς ἑξῆς ῥηθησομένων κανόσιν, ἀπραξίαν μὲν ἡ τῶν πραγμάτων κατεψηφίσατο μεταβολή, λεγέσθω γε μήν. Ὁ ιε' τῆς δ' συνόδου κανὼν, Μὴ χειροτονείσθω, φησὶ, γυνὴ διάκονος, πρὶν εἰς τεσσαρακοστὸν αὐτὴν ἥκειν χρόνον. Τὴν δὲ μετὰ τὴν χειροτονίαν εἰς τὴν θείαν ὑβρίσασαν χάριν, καὶ γάμῳ ἑαυτὴν ἐπιδοῦσαν, ταύτην τε ἀναθεματίζεσθαι, καὶ τὸν αὐτῇ συμφθαρέντα. Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ κδ' κανόνι, Εἰ καὶ ἀνδρὶ, φησὶ, χηρεύσαντι οὐδεὶς ἐπίκειται νόμος, ὁ κωλύων δευτερογαμεῖν, εἰ μὴ τὸ τῶν διγάμων ἐπιτίμιον μόνον· ἀλλά γε τὴν τῷ τάγματι τῶν χηρῶν καταλεγεῖσαν γυναῖκα, ὕστερον γαμουμένην ἔκρινεν ὁ Ἀπόστολος παρορᾶσθαι, καὶ μὴ τρέφεσθαι παρὰ τῆς Ἐκκλησίας.

Ἡ μέντοι ἑξηκοντούτης εἰ πρὸς δεύτερον ἀπο-

VARIÆ LECTIONES.

[a] οὕτως.

NOTÆ.

(21) *Basilic.* lib. LX, tit. 37, cap. 69. ex imp. Alicujus recentioris constitutionibus.

(22) Dicti lib. et tit. cap. 70.

(23) Cap. 71 ibid.

κλίνειε γάμον, τῆς κοινωνίας ἀποκλεισθήσεται, μέχρις ἂν ταῦ πάθους ἀποστῇ, τὸ ἐναγὲς τούτου μισήσασα καὶ ἀκάθαρτον. Εἰ μέντοι πρὸ ἑξήκοντά φησιν ἐτῶν ταῖς χήραις αὐτὴν ἀριθμήσομεν, ἡμέτερον τὸ ἔγκλημα, οὐ τοῦ γυναίου. Οἱ ταῖς μοναζούσαις, ἢ ταῖς διακόνοις, ἢ ταῖς ἀσκητρίαις ἐνασελγαίνοντες, ὡς εἰς τὴν νύμφην Χριστοῦ τὴν Ἐκκλησίαν ὑβρίζοντες, ῥινοκοπείσθωσαν αὐτοί τε, καὶ αἷς οὗτοι συνεφθάρησαν. Αἱ χειροτονούμεναι διάκονοι εἰ τολμήσαιεν καταισχῦναι τὴν χειροτονίαν, προσομιλοῦσαι γάμῳ ἢ ἄλλῃ βίου πορίᾳ [62], θανάτου γενήσονται ἔνοχοι, καὶ τοῖς αὐτῶν μοναστηρίοις, ἢ ταῖς αὐτῶν ἐκκλησίαις αἱ αὐτῶν περιουσίαι προσκυρωθήσονται· οἱ δὲ γῆμαι καὶ φθεῖραι αὐτὰς τολμήσαντες, ὑπεύθυνοί εἰσι ξίφει, καὶ τὴν οὐσίαν αὐτῶν τὸ δημόσιον λήψεται.

A nuptias respiciat, excludetur a communione, donec ab hoc vitio semet abstinuerit, piaculum et impuritatem ejus exsecrata. Quod si nosmetipsi ante annum sexagesimum inter viduas eam retulerimus ; crimen nostrum est, non mulierculæ. Qui solitariam vitam agentibus, aut diaconissis, aut pietatis exercitia tractantibus stuprum intulerint ; velut in Ecclesiam Dei, quæ Christi sponsa est, injurii ; tam naribus ipsi priventur, quam quæ stupri consuetudinem cum eis habuerint. Diaconissæ, quæ ordinantur, si ausæ fuerint ordinationem de honestare, vel matrimonium, vel aliud iter vitæ sectando, mortis reæ fient, et monasteriis earum, vel earum ecclesiis, facultates addicentur. Qui autem ipsas uxores ducere, vel stuprare fuerint B ausi : gladii pœnam merentur, et facultates eorum fiscus accipiet.

Ὅτι οὐ δεῖ γάμους συναλλάττειν μετὰ αἱρετικῶν.

Ὁ μὲν ιδ' τῆς δ' συνόδου κανὼν ὀρθοδόξους κληρικοὺς αἱρετικαῖς συνάπτεσθαι γυναιξὶ πάντη ἀπείρηκε. Τῶν δὲ ἤδη συνῳκηκότων τοὺς παῖδας τῇ καθολικῇ Ἐκκλησίᾳ κελεύει προσάγεσθαι. Καὶ εἰ μὲν ὑπὸ αἱρετικῶν ἔτυχον βαπτισάμενοι, ὧν τὸ βάπτισμα τοῖς ὑγιῶς φρονοῦσιν ἀπόβλητον, ἄνωθεν βαπτίζεσθαι· εἰ δ' οὖν, μόνῳ τῷ θείῳ χρίεσθαι μύρῳ. Εἰ δὲ μήπω βαπτίσματος σφραγῖδι ἐνεσημάνθησαν, μηκέτι ὑπὸ αἱρετικῶν βαπτίζεσθαι. Ἀλλὰ μὴν μηδὲ γαμικῶς συνάπτειν τούτους αἱρετικοῖς, μήτε μὴν Ἰουδαίοις, μήθ' Ἕλλησιν. Αἱρετικοὺς μὲν τοὺς τὸ καθ' ἡμᾶς δεχομένους μυστήριον λέγω, ἔν τισι δὲ σφαλλομένους τοῖς ὀρθοδόξοις. Ἰουδαίους δὲ, τοὺς χριστοκτόνους· καὶ Ἕλληνας, τοὺς περιφανῶς ἀπίστους καὶ εἰδωλομανίαν νοσοῦντας. Εἰ δ' ἴσως ὁ αἱρετικὸς ἢ ὁ ἄπιστος συνθέσθαι τῇ ὀρθοδόξῳ ἐπαγγέλλεται πίστει, τὸ μὲν συνάλλαγμα, φησὶ, προβαινέτω, ἡ δέ γε συνάφεια ὑπερτιθέσθω, μέχρις ἂν καὶ τὰ τῆς ἐπαγγελίας ἔργοις βεβαιωθῇ. Ταῦτα καὶ τῶν Λατίνων ποιεῖν εἰσπράττονται οἱ ὀρθοδόξους ἀγαγέσθαι γυναῖκας αἱρούμενοι. Οἱ δὲ μὴ πειθόμενοι τούτοις, κανονικοῖς ἐπιτιμίοις ὑπόκεινται· σὺν τῇ διαλύσει γὰρ τοῦ γάμου καὶ ἐπιτιμῶνται οἱ παραβαίνοντες. Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ δέκατος, Οὐ δεῖ, φησὶ, τοὺς τῆς Ἐκκλησίας ἀδιαφόρως πρὸς κοινωνίαν γάμου τὰ ἑαυτῶν τέκνα συνάπτειν αἱρητικοῖς. Ὁ δὲ κα' τῆς ἐν Καρθαγένῃ συνόδου τὰ τέκνα τῶν κληρικῶν ἐθνικοῖς, ἤγουν ἀπίστοις, ἢ αἱρετικοῖς γαμικῶς ἀπαγορεύει συνάπτεσθαι. Ὁ δὲ δεύτερος τῆς ἕκτης συνόδου οὕτω κατὰ ῥῆμα θεσπίζει· Μὴ ἐξέστω ὀρθόδοξον ἄνδρα αἱρετικῇ συνάπτεσθαι γυναικί· μήτε μὴν αἱρετικῷ ἀνδρὶ γυναῖκα ὀρθόδοξον συζεύγνυσθαι. Ἀλλ' εἰ καὶ φανείη τι τοιοῦτον ὑπό τινος τῶν ἁπάντων γενόμενον, ἄκυρον ἡγεῖσθαι τὸν γάμον, καὶ τὸ ἄθεσμον διαλύεσθαι συνοικέσιον. Οὐ γὰρ χρὴ τὰ ἄμικτα μιγνύναι, οὐδὲ τῷ προβάτῳ λύκον συμπλέκεσθαι, καὶ τῇ τοῦ Χριστοῦ μερίδι τὸν τῶν

Nuptias cum hæreticis non esse contrahendas.

Canon IV synodi quartæ vetat, nec clerici orthodoxi cum mulieribus hæreticis ullo modo matrimonia contrahant. Eorum vero liberos, qui jam eodem in contubernio vixerint, ad Ecclesiam catholicam adduci jubet. Ac si quidem ab hæreticis jam baptisati fuerint, quorum baptismæ sanam sententiam sequentibus rejiculum est, denuo baptisari : sin autem, unguento sacro duntaxat ungi. Quod si necdum sigillo baptismatis signati, non amplius ab hæreticis eos baptisandos esse. Quin etiam ne conjugia quidem hos contrahere debere C cum hæreticis, nec cum Judæis, nec cum paganis. Hæreticos appello, qui fidei nostræ mysterium quidem amplectuntur : sed in quibusdam ab orthodoxis aberrant : Judæos, Christi parricidas : paganos, qui manifesto sunt increduli, et in sane cultu idolorum infecti. Quod si forte vel hæreticus, vel incredulus quispiam, ad fidem orthodoxam accessurum se polliceatur ; ipse quidem, inquit, contractus procedat : sed copulatio matrimonialis tantis per extrahatur, donec præmissa factis confirmata fuerit. A Latinis etiam, ut eadem hæc faciant, exigitur ; si qui eorum orthodoxas uxores ducere velint. Qui autem his non obtemperant, pœnis canonicis obnoxii sunt. Nam præter solutionem matrimonii, violatores etiam puniuntur. Laodicenæ D vero synodi decimus canon : Ecclesiæ consortes, inquit, indifferenter liberos suos ad matrimonii societatem cum hæreticis copulare non oportet. Canon XXI concilii Carthaginiensis, ne liberi clericorum cum paganis, hoc est, infidelibus, aut hæreticis matrimonii lege conjungantur, prohibet. Secundas autem sextæ synodi, sic ad verbum sancit : Non fas sit, ut cum hæretica muliere vir orthodoxus matrimonium coeat : nec ut hæretico viro mulier orthodoxa nubat. Imo, si visum fuerit aliquid hujusmodi a quocunque factum, irritæ ducan-

VARIÆ LECTIONES.

[62] πορείᾳ.

tur nuptiæ, et nefarium matrimonium distrahatur. Quippe non miscenda misceri non debent, nec lupus cum ovicula copulandus, nec cum portione Christi sors peccatorum. Si quis autem a nobis definita transgressus fuerit, segregator. Quippe si secundum legem civilem (24), matrimonium definitur esse societas et consortium divini ac humani juris, quomodo consentire queant inter se, qui de maximis animi dissident affectu? qui contraria circa fidem sentiunt? Quapropter etiam post nefarii matrimonii diremptum, transgressores vult pœna segregationis, affici. Et hæc quidem de iis, qui jam matrimonio copulati sunt, una parte decretis hæreticis addicta, altera rectam fidem colente. Quod si utraque pars, inquit, cum ab initio coirent et in matrimonium, ab orthodoxorum aliena cœtu erat; deinde una veritatem agnovit, altera tenebris impietatis adhuc serviente : non propterea matrimonium dissolvetur, quemadmodum in epistola prima ad Corinthios magnus ille Paulus statuit. Quippe si fidelis uxor cum infideli marito cohabitare velit, vel e contrario, vir fidelis cum infideli muliere; ne distrahuntor. Quippe sanctificatus est maritus infidelis in muliere, ac vice versa. Vide tamen, quo pacto divinus hic Apostolus quasi condescensione quadam utens. Si pars fidelis, inquit, infideli cohabitare velit. Quo fit, ut si cohabitare nolit, matrimonium sine dubio solvendum sit. Persuasus autem ipse sum hæc fuisse principii, et quasi primordiorum prædicationis. Hodiernam vero faciem rerum quod attinet, qui fieri potest, ut Judæus, vel Agarenus baptizatus, cum non baptizata uxore amplius habitet, vel baptizata cum eo, qui fidem nostram non est amplexus? Quale quiddam patriarchæ Theodoti tempore contigit. Nam buccinator quidam imperatorius baptizatus, scripto patriarchali separatus fuit ab uxore, quæ non volebat obtemperare marito, multum eam obsecranti, pietatis ut professionem amplecteretur. Canon vero XXXI Laodicenæ synodi : Non oportet, inquit, omni cum hæretico matrimonium contrahere, nec filios vel filias nuptum collocare, metuentes, ne pravam ipsorum sententiam addiscamus : sed ita potius rem agemus, si futurum polliceantur, ut Christiani fiant. Quod hic dicitur, Non oportet omni cum hæretico, tantumdem est, ac si dicas, Nullo cum hæretico. Peculiaris enim hæc Scripturæ sacræ loquendi ratio est, velut in hoc : Absit a te metus, cum homo dives sit. Quia cum moritur, non auferet omnia. Quippe fieri non potest, ut auferat aliqua. Item alibi. Non enim frustra condidisti omnes filios hominum. Quippe non etiam aliqui sunt, qui frustra sint conditi. Nam impium fuerit, hoc existimare. Judæus Christianam non ducat uxorem, nec Christianus Judæam; nec hæreticus et alienus a fide cum Christianis ex ulla occasione matrimonium contrahat (25).

A ἁμαρτωλῶν κλῆρον. Ἂν δὲ παραβῇ τις τὰ παρ' ἡμῶν ὁρισθέντα, ἀφοριζέσθω. Εἰ γὰρ κατὰ τὸν πολιτικὸν νόμον γάμος ὁρίζεται κοινωνία καὶ συγκλήρωσις θείου τε καὶ ἀνθρωπίνου δικαίου, πῶς ἂν συμβαίεν ἀλλήλοις οἱ περὶ τὰ μείζω διαφερόμενοι τῇ τῆς ψυχῆς διαθέσει, τἀναντία φρονοῦντες περὶ τὴν πίστιν; Διὸ καὶ μετὰ τὴν λύσιν τοῦ ἀθεμίτου γάμου, καὶ ἀφορίζεσθαι τοὺς παραβαίνοντας ἀξιοῖ· ἀλλὰ ταῦτα μὲν περὶ τῶν γαμικῶς τὸ νῦν εἶναι συναπτομένων, καὶ τοῦ μὲν ἑνὸς μέρους αἱρετικοῖς προσανέχοντος δόγμασι, θατέρου δὲ τὰ τῆς ὀρθῆς πρεσβεύοντος πίστεως. Εἰ δὲ καὶ ἄμφω τὰ μέρη, φησὶν, ὅτε γαμικῶς συνῆλθον τὸ ἐξαρχῆς, τῆς τῶν ὀρθοδόξων ἠλλοτρίωντο μοίρας, εἶτα τὸ μὲν ἐπέγνω τὴν ἀλήθειαν, θάτερον δὲ τῷ σκοπῷ τῆς ἀσεβείας εἰσέτι δουλεύει, οὐ παρὰ B τοῦτο τὸ συνοικέσιον διαλυθήσεται. Ὡς ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ὁ μέγας διορίζεται Παῦλος· εἰ γὰρ αἱρεῖται τῷ ἀπίστῳ συνοικεῖν ἡ πιστὴ, ἢ τοὐναντίον ὁ πιστὸς τῇ ἀπίστῳ, μὴ χωριζέσθω· ἡγίασται γὰρ ὁ ἄπιστος ἀνὴρ ἐν τῇ γυναικὶ, καὶ τὸ ἔμπαλιν. Πλὴν ὅρα ὅπως καὶ ὁ θεῖος Ἀπόστολος συγκαταβάσει χρώμενος, Εἰ αἱρεῖται, φησὶ, τὸ πιστὸν μέρος συνοικεῖν τῷ ἀπίστῳ. Ὥστε εἰ μὴ αἱρεῖται, ἀναμφιβόλως ὁ γάμος λυθήσεται. Πέπεισμαι δ' ὅτι τῆς ἀρχῆς ἦν ταῦτα, καὶ τῶν προοιμίων τοῦ κηρύγματος. Τὸ δὲ σήμερον ἔχον, πῶς οἷόν τε Ἰουδαῖον, ἢ Ἀγαρηνὸν βαπτισθέντα συνοικεῖν ἔτι τῇ ἀβαπτίστῳ, ἢ τὴν βαπτισαμένην τῷ μὴ πιστεύσαντι; Καθὰ δὴ καὶ ἐπὶ τοῦ πατριάρχου γέγονε Θεοδότου. Βυκινάτωρ γάρ βασιλικὸς βαπτισθεὶς, πατριαρχικῷ γράμματι διεζύγη τῆς γυναικὸς μὴ πειθομένης τῷ ἀνδρὶ, πολλὰ παρακαλοῦντι τὰ τῆς εὐσεβείας ἐλέσθαι. Ὁ δὲ C τῆς ἐν Λαοδικείᾳ λα', Οὐ δεῖ, φησὶ, πρὸς πάντα αἱρετικὸν ἐπιγαμίαν ποιεῖν, οὐδὲ υἱοὺς διδόναι ἢ θυγατέρας, δέει τοῦ μὴ τὴν ἐκείνων κακοδοξίαν μεταμαθεῖν· ἀλλὰ μᾶλλον λαμβάνειν, εἴγε ἐπαγγέλλειεν τὸ χριστιανοὶ γενέσθαι. Τὸ δὲ, Οὐ δεῖ πρὸς πάντα αἱρετικὸν, ἀντὶ τοῦ, πρὸς οὐδένα. Ἴδίωμα γάρ ἐστι Γραφικὸν, ὡς τὸ, Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα. Οὐ γὰρ οἷόν τε καί τινα λαβεῖν. Καὶ ἀλλαχοῦ· Μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων; Οὐ γάρ εἰσι καὶ οἱ ματαίως κτισθέντες. Ἀσεβὲς γὰρ τοῦτο νομίζειν. Μὴ λαμβανέτω Ἰουδαῖος Χριστιανὴν, μήτε Χριστιανὸς Ἰουδαίαν, μήτε αἱρετικὸς καὶ ἀλλότριος τῆς πίστεως κατά τινα πρόφασιν Χριστιανοῖς πρὸς γάμον συναπτέσθω. D

Quibus ex causis matrimonium solvatur.

De matrimonii solutione multis in locis multæ

Ὁ γάμος ἐκ ποίων αἰτιῶν λύεται[a].

Περὶ τῆς τῶν γάμων διαλύσεως ἐν πολλοῖς τόποις ὁ

VARIÆ LECTIONES.

[a] αἱ αἰτίαι, δι' ἃς χωρίζεται ἡ γυνὴ τοῦ ἀνδρός.

NOTÆ.

(24) l. 1. D. *De rit nupt.*

(25) l. 6. C. *De Judæis* et *calic.*

πολὺς διέξεισι νόμος. Τελικώτερον δὲ ἡ Ἰουστινιάνειος νεαρὰ, ῥητῶς τὰς αἰτίας ἐκτιθεμένη, δι' ἃς ὁ ἀνὴρ ἢ ἡ γυνὴ ῥεπούδιον δύναται πέμπειν, ἤτοι ἀποστάσιον τῷ ὁμοζύγῳ, καὶ τὴν προῖκα ἀποκερδαίνειν, φυλαττομένης τῆς ἐπ' αὐτῇ δεσποτείας τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν, ἢ παίδων οὐκ ὄντων, ἀπολαύειν καὶ τῆς δεσποτείας τὸ ἀναίτιον πρόσωπον. Εἰ γὰρ καὶ πάλαι τοῖς ἀνθρώποις ἐξῆν καὶ ἐκ τῶν παλαιῶν νόμων καὶ ἐξ ἔθους μακροῦ ἀναιτίως λύειν τὰ συνοικέσια, ὥστε λέγειν τὸν ἄνδρα τῇ ὁμοζύγῳ· *Γύναι, πράττε τὰ σά·* καὶ ταύτην ἐκείνῳ· *Ἄνερ, πράττε τὰ σά.* Καθὰ δὴ καὶ τοῖς τῶν Ἑβραίων ἀνδράσι *πάλαι* νενομοθέτητο, βιβλίον πέμπειν ἀποστασίου τῇ γυναικί· ἀλλὰ τοῦν εἶναι, τοῦτο παρὰ Χριστιανοῖς ἀνῄρηται. Αἰτίαι δὲ πρὸς τῶν εὐσεβῶν ἠρίθμηνται βασιλέων ὀνομαστὶ, δι' ἃς καὶ μόνας τὸν γάμον ἔξεστι διαλύειν, καὶ μιᾶς ἄνευ ἐκείνων, ἀθέμιτον διασπᾶν.

α'. Καὶ ὁ μὲν ἀνὴρ πέμπει ῥεπούδιον τῇ γυναικὶ, καὶ τὴν προῖκα ταύτης ἀποκερδαίνει, ὡς εἴρηται, διὰ τὰς αἰτίας ταύτας.

β'. Εἰ σύνοιδέ τινας ἡ γυνὴ τῇ βασιλείᾳ ἐπιβουλεύοντας, καὶ τῷ ἰδίῳ μὴ ἐφανέρωσεν ἀνδρί.

γ'. Εἰ κατηγορία μοιχείας κατὰ τῆς γυναικὸς γένοιτο, καὶ κατὰ τοὺς νόμους ἀπελεγχθείη μοιχευθῆναι αὐτήν.

δ'. Ἐὰν οἱῳδήποτε τρόπῳ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ, ἢ ἄλλοις τοῦτο ποιοῦσι συνειδεῖα, τούτῳ μὴ φανερώσῃ.

ε'. Ἐὰν ἀνδράσι ξένοις παρὰ γνώμην τοῦ ἀνδρὸς συμποσιάζει ἢ συλλούεται.

ς'. Ἐὰν ἔξω τοῦ οἴκου μένῃ παρὰ γνώμην τοῦ ἀνδρός. Εἰ μή που τυχὸν παρὰ τοῖς ἰδίοις γονεῦσιν· ἢ αὐτὸς χωρὶς τῶν εἰρημένων αἰτιῶν ἐξωθήσῃ, καὶ γονέων αὐτῇ μὴ ὑπαρχόντων, ἔξω τὴν νύκτα διαβιβάσῃ.

ζ'. Ἐὰν ἱππικοῖς, ἢ θεάτροις, ἢ κυνηγίοις [68] παραγένηται ἐπὶ τῷ θεωρῆσαι, ἀγνοοῦντος ἢ κωλύοντος τοῦ ἀνδρός.

Τὸ μέντοι Γραφικὸν τὸ λέγον, μὴ ἐπιστρέφειν τὴν μοιχευθεῖσαν πρὸς τὸν ἑαυτῆς ἄνδρα, περὶ ἀνδρὸς νόει, μὴ θέλοντος ἀναλαβέσθαι ταύτην. Εἰ γὰρ συγχωρεῖ τὸ ἔγκλημα ὁ ἀνὴρ, ἀκωλύτως αὐτὴν ἐντὸς διετίας ἀναλαμβάνει, κατὰ τὴν Ἰουστινιανοῦ νεαρὰν, καὶ Λέοντος τοῦ Σοφοῦ.

Ἡ δὲ γυνὴ πέμπει ῥεπούδιον τῷ ἀνδρὶ, διὰ τὰς αἰτίας ταύτας, δυναμένη ἀναλαβεῖν τήν τε ἑαυτῆς προῖκα, καὶ τὴν διὰ τοὺς γάμους δωρεὰν τοῦ ἀνδρὸς, ὁμοίως τοῖς παισὶ φυλαττομένης τῆς ἐπὶ τῇ δωρεᾷ δεσποτείας, ἢ παίδων οὐκ ὄντων, ἔχειν καὶ τὴν αὐτῆς δεσποτείαν.

α'. Ἐάν τι κατὰ τῆς βασιλείας ἢ αὐτὸς βουλεύσηται, ἢ ἄλλῳ τῷ βουλεύοντι μὴ μηνύσῃ, ἢ ἄλλοις τοῦτο ποιοῦσι συνειδεῖα, τούτῳ μὴ φανερώσῃ.

leges tractant. Sed perfectius Novella Justiniana, quæ diserte causas exponit (26-29), ob quas maritus aut uxor repudium conjugi mittere potest, ac dotem lucrari, proprietate tamen ejus susceptis ex eodem matrimonio liberis salva; vel liberis nullis existentibus, expers culpæ persona proprietate quoque frui potest. Nam olim licet mortalibus permissum erat tam ex priscis legibus, quam longa consuetudine, matrimonia impune solvere, uti scilicet vir conjugi diceret (30): *Uxor, tuas ipsa res tibi agito:* ac vicissim hæc illi: *Tuas, marite, tibi agito:* quemadmodum apud Hebræos etiam olim lege receptum erat, ut uxori libellum repudii maritus mitteret: tamen ut nunc comparatæ res sunt, apud Christianos hoc abrogatum est. Causæ vero nominatim enumeratæ sunt religiosis imperatoribus ob quas solas matrimonium solvere licet, cum absque harum una, nefarium sit dirimi.

1. Ac maritus quidem uxori repudium mittit, et dotem ejus lucratur, uti dictum est, propter has causas:

2 Si quibus adversus majestatem principis ineuntibus consilia mulier conscia sit, idque marito suo non patefecerit.

3. Si adulterii mulier accusata, et secundum leges adulterii convicta fuerit.

4. Si quocunque modo vitæ mariti fuerit insidiata, vel cum aliis id molientibus esset conscia, marito non patefecerit.

5. Si contra mariti voluntatem cum viris extraneis compotet, aut lavet.

6. Si contra mariti voluntatem extra domum maneat, nisi forte apud suos parentes, vel ab ipsomet absque causis indicatis expulsa, parentibus ei nullis exsistentibus, foris noctem transegerit.

7. Si ad circenses, vel spectacula, vel arenam (31) accedat spectandi causa, ignorante vel prohibente marito.

Cæterum Scripturæ dictum illud, quo traditur, adulterio pollutam ad maritum suum non redire de marito intellige, qui eam non vult recipere. Quippe si maritus crimen condonat, citra prohibitionem intra biennium eam recipit, secundum novellam Justiniani (32), et Leonis illius sapientis.

Uxor autem marito repudium mittit propter has causas, cum et dotem suam, et donationem viri propter nuptias, recipere possit, liberis consimiliter in donatione conservanda dominio sive proprietate, vel liberis non exstantibus, etiam dominium ejus habere.

1. Si adversus majestatem principis vel ipse

VARIÆ LECTIONES.

[68] Κυνήγιον λέγει τόπον, ἔνθα τὸ παλαιὸν ἐθηριομάχουν.

NOTÆ.

(26-29) Novella CXVII, cap. 8.
(30) l. 2. D. *De divort.*
(31) Arenam vocat locum in quo cum bestiis olim pugnabant.
(32) Novella 134. c. 10, § *Adulteram.*

quid molitus fuerit, vel aliquibus molientibus ipse conscius, id principi non patefecerit vel per se, vel per quamcunque personam.

2. Si quocunque modo vitæ conjugis insidiatus fuerit.

3. Si pudicitiæ conjugis insidias struens, aliis eam stuprandam tradere conatus fuerit.

4. Si maritus, uxore adulterii accusata, rem non probaverit.

5. Si alia cum muliere coeat in eadem domo, vel eadem civitate, ac monitus ab uxore, vel parentibus ejus, vel quovis alio, non velit abstineri.

In his non solum donationem ante nuptias maritus loco pœnæ amittit, verum etiam trientem reliquarum ipsius facultatum; præterquam quod eas quoque pœnas sustinet, quas ipsa mulier erat latura, si condemnata fuisset. Non tamen aut mulier arbitratu suo divertere potest a marito, aut maritus ab ipsa, sine judicio et sententia judicum: diversæ Justiniani Novellæ statuunt. Ac propterea qui ducit uxorem non ita diremptam, adulterium committit.

Solutio matrimonii citra pœnam, deque matrimonio quod exercitationis piæ causa solvitur.

Absque pœna matrimonium solvitur (33), cum elapso triennio, maritus cum uxore coire nequit, licet ipse divortium fieri nolit: manente penes virum donatione ante nuptias, nec quidquam suarum rerum pœnæ loco amittente. Solvitur etiam matrimonium, cum (34) altera pars exercitio sacro dedidit, ad viam meliorem transiens, et vitam in puritate degendam eligens. Tunc enim tam virum, quam mulierem, ad præclariora se conferentem, divertendi potestatem habere jubemus, exiguo quodam desertæ parti solatio relicto.

Quidquid enim contrahentes pacti sunt, ut a morte lucro alterius cederet; id habere oportet ab altero desertum, sive vir, sive mulier sit: quando et ipse, quantum quidem attinet conjugem, mori videtur; alterum iter vitæ cum altero commutans. Etenim tonsura recte fit etiam alterutro conjugum invito. Dicimus etiam, bona gratia fieri divortium. Persona quoque derelicta potest aliud ad matrimonium accedere. Sed hoc uxori episcopi ordinati non est datum. Ideoque cum ejus consensu fieri ordinationem oportet, atque ita sequi tonsuram ejus citra recusationem. Solvitur etiam matrimonium (35), cum maritus aut uxor in captivitatem venerit, ac per quinquennium non constet, num vivat. Si vero præter statutas, inquit, a nobis causas ausi

A ται, ἢ τοῦτό τισι βουλευομένοις συνειδὼς, μὴ φανερώσῃ τῇ βασιλείᾳ ἢ δι' ἑαυτοῦ, ἢ δι' οἱουδήποτε προσώπου.

β'. Ἐὰν οἱῳδήποτε τρόπῳ ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς γυναικός.

γ'. Ἐὰν τῇ τῆς γυναικὸς σωφροσύνῃ ἐπιβουλεύων, ἄλλοις αὐτὴν εἰς τὸ μοιχευθῆναι ἐπιχειρήσῃ προδοῦναι.

δ'. Ἐὰν κατηγορήσας αὐτῆς ὁ ἀνὴρ ἐπὶ μοιχείᾳ, μὴ ἀποδείξῃ.

ε'. Ἐὰν ἑτέρᾳ συνεισέρχηται γυναικὶ ἐν τῷ αὐτῷ οἴκῳ ἢ τῇ αὐτῇ πόλει, καὶ ὑπομνησθεὶς παρ' αὐτῆς ἢ τῶν γονέων αὐτῆς, ἢ δι' οἱουδήτινος ἑτέρου, ἀποσχέσθαι μὴ βούληται.

B Ἐπὶ τούτοις μὴ μόνον τὴν πρὸ γάμου δωρεὰν ὁ ἀνὴρ ζημιοῦται, ἀλλὰ καὶ ἕτερον τρίτον ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας, καὶ τὰς τιμωρίας ἀφίσταται [46], ἃς ἔμελλεν ἡ γυνὴ καταδικαζομένη. Πλὴν οὔτε ἡ γυνὴ αὐτονόμως ἀναχωρεῖν δύναται τοῦ ἀνδρὸς, οὔτε οὗτος ἐκείνης, χωρὶς κρίσεως καὶ ψήφου τῶν δικαστῶν· ὡς διάφοροι τοῦτο θεσπίζουσιν Ἰουστινιανοῦ νεαραί. Διὰ τοῦτο ὁ γαμήσας τὴν μὴ οὕτως ἀπολυθεῖσαν, μοιχᾶται.

Λύσις γάμου ἀζήμιος, καὶ περὶ τοῦ δι' ἄσκησιν λυομένου γάμου [47].

Ἀζημίως δὲ λύεται γάμος, ὅτε τριετὶς παρελθούσης ὁ ἀνὴρ οὐχ οἷός τε εἴη συνιέναι τῇ γαμετῇ· εἰ καὶ αὐτὸς τὴν διάζευξιν οὐχ αἱρεῖται, C μενούσης παρὰ τῷ ἀνδρὶ τῆς πρὸ τοῦ γάμου δωρεᾶς, μηδὲν οἰκοθεν ζημιουμένῳ. Λύεται γάμος καὶ ὅταν ἄσκησιν θάτερον ἕληται τῶν μερῶν, πρὸς τὴν ἐπὶ τὰ κρείττω μεταβαίνον ὁδὸν, καὶ τὸν [48] ἀμείνω βίον αἱρούμενον. Τηνικαῦτα γὰρ κελεύομεν, παῤῥησίαν εἶναι καὶ ἀνδρὶ καὶ γυναικὶ, πρὸς τὰ βελτίω [49] μεθισταμένου, διαλύειν τὸ συνοικέσιον, μετά τινος βραχείας ὑπολιμπανομένης τῷ καταλελειμμένῳ παραμυθίας.

Ὅπερ γὰρ ἂν συμφωνήσειεν οἱ συμβάλλοντες ἀπὸ τελευτῆς γενέσθαι κέρδος, τοῦτο ἔχειν δεῖ τὸν καταλελειμμένον παρὰ θατέρου, εἴτε ἀνὴρ, εἴτε γυνὴ καθεστήκοι. Διὸ [50] καὶ οὗτος, τόγε ἐπὶ τῷ συνοικήσαντι, δοκεῖ τελευτᾷν, ἑτέραν ἀνθ' ἑτέρας βίου πορείαν ἑλόμενος. Ἡ γὰρ ἀπόκαρσις καὶ ἄκοντος D θατέρου τῶν ὁμοζύγων γίνεται ἀσφαλῶς. Καὶ λέγομεν, ἀγαθῇ χάριτι τὴν διάζευξιν γίνεσθαι. Καὶ τὸ περιλειφθὲν πρόσωπον δύναται πρὸς ἑτέραν συζυγίαν ἐλθεῖν. Ἀλλὰ τῇ τοῦ χειροτονηθέντος ἐπισκόπου γυναικὶ τοῦτο οὐ δέδοται. Καὶ διὰ τοῦτο μετὰ συναινέσεως αὐτῆς δεῖ γίνεσθαι τὴν χειροτονίαν, καὶ οὕτως ἐπακολουθεῖν ἀπαραιτήτως τὴν ταύτης ἀπόκαρσιν. Λύεται γάμος καὶ ὅταν αἰχμάλωτος γένηται ὁ ἀνὴρ, ἢ ἡ γυνή· ἄδηλον δν ἐπὶ πενταετίαν, εἰ

VARIÆ LECTIONES.

[46] ὑφίσταται. [47] αἱ αἰτίαι, δι' ἃς χωρίζεται ὁ ἀνὴρ τῆς γυναικός. [48] ἐν ἁγνείᾳ. [49] μεθισταμένῳ. [50] διότι.

NOTÆ.

(33) Novella 22, cap. 6.
(34) D. novel. c. 30.
(35) D. novel. 22, cap. 7.

ζῃ. Εἰ δὲ παρὰ τὰς ὑφ' ἡμῶν, φησὶ, διωρισμένας αἰτίας τολμήσουσί τινες διαλύειν τὸν γάμον, κελεύομεν, εἰ μὲν κατιόντας ἔχοιεν εἴτε ἐξ αὐτοῦ, εἴτε ἐξ ἄλλου γάμου, τὰς αὐτῶν οὐσίας ἐκείνοις δίδοσθαι, καὶ αὐτοὺς εἰς μοναστήριον (36)..... δίδοσθαι ἐκ τῆς οὐσίας αὐτῶν. Εἰ δὲ μὴ ἔχοιεν κατιόντας, ἀλλὰ ἀνιόντας, τούτους τὸ τρίτον μέρος τῆς οὐσίας αὐτῶν λαμβάνειν, εἰ μὴ τῇ λύσει τοῦ γάμου συνῄνεσαν. Εἰ δὲ μήτε ἀνιόντες, μήτε κατιόντες εἶεν, κελεύομεν πᾶσαν τὴν οὐσίαν τοῖς μοναστηρίοις, οἷς ἐνεβλήθησαν, δίδοσθαι. Ἀλλὰ καὶ τοὺς τὰ τοιαῦτα συντιθέντας ἀθέμιτα συμβόλαια κελεύομεν ταῖς εἰς τὸ σῶμα ποιναῖς ὑποβάλλεσθαι. Καὶ εἰς ἐξορίαν πέμπεσθαι. Εἰ δὲ οἱ τὸν γάμον λύειν ἐπιχειρήσαντες βουληθεῖεν πάλιν ἑαυτοῖς συνελθεῖν, πρὶν ἂν ἐμβληθῶσι μοναστηρίοις, ἄδεια τούτοις δίδοται παρ' ἡμῶν, καὶ τὰς προειρημένας ποινὰς συγχωροῦμεν αὐτοῖς, καὶ τὰς ἰδίας ἔχειν περιουσίας. Τοῦ δ' ἑνὸς προσώπου βουλομένου τὸν γάμον ἀνακαλέσασθαι, εἰ μὴ συναινέσειε καὶ τὸ ἕτερον, κατὰ τοῦ μὴ βουλομένου κρατεῖν τὰς ποινάς. Ταῦτα δὲ κελεύομεν γίνεσθαι καὶ κατὰ πρόνοιαν τῶν θεοφιλεστάτων ἐπισκόπων. Εἰ δὲ κατὰ συναίνεσιν ἀμφοτέρων τῶν μερῶν, ἢ κατ' ἔρωτα σωφροσύνης λυθείη γάμος, κελεύομεν εὐθὺς ἑκάτερα τὰ μέρη προσέρχεσθαι τῷ μονήρει βίῳ, ἀζημίων ὀηλονότι φυλαττομένων αὐτῶν. Εἰ δέ τις τούτων ἢ γάμῳ προσέλθοι, ἢ πενίᾳ περιπέσοι, τὴν πᾶσαν αὐτοῦ περιουσίαν οἱ παῖδες λήψονται· εἰ δὲ παῖδας οὐκ ἔχει, τὸ δημόσιον αὐτὸν διαδέξεται. Ὁ ξϑ' τοῦ μεγάλου Βασιλείου κανών· Εἰ ἀναγνώστης, φησὶ, τῇ αὐταῦ μεμνηστευμένῃ πρὸ τοῦ γάμου μιχθείη, κἀκείνης τοῦτο ἑλομένης, ἐπ' ἐνιαυτὸν ἀφοριζόμενος εἰς τὸ ἀναγινώσκειν πάλιν ἐπάνεισιν, εἰς μείζονα μὴ προκόπτων βαθμόν. Εἰ δὲ μνηστείας χωρὶς συνέλθοι γυναικὶ, καὶ εἰ λαβεῖν αὐτὴν εἰς γυναῖκα λόγους ἴσως μετ' αὐτῆς ἐποιεῖτο, καὶ τῆς τοῦ ἀναγνώστου ὑπηρεσίας ἐκπίπτει. Εἰ δὲ ὑπηρέτης ἤτοι ὑποδιάκονος τῷ δευτέρῳ πάθει ἁλοίη, τῆς ὑπηρεσίας ἐκβάλλεται τελέως. Ὁ δὲ ἔνατος τῆς ς' συνόδου, τὸν εἰς γάμου κοινωνίαν ἀγόμενον τὴν ἑτέρῳ μεμνηστευμένην, ἔτι τοῦ μνηστευσαμένου περιόντος, τοῖς τῆς μοιχείας ὑποβάλλει ἐγκλήμασιν. Εἰ δὲ μὴ γαμικῶς, ἀλλὰ πορνικῶς μετὰ τοιαύτης τις συμφθαρείη, καὶ οὗτος ὡς μοιχὸς τιμωρεῖται, καὶ ἡ γυνὴ ὡς μοιχαλίς. Ὁ δὲ τὴν μνηστείαν ἀγνοῶν, ὡς πόρνος.

A quidam fuerint matrimonium solvere: jubemus siquidem habeant descendentes vel ex hoc ipso, vel ex alio matrimonio, ut iis ipsorum facultates dentur, et in monasterium ipsi.... ex ipsorum bonis tribuantur. Sin descendentes nullos habeant, ut ii tertiam bonorum partem consequantur, si solutioni matrimonii non consenserint. Quod si nec ascendentes, nec descendentes exstent: jubemus omnia bona monasteriis, in quæ conclusi fuerint, attribui. Quin etiam hæc instrumenta nefaria conficientes, subjici pœnis corporalibus, et in exsilium mitti præcipimus. Sin autem ii, qui divortium facere conati fuerunt, rursus in matrimonium coire voluerint antequam in monasteria missi sint, id agendi licentiam ipsis concedimus, et prædictas pœnas eis B remittimus, adeoque facultates suas retinere poterunt. At una persona matrimonium revocare volente, si altera quoque persona non consenserit, adversus eam pœnæ ratæ sint, quæ renuit. Hæc autem fieri jubemus interveniente providentia religiosissimorum episcoporum. Quod si per consensum utriusque partis vel amore pudicitiæ matrimonium solutum fuerit: jubemus, ut statim utraque pars ad vitam solitariam accedat, ita quidem ut a pœnis immunes maneant. Quod si quis eorum vel ad alias nuptias convolarit, vel in paupertatem inciderit: omnia ipsorum bona liberi accipient. Sin liberi nulli exstent, fiscus succedet. Cæterum LXIX Basilii magni canon: Si lector, inquit, cum desponsa sibi muliere ante celebratas nuptias coierit, etiam ipsa consentiente, ad anni spatium segregatur, et ad lectoris quidem munus redit, sed majorem ad gradum non provehitur. Sin absque sponsalibus cum muliere consuetudinem habeat, tametsi forte verbis et significarit, se illam ducturum uxorem: etiam ministerio lectoris excidit. Quod si minister sive diaconus hoc altero vitio deliquerit, ministerio suo prorsus ejicitur. Nonus autem sextæ synodi canon eum, qui alteri desponsam in matrimonii consortium asciscit, adhuc illo superstite, qui sponsalia contraxit; crimini adulterii subjicit. Quod si non matrimonii lege, sed scortando cum tali quispiam rem habuerit, tum ipse tanquam adulter, tum mulier ut adultera punitur: qui vero D sponsalia celebrata ignorabat, tanquam scortator.

Περὶ μνηστείας.

Τὴν γὰρ μνηστείαν οἱ νομοθέται ὁρίζονται, μνήμην καὶ ἐπαγγελίαν τῶν μελλόντων γάμων. Καὶ ὁ μὲν Μωσαϊκὸς νόμος ὡς γάμον τὴν μνηστείαν ἐλογίζετο. Καὶ ὁ τὴν ἄλλῳ μεμνηστευμένην φθείρων, ὡς μοιχὸς ἐκολάζετο. Καὶ ἐπειδὴ τὰ τῆς μνηστείας αὐτοῖς συνῆρμοττε σύμβολα, καὶ γυναῖκα τὴν μνηστὴν προσαγορεύει. Ἐταπείνωσε γάρ, φησὶ, τὴν

De sponsalibus.

Sponsalia (37) namque juris auctores deficiunt, mentionem et promissionem futurarum nuptiarum. Ac lex quidem Mosaica matrimonii loco sponsalia habebat. Et qui desponsam alteri vitiabat, tanquam adulter puniebatur. Sponsalium quoque symbolis datis, sponsa nomen uxoris accipiebat. Humiliavit, inquit, uxorem proximi: hoc est, spor-

NOTÆ.

(36) Sic restitue: εἰς μοναστήριον ἐμβάλλεσθαι, καὶ τοῖς μοναστηρίοις τέσσαρας οὐγκίας δίδοσθαι ἐκ τῆς, καὶ ἕτερα· *ipsi conjiciantur, et monasteriis unciæ quatuor ex ipsorum*, etc.

(37) l. 1 D. *De sponsalibus.*

sam ipsius devirginavit. Sic et illa sancta Virgo, Josephi dicta fuit uxor. Ne verearis, inquit, accipere Mariam uxorem tuam. Cæterum apud nos olim eorum, qui coibant in matrimonium, sponsalia per osculum (38) et arrham procedebant. Ac licebat ea solvere, si adjecta pœna præstaretur. Nondum autem solutis sponsalibus, haud abs re tanquam adulter condemnabatur, qui sponsam alterius matrimonio sibi copulabat, quemadmodum canon indicatus statuit. Nedum ubi nec sponsalia processerunt, nec osculum arrhæve datio secuta est, sed nudorum duntaxat, ut appellari solent, verborum vincula, licet alius eam uxorem ducat, adulterii crimine non tenetur. Cæterum ex publicata posterius novella religiosi principis Alexii Comneni, anno vclo ıɔ.xcıı, propemodum par vis est sponsalium et plenarum nuptiarum, cum et ipsa precibus sacris intervenientibus perficiantur, nec aliis modis solvantur, quam quibus perfectum quoque matrimonium dirimitur. Sunt enim hæc ejus verba:

Novella imperatoris Alexii Comneni de sponsalibus.

Sponsalia vera sancita sunt a nobis, quæcunque cum benedictione sacra, et statuto a nobis tempore per acta noscuntur. Aptum vero tam sponsalibus, quam nuptiis tempus fuerit, femina quidem duodecimum transgressa, masculo autem decimum et quartum annum excedente. Post sacrum vero precum carmen, et consuetam arrhæ atque osculi observationem, exiguo vel etiam longiusculo spatio temporis interjecto, prout ipsis contrahentibus visum fuerit, citra recusationem legitimas quoque nuptias succedere jubemus, nec simul incidere unum sæpe diem et horam. Quod si, priusquam statutum a nobis temporis appetierit, et indicatis observationibus non adhibitis, sponsalia facta fuerint, et instrumenta, nequaquam hæc vera sponsalia vel esse, vel appellari debere, tametsi pœnæ luitio sit adjecta. Nam quæ proprie sunt sponsalia, pœnarum præstationibus non solventur, quando ne quidem instrumentis in posterum adscribentur: cum per eas nullum sponsalibus robur accedat, sed per invocationem Dei: cujusmodi sponsalia prorsus indissolubilia manent, ex illis duntaxat causis dirimenda, quibus et nuptiæ solvuntur. Quia vero, secundum priscam legum consuetudinem, post annum puellæ septimum non recte sponsalia procedebant (nam libere singuli ad desponsatas accedentes, per intuitum continuum, et libertatem conversationis, ipsam amoris flammam magis accendebant), in hoc quoque statuimus, ut quæ anno contrahentium septimo, usque ad xıv vel xıı ætatis eorum annum, quasi sub forma sponsalium fiunt instrumenta; prorsus legitimorum firmorumque

A γυναῖκα τοῦ πλησίον, ἦγουν διεπαρθένευσε τὴν τούτου μνηστήν. Οὕτω καὶ ἡ ἁγία Παρθένος, γυνὴ τοῦ Ἰωσὴφ ἐχρημάτισε. Μὴ φοβηθῇς γάρ, φησὶ, παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. Παρ' ἡμῖν δὲ πρώην μὲν φιλήματι τῶν συναπτομένων καὶ ἀραβῶνι προῤῥαινεν ἡ μνήστεια. Καὶ ἐξῆν ταύτην λύειν, τῆς ποινῆς τοῦ προστίμου παρεχομένης. Μήπω δὲ τῆς μνηστείας λυθείσης, εἰκότως ὡς μοιχὸς ὁ τὴν[81] γυναῖκα λαμβάνων ἐκρίνετο, ὡς ὁ ῥηθεὶς κανὼν διορίζεται. Ὅπου δὲ οὔτε μνηστεία προῦβη, οὔτε φίλημα, οὔτε δόσις ἀῤῥαβῶνος ἐπηκολούθησε, μόνοι δὲ οἱ λεγόμενοι διὰ ψιλῶν γραμμάτων[82] δεσμοὶ, κἂν ἕτερος λάβῃ τὴν γυναῖκα, τῷ τῆς μοιχείας ἐγκλήματι οὐχ ὑπόκειται· ἀπὸ δὲ τῆς ἐξενεχθείσης ὕστερον νεαρᾶς τοῦ εὐσεβοῦς βασιλέως Ἀλεξίου τοῦ B Κομνηνοῦ κατὰ τὸ ϛϕιβ' ἔτος, τὰ ἴσα δύναται τῷ τελείῳ γάμῳ σχεδὸν ἡ μνηστεία, ἅτε μετὰ ἱερᾶς καὶ αὕτη τελουμένη εὐχῆς, καὶ ἄλλως οὐ λύεται, εἰ μὴ καθ' οὓς τρόπους καὶ τὸ τέλειον διασπᾶται συνοικέσιον· φησὶ γάρ·

Νεαρὰ τοῦ βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ περὶ μνηστείας.

Μνηστεῖαι παρ' ἡμῶν ἐτυπώθησαν ἀληθεῖς, ὅσαι μετὰ τῆς ἱερᾶς εὐλογίας καὶ κατὰ τὸν ὡρισμένον ἡμῖν καιρὸν τελεσθεῖσαι γνωρίζονται. Ἀρμόδιος δ' ἂν εἴη μνηστείας καὶ γάμου καιρὸς, τῆς μὲν θηλείας τὸν δωδεκαετῆ χρόνον διατρεχούσης, τοῦ δὲ ἄῤῥενος τὸν ιδ' διαμείβοντος. Μετὰ δὲ τὴν ἱερὰν τῶν εὐχῶν ἐπῳδὴν, καὶ τὴν συνήθη τοῦ ἀῤῥαβῶνος καὶ τοῦ C φιλήματος παρατήρησιν, βραχέος, ἢ καὶ πλείονος καιροῦ διαλείποντος, ὡς ἂν δόξειε τοῖς συναλλάττουσιν, ἀπαραιτήτως καὶ τὸν ἔννομον γάμον προβαίνειν κελεύομεν, καὶ μὴ κατὰ ταυτὸ συμβαίνειν[83] ἐν ἡμέρᾳ μιᾷ πολλάκις καὶ ὥρᾳ. Εἰ δὲ πρὶν τὸν παρ' ἡμῶν ὁρισθέντα ἐπιστῆναι καιρὸν, καὶ τῶν εἰρημένων μὴ γενομένων παρατηρήσεων, μνηστεῖαι προβήσονται καὶ συμβόλαια, ταύτας μνηστείας ἀληθεῖς μηδὲ εἶναι μηδὲ ὀνομάζεσθαι, εἰ καὶ προστίμου ποινὴ πρόσκειται· αἱ γὰρ κυρίως μνηστεῖαι οὐ προστίμων λυθήσονται δόσεσιν, ἅπερ οὐδὲ τοῖς συμβολαίοις τὸ λοιπὸν ἐγγραφήσονται· ὅτι μηδὲ παρ' αὐτῶν αἱ μνηστεῖαι κρατύνονται, ἀλλὰ διὰ τῆς τοῦ Θεοῦ ἐπικλήσεως, αἵπερ καὶ ἄλυτοι τὸ παρ- D άπαν μένουσι, μόναις λυόμεναι ταῖς αἰτίαις, αἷς καὶ οἱ γάμοι. Ἐπεὶ δὲ κατὰ τὴν παλαιὰν τῶν νόμων συνήθειαν μετὰ τὸν ἑπταετῆ χρόνον τῆς κόρης οὐ κωλῶς αἱ μνηστεῖαι προῦβαινον (ἀδεῶς γὰρ ἐπὶ τῆς μνηστευομένης[84] εἰσερχόμενοι ἕκαστος, τῇ συνεχεῖ θέᾳ καὶ τῷ ἐλευθερίῳ τῆς ὁμιλίας τὸ τοῦ ἔρωτος φλεγμαῖνον προσανέκαιον), ἡμεῖς καὶ τοῦτο θεσπίζομεν, τὰ μὲν κατὰ τὸν ἑπταετῆ τῶν συμβαλλόντων χρόνον ἄχρι τοῦ ιδ' ἢ ιβ' τῆς ἡλικίας χρόνου γινόμενα ὡς ἐν τύπῳ μνηστείας συμβόλαια, μὴ τάξιν

VARIÆ LECTIONES.

[81] ὁ αὐτήν. [82] ῥημάτων. [83] συμπίπτειν. [84] τὰς μνηστευομένας.

NOTÆ.

(38) l. 10. C. *De donat. ante nupt.*

ὅλως ἐννόμου μνηστείας καὶ ἀσφαλοῦς ἀποφέρεσθαι· ἀλλ' ὡς ἐπερωτήσεις μόνον ἡσφαλισμένας κρίνεσθαί τε καὶ ἐνεργεῖν κατὰ τὸ ἔθος τῶν ἄλλων συναλλαγμάτων· ἐνεργεῖν δὲ τὸν παλαιὸν νόμον τὸν ἐπὶ τῇ μνηστείᾳ ἐκφωνηθέντα, ἐν τοῖς κεκωλυμένοις προσώποις εἰσέρχεσθαι ἐπὶ τὴν ἀποζευχθεῖσαν μνηστὴν, διὰ τὸ περιούσιον τῆς παρὰ Χριστιανοῖς ἐμπολιτευομένης καταστάσεως. Εἰ γὰρ καὶ μὴ μνηστεία ἐστὶ κατὰ τὸ ἀκριβὲς ἐντελὴς τὸ γινόμενον, ἀλλ' ὅτι σκοπὸν ἔχειν μνηστείας δοκεῖ, καὶ θεμέλιος γάμου ἐντεῦθεν προκαταβάλλεται, καλῶς ἂν ἔχοι τὰ κεκωλυμένα τῷ νόμῳ πρόσωπα καὶ αὖθις κωλύεσθαι, καὶ μηδένα εἰς γυναῖκα λαμβάνειν, ἣν ὁ παλαιὸς νόμος μνηστήν τινος γενομένην, τῆς μνηστείας λυομένης οὐκ ἀφῆκεν ἑτέρῳ κατὰ γάμον συνέρχεσθαι.

A sponsalium locum non obtineant, sed tantum veluti confirmatæ stipulationes habeantur, et secundum aliorum contractum consuetudinem obligent: veteri lege, quæ de sponsalibus est publicata robur in iis habente personis, quibus cum repudiata, sponsa in matrimonium coire prohibitum est, idque propter ejus status, qui apud Christianos viget, incrementum. Licet enim subtili ratione non sint hæc perfecta sponsalia, tamen quia sponsalium finem habere videntur, et nuptiarum hinc fundamentum ponitur, non abs re prohibitæ per legem personæ rursus impedimentum habebunt, nec quisquam eam uxorem ducet, quam prisca lex sponsam alicujus factam, solutis sponsalibus in matrimonium cum altero coire non permisit.

B

Περὶ μνηστείας κληρικῶν.

Ἀμέλει καὶ οὐκ ἐφεῖταί τινι τῶν τοῦ βήματος θανάτῳ ἢ ἄλλῃ αἰτίᾳ τῆς οἰκείας διαζευχθέντι μνηστῆς πρὸ τοῦ γάμου, ἑτέρᾳ συνάπτεσθαι γυναικί. Ὁ γὰρ πεποιηκέναι τοῦτο φωραθεὶς, ὡς δευτερογαμήσας καθαιρεῖται. Καὶ ὁ ἐμπεσὼν εἴς τι τοιοῦτον ἀναγνώστης, εἰς ἕτερον οὐ προκόπτει βαθμόν. Εἰ δὲ ἀσύστατός ἐστιν ἡ μνηστεία, εἰ μὲν τὸ κατεγγυηθὲν πρόσωπον τῷ θέλοντι ἱερωθῆναι, τὸν ἕκτον ὑπερέβη χρόνον, οὐ παραχωρηθήσεται ὁ μνηστευσάμενος ἑτέρᾳ συναφθῆναι γυναικὶ, καὶ οὕτως ἱερωθῆναι. Δίγαμος γὰρ λογίζεται διὰ τὴν ἐπιθυμίαν, τῷ δεκτικὴν ἔρωτος εἶναι τηνικαῦτα τὴν γυναῖκα. Εἰ δὲ ἥττων τῶν ἓξ χρόνων ἦν τὸ κατεγγυηθὲν αὐτῷ πρόσωπον, ὅτε ἡ ἀθέτησις τῶν συμφώνων ἐγίνετο, δύναται ὁ τοιοῦτος καὶ ἑτέρᾳ γυναικὶ συζευχθεὶς, ἀκωλύτως εἰς ἱερωσύνην ἐλθεῖν. Τοῦτο δὲ ἐπὶ λαϊκῶν οὐ κρατεῖ. Μόνους γὰρ τοὺς τοῦ βήματος, μιᾶς γυναικὸς, καὶ ταύτης παρθένου, ἄνδρας εἶναι δεῖ. Οἷα καὶ αὐτοὺς πάντως τῇ παρθενίᾳ πρὸ τούτου σεμνυνομένους. Τελείας δὲ τῆς μνηστείας οὔσης, καὶ εἰ πρὸ τοῦ συμμιγῆναι τῇ μεμνηστευμένῃ τὸν ἄνδρα, θανάτῳ ταύτης διέζευκται, οὐδὲ ὁ λαϊκὸς λαβεῖν δύναται ἢ ἐξαδέλφην ταύτης, ἢ ἕτερον πρόσωπον ἐκ τοῦ νόμου κεκωλυμένων. Οὐ γὰρ ἡ συνάφεια, ἀλλ' ἡ τῆς εὐχῆς τελετὴ ποιεῖ τὴν μνηστείαν ὡς γάμον λογίζεσθαι. Εἰ μέντοι πρὸ τελείας ἱεροτελεστίας, μόνης δὲ μνηστείας συνεστηκυίας, τὸν νυμφίον τῇ πενθερᾷ συμφθαρῆναι συνέβη, ἢ ἑτέρῳ συγγενικῷ προσώπῳ τῆς μνηστῆς αὐτοῦ, κωλυθήσεται ὁ γάμος. Οὐ γὰρ θεμιτὸν αἱμομιξίαν ποιήσαντας..... Φησὶ γὰρ ὁ νόμος· Τὰ ἐξαρχῆς βέβαια, ἐκ τῶν ἐπισυμβαινόντων οὐκ ἀκυροῦνται.

De clericorum sponsalibus.

Sane non permittitur alicui dignitatem ecclesiasticam gerenti, qui mortis alteriusve causæ interventu separatus sit a sponsa sua ante nuptias, ut alia cum muliere copuletur. Nam qui hoc fecisse deprehensus fuerit, tanquam secundo illigatus matrimonio, deponitur. Lector etiam, qui tale quidquam incurrit, ad alium gradum non provehitur. Quod si constare sponsalia non possunt, siquidem et desponsa persona, qui sacerdos fieri vult, annum sextum ætatis excessit, non permittetur ei, qui eam sibi despondit, ut alia cum muliere copuletur, atque ita sacerdos fiat. Nam digamus esse dicitur, ratione concupiscentiæ, cum hac ætate mulier amoris capax sit. At vero si minor sex annis sit persona desponsa, quo tempore pacta sponsalia reddebantur irrita, potest talis etiam alia cum muliere copulatus, nomine prohibente sacerdotio fungi. Sed hoc in laicis locum non habet. Duntaxat enim ecclesiastica in dignitate constitutos unius mulieris, et virginis quidem, maritos esse oportet: et cum et ipsi omnino ante matrimonium contractum virginitatis laude gloriari debeant. Cæterum ubi perfecta sunt sponsalia, licet antequam cum desponsata sibi vir coeat, per mortem ab ea diremptus fuerit, ne laicus quidem ducere potest vel consobrinam ejus, vel aliam personam lege prohibitam. Non enim ipsa conjunctio, sed quæ precum interventu fit consecratio, sponsalia pro nuptiis haberi facit. Enimvero si ante perfectam nuptiarum consecrationem, sponsalibus duntaxat contractis, sponsum cum socru stupri consuetudinem habere contigerit, vel cum alia sponsæ suæ cognata persona, matrimonium vetabitur. Non enim fas est, ut qui commiserint incestum... Legis enim verba sunt (39): Quæ ab initio valent, ex post factis non infirmantur.

C

D

Αἱ αἰτίαι, δι' ἃς λύεται ἡ μνηστεία.

Λύεται δὲ ἡ μνηστεία ὥσπερ οἱ γάμοι, δι' εὐπροσώπους ταύτας αἰτίας·

Causæ, propter quas sponsalia solvuntur.

Sponsalia nuptiarum more solvuntur, propter honestas hasce causas.

NOTÆ.

(39) l. 29. et D. *De reg. jur.* l. *Qui a qualibet.* D. *De contrah. empt.* et l. 5. D. *De auct. tut.*

1. Si constare sponsalia, tanquam illicita, nequeant, propter ætatem puerorum impuberem.

2. Si mulier uterum ex alieno semine gerere sit deprehensa.

3. Item propter novam quamdam et incognitam religionem, ac dogmatum diversitatem.

4. Vel propter morum turpitudinem.

5. Vel propter mutationem status.

6. Vel propter dilationem nuptiarum ultra quadriennium, quæ probabili ex causa facta est, propter morbum puta diuturnum, vel mortem parentum, vel capitalia crimina, vel longinquam peregrinationem, ex necessitate susceptam.

7. Præterea si sponsalia facta sint per vim præsidis provinciæ, tam puella, quam parentibus ejus non consentientibus.

8. Vel propter veram tonsuram, et transitum ad vitam solitariam.

9. Vel quod aliquis fiat decurio.

10. Vel quod alicujus bona fisco sint obnoxia, vel quod ipse alii cuipiam functioni obligatus inveniatur.

Cum igitur aliquid ex hisce nunc enumeratis copulationem factam non dirimit, qui desponsatam alteri ducit, adhuc eo superstite, qui desponsavit, adulterio se polluit.

Sponsalia sunt mentio et promissio futurarum nuptiarum. Tam per scripturam (40), quam sine scriptura sponsalia contrahuntur. Et constituuntur nudo consensu, Etiam inter absentes (41). Contra voluntatem pupillæ tutor sponsalia non constituit, nec facta dissolvit. Furor impedit sponsalia (42). Sed si postea supervenerit, constituta non solvit. Qui consensum præbent in nuptiis eorum consensus in sponsalibus quoque requiritur (43). Consentire vero debent, ipsi contrahentes, et parentes eorum. Et consentire videntur, qui evidenter sive diserte non contradicunt. Tunc autem filii, filiæ familias contradicere duntaxat possunt (44), cum moribus indignos et turpes eis sponsos parentes eligunt. Si tales autem non sint, qui eis despondentur, licet exheredari se liberi malint, duntaxat ut non parentum, sed suæ voluntati satisfaciant; omnino non valere sancimus eorum institutum. Nam cupiditates juvenum, ad excidium et interitum proprium tendentes, omni modo coercendas esse, leges ipsæ statuunt (45). Dissentientibus autem parentibus in electione, manifestum est patris valere judicium. Filio familias dissentiente, sponsalia nomine ejus non fiunt (46). Pater filiæfamilias sponsalia dissolvere potest, non etiam emancipatæ (47). Quæ quod agi-

α'. Εἰ ἀνυπόστατός ἐστιν ἡ μνηστεία καὶ ἀθέμιτος, διὰ τὸ ἀνήλικον τῶν παίδων.

β'. Εἰ ἐγγάστριος ἐξ ἀλλοτρίων σπερμάτων ἡ γυνὴ πεφώραται.

γ'. Λύεται καὶ διὰ καινοτάτην θρησκείαν ἄγνοηθεῖσαν, καὶ δογμάτων διαφοράν.

δ'. Ἢ διὰ τρόπων αἰσχρότητα.

ε'. Ἢ τύχης ἐναλλαγήν.

ς'. Ἢ διὰ γάμων ὑπέρθεσιν ὑπὲρ τετραετίαν, μὴ ἐξ εὐλόγου ἐκταθεῖσαν αἰτίας, διὰ νόσον ἴσως χρονίαν, ἢ θάνατον γονέων, ἢ κεφαλικὰ ἐγκλήματα, ἢ μακρὰν ἀποδημίαν, ἐξ ἀνάγκης γενομένην.

ζ'. Ἔτι δὲ διὰ βίαν ἄρχοντος ἐπαρχίας τῆς μνηστείας γενομένης, τῆς τε κόρης καὶ τῶν γονέων αὐτῆς μὴ συναινούντων.

η'. Ἢ δι' ἀπόκαρσιν ἀληθῆ, καὶ τὴν πρὸς τὸν μονήρη βίον μετάβασιν.

θ'. Ἢ τὸ εἶναι βουλευτήν.

ι'. Ἢ διὰ τὸ ἀποκεῖσθαι [88] τῷ δημοσίῳ τὴν οὐσίαν αὐτοῦ, ἢ ἄλλῳ λειτουργήματι ἔνοχον εὑρεθῆναι.

